Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: rxk-aa

Ἰωάννης ὁ Καντακουζηνός · John VI Kantakouzenos

Histories

Ἱστορίαι

Period: *Ὀψιμαρχαία* Late Antique
Dialect: *Βυζαντινὴ Ἑλληνική* Byzantine Greek
Domain: *Ἱστορία* History
Format: *Πεζός* Prose

1 7 (t) ΝΕΙΛΟΣ ΧΡΙΣΤΟΔΟΥΛΩι. ἐπειδή σε βούλεσθαι οἶδα μηδὲν τῶν ἡμετέρων ἀγνοεῖν, εἰ καὶ μηδέν τι γενναῖον ἔχοιμεν λέγειν, ἅ γε ἔνεστι, σιωπᾷν οὐ θέμις. οἶσθα τοὺς περιπάτους οὓς ἑκάστοτε μετὰ τῶν φίλων ποιούμεθα, ἐν οἷς πολλὰ, τὰ μὲν σπουδῇ, τὰ δὲ παιδιᾷ προσήκοντα λέγεται. ἐν τούτοις τινῶν τὸν τῶν βασιλέων διεξιόντων πόλεμον, ὅπως τε τὴν ἀρχὴν συνέστη καὶ ἤκμασεν εἰς τοσοῦτον, καὶ τί τὸ πεῖσαν τοὺς γενναίους ἀγνοῆσαι τὴν φύσιν, καὶ πότερος αὐτῶν μάχης ἤρξατο, καὶ τίς πρὸς διαλλαγὰς ὀξύτερος· οἱ μὲν τὸν πάππον, οἱ δὲ τὸν νεώτερον αἰτίαις ἐνέχεσθαι ἠξίουν. [5]

1 8 ἐγὼ δὲ ἀκούων ἐπλήγην τοῖς λόγοις, ῥᾳθυμίαν κατεγνωκὼς τῶν ἀνδρῶν, οἳ παρηκολουθηκότες τοῖς πράγμασιν ἐξ ἀρχῆς, οὐ κατέλιπον τῷ βίῳ τὴν τῶν πεπραγμένων διήγησιν. ἀλλ' ἔστι καὶ περὶ ἐκείνων διπλᾶ λογίζεσθαι, καθάπερ καὶ περὶ τῶν Εὐκλείδου φασίν. ἀλλὰ σὺ δίκαιος ἂν εἴης ἀπαλλάττειν πραγμάτων ἡμᾶς, τά τε ἐπὶ τῶν βασιλέων τά τε ἐφ' ἡμῶν γεγονότα διδάξας· τὸ δ' ἂν γένοιτο, ἐπιτομωτάτῃ χρησάμενος ὁ δῷ τινι συγγραφῆς, δι' ἧς μόνης ἔξεστι τἀληθὲς εὑρεῖν. καὶ ὅτε γὰρ τὰ κοινὰ διετέλεις πράττων, σωτηρία τοῖς πράγμασιν ἦσθα· καὶ νῦν σαυτοῦ γεγονὼς, ἀληθείας καὶ δικαιοσύνης παράδειγμα τὸν βίον κατέστησας τὸν σαυτοῦ. ὡς μὲν οὖν τῶν γεγονότων καὶ νομιζόμενος καὶ ὢν αὐτουργὸς, οὐκ ἀγνοήσεις δήπου τὰ σά· ὡς δὲ μηδὲν τῆς ἀληθείας διὰ βίου πρότερον ἡγησάμενος, τἀληθὲς ἐρεῖς· ὡς δὲ ῥᾳθυμίαν ἐξορίσας παντάπασι τῆς ψυχῆς, οὐ λογιῇ τὸν ἐπὶ τῷ πράγματι πόνον. ἔστι δὲ καὶ εἰς παράδειγμα τὴν ἡμετέραν ἱκετείαν ἀνενεγκεῖν. ἄν τε γὰρ τοὺς ἔξωθεν, ἄν τε τοὺς ἡμετέρους ἡγεμόνας ἐνθυμηθῇς, οὐδαμῶς ἀτιμάσεις τὴν ἱστορίαν. καὶ οὗτοι γὰρ κἀκεῖνοι ἐπὶ τὸ συγγράφειν καθῆκαν ἑαυτοὺς, οὐ μικρὰ τὸν ἀνθρώπινον βίον ἐκ τοιούτων ὀνήσειν οἰόμενοι. καὶ ἁπλῶς δὲ εἰπεῖν, οἱ μὲν ἠθικοὶ τῶν λόγων, ὅσοι ἢ ἀρετὴν ἐπῄνεσαν ἢ κακίαν διέβαλον, καλοί τέ εἰσι καὶ θαυμάζεσθαι δίκαιοι· εἰ δὲ καὶ δυνατὸν κατὰ τούτους τοὺς ἀνθρώπους βιῶναι, ἐνταῦθα δὴ πολὺς ὁ λόγος, τινῶν ἀξιούντων μὴ δύνασθαι τὰ πράγματα διὰ τέλους συμβαίνειν τοῖς λόγοις. [20]

1 9 οἷς δὲ ἐμέλησε πράξεις ἀνδρῶν ἀναγράφειν, ἐξ ὧν ἀρετὴν καὶ κακίαν, τὴν μέν ἐστιν ἑλέσθαι, τὴν δὲ φυγεῖν, τοῖς τοιούτοις ἀντιλέγειν οὐ πάνυ τοι ῥᾴδιον, ὅτι μὴ λογισμοῖς, ἀλλὰ πράγμασι πείθουσιν, οἷς ἐρίζειν μανία σαφής. ὡς οὖν τὰ μέγιστα ὀνήσων τὸν ἀνθρώπινον βίον, ἂν μὴ κατ' ἐλπίδας τὰ παρόντα ἐκβῇ, ἐξ ὧν ἐστι τούς τε ἄλλους εὖ ποιεῖν καὶ τὸ σαυτοῦ διασώζειν ἦθος, ἑλοῦ. ΧΡΙΣΤΟΔΟΥΛΟΣ ΝΕΙΛΩι. Ἐπῄνεσα σοῦ τὸν τρόπον, ὦ φίλε Νεῖλε, τὴν σὴν

ἐπιστολὴν ἀναγνούς. τὸ γὰρ μαθεῖν ἐθέλειν ἃ τοῖς βασιλεῦσι Ῥωμαίων συνέβησαν ἐφ' ἡμῶν, τἀληθές ἐστιν εἰδέναι ποθοῦντος. παράδοξα γάρ τινα καὶ ἀλλόκοτα συνέβησαν ἐπ' αὐτῶν καὶ οὐδαμῶς προσόμοια τοῖς ἐπὶ τῶν προτέρων βασιλέων, ἀλλὰ πολύν τινα τὸν παράλογόν ἐστιν εὑρεῖν ἐν αὐτοῖς, ἔν τε ταῖς ἀγχιστρόφοις τῶν πραγμάτων μεταβολαῖς καὶ ἐν τοῖς τῶν ἀνθρώπων ἤθεσι καὶ βίοις, τῶν μὲν εἰς τὸ πάντη εὐσταθὲς καὶ ἀκίνητον καὶ μηδαμῶς εἶκον ταῖς μεταβολαῖς τῶν πραγμάτων ἑαυτοὺς κάλλιστα ἁρμοσάντων, τῶν δὲ τοὐναντίον ἅπαν Εὐρίπου δίκην μεταφερομένων ἀεὶ καὶ ἀστατούντων. [20]

1 10 οὐ μὴν ἀλλὰ καὶ τῶν τοῦ θεοῦ κριμάτων τὸ βάθος φανεῖται τῷ βουλομένῳ τοῖς πράγμασι προσέχειν ἐπιμελῶς. τούτου δὴ χάριν ὤκνουν ἐπιπολὺ τῶν λόγων ἅψασθαι τουτωνὶ, τῆς διηγήσεως ἀναλογιζόμενος τὸ πολυειδὲς καὶ ποικίλον· ἐπεὶ δὲ φιλίας οὐδὲν ἰσχυρότερον οὐδὲ πιθανώτερον καὶ τοῖς ὑπὲρ δύναμιν ἐγχειρεῖν, ταύτῃ βιασθεὶς κἀγὼ ἤδη ἄρχομαι λόγου. ὁ δὲ τῆς ἀληθείας θεὸς μὴ περιέλοι λόγον ἀληθείας ἐκ στόματός μου· οὐ γὰρ ἀπεχθείᾳ τινὶ ἢ φιλίᾳ, ἐξ ὧν τὸ ψεῦδος ἐπιπολὺ τίκτεται, πρὸς τούτους ὑπήχθην τοὺς λόγους, ἀλλ' ἀληθείας ἕνεκα καὶ πρὸς ἀληθείας ἐραστὴν τούτους ποιοῦμαι. ἔτι δὲ οὐδ' ἀκοῇ ταῦτα πρὸς τῶν παλαιοτέρων παρειληφὼς ἢ φήμαις προσέχων καὶ μύθοις ὑγιὲς οὐδὲν ἔχουσιν, ἐξ ὧν συμβέβηκε τοῖς πολλοῖς τῶν συγγραφέων ἀποπλανηθῆναι τῆς ἀληθείας, ἀλλ' αὐτὸς ἐφ' ἅπασι παρὼν καὶ ὡς ἔνεστι μάλιστα τἀληθῆ περὶ πάντων εἴπερ τις εἰδὼς, οὕτω δὴ ποιήσομαι τὴν περὶ αὐτῶν διήγησιν, τὴν ἀλήθειαν προστησάμενος καὶ πάσης ἄλλης αἰτίας αὐτὴν προτιμήσας. εἰ δὴ σὺ μὲν ἀληθείας ἐραστὴς, ἐμέ τε οὐδέν ἐστι τὸ πεῖσον ταύτης ἀποστῆναι διὰ πάσης τῆς διηγήσεως, ἔχεις ὅπερ ἐπόθεις. ἄξιον δὲ μικρὸν ἄνωθεν ἀναλαβεῖν τὴν σειρὰν τοῦ γένους τῶν βασιλέων, ὡς ἂν εἰδείημεν, τίς ἐκ τίνος ἔφυ, τίνας τε αὐτὸς τετοκὼς τίνα προέστησε βασιλεύειν, τοὺς ἄλλους καταστήσας τελεῖν ὑπ' αὐτόν. Ὁ βασιλεὺς τοίνυν Ἀλέξιος, ὁ τὴν ἐπωνυμίαν Ἄγγελος, τῷ Θεοδώρῳ Λάσκαρι τὴν θυγατέρα κατεγγυήσας, τὴν βασίλειον ἀρχὴν παρέπεμψε πρὸς αὐτόν. [20]

1 11 οὗτος δὲ αὖ πάλιν ἄῤῥενος παιδὸς ἀπορῶν, Ἰωάννῃ τῷ Βατάτζῃ ἐξ ἀρχοντικῆς τάξεως ὄντι Εἰρήνην τὴν θυγατέρα συνέζευξεν, ἀποδείξας καὶ βασιλέα τὸν κηδεστήν. αὐτῷ δὲ Θεόδωρος γεγέννηται παῖς, Ῥωμαίων καὶ αὐτὸς βασιλεύσας. ἐξ αὐτοῦ δὲ γεγέννηται Ἰωάννης, ἐφ' οὗ δὴ τῆς βασιλικῆς τοῦ γένους διατμηθείσης σειρᾶς, ἐπὶ Μιχαὴλ τὸν Παλαιολόγον ἡ βασιλεία μετέβη· ὃς δὴ παῖδας ἐγέννησεν ἄῤῥενας τρεῖς, Ἀνδρόνικον, ὃς καὶ τῶν βασιλικῶν ἐπελάβετο σκήπτρων, καὶ Κωνσταντῖνον τὸν ἐν τῇ πορφύρᾳ τεχθέντα, καὶ τρίτον Θεόδωρον· ἀλλὰ καὶ θηλείας τοσαύτας, Εἰρήνην καὶ Εὐδοκίαν καὶ Ἄνναν. οὗτος δὴ ὁ βασιλεὺς Ἀνδρόνικος ὁ τοῦ Μιχαὴλ βασιλέως παῖς, δυσὶ γάμοις προσομιλήσας, ἐκ μὲν Ἄννης τῆς θυγατρὸς τοῦ τῆς Οὐγκρίας ῥηγὸς, παῖδας ἐγέννησεν ἄῤῥενας δύο, Μιχαὴλ τὸν βασιλεύσαντα σὺν αὐτῷ, καὶ τὸν ἀδελφὸν αὐτοῦ Κωνσταντῖνον δεσπότην ὀνομασθέντα, ὡς καὶ μετὰ τὸν βασιλέα τεχθέντα καὶ τὰ δευτερεῖα φερόμενον ἐπὶ πᾶσιν. ἐκ δὲ τῆς πρὸς δεύτερον γάμον ὁμιλησάσης αὐτῷ Εἰρήνης, τῆς θυγατρὸς μαρκέση Μουμφαρὰ ἄρχοντος Λουμπαρδίας, ἐγέννησεν υἱοὺς τρεῖς, Ἰωάννην, Θεόδωρον καὶ Δημήτριον, καὶ θυγατέρα μίαν τὴν Σιμωνίδα. ὁ δέ γε βασιλεὺς Μιχαὴλ, ὁ τοῦ προῤῥηθέντος Ἀνδρονίκου βασιλέως παῖς, εἰς γάμον ἑαυτῷ συναρμόσας τὴν θυγατέρα τοῦ τῆς Ἀρμενίας ῥηγὸς, παῖδας ἔσχεν ἐξ αὐτῆς τόν τε βασιλέα Ἀνδρόνικον καὶ Μανουὴλ τὸν δεσπότην, καὶ θυγατέρας, Ἄνναν καὶ Θεοδώραν. [20]

1 12 Ἃ μὲν οὖν συμβέβηκεν ἐπὶ τῶν ἀναγεγραμμένων βασιλέων, ἀπὸ τῶν τοῦ Λάσκαρι χρόνων ἄχρι Μιχαὴλ βασιλέως τοῦ τῶν Παλαιολόγων δευτέρου, πολλοῖς ἐγένετο συγγράψασθαι σπούδασμα οὐ μικρόν· ἐξ ὧν αὐτός τε σὺ καὶ εἴ τις ἕτερος βούλοιτο, δυνηθείη ἂν ἀκριβῶς μαθεῖν περὶ τῶν πεπραγμένων· εἴ γε μὴ κἀκεῖνοι, ταῖς προῤῥηθείσαις ἐνσχεθέντες αἰτίαις, τὸ μὲν ἀληθῆ λέγειν εἴασαν χαίρειν, αὐτοὶ δὲ ὅπως ποτὲ ἔτυχον διακείμενοι περὶ ὧν διελέγοντο, οὕτω δὴ καὶ τὴν

διήγησιν ἀπέδωκαν τῶν πραγμάτων, ἀρκεῖν αὐτοῖς ἡγούμενοι πρὸς ἀντιμισθίαν τῶν πόνων, ἢ τὸν φιλούμενον ἐπαινέσαι, ἢ τὸν μισούμενον καθυβρίσαι, τῆς δ' ἀληθείας μηδὲν φροντίσαντες. ἐξ ὅτου δ' ὁ βασιλεὺς Μιχαὴλ, τῶν Παλαιολόγων ὁ δεύτερος δηλαδὴ, τοῦ παρόντος ἀπέστη βίου, ἢ οὐδεὶς συνεγράψατο τὰ τοῖν βασιλέοιν ἐξειργασμένα ἔν τε τοῖς εἰρήνης καιροῖς καὶ ἐν οἷς περὶ τῆς ἀρχῆς ἐπολέμησαν πρὸς ἀλλήλους· ἢ εἴγε καὶ συνεγράψατο, οὐκ ἂν οἶμαι καθαρῶς τῆς ἀληθείας αὐτὸν ἐφάπτεσθαι, ἅτε δὴ τῶν πραγμάτων ἀκριβῆ γνῶσιν οὐκ ἐσχηκότα, πολλῶν ἐν ὀλίγῳ χρόνῳ καὶ ποικίλων συνενεχθέντων. διὸ σύ τε καλῶς ἐποίησας παρὰ τοῦ σαφῶς εἰδότος ἐθελήσας μαθεῖν, ἐγώ τε μηδὲν μελλήσας, τὴν διήγησιν ἐκθήσομαι τῶν πραγμάτων, τῆς ἀληθείας προτιμήσας μηδέν. α'. [20]

1 13 Ὁ τοίνυν βασιλεὺς οὑτοσὶ Μιχαὴλ, συμβασιλεύων Ἀνδρονίκῳ τῷ βασιλεῖ καὶ πατρὶ, καὶ παῖδας ἐσχηκὼς, καθάπερ εἰπόντες ἔφθημεν, ἄῤῥενας δύο καὶ θυγατέρας τοσαύτας, τὴν μὲν ἑτέραν τῶν θυγατέρων τὴν Ἄνναν Θωμᾷ τῷ δεσπότῃ, τῷ τοῦ Νικηφόρου τοῦ δεσπότου παιδὶ, ἄρχοντι τῆς Ἀκαρνανίας πρὸς γάμον ἐξέδωκε· τὴν Θεοδώραν δὲ τῷ βασιλεῖ Μυσῶν Σφεντισθλάβῳ· τοὺς υἱοὺς δὲ αὐτοῦ, τὸν βασιλέα Ἀνδρόνικον καὶ Μανουὴλ τὸν δεσπότην, παρὰ τῷ βασιλεῖ καὶ πάππῳ αὐτῶν ἀφεὶς ἀνάγεσθαι βασιλικῶς, αὐτὸς ἐπεραιώθη πρὸς ἕω, τοῖς ὑπηκόοις ἐκεῖσε τῇ βασιλείᾳ Ῥωμαίων τὴν δυνατὴν εἰσοίσων βοήθειαν, πάσχουσι κακῶς ὑπὸ τῶν Περσῶν. ὀλίγον δέ τινα χρόνον ἐνδιατρίψας ἐκεῖ, καὶ πρὸς τὴν Κωνσταντίνου πόλιν ἐπανελθὼν, πέμπεται παρὰ τοῦ πατρὸς αὐτῷ καὶ βασιλέως τῇ Ἀδριανοῦ πόλει ἐνδιατρίβειν. καὶ διέτριψεν ἐκεῖ χρόνον τινὰ συχνόν· εἶτα τοῦ πατρὸς πάλιν προστεταχότος, πρὸς Θεσσαλονίκην ἀπῆρεν. ἐν τούτοις ὄντος αὐτοῦ, ἥκουσι κακῶν ἄγγελοι πρὸς αὐτὸν, τὴν τῷ δεσπότῃ συνοικοῦσαν Θωμᾷ θυγατέρα αὐτοῦ λέγοντες τεθνηκέναι· καὶ μετὰ μικρὸν ἕτεροι τῶν προτέρων βαρυτέρας φέροντες ἀγγελίας τὸν υἱὸν αὐτοῦ Μανουὴλ δεσπότην ἔφασαν τεθνηκέναι. εἴτε δὲ καὶ νόσημά τι τῶν ὀξέων ἔνδον οἰκουροῦν ἔτι ἡ τῆς ἀθυμίας ὑπανῆψε φλὸξ, εἴτε καὶ αὐτὴ καθ' αὑτὴν ἡ ἀμετρία τῆς λύπης ἤρκεσε πρὸς θάνατον αὐτῷ, μετὰ ὀγδόην ἡμέραν τῆς ἀγγελίας τῆς τελευτῆς τοῦ παιδὸς τελευτᾷ καὶ αὐτὸς ἐν Θεσσαλονίκῃ, τρίτον πρὸς τεσσαράκοντα χρόνον ἄγων τῆς ἡλικίας, ἔτους ἐννάτου πρὸς τοῖς εἴκοσι καὶ ὀκτακοσίοις καὶ ἑξακισχιλίοις, δωδεκάτῃ μηνὸς ὀκτωβρίου, ἡμέρᾳ πρώτῃ τῆς ἑβδομάδος. [20]

1 14 τούτων οὕτω συνενεχθέντων, ἀγγέλλεται τῷ βασιλεῖ Ἀνδρονίκῳ τῷ τοῦ τετελευτηκότος πατρὶ ἡ τοῦ βασιλέως καὶ υἱοῦ τελευτὴ, καὶ χρόνον μέν τινα συχνὸν ἐπένθησεν ἐπὶ τῷ βασιλεῖ καὶ παιδί· οὐ γὰρ ἄκρας ἔψαυσεν αὐτοῦ καρδίας ἡ τοῦ καλοῦ παιδὸς τελευτή· εἶτα δαίμονός τινος τῶν ἐξητασμένων ἐπὶ φθορᾷ, βαρὺ καὶ ἄγριον κατὰ τῆς Ῥωμαίων πνεύσαντος εὐτυχίας, ἢ τἀληθέστερον μᾶλλον εἰπεῖν, αὐτοῦ τοῦ τὰ πάντα οἰκονομοῦντος θεοῦ πρὸς ἔκτισιν τῶν ἐπὶ πλήθει καὶ μεγέθει τὸ μέτρον ὑπερβαινόντων ἡμετέρων σφαλμάτων τὰ τοιαῦτα παραχωροῦντος, ἐπὶ νοῦν ἔρχεται τῷ βασιλεῖ Ἀνδρονίκῳ, τὸν μὲν καθεστῶτα βασιλέα τὸν ἔγγονον αὐτοῦ τὸν νέον Ἀνδρόνικον ἀποστερῆσαι τῆς βασιλείας καὶ εἰς ἰδιώτου μεταστῆσαι σχῆμα, τὸν υἱὸν δὲ αὐτοῦ τὸν Κωνσταντῖνον δεσπότην ὄντα τῷ διαδήματι τῆς βασιλείας κοσμῆσαι. οὐ μᾶλλον αὐτοῦ τούτου γε ἕνεκα διανοηθεὶς τοῦτο τοῦ Κωνσταντίνου, ἢ ὥστε τὸ τῆς βασιλείας ἀξίωμα καὶ εἰς τὸν ἐκ παλλακῆς αὐτῷ δὴ τῷ Κωνσταντίνῳ προσόντα παῖδα μεταβῆναι τὸν Μιχαὴλ, ὡς πατρόθεν καὶ ἐξ ἁρμονίας αὐτῷ προσῆκον, ὃς δὴ καὶ Καθαρὸς ὠνόμαστο, μητρόθεν λαχὼν τὴν κλῆσιν. οὗτος δὴ ὁ Μιχαὴλ εἶλκε μὲν καὶ τὰς τοῦ γένους πηγὰς ἐκ φαύλης καὶ ἀσήμου μητρὸς, ἦν δὲ καὶ τἆλλα ἄξιος οὐδενός. οὔτε γὰρ φύσεως ἔτυχεν εὐρώστου πρὸς τὸ φρονεῖν, οὔτ' ἐγκυκλίου πεῖραν ἔσχε παιδείας, οὔτε πρὸς στρατείας ἤσκητο τὸ παράπαν, οὔτε πρός τι τῶν ὅσα νέους κοσμεῖ εὐφυῶς εἶχε κἂν ἐπ' ὀλίγον, ἀλλ' οὕτω παντάπασιν ὄντα παντὸς ἐστερημένον καλοῦ, δεινὸς ἔρως εἰσῆλθε τὸν βασιλέα, τῇ λαμπρᾷ ταύτῃ καὶ βαθείας δεομένῃ φρενὸς ἐπιστῆσαι βασιλείᾳ Ῥωμαίων. [5]

1 15 οὕτω δὴ διανοηθεὶς καὶ ἔργου ἥπτετο ἤδη, καὶ τὸν Μιχαὴλ ἐκ τῆς παρὰ μητρὶ διατριβῆς ἀφελὼν, σύνοικον ἀπέδειξεν ἑαυτῷ καὶ συνδιατρίβοντα, αὐτῷ τε ἀεὶ παρακαθήμενον καὶ παριστάμενον, καὶ τὰ πρῶτα τῶν γνησίων ἀποφερόμενον, ὅσα γε εἰς τιμήν· ἔτι τε διὰ σπουδῆς ἐποιεῖτο πάσης, ἔν τε τοῖς πρὸς τοὺς ὀθενδήποθεν πρέσβεις χρηματισμοῖς, κἀν ταῖς πρὸς ἀρχιερέας ἤ τινας τῶν σοφῶν ὁμιλίαις, ἢ καὶ ἄλλοις τισὶ λόγοις τὸν ἀκροατὴν δοκοῦσι συνετώτερον ποιεῖν ἑαυτοῦ, παρεῖναι καὶ ἀκροᾶσθαι τὸν Μιχαήλ· εἰ δέ ποτε συμβεβήκει τὸν Μιχαὴλ μὴ παρεῖναι ταῖς ἀγωνιστικαῖς ὁμιλίαις τοῦ βασιλέως, μετεκαλεῖτο τοῦτον διὰ πολλῶν ὡς δή τι προὔργου ποιῶν. σκοπὸς δ' ἦν αὐτῷ, τὸ ἐμφανὲς μὲν, ὡς ἂν αὐτῷ περιποιήσῃ τιμὴν καὶ Ῥωμαίους πείσῃ ὡς ἐγγόνῳ βασιλέως αὐτῷ προσέχειν· τῇ δ' ἀληθείᾳ, πρὸς τὸ μελετώμενον αὐτὸν τῆς ἀρχῆς ἐξασκῆσαι ὕψος, καὶ πρὸς πεῖραν ἀναγαγεῖν διοικήσεως πραγμάτων βασιλικῶν. καίτοι γε αὐτὸς ὁ βασιλεὺς Ἀνδρόνικος μετὰ τὰς συμβάσεις, ἃς ἐποιήσατο πρὸς τὸν ἔγγονον καὶ βασιλέα τὸν νέον Ἀνδρόνικον, ἑαυτὸν ἐξαιτιώμενος περὶ τούτου, οὐκ ἐκ περινοίας τινὸς ἢ κακούργου σκέψεως ἔλεγε τὰ κατὰ τὸν Μιχαὴλ γεγενῆσθαι, ἀλλ' ἀπεριέργως οὕτω καὶ ἁπλῶς ἐκ τοῦ συντυχόντος. [20]

1 16 καὶ ἦν ἂν τοῖς τοιούτοις λόγοις ἰσχυρὰ πίστις τό τε τοῦ βασιλέως ἀξίωμα καὶ τὸ διὰ βίου παντὸς αὐτὸν τῇ ἀληθείᾳ προσέχειν, εἰ μὴ τὰ τῶν πραγμάτων τέλη τὰς ἀρχὰς ἀπέδειξαν ἑαυτῶν οὐχ ὡς ἔτυχεν, οὐδ' ἐκ τοῦ συμβεβηκότος, ἀλλ' ἐκ περινοίας καὶ σκέψεως οὐ δικαίας γεγενημένας· σκεπτέον δὲ ἐκ τῶν πραγμάτων. β'. Ἔθους γὰρ ἐπικρατοῦντος παρὰ Ῥωμαίοις, ἐπειδὰν ἀπολίπῃ τὸν βίον ὁ βασιλεὺς, τοὺς μὲν ἐπιτρόπους τῶν ἐπαρχιῶν ἅπαντας παραλύεσθαι τῆς ἀρχῆς, εἰς ἓν δὲ συνιόντας, ὅρκοις βεβαιοῦν τὴν πίστιν τῷ ὑπολειπομένῳ βασιλεῖ, εἴ γε εἷς ἐστιν ἢ καὶ δύο, εἶτ' αὖθις, οἷς ἂν αὐτῷ δόξειε, τὰς ἀρχὰς ἐγχειρίζειν· ὥριστο καὶ τότε παρὰ τοῦ βασιλέως, μετὰ τὴν τοῦ υἱοῦ καὶ βασιλέως τελευτὴν Μιχαὴλ, τούς τε ἐν τέλει καὶ τοὺς ἐν ἀξιώμασι πάντας, μέλλοντας καθίστασθαι πρὸς ἀρχὰς, ὅρκοις ἐμπεδοῦν τὴν πίστιν τοῖς βασιλεῦσιν. ἐτελοῦντο τοίνυν οἱ ὅρκοι οὐ κατὰ τὸν πρότερον συνήθη τύπον. ἔτι γὰρ καὶ Μιχαὴλ ἐν ζῶσιν ὄντος τοῦ βασιλέως, εἴπερ ἐδέησέ τινα ὅρκῳ δοῦναι πίστιν τοῖς βασιλεῦσι, προαπαριθμησάμενος τὰ ἅγια ἐν οἷς ὤμνυεν, εἶτα στέργειν ἔλεγε καὶ βασιλέας, πρῶτον μὲν Ἀνδρόνικον τὸν καὶ πρεσβύτερον τῷ χρόνῳ καὶ πατέρα τῶν βασιλέων, καὶ τὴν αὐτοῦ γαμετὴν, εἶτα μετ' ἐκεῖνον τὸν υἱὸν αὐτοῦ Μιχαὴλ ὁμοῦ τῇ συζύγῳ, καὶ τρίτον τὸν νέον Ἀνδρόνικον, υἱὸν μὲν ὄντα τοῦ Μιχαὴλ, υἱωνὸν δὲ Ἀνδρονίκου· τοῦ τοιούτου ἔθους ἀπὸ τῶν χρόνων ἀρξαμένου τοῦ πρώτου βεβασιλευκότος Παλαιολόγου τοῦ Μιχαήλ· πρότερον γὰρ οὐκ ἐξῆν τῷ παιδὶ τοῦ βασιλέως ὅρκους ἀποδιδόναι, ἀλλ' οὐδὲ παρασήμοις κεκοσμῆσθαι βασιλικοῖς, εἰ μὴ, τοῦ πατρὸς αὐτῷ μεταστάντος τοῦ βίου, τὸ κράτος τῆς βασιλείας ἤδη καθαρῶς πρὸς αὐτὸν μεταβαίη. [5]

1 17 ὥσπερ ἔφημεν τοίνυν, ἔτι τοῦ Μιχαὴλ ζῶντος τελουμένων τῶν ὅρκων, μετὰ τὴν ἐκείνου τελευτὴν ὥριστο τοὺς ὀμνύοντας πρὸς μόνον τὸν πρεσβύτερον Ἀνδρόνικον ποιεῖσθαι τοὺς ὅρκους καὶ ὃν ἂν αὐτὸς βασιλέα Ῥωμαίων καταστήσῃ, τὸ τοῦ νέου βασιλέως ὄνομα Ἀνδρονίκου παντάπασιν ἐκβαλόντας. τοῦτο πάντας μὲν ἠνίασε τοὺς συνετωτέρους Ῥωμαίων, καταστοχαζομένους ἤδη τὴν μέλλουσαν ἔσεσθαι τῶν Ῥωμαϊκῶν πραγμάτων φθορὰν ἐκ τῆς ἀναφυομένης μεταξὺ τῶν βασιλέων στάσεως καὶ διαφορᾶς· τῷ δέει μέντοι τοῦ κρατοῦντος ἄκοντες πάντες ὤμνυον ὡς ἐκελεύοντο, πλὴν ἑνὸς μόνου τοῦ Καντακουζηνοῦ Ἀνδρονίκου, τῇ τοῦ παρακοιμωμένου τετιμημένου ἀξίᾳ· οὗτος γὰρ χρησάμενος παῤῥησίᾳ κατὰ καιρὸν, ἀθέτησιν ἔλεγεν εἶναι τοῦ θεοῦ φανερὰν, εἰ μὴ καὶ τὸν νέον βασιλέα Ἀνδρόνικον συμπαραλάβοι τοῖς ὅρκοις· τοῦτον γὰρ τὸν τρόπον καὶ πρότερον ὁμωμοκέναι. διὸ καὶ οἱ ἐπὶ τῆς ὁρκωμοσίας τεταγμένοι, συνιδόντες τὴν ἔνστασιν τοῦ ἀνδρὸς ὡς δικαίαν, ἄκοντες μὲν, ὅμως δ' οὖν συνεχώρησαν αὐτῷ τὸν πρότερον τύπον ἐκθέσθαι τοῦ ὅρκου· τοῦτο δὴ παρ' αὐτῶν

γνωρίσας ὁ πάππος καὶ βασιλεὺς, βαρέως μὲν ἤνεγκε τὴν τοῦ ἀνδρὸς παῤῥησίαν, τοῦ δὲ μή τινα ταραχὴν ποιῆσαι τὴν πρὸς ἐκεῖνον ἔνστασιν, συνεχώρησε καὶ αὐτός. [20]

1 18 Ὁ μέντοι νέος Ἀνδρόνικος ταῦτα μαθὼν, ἐπλήγη μὲν σφοδρῶς τὴν ψυχὴν, τὴν ἀρχὴν τῶν τοιούτων πραγμάτων εἰς αὐτοῦ καταστροφὴν ἀποβλέπουσαν ἐννοῶν, ἔφερε δὲ τὸ ἄλγος σιγῇ, θυμὸν ἔδων, καθ' Ὅμηρον, καὶ οὐδὲ λόγῳ γοῦν ἐθέλων δοκεῖν ἀπαυθαδιάζειν πρὸς τὸν πάππον καὶ βασιλέα. ἐκεῖνος μὲν οὖν οὕτω καθῆστο σιγῇ· εἷς δέ τις τῶν ἐπ' εὐγενείᾳ λαμπρυνομένων, καὶ τὰς σειρὰς ἑλκόντων τοῦ γένους μητρόθεν μὲν ἐξ αἱμάτων βασιλικῶν, πατρὸς δὲ ὢν παῖς τοῦ παρὰ τοῖς Κομάνοις εὐγενεστάτου, οἳ προσεχώρησαν Βατάτζῃ τῷ βασιλεῖ τῆς Ῥωμαίων βασιλείας ἐπειλημμένῳ, Συτζιγὰν βαρβαρικῶς καλουμένου, ἐκ δὲ τοῦ ἀπὸ τοῦ ἁγίου φωτίσματος αὐτὸν ἀναδεξαμένου Συργιάννη ἐπικληθέντος· τούτου δὴ τοῦ Συργιάννη παῖς Συργιάννης νυκτὸς τῷ νέῳ βασιλεῖ προσελθὼν, „πάντως ἤκουσταί σοι, βασιλεῦ" ἔφη „τὰ καινουργήματα ταυτὶ τὰ νέα, καὶ στοχάζεσθαι τὸ τέλος τῶν πραγμάτων ἐκ τῆς ἀρχῆς ὄντι συνετῷ σοι προσήκει. οὐ γάρ ἐστιν εἰπεῖν, ὡς ὁ σὸς πάππος καὶ βασιλεὺς ἐξ ἀνοίας ἢ ἀπειρίας τοιαῦτα προήχθη δρᾶν. ὁ παρελθὼν γὰρ χρόνος καὶ ἐμπειρίαν πολλὴν καὶ φρονήσεως αὐτῷ μέγεθος μαρτυρεῖ· ἀλλ' εἰ μὴ πρότερον ὂν μέλλει τῷ τῆς ἁλουργίδος ἄνθει κοσμήσειν, κατέστησεν ἐν βεβαίῳ, οὐκ ἂν ἀπεστέρει σὲ ταύτης ἀναφανδόν. [20]

1 19 τὸ γὰρ σὲ μὲν ἐκβαλεῖν τῶν ὅρκων, ἀντεισαγαγεῖν δὲ ὃν ἂν αὐτὸς καταστήσῃ, οὐδὲν ἄλλο δύνασθαί μοι δοκεῖ. δεῖ δή σε βουλεύσασθαι περὶ τοῦ πράγματος συνετῶς· οὐ γὰρ περὶ μικρῶν καὶ εὐκαταφρονήτων βουλεύσῃ, ἀλλ' ἢ καλῶς ζῆν, ἢ μὴ ἀτίμως ἀποθανεῖν· ἐγὼ δ' ἐμαυτὸν παρέξω σοι προθυμότατον πρὸς ἅπαν τὸ προσταττόμενον, ἑτοίμως ἔχοντα μὴ πράγματα μόνον καὶ κτήματα, ἀλλὰ καὶ αὐτὴν ζωὴν ὑπὲρ τῆς σῆς προέσθαι τιμῆς." Τούτων τῶν λόγων ἀκούσας ὁ βασιλεὺς, „τῆς μὲν εἰς ἐμέ σου φιλίας ἕνεκα καὶ προθυμίας ὁμολογῶ σοι χάριν" ἔφη „πολλήν· ἐπεὶ δ' ὁ μέγας δομέστικος ὁ Καντακουζηνὸς Ἰωάννης καὶ σοὶ μὲν οἰκείως διάκειται πάνυ καὶ φιλικῶς, ἐμοὶ δὲ συνδέδεται δεσμοῖς φιλίας ἀῤῥήκτοις, ἐκ βρεφικῆς ἡλικίας ἄχρι καὶ δεῦρο συνηυξημένης ἡμῖν καὶ εἰς βάθος προκοψάσης τοσοῦτον, ὡς δοκεῖν τὴν μὲν ἐμὴν ψυχὴν τὸ ἐκείνου σῶμα κινεῖν, τὴν δ' ἐκείνου ψυχὴν ἐν ἐμοὶ κινεῖσθαι καὶ ταῦτα καὶ λέγειν καὶ πράττειν ἅπερ ἂν ἐγὼ βούλωμαι, καὶ τρόπον τινὰ τὰς ἀμφοτέρων ψυχὰς συντακείσας εἰς μίαν ἀμφότερα τὰ σώματα κινεῖν· ἐπεὶ τοίνυν συμφυῶς οὕτως ἔχομεν πρὸς ἀλλήλους, οὐκ ἀνεκτὸν ἡγοῦμαι μόνος τι βουλεύσασθαι περὶ ἐμαυτοῦ, κἂν ἐν ἐσχάτοις κινδύνοις συμβαίνῃ περιπεσεῖν. ἀλλ' ἐπεὶ σὺ πρὸς Θρᾴκην ἀπέρχῃ τῆς ἐκείνου διάδοχος ἐσόμενος ἀρχῆς, γράμματα πρὸς αὐτὸν λαβὼν τῆς ἐμῆς χειρὸς, ὡς ἂν πιστεύσῃ πρὸς λόγους σοι συνελθεῖν, ἄλλως γὰρ οὐ θαῤῥήσειεν ἄν, ταῦτ' ἐπίδος αὐτῷ· καὶ συνελθόντων ὑμῶν εἰς ἓν καὶ βουλευσαμένων περὶ τῶν προκειμένων, ἅπερ ἂν ὑμῖν δόξῃ λυσιτελῆ καὶ ὠφέλιμα, ταῦτ' ἔσται συνδοκοῦντα κἀμοί. [5]

1 20 πέπεισμαι γὰρ ἀκριβῶς, ὡς, εἰ μὴ θεὸς οἷς οἶδε τρόποις τὴν ὑμῶν σφήλειε γνῶσιν, οὐκ ἂν ἁμάρτοι τοῦ καλοῦ καὶ λυσιτελοῦντος καὶ ὠφελίμου, καὶ φρονήσεως ὀξείας ἕνεκα καὶ πείρας πραγμάτων πολιτικῶν καὶ τῆς περὶ ἐμὲ φιλίας ἄκρας καὶ συναφείας." τούτων οὕτω ῥηθέντων, τὰ γράμματα λαβὼν ἐκ βασιλέως ὁ Συργιάννης ἐχώρει πρὸς Θρᾴκην· ἔνθα δὴ τῷ μεγάλῳ συγγενόμενος δομεστίκῳ, καὶ τά τε συμβάντα γνωρίσας αὐτῷ, καὶ τὰ τοῦ βασιλέως γράμματα ἐγχειρίσας, ἐβουλεύοντο περὶ τῶν παρόντων, καὶ δύο καὶ τρισὶν ἐφεξῆς ἡμέραις. καὶ ποικίλης καὶ πολυειδοῦς τῆς βουλῆς γενομένης, ἐπεὶ περὶ τῶν μεγίστων ἦν ὁ ἀγών· καὶ πολλῶν ῥηθέντων παρ' ἀμφοτέρων, ἐπεὶ καὶ φρονήσεως ἕνεκα καὶ πείρας στρατηγικῆς τοῖς μάλιστα πρώτοις τῶν Ῥωμαίων συνημιλλῶντο· τέλος ὁ μέγας δομέστικος εἶπε τοιάδε· γ'. „Πολλῶν ἂν ἠλλαξάμην πραγμάτων, ὦ βέλτιστε φίλων, ἢ μᾶλλον καὶ αὐτῆς τῆς ζωῆς οὐκ ὀλίγου μέρους τινὸς, μὴ τὴν βουλὴν ἡμῖν περὶ πραγμάτων προκεῖσθαι τοιούτων, ὥστ' ἀμφοτέρωθεν ἔχειν τὸ ἐπικίνδυνον οὐκ ὀλίγον, ὅπως ἂν ἀποβαίη. ἐπὶ μὲν γὰρ τῶν ἄλλων πραγμάτων βουλευομένοις

ἐστὶ συνάγειν ἐκ λογισμῶν, ὡς, ὠδὶ μὲν ἀπαντησάντων, σχήσει καλῶς, μὴ οὕτω δὲ, τοὐναντίον ἅπαν ἂν ἀποβαίη· ἐφ᾽ οἷ δὲ νῦν βουλευόμεθα, εἰ μὲν νικήσει τὰ χείρω, τῆς ζωῆς ἐστιν ἐκπεσεῖν· εἰ δὲ τὰ δοκοῦντα βελτίω γένηται κρείττω, κακῶν ἐσμὸν προσδοκᾷν ἀνάγκη. [20]

1 21 τοῦ βασιλέως γὰρ ἡμῶν τοιαῦτα βουλευομένου περὶ τοῦ ἐγγόνου καὶ βασιλέως, εἰ μὲν εἰς πέρας ἔλθῃ τὰ μελετώμενα, οὐδεμίαν ὑπερβολὴν ἐλλείψει κακῶν. ἄνθρωπον γὰρ πολλῶν ἀντάξιον ἄλλων, φρονήσει μὲν τοῖς πρώτοις τῶν πρωτείων ἀμφισβητοῦντα, ἀνδρίᾳ δὲ ψυχῆς πολλῷ τῷ μέσῳ τοὺς ἄλλους ὑπερνικῶντα, ἐλευθερίᾳ δὲ γνώμης καὶ φύσεως ἐπιτηδειότητι τῷ τοσούτῳ μεγέθει προσήκοντα τῆς ἀρχῆς, φιλίας δὲ εἰδότα καὶ τηροῦντα θεσμοὺς, ὅλως δὲ κοινὸν ἄγαλμα τῆς φύσεως ὄντα, οὕτως ἐρήμην ἐπὶ τοῖς μεγίστοις ἁλῶναι συμβαίνει, καὶ ἢ ζῆν παντὸς θανάτου βαρυτέραν ζωὴν, (ὁ χθὲς καὶ πρώην ὡς βασιλεὺς καὶ προσκυνούμενος καὶ τιμώμενος, σήμερον καταφρονούμενος καὶ περιυβριζόμενος καὶ τῶν ἀγοραίων καὶ τοῦ δήμου νομιζόμενος εἷς,) ἢ τεθνάναι παντὸς ἔξω καὶ δικαίου καὶ λόγου. εἰ δὲ δυνηθείη τρόπῳ δή τινι τὸν κίνδυνον ἐκφυγεῖν, τότ᾽ ἤδη τραγικοῦ τινος δεησόμεθα ποιητοῦ τὰς συμβησομένας παρ᾽ ἀλλήλων Ῥωμαίοις ἐκτραγῳδήσοντος συμφοράς. τίς γὰρ οὐκ ἐννοεῖ, κἂν ἀψύχων ἀναισθητότερος ᾖ, ὡς διαστάντων τῶν βασιλέων, ἀνάγκη συνδιαστῆναι καὶ τὴν ἀρχὴν, καὶ μάχας συῤῥαγῆναι παρ᾽ ἀμφοτέρων μερῶν, καὶ ὥσπερ ἐν νυκτομαχίᾳ συμπεσόντας ἀλλήλοις συγγενικῶν αἱμάτων ἐμπλησθῆναι καὶ φιλικῶν; καὶ ἐῶ λεηλασίας καὶ πραγμάτων φθορὰς, ἐν αἷς διαφθεροῦμεν τὴν οἰκείαν ὡς πολεμίαν. [20]

1 22 τί οὖν ἄν τις βουλεύσαιτο πρὸς τοσαύτην ἀνακύπτουσαν βλάστην κακῶν; τὸ μὲν γὰρ τὸν νέον βασιλέα περιϊδεῖν οὕτως ἐξ οὐδεμιᾶς αἰτίας προπηλακισθέντα καὶ τὴν βασιλείαν ἀφαιρεθέντα, ἴσως δὲ καὶ περὶ τὸ ζῆν κινδυνεύσοντα, οὐδὲν ἔμοιγε ἧττον θανάτου· τὸ δ᾽ αὖ πάλιν πρὸ τοῦ προσήκοντος χρόνου πρὸς πόλεμον ἑτοίμους ὀφθῆναι, ὡς δοκεῖν καὶ τοῖς ἔξωθεν αὐτοὺς ἡμᾶς ἐξεπίτηδες τὸν βασιλέα παρορμᾷν πρὸς ἀποστασίαν τοῦ πάππου καὶ βασιλέως, ἀβουλίας εἶναί μοι δοκεῖ τῆς ἐσχάτης. ἐγὼ γὰρ τοσούτου δέω πρὸς ἀποστασίαν τοῦ βασιλέως τὸν ἔγγονον αὐτοῦ καὶ βασιλέα παρακινεῖν, ὥστε, καίτοι τοῦτον πάνυ φιλῶν καὶ, ὡς ὁρᾷς, ἕτοιμος ὢν καὶ τὴν ψυχὴν αὐτὴν ὑπὲρ αὐτοῦ προέσθαι, εὖ ἴσθι σαφῶς, οὐκ ἂν αὐτῷ συνέπραξα πρὸς οὐδὲν, εἴγε τῆς ἀρχῆς αὐτὸν ἑώρων προθυμούμενον ἀποστερῆσαι τὸν βασιλέα χρησάμενον πλεονεξίᾳ καὶ ἁρπαγῇ. ἦν γὰρ ἂν ἐκεῖνος μὲν οὐδὲν διαφέρων Ἀβεσσαλὼμ, Ἀχιτόφελ δ᾽ ἐγώ. τοιγαροῦν ἐπειδήπερ εἰς τοιαύτην συνηλάθημεν ἀνάγκην πραγμάτων, δεῖν εἶναι νομίζω τὸ μέσον ἑλομένους, ἑκατέρων ἀποσχέσθαι τῶν ἄκρων, καὶ μήτ᾽ ἀμελῶς πάνυ καὶ ῥᾳθύμως διάγειν, ὡς μηδενὸς προσδοκωμένου δεινοῦ, μήτ᾽ αὖ πάλιν ἀπερισκέπτως οὕτω καὶ θρασέως τὰ δοκοῦντα συμφέροντα πράττειν. τοῦτο δὲ γένοιτ᾽ ἄν, εἴγε τὴν μὲν προσδοκωμένην φλόγα τῶν πειρασμῶν σβεννύομεν, ὅση δύναμις, συνέσει χρώμενοι καὶ εὐβουλίᾳ· τὸν νέον δὲ βασιλέα καταστήσομεν ἐν ἀσφαλείᾳ, ὡς μηδένα κίνδυνον ὑφορᾶσθαι, ἂν τῆς θαλάσσης ἐκταραχθείσης τὸ κλυδώνιον ὑπερζέσῃ. [20]

1 23 εἰ μὲν οὖν τὰς ἡμετέρας τε καὶ πάντων Ῥωμαίων ἁμαρτίας ὑπεριδὼν ὁ θεὸς ἄνωθεν κατασβέσει τὴν προσδοκωμένην φλόγα τῶν πειρασμῶν, τὴν καρδίαν τοῦ βασιλέως εὐθεῖαν ἀπεργασάμενος πρὸς βασιλέα τὸν νέον, συχνὰς αὐτῷ προσήκει χάριτας ὁμολογεῖν ῥυσαμένῳ τῶν συμφορῶν· εἰ δ᾽ αὖ, ὃ μὴ γένοιτο, ἵνα πολλῶν κακῶν πεῖραν Ῥωμαῖοι λάβωσιν, ἡ ψυχὴ σκληρυνθεῖσα τοῦ βασιλέως ἀνήκεστόν τι βουλεύσεται περὶ τοῦ ἐγγόνου, τότ᾽ ἤδη τῇ προκατασκευασθείσῃ ἀσφαλείᾳ τὸν νέον θέμενοι βασιλέα, οὕτω χωρήσομεν πρὸς τὸ πράττειν, τὸν θεὸν προστησάμενοι μάρτυρα τῆς ἀδικίας καὶ τῶν πραττομένων ἐξεταστήν.“ δ′. Οὕτω τοῦ μεγάλου δομεστίκου διαλεχθέντος, πάντα μὲν ἔφησεν ὁ Συργιάννης πρὸς γνώμης αὐτῷ εἰρῆσθαι καὶ πᾶσιν ὡς καλῶς ἔχουσι συμφωνεῖν, πλὴν ὀλίγου τινὸς ἐνδεῖν ἔτι τοῖς λόγοις ἐλθεῖν πρὸς πέρας· δεῖν γὰρ ἐξευρεῖν, ὅπως ποτὲ καὶ ἥτις ἔσται ἡ τοῦ βασιλέως ἀσφάλεια. κοινῇ

δὲ συνδιασκεψαμένοις περὶ τούτου, ἔδοξεν ἀμφοτέροις αἵρεσιν προθεῖναι τῷ νέῳ βασιλεῖ τῶν δύο τουτωνὶ ἑτέρου, ἢ πρὸς τὴν Ἀδριανοῦ μεταβῆναι πόλιν, ἅτε μεγάλην οὖσαν καὶ πολυάνθρωπον καὶ στρατιὰν οὐκ εὐκαταφρόνητον ἔχουσαν ἱδρυμένην ἐν ἑαυτῇ, ἄλλως θ' ὅτι καὶ τοῦ βασιλέως Μιχαὴλ τοῦ πατρὸς αὐτῷ χρόνον ἐκεῖ διατρίψαντος μάλα συχνὸν, πολλοὶ προσεγένοντο αὐτῷ οἰκεῖοι καὶ φίλοι καὶ βουλησόμενοι μάλα προθύμως ὑπὲρ τοῦ παιδὸς αὐτοῦ διακινδυνεύειν· ἢ, εἰ μὴ τοῦτο βούλοιτο, δεδιὼς ὡς, εἰ μὴ πρὸς συμβάσεις ὁ βασιλεὺς καὶ πάππος αὐτῷ, ἀλλὰ πρὸς πόλεμον μᾶλλον ὑπὲρ τὸ δέον χωρήσει παροξυνθεὶς, ῥᾳδίως σχήσων στρατιὰς συχνὰς ἐκπέμπειν πρὸς μάχην, οἷα δὴ πλησίον οὔσης τῆς Κωνσταντίνου, πρὸς τὸ τῆς Χριστοῦ πόλεως φρούριον ἀφικέσθαι, ἅμα μὲν ὡς ὂν καρτερὸν ἔκ τε τῆς φύσεως τῆς κατασκευῆς, τοῦτό που καὶ τῶν τειχῶν, ἅμα δ' ὅτι καὶ ὡσπερεί τι κλεῖθρον κεῖται τῶν κλιμάτων ἑκατέρων μέσον, τὴν δυτικὴν στρατιὰν πολλήν τινα οὖσαν καὶ πρὸς μάχας ἐξησκημένην τῆς ἐκ τῆς ἕω καὶ τῆς Θρᾴκης διεῖργον· καὶ τρίτον, ὅτι παράλιον ὂν καὶ τὴν ἐκ θαλάττης ὁθενδήποθεν εὐκαίρως ἂν παράσχοιτο συμμαχίαν. [10]

1 24 Τοῦτο πέρας ἐπιθέμενοι τῇ βουλῇ, ἀλλήλοις τε συνταξάμενοι, ὁ μὲν ἔμεινεν ἐν Θρᾴκῃ, ταύτης ἐπιτροπεύων, Καντακουζηνὸς δ' ὁ μέγας δομέστικος τῆς πρὸς τὴν Κωνσταντινοῦ φερούσης εἴχετο, τὴν σύνευνον αὐτῷ καταλιπὼν ἐν τῇ Καλλίου πόλει· ἐν ταύτῃ γὰρ διέτριβε τὸ πλεῖστον τοῦ χρόνου, τοῦτο μὲν ὡς ἐπικαίρως ἔχοντος τοῦ χωρίου πρὸς τὰς ἐφόδους ἀνθίστασθαι τῶν βαρβάρων, τοῦτο δ' ὅτι καὶ τοῦ ναυτικοῦ παντὸς ἐν ταύτῃ κατῳκισμένου, πολλῶν ὄντων τριήρεων πληρωμάτων, τοὺς ἐγχωρίους συνέβαινεν ἁρπαγὰς ὑπομένειν καὶ βίας, τοῦ φοβοῦντος οὐκ ὄντος καὶ τὰς ὁρμὰς ἐπέχοντος· ναυτικὴ γὰρ ἀναρχία κρείσσων, τὶς ἔφη, πυρός. κατέλιπε δ' ἐκεῖ τὴν γυναῖκα, τῷ δοκεῖν μὲν, ὡς οὐ ῥᾳδίως ἔχων ἐπισύρεσθαι τὴν γυναικωνῖτιν, τῇ δ' ἀληθείᾳ, ὅπως αὐτῷ πρόφασιν εὐπρόσωπον ὑπολίπηται, εἰ δέοι τῷ Συργιάννῃ συγγενέσθαι πάλιν καὶ εἰς λόγους ἐλθεῖν. [25]

1 25 ἐλθὼν δὲ εἰς τὴν Κωνσταντίνου καὶ τῷ νέῳ βασιλεῖ προσελθὼν καὶ τὰ τῆς βουλῆς ἀπαγγείλας, ἔτι δὲ καὶ τὸν Ἀπόκαυχον, ἄνδρα γένους μὲν ἀφανοῦς ὄντα καὶ ταῖς τῶν δημοσίων πράξεσιν ἠσχολημένον, (τῶν δημοσίων γὰρ ἁλῶν τότε τὴν διάθεσιν ἐποιεῖτο,) ἄλλως δὲ βαθείας ὄντα φρενὸς καὶ δυνάμενον καιροῖς καὶ πράγμασι χρῆσθαι, προσοικειώσας τῷ βασιλεῖ, χάριν ἐν τούτῳ πλείστην τινὰ τῷ Συργιάννῃ κατατιθέμενος, (ἦν γὰρ αὐτὸς τὸν μέγαν δομέστικον περὶ τούτου πολλὰ παρακεκληκὼς,) ἐν πᾶσιν εἶχεν ἐπινεύοντα καὶ συνευδοκοῦντα τὸν βασιλέα· τοῖς βεβουλευμένοις δὲ καὶ τοῦτο προσέθηκεν ὁ βασιλεὺς, ὅτι „τὸ μὲν ἡμῖν αὐτοῖς τὴν ἀσφάλειαν προετοιμάσαι, ὥστ' ἔχειν ἀποφυγὴν τῶν δεινῶν ἐπιόντων, καὶ τῶν πάνυ συμφερόντων εἶναί μοι δοκεῖ καὶ τῶν ἀναγκαίων. διὸ καὶ τοῦτο χρὴ σπουδάσαι προὔργου παντὸς εἰς πέρας ἰδεῖν ἐλθόν· μεγαλοψυχίας δὲ καὶ κρατερίας οὐδὲν ἐλλιπέσθαι, ἀλλ' ἄχρι καὶ αὐτῆς διακαρτερῆσαι τῆς ἀκμῆς τῶν κινδύνων μένοντας ἐπὶ τῶν προτέρων. κἂν μέν τινα σχῶμεν τῆς καρτερίας καρπὸν, τοῦ βασιλέως ἴσως μεταβαλόντος καὶ τῶν μελετωμένων καθ' ἡμῶν παυσαμένου, πάντοθεν ἂν ἔχοι καλῶς· εἰ δ' οὖν, ἀλλὰ τοῦτό γε ἡμῖν περιέσται πάντως, τὸ μὴ δοκεῖν αὐθαδείᾳ καὶ θρασύτητι τρόπων, μηδὲ πλεονεξίᾳ γνώμης καὶ φιλαρχίᾳ, τοῦ βασιλέως καὶ πάππου κατεξανίστασθαι, ἀλλ' ἀδικουμένους καὶ τὰ ἔσχατα ὑπομένοντας τὸν προῦπτον κίνδυνον ἀποδιδράσκειν. [20]

1 26 " καὶ ταῦτα μὲν βασιλεὺς ὁ νέος. ε'. Ὁ δέ γε πρεσβύτερος τῷ πρὸς τὸν ἔγγονον μίσει τὴν καρδίαν μᾶλλον οἰδαίνων, ἀγγέλλει διά τινος αὐτῷ τῶν συγκλητικῶν· „οἶσθα πρὸ καιροῦ τινος αἰτησάμενός με τὸ βασιλικὸν ἀποθέσθαι σχῆμα καὶ εἰς ἰδιώτου τάξιν τελεῖν. ἐγὼ δὲ τότε μὲν ἀπεκρινάμην ὅσα προσῆκε, νῦν δ' ἐξετάσει τὸ πρᾶγμα δοὺς καὶ καλῶς ἔχειν ἡγησάμενος ὅπερ αἰτεῖς, καὶ βούλομαι τοῦτο καὶ σοὶ δῆλον ποιῶ. ὁ μέντοι τὴν βασιλείαν διαδεξόμενος ἐν τῇ πρώτῃ σε τιμῇ καὶ ἀγάπῃ τηρήσει. καὶ οὐχ ὑπαναστήσεται μὲν, σοῦ προσιόντος, τοῦ θρόνου·

οὐδὲ γὰρ ἔθος βασιλεῦσιν ἐξανίστασθαι ἰδιώταις· εὑρήσεις μέντοι προσιὼν ὀρθὸν ἑστηκότα, ὡς ἂν καὶ σοὶ τὸ τῆς τιμῆς κἀκείνῳ τὸ τῆς βασιλείας δίκαιον περισώζοιτο. ταῦτ’ ἔδοξε καὶ ἔσο ταῦτα εἰδώς.“ πρὸς ταῦτ’ ἀπεκρίνατο μὲν ὁ νέος Ἀνδρόνικος ἃ μετὰ μικρὸν ἐροῦμεν· νυνὶ δὲ ἄξιον ἱστορῆσαι, ὅθεν κἀκ τίνος αἰτίας εἰς τούτους προήχθη τοὺς λόγους ὁ βασιλεύς. Ὁ νέος Ἀνδρόνικος, ἕν που καὶ εἴκοσι γεγονὼς ἔτη, περὶ τὸ Βυζάντιον ἀεὶ διέτριβε μηδαμῆ συγχωρούμενος περαιτέρω προβαίνειν. οἷα δὲ σφριγῶν νεότητι καὶ φύσεως ὀξύτητι τὸ ἀκάθεκτον ἔχων, ἐδυσχέραινε μὲν εἰργόμενος μακροτέρας τὰς ἀποδημίας ποιεῖσθαι, καὶ οὐδὲν ἄμεινον διέκειτο τῶν κατακεκλεισμένων φρουρᾷ· ἔστεργε δὲ ὅμως, τοῖς τοῦ βασιλέως καὶ πάππου προστάγμασι πειθόμενος ἀναγκαίως. ὅμως δὲ αὐτῷ τινα παραμυθίαν ἐκ τῶν ἐνόντων κατασκευάζων, κυνηγεσίαις ἐσχόλαζε καὶ ἱπποδρομίαις, ὡς δοκεῖν μηδὲ ὕπνου μεταλαγχάνειν τῇ ἀσχολίᾳ τῇ περὶ ταῦτα· ἐν οἷς ὑπεραχθόμενος ὁ πάππος καὶ βασιλεὺς τραχύτερον ἐπέπληττε τὸν νέον ὀνειδιστικοῖς τοῖς σκώμμασι βάλλων, οὐκ ἰδίᾳ μόνον, ἀλλὰ καὶ πολλῶν παρόντων καὶ τῶν τῆς συγκλήτου καὶ τῶν κατὰ γένος προσηκόντων αὐτῷ. [5]

1 27 πάντα μὲν οὖν ἐλύπει τὴν τοῦ νέου ψυχὴν οὕτως ὑπὸ τοῖς ἁπάντων ὀφθαλμοῖς δοκοῦντος περιυβρίζεσθαι· ὃ δὲ τῶν ἄλλων μᾶλλον ἠνία, τοῦτ’ ἦν, ὅτι πρὸς τοὺς παρόντας μαρτυρόμενος τὸ τοῦ ἐγγόνου διάστροφον δῆθεν ὁ βασιλεὺς ἔλεγεν· „εἰ πρός τι τῶν ἀναγκαίων χρήσιμος οὗτος ἀποδειχθῇ, ζῶν μὲν ἄξιος βληθῆναι λίθοις ἐγώ, ἀποθανὼν δὲ ἀνορυχθῆναι καὶ παραδοθῆναι πυρί.“ μεταξὺ δὲ τῶν σκωμμάτων τούτων καί τι τοιοῦτον συνηνέχθη γενέσθαι. ἦλθέ ποτε βασιλεὺς ὁ νέος τὴν συνήθη προσκύνησιν ἀποδώσων τῷ πάππῳ· εἰσιὼν δὲ τοῦ οἰκίσκου τὴν θύραν, ἐν ᾧ καθῆστο συνήθως ὁ βασιλεύς, ἐκ μαρμάρων οὖσαν τὴν φλοιὰν ἡρμοσμένην, συμβέβηκε τὸν ἐπὶ τῆς κεφαλῆς λίθον τῷ μαρμάρῳ προσαῤῥαχθῆναι, ἐφ’ ᾧ διαταραχθεὶς οὐκ ὀλίγον ὁ βασιλεύς, καὶ σιγῇ μὴ δυνηθεὶς καρτερῆσαι, „ὁρᾷς“, εἶπε μεγάλῃ τῇ φωνῇ, „ὡς, ὅπερ ἐγὼ λέγω, καὶ θεὸς ἐπιμαρτυρόμενος ἄνωθεν ἀνάξιον κέκρικέ σε τῆς βασιλείας, καὶ διὰ τοῦτό σε τὸ σύμβολον αὐτῆς τῇ πέτρᾳ προσαῤῥάξαι παρακεχώρηκε;“ τοῦτο παντὸς βέλους πικρότερον ἐλυμήνατο καὶ κατέτρωσε τὰ σπλάγχνα τοῦ νέου, καὶ πρὸς τὴν οἰκίαν τὴν ἑαυτοῦ ἀπελθὼν, ἔκειτο βαρέα στενάχων, ψυχὴν ἐρευγόμενος, ποιητικῶς εἰπεῖν. [20]

1 28 ς’. Ὅμως δ’ ἑαυτὸν τῆς πολλῆς ἀθυμίας ἀναλαβὼν, ἔγνω δεῖν πρεσβείᾳ χρήσασθαί τινι πρὸς τὸν πάππον καὶ βασιλέα, ἅμα μὲν καὶ τὴν ὀργὴν ἐκμειλιξόμενος τὴν ἐκείνου καὶ πρᾳότερον καταστήσων, ἅμα δὲ καὶ τὴν αἰτίαν ἐθέλων μαθεῖν, δι’ ἣν πρὸς αὐτὸν ὁ βασιλεὺς οὕτως ἐκπεπολέμωτο. πέμπει δή τινα τῶν ἐπ’ ἀρετῇ καὶ φιλοσοφίᾳ γνωρίμων καὶ παρὰ τοῖς ἁπάντων στόμασι κείμενον Ἰωσὴφ, ὃς ἐφιλονείκησε μὲν, τό γε εἰς αὐτὸν ἦκον, τὸν λύχνον ὑπὸ τὸν μόδιον κρύψαι, οὐκ ἠδυνήθη δὲ, τοῦ δεσποτικοῦ λόγου πάντως μὴ δυναμένου διαπεσεῖν, ἀλλ’ εἰς τοσοῦτον ἦλθε περιφανείας, ὡς ψήφῳ κοινῇ βασιλέως τε καὶ συνόδου τῆς ἱερᾶς, ἔτι δὲ καὶ συγκλήτου πάσης, τῶν ἐκκλησιαστικῶν θρόνων τῆς νέας ταυτησὶ Ῥώμης ἄξιος ἀποδειχθῆναι, κἂν αὐτὸς τῷ λίαν ταπεινῷ καὶ μετρίῳ τοῦ ἤθους ἀπώσατο τὴν ἀξίαν, τὸ τῆς καθέδρας ὕψος καὶ τὸ μέγεθος εὐλαβηθεὶς τῆς ἀρχῆς. τούτῳ δὴ χρησάμενος πρεσβευτῇ, ἀναφέρει δι’ αὐτοῦ τῷ βασιλεῖ καὶ πάππῳ τοιάδε· „Τῶν γεγεννηκότων πάντων πρὸς τοὺς ἐξ αὐτῶν φυσικῇ τινι κεκρατημένων στοργῇ, εἰκός ἐστι δήπου καὶ τὰ τῶν παίδων ἐλαττώματα συσκιάζειν ἐθέλειν. κἄν τις ὑπὲρ τοῦ παιδὸς πολλούς τινας διεξέλθῃ καὶ θαυμασίους ἐπαίνους, ὑποψίαν οὐ μικρὰν τοῖς ἀκούουσι παρέχει ὡς οὐ τοῦ παιδὸς ὄντος τοιούτου, ἀλλὰ πολλῷ τῷ μέτρῳ λειπομένου τῶν ἐπαίνων, αὐτοῦ δὲ ἀπατωμένου διὰ τὴν σχέσιν τὴν πρὸς αὐτόν· ἂν δ’ ὁ πατὴρ τῷ παιδί τινα καὶ μικρὸν προστρίψηται ψόγον, πάλιν ἐκ διαμέτρου πολλαπλασίονα τὸν ψόγον ὑπονοοῦσι, τὴν ἴσην προστιθέντες αἰτίαν. [25]

1 29

σοῦ τοίνυν τοῦ πατρὸς κατ' ἐμοῦ τοῦ παιδὸς οὕτως ἐξωργισμένου, καὶ πολλὰς καὶ ποικίλας ὁσημέραι καταχέοντος τὰς λοιδορίας καὶ τὰ ὀνείδη, καὶ, τὸ πάντων ἐμοὶ βαρύτατον καὶ ὃ μήτ' ἀκούειν μήτε λέγειν ἀνεκτὸν ἐμοὶ, κατὰ σεαυτοῦ πολλάκις τὰ δεινότατα ἐπαρωμένου, εἴποτ' ἐγὼ πρός τι τῶν χρησίμων εὐφυῶς ἔχων φανείην· τὸ δ' ἔτι ὂν θανάτου πικρότερον, τὸ καὶ μικρά τινα συμβάματα, ὡς ἔτυχεν ἐκ τοῦ συμπεσόντος γεγενημένα, θεοσημείας καὶ θεοῦ βουλῆς ἀποκαλύψεις ἡγεῖσθαι, ἐμὲ τῆς βασιλείας οὐκ ἄξιον ἀποδεικνύντος, τίς ἔσται Ῥωμαίων, ὃς ταῦτα ἀκούων, οὐ θαλάσσας ὅλας κακῶν ἐμοὶ συνειδέναι λογιεῖται τὸν πατέρα; καὶ διὰ τοῦτο καὶ μικρά τινα προχεῖσθαι τοῖς ἔξω, δεῖγμα τοῦ κεκρυμμένου πλήθους τῶν ἀφορήτων κακῶν καὶ σοὶ τῷ πατρί· ὅπου γε καὶ θαυμάζοντός σου καὶ πολλοὺς ἐπαίνους διεξιόντος καὶ πλέον σεμνύνοντος ἢ προσῆκε, τούτους δὲ εἰκὸς ἦν τὸν ἔπαινον ὑποπτεύειν, τῇ πρὸς τὸν παῖδα διαθέσει τοῦτο λογιζομένους. ταῦτ' ἔστιν ἅ με λυπεῖ καὶ τὴν ζωὴν ἀηδεστέραν ποιεῖ θανάτου. ἁμαρτάνειν μὲν οὖν ὁμολογῶ καὶ πληγῶν ἄξια καὶ μαστίγων, καὶ ἦν ἂν ἐμοὶ τῶν εὐεργεσιῶν ἡ μεγίστη, εἴ γε ἐν τῷ κεκρυμμένῳ παρὰ σοῦ τοῦ πατρὸς τῶν σφαλμάτων χάριν ἐμαστιγούμην· τὸ δ' εἰς τοσοῦτον ἐξάγεσθαι τὴν ὀργὴν, ὡς καὶ πολλῶν παρόντων οὕτω προπηλακίζεσθαι, πάντων ἀνιαρώτερον. [20]

1 30 ἂν τοίνυν ἵλεων ἐπιβλέψας ὁ θεὸς ταῖς ἐμαῖς ἁμαρτίαις, ὁδηγήσει καὶ σὲ πρᾳότερόν μοι γενέσθαι καὶ συμπαθεῖν ὡς υἱῷ, τοῦτ' ἂν εἴη βέλτιστον· εἰ δ' ὁμοίως ὥσπερ νῦν, κἀν τοῖς ἐφεξῆς τελεῖσθαι μέλλει, ἕτερος προβληθήτω σοι βασιλεὺς, ὃς ἄν σοι δόξῃ χρήσιμος καὶ καλός." Ταῦτα διαπρεσβευσαμένου Ἰωσὴφ ἐξ Ἀνδρονίκου βασιλέως πρὸς τὸν πάππον καὶ βασιλέα, εἶτα καὶ παρ' ἑαυτοῦ συχνούς τινας ἐγκωμίων λόγους τοῦ νέου βασιλέως διεξελθόντος καὶ πρᾴως πως καθαψαμένου τοῦ βασιλέως, ὡς τραχύτερον ἢ προσήκει προσφερομένου τῷ νέῳ, ἀντεμήνυσε καὶ αὐτὸς τοιαῦτα· „Τῶν ἄλλων πάντων πατέρων ἅμα τῇ τῶν παίδων γεννήσει τὸ πρὸς αὐτοὺς φίλτρον κτωμένων καὶ συναυξανόντων αὐξανομένοις, αὐτὸς οὕτως ἐφίλησά σε καὶ πρὶν εἰς φῶς προελθεῖν, ὡς καὶ πολλοὺς τῶν διαβεβοημένων ἐπ' ἀρετῇ καὶ θεῷ προσεγγίζοντα βίον ζῶντας μάρτυρας ἔχειν τοῦ φίλτρου. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδεὶς, ὃν οὐ πολλὰ πολλάκις ἱκέτευσα, θερμοτέρας καὶ συχνὰς ὑπὲρ σοῦ θεῷ προσάγειν εὐχὰς, ὡς μὴ μόνον μηδὲν δυσχερὲς ἀπαντῆσαι τῇ σῇ γεννήσει, ἀλλὰ καὶ τεχθέντα, πάντα ἄριστον καὶ τῶν τοσούτων εὐχῶν ἄξιον ἀποδειχθῆναι. καὶ αὐτὸς δὲ ἐγὼ προπετῶς μὲν διὰ τὸ μὴ τὸ θαῤῥεῖν ἔχειν ἐκ τῆς τοῦ βίου διαστροφῆς, ἔπραττον δ' οὖν ὅμως, πολλὰ πολλάκις ἐδάκρυσα προσευχόμενος τῷ θεῷ, ὥστε σε καὶ γεννηθῆναι, καὶ γεννηθέντα τῶν ἐμῶν εὐχῶν ἄξιον ἀποβῆναι. [20]

1 31 ὃν οὖν ἔτι τοῖς μητρικοῖς θαλάμοις ἐνδιατρίβοντα οὕτως ἐφίλησα καὶ ὑπὲρ τὸ μέτρον, πῶς εἰς τοσοῦτον ἡλικίας προήκοντα νῦν μισεῖν εἶχον καὶ ἀποσείεσθαι; οὐκ ἔστι σὺν λόγῳ φθέγγεσθαι ταῦτα. τὸ δέ με τραχυτέραις χρῆσθαι ταῖς διορθώσεσι καὶ δάκνουσι καθάπτεσθαι λόγοις, οὐ μίσους τεκμήριον χρὴ ποιεῖσθαι, ἄκρας δὲ μᾶλλον ἀγάπης καὶ κηδεμονίας πατρὶ πρεπούσης, βουλομένῳ τὸν υἱὸν διὰ πάντων ἄριστον εἶναι, καὶ μάλιστα πρὸς ὄγκον τηλικαύτης ἀρχῆς ἐπιβαίνοντα ἤδη. ἐν ἐκείνῳ γὰρ καὶ τὸ φαυλότατον τῶν ἁμαρτημάτων παρ' εὖ φρονοῦσι μέγιστον ἂν κριθείη, ὡς μίμημα παντὸς καλοῦ πᾶσι κειμένῳ καὶ διὰ τοῦτο εἰς κάλλος ἀπεξέσθαι διὰ πάντων δικαίῳ ὄντι." Ταύταις ταῖς ἀποκρίσεσιν οὕτως ἡμέροις οὔσαις καὶ προσηνέσι καὶ ὁ νέος χαριεστέρας ἀντέπεμπε τῷ βασιλεῖ τὰς εὐχαριστίας, καὶ δυσὶν ἔτεσιν ἐφεξῆς ἐλώφησε τὸ κακὸν, τοῦ βασιλέως εὐμενέστερον ἐπιβλέποντος τῷ ἐγγόνῳ, εἰ δέ ποτε καὶ ἐπιπλήττειν ἔδει, συμμέτρως τοῦτο ποιοῦντος, ὡς καὶ τὸν νέον, οἷα δὴ νουθετούμενον, χάριν ὁμολογεῖν. ἀλλὰ ταῦτα μὲν ἔτι περιόντος βασιλέως τοῦ Μιχαήλ· ἐπεὶ δ' ἐτεθνήκει, τά τε ἄλλα ἐκπεπολέμωτο πρὸς τὸν ἔγγονον ὁ βασιλεὺς, καὶ δὴ καὶ, ὃ μικρῷ πρόσθεν εἴρηται, μεμνημένος, ὡς ὁ νέος Ἀνδρόνικος ἀλγυνόμενος ταῖς πέρα τοῦ δέοντος ἐπιπλήξεσι μεμήνυκε

πρὸς αὐτὸν, ὡς „εἰ μὲν μεταβάλοις τῆς εἰς ἐμὲ πικρίας· εἰ δ’ οὖν, ἀλλ’ ἕτερος ὃν ἂν ἐθέλῃς προβεβλήσθω σοι βασιλεύς. [20]

1 32 “ ἀντεμήνυσεν αὐτῷ νῦν καὶ αὐτὸς, ὡς „ὃ πρόσθεν ἐζήτεις, γενήσεται νῦν, καὶ ἕτερος ἀντὶ σοῦ προβληθήσεται βασιλεὺς, σοῦ τὰς πρώτας παρ’ αὐτοῦ τιμὰς καρπουμένου.“ πρὸς ταῦθ’ ὁ νέος Ἀνδρόνικος ἀπεκρίνατο τοιαῦτα· ζ′. „Τοῖς ἐξ ὀργῆς ἢ λύπης ἤ τινος τῶν τοιούτων τεταραγμένοις τοὺς λογισμοὺς ἀκόλουθόν ἐστι, μήθ’ ὧν λέγουσι μήθ’ ὧν δρῶσιν ἐν τοῖς τῆς ταραχῆς καιροῖς παρακατέχειν τὴν μνήμην. ὅπου γὰρ μήθ’ ὧν πράττουσιν αἰσθάνονται κἂν πρὸς βραχὺ, σχολῇ γ’ ἂν μεμνήσονται λόγων παρεῤῥυηκότος χρόνου. οἱ δέ γε παρά τινος λόγοις ἢ πράγμασιν εὐεργετούμενοι, καὶ εἰς πολλοὺς ἐνιαυτοὺς τὴν μνήμην παρακατέχουσι τῶν εὐεργετημάτων. ἡμέρου γὰρ οὔσης τῆς ψυχῆς καὶ καθεστηκυίας καὶ ταῖς εὐεργεσίαις ἐνηδομένης, ὡς ἐν χαλκῷ συμβαίνει καὶ τῶν λόγων καὶ τῶν ἔργων ἐγκολάπτεσθαι τὰς μνήμας. καὶ αὐτὸς τοίνυν, ὦ βασιλεῦ, ὧν μὲν ἐφθεγξάμην ἐν οἷς ἠγανάκτουν, ἐπιλέλησμαι παντελῶς· ὧν δ’ ἠκηκόειν εὐεργετούμενος παρὰ σοῦ, οὕτως ἔχω τὴν μνήμην ἀνθοῦσαν καὶ νεαρὰν, ὡς δοκεῖν οὔπω χθὲς καὶ πρώην ἀκηκοέναι. καὶ σὲ δὲ αὐτὸν ἐλογιζόμην τὸν ἴσον ἐμοὶ διακεῖσθαι τρόπον, καὶ ὧν μὲν ὀργιζόμενος ἐφθέγξω, τὴν ταχίστην τὴν μνήμην ἀποβαλεῖν, ὧν δὲ εὐηργέτηκας, ἀσφαλῶς παρακατέχειν. νῦν δὲ τοὐναντίον ἅπαν ὁρῶ συμβαῖνον. τοὺς γὰρ τῆς εἰρήνης λόγους βυθῷ Λήθης φέρεσθαι παραδοὺς, τοὺς ἐξ ἀμετρίας ἐξενηνεγμένους λύπης εἰς μέσον ἄγεις. [20]

1 33 ἐγὼ δ’ ὅτι μὲν εἰρήκειν, ἀνεμνήσθην ἀκηκοώς· οὐ μὴν ὡς δή τι τῶν αἰσχίστων τὴν βασιλείαν ἀποποιούμενος, τοιαῦτ’ εἰρήκειν. ἦ γὰρ ἂν ἦν παντάπασιν ἐστερημένος φρενῶν καὶ ἀχαριστίας ὑπερβολὴν καταλιπὼν οὐδεμίαν, εἰ ἃ θεὸς ὁ βασιλεὺς τῶν βασιλευόντων καὶ σὺ αὐτὸς ὁ κύριος καὶ πατὴρ πᾶσαν εὐεργεσίαν ὑπερβαίνοντα ἐχαρίσασθε, ταῦτ’ αὐτὸς ἀνοήτῳ καὶ παραβόλῳ φρενὶ ὥς τι τῶν ἀχρήστων ἀπεβαλόμην. ἀλλ’ ἐκ λίαν ἐνωδύνου καὶ τεταραγμένης ψυχῆς τοὺς τοιούτους λόγους προῆειν, λογιζόμενος ὅτι τὸ λίαν ἐνώδυνον καὶ οἷον πικρίας γέμον τοῦ παιδὸς φθέγμα πρὸς συμπάθειαν κάμψει τὰ σπλάγχνα τὰ πατρικά· ὃ δὴ καὶ κατὰ γνώμην ἐμὴν ἀπέβη, καὶ πολλῆς ἀπέλαυσα μέχρι δεῦρο τῆς εὐμενείας τῆς πατρικῆς. νῦν οὖν εἰ μέν ἐστί τις ἐξελέγξων ἄξιά μέ τινα εἰργασμένον θανάτου, οὐ παραιτήσομαι τὸ δικαίως ἀποθανεῖν. εἰ δ’ ἄρα τοιαῦτ’ ἔστι τὰ ἐγκλήματα ὡς παιδείας δεῖσθαι καὶ μάστιγος πατρικῆς, τὰ μὲν ἀφήσεις, ὡς καὶ αὐτὸς παρὰ τοῦ μεγάλου βασιλέως καὶ θέσει πατρὸς τὴν τῶν πλημμελημάτων συγχώρησιν ἐξαιτούμενος ὁσημέραι· ὑπὲρ δὲ τῶν ἔξεστί σοι δίκας λαμβάνειν τῶν πλημμελημάτων ἀξίας, τοὺς τοιούτους ἐπαχθεῖς καὶ παντὸς βαρυτέρους φορτίου μακρὰν ἡμῶν ἀπελαύνοντι λόγους.“ Τοιαῦτα καὶ Ἀνδρονίκου τοῦ νέου ἀποκριναμένου τῷ πάππῳ, αὐτὸς μὲν πρὸς τὴν ἀπολογίαν ἀντεῖπεν οὐδὲν, βαρεῖαν δ’ ἦν τῇ σιγῇ καὶ τοῖς ἤθεσι τὴν ὀργὴν ἐνδεικνύμενος τῷ ἐγγόνῳ. [20]

1 34 ὁ μέντοι μέγας δομέστικος ἐκ Θρᾴκης ἐλθὼν ἐπεὶ ἐπύθετο τὰ συμβάντα παρὰ βασιλέως τοῦ νέου, πολλὰ θαυμάσας τῶν τῆς ἀνθρωπίνης φύσεως κατορχουμένων κακῶν, καὶ τὴν ἀδικίαν καταμεμψάμενος ὡς καὶ κατ’ αὐτῆς τῆς φύσεως ὁπλίζουσαν τοὺς ἁλόντας αὐτῇ καθάπαξ· „κράτιστε βασιλεῦ“ ἔφη „τὸ μὲν κακὸν κατάδηλον αὐτόθεν, ὥς ἐστι τῶν ἀνηκέστων· τὴν δὲ πρὸς σέ μου πίστιν καὶ δόλου παντὸς ἀμιγῆ φιλίαν, καὶ ὁ παρελθὼν μὲν χρόνος βεβαιώσασθαι ἱκανὸς, ἡλικιῶτιν καὶ τοῖς σώμασιν ἡμῖν συναυξανομένην ἀποδείξας τρόπον τινά· διόπερ οὐδὲ λόγων δεῖν πρὸς ἀλλήλους ἡμᾶς ἡγοῦμαι, ἑαυτῷ τὸν ἕτερον ἑκατέρους οἰκειουμένους· καὶ ὁ μέλλων δὲ οὐκ ἔλαττον δείξει, φίλων πιστοτάτων δεησόμενος ὡς ὁρῶ. εἰ μὲν οὖν ἑώρων σε κακοηθείᾳ χρώμενον καὶ αὐθαδείᾳ πρὸς βασιλέα τὸν πάππον, τῆς ἀρχῆς ἐκεῖνον μὲν ἀποστερεῖν, σεαυτῷ δὲ μόνῳ περιποιεῖσθαι βούλεσθαι, εὖ ἴσθι, καίτοι λίαν φιλῶν, οὐκ ἂν οὕτως ἀτόπου πράξεως εἱλόμην σοι κοινωνεῖν. ἐπεὶ δ’ ἐξ οὐδεμιᾶς αἰτίας τοιαῦθ’ ὁρῶ φυόμενα κακὰ κατὰ σοῦ, ὥστ’ εἰ μὴ θεὸς ἄνωθεν αὐτὰ διαλύσει, οὐδὲ πάνυ πόῤῥω προσδοκίας εἰς ὕψος

ἀρθῆναι βαθὺ, ἑκὼν αὐτὸς ἐπιδίδωμι τοῖς κινδύνοις τοῖς ὑπὲρ σοῦ οὐ χρήματα μόνον καὶ κτῆσιν καὶ οἰκέτας καὶ φίλους, ἀλλ᾽ ἤδη καὶ αὐτὸν ἐμὲ, ὥστε ἔχειν ὅ,τι βουλήσῃ χρῆσθαι.“ Ἐπὶ τούτοις τοῦ βασιλέως δομεστίκῳ τῷ μεγάλῳ πολλὴν χάριν ὁμολογήσαντος, καὶ προσθέντος, ὡς „ὁ πάντ᾽ ἀμβλύνων χρόνος καὶ κατὰ μικρὸν ὑποῤῥέειν ποιῶν, τῆς ἡμετέρας ἥττηται πρὸς ἀλλήλους φιλίας, ἐῤῥωμενεστέρας ἀεὶ καὶ ἀκμαιοτέρας προϊόντος φαινομένης“ καὶ δένδρῳ προσεικάσαντος ἀεὶ βρίθοντι τοῖς καρποῖς καὶ τὸν παρεληλυθότα τῷ ἐνεστῶτι νικῶντι χρόνῳ, ἐτράποντο πρὸς τὸ βουλεύεσθαι περὶ τῶν παρόντων. [5]

1 35 καὶ πρῶτον ἐδόκει πάντων, ἐκλογὴν ποιήσασθαι τοῦ μέλλοντος αὐτοὺς ὑποδέξεσθαι φεύγοντας φρουρίου, ἐπικαίρως κειμένου καὶ πρὸς τὸ φυλάξαι διαδράντας καὶ πρὸς τὸ τοῖς μαχομένοις ἀντεπιχειρεῖν ῥαστώνην παρέχειν. ἐδόκει μὲν οὖν ἑλέσθαι τὴν ἐν Ὀδρυσοῖς ἐπώνυμον Ἀδριανῷ πόλιν, πολλῶν ἕνεκα καὶ ἀναγκαιοτάτων αἰτιῶν. δεδιότες δὲ μὴ καταπόδας τῆς φυγῆς ἐπιστρατεύσαντος αὐτοῖς τοῦ βασιλέως, ἅτε καὶ στρατιὰν ἔχοντος ἐξ ἑτοίμου, καὶ τῆς ὁδοῦ δυοῖν ἢ τριῶν ἡμερῶν ἔλαττον οὔσης, ἁλῶσιν, ἀμύνασθαι μὴ δυνάμενοι τοὺς ἐπιόντας, ἐξεκρούοντο τῶν λογισμῶν, συνετίθεντο δὲ μᾶλλον πρὸς τὴν ἐν Θρᾴκῃ Χριστοῦ πόλιν ἀπελθεῖν. οὕτω περὶ τῶν καθ᾽ ἑαυτοὺς βουλευομένων αὐτῶν, ἀφικνεῖται παρὰ τοῦ Τριβαλῶν ἄρχοντος Κράλη Στεφάνου πρὸς βασιλέα πρεσβεία, ὃς ἦν γεγαμηκὼς τὴν βασιλέως θυγατέρα τὴν Σιμωνίδα. ἡ δὲ τῆς πρεσβείας πρόφασις ἦν, ὅτι ἐκ τῆς αὐτοῦ στρατιᾶς Κομάνων ὀλίγων δέοντας δισχιλίων λαβὼν, οὐκ ἀπέδωκε τοὺς στρατιώτας, ἀλλὰ πείσας μένειν παρακατεῖχεν. ἐφ᾽ οἷς ὁ Κράλης παροξυνόμενος διεπρεσβεύετο πρὸς τὸν κηδεστήν. [20]

1 36 ὁ πρεσβευτὴς δὲ μοναχὸς ἦν, Καλλίνικος κεκλημένος, τὸ γένος μὲν καὶ αὐτὸς Τριβαλὸς, εὖ δὲ εἰδὼς καιροῖς καὶ πράγμασι πολιτικοῖς χρῆσθαι δι᾽ ἐμπειρίαν. ὃς δὴ τὴν μεταξὺ τῶν βασιλέων ἀναφυομένην στάσιν μὴ ἀγνοήσας, καὶ συνιδὼν, ὡς ἡ τοιαύτη διχοστασία καιρὸν ἂν παράσχῃ τῷ ἰδίῳ δεσπότῃ παρὰ βασιλέως ὧν ἠδίκητο περὶ τὴν στρατιὰν δίκας λαβεῖν, ἐβούλετο κρύφα τῷ νέῳ βασιλεῖ συντυχεῖν. η′. Τὸ δ᾽ αὐτὸ καὶ βασιλεὺς ὁ νέος σὺν δομεστίκῳ τῷ μεγάλῳ λυσιτελεῖν αὐτοῖς ἡγησάμενοι πρὸς τὸν Κράλην διαπρεσβεύσασθαι περὶ συμμαχίας, τὸν Καλλίνικον μετακαλεσάμενοι καὶ περὶ τῆς τοῦ Κράλη συμμαχίας καὶ φιλίας διαλεχθέντες καὶ πείσαντες ἐκ τοῦ ῥᾴστου διὰ τὸ καὶ αὐτὸν τὴν πρεσβείαν ταύτην τῷ Κράλῃ νομίζειν λυσιτελεῖν, ἄλλως θ᾽ ὅτι καὶ πρὸς Συργιάννην αὐτῷ φιλίας ἐνέχυρα καὶ πρότερον ἦσαν, ἐξαποστέλλουσιν. ὁ δὲ σπούδῃ καὶ προθυμίᾳ πολλῇ τὴν ὁδὸν τάχιστα διανύσας, τῷ Κράλῃ τε συγγενόμενος, καὶ τὴν τοῦ νέου βασιλέως ἀπαγγείλας πρεσβείαν, εὗρε καὶ αὐτὸν ὥσπερ ἕρμαιον ἡγησάμενον τὸν καιρὸν, καὶ παντὶ σθένει συμμαχήσειν ὑπισχνούμενον τῷ νέῳ βασιλεῖ, πρὸς τῷ καὶ χάριν εἰδέναι, εἰ μόνον τοῦ πάππου καὶ βασιλέως ἀποστὰς, πρὸς τοῖς μέρεσι γένοιτο Μακεδονίας· ᾤετο γὰρ τὴν πρὸς αὐτὸν συμμαχίαν κάκωσιν εἶναι τῶν τοῦ κηδεστοῦ καὶ βασιλέως πραγμάτων. λαβὼν τοίνυν ὁ Καλλίνικος τὰς ἐπαγγελίας, ἐπάνεισι πρὸς τὸ Βυζάντιον κατὰ τάχος καὶ χαίρων ὀφθεὶς τῷ βασιλεῖ χαίροντι ἀπήγγελλέ τε τὰ τῆς πρεσβείας, καὶ τὴν συμμαχίαν αὐτῷ τοῦ Κράλη ἐν βεβαίῳ κεῖσθαι διϊσχυρίζετο, ἢν μόνον πρὸς τοῖς μέρεσι γένηται Μακεδονίας. [25]

1 37 οὕτω μὲν καὶ περὶ τῆς τοῦ Κράλη συμμαχίας ὁ νέος Ἀνδρόνικος κατεπράξατο. τὸν μέντοι βασιλέα καὶ πάππον ὁρῶν τοῖς ἤθεσι καὶ τοῖς λόγοις τῆς προτέρας δυσμενείας οὐχ ὑφιέμενον, τὰ πρὸς τὴν ἰδίαν φυλακὴν ἐξηρτύετο καὶ αὐτὸς, τοῦτο διανοούμενος, ὡς εἰ μὲν τρόπῳ δή τινι διαλυθείη τὰ δυσχερῆ, ὑπὸ τῷ βασιλεῖ καὶ πάππῳ τελέσων ἄχρις ἂν ἀποστῇ τοῦ ζῆν· εἰ δ᾽ ἐπὶ τὰ πρόσω προΐοι καὶ ἤδη πρὸς τέλος ἐγγίζοι κακὸν, τότ᾽ ἤδη τῆς βασιλίδος τῶν πόλεων ἀποστὰς, ἑαυτόν τε διασώζοι καὶ τοὺς συνόντας. ἐν τοῖς τοιούτοις δὴ τριβομένου τοῦ χρόνου, καὶ ὁ Συναδηνὸς Θεόδωρος ὁ καὶ πρωτοστράτωρ ἦκεν εἰς Βυζάντιον ἐκ τῆς ἑσπέρας παραλυθεὶς τῆς ἀρχῆς· ἐπετρόπευε δὲ Πριλλάπου καὶ τῶν περὶ αὐτὸν χωρῶν τε καὶ πολιχνίων κατωτέρω

Μακεδονίας. ἦν δ' ὁ Συναδηνὸς οὗτος ἐξ εὐπατριδῶν καὶ τὸ γένος περιφανής· μητρόθεν μὲν γὰρ εἰς βασιλέας ἀνῆγε τὰς τοῦ γένους σειρὰς, ἐξ ἀδελφοῦ τοῦ πρώτου τῶν Παλαιολόγων βασιλεύσαντος Μιχαὴλ τῆς μητρὸς αὐτῷ γεννηθείσης· ὁ δέ γε πατὴρ τοῦ πρὸς ἑσπέραν κατὰ τὴν Δαλματίαν λεγομένου Πολόγου τοπάρχης ἦν· ἣν δὴ τοπαρχίαν σὺν ἑαυτῷ τῷ πρώτῳ τῶν βασιλέων προσαγαγὼν Παλαιολόγῳ τῷ Μιχαὴλ καὶ ὑποχείριον ἀποδείξας αὐτῷ, τιμῶν τε ἠξιώθη μεγάλων παρὰ Ῥωμαίοις καὶ γάμου κοινωνίας ἐπιφανοῦς, τῇ βασιλέως ἀνεψιᾷ συναφθείς· οὗτος τοίνυν ὁ πρωτοστράτωρ ἐκ τῆς ἑσπέρας, ὥσπερ ἔφημεν, εἰς Βυζάντιον ἀφικόμενος, καὶ ὅσα πρὸς βασιλέως εἴρηταί τε καὶ πέπρακται ἐπὶ τῇ καταλύσει τοῦ ἐγγόνου καὶ βασιλέως ἀκηκοὼς, ἠγανάκτει τε οὐκ ἀνεκτῶς καὶ πολλὴν κατεγίνωσκε τοῦ πράγματος ἀγνωμοσύνην. [25]

1 38 διὸ δὴ καὶ θαῤῥήσαντες ὁ νέος βασιλεὺς σὺν δομεστίκῳ τῷ μεγάλῳ, ἄλλως θ' ὅτι καὶ φιλίως πρὸς αὐτοὺς διέκειτο καὶ πρότερον ὁ πρωτοστράτωρ, τῷ μεγάλῳ δὲ μάλιστα δομεστίκῳ ἐκ τῆς πρὸς Ἀδριανοῦ πόλιν παρὰ τῷ βασιλεῖ Μιχαὴλ διατριβῆς, χρόνῳ πολλῷ τῆς φιλίας αὐτοῖς ἰσχυρᾶς γενομένης, δεῖν ᾠήθησαν κοινωνὸν καὶ αὐτὸν τῶν πραττομένων παραλαβεῖν· φιλίας τε τῆς πρὸς αὐτοὺς ἕνεκα καὶ ἀνδρίας καὶ πολεμικῆς ἐμπειρίας καὶ φρονήσεως, ἧς αἱ τοιαῦται μάλιστα τῶν πράξεων δέονται· ἀνακαλύπτουσιν αὐτῷ τοιγαροῦν ὅσα τε ὁ βασιλεὺς μηνύσειε τῷ ἐγγόνῳ, ὁποίων τε τύχοι τῶν ἀποκρίσεων, ἔτι τε ὅσα καὶ αὐτοὶ περὶ τῶν καθ' ἑαυτοὺς βουλεύσαιντο πραγμάτων. ἃ δὴ πάντα καλῶς ἔχειν ἐπιψηφισάμενος καὶ αὐτὸς, κοινωνεῖν αὐτοῖς εἵλετο καὶ τῶν βουλευμάτων καὶ τῶν κινδύνων μέχρι παντός. ἐδέδοκτο δὲ τούτοις ἅμα τῷ βασιλεῖ, πρὸς μηδένα μηδαμῶς ἕτερον τῶν Ῥωμαίων ἐκφανῆ γενέσθαι τὰ βουλευόμενα, ὅτι μὴ τουτοισὶ τοῖς τρισὶ, δομεστίκῳ δηλαδὴ τῷ μεγάλῳ καὶ τῷ Συναδηνῷ πρωτοστράτορι καὶ Συργιάννῃ, καὶ Γεννουΐταις Λατίνοις ἑτέροις τρισὶ, φίλοις μὲν οὖσι δεδοκιμασμένοις τῷ βασιλεῖ, δυναμένοις δὲ μεγάλα πρὸς τὴν εἰς Χριστοῦ πόλιν ἐκ Βυζαντίου συγκαταπράξασθαι φυγὴν αὐτοῖς. ἐπηγγείλαντο γὰρ αὐτοὶ, τρεῖς μὲν τριήρεις οἰκείοις ἀναλώμασι πληρώσειν, ἑπτὰ δ' ἑτέρας ἐκ βασιλέως λαβόντες χρήματα, ὡς δέκα τὰς συμπάσας γενομένας, καὶ πρὸς τὴν ἀπόδρασιν, εἰ δεήσει, συνάρασθαι τῷ βασιλεῖ, καὶ πρὸς τῇ Χριστοῦ πόλει συμμαχούσας καρτερῆσαι, ἄχρις ἂν ὁ βασιλεὺς εὖ διάθοιτο τὰ κατ' αὐτόν· ὀνόματα δ' αὐτοῖς, ἀπὸ μὲν τοῦ τῶν Ὀρίων γένους, Ῥάφων τε Ὄρια, ἀπὸ δὲ τοῦ Σπινουλῶν, Φρερίγω Σπίνουλα, ἐκ δὲ τῶν Ντεμὰρ, Ῥάφων Ντεμάρ. [5]

1 39 αὖθις δ' ἅμα τοῖς δυσὶ βουλευομένῳ τῷ βασιλεῖ περὶ τοῦ, ποτέραν χρὴ τῶν πόλεων ἀποδιδράσκοντας ἑλέσθαι, ὡς ἂν καὶ ὁ πρωτοστράτωρ τὴν δοκοῦσαν αὐτῷ τὸ νικᾷν ἔχειν εἰσενέγκῃ ψῆφον, καὶ τὴν μὲν Χριστοῦ πόλιν τῇ παρὰ τοῦ Κράλη συμμαχίᾳ παραζευγνύοντος, τῇ Ἀδριανοῦ δὲ τὴν πολυανθρωπίαν καὶ τὴν ἐγκαθιδρυμένην ἐκεῖ στρατιὰν, καὶ τὸ πλείστους εἶναι τῶν οἰκούντων ἐκεῖ τὰ τοῦ νέου βασιλέως ᾑρημένους· ὁ πρωτοστράτωρ μὲν τὴν εἰς Ἀδριανοῦ πόλιν ᾑρεῖτο· οὔπω δὲ πέρας τῆς βουλῆς λαβούσης, ἀνέστησαν. εἶτ' αὖθις ἅμα δομεστίκῳ τῷ μεγάλῳ μόνῳ καὶ βασιλεῖ περὶ τῶν αὐτῶν τούτων βουλευομένων καὶ συνιδόντων, ὡς Συργιάννῃ μὲν καὶ τῷ μεγάλῳ δομεστίκῳ, τῇ Θρᾴκῃ τῶν γαμετῶν ἐνδιατριβουσῶν, ῥᾴδιόν ἐστιν ὅποι βούλονται ταύτας ἀπαγαγεῖν, πρωτοστράτορι δὲ τῆς γαμετῆς ἅμα δυσὶ θυγατριδίοις τῇ Ἀδριανοῦ πόλει ἐγκαθιδρυμένης, πολὺ τὸ δύσκολον μετακινεῖσθαι· εἶτα καὶ τοῦτο προσεπινοουμένων, ὡς καὶ τὸ τοσαύτην ἀνάγκην τῷ πρωτοστράτορι ἐπαγαγεῖν, ἀγνωμοσύνης ἂν εἴη πολλῆς, καὶ τὸ δυσκόλως ἔχοντα πρὸς ταῦτα τῆς κοινωνίας ἀπωθεῖσθαι, καὶ ἀβουλίας ἅμα καὶ ἀδικίας· τοῦτο μὲν, εἰ πρὸς πάντα βέλτιστον ἄνδρα μικρᾶς ἀπώσαιντο αἰτίας ἕνεκα· ἀδικίας δ', ὅτι αὐτοὶ προσκαλεσάμενοι καὶ προσεταιρισάμενοι, καὶ σπουδὴν πολλὴν καὶ προθυμίαν πρὸς τὸ σὺν αὐτοῖς κινδυνεύειν

εἰσενεγκόντα νῦν ἀπωθοῦνται, ἔδοξε θεῷ θαῤῥήσαντας, καὶ ὑποψίαν κινδύνου μικρὰν τοῦ ἑταίρου χάριν ἀναδεξαμένους τὴν εἰς Ἀδριανοῦ πόλιν μᾶλλον ἐπιψηφίσασθαι. [5]

1 40 οὕτω πέρας ἐπιθέντες τῇ περὶ τούτου βουλῇ, καὶ τῷ πρωτοστράτορι δῆλα καταστήσαντες τὰ τῆς γνώμης, ἀνεπτέρωσάν τε πρὸς τὸ πράττειν, καὶ προθυμότερον ἀπέδειξαν ἑαυτοῦ. Ἀλλὰ τὰ μὲν κατ' αὐτοὺς τοιαῦτα, βασιλεὺς δ' ὁ πρεσβύτερος τῇ πρὸς τὸν ἔγγονον ὀργῇ λίαν παρωξυμένος, οὔτε προσιόντα καθημέραν προσηγόρευε τὸν ἔγγονον, οὔτε μὴν πρὸς τὴν οἰκίαν ἀπιόντα πάλιν προσρήσεως ἠξίου τινός· ἀλλ' οὐδὲ βελτίονος ἢ φαύλου λόγου ἐπὶ τέσσαρσιν ὅλοις μησὶ μετέδωκε, πλὴν ὅτι τοῦ νέου βασιλέως ἐξεπίτηδες ὁσημέραι τοῖς βασιλείοις καὶ ὑπὲρ τὸ δέον προσκαρτεροῦντος, ὁρῶν ὁ βασιλεὺς τῆς προσεδρείας τὴν ἀκαιρίαν, ὥσπερ ὑπ' ἀνάγκης συνωθούμενος, „ἄπελθε λοιπὸν πρὸς τὴν σὴν οἰκίαν" ἔλεγε τῷ ἐγγόνῳ, μηδέν τι τούτου προστιθεὶς πλέον. οὐ μὴν ἀλλὰ καὶ μετὰ τῶν τῆς συγκλήτου καὶ τῶν ἐν ἀξιώμασι τοῦ νέου βασιλέως τῷ πάππῳ παρισταμένου, οὐδέποτ' ἐπέτρεψε καθεσθῆναι, πρὸς δὲ τοὺς ἄλλους τῆς ἐπιτροπῆς γινομένης, ἐξ ἀνάγκης ἐκαθέζετο καὶ αὐτὸς, πάντων πρὸς αὐτὸν ὁρώντων καὶ τοῖς νεύμασι δηλούντων, ὡς οὐδ' ἂν αὐτοὶ καθεσθεῖεν ἑστηκότος αὐτοῦ· ὃ δὴ καὶ μᾶλλον τὸν νέον ἔδακνε βασιλέα, ὡς καὶ πρὸς οὓς εἶχε θαῤῥεῖν λέγειν, ὡς βούλοιτο τοῦ κυρίου καὶ βασιλέως (τοῦτον γὰρ ἀεὶ τὸν τρόπον τὸ τοῦ βασιλέως καὶ πάππου προέφερεν ὄνομα,) τοῖς ἄλλοις ἐπιτρέποντος τὴν ἀνάκλισιν, αὐτῷ δὲ μὴ, ἑστάναι ἐπιπολύ· ἐπιτρεπομένων δ' αὐτῶν, „ἀλλ' ὑμῖν μὲν" εἰπεῖν „πρὸς τοῦ κυρίου καὶ βασιλέως τὴν καθέδραν ἐπιτετράφθαι, ἐμοὶ δὲ μή· διόπερ ὑμᾶς μὲν καθεσθῆναι προσήκει, τὸ προσταττόμενον ἐκπληροῦντας, ἐμὲ δ' ἑστηκέναι ἄχρις οὗ τὸ ἐπίταγμα φθάσῃ καὶ πρὸς ἐμέ. [5]

1 41 " τοιαῦτ' ἔλεγε πρὸς οὓς ἐθάῤῥει, τὸ τῆς ψυχῆς ἄλγος ἀνακαλύπτων. ἐφ' οἷς αὐτὸν ὁ μέγας δομέστικος παραμυθούμενος, ἄλλα τε κατεπῇδε τῆς λύπης, καὶ τὸ Σολομώντειον ἔλεγε δεῖν ἐκπληροῦν, ὑπομονὴν ἐνδεικνύμενον καὶ καρτερίαν κατὰ καιρόν. τὸ δ' ἑξῆς ὁ νέος βασιλεὺς καὶ οἱ ἀμφ' αὐτὸν διά τινος τῶν οἰκείων μηνύουσι Συργιάννῃ πρὸς τὴν Κωνσταντίνου ταχέως ἐπανελθεῖν, εὐπρόσωπόν τινα πλασάμενον αἰτίαν τῆς ἐπανόδου. τὰ γὰρ κατ' αὐτοὺς πράγματα πῇ μὲν ἐπὶ τὸ βέλτιον, πῇ δ' ἐπὶ τὸ χεῖρον χωρεῖν. ὁ δὲ σὺν σπουδῇ πολλῇ κατὰ τάχος ἐπανελθὼν καὶ συγγενόμενος βασιλεῖ καὶ τοῖς ἑταίροις, καὶ τὸ μὲν ἐπὶ τὸ βέλτιον προκεχωρηκέναι σφίσι τὰ πράγματα, τοῦ πρωτοστράτορος Συναδηνοῦ χάριν εἰρῆσθαι μαθὼν, τὸ δ' εἰς τὸ χεῖρον, διὰ τὸ μᾶλλον ἐκπεπολεμῶσθαι τῷ ἐγγόνῳ τὸν βασιλέα, καὶ τἆλλα ἐκδιδαχθεὶς, ὅσα δὴ συμβεβήκει μετὰ τὸ εἰς Θρᾴκην αὐτὸν ἀπᾶραι, περὶ τοῦ, τί χρὴ πράττειν, ἐβουλεύοντο κατὰ σφᾶς, καὶ ὅπως ἂν αὐτοὺς γένοιτο τῆς βασιλίδος τῶν πόλεων ἀκινδύνως ὑπεξελθεῖν. [20]

1 42 πρῶτος τοίνυν εἶπεν ὁ πρωτοστράτωρ Συναδηνός. θ'. „Ἐμοὶ πολύν τινα καὶ προφανῆ τὸν κίνδυνον ἐκ τῶν πραγμάτων ἐστὶ συνορᾶν. εἰ γὰρ ἡμῶν ὅπως ποτὲ ταυτησὶ τῆς πόλεως ὑπεξελθόντων ἐπιστρατεύσει καταπόδας ὁ βασιλεὺς, τίς μηχανὴ μὴ οὐχὶ τὸ παραυτίκα πρὸς ἔσχατον ἐλθεῖν κινδύνου; ἔστι δὲ ἀνθρώπων, οἶμαι, σωφρονούντων καὶ βουλομένων σώζεσθαι, μὴ τοὺς προδήλους ἀνθαιρεῖσθαι κινδύνους τῆς ἐν βεβαίῳ κεισομένης σωτηρίας. τοῦ τοίνυν τῆς πόλεως ὑπεξελθεῖν, δυνατώτατον ἀνταγωνιστὴν ὀπίσω καταλιπόντας τὸν βασιλέα, οὕτως ὑποψίαν δεινὴν παρέχοντος, μακρὰν ἀφεστηκέναι παντὸς κακοῦ καὶ πολλὴν τὴν ἀσφάλειαν ἡμῖν παρέχειν τὸ τοῦτον κατασχόντας, ὃ δυνήσεσθαι δοκῶ ῥᾳδίως, κατακλεῖσαι φρουρᾷ. οὕτω γὰρ οὐδενὸς ἀνταγωνιζομένου, ῥᾷστα κρατήσομεν ἁπάντων." Συργιάννης δὲ μετ' ἐκεῖνον εὐθύς· „καὶ τοῦθ' ὅπερ εἴρηκας" ἔφη, „πολλοὺς ἔχον ἐξετάζοντι φανεῖται τοὺς κινδύνους. πρῶτον μὲν γὰρ οὐ μικρὸν ἔργον τὸ κατασχεῖν, πολλῶν περὶ αὐτὸν εὐνοϊκῶς διακειμένων καὶ τῶν τῆς συγκλήτου καὶ τῶν ἐν τέλει, καὶ μισθοφόρων ἀεὶ πολλῶν διατριβόντων ἐν βασιλείοις· ἔπειθ' ὅτι καὶ τοῦτ' εἰ μετὰ πολλῶν τῶν κινδύνων κατορθωθείη, τότ' ἤδη χαλεπωτέροις

περιπεσούμεθα κινδύνοις, πολλὰς ὑποπτεύοντες ἐκ τῶν φυλάκων καὶ τῶν πραγμάτων τὰς μεταβολάς. [20]

1 43 ὅτε τοίνυν καὶ ἀμφοτέρωθεν ὑποψία δεινὴ, βέλτιον βραχείᾳ καιροῦ ῥοπῇ τῆς ζωῆς ἀποστερήσαντας βεβαίως ἄρχειν, αὐτοῦ τε οὐκ ἀμυνουμένου καὶ τῶν ἄλλων οὐδενὸς διακινδυνεύειν ὑπὲρ αὐτοῦ κειμένου βουλησομένου.“ Τὴν δὲ τοιαύτην βουλὴν ἐξήνεγκε μὲν κατὰ βασιλέως ὁ Συργιάννης ἐξ ἑαυτοῦ μὲν, ἐνῆγε δ’ εἰς αὐτὴν μάλιστα καὶ Ἀπόκαυχος, ἐκσπόνδως πρὸς βασιλέα ἐξ αἰτιῶν διακείμενος παραλόγων, μὴ δι’ αὐτοῦ δὲ δυνάμενος εἰσάγειν τὴν γνώμην, (οὔπω γὰρ ᾠκείωτο βασιλεῖ τοσοῦτον ὡς καὶ μετέχειν βουλῆς,) φίλῳ ὄντι τῷ Συργιάννῃ τὰς βουλὰς ὑπετίθει ὡς αὐτῷ παῤῥησίᾳ βουλευσομένῳ. πρὸς ταῦθ’ ὁ μέγας δομέστικος· „ἐμοὶ τὸ πρῶτον“ ἔφη „τῶν βουλευμάτων τῶν ἀπανθρώπων κρίνοντι, τὸ δεύτερον οὐδ’ ὠμότητος καὶ ἀπανθρωπίας ὑπερβολὴν ἐλλείπειν οὐδεμίαν φαίνεται. διὸ συμφέρειν ἡγοῦμαι τούτων ἀποστάντας ἁπάντων, τῶν προτέρων ἔχεσθαι βουλευμάτων, καὶ σκοπεῖν οὐχ ὅπως βασιλεῖ κακῶν ἀνηκέστων αἴτιοι φανῶμεν, ἀλλ’ ὅπως ἡμᾶς αὐτοὺς ἀπαθεῖς διατηρήσωμεν κακῶν, εἰς τοῦτο γὰρ καὶ συνεληλύθειμεν, ὅπως τῷ μὲν τῶν βασιλέων ἀδικουμένῳ, θεοῦ συναιρομένου, καὶ τὴν ζωὴν διατηρήσωμεν καὶ τὴν τιμὴν, τῷ δὲ, μηδεμιᾶς ἀκολουθούσης ἀνάγκης, μηδ’ εἰς τὴν τιμὴν παρενοχλῆσαι, μήτοιγε τὴν ζωήν.“ Τούτων οὕτως ἀλλήλοις ἐναντία βουλευομένων, ὁ μὲν βασιλεὺς καθῆστο σιγῇ, τῶν λεγομένων ἐπακροώμενος, ὁ Συργιάννης δὲ τὸν λόγον ἀναλαβὼν, ἐκ τῶν ἐναντίων ἀντιλέγων πρὸς τὸν μέγαν δομέστικον ἔφη· „τῆς ἀνθρωπίνης φύσεως τὸ ἐνδεὲς ἐχούσης καὶ τῆς τελείας τῶν ὄντων γνώσεως ἀπολειπομένης, οὐδένα δεῖν οἶμαι τοῖς ἀπ’ ἀρχῆς δεδογμένοις ἐμμένειν, ἂν μετὰ ταῦτα βελτίω τἀναντία φαίνηται· ἢ εἰ τοῦτο κρατήσῃ, οὐκ ἂν φθάνοι πάντ’ ἄνω καὶ κάτω γενόμενα. [5]

1 44 ἂν γὰρ μήτ’ ἔμπορος, μήθ’ ὁ γεωργὸς, μήθ’ ὁ κυβερνήτης πρὸς τὰ δοκοῦντα λυσιτελῆ μεθαρμόζηται, ἀλλ’ ἀναγκαίως ἐμμένῃ τοῖς ἀπ’ ἀρχῆς δεδογμένοις, ταχέως ὁ μὲν κυβερνήτης ἑαυτῷ συγκαταδύσῃ τὴν ναῦν ἐναντίων κινηθέντων πνευμάτων· ὁ δ’ ἔμπορος ἐπανήξει κενὸς χρημάτων, ὁ γεωργὸς δὲ πρὸς τῇ τῶν πόνων ἀποστερήσει καὶ βαθὺν ὀφλήσει γέλωτα. προσθήσομεν δέ τι καὶ τῶν οἰκείων παραδειγμάτων. οὐκ ἂν οὐδὲ στρατηγὸς τοῖς ἀπ’ ἀρχῆς ἐμμένων βεβουλευμένοις τρόπαιον ἀπὸ τῶν πολεμίων ἀναστήσει, ἀλλ’ αἰσχρῶς καὶ ἀγεννῶς ἡττηθεὶς, συγκινδυνεύσει τοῖς στρατιώταις· ἂν γὰρ συμβῇ τυχὸν τὴν μὲν ἑαυτοῦ στρατιὰν πολλαπλασίονα τῶν πολεμίων καὶ πρὸς τὰ πολεμικὰ μᾶλλον ἠσκημένην ἡγεῖσθαι καὶ διὰ τοῦτο δεῖν βουλεύσηται μάχην συνάπτειν, εἶτ’ ἐπὶ τῶν πραγμάτων ἐλθὼν, τὴν τῶν ἐναντίων ἴδῃ καὶ τῷ πλήθει καὶ τῇ ἀσκήσει καὶ τοῖς ὅπλοις ὑπερέχουσαν πολλῷ τῷ μέτρῳ· διὰ δὲ τὸ μὴ λῦσαι τὰ δεδογμένα, ἀλογίστως συμπλέκηται καὶ παραβόλως, οὐκ ἂν ἐγγὺς τοῦ μαίνεσθαι φαίημεν τὸν στρατηγὸν ἐκεῖνον; παντί που δῆλον. διό μοι καὶ σὲ νῦν ἔπεισι θαυμάζειν, οὕτως ἀποφηνάμενον ὡς χρὴ τοῖς ἐξ ἀρχῆς δεδογμένοις ἐμμένειν, ἐκ πρώτης ἡλικίας ἐς τόδε χρόνου στρατείαις καὶ τοῖς ἐκ στρατείας ἐνδιατρίψαντα πόνοις, τοῦτο δὲ ἠγνοηκότα, ὡς μία καιροῦ ῥοπὴ πολλῶν ποιήσει πραγμάτων μεταβολάς. [25]

1 45 “ Ἐπὶ τούτοις ὁ μέγας δομέστικος εἶπε τοιάδε· „οὐδένα νομίζω τῶν καὶ ὁπωσοῦν μετειληχότων φρενῶν, οὕτως ἑαυτὸν οἷς ἐξ ἀρχῆς ἐβουλεύσατο πεπεικέναι βεβαίως ἐμμένειν, ὥστε μὴ μεταβάλλειν, ἑτέρων ἐν ὑστέρῳ φαινομένων βελτιόνων. καὶ σὲ δὲ αὐτὸν, οὐκ ἂν εὐπορήσειν ἐπ’ ἐμοὶ λοιδορίας ὑπερβολῆς, ἢ οὕτω περὶ τῶν πραγμάτων λέγειν ἔχειν, ἐν διαφορᾷ καταστάντα. ἐγὼ δὲ τοσούτου δέω ὁποῖον εἶναί φατε, ὥστε κἀν τοῖς δημοσίοις, κἀν τοῖς ἰδίοις, ψῆφον ὡς καλῶς ἔχουσαν καὶ τοῦ λυσιτελοῦντος τὸ δοκεῖν ἐς τὰ μάλιστα ἐφικνουμένην περί τινος πολλάκις ἐξενεγκὼν, ἤδη δὲ καὶ πρὸς τὸ πράττειν χωρῶν, ἔπειτ’ ἢ ἑτέρῳ τὸ ἧσσον ἔχειν ἐπὶ τῷ φρονεῖν δοκοῦντι, ἢ αὐτὸς ἐμαυτῷ τὴν ἐναντίαν πεισθεὶς εἱλόμην. ἐφ’ οἷς δὲ νυνὶ

σκοποῦμεν, μάλιστα μὲν ὧν ὑμεῖς βουλεύεσθε, ἀποσχέσθαι, ὧν δ' ἐμοὶ δοκεῖ, δεῖν ἔχεσθαι νομίζω πολλῶν ἕνεκεν αἰτιῶν. πρῶτον μὲν γὰρ τὸ χεῖρα κινῆσαι κατὰ βασιλέως καὶ τῷ θεῷ κεχρισμένου, καὶ σωτηρίαν ἀποστερῆσαι ψυχῆς, οὐ μόνον πάσης ἐν ἀνθρώποις ἀπεστέρηται συγγνώμης, ἀλλὰ καὶ παρὰ θεῷ τὰς ἐσχάτας τῶν τοιούτων ἔργων πεπείσμεθα κεῖσθαι τὰς ἀντιδόσεις. ἔπειτα δὲ, οὐδὲ τοῦτο ἐξ ἀρχῆς ὑπεθέμεθα, ὥστε τὸν μὲν ἀνελεῖν, τὸν δ' ἐγκαθιδρύσαι τοῖς θρόνοις τῶν βασιλέων· ἀλλὰ πολύν τινα τὸν δικαίου ποιούμενοι λόγον, ἀμύνειν τῷ νέῳ προὐθυμήθημεν βασιλεῖ, ἀδικουμένῳ τε περὶ τὴν ἀρχὴν καὶ δεδοικότι περὶ τὸ ζῆν. [20]

1 46 ἄτοπον οὖν, τῷ μὲν σὺν τῷ δικαίῳ τὴν ἀρχὴν κατακτᾶσθαι, τὸν δ' ἀδίκως ἀφαιρεῖσθαι καὶ τὴν ζωήν· καὶ ἃ περὶ τὸν ἕνα πραττόντων ἑτέρων, τῶν ἀτοπωτάτων ἐδόκει, τούτων χαλεπώτερα περὶ τὸν ἕτερον ἐξειργασμένους αὐτοὺς ὀφθῆναι, καὶ ὥσπερ ἐν ζυγοῖς τῶν πραγμάτων ἐφ' ἑτέρῳ μέρει βαρυνομένων, ἐπὶ τὴν ἴσην ἀμετρίαν πρὸς τοὐναντίον αὐτοὺς καταπιέσαι, δέον ἐπὶ τὸ ἴσον ἀναγαγεῖν. οὐ μὴν οὐδὲ τὸ δήσαντας φρουρεῖν, τοῦ ἅπαξ ἡμερώτερον ἀποκτεῖναι. τοῖς γὰρ ἐν ἔθει τοῦ θεραπεύεσθαι καὶ δορυφορεῖσθαι, φοβερώτερον τοῦ ἀποθανεῖν, τὸ παρ' ἀξίαν κακοπραγεῖν. διὸ καὶ πολλοὶ τῶν ὑμνουμένων παρὰ Ῥωμαίοις αὐτοκρατόρων, μᾶλλον εἵλοντο ἀποθανεῖν, ἢ ζῶντες αἰσχρῶς δουλεύειν ἀτυχήσαντες περὶ τὰς μάχας· καὶ χωρὶς δὲ τούτων, τὸ παρὰ τῶν φυλάκων ὡς δεσμώτῃ προσεχόντων περιυβρίζεσθαι καὶ λοιδορεῖσθαι, παντὸς ἂν εἴη πικρότερον ὕδατος Στυγός. ἔτι δ' οὐδ' ἀσφάλειαν ἡμῖν παρέχει τὸ δήσαντας φρουρεῖν. ἂν γὰρ ὁτῳδήτινι τρόπῳ δυνηθείη τὰ δεσμὰ διαφυγεῖν, ὅπερ ἡμῖν πρόσεστι νῦν, τὸ δοκοῦντας ἀδικεῖσθαι καρποῦσθαι τὴν ἁπάντων εὔνοιαν, ἐκείνῳ περιστήσεται, καὶ σφοδρότερον πολεμήσει, συμμάχοις προθύμοις καὶ τοῖς περιοίκοις βαρβάροις καὶ Ῥωμαίοις χρώμενος. ὅτε τοίνυν τὸ μὲν ἀποκτεῖναι ἀλαστόρων καὶ ἀνδροφόνων ἐπιτιμίαν οὐ μόνον ἡμῖν, ἀλλὰ καὶ παισὶν ἡμετέροις ἔπειτα προσάπτει, τὸ δ' εἴρξαντας φρουρεῖν μετὰ τοῦ αἰσχροῦ καὶ τοὺς ἐσχάτους ὑποπτεύει κινδύνους, καὶ λυσιτελὲς ἅμα καὶ δίκαιον εἶναι νομίζω, τῶν προτέρων ἐχομένους λογισμῶν, τὸν ἡμέτερον βασιλέα διασώζειν ἀμυνομένους ἄν τις ἐπίῃ. [5]

1 47 ἀλλ' ἐρεῖς, Τί οὖν; ἂν ἐπιστρατεύῃ βασιλεὺς ἡμῖν, οὐ μαχούμεθα αὐτῷ, οὐδ' ἀποκτενοῦμεν, ἂν οὕτω συμβαίῃ; Μάλιστα μὲν οὖν ἀμυνούμεθα πάσῃ δυνάμει, ἀλλ' οὐ τὸν αὐτὸν ἔχει τό, τε κατάρχειν καὶ τὸ ἀμύνασθαί τινα, λόγον. τῷ μὲν γὰρ πρὸς τῷ αἰσχρῷ πρόσεστι καὶ τὸ ἀδικεῖν, τὸ δ' ἀμύνασθαι πρὸς τῷ δικαίῳ καὶ τὴν ἀπὸ τῶν ἔργων εὔκλειαν ἔχει. ἂν γὰρ συμβῇ τὸν προκατάρχοντα παθεῖν κακῶς, οὐ τῷ ἀμυνομένῳ τὴν ἀπόβασιν ἀλλὰ τῷ ἐπιόντι λογίζεσθαι τῶν ἔργων δίκαιον. ἡμῖν μὲν οὖν ἐπ' ἀμφότερα γυμνάζουσι τὸν λόγον ἑκατέροις εἴρηται πολλά. βασιλεῖ δὲ πάντων ἀκροωμένῳ ἐξέσται τὸν τῶν ἁλιέων τρόπον τῆς σαγήνης πολλὰ περισχούσης τὰ χρήσιμα ἐκλεξαμένῳ, τῶν ἀχρήστων ἀποσχέσθαι.“ ἐπὶ τούτοις καὶ τῶν ἄλλων συνθεμένων καὶ τὴν διάκρισιν τῶν λόγων ἀναθεμένων τῷ βασιλεῖ, εἶπε καὶ αὐτὸς τοιαῦτα· ι′. „Τοῖς περὶ μεγάλων πραγμάτων βουλευομένοις ἀναγκαῖον εἶναι νομίζω καὶ πολλοῖς εἶναι τὸν ἀριθμόν. διὸ καὶ Ῥωμαῖοι καὶ Ἕλληνες τὸ παλαιὸν, καὶ δημοκρατούμενοι καὶ τῶν ἀρίστων ἀρχόντων, ἐκ πλειόνων τὰς βουλὰς συνεκρότουν, τοῦ καλοῦ καὶ συμφέροντος οὕτως οὐκ ἂν οἰόμενοι ῥᾳδίως ἁμαρτεῖν, ὀρθῶς φρονοῦντες. [20]

1 48 καὶ τῶν παλαιῶν δέ τις σοφὸς τῆς ἡμετέρας αὐλῆς ἐν πολλῇ βουλῇ τὴν σωτηρίαν εἴρηκεν εἶναι, καὶ πολέμιον ἑαυτῷ τὸν ἀσύμβουλον ἀπεφήνατο. καὶ ὑμῶν τοίνυν καὶ πολλῶν καὶ περὶ ταῦτα ἀρίστων ὄντων καὶ λόγοις οὐκ ὀλίγοις περὶ τοῦ πράγματος χρησαμένων, ἐξέσται κἀμοὶ ὃν εἰρήκατε τῶν ἁλιέων τρόπον, πολλὰ τῆς σαγήνης καταγαγούσης, τὰ χρήσιμα ἐκλεξαμένῳ ἀποῤῥίψαι τὰ μὴ τοιαῦτα. ἐρῶ τοίνυν καὶ αὐτὸς ἅ μοι δοκεῖ βέλτιστα εἶναι, ὑμῖν δ' ἐξέσται ἑκάστῳ ἃ δοκεῖ συμφέροντα ἑλέσθαι. οὐ πᾶσιν ἀνθρώποις τὰ αὐτὰ αἱρετὰ καὶ φευκτὰ, καὶ ἡδέα καὶ μὴ τοιαῦτα δοκεῖ, ἀλλ' ὅπως ποτὲ ἔχουσι περὶ αὐτὰ, τοιαύτας καὶ περὶ αὐτῶν ἐξάγουσι τὰς

κρίσεις. ὡς ἔχω τοίνυν καὶ αὐτὸς περὶ τῶν προκειμένων ἐρῶ. τοσούτου δέω τοῦ τι τῶν ἀνηκέστων καὶ ζωῆς ἕνεκα καὶ τιμῆς περὶ τὸν ἐμὸν κύριον καὶ βασιλέα γενέσθαι βούλεσθαι, ὥστ' εἰ συμβέβηκε τὸν αὐτὸν ξίφος ὡς ἀποκτενοῦντά με σπασάμενον ἐπιέναι, φυγῇ μὲν ἂν ἐπραγματευσάμην τὴν σωτηρίαν· εἰ δὲ κώλυμά τι μεταξὺ φεύγοντι συμβέβηκε τῆς φυγῆς, τοσοῦτον ἀπέχω τοῦ συστραφεὶς ἀμύνεσθαι βούλεσθαι, ὥστ' ἐγκαλυψάμενος ἐδεχόμην ἂν σιγῇ τὰς πληγὰς, δείσας μὴ πρὸς ἐκεῖνον ὁρῶν καὶ οἷον τῷ πάθει τῶν φρενῶν ἐκκρουσθείς, πρὸς τὸ λαβεῖν ἐξ αὐτοῦ κινηθῶ καὶ μακρὰν ἀποῤῥίψαι τὸ ξίφος, ἐπειδὴ καὶ τοῦτο τῶν ἀνοσίων κρίνω, καθ' ὅντινα τρόπον χεῖρας ἀνασχεῖν τῷ πατρί. τοιαύτην ἔχειν γνώμην περὶ τῆς εἰς τὸν πάππον τιμῆς τὸν πάντα ἐφορῶντα μαρτύρομαι ὀφθαλμὸν τοῦ θεοῦ. [20]

1 49 διὸ δὴ καὶ ὑμᾶς βούλομαι οὕτως ἔχειν σαφῶς πεισθέντας, μηδένα περὶ τούτου λόγον κινεῖν, μηδὲ μεταπείθειν ἐπιχειρεῖν· ἔσεσθε γὰρ ἠνυκότες πλέον οὐδέν. εἰ μὲν οὖν ἐθελήσετε τῶν ἐξ ἀρχῆς ἐχόμενοι λογισμῶν, τὴν σωτηρίαν ἑαυτοῖς ποριζομένοις φυγῇ τὸν ὑφορώμενον κίνδυνον διαδιδράσκειν, εὖ ἂν ἔχοι, καὶ τὴν κοινωνίαν αὐτὸς ἀσπάζομαι τὴν ὑμετέραν, καὶ συγκινδυνεύειν ὑμῖν αἱροῦμαι· εἰ δὲ τῆς προτέρας ἀτολμίαν καὶ ἀνανδρίαν καταγνόντες βουλῆς, ἐμμένειν ἀσφαλῶς κεκρίκατε τοῖς δευτέροις, μὴ πειθομένου δ' ἐμοῦ, οὐδ' αὐτοὶ λυσιτελεῖν ἑαυτοῖς ἅπερ ἐγὼ βούλομαι ἡγεῖσθε, ἐγὼ μὲν τῶν τοιούτων ἔργων κοινωνεῖν ὑμῖν οὐκ ἂν ἑλοίμην ποτὲ, ὑμᾶς δὲ τὸ οἰκεῖον ἀσφαλὲς ἔξεστι περισώζοντας, ἃ συμφέρειν ὑμῖν οἴεσθε ἑλέσθαι. χάριν δὲ πολλὴν ὁμολογῶ τῷ θεῷ, ὅτι τῆς εἰς ἐμὲ εὐνοίας οὐδὲν οὐδέ πω καὶ νῦν ὑμῖν ἀπήντηκε τῶν δυσχερῶν, οὐδὲ περὶ ὧν ἐβουλευσάμεθα κατάδηλον οὐδὲν γέγονεν οὐδενὶ πλὴν ὑμῶν. ἐγὼ δὲ ὡς ἂν οἷός τε ὦ, καὶ ὡς ἂν ὁ θεὸς διδῷ, τὸν ὑπὲρ ἐμαυτοῦ κίνδυνον διακυβερνήσω. οἶδα μὲν οὖν ὡς, ἂν συμβῇ μαχόμενόν με πεσεῖν, πολλὰ μὲν ἐπιθρηνήσετε κειμένῳ, πολλὰ δὲ πολλάκις ἀνακλαύσεσθε τὸν φίλον, εἰ δή τι καὶ μνήμης ἄξιον ἐνεδειξάμεθα φιλίας εἰς ὑμᾶς. εἰ δ' ἔτι περιόντι πάλιν ἐθελήσετε προσελθεῖν, μηδαμῶς ὑμῖν ἐμπόδιον τὸ νῦν ἡμᾶς χωρίζεσθαι καταστήτω· εὑρήσετε γὰρ ἀεὶ τὸν αὐτὸν ὄντα καὶ φιλικῶς ὥσπερ καὶ νῦν διακείμενον πρὸς ὑμᾶς. μὴ νομίσητε δὲ ἐμὲ μήτε ἀλύπως ἐπὶ τῷ χωρισμῷ ὑμῶν διακεῖσθαι, μήθ' ὡς τοῦ μηδενὸς ἀξίους ὑμᾶς οὕτως ἐκ τοῦ παραυτίκα ἀπωθεῖσθαι. [20]

1 50 ἐξ ὅτου γὰρ περὶ τῶν τοιούτων ἠρξάμην λέγειν, πολλῶν τὴν διάστασιν ὑμῶν ἐννοῶν αἰσθάνομαι τῶν ἀλγηδόνων· οἶδα δ' ἐν τῷ μετὰ ταῦτα καὶ πλειόνων αἰσθησόμενος καὶ σφοδροτέρων· φέρειν δὲ ἀνάγκη, τῶν πραγμάτων ἀσυμβάτως ἐχόντων· εἰ μὲν οὖν, ὥσπερ εἶπον, ἐθελήσετε τῶν προτέρων ἐχομένους λογισμῶν, ὑπὲρ μὲν τῆς ἡμετέρας σωτηρίας φροντίσαι, μηδὲν δὲ κατὰ βασιλέως βουλεύσασθαι τῶν ἀπεικότων, καὶ ἐμὲ κοινωνὸν ἕξετε τῶν πραττομένων· εἰ δ' ἑτέρως ὑμῖν δοκεῖ, οὐδὲν ἄλλο λοιπὸν, ἢ πολλὰ τῆς εἰς ἐμὲ φιλίας ἐπευξάμενον ἀγαθὰ, καθ' ἑαυτὸν ἅ μοι δοκῶ συμφέροντα πράττειν.“ Τοιαῦτα καὶ τοῦ βασιλέως εἰπόντος, ἐπὶ πολὺ μὲν πρὸς ἀλλήλους ἑώρων, τὸ τῆς γνώμης θαυμάζοντες ἐπὶ τὰ καλὰ βεβηκὸς, ὡς μηδὲν τῆς πρὸς τὸν βασιλέα καὶ πάππον αἰδοῦς ὑφεῖναι, καίτοι πολλοῖς αὐτὸν τοῖς λυποῦσιν ἀμειβομένου. εἶθ' ὁ πρωτοστράτωρ ἀπεκρίνατο τοιαῦτα· „ἡμῖν, ὦ βασιλεῦ, τὸ συμφέρον σοί τε καὶ ἡμῖν αὐτοῖς σκοποῦσιν, ἃ λυσιτελεῖν ἐδοκοῦμεν, ἐφθεγξάμεθα. ἃ δὲ περὶ βασιλέως ἐφθεγξάμεθα, οὐκ αὐτὸ τοῦτο μόνον ὅπως κακόν τι πάθοι σκοποῦντες ἐβουλευσάμεθα, ἀλλ' ὅπως μὴ μετὰ τὸ φανερῶς εἰς τὸν πόλεμον καταστῆναι, τὶς ὑπολείποιτο μετὰ σοῦ προσδοκία δεινοῦ· τοῦτο γὰρ ἡμῖν περὶ πλείστου σκοπεῖται. ἐπεὶ δ' ὡς ἠκούσαμεν τῆς εἰς τὸν βασιλέα καὶ πάππον ἀσφαλείας τε καὶ τιμῆς τὴν οἰκείαν σωτηρίαν καὶ ἀσφάλειαν ἐν δευτέρῳ λογίζῃ, θαυμάζειν μὲν ἔπεισι τῆς μεγαλοψυχίας καὶ τῆς δικαιοσύνης, πείθεσθαι δὲ οἷς ἂν ἐθέλῃς, καὶ ταῦτα νομίζειν καὶ δίκαια καὶ συμφέροντα, ἅπερ ἂν καὶ σοὶ συνδοκῇ. [5]

1 51 εἰ δέ τι καὶ πρότερον διηνέχθημεν περὶ τοὺς λόγους, οὐκ ἀλλήλοις ἐναντία βουλευόμενοι, ἀλλ' ὅπως μηδὲν τῶν δεόντων ἀνεξέταστον διαφύγῃ. τοιγαροῦν ἐπεὶ τῆς ἀμφιβολίας παυσαμένης

εἰς ἓν συνήλθομεν ταῖς γνώμαις, οὐδὲν ἄλλο λείπεται ἢ τοὺς λόγους καταλιπόντας, χωρεῖν ἐπὶ τὸ πράττειν τὰ δεδογμένα.“ Καὶ Συργιάννη κατὰ γνώμην αὐτῷ εἰπόντος εἰρῆσθαι καὶ τοῦτο προσθέντος, ὡς „τῆς εἰς τὸν βασιλέα καὶ πάππον αἰδοῦς καὶ κηδεμονίας, ὦ βασιλεῦ, πολλαί σοι παρὰ τῷ μεγάλῳ καὶ οὐρανίῳ βασιλεῖ κείσονται χάριτες, καὶ ἢ μεταβαλεῖ τὰς γνώμας τῶν ἐπιβουλευόντων, ἢ, κακοῦν ὡρμημένων, αὐτὸς ὑπὲρ ἡμῶν πολεμήσει,“ τοῦ τε βασιλέως τῆς εἰς αὐτὸν εὐνοίας καὶ εὐπειθείας πολλὴν ὁμολογήσαντος χάριν αὐτοῖς, εἰ φευκτέα ἢ μή, ἐσκόπουν. ὁρῶντες δὲ ἀεὶ τὴν ἐπιοῦσαν μεῖζόν τι φύουσαν κακὸν, καὶ τοὺς κατὰ βασιλέως τοῦ πάππου καὶ βασιλέως θυμοὺς ἐπὶ μᾶλλον αὐξομένους, ἐκ τοῦ μηδαμοῦ τεκμαιρόμενοι μηδὲ λόγου τινὸς ψιλοῦ τούτῳ μεταδιδόναι· καὶ δεδοικότες μή τινος τῶν ἀδοκήτων ἐκ τοῦ αἰφνιδίου συμβάντος, οὐδ’ αὐτὸ τοῦτο διαδρᾶναι δυνηθεῖεν, ἐδόκει νῦν ὡς καιρὸν ἔχουσι καὶ ἀδείας εὐποροῦσιν, ἀφίστασθαι τοῦ Βυζαντίου. βασιλεὺς δὲ αὐτοὺς ταῦτα μὲν ᾗ ἔχουσιν εἰρηκέναι καὶ καλῶς στοχάσασθαι ἔφη, ἔτι μέντοι γε καρτερίας καὶ μεγαλοψυχίας προσδεῖν, ἄχρι καὶ αὐτῆς τῶν κινδύνων τῆς ἀκμῆς. [20]

1 52 ἤλπιζε γὰρ ἀεὶ μεταβαλεῖν καὶ τῶν μελετωμένων ἀποστήσεσθαι τὸν βασιλέα. „τὸ δὲ νῦν ἔχον, περὶ τῆς βασιλίδος“ ἔφη „τῆς ἐμοὶ συνοίκου σκεπτέον, εἰ χρὴ καὶ ταύτην φεύγουσιν ἡμῖν συνέπεσθαι.“ ἦν δ’ ἐκ Γερμανῶν αὕτη θυγάτηρ δουκὸς ντὶ Μπρουζουὴκ τοῦ παρ’ αὐτοῖς ἐπιφανεστάτου καὶ λαμπρότητι πάντας τοὺς ὁμοφύλους ὑπερβάλλοντος τοῦ γένους. τοῖς μὲν οὖν δυσὶ τῶν ἀναγκαίων ἐδόκει καὶ τὴν τοῦ βασιλέως γαμετὴν συμπαραλαβεῖν, διὰ τὸ καὶ αὐτοὺς τὰς γυναῖκας ἔχειν μεθ’ ἑαυτῶν, καὶ διὰ τοῦτο δέον εἶναι πάσῃ μηχανῇ χρήσασθαι, ὥστε καὶ τὴν βασιλίδα συνεῖναι τῷ βασιλεῖ. ια′. Καντακουζηνὸς δ’ ὁ μέγας δομέστικος τἀναντία φρονῶν ἦν, καὶ τὰς αἰτίας προσετίθει· „πρῶτον μὲν γὰρ“ ἔφασκε „τῆς ἀναχωρήσεως ἡμῶν λαθραίας γινομένης καὶ κατεσπουδασμένης, ἐπικινδυνότατον γυναιξὶ πρὸς τὰ τοιαῦτα τῶν ἔργων ἀσθενῶς ἐχούσαις καὶ ἀφυῶς· καὶ ἡμῖν δὲ αὐτοῖς οὐ μικρὸς ὁ κίνδυνος ὑποπτεύεται, ἐπ’ αὐτῶν τῶν ἔργων καταφώροις γινομένοις· ἔπειτα εἴτε καὶ τύχῃ χρησαμένοις τοῦτο πρὸς τὸ ῥᾴδιον ἀποβαίη, ἀλλ’ οὐχ ὁμοίως ἀπαντήσει καὶ τὰ μετὰ ταῦτα. εἰ γὰρ πρὸς βασιλέως στρατιὰ πρὸς δίωξιν ἡμῶν ἀποσταλῇ, δυοῖν ἀνάγκη θάτερον ἑλέσθαι, ἢ τὰς γυναῖκας καταλιπόντας χρήσασθαι φυγῇ, ὃ δειλίας καὶ ἀνανδρίας, ἔτι τε ἀνοίας καὶ ἀβουλίας ἡμῖν ἔγκλημα περιάψει, πρὸς τῷ καὶ ἀδοξίας αἰτίους τῇ βασιλίδι γεγονέναι δίκην ἀγομένῃ δοριαλώτου, ἢ ταύτης ἕνεκα πολλαπλασίοις ὀλίγους συμπλεκομένους ἀποθνήσκειν, ὧν οὐδέτερον ἑλέσθαι προσήκει σωφρονοῦντας. [5]

1 53 πρὸς δὲ τούτοις, οὐδὲ πρὸς οὓς ἀπερχόμεθα βέβαια τὰ τῆς πίστεως ἡμῖν, καὶ διὰ τοῦτο οὐ μέλλειν οὐδὲ κατατρίβειν τὸν καιρὸν ὁμαλῶς βαδίζοντας καὶ ἀνειμένως, ἀλλὰ κατεσπουδασμένως καὶ σὺν τάχει πολλῷ χρὴ, ἵνα μὴ πρὸ τοῦ ἡμᾶς ἀφικέσθαι, τὴν ἄφιξιν ἡμῶν πυθόμενοι, βουλεύσωνται κατὰ σφᾶς, μὴ εἰσδέξασθαι ἡμᾶς τῇ πόλει, καὶ γένωνται παράδειγμα καὶ ταῖς ἄλλαις τὰ ἴσα δρᾷν, ἀλλ’ αὐτοὺς ἡμᾶς ἀγγέλλειν τε τὴν ἄφιξιν ἡμῶν καὶ κατέχειν τὴν πόλιν. οὐ μὴν ἀλλὰ καὶ τὸ κατὰ γαστρὸς ἔχειν τὴν βασιλίδα οὐ μικρὸν κώλυμα πρὸς τὸ ἀνδράσι φεύγουσιν ἀκολουθεῖν. δι’ ἃ δὴ πάντα προσήκειν ἡγοῦμαι, ταύτην μὲν ἐᾷν καθ’ ἡσυχίαν μένειν, ἡμᾶς δὲ διακινδυνεύειν· κἂν μὲν ἡμῖν τὰ πράγματα χωρήσῃ κατὰ νοῦν, θεοῦ βουλομένου, τότ’ ἤδη καὶ τὴν βασιλίδα μετακαλεῖσθαι ὅπουπερ ἂν ᾖ βασιλεὺς, εἰ δ’ ἐναντίως ἢ ἐλπίζομεν ἀποβαίη, αὐτὴν γοῦν ἐν ἀσφαλείᾳ εἶναι.“ Τούτοις τοῖς λόγοις ὡς καλῶς ἔχουσιν ἐπιψηφισάμενος ὁ βασιλεὺς σὺν τοῖς ἄλλοις, ἐσκέπτοντο περὶ τοῦ πότε καὶ ὅπως τὴν ἀναχώρησιν χρὴ ποιεῖσθαι. ὁρῶντες δὲ καὶ τοὺς ἐπιλοίπους τῆς συγκλήτου καὶ τοὺς ἐν τέλει ἐν δεινῷ τιθεμένους τὴν τῶν βασιλέων διαφορὰν καὶ κακῶν νιφάδας τῷ κοινῷ τῶν Ῥωμαίων οὐ μετρίας προσδοκοῦντας καὶ περὶ τούτων πρὸς ἀλλήλους ἀεὶ διαλεγομένους, καὶ προσδοκίμους ὄντας καὶ βασιλεῖ διαλέξεσθαι περὶ τοῦ μὴ δεῖν νεωτερίζειν, ἀλλ’ ἐᾷν τὸν ἔγγονον ἐπὶ σχήματος

εἶναι, ὡς μεγάλων κακῶν αἰτίας ἐσομένης καὶ ταραχῆς τῆς τοιαύτης ἐπιχειρήσεως, ἐπεὶ ἔδοξε καρτερεῖν τὸ μέλλον ἀποβήσεσθαι σκοποῦντας, ἐξαποστέλλουσι πρὸς Θρᾴκην τὸν Συργιάννην τῆς ἀρχῆς ἐπιμελησόμενον, αὐτοὶ δὲ προσεκαρτέρουν τῇ Κωνσταντίνου. [10]

1 54 ἐν τούτοις δὲ τῶν πραγμάτων ὄντων, ὁ μέγας κονοσταῦλος Μιχαὴλ ὁ Τορνίκης, μητρόθεν μὲν κατὰ γένος προσήκων τῷ πρεσβυτέρῳ τῶν βασιλέων, καὶ πολλῆς εὐμενείας ἀπολαύων παρ' αὐτῷ καὶ τιμῆς οὐ μόνον διὰ τὴν συγγένειαν, ἀλλ' ὅτι καὶ φρενὸς ἦν βαθείας καὶ τοὺς τρόπους ἀγαθὸς καὶ πρὸς τὰς ἐπαρχίας ὧν ἦρξε, βασιλέως διδόντος, εὐνομώτατος καὶ σπουδαιότατος ἐφάνη, οὗτος δὴ τῇ πρὸς αὐτὸν εὐμενείᾳ τοῦ βασιλέως θαῤῥήσας, προσῆλθέ τε καὶ διελέχθη κρύφα περὶ βασιλέως τοῦ νέου, τὸ ἄτοπον ὡς εἰκὸς τῶν μελετωμένων ὑποδεικνὺς, καὶ ὡς πολλῶν ἔσοιτο συμφορῶν αἴτιον τῇ βασιλείᾳ Ῥωμαίων, ἄν τε κατορθωθῇ τὸ μελετώμενον, ἄν τε μή. τὸ δ' αὐτὸ τοῦτο καὶ Μετοχίτης λογοθέτης ὁ μέγας, ὃς μεσιτεύων μὲν τότε τῇ διοικήσει τῶν βασιλικῶν πραγμάτων ἦν, ἄλλως δὲ ἀγχίνους, καὶ οὐ μόνον τῆς καθ' ἡμᾶς, ἀλλὰ καὶ τῆς ἔξω σοφίας εἰς ἄκρον ἐληλακώς· τὴν γὰρ ἀστρονομίαν ἀπό τινος Βρυεννίου φαύλας τινὰς καὶ οὐκ ἀκριβεῖς πάνυ παραλαβὼν ἀρχὰς, αὐτὸς ἰδίοις πόνοις ἐξηκριβώσατο, ὡς καὶ μετὰ ταῦτα πολλοὺς ἐν ἐπιστήμῃ τοῦ μαθήματος σὺν ἀκριβείᾳ γενέσθαι παρ' αὐτοῦ διδαχθέντας· ὃ καὶ θαυμάζοντος βασιλέως, καὶ πρός τινα τῶν ἐκείνῳ φοιτησάντων ἐρομένου, ὁ Γρηγορᾶς οὗτος ἦν, πῶς ὁ Μετοχίτης ἐκ φαύλων τῶν ἀρχῶν ὡρμημένος, οὕτως ἠδυνήθη πρὸς τελείαν ἐξεύρεσιν τοῦ μαθήματος ἐλθεῖν, „οὐ θαυμαστὸν" φάναι „βασιλεῦ" τὸν ἐρωτηθέντα, „ἐκ λαμπάδος μικρᾶς πυρσὸν ἀναφθῆναι μέγαν," ἐπαινέσαι τε τοῦτον τῆς ἀγχινοίας τὸν βασιλέα, καὶ τὸ οἰκεῖον τῆς εἰκόνος θαυμάσαι. [10]

1 55 οὗτος δὴ οὖν ὁ μέγας λογοθέτης διά τε τὴν σύνεσιν καὶ τὴν σοφίαν, καὶ τὴν ἣν εἶχεν ἐπιτηδειότητα πρὸς τὴν διοίκησιν τῶν πραγμάτων πολλῆς ἀπολαύων παρὰ βασιλέως οἰκειότητος καὶ εὐμενείας, ἐθάρσησε καὶ αὐτὸς τῷ βασιλεῖ προσελθὼν περὶ τοῦ ἐγγόνου διαλεχθῆναι, πείθειν ἐπιχειρῶν, ὡς οὐ δεῖ τὰ καθεστῶτα κινεῖν, οὐδὲ τὸν ἔγγονον τῆς βασιλείας ἀποστεροῦντα, ἑτέρῳ μηδαμῶς προσήκοντι παρέχειν, εἰ μή τι ἄλλο, τὰς ἀπὸ τούτου ταραχὰς συμβησομένας εὐλαβούμενον. ἐκεῖνοι μὲν οὖν τοιαῦτα καὶ ἕτερ' ἄττα διελέχθησαν βασιλεῖ· ἐδόκουν δὲ λίθους ἔψειν. ὁ γὰρ βασιλεὺς ἀνεπιστρόφως εἴχετο τῶν ἀπ' ἀρχῆς δεδογμένων καὶ τὴν πρὸς τὸν ἔγγονον δυσμένειαν αὐτοῖς πράγμασιν ἐπεδείκνυ. [20]

1 56 λέγεται δ' ἐν τούτοις τοῖς καιροῖς καὶ βασιλεὺς εἰς ἑαυτὸν συννενευκὼς καὶ περί τινος δοκῶν φροντίζειν, πρὸς μηδένα δὲ διαλεγόμενος, αὐτὸς πρὸς ἑαυτὸν πολλάκις εἰπεῖν ὥσπερ ἐπερωτῶν· „καὶ τῆς φύσεως ἐπικρατεστέρα φανεῖται ἡ ἔχθρα ἄρα;" εἴτε δὲ πρός τι τῶν μελετωμένων ἄλλο ὁ λόγος ἀπετείνετο, εἴτε περὶ τῆς εἰς ἔγγονον ἔχθρας ἦν, οὐδεὶς σαφῶς ἠδυνήθη μαθεῖν· πάντες μέντοι πρὸς τοῦτο τὸν λόγον ἐξέλαβον, καὶ τεκμήριον ἐποιοῦντο τῶν μελλόντων κακῶν. ἐν τούτοις μὲν οὖν ὁ χειμὼν ἐτελεύτα. ιβ′. Ἄρτι δ' ἔαρος ἀρχομένου, Ἀπριλλίου μηνὸς πέμπτῃ ἱσταμένου, τῇ πρὸ τῶν βαΐων κυριακῇ, ὁ βασιλεὺς τῷ βασιλεῖ καὶ ἐγγόνῳ μηνύει ἑτέρωθι μηδαμοῦ πορευθῆναι, πρὸς αὐτὸν δὲ ἀφικέσθαι καὶ τὸ νῦν εἶναι· ὁ δὲ τί ποτ' ἂν εἴη τὸ λεχθὲν ἐν νῷ στρέφων καὶ περιεργαζόμενος, καὶ μηδαμοῦ τὴν αἰτίαν συμβαλεῖν ἔχων, ἤρετο τὸν μηνύσαντα, καὶ ἀξίωσιν προσθεὶς, εἴ τι σύνοιδεν, ἀπαγγέλλειν· ὁ δ' ἔλεγε, βέβαιον μὲν οὐδὲν εἰπεῖν ἔχειν, στοχάζεσθαι δὲ, τὸν πάππον βούλεσθαι καὶ βασιλέα τοῦ πατριάρχου καὶ ἀρχιερέων παρόντων λόγους τινὰς πρός ἑ διελθεῖν· οἵτινες δὲ οἱ λόγοι καὶ πρὸς τί φέρουσι, σαφῶς εἰδέναι μηδαμῶς. εἶτα μικρὸν ἐπισχὼν, „ὥσπερ μὲν ἔφην, ἀκριβῶς οὐκ οἶδα" εἶπε „περὶ ὧν οἱ λόγοι, εἰκάζειν μέντοι μὴ προσηνεῖς τινας ἔσεσθαι καὶ ἡμέρους, ἀλλ' ὡς ἐπὶ δίκῃ καλεῖσθαι· ἐδεῖτό τε μικρὸν ἀναμείναντα καὶ μελέτῃ μικρᾷ προσασχοληθέντα, ὡς εὐθύνας ὑφέξοντα, πρὸς ἀπολογίαν ἕτοιμον ἥκειν. [20]

1 57

“ ὁ βασιλεὺς δὲ χάριν αὐτῷ τῆς καλοκαγαθίας ὁμολογήσας καὶ ἀγαθῶν ἀμοιβὴν προσεπευξάμενος παρὰ θεοῦ, εἶτα καὶ τοῦτο εἰπών, ὡς κατὰ γνώμην αὐτῷ γένοιτ’ ἂν τὸ πολλῶν παρόντων δικαζόμενον ἀπολύσασθαι τὰ ἐγκλήματα, ἀπαγγέλλειν ἐκέλευε τῷ πάππῳ καὶ βασιλεῖ, ὡς ἀφίξεται ὅσον οὔπω. ἐκεῖνος μὲν οὖν τὴν παρὰ θεοῦ βοήθειαν ἐπευξάμενος ἐν τοῖς παροῦσι τῷ βασιλεῖ, καὶ προσκυνήσας ἀπῆλθε. βασιλεὺς δ’ εὐθὺς τοὺς ἑταίρους μετεκαλεῖτο· ἀλλ’ ὁ μὲν μέγας δομέστικος, θείου αὐτῷ τοῦ Ταρχανειώτου, ἀδελφῆς τοῦ πρώτου βασιλέως Μιχαὴλ υἱοῦ τεθνηκότος, παρῆν ἐκεῖ πενθήσων ἐπὶ κειμένῳ τῷ συγγενεῖ. ὁ πρωτοστράτωρ δὲ διατρίβων οἴκοι, ἀφίκετό τε πρὸς βασιλέα εὐθὺς καὶ τὴν αἰτίαν τῆς κλήσεως ἠρώτα μαθεῖν. βασιλεὺς δὲ τά τε παρὰ βασιλέως μηνυθέντα, καὶ ὅτι δίκης ἕνεκα καλοῖτο γνωρίζει, καὶ ὡς ἥξειν ἐπηγγείλατο κατὰ τάχος, προσθεὶς καὶ τοῦτο, ὡς κατὰ γνώμην ἂν αὐτῷ γένοιτο δικασθῆναι, δυνησομένῳ ῥᾳδίως αὐτὸν μὲν οὐδενὶ τῶν ἐγκαλουμένων ἐνεχόμενον ἀποδεῖξαι, τὸν δὲ κύριον καὶ βασιλέα ψυχῆς ἰδίας θέλησιν ἐκδικοῦντα. ὁ πρωτοστράτωρ δὲ „πάνυ μοι δοκεῖς ἁμαρτάνειν“ ἔφη „τοῦ ὄντος, ὦ βασιλεῦ, καὶ, ὡς ἔοικεν, ὧν πρός σε περὶ τῆς τοιαύτης κρίσεως ὁ μέγας δομέστικος εἴρηκεν ἐπελάθου, ἃ δήπου καὶ σοὶ εἰρῆσθαι τότε καὶ ἡμῖν ὀρθῶς ἐδόκει. σοῦ γὰρ εἰρηκότος, ὡς βουλοίμην ἂν ἐπὶ τοῦ βασιλέως καὶ πάππου δίκης τυχών, ἢ τὰ ἐγκλήματα ἀπολύσασθαι, ἢ τοῦτο μὴ δυνηθείς, μὴ τὴν βασιλείαν μόνον, ἀλλὰ καὶ αὐτὴν ἀφαιρεθῆναι ζωὴν“ ὅδ’ ηὔξατο, μὴ ζῶν ἰδεῖν τοιαύτην ἡμέραν, ἐν ᾗ γενήσεταί σοι τῷ βασιλεῖ καὶ τῷ πάππῳ δικαζόμενον ἰδεῖν· οὐ γὰρ δίκης, καταδίκης δὲ μᾶλλόν ἐστιν ἀληθὲς τὴν ἡμέραν προσειπεῖν ἐκείνην. [25]

1 58 ἑνὸς γὰρ ὄντος τοῦ δικάζοντος καὶ τοῦ κατηγοροῦντος, οὐδὲν ἄλλο λείπεται συνάγειν. ἄλλως τ’ οὐδὲ τῶν ἀνοήτων ὁ βασιλεὺς, ὥσθ’ οὕτως ἀπερισκέπτως ὁρμηθῆναι πρὸς τὴν δίκην, ὡς καὶ καιρὸν ἀπολογίας σοι παρασχεῖν, καὶ ἢ τὰ ἐγκλήματα ἀπολύσασθαι, ἢ καὶ ἀδικούμενον ἑαυτὸν ἀποδεῖξαι· ἀλλὰ βαθείας ὢν καὶ συνετῆς, ὡς ἴσμεν, φρενὸς, καὶ δεινὸς πράγμασι χρῆσθαι, τότ’ ἐπὶ τῆς δίκης σε καταστήσει, ὅτε πρὸς τὸ αὐτῷ δοκοῦν πάντα προκατασκευασάμενος, οὐδενὸς ἄλλου λείποιτο, ἢ τὴν ἀπόφασιν ἐξενεγκεῖν κατὰ σοῦ· καὶ τοῦτο, ἵνα καὶ τοῖς ἔξω δίκαια δοκοίη ποιεῖν, ὡς ἐπὶ τοῖς ἀνοσιωτάτοις σοῦ φανερῶς ἑαλωκότος καὶ διὰ τοῦτο δικαίως πάσχοντος ὁτιοῦν. Τοιαῦτα πρὸς ἀλλήλους ὁμιλούντων, αὖθις ἦκε μηνυτὴς ἕτερος ἐκ βασιλέως, ἐπισπεύδων τὴν ἐν βασιλείοις ἄφιξιν τῷ ἐγγόνῳ· ὁ δ’, (οὐ γὰρ ἐξῆν ἑτέρως δρᾶν,) ἀφικνεῖται πρὸς τὸν βασιλέα καὶ πάππον, λύπῃ πολλῇ τηκόμενος τὴν ψυχὴν, διὰ τὸ τὸν μέγαν ἀπόντα δομέστικον μὴ περὶ τῶν παρόντων ἐσχηκέναι συνδιασκέψασθαι. εὐθὺς δὲ μετὰ μικρὸν καὶ ὁ μέγας δομέστικος ἦκεν ἐν βασιλείοις, καὶ τὸν μὲν βασιλέα παρὰ τῷ βασιλεῖ καὶ πάππῳ ἔνδον εὗρισκεν ὄντα, τὸν πρωτοστράτορα δ’ ἔξω καθήμενον, καὶ τῇ ὄψει τὴν ἔνδον ταραχὴν τῆς καρδίας καὶ τὴν φροντίδα ὑποδεικνύντα· εἶπέ τε πρὸς αὐτόν· „δοκεῖς μοι περί τινος σκέπτεσθαι τῶν μεγάλων τῇ ἔξωθεν ὄψει καὶ τῇ συννοίᾳ·“ ὁ δ’ ἔφη καὶ σκέπτεσθαι, καὶ περιστάσεσι προσομιλεῖν ταῖς ἐσχάταις· τοῦ δ’ ὅτου χάριν, ἀντερομένου, „ὁ βασιλεὺσ“ ἔφη „παρὰ βασιλέως τοῦ πάππου κληθεὶς ἐπὶ δίκην, σοὶ μὲν συντυχεῖν πολλὰ ζητήσας, οὐκ ἠδυνήθη· τοῦ καιροῦ δὲ οὐκ ἐπιτρέποντος διαμέλλειν, αὐτὸς μὲν εἰσῆλθε πρὸς βασιλέα, ἐμοὶ δὲ φόβον οὐ μικρὸν ἐνέθηκε περὶ αὐτοῦ, μάλιστα τῶν σῶν λόγων ἐνθυμουμένῳ, οὓς πρὸς ἡμᾶς περὶ τῆς δίκης ταυτησὶ διεξῆλθες. [5]

1 59 “ τοῦ δ’ αὖθις ἐπανερομένου „τί δ’ ἡμῖν ἄχρι νῦν ἁρμόζον τῷ καιρῷ καὶ τοῖς πράγμασιν εἴργασται;“ „οὐδὲν“ εἶπεν ὁ πρωτοστράτωρ „βραχυτάτου γὰρ ὄντος τοῦ μεταξὺ τῶν ἀγγελιῶν χρόνου, καὶ τὴν ὡς βασιλέα ἄφιξιν κατεπείγοντος, οὐδὲν ἐπράξαμεν τῶν δεόντων.“ „πῶς δ’ οὐ πάρεισιν ἐνταῦθα τοῦ βασιλέως οἰκετῶν ἢ καὶ τῶν σῶν τινες;“ ἐρομένου, „παρῆσαν μὲν“ εἶπεν ὁ πρωτοστράτωρ „δείσας δ’ ἐγὼ μὴ παρόντας ὁρώντων καὶ ἄλλων ἄλλα λογιζομένων, ἐκ τούτου συμβῇ τις ὑποψία καὶ βλάβη, ἐκέλευσα ἀπιέναι.“ ὁ δὲ πολλὰ καταμεμψάμενος τῆς

ἀβουλίας, καὶ μηδένα καιρὸν ἄλλον εὑρήσειν ἐπικινδυνότερον ἢ βιαιότερον εἰπὼν, ὥστε τὴν ἄδολον αὐτῶν εὔνοιαν καὶ ἀγάπην ἐνδεικνυμένους πρὸς βασιλέα τῶν περισχόντων ἀπαλλάττειν κινδύνων, „σὺ μὲν“ ἔφη „τῶν σῶν οἰκετῶν ὁπόσους ἂν ἐξῇ καὶ τῶν φίλων συναγαγὼν, ἐνταῦθα κέλευσον μένειν· ἐγὼ δ’ ἐξελθὼν αὖθις τοὺς βασιλέως συναθροίσω καὶ τοὺς ἐμούς· εἰς ἓν δὲ συνελθόντες, καὶ τὸν νέον βασιλέα παραλαβόντες, ὅπερ οἶμαι δυνήσεσθαι, πρὸς τὸν τῆς Σοφίας ἀπελευσόμεθα τοῦ θεοῦ λόγου θεῖον νεὼν, τὴν σωτηρίαν διὰ τῆς ἀσυλίας τῆς ἐκείνου πραγματευσόμενοι, εἶτα διαπρεσβευσάμενοι πρὸς βασιλέα, ἀμνηστίαν αἰτήσομεν τῶν τολμηθέντων· τὸν δὲ, δείσαντα τὴν στάσιν, ὥσπερ εἰκὸς, ὅρκῳ καὶ βασιλεῖ καὶ ἡμῖν καὶ τὴν ἀσφάλειαν πιστώσασθαι καὶ τὴν ἀμνηστίαν τῶν εἰργασμένων. [5]

1 60 τοῦ νέου δὲ βασιλέως ἀπαλλαγέντος τοῦ περισχόντος νῦν ἐξαπίνης κινδύνου, τότ’ ἤδη βουλευσαμένοις ὅπερ ἂν δοκῇ βέλτιον, ἐξέσται πράττειν κατ’ ἐξουσίαν. ἢ γὰρ ἐκ τῆς ἠπείρου μίαν τῶν τῆς πόλεως πυλῶν διατεμόντες ἐκπεσούμεθα νυκτὸς, ἢ τῶν ἐκ Γεννούας τοῦ βασιλέως φίλων τριήρη μίαν ἢ καὶ δύο πληρωσάντων ἐπιβησόμεθα, καὶ πρὸς τὰς παραλίους τῆς Θρᾴκης πόλεις (αὗται δ’ εἰσὶν ἡμέτεραι διὰ τὸ τὸν Συργιάννην αὐτῶν ἐπιτροπεύειν,) διασωθησόμεθα· καὶ οὕτω μακρὰν γενόμενοι τῶν κινδύνων, ἃ δοκεῖ συμφέρειν ἐν ὑστέρῳ πράξομεν. τὸ δὲ νῦν ἔχον, πάσῃ δεῖ χρήσασθαι καὶ ἀνδρίᾳ καὶ προθυμίᾳ, καὶ αὐτὴν, εἰ δέοι, τὴν ζωὴν προθύμως προϊεμένους, ὥστε τῶν περισχόντων ἐξαρπάσαι κινδύνων τὸν βασιλέα, καὶ μὴ περιϊδεῖν αὐτὸν ἅμα τῷ δικαίῳ διαφθαρέντα· καὶ ἰατρῶν γὰρ τοὺς ἐμπειροτέρους ὁρῶμεν καὶ στρατηγῶν πρὸς τὰ κατεπείγοντα μᾶλλον ἱσταμένους τῶν νοσημάτων καὶ τῶν πολέμων.“ Ταύτης τῆς βουλῆς καὶ πρωτοστράτορι βελτίστης εἶναι κριθείσης, ἐδέδοκτο πρὸς τέλος ἐξάγειν· καὶ πρωτοστράτωρ μὲν εὐθὺς πέμψας, μετεκαλέσατο τῶν οἰκετῶν καὶ τῶν φίλων ὅσους ἐνῆν· οἱ δὲ παρῆσαν σὺν τάχει. [20]

1 61 ὁ μέγας δὲ δομέστικος ἀπελθὼν, ὅσους ἐνῆν τῶν βασιλικῶν καὶ τῶν ἰδίων συναγαγὼν, τοὺς δὲ διεσκεδασμένους ὅταν ἐπανήξωσι παραγγείλας ἰέναι πρὸς τὰ βασίλεια, ἐπανῆλθε σὺν τάχει. τούτων δ’ οὕτω σὺν σπουδῇ πραττομένων, ἐπεὶ κυριακὴ ἦν, ἔθος δ’ ἐπεκράτησεν ἐκ πολλοῦ ἐν τῇ πρώτῃ ταύτῃ τῆς ἑβδομάδος ἡμέρᾳ Γεννουΐτας τε καὶ τοὺς ἐκ Βενετίας Λατίνους ἀφικνουμένους εἰς τὰ βασίλεια τιμῆς τε ἕνεκα καὶ ὁμολογίας τοῦ ὑπὸ βασιλεῖ τῶν Ῥωμαίων τετάχθαι, ἄλλο μὲν οὐδὲν, μόνην δὲ προσκύνησιν ἀπονέμοντας, πάλιν οἴκαδε ἀπιέναι. ἦκον καὶ τότε οἱ ἐκ Γεννούας πράξοντες τὰ εἰωθότα, ἐν οἷς ὁ μέγας δομέστικος τοὺς δύο τῶν εἰρημένων τοῦ βασιλέως φίλων εὑρὼν, καὶ τῶν τε ὑποσχέσεων ἀναμνήσας, ἔτι δὲ καὶ τὴν ἀναγκαιοτάτην τῆς βοηθείας χρείαν ἀναδιδάξας, ἐξαπέστειλε τὰς τριήρεις ἐφοπλίζειν. οἱ δ’ ἀπελθόντες καὶ σπουδῇ χρησάμενοι τῷ καιρῷ προσηκούσῃ, ἐντὸς ὡρῶν εἴκοσι τρεῖς πληροῦσι τριήρεις. ταῦτα καὶ πρωτοστράτωρ ὁρῶν, καὶ ἐν ἐλπίσιν ἤδη χρησταῖς γενόμενος, ὑπερήδετό τε καὶ ὁρμῆς ἐπληροῦτο, πολλοὺς περὶ αὐτοὺς τῶν τε βασιλικῶν καὶ τῶν ἰδίων ἀθροιζομένους ὁρῶν. οὐδεὶς μέντοι τῶν συναθροιζομένων τὴν αἰτίαν τῆς συνόδου συνῄδει πλὴν Ἀποκαύχου· ἐκείνῳ γὰρ μόνῳ τὴν αἰτίαν ἐκοινώσαντο τῶν πραττομένων· οἱ δ’ ἄλλοι τινὸς μὲν ἕνεκα μεγάλου τὴν μετάκλησιν ὑπενόουν εἶναι, καὶ τεκμήριον ἐποιοῦντο τὸ τοὺς ἵππους ἔχοντας ἰέναι πρὸς τὰ βασίλεια κελευσθῆναι, εἶχον δὲ εἰδέναι σαφὲς οὐδὲν, πλὴν τὰ περὶ τοῦ Καθαροῦ τῆς φήμης διαθρυλλούσης, (διεδέδοτο γὰρ ἤδη πρὸς πάντας,) ἰδεῖν τι καὶ ἀκοῦσαι καινότερον ἤλπιζον. [5]

1 62 οἱ μὲν ἐν τούτοις ἦσαν. ιγ′. Βασιλεὺς δ’ ὁ νέος νύξιν ὑποκριθεὶς τῆς γαστρὸς καὶ πρὸς τοὺς ἐξωτέρω τῶν βασιλείων ἐξελθὼν οἴκους, τὸν μέγαν δομέστικον ἀνεζήτει· εὑρὼν δὲ, σὺν ἄλγει καὶ ἀθυμίᾳ ψυχῆς „σὺ δ’, ὦ ἀγαθὲ“ ἤρετο „ὅπου μέχρι νῦν ἦς;“ ὁ δὲ περιπαθέστερον ἀπεκρίνατο· „ὅπου μὲν οὐκ ἠβουλόμην, ἡ δ’ ἀνάγκη τῶν πραγμάτων συνώθει.“ εἶτ’ ἐξαγγείλας ὅσα τε ἐβουλεύσαντο καὶ ὅσα ἔπραξαν ἄχρι τότε, τῆς μὲν βουλῆς αὐτοῖς ὁ βασιλεὺς καὶ τῶν

πραττομένων χάριτας ὡμολόγει· ἐρωτηθεὶς δ' ὅ, τι δέοι πράττειν αὐτοὺς, τὴν μὲν δίκην ἔφησε γενήσεσθαι μέλλειν ἀναμφιβόλως· μέχρι δὲ νῦν μηδὲν εἰρῆσθαι πρὸς μηδένα τῶν ἀφικνουμένων τῷ πάππῳ καὶ βασιλεῖ. „ἐνδέχεσθαί γε μὴν καὶ νῦν ὑπερθέσθαι τὸν βασιλέα τὰ μελετώμενα, τῇ παρουσίᾳ τῇ ἐμῇ διασκεδασθέντα, ὥσπερ δὴ καὶ πρότερον ὀλίγαις ἡμέραις συμβέβηκεν, ὅτ' ἔθος ἡμῖν τὴν τοῦ μεγάλου κανόνος ψάλλεσθαι ἀκολουθίαν." ἄξιον δὲ διηγήσασθαι καὶ τὸ τότε συμβάν. τοῦ μεγάλου λογοθέτου τοῦ Μετοχίτου ἐν ὥρᾳ μάλιστα χειμῶνος, διὰ τὴν σμικρότητα τῆς ἡμέρας, οὐ δὶς τῆς ἡμέρας, ἀλλ' ἅπαξ εἰωθότος τοῖς βασιλείοις ἐπιδημεῖν καὶ διημερεύειν, καὶ αὐτὴν τὴν τοῦ μεγάλου κανόνος ἡμέραν διημερεύσαντος τοῖς βασιλείοις, καὶ ἤδη νυκτὸς ἐπελθούσης οἴκαδε ἀπελθόντος, ὁ βασιλεὺς κατὰ τάχος μετεκαλέσατο παρὰ τὸ πρότερον εἰωθός. [20]

1 63 τοῦτο δὲ οἱ τοῦ μεγάλου λογοθέτου παῖδες, Δημήτριος καὶ Νικηφόρος, ἰδόντες καὶ περί τινων καινοτέρων τὴν τοῦ πατρὸς ἀήθη μετάκλησιν, ὡς εἰκὸς, ὑπολογισάμενοι, (οὐδὲ γὰρ οὐδ' αὐτοὶ τῶν μελετωμένων κατὰ τοῦ νέου βασιλέως ἀνήκοοι ἦσαν,) ἥκουσι πρὸς βασιλέα τὸν νέον καὶ τὸ συμβὰν ἀπαγγείλαντες, ἃ δέοντα ἂν νομίζοι περὶ ἑαυτοῦ ἐδέοντο δρᾷν. ὁ βασιλεὺς δὲ τούτους μὲν ἀπέπεμψεν ἐπαινέσας, μετὰ δὲ τῶν φίλων διασκεψάμενος, ἐδόκει δεῖν, ἐπεὶ καὶ μετ' οὐ πολὺ τῆς ἑορτῆς χάριν καιρὸς ἀφικέσθαι πρὸς τὰ βασίλεια, (ἄλλως γὰρ εἶχεν ἂν ὑποψίαν ἡ ἄφιξις,) ἐλθεῖν καὶ πρὸ τοῦ καιροῦ. „κἂν μὲν περί τινων ἄλλων ἡ διάσκεψις ᾖ, τῆς ἑορτῆς χάριν δόξομεν ἀφικέσθαι· ἂν δὲ περὶ ἡμῶν, παυθήσεσθαι τὴν βουλὴν, ἡμῶν παρόντων." ὃ δὴ καὶ συμβέβηκε. τοῦ πρεσβυτέρου γὰρ βασιλέως πρὸς τὸν μέγαν λογοθέτην περὶ ὧν ἐδεῖτο διαλεγομένου καὶ τοῦτο μόνον εἰπόντος, περὶ μὲν τοῦ τίνα χρὴ τρόπον γενέσθαι βουλὴν ζητεῖν, περὶ δὲ τοῦ γενέσθαι ἢ μὴ, οὐ ζητεῖν, (ὡς ὕστερον ἐκ τῶν ἐκεῖ παρόντων πρὸς ὑπηρεσίαν τῷ βασιλεῖ μαθεῖν ἀκριβῶς ἐξεγένετο,) καὶ ὁ νέος παρῆν βασιλεὺς, καὶ ἡ βουλὴ διελέλυτο· εἴτε περὶ τῶν προκειμένων ἤ τινων ἄλλων ἦν, οὐδαμῶς φανεροῦ γεγενημένου. τούτου δὴ τότε καὶ ὁ βασιλεὺς εἰς μνήμην ἐλθὼν, ἔλεγε πρὸς τοὺς ἑταίρους, ὡς ἴσως ὥσπερ τότε τὰ τῆς βουλῆς, οὕτω δὴ καὶ νῦν τὰ τῆς δίκης ὁ βασιλεὺς ὑπερθήσεται. [20]

1 64 τὸ δ' οὐκ εἶχεν οὕτως· ἀλλ' ἀναμφιβόλως ἡτοίμαστο τὰ τῆς δίκης. ἔτι γὰρ δομεστίκῳ τῷ μεγάλῳ διαλεγομένου βασιλέως καὶ τὸν ἀριθμὸν ζητοῦντος μαθεῖν τῶν συνηγμένων ἀνδρῶν, καὶ τούτου πρὸς αὐτὸν ἀποκριναμένου, ὡς „νῦν μέν εἰσιν ἑκατὸν, μικρᾶς δὲ παρελθούσης ὥρας συνελεύσονται καὶ μέχρι τριακοσίων, πάντες ἀνδρεῖοι καὶ μάχεσθαι ἠσκημένοι· εἰ δεήσει δὲ ἀπέρχεσθαι, καὶ ἄλλοι πλείονες συνδραμοῦνται καὶ οὓς οὐκ ἴσμεν·" περὶ τούτων δὴ διαλεγομένων καὶ θεοῦ δεομένων τὴν τῆς δίκης ὥραν παραταθῆναι, ὥστε συναθροισθῆναι τοὺς ἐλπιζομένους ὑπὲρ αὐτῶν μαχεῖσθαι, ἦκεν ἐκ βασιλέως τοῦ πρεσβυτέρου πρὸς τὸν νέον ἀπεσταλμένος ὁ Καλλικρηνίτης Μιχαὴλ ἐκτομίας· καὶ πρὶν φθέγξασθαι τοῖς δάκρυσι καὶ τοῖς στεναγμοῖς κακῶν ἄγγελος ἥκειν σημαίνων, πρότερον δ' ἑαυτῷ τὴν γῆν χανεῖν μᾶλλον καὶ τῆς ἡδίστης ἀπεστερῆσθαι ζωῆς ἀνεκτότερον εἶναι, ἢ τοιούτων κακῶν ἄγγελος ἥκειν εἰπών· „ὁ κύριος" ἔφη „καὶ βασιλεὺς ὁ σὸς πάππος, ὦ βασιλεῦ, ἐπὶ δίκην καλεῖ." τοῦ βασιλέως δ' ἐπὶ τούτοις εἰπόντος, ὡς „τῆς μὲν εἰς ἐμέ σου εὐνοίας ἀξιόχρεως τὰ δάκρυα μάρτυς· ἀνθ' ὅτου δ' οὕτω θρηνεῖς, ἐν ἀδήλῳ κειμένης τῆς δίκης; ἐνδέχεται γάρ με καὶ τὴν νικῶσαν ἐνεγκάμενον ἀπελθεῖν·" ὁ Καλλικρηνίτης „αὐτὰ τὰ πράγματα θρηνεῖν πείθουσιν" εἶπεν „ὦ βασιλεῦ· τοῦ γὰρ βασιλέως καὶ πάππου τοῦ σοῦ ἐπὶ θρόνου καθεσθέντος, ὡς ἔθος, καὶ τοῦ πατριάρχου παρ' αὐτῷ ἐπὶ δίφρου, τῶν δ' ἀκροασομένων τὴν δίκην ἐξ ἑκατέρων μερῶν, σοὶ μόνῳ, τοῦ βασιλέως προστεταχότος, σκίμπους ἐτέθη κατὰ πρόσωπον βασιλέως, καὶ οὗτος ἀπωτέρω. [20]

1 65 ὅπερ ἰδὼν ηὐξάμην, ὅπερ εἶπον, σήμερον τὴν γῆν χανεῖν μοι, καταδίκης τόπον τὴν καθέδραν λογισαμένῳ. ἀλλ' ὁ Δανιὴλ τὸν αὐτοῦ προφήτην ἐκ τοῦ λάκκου τῶν λεόντων ἀβλαβῆ διασώσας, καὶ τῆς Βαβυλωνίας καμίνου τοὺς τρεῖς παῖδας κρείττονας ἀποδείξας θεὸς, καὶ

Σωσάνναν τῶν ἀδίκων κριτῶν τὴν συκοφαντίαν ἐλέγξας, αὐτὸς τῆς ἐφεστώσης ἀνάγκης κρείττονα καὶ σὲ νῦν ἀποδείξαι, καὶ ἀποστείλαι τὸν ἄγγελον αὐτοῦ προπορεύεσθαί σου, καὶ σοφίαν παράσχοι καὶ σύνεσιν, ὥστε τὰ προβαλλόμενα λύειν εὐκόλως ὡς ἀράχνης ἱστούς.“ Οὕτως εὐξαμένου τοῦ ἐκτομίου, ὁ βασιλεὺς „τὸ τοῦ Χριστοῦ θέλημα γενέσθω“ εἰπὼν, καὶ τῷ πάππῳ μηνύσας, ὡς ἕτοιμός ἐστι τὸ προσταττόμενον ἐκπληροῦν, πρὸς τοὺς φίλους ἐπιστραφεὶς, „νῦν καιρὸς“ ἔφη „ἀνδρίαν ἅμα καὶ σπουδὴν καὶ σύνεσιν καὶ καρτερίαν ἐν τοῖς δεινοῖς ἐπιδείξασθαι ἡμᾶς. καίτοι γε πολλοὶ πολλάκις καὶ τὸν ἀριθμὸν ἐλάσσους, καὶ τἄλλα ἡμῶν ἡττώμενοι, ὁμόνοιαν κτησάμενοι, θαυμάσιά τε καὶ ἀκοὴν ἐκπλήττοντα κατώρθωσάν τινα· ἡμᾶς δὲ τοσούτους ὄντας καὶ τοιούτους πολὺ δήπου δικαιότερον ἀξίους ἑαυτῶν κἀπὶ τῶν ἔργων φανῆναι, ἐγκωμίων ἄξια δράσαντάς τινα καὶ γενναῖα, ὡς ἢ καλῶς ζῆν ἢ ἀποθανεῖν εὐκλεῶς· καὶ ταύτην μόνην ἡγήσασθαι διάνοιαν ἀξίαν ἑαυτῶν. ἐγὼ μὲν οὖν ἤδη πρὸς τὴν δίκην χωρῶ· ἀλλ’ εἰ μὲν καὶ αὖθις γένοιτο, θεοῦ διδόντος, ἀλλήλοις τε συγγενέσθαι καὶ τὴν ποθεινὴν ἀλλήλων ὄψιν ἰδεῖν, αὐτῷ χάρις· εἰ δ’ ἕτερόν τι δέδοκται περὶ ἡμῶν, ἐγὼ μὲν ἀσπάζομαι ὑμᾶς τὰ τελευταῖα δὴ ταῦτα· ὑμεῖς δ’ ἄξιοι φάνητε καὶ τῆς εὐγενείας καὶ τῆς ἀνδρίας. [5]

1 66 “ ’Επὶ τούτοις ἀμφοτέρων ἀποκρίνασθαι ὡρμημένων, τοῦ πρωτοστράτορος ἐπισχόντος, ὁ μέγας δομέστικος ἔφη· „τῶν λογικῶν ἀνθρώπων κατὰ τοῦτο τῶν ἀλόγων ὑπερεχόντων, ὅτι λόγῳ χρώμενοι τὰ δέοντα αἱροῦνται, οὐδὲν ἀναγκαιότερον οὐδὲ ὠφελιμώτερον τοῦ φιλίαν αἱρεῖσθαι ἡγοῦμαι. τοίνυν καὶ αὐτὸς, ὦ βασιλεῦ, τὴν σὴν φιλίαν ἐκ παιδὸς ᾑρημένος, καὶ εἰς τόδε χρόνου διατηρήσας αὐξανομένην, καὶ μέχρι ζωῆς ὅρων ἀκραιφνῆ καὶ καθαρὰν ἐλπίζω φυλάξειν. θάρσει τοιγαροῦν, ὦ βασιλεῦ, ὡς οὐ πρότερόν σοι τῶν ἀβουλήτων τι συναντήσει, πρὶν ἐμὲ πεσεῖν τῶν ἰδίων αἱμάτων ἐμπεπλησμένον. σὺ μὲν οὖν ἔχου τῆς προκειμένης ὁδοῦ τῇ παρὰ τοῦ σωτῆρος Χριστοῦ καὶ τῆς αὐτὸν τεκούσης βοηθείᾳ, ἔτι δὲ καὶ ταῖς εὐχαῖς τοῦ πρὸ μικροῦ παρὰ βασιλέως ἀπεσταλμένου τετειχισμένος. ἡμεῖς δ’ ἐν τῷ ἐξωτέρῳ τοῦ, ἐν ᾧ ἡ δίκη γεννήσεται, μενοῦμεν οἴκῳ, τὰς ψυχὰς ὑπὲρ τῆς σῆς ὠφελείας ὄντες ἕτοιμοι προέσθαι, βίας ἐπαγομένης.“ τοῖς αὐτοῖς δὲ τούτοις καὶ ὁ πρωτοστράτωρ εἰπὼν ἀρκεῖσθαι, ἀλλήλοις συνταξάμενοι, καὶ ὥσπερ περιπτυξάμενοι τελευταῖον, τῷ σταυρῷ τε καθοπλίσαντες ἑαυτοὺς, ἐχώρουν ἐπὶ τὴν δίκην ἀτρέπτῳ καὶ βεβηκότι καὶ σχήματι καὶ φρονήματι. ιδ′. [20]

1 67 Οἱ μὲν οὖν ἑταῖροι τοῦ βασιλέως ἔμειναν ἔξω· αὐτὸς δ’ εἰσελθὼν τὸν οἶκον τῆς δίκης, τοῦ πάππου καὶ βασιλέως ἐπὶ τοῦ θρόνου καθημένου, αὐτὸς ἐπὶ τοῦ προειρημένου σκίμποδος ἐκαθέσθη. καὶ οἱ προσκληθέντες δὲ τῆς δίκης ἀκροαταὶ, ἐφ’ ᾧ προσῆκεν ἕκαστος ἐκαθέσθησαν. ἦσαν δ’ οὗτοι· Γεράσιμός τε ὁ πατριάρχης, χαρίτων μὲν θείων πεπληρωμένος καὶ τῆς μοναδικῆς πολιτείας εἰς ἄκρον ἐληλακὼς, πολιτικῶν δὲ πραγμάτων καὶ δημοσίων παντάπασιν ἀπείρως ἔχων· καὶ ὁ τὸν τῆς Φιλαδελφείας θρόνον κοσμῶν Θεόληπτος, καὶ αὐτὸς μὲν εἰς ἄκρον ἀρετῆς ἥκων, καὶ πολιτείας ἀκρίβειαν μοναδικῆς οὐ μόνον κατωρθωκὼς, ἀλλὰ καὶ ἑτέρους ἱκανῶς ἔχων διδάξαι· ἔτι δὲ καὶ φρονήσεως εὖ ἔχων, καὶ παιδείας τῆς ἔξωθεν οὐκ ὀλίγον μεταλαβών. ἀπὸ δὲ τῶν τῆς συγκλήτου παρῆσαν ὅ, τε μέγας λογοθέτης ὁ Μετοχίτης, ὃν ἐδήλωσε φθάσας ὁ λόγος, καὶ ὁ ἐπὶ τοῦ Κανικλείου Νικηφόρος ὁ Χοῦμνος, σοφὸς ἀνὴρ καὶ θαυμάσιος ἐν φρονήσει, πολλῆς τε ἀπολαύων πρὸς βασιλέως εὐνοίας τε καὶ τιμῆς· δι’ ἣν καὶ τὴν αὐτοῦ θυγατέρα Εἰρήνην τῷ υἱῷ αὐτοῦ τῷ δεσπότῃ ’Ιωάννῃ πρὸς γάμου κοινωνίαν ἤγαγεν ὁ βασιλεύς. ὃς δὴ πρότερον μὲν ἦν μεσάζων καὶ αὐτὸς πρὸς τὰ πράγματα βασιλεῖ, τότε δὲ ὑπὸ νόσου, (ποδαλγία δὲ ἦν,) τῆς μὲν ὑπηρεσίας ἐπέπαυτο, τιμῆς δ’ ἀπέλαυε τῆς παρὰ βασιλέως πολλῆς. πρὸς τούτοις δὲ καὶ ὁ Ἀκροπολίτης ἦν Κωνσταντῖνος, μέγας λογοθέτης ὢν καὶ αὐτός. [20]

1 68

ἐπ’ ὀλίγον δὲ σιγῆς γενομένης, ὁ τῶν Ἀνδρονίκων πρεσβύτερος λόγου ἥπτετο βασιλεὺς τοιούτου· „δέσποτα πατριάρχα καὶ ὑμεῖς οἱ παρόντες, ὁ ἄνθρωπος οὗτος (περὶ τοῦ ἐγγόνου δηλῶν,) ἔστι μὲν σκληρὸς καὶ τοὺς τρόπους αὐθάδης· ἔτι δὲ καὶ παρήκοος, καὶ οὐδαμῶς ὑπείκων ἐμοὶ, ἀλλ’ ἃ βούλοιτο πράττων, τοῦ ἡμετέρου λόγον θελήματος ποιούμενος οὐδ’ ὀλίγον. διὰ τοῦτο“—μέχρι μὲν οὖν τούτου σιωπῶν βασιλεὺς ὁ νέος καθῆστο· τὸ „διὰ τοῦτο“ δὲ ἀρχὴν ἀποφάσεως εἶναι νομίσας, „δέομαί σου, θειότατέ μοι καὶ κύριε βασιλεῦ“ εἶπε „μικρὸν ἐπισχόντα, λόγου χρόνον ὀλίγον ἐμοὶ χαρίσασθαι· ἃ δὲ βούλομαι διεξελθόντι ὡς ἐν βραχεῖ, τοῦ λόγου τὸ λοιπὸν αὐτὸς περανεῖς.“ τοῦ δ’ ἐπιτρέψαντος ἃ βούλοιτο λέγειν, „τὸν θεὸν,“ ὁ νέος Ἀνδρόνικος ἔφη, „τῶν παρόντων λόγων μάρτυρα προκαλοῦμαι, ὡς οὐδὲν ὧν ἐγκαλοῦμαι ἐμαυτῷ σύνοιδα εἰργασμένῳ. τὸ δ’ αὐτὸ καὶ πρότερον ἐδήλωσα τῷ σῷ κράτει, τῷ θαυμασίῳ Ἰωσὴφ χρησάμενος πρεσβευτῇ. τοῦτο δὴ καὶ νῦν αὖθις διϊσχυρίζομαι, καὶ ὅρκοις πιστούμενος τοὺς λόγους, ὡς οὔτε νῦν οὔτε τότε τῶν ἐγκαλουμένων ἐμαυτῷ τι σύνοιδα εἰργασμένῳ. ἐξαμαρτάνειν μέντοι γε καὶ πάνυ πείθομαι τοιαῦτα, οἷον, εἴγε σοὶ μὲν οὐκ ἤρεσκε πρὸς κυνηγεσίαν ἀπελθεῖν, ἐγὼ δὲ ἀπῆλθον· εἰ ἐπὶ πλείονα χρόνον ἐχρησάμην ἵππῳ, σοὶ τούτου ἴσως οὐ καλῶς ἔχειν δοκοῦντος· ἢ εἰ δή τι τοιοῦτον ἕτερον· καὶ τοῦτο δὲ οὐ προσταττόμενος παρὰ σοῦ, ἔπειτ’ εἰς οὐδὲν τὸ ἐπίταγμα τιθέμενος ἐποίουν· ἀλλ’ ἐγὼ μὲν ἐποίουν μηδὲν εἰδώς· σοὶ δ’ ἴσως ἂν ἐμὲ ἁμαρτάνειν ἐδόκει. [20]

1 69 ᾧ δὴ καὶ πείθων ἐμαυτὸν ἀδικεῖν μηδὲν, κατὰ γνώμην, ἔλεγον, ἐμοὶ γένοιτ’ ἂν ἐπὶ τοῦ κυρίου καὶ βασιλέως δίκης τυχεῖν, πρὸς οὓς ἐποιούμην τοὺς λόγους· εἰ γὰρ τοῦτο γένοιτο, πρὸς οὐδὲν μὲν τῶν ἐγκαλουμένων ἐλεγχόμενος αὐτὸς φανεῖσθαι· τὸν βασιλέα δὲ τὴν περὶ τοῦ ἁμαρτάνειν ἐμὲ ὑπόνοιαν ἀποθέμενον, τῆς ὀργῆς ἂν ὑφεῖναι. οἶσθα γὰρ αὐτὸς, ὦ βασιλεῦ, ὅτι μετὰ τὴν τοῦ ἐμοῦ βασιλέως καὶ πατρὸς τελευτὴν ἄχρι καὶ νῦν τοσαύτῃ χρώμενος ἐφαίνου τῇ μήνιδι κατ’ ἐμοῦ, ὡς ἐπὶ τοσοῦτον χρόνον οὐδὲ λόγου γοῦν ἀξιῶσαί τινος· ὃ καὶ θανάτου βαρύτερον ἐμοὶ λογιζομένῳ, τοιαῦτ’ ἐπῄει λέγειν, οἰομένῳ καιροῦ τινος πρὸς ἀπολογίαν τυχεῖν κατὰ τὸν ἐπικρατοῦντα νόμον ταῖς δίκαις. καίτοι γ’ ἔφασκον ἐμὲ, πρὸς οὓς διελεγόμην, παντάπασιν ἁμαρτάνειν περὶ τῶν πραγμάτων γνώμης ὀρθῆς, εἰ τοῦ αὐτοῦ δικάζοντος ὄντος καὶ ἐγκαλοῦντος, ἐρήμην οὐκ οἴομαι ἁλώσεσθαι, ἀλλ’ ἐλέγχων δεήσεσθαι καὶ ἀποδείξεων πρὸς τὴν καταδίκην. ἐγὼ δὲ οὐκ ἐπειθόμην. νυνὶ δ’ ἐπὶ τῶν πραγμάτων, ὥσπερ ἔλεγον, συμβαῖνον ὁρῶν, (πρὶν γὰρ εἰς λόγους ἥκειν, παρὰ σοὶ κριτῇ ταῖς ἁπάσαις ἑάλων, καὶ τεκμήριον ἀψευδὲς, εἰς ἣν κατεδικάσθην καθέδραν,) νοῦν μὲν ἔσχον μόλις συνετωτέρους ἐκείνους ἐμαυτοῦ κρίνειν· βέλτιον δ’ ἦν, ὥσπερ ἔπειθον ἐμαυτὸν ἐγὼ, οὕτω καὶ τὴν ἀπόβασιν ὀφθῆναι γενομένην τῶν πραγμάτων· ἐῶ γὰρ εἰπεῖν δίκαιον. [20]

1 70 ἐπεὶ δ’ αἱ δυσπραγίαι τοσοῦτον ἔπνευσαν βαρὺ κατ’ ἐμοῦ, ὥστε μοι καὶ τὰ πατρὸς σπλάγχνα τοσοῦτον ἐκπεπολεμῶσθαι, ὡς μηδὲ τῆς ὁτῳοῦν προσηκούσης ἐλευθερίας τυγχάνειν ἐπὶ τὸ τὰ ἐγκλήματα ἀπολύσασθαι, δέομαι τοῦ σοῦ κράτους, ὦ βασιλεῦ, μὴ πρότερον ψῆφον ἐξενεγκεῖν, πρὶν ἂν τὰ ἐγκλήματα, ἅπερ ἐμοῦ κατηγόρηκας, βασάνῳ δοκιμασθῇ. κἂν μέν τι φαίνωμαι τούτων ἐξειργασμένος, τὴν ἐσχάτην δοῦναι δίκην ἀποθανόντα· ἂν δ’ ἐλεύθερος ἐκ πάντων τούτων ἀποδειχθῶ, ὅπερ οἶμαι καὶ σὲ βούλεσθαι καὶ δι’ εὐχῆς ποιεῖσθαι, τότ’ ἐξέσται πάλιν πατρί γε ὄντι σοὶ καὶ κυρίῳ πράττειν τὰ κατὰ γνώμην.“ Τούτοις τοῖς λόγοις εἰς ὀργὴν ἐξαφθεὶς ἐπιπλέον ὁ πρεσβύτερος βασιλεὺς, τραχυτέρᾳ τοῦ δέοντος χρησάμενος τῇ φωνῇ, μὴ οἴεσθαι αὐτὸν ἔλεγε τῶν καλουμένων ἀπὸ Χριστοῦ. ὁ νέος δὲ Ἀνδρόνικος εὐθὺς πρὸς τὸν τοιοῦτον ἅπαντῶν λόγον, „κράτιστε βασιλεῦ“ ἔφη „τῶν ἐμοὶ νῦν ἐπενεχθέντων ἐγκλημάτων πολλῶν ὄντων καὶ χαλεπῶν, ἔτι καὶ πλείω καὶ χαλεπώτερα σοῦ προτάξαντος ἤνεγκα ἂν σιγῇ. ὃ δὲ νῦν ἔφης, μὴ οἴεσθαί με Χριστιανὸν, τοσοῦτον ἀπέχω τοῦ σιγῇ φέρειν ἢ πρὸς ἐμὲ εἰρῆσθαι νομίζειν, ὥστ’ ἐμπίδος ἤ τινος τῶν φαυλοτέρων τὴν φωνὴν ταύτην νομίζω. ἀλλ’ εἰ καὶ αὐτός, φημι, οὐχ

ἡγῇ με Χριστιανὸν, ἀλλ’ ὅγε τὸ σεβάσμιον αὐτοῦ αἷμα ὑπὲρ ἐμοῦ φιλανθρώπως ἐκχέας Χριστὸς, ὑπὲρ οὗ καὶ αὐτὸς ἕτοιμος εἶναι τὸ ἴδιον ἀποδοῦναι, καιροῦ καλοῦντος, θαῤῥούντως φημὶ, ἑαυτοῦ καὶ οἵεταί με καὶ ὀνομάζει. καί τις χρεία τοιούτων λόγων; εἰ μὲν δικάζεις, δίκαζε κατὰ νόμους, εἰ δὲ πρὶν δικάσαι καταψηφίζῃ, οὐδὲν ἧ δίκας λοιπὸν λαμβάνειν. [20]

1 71 πράττε τοιγαροῦν ἅ σοι κεχαρισμένα· χάριτας δέ σοι τὰς μεγίστας ὁμολογῶ τῷ καὶ λέγειν καὶ πράττειν ἐπὶ τῶν παρόντων τουτωνὶ, ἃ δὴ καὶ λέγεις καὶ πράττεις. ἐμοὶ γὰρ ἄν τι καὶ τῶν ἀδοκήτων ἀπό γε τοῦ νῦν ἐπίῃ, οὐ σφόδρα λυπήσει, πολλοὺς ἔχοντι μάρτυρας τῆς ἀδικίας. ιε′. Ἔνδον μὲν οὖν τοιαῦτα παρ’ ἀμφοῖν τοῖν βασιλέοιν ἐλέχθη. ὁ μέγας δὲ δομέστικος καὶ ὁ πρωτοστράτωρ ἐν τῷ ἐξωτέρῳ, καθάπερ ἔφθημεν εἰπόντες, διατρίβοντες οἴκῳ, καὶ τοῦ πρεσβυτέρου βασιλέως τραχύτερον ἀκούσαντες φθεγξαμένου, ἐπὶ κακῷ τε τοῦ νέου βασιλέως τὴν τραχύτητα τῆς φωνῆς οἰηθέντες εἶναι, ἐκινήθησαν μὲν ὅθεν ἐκάθηντο, καὶ προῆλθον ἐπὶ μικρὸν ἀμύνειν ὡρμημένοι τῷ νέῳ βασιλεῖ. τῆς ταραχῆς δὲ πεπαυμένης, αὖθις ἡσύχασαν καὶ αὐτοί. τρεῖς δ’ αὐτοῖς ἐκεῖ συμπαρόντες τῶν οἰκειοτάτων τῷ πρεσβυτέρῳ τῶν βασιλέων, ὅ, τε Μελιτηνιώτης Ἰωάννης, Ἀνδρόνικός τε ὁ Ἐξώτροχος καὶ τρίτος ὁ Βάρδας, καὶ τὴν ὁρμὴν αὐτῶν ὑποπτεύσαντες ὡς ὑπὲρ Ἀνδρονίκου τοῦ νέου γεγεννημένην, λέγουσιν αὐτοῖς προσελθόντες, ὡς „τῶν βασιλέων πρὸς ἀλλήλους περί τινων ἀδήλων διαλεγομένων, δέον ὑμᾶς ἀποστάντας τῶν ὧδε, πρὸς τὴν ἐν βασιλείοις αὐλὴν χωρεῖν.“ τῶν δ’ αὐτοῖς δριμύτερον ἐνιδόντων, καὶ τὸ θυμοῦσθαι καὶ ὀφθαλμοῖς καὶ λόγοις ἐνδεικνυμένων, ἐξίστασθαί τε καὶ μὴ παρενοχλεῖν κελευσάντων, οἱ δύο μὲν πάλιν ἡσύχασαν καθεσθέντες, ὁ Μελιτηνιώτης δὲ ἔνδον πρὸς τὸν πρεσβύτερον τῶν βασιλέων ἐλθών· „σκεπτέον σοι“ πρὸς οὓς εἶπεν „ὅ, τι μέλλεις δρᾷν, ὦ βασιλεῦ. [20]

1 72 πρὸς γὰρ θύραις ταῖς σαῖς ἐφεστήκασι τῶν τῆς συγκλήτου τινὲς, πάντα δρᾷν ὑπὲρ τοῦ νέου βασιλέως ἕτοιμοι καὶ πάσχειν ὄντες.“ τούτων ἀκούσας ὁ βασιλεὺς ἀνέστη τε αὐτίκα τοῦ θρόνου, καὶ πρὸς τὸν ἐνδότερον οἰκίσκον ἐχώρει, τὸν νέον βασιλέα τοῖς ἀκροωμένοις ἅμα παρὰ τὸν ἔξω καταλιπών. τὸν μέγαν δὲ μετακαλεσάμενος λογοθέτην τὸν Μετοχίτην, καὶ ὅσα ἦν αὐτῷ βουλομένῳ διαλεχθεὶς, εἶτα δι’ αὐτοῦ μηνύει τῷ ἐγγόνῳ καὶ βασιλεῖ· „σὺ μὲν οἷσπερ εἶπον καὶ πλείοσιν ἐνέχῃ κακοῖς· ἐγὼ δ’ ἅπαντα παριδὼν, ἀξιώσω συγγνώμης, ἂν ἃ λέγω ποιήσῃς αὐτός. ταῦτα δ’ ἐστί· πρῶτον μὲν ὅρκῳ πιστώσασθαι τὴν πίστιν καθαρὰν τῷ Χριστῷ τηρεῖν· ἔπειτα μετὰ τοῦτο, μηδὲ περὶ ἐμὲ κακὸν ὀφθήσεσθαι γεγενημένον· τρίτον μετὰ τοῦτο, καταδήλους ἐμοὶ ποιῆσαι τοὺς σοὶ συμπράττειν καὶ προσκεῖσθαι προῃρημένους· τέταρτον δὲ, ὅρκῳ πιστώσασθαι δρασμῷ χρήσεσθαι μηδαμῶς.“ πρὸς ταῦτα βασιλεὺς ὁ νέος ἀπεκρίνατο τοιαῦτα· „κράτιστε βασιλεῦ, τὸ τὴν πίστιν ὅρκοις ἀπαιτεῖν βεβαιοῦν, πρὸς τῷ σκληρὸν ἐμοὶ φαίνεσθαι καὶ τὴν ψυχὴν δεινῶς ἐκταράττειν, ἔτι καὶ ἑαυτῷ περιπίπτει. εἰ μὲν γὰρ ἐν τοῖς ἱεροῖς τὸν ὅρκον εὐαγγελίοις καὶ ταῖς σεβασμίαις εἰκόσι κελεύεις πιστὸν ποιεῖν, αὐτῷ τούτῳ περὶ τὸν θεὸν πιστὸν, καὶ τὸν Χριστὸν ἀποδεικνύεις ἐνδεδυμένον ἐμέ. εἰ δ’ ἄλλῳ τινὶ σεβάσματι προσέχειν ἐμὲ νομίζεις, τῶν ἀνονήτων καὶ περιττῶν, ὧν ἠθέτησα τὴν πίστιν, ταῦτ’ εἰς ὅρκον ἐμοὶ προβάλλειν· ῥᾳδίως γὰρ ἂν καταψεύσομαι τῶν μὴ τιμωμένων. [20]

1 73 διὸ δή σου δέομαι, βασιλεῦ, μὴ περὶ τῶν τοιούτων λόγους κινεῖν· χάριτι γὰρ Χριστοῦ καὶ Χριστιανός εἰμι καὶ τῶν ὀρθοδόξων. κατὰ σοῦ δὲ μήτε δράσαι μήτε βουλεύσασθαί τι κακὸν, καὶ νῦν μὲν ὄμνυμι τὸν οὐρανοῦ καὶ γῆς ποιητὴν, ὡς οὔτε πρότερον εἰς λογισμοὺς ὑπῆχθην τοιούτους, οὔτ’ ἐν τῷ μέλλοντι κακὸς ὀφθῆναι βούλομαι περὶ σέ· σὸν δ’ ἐπίταγμα ἐκπληρῶν, καὶ αὖθις ὀμοῦμαι. περὶ δὲ τοῦ καταδήλους τοὺς ἐμοὶ συνόντας καὶ ταὐτὰ βουλομένους σοὶ θέσθαι, ἐκεῖνο λέγω, ὡς αὐτὸς ἂν εἰδείης μᾶλλον ἐμοῦ, ὁποίους τινὰς εἰκὸς εἶναι τοὺς προσκειμένους ἐμοί. ὅπου γὰρ χρημάτων μέν μοι πόρος οὐδεὶς, οἷς ἂν ἴσως πείσαιμι τῶν ἀξίων μοι λόγου τινὰς προσέχειν, παῤῥησίας τε πρὸς σὲ μέτεστιν οὐδεμιᾶς, δι’ ἧς εὐεργετῶν ἐμαυτῷ

κτήσομαι φίλους τινὰς τῶν δεομένων ὠφελείας, συνορᾷν ἐστιν ἐκ τῶν πραγμάτων τῷ βουλομένῳ παντὶ τοὺς ἠθροισμένους περὶ ἐμέ. εἰ δ' ἄρα καί τινες εἶεν εὐνοϊκῶς ἐμοὶ διακείμενοι, οὐκ ὀφείλοντες τὴν εὔνοιαν, ἀλλὰ μᾶλλον χάριτος κατάρχοντές εἰσιν· ὧν οὕτω βελτίστων περὶ ἐμὲ προῖκα γεγενημένων, οὐκ ἂν ἐλλίπῃ μοχθηρίας ὑπερβολὴν τὸ κάκιστον αὐτὸν καὶ προδότην ὀφθῆναι περὶ αὐτούς. καίτοι γε καὶ αὐτοὶ οὐδὲν ἄλλο μοι προσιόντες πείθειν ἐπιχειροῦσιν, ἢ σοὶ, τῷ βασιλεῖ καὶ πατρὶ, ὑπέχειν ἐμαυτὸν καὶ καταδουλοῦν καὶ μὴ παρέχειν αἰτίας, ὥστ' ἐμαυτῷ τὴν σὴν γαληνότητα ἐξοργίζειν. [20]

1 74 ἐμοῦ δ' ἰσχυριζομένου τοιοῦτον ἐμαυτῷ συνειδέναι μηδὲν καὶ πολλοὺς εἰς ἀπολογίαν συνείροντος λόγους, οὐδὲν αὐτοῖς εἰς πειθῶ νομίζεται ἀξιόχρεων, ὅπερ ἐστὶν εἰκὸς λογιζομένοις, ὡς οὐκ ἂν οὕτως ἡ φύσις πρὸς ἑαυτὴν ἐκπολεμωθείη, μὴ τῶν αἰτίων ὄντων ὑπερφυῶν. οὐδὲ γὰρ οὐδὲ τῶν θηρίων τὰ χαλεπώτατα τοῖς τέκνοις ἐπεβούλευσάν ποτε τοῖς ἰδίοις. εἰ δέ τινες ἐν αὐτοῖς εἶεν καὶ μὴ τοιοῦτοι, οὕτω δοκεῖς ἐμὲ κακὸν καὶ ἀγνώμονα εἶναι περὶ τοὺς φίλους, ὥστε τῆς εἰς ἐμὲ φιλίας προδοσίαν παρασχεῖν ἀντιμισθίαν; οὐκ ἔστιν οὐδαμῶς. ῥᾷον γὰρ ἂν αὐτὸς οὐχ ὑπὲρ πάντων ὁμοῦ, ἀλλὰ καὶ ἑνὸς αὐτῶν τὴν ἐμὴν προήσομαι σωτηρίαν, ἢ ταύτην περιποιούμενος ἐκείνους ἐθελήσω καὶ μικροῖς τισι προσομιλῆσαι κακοῖς. ἔτι πρὸς τούτοις καὶ ὅρκοις ἐπέταξας τὸ μὴ δρασμῷ χρήσασθαι ἀσφαλίσασθαι· ὄμνυμι δή σοι τὸν ἁπάντων κύριον καὶ βασιλέα θεὸν, ὡς ἄν τι φωράσω περὶ ἐμὲ βουλευόμενον κίνδυνον ἀπειλοῦν, πάσῃ δυνάμει καὶ ὅλῳ ποδὶ χρήσομαι πρὸς φυγήν." ις'. Ταῦτα τοῦ νέου βασιλέως διεξιόντος, ὁ πρεσβύτερος ὑπὸ τὰς θύρας ἱστάμενος τοῦ οἰκίσκου, πάντων ἐπηκροᾶτο, καὶ τἄλλα μὲν ἤνεγκε σιωπῶν, τὴν φυγὴν δὲ ἀκούσας· „σὺ δ', ἔφη „φεύξῃ γε σύ; ἀλλ' ὅσον οὔπω σὺ μὲν συλληφθεὶς ἀπαχθήσῃ δεσμώτης καὶ πρὸς δοριαλώτου καταστὰς τύχην. ἐγὼ δ' οὐδὲ τριῶν ὀβολῶν ἐθελήσω λύσασθαι τῆς δουλίας· εἶτα μικρὸν προβὰς, „ὁρᾶτε" ἔφη πρὸς τοὺς παρόντας „ὅπως τοῖς ἐμοῖς λόγοις οὗτος συμμαρτυρεῖ, σκληρὸς ὢν καὶ αὐθάδης καὶ πέρα τοῦ δέοντος ἀλαζών; ἤδη καὶ ὑμῖν ἐστι σαφῶς ἐκ τῶν πραγμάτων καταμαθεῖν. [5]

1 75 " ὁ νέος δ' Ἀνδρόνικος, „ἐπ' ἀληθείασ" εἶπεν „ὦ βασιλεῦ, οὔτε σκληρός εἰμί τις, οὔτε αὐθάδης, ἀλλὰ τῶν ἐμῶν ἁμαρτιῶν ὁ σωρὸς τοιοῦτον εἶναι φαίνεσθαί σοι ποιεῖ· ἐγὼ δ' ἐπὶ μάρτυρι λέγω τῷ εἰδότι πάντα θεῷ, ὡς οὐδὲν τοιοῦτον ἐμαυτῷ σύνοιδα εἰργασμένῳ ὡς ἄξιον εἶναι τῆς τοσαύτης ὀργῆς. διὸ δὴ καὶ δέομαι τοῦ σοῦ κράτους συγγνώμης κἄν τε ἥμαρτον τυχεῖν, κἄν τε μή. πρὸς τοὺς πόδας γὰρ ἐφίεμαι τοὺς σοὺς ἀποθανεῖν," αἰνιττόμενος, ὡς οὐκ ἂν αὐτοῦ βουλήσοιτο ἀποστῆναι χωρὶς ἀνάγκης. ἅμα δὲ τούτοις τοῖς λόγοις καὶ πρὸς γῆν κατεκλίνετο ἀσπασόμενος τὸν πόδα τοῦ βασιλέως. ὁ δ' ἀνεῖχε λαβόμενος τοῦ ὤμου, ἅμα καὶ λόγοις τὸ ἔργον ἀπαγορεύων· ὡς δ' ἑώρα βιαζόμενον, ἀφεὶς τὸν ὦμον, ἐλάβετο τῶν τριχῶν· ὡς δὲ καὶ οὕτως ἐβιάζετο, ἀφειδῶν ἑαυτοῦ, δείσας ὁ πάππος, μὴ τῇ βίᾳ τῆς κεφαλῆς διαστῶσιν αἱ τρίχες, ἐνέδωκε τὴν κατάκλισιν· ὁ δὲ κατακλιθεὶς ἠσπάσατο τὸν πόδα τοῦ βασιλέως. εἶτ' ἀναστάντος τῆς κεφαλῆς λαβόμενος ὁ βασιλεὺς, κατεφίλει τὰς ὄψεις. τοῦτο δὴ ὁ πατριάρχης καὶ οἱ τῆς συγκλήτου παρόντες ἰδόντες καὶ διαλλαγῆς ἀπόδειξιν νομίσαντες ἤδη βεβαίας τῶν βασιλέων, πολλὰς ἀφῆκαν φωνὰς εὐχαριστοῦντες θεῷ τῷ χορηγῷ τῆς εἰρήνης. [20]

1 76 καὶ αὐτὸς δὲ βασιλεὺς ὁ νέος καὶ οἱ περὶ αὐτὸν διηλλάχθαι νομίσαντες τῷ ἐγγόνῳ τὸν βασιλέα, ἔχαιρόν τε αὐτοὶ, καὶ εὐτυχίας ἄκρας ἡγοῦντο τὴν ἡμέραν ἐκείνην. ἐκ τῶν βασιλείων οἴκαδε ὁ νέος βασιλεὺς ἀπελθὼν, διηγεῖτό τε τοῖς φίλοις τοὺς κατὰ τὴν δίκην λόγους, συνεόρταζόν τε καὶ συνέχαιρον ἀλλήλοις. μηνύουσι δὴ καὶ Συργιάννῃ τὰ γεγονότα, ὡς ἂν καὶ αὐτὸς συγχαίρῃ τοῖς φίλοις χαίρουσι καὶ μηδεμίαν ἔχῃ φροντίδα τήκουσαν τὴν ψυχὴν, ὡς τῶν προτέρων ἤδη βουλευμάτων διαλυθέντων καὶ βεβαίας εἰρήνης γεγενημένης τοῖς βασιλεῦσι καὶ κατ' εὐχὴν αὐτοῖς τῶν πραγμάτων κεχωρηκότων. τοῦτο γὰρ ηὔχοντο, τὸν μὲν βασιλέα τῆς εἰς τὸν ἔγγονον ἀπεχθείας μεταβαλεῖν, αὐτοὺς δὲ κινδύνων ἔξω καταστάντας ἡσυχίαν ἄγειν. οὕτω μὲν οὖν

αὐτοῖς ἔχειν ἐδόκει τὰ γεγενημένα· τὰ δ’ ἦσαν ἕτερον τρόπον, ὡς ἔδοξε τοῖς πολλοῖς ἐκ τῶν μετὰ ταῦτα. ἐκρίθη γὰρ διανοίᾳ γεγενῆσθαι τοιαύτῃ. ἔθος ἐπεκράτησε παρὰ τοῖς βασιλεῦσι Ῥωμαίων, ἐπειδάν τις τῶν καθ’ αἷμα προσηκόντων ἢ καὶ ἄλλως τῶν ἐν τέλει, προσκυνήσας ἀσπάσηται τὸν πόδα τοῦ βασιλέως, ἀντασπάζεσθαι καὶ αὐτὸν [αὐτὸν] εἰς τὴν ὄψιν. καὶ τότε δὴ τοῦ νέου βασιλέως ἀσπασαμένου πρὸς τὸν πόδα τὸν πάππον, ἵνα μὴ εἰς ἄκρον ἀπεχθείας ἐληλακέναι δοκῇ, οὐδὲ τῶν ἰδιώταις προσηκόντων ἀξιῶν τὸν ἔγγονον καὶ βασιλέα, ἀντεφίλησεν εἰς τὸ πρόσωπον καὶ αὐτός. ἀλλὰ τὰ μὲν τῆς πρὸς ἀλλήλους διαλέξεως τῶν βασιλέων ἐπὶ τῆς δίκης ἐνταῦθα ἐτελεύτησε· δυσὶ δὲ ὕστερον ἡμέραις μετὰ τοῦτο ὁ πρεσβύτερος τῶν βασιλέων τῷ μεγάλῳ διά τινος δηλοῖ δομεστίκῳ πρὸς Πελοπόννησον ἀπελθεῖν, ἐκείνης ἐπιτροπεύσοντα. [20]

1 77 τὸ δ’ εὐθὺς ἐδόκει μὲν εἶναι τῶν ἀριστερῶν οἰωνῶν· ὅπως δ’ ἀνακωχὴ γένηται, καὶ βασιλεῖ τῷ νέῳ τὰ τῆς ἀγγελίας δῆλα γενέσθαι, ἀντεμήνυσε καὶ αὐτὸς τοιαῦτα· „τῆς εἰς ἐμὲ εὐμενείας καὶ προμηθείας, ὦ βασιλεῦ, πολλὰς μὲν καὶ ἄλλας ἔχω τὰς ἀποδείξεις, μάλιστα δὲ τὸ ἐξ ἡλικίας, ὡς εἰπεῖν, πρώτης εἰς ἀρχὰς ἐκλέγεσθαι καὶ διοικήσεις ἐπιτρέπειν πόλεών τε καὶ στρατιῶν, οἴκοθεν ὡρμημένον· καὶ τὸ νῦν δὲ τοῦτο πολλὰς τῷ σῷ κράτει πείθει χάριτας ὁμολογεῖν, βασιλεῦ. δέομαι δὴ καὶ ταύτην ἐπιθεῖναι τὴν χάριν, τὴν παροῦσαν ἐπιτρέψαι πρὸς διάσκεψιν ἡμέραν, ὡς ἐς τὴν ὑστεραίαν ἐπιτέταγμαι τὴν ἀπολογίαν ἀποδώσοντι.“ πρὸς μὲν δὴ τὸν πρεσβύτερον τῶν βασιλέων ἀπεκρίνατο τοιαῦτα· ᾗ δὲ τάχους, ἀπελθὼν πρὸς τὸν νέον, τὸ τοῦ βασιλέως ἐπίταγμα ἀναγγέλλει, καὶ Συναδηνοῦ παρόντος τοῦ πρωτοστράτορος. τοῖς δ’ ἐδόκει βουλευτέα πάλιν ἐξ ἀρχῆς εἶναι περὶ τῶν ὅλων πραγμάτων· οὐδὲ γὰρ πρὸς ἕνα φέρειν τὸν κίνδυνον, πρὸς πάντας δέ. ἦρχε δὲ ὁ βασιλεὺς τῆς βουλῆς οὕτω διαλεχθείς· „αὐτοὶ μάρτυρες ἡμεῖς καθεστήκαμεν ἑαυτοῖς, ἔχοντες καὶ θεὸν, ἐφ’ οἷς βεβουλεύμεθα, συνειδότα, ὡς οὔθ’ ἡττηθέντες λύπῃ, οὔτ’ εἴξαντες ἀκαίρῳ θράσει καὶ παραβόλῳ, οὔτ’ ἐπράξαμεν οὔτ’ ἐβουλευσάμεθά τι τῶν μὴ δεόντων. [20]

1 78 ἀλλὰ τοσαύτην ἐνεδειξάμεθα μεγαλοψυχίαν καὶ καρτερίαν πρὸς τὸ μηδ’ ἡντινοῦν αἰτίαν ἐφ’ οἷς ὁ βασιλεὺς βεβούληται καθ’ ἡμῶν αὐτοὶ παρασχεῖν, ὥστ’ εἰ μὴ θεὸς ἄνωθεν ὑπερέσχε χεῖρα, οὐδὲ πάνυ πόῤῥω τῶν θανάτου κατηντήκαμεν πυλῶν. ἄχρι μὲν οὖν δεῦρο τὸ τοῖς δεινοῖς ἐγκαρτερεῖν αὐτός τε ἐπῄνουν καὶ συνεβούλευον ὑμῖν: ἔτι γὰρ ὄντων ἐν ἀδήλῳ τῶν καθ’ ἡμᾶς, πρὸς ἐμὲ μόνον ᾤετο τὴν διαφορὰν ἔχειν ὁ βασιλεὺς, καὶ μαλακώτερον ἥπτετο τῶν πραγμάτων, εὐχερῶς νομίζων, ὅταν ἐθελήσῃ πρὸς πέρας ἀγαγεῖν ἃ προῄρητο, δρᾷν· νυνὶ δὲ φανεροῦ γεγενημένου τοῦ τινας εἶναι τοὺς συναιρομένους ἐμοὶ, οὐκέτι τῶν ὁμοίων ἕξεται λογισμῶν, ἀλλὰ πρότερον ὑμᾶς ἐν ἀρχῶν προσχήματι διαστήσας ἐμοῦ, καὶ τῆς παρ’ ἀλλήλων ἡμᾶς ἐπικουρίας ἀποστερήσας, πᾶσι διὰ τὴν μόνωσιν οὖσιν ἀσθενεστάτοις, ἣν ἂν βούλοιτο, δίκην ἐπιθήσει. νῦν μὲν οὖν σοὶ τὴν πρὸς Πελοπόννησον ἐπέταξεν ἀπιέναι· εἰς τὴν ὑστεραίαν δὲ πρωτοστράτορι ἑτέραν δῆθεν ἀρχήν τινα πρὸς ταῖς ἐσχατιαῖς τῆς Ῥωμαίων γῆς ἐγχειρίσει καὶ καταναγκάσει πρὸς τάχος γε ἀπιέναι· ὑμᾶς δ’ ἐκποδὼν ποιήσας τοὺς περιφανεστέρους, τότ’ ἤδη καὶ περὶ ἑτέρων εἴπέρ εἰσιν ἀνερευνήσει. πάντα δ’ ὡς ἂν αὐτῷ καλῶς ἔχοι πρότερον διαθέμενος, ὡς ἤδη πρὸς καταστροφὴν εὐεπιχείρητον ὕστερον χωρήσει καὶ πρὸς ἐμέ. ἀλλ’ ἴσως ἐρεῖ τις, ὡς, εἴγε κατὰ λόγον τὸν σὸν σὲ τῆς ἀπὸ τούτων ἐπικουρίας ἀποστερῆσαι βουλόμενος ἀρχὰς αὐτοῖς ἐγχειρίσει τὰς ἐν ἐσχατιαῖς τῆς Ῥωμαίων ἀρχῆς, ῥᾷον ἦν δήπου καὶ λυσιτελέστερον πολὺ συλλαβόντα καὶ κατακλείσαντα φρουρᾷ τῆς ἀπὸ τούτων ἀπηλλάχθαι φροντίδος· τί γὰρ ἔσται τὸ κωλῦσον τοῦ ταῦτα καταπράξασθαι τὸν βασιλέα; —καὶ νοῦν ἔχοντα λόγον ἐρεῖ, τὸ κωλῦσον μὲν οὖν οὐδέν· συνετὸν δὲ ὄντα καὶ πολλῶν πραγμάτων ἔμπειρον τὸν βασιλέα τοῦτο λέληθεν οὐδαμῶς ὡς ἀλυσιτελὲς, πρὶν ἀκριβῶς ἐκμαθεῖν ὁπόσοι τινὲς καὶ οἷοι τὴν πρὸς ἐμὲ προείλοντο κοινωνίαν, ὁμόσε πρὸς τὸ πολεμεῖν. [5]

1 79 δέος γὰρ μὴ πολλῶν τινων καὶ δυνατωτάτων ὄντων ἕνα μὲν ἢ καὶ δύο καθείρξῃ, τῶν δὲ λοιπῶν ἤδη πρὸς ἀνάγκην συνισταμένων, οὐ κατὰ νοῦν χωρήσῃ τὰ πράγματα αὐτῷ. εἰκὸς δὲ αὐτὸν καὶ πολλούς τινας καὶ δυνατοὺς τοὺς τὰ ἡμέτερα εἶναι οἴεσθαι προῃρημένους· τὸ γὰρ ἐν τῇ δίκῃ πρὸ τῆς χθὲς ἐμὲ μόνον ἐναπειλημμένον μὴ καταπεσεῖν μηδὲ δειλίᾳ συσχεθῆναί τινι, ἀλλ᾽ ἀτρέπτῳ καὶ φρονήματι καὶ ἤθει μετὰ ἀσφαλείας ἀντιλέγειν πολλῆς, τὸ καὶ τὸν Μελιτηνιώτην ἔξωθεν ἑστάναι τινὰς τῶν δυνατῶν ἀπαγγεῖλαι ὑπὲρ ἐμοῦ πάντα πράττειν προσγενόμενον προθυμουμένους, οὐκ ἐπὶ μικρὸν κατέσεισε τοὺς λογισμοὺς τοὺς βασιλικούς. διὸ τότε μὲν εὐθὺς ὅπερ ἀσφάλειαν ἐδόκει παρέχειν ἔπραττε, τῶν θρόνων ἐξαναστάς. νυνὶ δὲ καλῶς ἔχειν ἔδοξεν αὐτῷ τοὺς καταδήλους γενομένους ὑμᾶς ἐν εὐεργεσίας προσχήματι ἀποστῆσαι, καὶ μετὰ τοῦτο πάλιν, αὐτῶν διδασκόντων τῶν πραγμάτων, οἷς οἰήσεται λυσιτελήσειν ἐπιχειρήσει. τούτων ἕνεκα πάντων οὐκέτι διαμέλλειν οἶομαι δεῖν, οὐδὲ πρὸς προῦπτον κίνδυνον αὐτοὺς ἀμελεῖν, ὥσπερ ὑπὸ μεγέθους τῶν δεινῶν ἐκστάντας τῶν λογισμῶν, ἀλλ᾽ αὐτοὺς διασώζειν, ὡς ἂν οἷοί τε ὦμεν. [20]

1 80 ἔτι γε μὴν καὶ γνώμην ἑτέραν περὶ τῶν προκειμένων, εἴγε καὶ ὑμῖν συνδοκεῖ, βούλομαι ἐξενεγκεῖν. ποίαν δὴ ταύτην; ὁ βασιλεὺς καὶ πάππος ὁ ἐμὸς, καθάπερ ἴστε δὴ καὶ αὐτοὶ, καταδήλους τοὺς ἐμοὶ συνόντας ἐζήτησεν αὐτῷ ποιῆσαι. τότε μὲν οὖν ἁρμόζοντας ἀπεκρινάμην τῷ καιρῷ λόγους, μήτ᾽ εἶναι εἰπὼν τοὺς συνόντας ἐμοί τινας, μήτ᾽ εἴπερ εἰσὶ, καταδήλους αὐτοὺς ποιήσειν· νῦν δέ μοι δοκεῖ λυσιτελεῖν πρεσβείᾳ χρησάμενον πρὸς αὐτὸν, ὅτι τέ εἰσιν ὁμολογῆσαι καὶ ὅρκοις αὐτὸν ἀπαιτῆσαι πιστώσασθαι, μὴ μνησικακήσειν αὐτοῖς μηδ᾽ ἀμυνεῖσθαι τῆς εὐνοίας τῆς εἰς ἐμέ. εἰ μὲν οὖν ἡμέρως καὶ προσηνῶς τοὺς παρ᾽ ἐμοῦ δεξάμενος λόγους ὅρκοις πιστώσηται τὴν ἀπάθειαν τοῖς ἐμοῖς φίλοις, ἐναργὲς ἂν εἴη τεκμήριον, ὡς αὐτός τε καθαρῶς διήλλακται πρὸς ἐμὲ, καὶ τὸ ὑμᾶς εἰς ἀρχὰς ἐκπέμπειν οὐ περιέργως οὐδ᾽ ἐπιβούλως, ἀλλ᾽ ἁπλῶς αὐτῷ οὕτως ἐπινενόηται· εἰ δ᾽ ἀγανακτήσει καὶ ἀποσείσεται τὴν πρεσβείαν, μηδεμίαν ἄλλην ἀπόδειξιν ἐναργεστέραν ζητεῖν τοῦ πάντα συσκευάζεσθαι καθ᾽ ἡμῶν. χρήσομαι δὲ πρεσβευτῇ τῷ μεγάλῳ λογοθέτῃ τῷ Μετοχίτῃ, ἅτε δὴ καὶ τότε μεσιτεύσαντι πρὸς τὰς ἀγγελίας ἐμοὶ καὶ τῷ βασιλεῖ, καὶ παῤῥησίαν ἔχοντι πρὸς αὐτὸν, ὥστε θαῤῥῆσαι περὶ τοιούτων πρεσβεύειν. ιζ′. Τοιαῦτα τοῦ νέου βασιλέως βουλευσαμένου, καὶ τοῦ μεγάλου δομεστίκου καὶ πρωτοστράτορος ὡς καλῶς ἔχει συνεπιψηφισαμένων, αὐτοὶ μὲν ἕκαστος οἴκαδε ἀπεχώρουν· βασιλεὺς δ᾽ ὁ νέος τὸν μέγαν μετακαλεσάμενος λογοθέτην, οὕτω διεπρεσβεύετο πρὸς τὸν πάππον· „Ἡ εἰς ἐμὲ πρὸ τῆς χθὲς γεγενημένη παρὰ τῆς σῆς γαληνότητος, ὦ βασιλεῦ, εὐεργεσία πολλὰς καὶ δικαίας ὁμολογεῖν χάριτας τῷ σῷ πείθει κράτει. [25]

1 81 κἂν γὰρ ἀπὸ ταραχῆς καὶ ὀργῆς ἦρξαν οἱ λόγοι, ἀλλ᾽ εἰς τέλος ἥμερον καὶ συμπαθείας γέμον ἀποκαταστάντες, μᾶλλον εὔφραναν, ἢ καθ᾽ ὅσον πρότερον ἐλύπουν. διὸ δὴ καὶ τῶν μὲν προτέρων, ὡς πατρικῆς ὄντων καὶ παιδείας καὶ κηδεμονίας, οὐδ᾽ ἀναμιμνήσκεσθαι ἀξιῶ· ἃ δ᾽ ἐν ὑστέρῳ πέπρακται, ὡς ἄξια καὶ μεγαλοψυχίας καὶ εὐμενείας καὶ πατρικῆς καὶ βασιλικῆς, ἀνεξάλειπτα δεῖν ἔγνων φυλάττειν ἐν τῇ ψυχῇ. ἐπεὶ δ᾽ ἕν τι τῶν τότε ῥηθέντων ἐμέ τε δεινῶς ἐκταράττει καὶ φροντίδας οὐ παρέχεται μικρὰς, καὶ ἑτέροις ἐνέσεισεν οὐ τὸν τυχόντα φόβον, δέομαι τῆς σῆς γαληνότητος ἰάσασθαι καὶ ταύτην τὴν ἀλγηδόνα. ἔστι δ᾽ ὃ λέγω τοιοῦτον· σοῦ, βασιλεῦ, ἐμοὶ διὰ τοῦ μεγάλου λογοθέτου προστάξαντος τουτουὶ, καταδήλους σοι θέσθαι τοὺς συνόντας καὶ συναιρομένους ἐμοὶ, τότε μὲν παντάπασι μὴ εἶναι οὐκ ἠρνησάμην, πλὴν ἀπὸ λογισμῶν εἰκότων ἐπεχείρουν, ὡς οὐκ ἂν εἶεν, ἀποδεικνύναι. οἵδ᾽ ἦσαν· τὸ μήτε πόρον ἔχειν ἐμὲ χρημάτων, οἷς ἂν ἴσως πείσαιμί τινας προσέχειν ἐμοὶ, μήτ᾽ ἐξουσίας ἀπολαύειν παρὰ σοὶ καὶ παῤῥησίας, βασιλέως παιδὶ πρεπούσης, δι᾽ ἣν ἂν καὶ θεραπευθείην παρὰ τῶν τῆς ἐμῆς ὠφελείας δεησομένων. νυνὶ δὲ αὐτό τε τὸ πρᾶγμα φανεροὺς ἠνάγκασε γενέσθαι τοὺς

προσκειμένους ἐμοὶ, καὶ αὐτὸς δὲ ἐγὼ εἶναι ὁμολογῶ· πλὴν, ὅπερ καὶ τότ' ἔφην, οὐκ ὀφείλοντες χάριν, ἀλλὰ προκατάρχοντες μᾶλλον χάριτός εἰσιν. [20]

1 82 διὸ δὴ καὶ ἀντιβολῶ τὴν σὴν ἡμερότητα, βασιλεῦ, ὅρκοις ἐμοί τε καὶ αὐτοῖς πιστώσασθαι τὸ ἀπαθεῖς κακῶν μέχρι παντὸς διατηρηθῆναι. οὕτω γὰρ ἐμοί τε καὶ αὐτοῖς θαῤῥήσασιν ἀφόβως τε βιοῦν καὶ τῷ σῷ κράτει χάριτας ὁμολογεῖν πολλὰς περιέσται." Τοιαῦτα μὲν ὁ νέος βασιλεὺς πρὸς λογοθέτην διεξῆλθε τὸν μέγαν, ὡς ἀπαγγελοῦντα τῷ πάππῳ καὶ βασιλεῖ, συνάρασθαι καὶ αὐτὸν ἀξιώσας πρὸς τοῦτο, καὶ τὴν τῶν ὅρκων ἐκπλήρωσιν ὑποθέσθαι τῷ βασιλεῖ, ὡς πολλῶν ἀγαθῶν ἐκ τούτου συμβησομένων. ὁ δ' εὐθὺς „ἔγωγε" εἶπεν „ᾠήθην, ὦ βασιλεῦ, τὴν ἐμὴν παρὰ σοῦ κλῆσιν πρός τι φέρειν τῶν ἀγαθῶν. ἐνόμιζον γὰρ, ὡς ὑποπεπτωκότας τινὰς καὶ θεραπευτικοὺς λόγους δι' ἐμοῦ μηνύσεις τῷ βασιλεῖ, ἐξ ὧν ἡμερωτέραν ἀπεργάσῃ καὶ πραεῖαν αὐτοῦ τὴν ψυχήν. τὸ δ' ἐναντίως ἔχει μᾶλλον ἢ αὐτὸς προσεδόκων. ὅθεν οὐδ' αὐτὸς ἄγγελος εἶναι βουλήσομαι τοιούτων, οὐδ' εἰς ὀργὴν ἐξάψαι μᾶλλον διὰ τούτων τοὺς τῶν βασιλέως θυμούς. οὐδὲ γὰρ οὐδ' ἀκοῇ παρειλήφαμεν ἄχρι καὶ νῦν τοὺς δεσπότας ὀμνύναι τοῖς δουλοῖς, τοὐναντίον δὲ μᾶλλον· ἢ εἰ τοῦτο γένοιτο, καὶ ὁ δεσπότης ὀφλήσει τοῖς ὑπηκόοις, ὅπερ ὄφλουσιν αὐτοὶ τοῖς δεσπόταις, ὅπερ ἀτοπίας οὐκ ἂν εἴη μακράν. ἐγὼ δὲ καὶ ἀπορίᾳ δεινῇ συνέχομαι, ἂν ὁ βασιλεὺς ἔρηται, ὅτου χάριν πρός σε ἀφῖγμαι, τίνα ἂν ἀπολογίαν εὐπρόσωπον ἀποδοίην. πρὸς ἐκεῖνον μὲν οὖν αἰτίαν τινὰ πλάσομαι τῆς ἀφίξεως, σοὶ δὲ παραινῶ καὶ προσέτι καὶ ἱκετεύω, μηκέτι μηδαμῶς περὶ τοιούτων λόγον κινεῖν. [25]

1 83 συνορῶ γὰρ αὐτὸς, ὡς εἰς κακὸν ἀνήκεστον τελευτήσει, ἂν εἰς ἀκοὴν ἔλθῃ τῷ βασιλεῖ." „ἐμοὶ δὲ τοὐναντίον ἅπαν ἔπεισι καὶ νοεῖν καὶ λέγειν" ὁ νέος εἴρηκε βασιλεὺς „οὐ γὰρ κακῶν αἰτίους τουτουσὶ τοὺς λόγους, ἀλλὰ μυρίων ἀγαθῶν, ἄν περ ὡς αὐτὸς ἀξιῶ γένηται, νομίζω. ὅτι δὲ καὶ ἐπὶ τῶν προτέρων βασιλέων γεγένηται τοιαῦτά τινα, ἐγγύθεν παράσχομαι τὴν ἀπόδειξιν. ὁ γὰρ ἐμὸς πρόγονος, ὁ βασιλεὺς Μιχαὴλ, ἔτι τὴν ἰδιωτικὴν στέργων τύχην καὶ ὑπὸ χεῖρα τελῶν Ἰωάννῃ Βατάτζῃ τῷ βασιλεῖ, κίνδυνόν τινα ὑπονοήσας ἐς αὐτὸν ἥξειν ἐκ βασιλέως, ηὐτομόλησε πρὸς τὸν τῶν Περσῶν ἡγεμόνα Σουλτάν· εἶτ' ἐκεῖθεν πρὸς τὸν βασιλέα πέμψας πρεσβείαν, ὅρκους ἀπῄτει τὸν βασιλέα, ὡς τοῦ τε δρασμοῦ συγγνώσεται καὶ εἰς τοὐπιὸν οὐδὲν κατ' αὐτοῦ βουλεύσεται δυσχερές. ὁ βασιλεὺς δὲ ἄσμενός τε προσεδέξατο τὴν πρεσβείαν καὶ τοὺς ὅρκους ἐδίδου, δεσπότης ὢν, ὥσπερ ὁ ὑπὸ χεῖρα τελῶν ἠξίου. οὐκ αὐτὸς δὲ μόνον, ἀλλὰ καὶ πρὸ τούτου πολλοὶ ὠφελείας ἕνεκά τινος ὁμωμόκεισαν τοῖς ὑπηκόοις. πρὸς αὐτῆς δὲ τῆς ἀληθείας, εἴγε καὶ νῦν αὐτοὶ οὗτοι, περὶ ὧν ἐγὼ τοὺς ὅρκους ἀπαιτῶ, δείσαντες τὸν κίνδυνόν τινι προσχωρήσωσι τῶν παρακειμένων ἡμᾶς βαρβάρων, εἶτ' ἐκεῖθεν πέμψαντες ὅρκους ἀπαιτῶσι τὸν βασιλέα, ὥστε μὴ κακῶς παθεῖν αὖθις ἐπανελθόντες, οὐκ ἂν οἴει βουλήσεσθαι παρασχεῖν; ἐμοὶ μὲν δοκεῖ. ὃ τοίνυν ἐν ἑτέρῳ χρόνῳ γενήσεται, φαίης ἄν, δι' ἀνάγκην, γενέσθω κἀν τῷ παρόντι διὰ τὰ συμβησόμενα ἐκ τούτου πολλὰ ἀγαθά. [20]

1 84 " ἐπὶ τούτοις λογοθέτης ὁ μέγας τούς τε προτέρους λόγους ἀναλαβὼν καὶ πλείονας ἑτέρους συνείρας, καὶ πανταχόθεν ἀλυσιτελῆ καὶ ἀδύνατον τὴν αἴτησιν ἀποδείξας, καὶ πρὸς τὸ γενέσθαι τοιούτων ἄγγελος παντελῶς ἀνανεύσας, ἀπῆλθεν. ἔφασκε δ' ἐν ὑστέροις χρόνοις, εἰρήνης γενομένης, ὁ πρεσβύτερος βασιλεὺς, ὡς, εἰ περὶ τῶν ὅρκων αὐτῷ ἀπηγγέλθη, ὀμωμόκει τε ἂν καὶ οὐδὲν ἐτολμήθη τῶν τετολμημένων· διὸ καὶ τὴν αἰτίαν ἅπασαν τοῦ πολέμου εἰς λογοθέτην ἀνετίθει τὸν μέγαν. τοῖς φίλοις δ' εὐθὺς αὐτῷ παραγενομένοις ἅ τε εἴρηκε καὶ ὧν ἔτυχεν ἀποκρίσεων διηγησάμενος ὁ νέος βασιλεὺς καὶ τέλος τοῦτο ἐπιφθεγξάμενος, „θεοῦ δὲ τίς ἔγνω βουλήν τε νόον τε;" ἔτι μέχρι τινὸς ἐκέλευε τῇ μεγαλοψυχίᾳ προσκαρτερεῖν· „ἡ σήμερον γὰρ ἐκδιδάξει τι τῶν ἀγνοουμένων. προθεσμία γὰρ οὖσα τῆς πρὸς τὸν βασιλέα τοῦ μεγάλου δομεστίκου ἀπολογίας, δι' αὐτῆς τῆς ἀπολογίας πρὸς τὸ τί χρὴ βουλεύεσθαι καὶ δρᾷν ὁδηγήσει." Οὗτοι μὲν οὖν τοιαῦτα βουλευσάμενοι διελέλυντο.

πρὸς δὲ τὸν μέγαν δομέστικον ὁ χθὲς ἄγγελος ἀφικνεῖται πρὸς βασιλέως, ἀπαιτῶν τὴν ἀπολογίαν. ἐποιήσατο δὲ τοιαύτην· „ἐμοὶ, κράτιστε βασιλεῦ, τῆς εὐμενείας τῆς σῆς πολλὰς ἔχοντι τὰς ἀποδείξεις, ὥσπερ ἔφην, ἔτι καὶ τὸ νῦν τοῦτο πλείους καὶ μείζους πείθει τὰς χάριτας ὁμολογεῖν· ἐπὶ πάσαις δὴ ταύταις καὶ ταύτης αἰτῶ τυχεῖν τῆς εὐεργεσίας, ἐλάττονος οὐδαμῶς ἐμοὶ τῶν ἄλλων νομιζομένης, τὸ μὴ πρὸς Πελοπόννησον ἀπελθεῖν· οὐκ ὄκνῳ εἴκων, ἢ τὴν ἀρχὴν ἧττω τῆς ἐμῆς ἀξίας νομίζων, ἀλλ' ὡς ἐκεῖ τοῦ ἐμοῦ πατρὸς τετελευτηκότος, οὐκ ἂν οἷσων τοῖς χωρίοις ἐκείνοις ἐνδιατρίβειν. [5]

1 85 οἶσθα γὰρ αὐτὸς ἐμοῦ βέλτιον, ὦ βασιλεῦ, ὡς ἔτος ἓν ἐπὶ τοῖς εἴκοσι γεγενημένος τῆς ἡλικίας οὑμὸς πατὴρ, ὅτε παρὰ σοῦ πρὸς τὴν ἀρχὴν ἐξεπέμφθη Πελοποννήσου, ὀκτὼ τοὺς ἐφεξῆς ἐπὶ τούτοις ἐνδιατρίψας, τὸν βίον ἐτελεύτησεν ἐκεῖ· οὗ δὴ χάριν καὶ πρὸς τὴν μνήμην μόνην ἀηδῶς διάκειμαι Πελοποννήσου, πολλὰ καὶ τῆς μητρὸς πολλάκις πρὸς ἐμὲ διειλεγμένης, ὡς οὐκ ἂν αὐτῇ γένοιτο καθ' ἡδονὴν ἐμὲ τῆς χώρας ἐκείνης, ἣ τοιούτου πατρὸς ἀπέδειξεν ὀρφανὸν, ἄρξαι. διὰ ταῦτα συγγνώμης αἰτῶ τυχεῖν, ἐκεῖ μὴ βουλόμενος ἀπελθεῖν.“ τοῦτο δ' ἦν σκῆψις, οὐκ ἀληθὴς αἰτία τοῦ τὴν ἀρχὴν τῆς Πέλοπος διωθεῖσθαι. τούτων ἀκούσας ὁ βασιλεὺς καὶ πράως εἰς αὐτὸν ἀποσκώψας, ὡς οὐκ ἀνδρὸς συνετοῦ κεχρημένον λόγοις, οὐδ' ἀνδράσι πρέποντα φόβον πεφοβημένον, διὰ τὴν τοῦ πατρὸς τελευτὴν τὸ χωρίον ὀῤῥωδοῦντα, διὰ τοῦ αὐτοῦ πάλιν ἀντιμηνύει, ὡς, „ἦν μὲν ἂν βέλτιον μηδὲν ἀντιλέγοντα, τὸ προσταττόμενον εὐθὺς ἐκπληροῦν. ἐπεὶ δ' ἔστι σοί τις πρόφασις ἐν τῇ Πελοποννήσῳ, οὐκ ἀναγκαία μὲν, ἔστι δ' οὖν ὅμως, ἐκείνης μὲν ἀφείθης τῆς λειτουργίας, πρὸς Θετταλίαν δὲ ἀπελθεῖν ἐπιτάττω καὶ ταύτης ἐπιτροπεῦσαι, τῶν προσοίκων Κατελάνων ἐπικειμένων αὐτῇ καὶ δεινῶς πιεζόντων, καὶ διὰ τοῦτο δεομένην ἐπικουρίας καὶ δεινοῦ καὶ σώφρονος στρατηγοῦ. [20]

1 86 “ ἐπὶ τούτοις ὁ μέγας δομέστικος οὐδὲν ἀντιλέγειν ἔχων, ὑπεδέξατο μὲν δῆθεν τὴν ἐγχειριζομένην ἀρχήν· πλὴν ὡς ἑρμαίου τινὸς λαβόμενος τοῦ λόγου τοῦ βασιλέως, ὅτι δὴ παρὰ Κατελάνων ἡ Θετταλῶν πιέζοιτο, καὶ διὰ τοῦτο συχνῆς πρὸς ἐπικουρίαν δεῖται χειρὸς, πάλιν ἀντεμήνυσεν, ὡς πρὸς Θετταλίαν μὲν ἀπελεύσεται καθὰ προσετάχθη, δέον δὲ σκεψάμενον ἃ λυσιτελεῖν νομίζοι καὶ πρὸς ἄμυναν τῶν πολεμίων καὶ πρὸς ἀσφάλειαν τῆς ἀρχῆς, ταῦτ' αἰτήσαντα παρὰ βασιλέως λαβεῖν· τοῦτο θέμενος ἐπὶ νοῦν, ὡς ἢ πρὸς τὴν δυσχέρειαν τῶν ζητημάτων ἰλιγγιάσας ὁ βασιλεὺς ἀφέξεται τοῦ πέμπειν ἐκεῖσε, ἢ, τό γε δεύτερον, πολλοῦ πρὸς τὴν παρασκευὴν τριβομένου χρόνου, ἐξέσται καὶ βασιλεῖ συντυχεῖν τῷ νέῳ, καὶ περὶ τοῦ τί χρὴ πράττειν συνδιασκέψασθαι, οὕτως εἰς στενὸν κομιδῇ τῶν πραγμάτων συνωθούντων. τοῦ πρεσβυτέρου δὲ βασιλέως ἃ βούλοιτο αἰτεῖν κελεύσαντος, καὶ τοῦ μεγάλου δομεστίκου διὰ γραμμάτων ὧν δέοιτο δηλώσαντος βασιλεῖ, (ταῦτα δ' ἦν ἀξιόμαχός τε στρατιὰ καὶ χρήματα εἰς τροφὴν ἀρκέσοντα τοῖς στρατιώταις,) πρὸς οὐδὲ ἓν τῶν ζητημάτων ἀνένευεν ὁ βασιλεὺς, ἀλλ' εὐθὺς ἐκέλευε πάντα πρὸς πέρας ἀγαγεῖν. ἐπιταχύνοντος δὲ τῷ μεγάλῳ δομεστίκῳ τὴν ἔξοδον βασιλέως καὶ οὐδ' ἀναπνεῖν ἀνιέντος, ὁ μὲν μετὰ πέμπτην ἡμέραν ὑπέσχετο ἐξελθεῖν· (ἦν δ' αὕτη δευτέρα τῆς παρ' ἡμῖν μεγάλης ἑβδομάδος ὠνομασμένης·) βασιλεὺς δὲ ἡσύχασεν ἀρκεσθείς. τῆς αὐτῆς δὲ ἡμέρας καὶ πρὸς πρωτοστράτορα παρὰ βασιλέως ἀφῖκτο πρόσταγμα πρὸς τὴν ἐπαρχίαν Πριλλάπου, ἧς καὶ πρότερον ἦρχε, πάλιν ἐπιτροπεύσοντα ἀπελθεῖν. [25]

1 87 ὁ δὲ, τὸ ἐπίταγμα τοῦ βασιλέως ἐπαγγειλάμενος ἐκπληρώσειν, καὶ προθεσμίαν αἰτηθεὶς τῆς ἐξόδου, τῆς αὐτῆς μεγάλης ἑβδομάδος ἐπηγγείλατο τὴν ἔκτην. πρὸς μὲν δὴ τὸν πρεσβύτερον τῶν βασιλέων τοιαῦτα εἶπόν τε καὶ ἐπηγγείλαντο. ιη′. Εἰς ταὐτὸν δὲ συνελθόντες τῷ νέῳ, καὶ πάντα διηγησάμενοι τὰ συμπεσόντα, οὐκέτι μένειν ἐδόκει, ἀλλὰ παρασκευασαμένους ἐξελθεῖν Βυζαντίου. γράφουσι δὴ καὶ Συργιάννῃ, παρασκευασάμενον ἅμα τῇ ὑπ' αὐτὸν στρατιᾷ τῇ ἑορτῇ τοῦ πάσχα ἐγγὺς εὑρεθῆναι διατρίβοντα Βυζαντίου· τότε γὰρ καὶ αὐτοῖς ἐδέδοκτο ἐξελθεῖν. οὗτοι μὲν οὖν παρεσκευάζοντο πρὸς τὴν ἔξοδον. τῆς μεγάλης δὲ καταλαβούσης δευτέρας, καθ'

ἦν ὁ μέγας δομέστικος τῆς πόλεως ἐπηγγείλατο ἐξελθεῖν, ἠναγκάζετο μὲν παρὰ τῶν εἰς τοῦτο τεταγμένων τὴν ὑπόσχεσιν ἐκπληροῦν· ὁ δ' αἰτίας τινὰς πλασάμενος, τὴν ἔξοδον ἀνεβάλλετο. τῇ δ' ἐπιούσῃ μηνύεται παρὰ βασιλέως ὡς τάχιστα ἐξελθεῖν· ὁ δ' ἀπεκρίνατο μὴ πρότερον δύνασθαι, πρὶν ἂν τὰ χρήματα δοθῇ πρὸς αὐτὸν, οἷς ἂν πρός τε τὸ μισθοφορικὸν χρήσηται τῆς στρατιᾶς καὶ πρὸς τὰς τῶν πολιχνίων τῶν ἐν Θετταλίᾳ φρουράς. εἰ γὰρ τοῦτο γένοιτο, μηδεμίαν ἀναβολὴν ἔτ' εἶναι πρὸς τὸ τειχῶν ἔξω τῶν Βυζαντίων εἰς τὴν ἐπιοῦσαν ὀφθῆναι. τὰ μὲν οὖν χρήματα, βασιλέως προστάξαντος, αὐθημερὸν παρέσχον οἱ τῶν βασιλικῶν χρημάτων ταμίαι, μυριάδας ὄντα χρυσίου πέντε· ἃ καὶ παραλαβόντες οἱ τοῦ μεγάλου δομεστίκου ταμίαι, πάλιν εἴασαν πρὸς τῷ βασιλικῷ ταμείῳ φρουρεῖσθαι, οὕτω προστεταγμένον αὐτοῖς παρὰ τοῦ δεσπότου, προσθέντες αἰτίαν τῆς καταλείψεως, ὡς ἓν τῶν ξυστρατεύειν τάγμα τῷ μεγάλῳ προστεταγμένων δομεστίκῳ, ἐκ στρατείας ἑτέρας ἐπανῆκον ἄρτι καὶ δεόμενον μικρὰ ταῖς οἰκίαις προσδιατρίψαι, ἐπεὶ πολλὰ καταναγκάσας ὁ στρατηγὸς οὐκ ἠδυνήθη τῶν οἰκιῶν ἐξελάσαι ἄλλον ἄλλοσε διαδιδράσκοντας, συνεχώρησε καὶ ἄκων τὴν τοῦ πάσχα ἑορτὴν οἴκοι διατρίψαντας, μετ' αὐτὴν εὐθὺς ἔχεσθαι τῆς ὁδοῦ· οὓς δεῖ καὶ τὰ χρήματα μεθ' ἑαυτῶν ἔχοντας πρὸς τὸν στρατηγὸν ἀφικέσθαι. [10]

1 88 τὸ δ' ἦν πρόφασις πεπλασμένη· κατελέλειπτο δὲ τὰ χρήματα, ἅμα μὲν ὅπως εἴη πρόφασις εὐπρεπὴς τοῦ περὶ τὸ Βυζάντιον διατρίβειν, (διέτριψε γὰρ μετὰ τὴν ἔξοδον ἡμέρας πέντε περὶ αὐτὸ, τὴν τοῦ νέου βασιλέως ἄφιξιν ἐκδεχόμενος,) ἅμα δὲ καὶ ἀγεννὲς καὶ μηδαμῶς αὐτῷ προσῆκον χρημάτων ἡσσῆσθαι δοκεῖν νομίζων, ὡς ἀπάτῃ καὶ κλοπῇ σχεδὸν ἀφαιρούμενος βασιλέως· ὃ μάλιστα αὐτῷ πρὸς τὴν εὔκλειαν καὶ τὴν εὐδοξίαν τὸν εἰσέπειτα χρόνον πάντα οὐκ ὀλίγα λυμανεῖσθαι ᾤετο. ὃ δὴ καὶ πολλοῖς τῶν περὶ χρήματα ἡττημένων ἔδοξεν ὑπερφυὲς, τὸ τοσούτων χρημάτων, καὶ οὕτως ἐν ἐπικαίρῳ τῆς χρείας, ῥᾳδίως ὡς οὐδενῶν καταφρονῆσαι, ἐξὸν, εἴπερ ἐβούλετο, σὺν ῥᾳστώνῃ πάσῃ λαβεῖν. ὁ μὲν οὖν μέγας δομέστικος τῇ τετάρτῃ τῆς μεγάλης ἑβδομάδος ἐξῆλθε τῆς Κωνσταντίνου καὶ διέτριβε περὶ αὐτὴν, τοὺς στρατιώτας ἐκδεχόμενος καὶ τὰ χρήματα δῆθεν. [20]

1 89 κατὰ δὲ τὴν ἕκτην τῆς αὐτῆς καὶ ὁ πρωτοστράτωρ ἠνάγκαστο ἐξιέναι· οὐ μὴν ἐξῆλθεν, ἀλλὰ τό, τε ἀπαράσκευον αἰτιώμενος καὶ ἄλλας τινὰς αἰτίας συνείρων, ἐπηγγείλατο μετὰ τρίτην ἡμέραν καὶ αὐτὸς ἐξελθεῖν. τῇ δ' αὐτῇ τῆς μεγάλης ἑβδομάδος ἕκτῃ εὕρητο πρὸς τῇ κλίνῃ βασιλέως τοῦ νέου βιβλίον, τάδε ἔχον γεγραμμένα· ὡς, „ὁ μὲν γράψας ὁποῖος ἂν εἴη τις ἢ ὅ, τι ὀνομάζοιτο, οὐκ ἂν μάθοις ἐν τῷ παρόντι· λέγω μέντοι πρὸς ἀλήθειαν ὡς σήμερον ἐκπληροῦται τὸ εἰρημένον τό· ἐλήλυθεν ἡ ὥρα, ἵνα σκορπισθῆτε ἕκαστος καὶ ἐμὲ μόνον ἀφῆτε· συνετὸς δ' ὢν, οὐκ ἀγνοήσεις τὰ λεγόμενα δήπου.“ ὃ μὲν οὖν ἐνόει τὸ γράμμα, τοῦτ' ἦν, ὅπερ καὶ αὐτὸς ἐστοχάζετο βασιλεὺς, ὡς ὁ τῶν περὶ αὐτὸν διασκεδασμὸς οὐδενὸς ἑτέρου χάριν, ἢ ὅπως αὐτὸς γένηται εὐεπιχείρητος, εἴη. τὸν μέντοι γεγραφότα καὶ ὕστερον ἐν τοῖς τῆς εἰρήνης καιροῖς πολλὰ ζητήσας ὁ βασιλεὺς, οὐκ ἔσχεν εὑρεῖν· ἐνομίσθη δ' ἐν τῷ μεταξὺ χρόνῳ ἀποθανεῖν. ἀλλὰ ταῦτα μὲν ὧδέ πῃ ἔσχεν. τοῦ δ' αὐτοῦ ἦρος, ἐννάτην ἄγοντος Ἀπριλλίου πρὸς ταῖς δέκα, ἰνδίκτου τετάρτης τοῦ ἐννάτου καὶ εἰκοστοῦ πρὸς τοῖς ὀκτακοσίοις καὶ ἑξακισχιλίοις ἔτους, μετὰ μέσας νύκτας, τοῦ πρὸς τὴν δευτέραν τῆς νέας ἑβδομάδος ἀνίσχοντος ἡλίου, τὰς πρὸς τὴν Γυρολίμνην λεγομένας ὑπανοίξας πύλας, ὡς πρὸς θήραν δῆθεν ὁ νέος ἐξῆλθε βασιλεὺς, ὀλίγους τινὰς τῶν οἰκετῶν ἐπαγόμενος, κύνας τε καὶ ὄρνεις ἠσκημένους θηρᾶν. [20]

1 90 ἦν δ' ἐξ ἔθους αὐτῷ τοῦτο ποιεῖν ὅτε βούλοιτο, καὶ διὰ τοῦτ' αἴσθησιν οὐδεμίαν οὐδὲ ταραχὴν ὁ δρασμὸς παρεῖχε. τοὺς δέ γε πλείους τῶν οἰκετῶν καὶ τῶν φίλων αὐταῖς σκευαῖς τῇ πρὸ τῆς δευτέρας διεσκεδασμένους κατὰ πάσας τὰς τῆς πόλεως πύλας ἐκέλευσεν ἐξελθόντας, ἐν ὡρισμένῳ τινὶ χωρίῳ συναθροιζομένους περιμένειν. οὗ δὴ καὶ γενόμενος καὶ τοῖς οἰκείοις συμμίξας, τῆς εἰς τὴν Ἀδριανοῦ πόλιν φερούσης εἴχετο, συνόντος καὶ πρωτοστράτορος.

γενόμενος δὲ πρὸς τὸν Μέλανα καλούμενον ποταμὸν καὶ ἵππων πολλῶν ἀγέλας παρ' αὐτῷ νεμομένας εὑρών· (ἦσαν δ' ἵπποι τῆς ἱδρυμένης ἐν Βυζαντίῳ στρατιᾶς καὶ τῶν ἄλλων συγκλητικῶν καὶ πολιτικῶν·) οὐδὲν ἠθέλησεν ἀδικῆσαι, ἀλλὰ τοῖς τε συνεπομένοις ἀπεῖπε νεωτερίζειν μηδὲν, καὶ τοῖς ἱπποφορβοῖς ἐκέλευσε τοὺς ἵππους λαβόντας πρὸς τὴν πόλιν χωρεῖν, μὴ ταραχῆς τινος γενομένης διαρπασθῶσιν. ἐφεξῆς δὲ συνελθὼν καὶ τῷ μεγάλῳ δομεστίκῳ καὶ Συργιάννῃ, ὡς εἶχον ἤνυον τὴν ὁδόν· καὶ μετὰ μέσην τῆς μετὰ τὴν δευτέραν ἡμέρας, εἰς τὴν Ἀδριανοῦ φθάσαντες εἰσεληλύθασιν, ἡδέως ὑποδεξαμένων τῶν οἰκούντων τὴν πόλιν, καὶ τῶν κρειττόνων τινὸς τὴν βασιλέως οἰηθέντων ἐπιδημίαν. ὁ μέντοι πρεσβύτερος βασιλεὺς τὸν τοῦ ἐγγόνου δρασμὸν γνωρίσας, διασέσειστο μὲν ἐπ' ὀλίγον τοὺς λογισμοὺς, εἶτ' ἀναλαβὼν ἑαυτὸν, καὶ οὐ μέγα ἔργον ἡγησάμενος τὸ τὸν ἔγγονον χειρώσασθαι, ἅτε καὶ στρατιᾶς καὶ τῆς ἀρχῆς ἁπάσης ὑφ' αὐτῷ οὔσης, ἕνα τῶν συγκλητικῶν Μανουὴλ Τάγαριν τὸν μέγαν στρατοπεδάρχην, γένους μὲν ὠρμημένον ἐκ φαύλου καὶ ἀφανοῦς, ἀνδρίᾳ δὲ καὶ τόλμῃ τῇ περὶ τὰς μάχας ἐπὶ πλεῖστον δόξης αὐτὸν ἀφ' ἑαυτοῦ προελθόντα, (ἐν γὰρ Φιλαδελφείᾳ τῇ κατὰ Λυδίαν πολλὰ καὶ χειρὸς καὶ τόλμης καὶ στρατηγικῆς ἐμπειρίας κατὰ Περσῶν ἐνεδείξατο ἔργα, ὡς ἐκ τούτων θαυμασθέντα καὶ γάμου τυχεῖν ἐπιφανοῦς· τῇ γὰρ ἀνεψιᾷ συνέζευκτο βασιλέως Θεοδώρᾳ τῇ Ἀσανίνῃ·) τοῦτον δὴ μετακαλεσάμενος ὁ βασιλεὺς, „ὁ ἐμὸς ἔγγονος" ἔφη „νυκτὸς ᾤχετο ἀποδρὰς τῆς πόλεως ταυτησίν. [10]

1 91 ὅπου μὲν οὖν ἂν διατρίβῃ, οὐκ ἔστιν εἰδέναι σαφῶς· τοῦτο δὲ πέπεισμαι ἀκριβῶς, ὡς ὀλίγων ἀχθήσεται δεσμώτης ἡμερῶν εἴσω. τὸ δὲ νῦν ἔχον αὐτὸς ἀναλαβὼν στρατιὰν ὅσην οἴει πρὸς τὸ ἔργον ἀρκέσειν, ἐπιστράτευσον αὐτοῖς καταπόδας· κἂν μόνον ἐγγένηται συντυχεῖν, οὐδὲν λοιπὸν ἢ δοριαλώτους ὑποστρέψαι λαβόντα πάντας· ἐκείνοις γὰρ οὐχ ὅτι ἀμύνασθαι, ἀλλ' οὐδ' ἀντιβλέψαι ἄν ποτε παρασταίη." ὁ Τάγαρις μέντοι, συνετὸς ὢν καὶ πρὸς μάχας ἐξησκημένος· „σοὶ μὲν, ὦ κράτιστε βασιλεῦ," ἔφη „τῶν ὀλίγου πόνου δεομένων ἔργων εἶναι δοκεῖ τὸ τὸν σὸν ἔγγονον ἀχθῆναι συλληφθέντα δεσμώτην, ἐμοὶ δὲ τοὐναντίον ἅπαν. βούλομαι δὴ ἐμὲ ψεύσασθαι, καὶ μὴ σὲ τῆς ἐλπίδος, ὦ βασιλεῦ. [20]

1 92 τοῦτο μὲν οὖν ὁποῖον ἄν ποτε ἀποβαίη, αὐτό, φασι, δείξει. ἐπεὶ δ' ἐπέταξας στρατιὰν ἀναλαβόντα καταδιώκειν αὐτοὺς, ὡς, ἂν ἐγγένηται συντυχεῖν, οὐ μόνον οὐκ ἀμυνουμένων, ἀλλ' οὐδ' ἀντιβλέψαι τολμησόντων· ὡς ἔχω καὶ περὶ τούτων γνώμης, ἐρῶ. τὸν ἀριθμὸν τῆς παρούσης ἐνταυθοῖ στρατιᾶς, οὐ μὴν ἀλλὰ καὶ τὴν ἐμπειρίαν καὶ τόλμαν ὁ σὸς ἔγγονος καὶ οἱ περὶ αὐτὸν σαφῶς εἰδότες, οὐκ ἂν ἐτόλμησαν τραπέσθαι πρὸς τὴν φυγὴν, εἰ μὴ πρότερον ἐπ' ἄκροις δόρασιν ἐξαρτήσαντες τὴν ζωὴν, οὕτω παρέθηξαν ἑαυτοὺς, ὡς πᾶσιν, οἳ ἂν ἐπίωσιν, ἀμυνούμενοι μέχρι τοῦ πεσεῖν. ἴσασι γὰρ σαφῶς ὡς, ἂν ἁλῶσιν, ἥκιστα τοῦ ἀποθανεῖν πείσονται μετριώτερα. διόπερ ὡς τεθνηξόμενοι μαχοῦνται καὶ ὑπὲρ δύναμιν, ἀφειδοῦντες ἑαυτῶν. θανατῶσιν οὖν ἀνθρώποις ἐξ ἴσου τοῦ ἀριθμοῦ συμπλέκεσθαί τινα, οὐδὲ πόῤῥω μανίας δόξειεν ἄν. ἐπὶ γὰρ τῶν τοιούτων τοὺς ἀντιτεταγμένους καὶ τῷ πλήθει πολλῷ τῷ μέτρῳ χρεὼν ὑπερέχειν, καὶ ταῖς προθυμίαις ἴσους εἶναι· ἃ δὴ καὶ ἀμφότερα ἡμῖν ἐν ἀμφιβόλῳ κεῖται. τῶν τε γὰρ συνόντων αὐτοῖς οὐκ ἴσμεν τὸ πλῆθος, καὶ τῶν ὑφ' ἡμῖν τεταγμένων, ὁποτέροις πρόσκεινται τὰς γνώμας, ἀγνοοῦμεν. ἄλλως τε καὶ περὶ μέσας νύκτας αὐτῶν ἐξελθόντων, ὡς παρὰ τῶν φυλάκων τῶν πυλῶν ἐξεγένετο μαθεῖν, ἡμῶν δ' οὐ μέχρι βαθείας ἑσπέρας δυνησομένων ἂν πρὸς τὴν δίωξιν καταστῆναι, ἐκείνοις μὲν τὸ ἐν ἀσφαλείᾳ περιστήσεται εἶναι, ἡμῖν δὲ τὸ ἀνεφίκτοις ἐπιχειρεῖν· καὶ δυοῖν ἕτερον συμβήσεται, ἢ ὑστερήσαντας ἀπράκτους ἐπανελθεῖν, ὃ καὶ αὐτὸ σημεῖον ἂν ἥττης εἴη, ἢ καταλαβόντας, ἡττηθέντας πεσεῖν. [20]

1 93 τούτων δὴ ἕνεκα οὐ καταδιώκειν ἐξ ἐφόδου, ἀλλ' ἕτερόν τινα τρόπον πρὸς αὐτοὺς πολεμητέον εἶναί μοι δοκεῖ." ιθ'. Τούτοις τοῖς λόγοις καὶ τῶν παρόντων συνειπόντων συγκλητικῶν, ὁ

βασιλεὺς τῆς μὲν πρὸς τὴν δίωξιν βουλῆς ἀπέστη, ὀμνύναι δ' ἐκέλευσε πάντας τοὺς ὑπ' αὐτὸν, ὡς οὐδεὶς ἂν ἕλοιτο τὰ Παλαιολόγου τοῦ Ἀνδρονίκου, (οὕτω γὰρ προσετέτακτο μηκέτι βασιλέα κατονομάζειν,) ἀλλὰ πολέμιον ἡγεῖσθαι ὡς τοῦ βασιλέως ἀφεστηκότα. οἱ ὅρκοι μὲν οὖν ἐτελοῦντο, ἤνυον δὲ πλέον οὐδέν. οὐ μόνον γὰρ ἐκ Βυζαντίου καὶ τῆς συγκλήτου καὶ τῆς στρατιᾶς ὁσημέραι πολλοὶ πρὸς τὸν νέον Ἀνδρόνικον ἠυτομόλουν, ἀλλὰ καὶ ἐκ τῶν ἄλλων ἐπαρχιῶν τε καὶ πόλεων τῶν ὑπηκόων Ῥωμαίοις συνέῤῥεον κατὰ συστάσεις, ὡς ἐν ὀλίγῳ περὶ αὐτὸν στρατιὰν ἀξιόμαχον ἀθροισθῆναι. ἐγένοντο μέντοι πρὸς τὸν νεωτερισμὸν ἁρπαγαὶ καὶ φθοραὶ πραγμάτων οὐχὶ συχναί. τούς τε γὰρ πράττοντας τοὺς δημοσίους φόρους ἀπεστέρησαν τῶν ὄντων οἱ προστυχόντες, εἰ μή που καὶ αὐτοὶ προαισθόμενοι κατέκρυψαν ἐν ἀσφαλεῖ· καὶ αὐτοὶ δὲ πολλὰ ἑαυτοῖς περιεποιήσαντο ἀποστερήσαντες βασιλέα, ὡς δῆθεν ἀφῃρημένοι παρὰ τῶν προστυχόντων· καὶ εἴ τις πρός τινα τῶν τῷ πρεσβυτέρῳ βασιλεῖ προσκειμένων διαφορὰν ἔχων ἰδίων ἕνεκα ἐγκλημάτων, ἠμύνατο, τοῦ καιροῦ συμμαχοῦντος, εἰς ἁρπαγὴν καρπῶν καὶ βοῶν καὶ προβάτων περιστήσαντες τὴν ζημίαν. [20]

1 94 ὁ δὲ πρεσβύτερος βασιλεὺς, ὡς ἐναντίως ἢ αὐτὸς προσεδόκα τὰ πράγματα ἐχώρει, συναγαγὼν τοὺς ἐν τῇ Κωνσταντίνου τότε διατρίβοντας ἀρχιερέας, (ὁ πατριάρχης γὰρ Γεράσιμος ἔφθασε τελευτήσας ἐν ᾗ νυκτὶ καὶ ὁ νέος βασιλεὺς ἐξῆλθε τοῦ Βυζαντίου,) καὶ διαλεχθεὶς αὐτοῖς ἃ ἐδόκει δίκαια εἶναι, πείθει χωρισμὸν ἀπὸ θεοῦ ἐκφωνῆσαι κατὰ παντὸς ἀνθρώπου τοῦ τε νῦν τῷ ἐγγόνῳ συνόντος τοῦ τ' ἐσομένου. ὡς δὲ μηδὲ τοῦτ' ἐπισχεῖν ἠδυνήθη τὰς τῶν ἀφισταμένων ὁρμὰς, δείσας ὁ πρεσβύτερος βασιλεὺς, μὴ καὶ εἰς πέρας ἀφίκηται τὰ πράγματα κακὸν, οὕτως ἐναντίως ἢ αὐτὸς προσεδόκησε χωροῦντα, τὸν Φιλαδελφείας Θεόληπτον καὶ τὸν τοῦ κοιτῶνος προκαθήμενον, Καλλικρηνίτην, πρέσβεις πρὸς τὸν ἔγγονον ἀποστείλας, πρὸς ξυμβάσεις ἐχώρει, ἐπαγγειλάμενος, ὡς ὅπερ ἂν ὁ ἔγγονος ἐθέλοι γράμμασι δηλώσας, αὐτὸς ἂν εἰς πέρας ἀγάγοι. οἱ μὲν οὖν πρέσβεις εἰς Ἀδριανοῦ πόλιν ἐλθόντες, ἐπεὶ καὶ βασιλεὺς ὁ νέος ἔτυχε πρὸ τῆς πόλεως ἐπισκεπτόμενος τὴν στρατιὰν, προσῄεσαν ὡς προσκυνήσοντες καὶ τὰ τῆς πρεσβείας ἀπαγγελοῦντες. τὸ δὲ πλῆθος περιστάντες αὐτοὺς γυμνοῖς τοῖς ξίφεσιν, ὡς ἐπύθοντο ὑπὲρ εἰρήνης ἀφιγμένους, ἐκέλευον ἀλλήλοις ἀποκτιννύναι. ὁ μὲν οὖν Καλλικρηνίτης τῷ δέει κατασεισθεὶς τὴν ψυχὴν, τοῦ ἵππου τε ἀπεπήδησε, καὶ ἀμφοτέραις περισχὼν τὸν βασιλέως πόδα, ἵστατο περιδεὴς, ὅσον οὔπω νομίζων ἀποθανεῖσθαι· ὁ Φιλαδελφείας δὲ, ὥσπερ δι' ἀψύχων τινῶν παριὼν καὶ ψόφων κενῶν ἀκούων, ἀκατάπληκτος ἦν πρὸς πᾶν ὁτιοῦν. [20]

1 95 ἰδὼν δὲ τὸν Καλλικρηνίτην ὥσπερ ἀποτεθνηκότα τῷ δέει, „οὐ δέον" εἶπεν „ὦ θαυμάσιε σὺ, οὕτω κατάκρας πρὸς τὸν θάνατον κατεπτηχέναι, μέλλοντας, εἰ μὴ νῦν, ἀλλ' οὖν ὕστερόν ποτε ἀποθανεῖσθαι. εἰ οὖν τοῦτο πᾶσα ἀνάγκη, βέλτιον, ὅτε καὶ πρόφασίς τινος κέρδους, ἢ ὅτε μή. τούτου δ' οὕτως ἔχοντος, ποία πρόφασις εὐλογωτέρα, ἢ ὑπὲρ εἰρήνης πρεσβεύοντας τελευτῆσαι;" εἶτ' ἐπιστραφεὶς πρὸς τὸν μέγαν δομέστικον καὶ Συργιάννην καὶ πρωτοστράτορα, (οὗτοι γὰρ αὐτὸν περιέστησαν, ὅπως μή τι περὶ αὐτὸν τολμηθῇ,) „εἰ μὲν ἔξεστιν ὑμῖν" ἔφη „τοὺς ἀνοήτους τουτουσὶ καὶ θρασεῖς καταστέλλειν, πράττετε ἃ προσήκει· εἰ δ' οὖν, ἀλλ' οὗτοί γε δρώντων ἃ προθυμοῦνται. πάντως οὐδὲν ἂν εἴη τῶν ἀβουλήτων θεῷ." ἐπὶ τούτοις ὁ ἀνὴρ ἐθαυμάζετο τῆς μεγαλοψυχίας ἕνεκα, καὶ καρτερίας πρὸς τὰ δεινά. μέχρι μὲν οὖν τινος βοή τις θορυβώδης ἐξηχεῖτο διὰ τοῦ πλήθους· εἶτα κατεσταλμένης, ὁ βασιλεὺς τοὺς πρέσβεις ἰδίᾳ παραλαβὼν, καὶ περὶ ὧν ἤκουσιν ἐκμαθὼν, ἀντεμήνυσε δι' αὐτῶν τῷ βασιλεῖ καὶ πάππῳ τοιάδε· „τὸ καταπίπτειν ἐν τοῖς δεινοῖς καὶ ἀγεννῆ τινα καὶ πράττειν καὶ φθέγγεσθαι, φαύλων τινῶν καὶ μικροψύχων καὶ αὐτὸς εἶναι κρίνων, τὸ δ' ἐν ταῖς εὐτυχίαις φυσᾶσθαι καὶ μεῖζον ἢ προσήκει φρονεῖν, ἀμαθῶν καὶ θρασέων, ὁμοίους δὲ ἔν τε τοῖς δεινοῖς εἶναι καὶ τοῖς ἐναντίοις, ἀνδρείων καὶ νοῦν ἐχόντων, οὔθ' ὅτ' ἐδικαζόμην παρὰ σοὶ κριτῇ, βασιλεῦ, δειλίᾳ τινὶ ληφθεὶς ἔλεγον ἅπερ εἶπον, ὑποκρινόμενος τὴν ἀλήθειαν, οὔτε νῦν, ὅτ' ἐν τῷ ἀσφαλεῖ δοκῶ

καθεστάναι, ἕτερα φθέγξομαι τῶν προτέρων, ἀλλ᾽ ἐπὶ μάρτυρι πάλιν φθέγγομαι τῷ θεῷ, ὡς οὐδὲν ἐμαυτῷ σύνοιδα τῶν ἐγκαλουμένων, οὐδέ τι τοιοῦτον ἡμαρτηκότι, ὥστ᾽ εἰς τοσαύτην ὑπερβολὴν ὀργῆς τὴν σὴν γαληνότητα ἐρεθίσαι. [10]

1 96 τὸ μὲν οὖν εἰς διαλλαγὰς χωρῆσαι καὶ τὴν πατρικὴν εὐμένειαν αὖθις ἀνακαλέσασθαι, εὐχῆς ἔργον ἐμοί. νῦν δὲ ἀδυνάτου φαινομένου τοῦ εἰπεῖν τι καίριον ἢ καταπράξασθαι διὰ τὴν ἀταξίαν τῆς στρατιᾶς πολλήν τινα γεγενημένην, ὡς ἀπὸ τῶν πρέσβεων μαθήσῃ, κατ᾽ ἐμαυτὸν διασκεψάμενος, ἐπεὶ καὶ τὴν σὴν βούλησιν ἐπυθόμην, ταῦτα καταπράξομαι, ἅπερ ἂν ἥδιστα καὶ αὐτῷ σοὶ φανείη.“ τοῖς μὲν δὴ πρέσβεσι τοιαῦτα διαλεχθεὶς ὁ βασιλεὺς, καὶ χρησταῖς ἐλπίσι μετεωρίσας, ἐς Βυζάντιον ἐκέλευεν ἀναστρέφειν. οἳ δὴ καὶ ἀφικόμενοι πρὸς βασιλέα, καὶ τήν τε τῆς στρατιᾶς ὑπὲρ τοῦ νέου βασιλέως σπουδήν τε καὶ προθυμίαν, καὶ τὴν κατ᾽ αὐτῶν ὁρμὴν καὶ μανίαν ἀπηγγελκότες, οὐκ ὀλίγην ἐνεποίησαν ταραχήν· εἶτ᾽ αὖθις καὶ τοῖς τοῦ νέου βασιλέως χρησάμενοι λόγοις, παρεσκεύασαν χρηστότερα ἐλπίζειν. ἔνδον μέντοι καὶ αὐτοῦ Βυζαντίου τὰ μὲν τοῦ νέου βασιλέως ηὔξανε σφόδρα καὶ ἰσχὺν προσελάμβανεν οὕτοι μετρίαν· τὰ δὲ τοῦ πρεσβυτέρου ὑπέῤῥει τε κατὰ μικρὸν καὶ ἀσθενέστερα ἀπεδείκνυτο. [20]

1 97 ἀλλὰ τὰ μὲν κατὰ Βυζάντιον τοιαῦτα. κ′. Ὁ νέος δὲ βασιλεὺς εἰς τὴν ὑστεραίαν τοὺς ἐν τέλει πάντας καὶ τοὺς τῶν ταγμάτων ἡγεμόνας συγκαλεσάμενος, ἔτι δὲ καὶ τὴν στρατιὰν καὶ τὴν χθὲς ἀταξίαν καταμεμψάμενος ὡς οὐ καλῶς οὐδὲ προσηκόντως γεγενημένην, (μηδὲ γὰρ ἐκ φαύλου ἀγαθόν τι δύνασθαι ἐκβῆναι,) εἶτα ἐπειπὼν, ὡς νῦν μὲν ἂν συγγνοίη τοῖς αἰτίοις τῆς ταραχῆς ὡς οὐκ εἰδόσιν αὐτὸν ἀηδῶς ἔχοντα πρὸς τὰ τοιαῦτα, ἂν δ᾽ αὖθις παραπλήσια τολμῶσι, δίκην ἐπιθήσει πρέπουσαν τοῖς ἀτακτοῦσιν· εἰς μέσους παρέθηκε τὴν βουλὴν, φήσας, ὡς „οἱ μὲν παρὰ βασιλέως τοὐμοῦ πάππου λόγοι καὶ ἡ ἀξίωσις, ὡς αὐτός τε ἀσπάζοιτό, εἰσι, τὴν εἰρήνην, καὶ ἡμᾶς βούλοιτο· καὶ τούτου χάριν ἡμᾶς μὲν ἃ βουλοίμεθα αἰτεῖν, ἐκεῖνον δὲ ἡδέως ἔχειν εἰς πέρας ἄγειν. λοιπὸν τοίνυν ὑμᾶς ἕκαστον ἃ ἂν οἴηται συνοίσειν λέγειν.“ Πρὸς ταῦθ᾽ ἅπαντες ὥσπερ ἀπὸ συνθήκης μία γενόμενοι γλῶσσα, μὴ δέχεσθαι ἔφασαν τὴν εἰρήνην, μηδὲ βούλεσθαι ὅλως βουλεύεσθαι περὶ τούτου. „ἰδοὺ γὰρ, ὡς ἀκούομεν, βασιλεῦ, εἰς ἔσχατον ἀφιγμένος κινδύνου, καὶ μόγις θεοῦ συναιρομένου τὸ ἀποθανεῖν διαφυγὼν, τοῖς αὐτοῖς ἢ καὶ χείροσι κακοῖς περιπεσεῖν φιλονεικεῖς. [20]

1 98 δεόμεθα δή σου τοῦ τοιαῦτα λογίζεσθαι ἀποτρέπεσθαι· ὅμως ἐπείπερ, ὡς σὺ φῂς, ὁ σὸς πάππος εἴρηκε καὶ βασιλεὺς, ὡς ὅπερ ἂν αὐτὸς ἐθέλῃς αἰτεῖν, ἐκεῖνον ἐκπληροῦν παρεσκευάσθαι, τῆς βασιλείας λέγομεν ἀποστάντα καθ᾽ ἑαυτὸν ὅποι βούλοιτο διάγειν, σὲ δὲ ἐᾷν τὴν Ῥωμαίων ἀρχὴν ἰθύνειν· ἂν δὲ μὴ βούλοιτο, πρὸς Βυζάντιον ἰτέον ἐπ᾽ αὐτόν. οἰόμεθα γὰρ οὐδὲ μέχρι τειχῶν περιμενεῖν ἡμᾶς τοὺς Βυζαντίους, ἀλλ᾽ ἔτι ποῤῥωτέρω ὄντων, εἰς ὑπάντησίν τε σὴν ἐξελθεῖν καὶ τὴν πόλιν ἂν παραδοῦναι. εἰ μὲν οὖν οἷσπερ βουλευόμεθα πείθῃ καὶ αὐτὸς, ὦ βασιλεῦ, μηκέτι μέλλωμεν, ἀλλ᾽ ἔργου ἐχώμεθα ἤδη. εἰ δ᾽ ἄλλως αὐτὸς βεβούλευσαι, ἀλλ᾽ ἡμῖν γε φανερῶς φράσον, ὅπως ἕκαστος, ὡς ἂν οἷός τε ᾖ, διασώζῃ ἑαυτόν.“ Τούτων οὕτως ἀπὸ πάντων ὥσπερ ἀπὸ μιᾶς εἰρημένων γλώττης, πολλὴν ὁρῶν ἀκαιρίαν ὁ βασιλεὺς εἰς τὸ μεταπείθειν ἐπιχειρεῖν, (ἥ τε γὰρ στρατιὰ ἀκάθεκτοι ταῖς ὁρμαῖς ἦσαν, καὶ μάλιστα οἱ ἐκ Γερμανῶν μισθοφόροι Λατῖνοι, ἐν οἷς ἦσαν καί τινες τῶν εὐπατριδῶν παρ᾽ αὐτοῖς, αὐτός τε ἀήθως ἔτι εἶχε πρὸς ἅπαντας, πλὴν ὀλίγων τινῶν, καὶ οὐκ ἦν ἐκ τοῦ ῥᾴστου πρὸς ἀγνῶτας διαλέγεσθαι, ὥσπερ ἦν χρήσιμον τῷ καιρῷ,) πολλὰς τῆς εἰς αὐτὸν εὐνοίας αὐτοῖς χάριτας ὁμολογήσας, καὶ δεῖν εἶναι εἰπὼν πλείονι διασκέψει δοῦναι τὸ πρᾶγμα, καὶ μὴ ἐφ᾽ οὕτω μεγάλην πρᾶξιν ἀπερισκέπτως χωρεῖν· „οὐ γὰρ περὶ μικρῶν τινων βουλευόμεθα, ἀλλὰ περὶ τοῦ σύμπαντος σχεδόν·“ διέλυσε τὸν σύλλογον, εἰς τὴν ὑστεραίαν τὸ πέρας τῆς βουλῆς ἐξαρτήσας. [20]

1 99

τούτων δὲ διαλυθέντων, ἅμα τοῖς τρισὶ πάλιν ὁ βασιλεὺς ἐβουλεύετο περὶ τῶν προκειμένων, ἃ συμφέρειν ἕκαστος οἴεται κελεύσας εἰπεῖν. εἶπεν οὖν πρῶτος ὁ Συργιάννης· „ἡμεῖς ἃ καὶ πρότερον ἐβουλευσάμεθα, βασιλεῦ, ὄντες ἐν Βυζαντίῳ, οὐκ ἰδίᾳ τι ἐχθραίνοντες ἐφθεγξάμεθα τῷ σῷ πάππῳ καὶ βασιλεῖ, οὐδὲ περὶ πλείστου τὸ κακῶς αὐτὸν ποιούμενοι παθεῖν, ἀλλὰ τῆς σῆς κηδόμενοι σωτηρίας, ἀναγκαίως ἐφερόμεθα πρὸς τοῦτο· ἡ γὰρ τοῦ ἑνὸς εὐδοκίμησις τοῦ ἑτέρου εἶναι φαίνεται καταστροφή· ὃ δὴ καὶ νυνὶ συμβαίνει. τῆς γὰρ στρατιᾶς ἁπάσης ἐπ' αὐτὸν ἰέναι προθυμουμένης, (ἔχονται δὲ ὀρθῶν λογισμῶν, καὶ οὐκ ἔστιν οὐδένα νοῦν ἔχοντα ἀντειπεῖν,) εἴ τι καὶ περὶ ἐκεῖνον συμβαίη τῶν δυσχερῶν, οὐχ ἡμῶν τῶν ἠναγκασμένων, ἀλλ' ἐκείνων ἂν εἴη τῶν εἰς τὴν ἀνάγκην συνελασάντων. τοιγαροῦν ἐπεὶ κοινῇ πᾶσι τὰ αὐτὰ ἔδοξε λυσιτελεῖν, ἡμεῖς τε οὐδεμίαν τοῖς βεβουλευμένοις μέμψιν ἔχομεν ἐπιφέρειν, τὰ κοινῇ δοκοῦντα πράττειν ἀνάγκη.“ Τούτοις συνεῖπε καὶ ὁ πρωτοστράτωρ· τοῦ μεγάλου τε δομεστίκου μὴ συνετώτερον ἑαυτὸν εἶναι νομίζειν τῶν ἄλλων ἁπάντων εἰπόντος, ὥστε τοῖς κοινῇ δοκοῦσιν αὐτὸν μόνον ἐναντία λέγειν, ἀνέστησαν. βαθείας δὲ νυκτὸς τὸν μέγαν δομέστικον ὁ βασιλεὺς μόνον παραλαβὼν, καὶ αὖθις ἐβουλεύοντο περὶ τῶν αὐτῶν· ἐδόκει δὲ καὶ αὐτοῖς ὀρθῶν μὲν ἔχεσθαι τὴν στρατιὰν λογισμῶν. [20]

1 100 τοῦ νεωτερισμοῦ γὰρ ἤδη λαμπρῶς ἐξαφθέντος, πάντες ἦσαν μετέωροι πρὸς τὰς φήμας, καὶ μεταβολῆς ἀτόπως ἤρων. κίνδυνον μέντοι τὸν ἔσχατον τὴν εἰς Βυζάντιον αὐτῶν ἄφιξιν φέρειν τῷ βασιλεῖ, ὡς πάντων εὐθὺς τῷ νέῳ προσθησομένων. ὃ δὴ καὶ σκοπουμένοις αὐτοῖς, ὅπως ἂν μὴ γένηται, καὶ πολλὰς ἑλίξεις λογισμῶν διελθοῦσιν, ἐδόκει βέλτιστον εἶναι πρὸς Θεσσαλονίκην μᾶλλον ἐλθεῖν, ὡς ἂν ἐν τῷ μεταξὺ χρόνῳ τὰ κατ' αὐτὸν κατὰ σχολὴν εὖ διαθέμενος ὁ βασιλεὺς, πρὸς τὸν πόλεμον ἀντίσχῃ, καὶ μὴ ἀπόληται ἐπιχειρούμενος ἐκ τοῦ αἰφνιδίου. ταύτην δὴ κυρώσαντες τὴν βουλὴν, ἐτράποντο εἰς ὕπνον. τῆς δὲ ἐπιγενομένης ἡμέρας, τῶν τε ἐν τέλει πάντων καὶ τῶν τῆς συγκλήτου συνελθόντων, παρόντων καὶ τῶν εἰρημένων Λατίνων, εἴ τι καινότερον τῶν χθὲς βεβουλευμένων ἐξεύρηταί τινι, ὁ βασιλεὺς ἐπυνθάνετο κοινῇ· „ἀτελοῦς γὰρ τοῦ βουλεύματος καταλειφθέντος, καὶ ὑμῶν πάντων περὶ αὐτὸ ἠσχολημένων, εἰκός τινα καὶ προσεπινοῆσαί τι πλέον.“ Παλαιολόγου δὲ τοῦ μεγάλου στρατοπεδάρχου μήτ' αὐτόν τι προσεπινενοηκέναι πλέον, μήτ' ἄλλου ἀκηκοέναι φαμένου, καὶ καβαλλαρίου φραμπέριν τεμπινιὸλ, ὡς ἐκ προσώπου τῶν Λατίνων μηδαμῶς εἶναι τῶν χθὲς εἰρημένων μήτ' ἀληθέστερα μήτ' ἀναγκαιότερα εἰπόντος, καὶ τῶν ἄλλων ἑξῆς ἁπάντων τοῖς εἰρημένοις ἐπιψηφισαμένων, καὶ τὴν εἰς Βυζάντιον ἄφιξιν ἐπισπευδόντων, ὡς ἅμα τῷ φανῆναι προσχωρῆσον, καὶ τέλος εἰς ἱκετείαν ὑπὲρ τοῦ ταῦτα πράττειν καταληξάντων, ὁ βασιλεὺς, μικρὸν ἐπισχών· „ἀλλ' ἔμοιγε“ εἶπε „τὸ Σολομώντειον καλῶς εἰρῆσθαι δοκοῦν, τὸ, εἶναι σωτηρίαν ἐν πολλῇ βουλῇ· καὶ πολλὰ πολλάκις περὶ τῶν αὐτῶν βουλευσαμένῳ, ἐξεύρηταί τι καὶ τῶν εἰρημένων πλέον, ὃ δὴ καὶ δεῖν ἔδοξεν εἰς μέσον θεῖναι, ὡς ἂν, εἰ καλῶς ἔχει, δοκιμασθῇ. [10]

1 101 ἐμοὶ πρὸς τὴν Ἀδριανοῦ τήνδε πόλιν ἀφιγμένῳ, αὐτοί τε πολλὴν ἐπεδείξαντο τὴν εὔνοιαν κοινῇ πάντες περὶ ἐμὲ, καὶ αἱ ἄλλαι πᾶσαι κατὰ τὴν Θρᾴκην ἄχρι Χριστουπόλεως προσεχώρησαν πόλεις· οὐ μὴν ἀλλὰ καὶ ὅσον ἦν στρατιωτικὸν ἐν ταῖς Θρᾳκικαῖς κώμαις καθιδρυμένον, οἷς καὶ πολλὴν ὀφείλειν τὴν χάριν ὁμολογῶ ὡς ἀγαθοῖς περὶ ἐμὲ προῖκα γεγενημένοις. αἱ μέντοι κατωτέρω Χριστουπόλεως πολλαὶ καὶ περιφανεῖς οὖσαι πόλεις ἄχρι καὶ Ἀκαρνανίας καὶ Δαλματίας ὑπήκοοι Ῥωμαίοις, καὶ στρατιὰν οὐκ εὐκαταφρόνητον ἔχουσαι καὶ στρατηγοὺς πολλούς τε καὶ ἀγαθοὺς, οὐδεμία προσεχώρησεν ἡμῖν. ὅπερ ἐμὲ ταραχῆς ἐνέπλησεν οὐκ ἀπαντῆσαν κατὰ γνώμην. οὐδ' εἶναι νομίζω λυσιτελὲς ὡς οὐδενῶν καταφρονῆσαι, ἀλλὰ περὶ πλείστου ποιήσασθαι καὶ τὴν ἐκείνων συμμαχίαν καὶ κοινωνίαν. [20]

1 102

τούτου χάριν ἀναγκαῖον εἶναί μοι δοκεῖ τὴν πρὸς ἐκεῖνα φέρουσαν πρῶτον ἐλέσθαι. προσχωρησάντων δὲ ἐκείνων, πρὸς τὴν Κωνσταντίνου βαδιούμεθα θαῤῥοῦντες, οὔτ' ὀπίσω πολεμίους καταλιπόντες, καὶ διπλασίῳ τὴν δύναμιν προσκτησάμενοι." βασιλεὺς μὲν οὖν τοιαῦτα εἶπε, τὴν πρὸς τὴν ἑσπέραν ἐλέσθαι πείθειν ἐπιχειρῶν· οἱ δ' αὖθις τῶν προτέρων ἐχόμενοι λογισμῶν, πρὸς Βυζάντιον ἔλεγον ἀπιέναι δεῖν καὶ ἄλλοσε μηδαμῆ, ὡς οὐδὲν ὂν ἔργον αὐτὸ κατασχεῖν, καὶ μὴ παρατείνειν τὸν πόλεμον, ἀλλὰ συναιρεῖν. κα′. Ἐν τούτοις τοῦ μεγάλου δομεστίκου φθεγγομένου μηδὲν „σὺ δ'" ἔφασαν „ἀνθ' ὅτου μὴ καὶ αὐτὸς περὶ τῶν παρόντων γνώμην εἰσάγεις, ἀλλ' οὕτως ὡς καινοῦ μηδενὸς γινομένου σιωπὴν ἀσκεῖς;" „ὅτι γε" εἶπεν „οὐ βουλευομένους, ἀλλὰ τὴν βουλὴν ἐπικυροῦντας ὁρῶ. εἰ γὰρ ἐβουλεύεσθε, τάχ' ἄν τι καὶ αὐτὸς εἶπον τῶν συμφερόντων. οὐ μὴν ἀλλ' ἐπείπερ ἐπύθεσθε, ἃ νομίζω συμφέροντα ἐρῶ. καὶ πρῶτον μὲν ἔπεισί μοι θαυμάζειν, ὅθεν οὕτω πεπείκατε ἑαυτοὺς, σὺν οὐδενὶ πόνῳ καταλήψεσθαι τὴν Κωνσταντίνου μόνον ὀφθέντες. εἰ μὲν γάρ τι πλέον ἴστε ἢ ἐπύθεσθε ὧν καὶ αὐτὸς ἐπίσταμαι, ὅ, τι ποτ' ἂν εἴη μαθεῖν ἐβουλόμην· εἰ δ' οὐδὲν, τἀναντία παντάπασιν ἐμοὶ φρονεῖτε. ἐγὼ γὰρ πόλιν οὕτω μεγάλην καὶ πολυάνθρωπον, καὶ χρήμασι καὶ ὅπλοις καὶ στρατιώταις δυνατωτάτην, καὶ βασιλέα ἔχουσαν ἐγκαθεστῶτα, οὕτω μὲν συνετὸν, ἐπὶ τοσούτοις δ' ἄρξαντα χρόνοις καὶ πολλὸν ἔχοντα περὶ αὐτὸν εὐνοϊκῶς διακειμένων, καὶ χρήμασιν ἐῤῥωμένον, οἷς αὐτῷ πείσει προσέχειν τὴν στρατιὰν, οὐ τῶν ῥᾳστων, ἀλλὰ τῶν δυσκολωτάτων εἶναι νομίζω κατασχεῖν. [5]

1 103 καὶ χωρὶς δὲ τούτων τῶν παλαιῶν τις Ἑλλήνων σοφὸς μὴ τὰ τοιαῦτα ῥᾳδίως ἐλπίζειν πείθει, πολλὰ τὰ μεταξὺ χειλέων καὶ κύλικος εἶναι εἰπών. ἔστι δέ τις καὶ στρατηγοῖς νόμος, ἐπίσης ταῖς εὐτυχίαις καὶ τὰς δυσπραγίας μετρεῖν, καὶ οὗτος ἄριστος στρατηγῶν, ὅστις ἢ ἐπιτυγχάνων νικᾷ, ἢ ἀποτυγχάνων οὐκ ἀποβάλλει τὰ ὄντα. σκέψασθε δὴ, εἴγε νῦν ἐπιστρατεύσαντες τῇ Κωνσταντίνου, οὐχ οἷοί τε γενώμεθα ἑλεῖν, ὁπόσα συμβήσεται τὰ δυσχερῆ. εὐθὺς μὲν γὰρ ἀνάγκη τοὺς τῷ πρεσβυτέρῳ βασιλεῖ προσκειμένους, ἡμῶν ἀπράκτων ἐπανελθόντων, ἀναθαρσῆσαί τε καὶ εἰς ἐλπίδα τοῦ νικήσειν γενομένους προθυμότερον ἂν ἡμῖν ἐπελθεῖν, οὗπερ αὐτοὶ ἑαυτοῖς ἡμεῖς ἂν φανείημεν αἰτιώτατοι βουλευσάμενοι κακῶς. ἔχοντες δὲ ἑκατέρωθεν τοὺς πολεμίους, (ἔκ τε γὰρ τῶν κατὰ τὴν ἕω τοῖς Ῥωμαίοις ὑπηκόων πόλεων καὶ αὐτοῦ Βυζαντίου δυνατὸν ἀξιόμαχον ἡμῖν ἀθροισθῆναι στρατιὰν, καὶ ἐκ τῆς ἑσπέρας ἑτέραν ὁμοίαν,) αὐτοὶ ἐναπειλημμένοι μέσοι, ἢ διαφθαρησόμεθα, μὴ δυνάμενοι ἀντέχειν πρὸς ἀμφίβολον τὸν πόλεμον, ἢ κακῶς ἀπαλλάξομεν, τῶν μὲν πολεμίων ἑκατέρωθεν ἐπικειμένων, τῶν προσχωρησάντων δὲ ἀφισταμένων, διὰ τὸ ἐν ἐλπίσιν ἡμᾶς εἶναι διαφθαρήσεσθαι. καὶ πρὸς ἔτι τούτοις ὅπλων δεησόμεθα καὶ χρημάτων, τοῖς μὲν ἤδη ἀφεστῶσι πολεμοῦντες, τοῖς δ' ἔτι μένουσι φρουρὰς ἐγκαθιστάντες, ὅπως μὴ ἀποστῶσιν· ἃ ἐς ὅσας ἀνάγκας ἡμᾶς καταστήσει, συνορᾷν χρή. [20]

1 104 ἔτι δὲ κἀκεῖνο ἐνεθυμήθην, ὡς ὅ τε τῶν Τριβαλῶν ἡγεμὼν καὶ ὁ τῶν Μυσῶν βασιλεὺς Σφεντισθλάβος, κηδεσταὶ βασιλέως ὄντες, νῦν μὲν διαφέρονται πρὸς αὐτὸν ἰδίων τινῶν ἕνεκα αἰτιῶν· ἂν δὲ διὰ τὸν πρὸς ἡμᾶς πόλεμον διαλύσηται πρὸς αὐτοὺς, καὶ κελεύσῃ βοηθεῖν, πολεμίοις αὐτοῖς χρησόμεθα φοβερωτάτοις. τοιαῦτα μὲν καὶ ἕτερα δυσχερέστερα ἀναφυήσεται ἡμῖν κακὰ, ἂν μὴ αὐτοβοεὶ τὴν πόλιν ἕλωμεν, καθάπερ αὐτοί φατε· ἂν δὲ τραπώμεθα πρὸς τὴν ἑσπέραν, πρῶτον μὲν τὸ κωλῦσον οὐδὲν, ἅπασαν ὑφ' ἑαυτοὺς ποιήσασθαι ἐν βραχεῖ· οἵ τε γὰρ ἑσπέριοι, αὐθόρμητοι πρὸς τὰς ἀποστασίας, καὶ προσχωρήσουσι ῥᾳδίως τῷ νέῳ βασιλεῖ, χαίροντες πρὸς τοὺς νεωτερισμοὺς, οἵ τ' ἐφεστηκότες ταῖς πόλεσιν ἡγεμόνες, ὑπό τε τῶν ἰδίων ἕκαστος πολιτῶν ἐκβιαζόμενος καὶ τὴν ἀδηλίαν δεδοικότες τῆς τύχης, οὐκ εἰδότες πρὸς ὁπότερον τῶν βασιλέων τὸ κράτος χωρήσει, τῷ δυνατωτέρῳ τὸ νῦν ἔχον φαινομένῳ καὶ αὐτοῖς ἐπικειμένῳ παραδώσουσι τὰς πόλεις. οὐ μὴν ἀλλὰ καὶ βασιλεὺς καὶ χρήμασι καὶ τιμαῖς

καὶ δωρεαῖς ἄλλαις ἀμειβόμενος τοὺς προσιόντας πρὸς ἑαυτὸν, καὶ τοὺς μὴ βουλομένους πρότερον ἂν ἐφελκύσηται· ἔπειτα δὲ καὶ οὓς εἴπομεν ἡγεμόνας τῶν ὁμόρων ἡμῖν ἐθνῶν ἀποκνήσουσιν ἡμῖν ὡς δυνατοῖς ἀντικαθίστασθαι πρὸς πόλεμον, ἢ συμμαχήσουσι. τὸ γὰρ δυνατὸν εἰς ἀντίδοσιν ποιεῖ τοὺς βαρβάρους μᾶλλον πρὸς φιλίαν τρέπεσθαι. [20]

1 105 ποιησάμενοι δὲ ὑφ' ἑαυτοὺς τὴν ἑσπέραν ἀντίῤῥοπον οὖσαν ἡμῖν, καὶ διπλασιάσαντες τὴν δύναμιν, ἀσφαλῶς ἤδη πρὸς Βυζάντιον βαδιούμεθα. κἂν μὲν προσχωροίη, εὖ ἂν ἔχοι· εἰ δὲ μὴ, περικαθεσθέντες ἐκπολιορκήσομεν τῷ χρόνῳ, οὐδενὸς ὄντος τοῦ ἀπανίστασθαι καταναγκάσοντος. τούτων δὴ ἕνεκα τὴν βασιλέως γνώμην λυσιτελεῖν οἰόμενος ἐς τὰ μάλιστα, αὐτῇ συνεῖπον· καὶ πλείω δ' ἕτερα τούτων ἔχων, παρίημι εἰπεῖν ἑκών. εἰ μὲν γὰρ οἷοί τέ ἐστε τὴν βουλὴν μεταβαλεῖν, ἀρκέσει καὶ ταῦτα· εἰ δ' οὐχ οἷοί τε, εἰκῇ κἀκεῖνα λέγοιτο ἄν." Τοιαῦτα μὲν καὶ βασιλεὺς ὁ νέος καὶ δομέστικος ὁ μέγας μετ' αὐτὸν διειλέχθησαν πρὸς τὴν στρατιὰν, οὐχ οὕτω καὶ λυσιτελεῖν φρονοῦντες. ᾔδεσαν γὰρ ἀκριβῶς ἔκ τε τῶν αὐτομόλων καὶ ἐκ τῶν ἐκ Βυζαντίου πρὸς αὐτοὺς κρύφα διαλεγομένων, ὡς ἅμα τῷ φανῆναι αὐτοὺς εἰσδέξονται Βυζάντιοι διάραντες τὰς πύλας, ἅμα μὲν ἐκπεπληγμένοι τὸν νέον βασιλέα, ὡς ἐν ὀλίγῳ καὶ τῆς ἄνω Θρᾴκης καὶ τῆς παραλίου μέχρι καὶ αὐτοῦ Βυζαντίου κύριον γεγενημένον, καὶ πολλὴν ἐπαγόμενον στρατιάν· ἅμα δὲ καὶ εὐνοϊκῶς διακείμενοι πρὸς αὐτόν. δεδοικότες δὲ μὴ ὁ πρεσβύτερος βασιλεὺς εἰς κίνδυνον καταστῇ ἁλούσης τῆς Κωνσταντίνου, ἐπλάττοντο τὴν πρὸς ἑσπέραν ἐκστρατείαν λυσιτελεστέραν οἴεσθαι. φανερῶς γὰρ εἰπεῖν τὴν αἰτίαν, δι' ἣν οὐ βούλοιντο ἄρτι ἐπιστρατεύειν αὐτῷ, οὐκ ἀσφαλὲς εἶναι ἐδόκει διὰ τὸ τὴν στρατιὰν ἔτι πρὸς βασιλέα τὸν νέον ἀβέβαιον εἶναι, καὶ διαλυθησομένην, εἴ τι πύθοιντο τοιοῦτον. [20]

1 106 πρὸς ταῦτα οἵ τε λογάδες καὶ σύμπασα στρατιὰ „εὖ μὲν εἰρῆσθαι πάντα καὶ στρατηγικῆς ἐμπειρίας ἀξίως, οὐδ' αὐτοὶ ἀρνηθείημεν ἄν" εἶπον „ὦ βασιλεῦ· ἥ τε γὰρ ἑσπέρα πολλὴ καὶ πόλεις ἔχουσα πολλὰς καὶ περιφανεῖς, καὶ στρατιὰν ἅμα στρατηγοῖς βελτίστοις οὐκ εὐκαταφρόνητον, καὶ ῥᾳδίως προσχωρήσει, καθάπερ ἔφητε καὶ αὐτοί. ἐκεῖνο μέντοι θαυμάζειν ἡμῖν ἐπῆλθε τοῦ μεγάλου δομεστίκου, ὅπως τὸ μὲν τὴν ἑσπέραν ὑφ' ἑαυτοὺς ποιήσασθαι τῶν πάνυ ῥᾳδίων ἀπέφηνεν εἶναι, τὸ δ' εἰσελθεῖν δύσκολον ἐλθόντας εἰς τὴν Κωνσταντίνου. ἐκείνου γὰρ ὄντος ῥᾳδίου, ᾗ δὴ καὶ αὐτὸς ἔφη, τοῦτο πολλῷ τῷ μέτρῳ τῇ ῥᾳστώνῃ διαφέρειν αὐτοὶ οἰόμεθα. ἐπεὶ δ' ἁπάσαις ταῖς ψήφοις τὸ πρὸς τὴν ἑσπέραν ἐκστρατεύειν παρὰ σοὶ, βασιλεῦ, κεκρατηκὸς ὁρῶμεν, συστρατεύσουσι μὲν καὶ ἡμῶν, ἐπίταγμα σὸν ἐκπληροῦντες, ὅσοι δὴ καὶ βουλήσονται· πλὴν οὐ μετὰ τῆς ἴσης προθυμίας, ἠναγκασμένως δέ. ἂν δ' ὥσπερ ἀξιοῦμεν αὐτοὶ, τὴν ἐς Βυζάντιον ἴωμεν, πάντες τε ἅμα ἐψόμεθα καὶ προθυμίᾳ σὺν πολλῇ. διὸ δή σου δεόμεθα, πρὸς τὴν ἀξίωσιν ἡμῶν ὑπεῖξαι, δικαίαν τε οὖσαν καὶ ἐς τὰ παρόντα λυσιτελεστάτην." Τοιαῦτα μὲν καὶ οἱ τῆς στρατιᾶς ἡγεμόνες εἶπον. ὁρῶν δὲ ὁ βασιλεὺς τὴν ἐπὶ τὸ Βυζάντιον αὐτοῖς ὁρμὴν οὐκ ἀμβλυνομένην, βιάζεσθαί τε οὐκ ἔχων, τῆς εὐνοίας ἅμα καὶ τῆς εὐπειθείας ἐπαινέσας αὐτοὺς, ὅτι καὶ ἃ μὴ βούλοιντο διὰ τὴν εἰς αὐτὸν εὐπείθειαν συνέθεντο δρᾶν, τὴν εἰς τὴν Κωνσταντινούπολιν ἐφῆκε πορείαν. [20]

1 107 οἱ δὲ ἄσμενοι δεξάμενοι τὸν λόγον, καὶ μονονουχὶ Βυζαντίου δόξαντες κεκρατηκέναι, παρεσκευάζοντο πρὸς τὴν πορείαν. ἐπεὶ δὲ οὐκ ἠδυνήθησαν τὴν πρὸς Θεσσαλονίκην ἑλέσθαι πεῖσαι τὴν στρατιὰν, συνεώρων τε ἤδη τῷ πρεσβυτέρῳ βασιλεῖ ἐς κίνδυνον τὰ πράγματα χωρήσοντα, ἅμα τῷ μεγάλῳ δομεστίκῳ ὁ βασιλεὺς ἐβουλεύσαντο τῷ πρεσβυτέρῳ βασιλεῖ διὰ γραμμάτων κρύφα τὴν ἔφοδον αὐτῶν δηλῶσαι. ὅπερ εἰ κατάδηλον συνηνέχθη γενέσθαι τῇ στρατιᾷ, τάραχον ἂν ἐποίησεν οὐκ ὀλίγον, ὡς ὑπὸ τῶν σφετέρων ἀρχόντων καταπροδιδομένοις. γράφει δὴ βασιλεὺς ὁ νέος, τοῦ μεγάλου δομεστίκου τὰ γράμματα ἐγχαράττοντος, τῷ πάππῳ τοιαῦτα· „ὦ θειότατε βασιλεῦ, ὥσπερ πολλάκις, καὶ νῦν θεὸν ἐπιμαρτύρομαι τοῖς λεγομένοις, ὡς οὔτ' αὐτόθι παρὼν ἐμαυτῷ τι σύνοιδα πρὸς σὴν ἔχθραν

ἐξειργασμένῳ, οὔτ’ ἐπὶ τούτοις ἀπέστην ὡς τρόπῳ παντὶ κακώσων τὰ σά· ἀλλ’ ἵνα μόνον τὸν ἐπηρτημένον ἐμοὶ κίνδυνον δυνηθῶ διαφυγεῖν. νυνὶ δὲ τοῦτο μὲν ἐμοὶ περίεστιν ἐν τῷ ἀσφαλεῖ ὄντι, σὲ δ’ ἐκ τοῦ ἐναντίου παρὰ πᾶσαν ἐμὴν βούλησιν ὁ κίνδυνος περιέστηκεν. ἰδοὺ γὰρ, πάσῃ χρησάμενος μηχανῇ ὥστε τὴν στρατιὰν πρὸς τὴν ἑσπέραν τραπέσθαι πεῖσαι, ἀδυνάτως ἔσχον. ἀνάγκη δὴ πᾶσα ὑμῖν ἐπελθεῖν. ἐγὼ μὲν οὖν σχολαίτερον βαδιοῦμαι νοσεῖν πλαττόμενος· εἰσβαλὼν δὲ πειράσομαι τὴν ταχίστην ἀναχωρεῖν. σοὶ δ’ ἐν τοσούτῳ φρουρᾷ τε ἐξέσται ἀσφαλίσασθαι τὰ βασίλεια, καὶ ταῖς τοῦ Βυζαντίου πύλαις τοὺς μάλιστα εὐνουστάτους σοι ἐπιστῆσαι μισθοφόρους, ἔχοντας ὁπλίτας ἱκανοὺς ταῖς τῶν ἐπιβουλευόντων ὁρμαῖς ἀντιστῆναι. [20]

1 108 κἄν τι μόνον πρὸς τὸ εἰσδέξασθαι ἡμᾶς κώλυμα εὑρεθῇ, ὡς πρὸς ἀδύνατον τὴν ἐπιχείρησιν ἀπάξω τὴν στρατιάν. δέομαι δὴ μὴ τοὺς λόγους ὑποπτεύσαντα ὡς ἐμοῦ διαφερομένου, ἀποῤῥᾳθυμῆσαι πρὸς τὸ τὴν ἀσφάλειαν ἐξαρτύσασθαι. πέπεισμαι γὰρ αὐτὸς ἀκριβῶς ἐκ τῶν αὐτόθι, ὡς ἅμα τῷ φανῆναι εἰσδέξονται ἡμᾶς.“ Τοιαῦτα μὲν ὁ νέος βασιλεὺς ἐπέστελλε τῷ πάππῳ, τῶν πιστοτάτων οἰκετῶν τινι τοῦ μεγάλου δομεστίκου χρησάμενος διακομιστῇ. αὐτὸς δὲ ἅρας ἐξ Ὀδρυσῶν ἅμα πεντακισμυρίοις ἱππεῦσιν ἢ ὀλίγου δέουσιν, ὡς εἰκάζετο, (οὐ γὰρ ἐξῆν ἀκριβῶς τὸν ἀριθμὸν εἰδέναι, οἷα δὴ πολλῶν καὶ τῶν μὴ πρὸς στρατιὰν τεταγμένων συστρατευομένων πρὸς χάριν τῷ βασιλεῖ,) ᾔει τὴν ἐς Βυζάντιον, πυκνὰς καὶ συνεχεῖς τὰς στρατοπεδείας ποιούμενος οἷα δὴ νοσῶν. κβ′. Ἐν τούτοις δὲ ἀφικνεῖται πρὸς αὐτὸν καὶ παρὰ Σφεντισθλάβου τοῦ Μυσῶν βασιλέως, ὃς ἦν αὐτῷ κηδεστὴς ἐπὶ Θεοδώρᾳ τῇ ἀδελφῇ, πρέσβις Μαρτῖνος, τριακοσίους ἄγων ἱππέας καταφράκτους Μυσοὺς, πρόφασιν μὲν ὡς συμμαχήσοντας αὐτῷ ἐπικουρίας δεομένῳ διὰ τὸν πόλεμον τὸν πρὸς τὸν πάππον· ἐπηγγέλλοντό τε, ὡς εἰ δέοιτο καὶ πλείονος στρατιᾶς, ἑτοίμως παρέξοντος τοῦ κηδεστοῦ· τῇ δ’ ἀληθείᾳ, ὡς, ἂν ἴδωσι τὸν βασιλέα στρατιᾶς ἀποροῦντα, συλλαβόντας πρὸς αὐτὸν ἀπαγαγεῖν. [20]

1 109 δῆλον δὲ γέγονεν ἐκ τῶν μετὰ ταῦτα. ἰδὼν γὰρ ὁ Μαρτῖνος τὴν ἐπομένην τῷ βασιλεῖ στρατιὰν, ἀνεχώρησεν εὐθὺς ἐπ’ οἴκου. ὁ βασιλεὺς δὲ τὴν ὁδὸν διανύων κατὰ μικρὸν, τῇ πρὸ τῆς πεντηκοστῆς ἐστρατοπέδευσε παρὰ τὸν Μέλανα ποταμόν. ἐνταῦθα δὴ ἀφικνεῖται πρὸς τὸν νέον βασιλέα Εὐγενία μοναχὴ Παλαιολογίνα, ἡ βασιλέως ἀδελφῆς Μιχαὴλ, τοῦ πρώτου τῶν Παλαιολόγων, παῖς, μεγάλη δομεστίκισσα. διεπρεσβεύετο δὲ παρὰ τοῦ βασιλέως τοιαῦτα· „περὶ μὲν τῶν προγεγενημένων πρὸς ἡμᾶς διαφορῶν ἐκ τίνων ἤρξαντο λέγειν αἰτιῶν, οὐ τοῦ παρόντος εἶναι καιροῦ νομίζω· ἐφ’ οἷς δὲ πρότερον ἐπέσταλκας πολλὴν χάριν ὁμολογῶν, καὶ τῆς εἰς ἐμὲ κηδεμονίας καὶ ἀγαθῆς προαιρέσεως ἐπαινῶν, ἔτι μίαν παρὰ σοῦ ταύτην ἀπαιτῶ χάριν, τὴν στρατιὰν αὐτόθι μένουσαν κατασχεῖν, ἄχρις ἂν εἰς ἓν τῶν φροντιστηρίων, ὅπουπερ ἂν ἐθέλῃς αὐτὸς, καταδὺς τὸν κίνδυνον διαφύγω· ἂν γὰρ ἔτι σε μετὰ τοῦ στρατοπέδου ἁπάραντα πρὸς ἡμᾶς βαδίζειν ἀγγελθῇ, οὐδεμία πρὸς τὸ μὴ διαφθαρήσεσθαι ἡμᾶς ἐλπίς. καίτοι γε οὐδὲν αὐτὸς ἀπέλιπον ὧν ὑπέθου τὸ μὴ οὐ καταπράξασθαι· ἐλέγχονται δ’ ἅπαντα σπουδαζόμενα εἰκῆ. ἐμοῦ δ’, ὥσπερ ἔφην, ἐν ἀσφαλείᾳ γενομένου τοῦ μὴ ἀποθανεῖν, αὐτὸς ἐλεύσῃ παραληψόμενος τὴν πόλιν. ποία γάρ τις ὄνησις ἐκ τοῦ ἐμὲ ἀποθανεῖν;“ Τούτοις τοῖς λόγοις ἐπὶ μᾶλλον ὁ νέος ἐπικαμφθεὶς βασιλεὺς, καίτοι καὶ πρότερον πάντα καὶ λέγειν καὶ πράττειν ὑπὲρ τοῦ μὴ τὸν βασιλέα καὶ πάππον κακῶς παθεῖν οἴκοθεν ὡρμημένος, πρὸς μὲν τὴν πρεσβείαν ποιουμένην μηδενὶ καταδήλους ἐκέλευε ποιεῖν τοὺς παρὰ βασιλέως λόγους, ὅτι μὴ μόνῳ τῷ μεγάλῳ δομεστίκῳ, αὐτὸς δ’ ὡς ἂν οἴηται συμφέρειν οἰκονομήσει τοὺς λόγους. [5]

1 110 ἐκκλησίαν δὲ κελεύσας γενέσθαι, καὶ τῶν ἐν τέλει πάντων καὶ τῶν λογάδων τῆς στρατιᾶς εἰς ἓν γενομένων, παρελθὼν εἰς μέσους, ἔλεξε τοιάδε· „οὐδένα ὑμῶν οἶομαι ἀγνοεῖν ὡς, διαφορᾶς ἐμοὶ πρὸς τὸν βασιλέα καὶ πάππον γεγενημένης, πολλὰ τὰ μὲν ἐπράχθη, τὰ δὲ καὶ ἐν μελέτῃ ἔτι ἦσαν, ἐμὲ πρὸς ἔσχατον κινδύνου καθιστῶντα. δι’ ἅπερ αὐτός τε ἀπέστην οὐ μᾶλλον τοῦ

βασιλέως ἢ τοῦ κινδύνου, καὶ ὑμεῖς πάρεστε βοηθήσοντες ἀδικουμένῳ. νυνὶ δὲ ἐμοί τε παρόντος ὃ προὐθέμην ἐξ ἀρχῆς καὶ ὑμῖν, τῆς βοηθείας ὁποίας ἐχρῆν γεγενημένης, ἄν τι περαιτέρω τούτων ζητῶμεν, ἐμοὶ μὲν τὸ ἀδικεῖν, τὸ ἀδικοῦντι δὲ συμπράττειν ὑμῖν ἂν περισταίη· προὐθέμην δὲ ἐξ ἀρχῆς, οὔτ' ἐν πολεμίου μοίρᾳ τὸν πατέρα κατασφάττειν, ἄν περ ἐξῇ, οὔτε τὴν ἀρχὴν ἀφαιρεῖσθαι, ἀλλ' ἐμαυτὸν διασώζοντα τοῦ κινδύνου, μηδὲν ἐκείνῳ τῆς ἀρχῆς ἕνεκα παρενοχλεῖν. τὸ μὲν οὖν τὸν κίνδυνον διαφυγεῖν θεὸς αὐτὸς συναράμενος παρέσχε, τὴν δ' εἰς τὸ ἐξῆς ἀσφάλειαν καὶ εἰρήνην, βασιλέως παρεχομένου, ἀπεωσάμεθα αὐτοὶ κακῶς. μέμνησθε γὰρ δήπου ὡς ἐν Ἀδριανοῦ τοὺς ἐλθόντας ἐκ βασιλέως ἐπὶ τῇ εἰρήνῃ πρέσβεις, στασιάσαντες ἀπεπέμψατε ἀπράκτους καὶ τὸν περὶ τοῦ ζῆν κίνδυνον ἐπικρεμάσαντες αὐτοῖς· ὃ ἐμοὶ εὐθύς τε ἐδόκει τῶν δεινοτάτων, καὶ ἐς τὴν ὑστεραίαν ἐν ἐκκλησίᾳ γενομένῳ λόγος ἐγένετο πολὺς τήν τε ἀταξίαν καὶ ἀναρχίαν ὡς κακῶν αἰτίαν αἰτιωμένῳ, καὶ περὶ τοῦ μηκέτι τολμᾶν τοιαῦτα παραγγέλλοντι πολλά. [5]

1 111 αὖθις δὲ ἐπὶ τοῖς αὐτοῖς τὴν ἐμὴν νῦν πέμψαντος θείαν, συγγνώμην τε ἐφ' οἷς ἡμάρτομεν παρεχομένου καὶ διαλλαγὰς αἰτοῦντος, οὔθ' ὅσιον οὔτ' ἀνθρώπων ἐχόντων νοῦν τὴν εἰρήνην ἀπωθεῖσθαι. τριῶν γὰρ ὄντων, ἃ πᾶσι πολέμοις πέρας ἐπάγει, τοῦ τε τὰ οἰκεῖα ἐν ἀσφαλείᾳ θέσθαι τινὰ, καὶ τοῦ τὴν τῶν πολεμούντων ἀρχὴν ὑφ' ἑαυτὸν ποιήσασθαι, καὶ τρίτου, τοῦ αὐτοὺς τοὺς πολεμοῦντας ἀποκτεῖναι, τὰ δύο μὲν ἡμῖν πάρεστι μετὰ εὐκλείας, τοῦ τρίτου δὲ μήτε τυχεῖν γένοιτο, μήτ' ἐπιθυμῆσαί ποτε. τὸ μὲν γὰρ ἐν ἀσφαλείᾳ εἶναι ὁ θεός τε παρέσχετο καὶ αὐτὸς ὅρκοις πιστώσεται βασιλεύς· ὅπερ εἰ καὶ πρότερον ἡμῖν ἐξῆν, οὐδ' ἂν τὴν ἀρχὴν ὅπλα ἐκινοῦμεν. τὴν Ῥωμαίων δὲ ἡγεμονίαν καὶ ἅμα μὲν τῷ προελθεῖν εἰς φῶς ὁ πατὴρ παρέσχετο καὶ βασιλεὺς, βασιλέα χειροτονήσας· καὶ νῦν δὲ ἀσφαλῶς ἐστιν ἔχειν, πρὸς οὐδένα ἕτερον, ἢ ἐμὲ ἐκ διαδοχῆς πάντως ἐλευσομένην. πολέμιον δὲ οὔθ' ἥγημαί ποτε τὸν ἐμὸν πάππον καὶ βασιλέα, μήθ' οὕτω μανείην ὥστε ἢ νομίσαι ἢ βουλεύσασθαί τι τῶν ἀνηκέστων κατ' αὐτοῦ. οὐ μὴν ἀλλ' οὐδὲ ὑμᾶς οἶομαι φιλοῦντας τοιαύτῃ συμφορᾷ περιϊδεῖν ἂν ἡδέως περιπεσόντα, ὥστ' ἀλάστορος καὶ πατροφόνου δίκας πᾶσι τοῖς ὑφ' ἥλιον ὀφείλειν. [20]

1 112 ὅτε τοίνυν τῶν καταλυόντων τοὺς πολέμους τὰ μὲν ἡμῖν περίεστι, τὸ δ' ἐν εὐτυχίας μεγίστῳ μέρει μὴ παρεῖναι καὶ προσέτι πρόσεστιν εὔκλεια τοῖς πραττομένοις, καταθέσθαι τὸν πόλεμον προσήκει. ἔτι δὲ οὐδ' ἂν εὐφρονούντων ἀνθρώπων ἔργον πράξομεν μὴ βουλόμενοι τὸν πόλεμον καταλύειν. εἰ μὲν γὰρ νῦν ἐπελθόντες παραληψόμεθα τὴν πόλιν, πλέον μὲν οὐδὲν ὧν νῦν ἔχομεν ἕξειν ἐξέσται· ἃ δ' ἔχομεν μετ' εὐκλείας ἅμα καὶ δικαιοσύνης καὶ πατρικῆς εὐχῆς, ἁρπάζειν καὶ ἀδικεῖν, καὶ μονονουχὶ πατροκτονεῖν ἔχοντας δοκεῖν, ὃ παραφρονούντων ἢ φρονούντων ἂν εἴη. εἴπερ δὲ οὐ δυνησόμεθα παραλαβεῖν, πρὸς τῷ πᾶσιν ἀνθρώποις μισεῖσθαί τε καὶ διαβάλλεσθαι δικαίως, ὅτι πρὸς εἰρήνην προκαλούμενοι, ἀδικίᾳ καὶ πλεονεξίᾳ γνώμης οὐχ ὑπηκούσαμεν· καὶ πρὸς κινδύνους ἀνονήτους ἑαυτοὺς ὑποβαλοῦμεν, καὶ πολλαῖς πόλεσι καὶ χώραις αἴτιοι καταστησόμεθα κακῶν ἀνηκέστων. τούτων ἕνεκα αὐτός τε ἀσπάζομαι τὴν πρὸς βασιλέα εἰρήνην, καὶ ὑμῖν λυσιτελεῖν νομίζων συμβεβούλευκα. ἔσεσθε γὰρ ἀπειληφότες δόξαν ἀνδρίας ἅμα καὶ δικαιοσύνης καὶ σωφροσύνης, ὅπλοις μὲν κρατήσαντες τῶν ἀντιτεταγμένων καὶ τὰς γνώμας παραστησάμενοι, ἀμυνόμενοί τε ὑπὲρ τοῦ δικαίου καὶ οὐκ αὐτοὶ ἀδικοῦντες, καὶ τῷ μὴ ὑπὲρ τὰ μέτρια φρονεῖν μηδὲ ταῖς εὐτυχίαις φυσᾶσθαι τὴν σωφροσύνην ἐπιδεικνύμενοι." Τοιαῦτα τοῦ νέου βασιλέως ὑπὲρ τῆς εἰς βασιλέα εἰρήνης διαλεχθέντος, ὁ μέγας δομέστικος μετ' αὐτὸν „καὶ δίκαια καὶ συμφέροντα" εἶπε „καὶ πολλῆς αἴτια δόξης ἐσόμενα ἡμῖν εἴρηκας, ὦ βασιλεῦ. [20]

1 113 διὸ οὐδὲ ἀντιλέγειν οὐδένα τῶν πάντων, ὡς οὐχ ᾗ προσῆκεν εἴρηται, δυνήσεσθαι νομίζω. ἐγὼ γὰρ αὐτὸς εἴ τι συνεώρων εἰρημένον τῶν μὴ δεόντων, ἀντεῖπον ἄν. ἐπεὶ δ' ἅπαντα εἴρηται καλῶς καὶ δικαιοσύνης ἐχόμενα καὶ ἐμπειρίας στρατηγικῆς, οὐδὲν ἔτι τὸ λεῖπον, ἢ εἰς πέρας

ἄγειν τὰ βεβουλευμένα.“ ἐπὶ τούτοις τῶν ἐν τέλει τινὲς καὶ τῆς στρατιᾶς ἐπ’ αὐτὸ τοῦτο πρότερον ὑπό τε βασιλέως καὶ τοῦ μεγάλου παρεσκευασμένοι δομεστίκου ὥστε συνειπεῖν τοῖς εἰρησομένοις, τὴν βουλήν τε ἐπῄνεσαν, καὶ τὴν εἰρήνην ὡς αἰτίαν ἐσομένην πολλῶν ἀγαθῶν ἔφασαν δεῖν αἱρεῖσθαι. καὶ Συργιάννου δ’ εὐθὺς καὶ πρωτοστράτορος τοῖς λεγομένοις προσθεμένων, καὶ τὸ πλῆθος ἅπαν ἐπηκολούθησε, καὶ ἐκεκύρωτο ἡ εἰρήνη. εἰ γὰρ καί τινες ἦσαν ὑπὲρ τοῦ τὸν πρεσβύτερον βασιλέα διαφθαρῆναι τὸν πόλεμον αἱρούμενοι, ἀλλ’ ὥσπερ ὑπὸ ῥεύματος καὶ αὐτοὶ συναπῄχθησαν τοῦ πλήθους. κγ′. Τούτων οὕτω γεγενημένων, τὴν πρὸς τὴν πρεσβείαν ἀπεσταλμένην θείαν αὐτοῦ πρὸς Βυζάντιον ἐξέπεμψε βασιλεὺς, μηνύσας τῷ βασιλεῖ καὶ πάππῳ τοιαῦτα· „ἔδει μὲν, ὦ κράτιστε βασιλεῦ, μηδὲν τῶν γεγενημένων μηδὲ τὴν ἀρχὴν κινηθῆναι. ἐγὼ γὰρ, ὅπερ πολλάκις εἶπον, τὸν πάντ’ ἐφορῶντα μαρτύρομαι ὀφθαλμὸν, ὡς οὐδὲν ἐμαυτῷ σύνοιδα, πλὴν εἰ μὴ μικρά τινα καὶ παιδίοις πρέποντα ἡμαρτηκότι. [20]

1 114 ἐπεὶ δ’ οὕτω συνεχώρησεν ὁ θεὸς τῶν ἐμῶν ἕνεκα πάντως ἀπείρων ἁμαρτημάτων, πάλιν αὐτῷ χάριτας ὁμολογῶ πολλὰς, ὅτι μὴ πρότερον κατέλυσα τὴν ζωὴν, πρὶν ἐπιτηδείου καιροῦ τυχεῖν οὕτως, ὥστε δυνηθῆναι καὶ τὸ ἄδολον τῆς γνώμης καὶ τὴν εἰς σὲ εὐπείθειαν καὶ δουλότητα φανερὰν καταστῆσαι. σὺ μὲν οὖν, ὦ βασιλεῦ, τῆς σῆς μὲν ἀνεψιᾶς, ἐμῆς δὲ θείας, διαπρεσβευομένης, ᾔτησας ὅσα οἶδας. ἐγὼ δ’ ἐν ἱκεσίας μέρει παρὰ τοῦ μεγάλου βασιλέως αἰτῶ καὶ θεοῦ, σὲ μὲν ἐπὶ πολλοῖς ἔτεσιν ἐν ζῶσιν εἶναι, καὶ τὴν Ῥωμαίων ἀρχὴν ἰθύνειν, ἐμὲ δὲ οἷα δοῦλον σὸν καὶ υἱὸν, ᾗ κελεύεις αὐτὸς, τὸ προσταττόμενον ἐκπληροῦν· τοῦ χρόνου δὴ προϊόντος, ἃ φίλον ἐστὶ θεῷ, τοιαῦτ’ οἰκονομηθῆναι περὶ ἡμᾶς. εἰ μὲν οὖν πρότερος αὐτὸς ἀποστῶ τοῦ ζῆν, ἐπὶ σοὶ τὴν ἀρχὴν κεῖσθαι πᾶσαν, ὥσθ’ ἅ σοι δοκεῖ συμφέρειν ποιεῖν· εἰ δ’ ἄρα σύ γε πρὸς τὰς αἰωνίους μετακληθήσῃ μονὰς, ἐμοὶ πάλιν τὴν ἡγεμονίαν Ῥωμαίων καταλειφθῆναι. ταῦτα μὲν οὖν ὅποι τῷ θεῷ φίλον ἀγέσθω· νυνὶ δὲ ἀνάγκης τε καὶ αἰδοῦς μεριζομένης, ἴσχυσεν ἡ ἀνάγκη, καί τι τῶν μὴ προσηκόντων καὶ ἀπαιδεύτων καὶ λέγειν καὶ πράττειν βιαζομένη. δέον γὰρ καὶ ἡμᾶς αὐτοὺς καὶ πόλεις καὶ χρήματα καὶ ὁμοῦ πάντα σοι ἐγχειρίζειν, δυεῖν ἕνεκα αἰτιῶν ἑτέρως ἠναγκάσμεθα ποιεῖν. ἓν μὲν, ὅτι τὴν μὲν ἐμὴν εἰς τὸ τά σοι φίλα πράττειν προαίρεσιν καὶ τὴν περί σε τιμήν τε καὶ αἰδῶ θεός τε οἶδεν ὁ τὰ κεκρυμμένα εἰδὼς, καὶ αὐτὸς, τῶν πραγμάτων παρασχόντων, ἐναργῆ τὴν ἀπόδειξιν ἐποιησάμην. [20]

1 115 πέποιθα μὲν οὖν, ὡς καὶ αὐτὸς διατεθήσῃ τὸν ἴσον τρόπον περὶ ἐμὲ, καὶ τὴν πατρικὴν εὐμένειαν καὶ τὴν φυσικὴν στοργὴν ἄδολον ἐμοὶ τηρήσεις καὶ καθαράν· οὔπω δὲ τὴν ἀπόδειξιν βεβαίαν τῶν πραγμάτων παρασχομένων, οὐδεὶς ἂν καταμέμψαιτο δειλίᾳ κατεχόμενον. δεύτερον δ’, ὃ καὶ ἰσχυρότερον τοῦ προτέρου, ἐπειδὴ τοὺς σὺν ἐμοὶ πάντας, τοὺς μὲν ὑπὸ δειλίας, τοὺς δ’ ὑπὸ κακοβουλίας, ἔστι δ’ οὓς καὶ διὰ τὸ τοῖς κακοῖς χαίρειν, ἑώρων τὸν πόλεμον αἱρουμένους, εἰρήνης δὲ μὴ μέχρις ἄκρων ὤτων ἀνεχομένους, ἠναγκάσθην τι μικρὸν καὶ τοῦ ὄντος καλοῦ καὶ δικαίου παραλιπεῖν, ὡς ἂν ποιήσω πᾶσιν ἀνεκτὴν τὴν εἰρήνην. ἔστι δὲ τοῦτο, τὸ, ἐμὲ μὲν ἐκ Σηλυβρίας ἄχρι καὶ Χριστουπόλεως τῶν μεταξὺ χωρῶν τε καὶ πόλεων καὶ στρατιᾶς, ἔτι δὲ καὶ δημοσίων φόρων τὴν διοίκησιν ἔχειν· σὲ δὲ, βασιλεῦ, αὐτῆς τε τῆς Κωνσταντίνου μέχρι Σηλυβρίας καὶ τῶν κατὰ τὴν ἕω τοῖς Ῥωμαίοις ὑπηκόων πόλεων, ἔτι δὲ καὶ νήσων πασῶν καὶ τῶν ἀπὸ Χριστουπόλεως Μακεδονικῶν τε καὶ ἑσπερίων ἐπαρχιῶν ἄχρις Ἐπιδάμνου καὶ Δαλματίας, τῶν ἄκρων ὅρων τῆς Ῥωμαίων ἡγεμονίας. ἐλπίζω δὲ τοῦ χρόνου προϊόντος ἐμέ τε αὐτὸν καὶ ἃ δοκῶ νυνὶ σφετερίζεσθαι ὑπὸ τὴν σὴν ἐξουσίαν παραδώσειν ἀγαγὼν, ἐπειδὴ καὶ νῦν οὐκ ἐκ προαιρέσεως, ἀλλ’ ἀνάγκῃ συνωθούμενος, προῆγμαι ποιεῖν.“ Τοιαῦτα πρὸς τὸν βασιλέα βασιλεὺς ὁ νέος μηνύσας, ἀπέστειλε καὶ ὅρκους ἐν δυσὶ βιβλίοις ἐγγεγραμμένους, ἐξ ἑκατέρου πρὸς τὸν ἕτερον βασιλέα τὸν μερισμὸν περιέχοντας ὧν ἄρξουσι πόλεων, καὶ τοῖς ὁμωμοσμένοις ἐμμενεῖν ἑκάτερον ἰσχυριζομένους, ὡς ἂν, εἰ ἀρεστὰ δοκοίη

ταῦτα κἀκείνῳ, τοῖς ἱεροῖς εὐαγγελίοις τοὺς ὅρκους πιστοὺς ποιήσας καὶ ὑπογραφαῖς τῆς οἰκείας χειρὸς ἐρυθραῖς, πέμψῃ πρὸς αὐτὸν, αὖθις τὰ ἴσα κἀκείνου δράσοντος. [5]

1 116 ἐπεὶ δὲ ἔδει καὶ τῶν ἐκ τοῦ νέου βασιλέως τινὰ παρεῖναι, τοὺς ἐγγράφους ὅρκους ἀποκομίσοντα, ὁ παρακοιμώμενος Ἀπόκαυχος ἀποστέλλεται παρὰ τοῦ μεγάλου δομεστίκου, τοῦ Συργιάννου πρὸς τοῦτο πείσαντος. τῆς μέντοι βασιλέως ἀνεψιᾶς πρὸς βασιλέα εἰς Βυζάντιον ἀφιγμένης, καὶ τούς τε λόγους τοῦ ἐγγόνου καὶ βασιλέως, ἔτι δὲ καὶ τὴν εἰρήνην καὶ ἐφ' οἷς ἐγένετο ἀπαγγειλάσης, πρῶτα μὲν ἔκπληξις εἶχε τὸν βασιλέα, καὶ σχεδὸν ἠπίστει τοῖς λεγομένοις. ἐπεὶ δὲ ἐπείθετο ἀληθῆ εἶναι, ἡδέως τε ἐδέξατο τὴν εἰρήνην, καὶ τῷ ἐγγόνῳ χάριτας ὡμολόγει πολλάς· συναγαγὼν δ' ἐν βασιλείοις εὐθὺς τοὺς ἐν τῇ Κωνσταντίνου εὑρεθέντας ἀρχιερέας, τούς τε ὅρκους ἐπετέλει, καὶ τὸν πρότερον ἐκφωνηθέντα κατὰ τοῦ νέου βασιλέως καὶ τῶν συνόντων διέλυεν ἀφορισμὸν, βασιλέα πάλιν τὸν ἔγγονον κελεύσας καὶ εἶναι καὶ ὀνομάζεσθαι. μέλλων δ' αὖθις τὴν αὐτὴν ἀνεψιὰν αὐτοῦ πρὸς βασιλέα τὸν νέον πέμπειν ὡς τοὺς παρ' ἐκείνου ληψομένην ὅρκους, ἀνιώμενος ὅτι μὴ τῶν εὖ γεγονότων τις, ἀλλ' Ἀπόκαυχος ἐπὶ τὸ τοὺς ὅρκους παραλαβεῖν ἀπέσταλτο, ἔφη πρὸς αὐτήν· „Τῆς μὲν εἰς ἐμὲ αἰδοῦς καὶ προμηθείας τε καὶ τιμῆς, πολλῶν ἀμοιβὰς ἀγαθῶν εὔχομαι τῷ βασιλεῖ καὶ ἐμῷ ἐγγόνῳ παρὰ θεοῦ, οὐ μόνον κατὰ τὸν τῇδε βίον, ἀλλὰ καὶ κατ' ἐκεῖνον τὸν ἀτελεύτητον. [20]

1 117 ἔτι δέ μοι καὶ θαυμάζειν ἔπεισι τό, τε μέτριον αὐτῷ τοῦ ἤθους καὶ τὴν εὐθύτητα τοῦ τρόπου καὶ τὸ πρὸς τὰ καλὰ βεβηκὸς, ὅτι νέος ὢν καὶ βασιλεὺς καὶ παρὰ πολὺ τῶν ἀντιπάλων κεκρατηκὼς, ἐξ ὧν εἰκὸς ἦν πρὸς φιλοτιμίαν ἐπαρθῆναι καὶ φυσηθῆναι καὶ ἢ ἀγνωμονῆσαι περὶ ἡμᾶς, ἢ, τό γε δεύτερον, ἅπερ ᾐτούμεθα αὐτοὶ ποιήσαντα φανερὰ, εἶτα ἅπερ ἤθελεν αὐτὸς χαρίσασθαι, ἵνα θαυμάζοιτο παρὰ πάντων· ὁ δ' ἐποίησε τοιοῦτον οὐδὲν, ἀλλὰ τοὺς μὲν ἐμοὺς λόγους διετήρησεν ἐν ἀδήλῳ, οὐδενὸς ἐγνωκότος ἑτέρου πλὴν τοῦ μεγάλου δομεστίκου μόνου· αὐτὸς δὲ τοὺς λόγους συνετῶς ἄγαν καὶ κοσμίως οἰκονομήσας, διπλὴν ἡμῖν κατέθετο τὴν χάριν, οὐ μόνον τὸ, τῆς Ῥωμαίων ἡγεμονίας πάσης ἤδη πρὸς αὐτὸν κλινούσης, μέρος μέν τι παρακατασχεῖν, τῆς λοιπῆς δ' ἁπάσης ἡμῖν παραχωρῆσαι, ἀλλὰ καὶ τῷ μηδ' οὕτως εἰς στενὸν κομιδῇ τὰ ἡμέτερα ἐληλακότα ἐκπομπεῦσαι θελῆσαι. ἐξ ὧν ἐμὲ πεπεῖσθαι σαφῶς συμβαίνει, ὡς οὐδ' ἴχνος καταφρονήσεως ἐπὶ νοῦν ἦλθεν αὐτῷ ἐνδείξασθαι εἰς ἐμὲ, ἀλλὰ τὴν προτέραν αἰδῶ καὶ εὐλάβειαν ἀποσώζει. ἐκεῖνο δὲ οὐχ ἥκιστα λυπεῖ, ὅτι μὴ πρὸς τὴν παράληψιν τῶν ὅρκων, πολλῶν τε καὶ ἀγαθῶν καὶ τῶν καθ' αἷμα προσηκόντων αὐτῷ συνόντων, τούτων μὲν ἀπέσταλκεν οὐδένα, τὸν δὲ Ἀπόκαυχον, ἄσημον μὲν ὄντα καὶ ἐξ ἀσήμων, καὶ οὔπω χθὲς καὶ πρώην τοῖς τῶν δημοσίων φόρων πράκταις ὑπογραμματεύοντα. [25]

1 118 καίτοι τὸ δεινότερον ἀφεῖλον, ὡς δή τι θαυμαστὸν λέγων. ὁ γὰρ αὐτὸς ἐμὲ πολλαῖς ὑποσχέσεσιν ἐξαπατήσας, τῶν δημοσίων ἁλῶν ἔφορος ἀπεδείχθη. εἶτα τῶν μὲν ὑποσχέσεων ἐκπεπλήρωκεν οὐδέν· ὁμοῦ δὲ πᾶσαν τὴν ἐκ τῶν ἁλῶν πρόσοδον καταφαγὼν, καὶ διὰ τοῦτ' ἐκ πολλῶν ὀλίγα ζητοῦντος ἐμοῦ λαβεῖν, τῷ καιρῷ χρησάμενος, πρὸς τὸν ἐμὸν ἔγγονον ᾤχετο ἀποδράς. τίς οὖν τοῦτον ἰδὼν οὕτω τιμώμενον παρ' αὐτῷ, ὥστε καὶ ἐπὶ τοῖς τοῖς εὐγενεστάτοις προσήκουσιν ἔργοις αὐτῷ χρῆσθαι, οὐκ ἂν ἐξεπίτηδες νομίσαι εἰς ἀνίαν ἐμοὶ παρὰ βασιλέως τοῦ ἐγγόνου συνεσκευάσθαι; εἰ γὰρ καὶ τῷ ὄντι μὴ παρ' ἐκείνου τοιαύτῃ πέπρακται γνώμῃ, ἀλλ' οἱ πολλοὶ οὕτω γε νομιοῦσιν." Ἀποκριναμένης δὲ καὶ αὐτῆς, οὐδ' ἂν αὐτῇ δοκεῖν καταφρονητικῶς παρὰ βασιλέως τοῦ νέου τὸν Ἀπόκαυχον ἀπεστάλθαι· „πολλὰς τῆς εἰς σὲ, βασιλεῦ, αἰδοῦς τε καὶ εὐλαβείας δεδωκότος τὰς ἀποδείξεις," ὁ βασιλεὺς τόν τε πρωτασηκρῆτις Βαρδαλὴν καὶ τὸν Καλλικρηνίτην ἅμα σὺν αὐτῇ πρὸς τὸν ἔγγονον ἀποστέλλει. ἀφικομένων δὲ πρὸς αὐτὸν, πρὸς μὲν τοὺς περὶ τοῦ Ἀποκαύχου λόγους ὡς ἐπύθετο τοῦ βασιλέως, „μὴ οὕτω μανείην" ὁ νέος εἴρηκε βασιλεὺς „ὡς ἢ μικρὸν ἢ μέγα ἐπὶ λύπῃ ἢ καταφρονήσει τοῦ ἐμοῦ ποιῆσαι κυρίου καὶ βασιλέως. τὸ γὰρ ὅλως πρὸς αὐτὸν ἁμαρτεῖν ἑκόντα, τῆς ἴσης ἄξιόν ἐστιν

αἰτίας παρ’ ἐμοὶ κριτῇ, ἄν τε μεῖζον ἄν τ’ ἔλαττον ἁμάρτημα ᾖ. Ἀπόκαυχος δὲ οὐχ ὡς πρέσβις, οὐδὲ τῆς εἰρήνης βεβαιωτὴς, (ταῦτα γὰρ τῇ ἐμῇ θείᾳ προσῆκεν,) ἀλλ’ ὡς γραμματοκομιστὴς ἀπεστάλη μόνον. [25]

1 119 ἴσμεν δ’, ὅτι καὶ μεγάλων ἕνεκα καὶ ἀναγκαιοτάτων πέμποντές τινι γράμματα, καὶ τοῖς φαυλοτάτοις τῶν οἰκετῶν χρώμεθα πρὸς μετακομιδήν. ὅμως εἰ καί τινα ἔχει μέμψιν, παρὰ τοῦ μεγάλου δομεστίκου τὰς εὐθύνας ἀπαιτεῖν, οὐ παρ’ ἐμοῦ, προσήκει τὸν βασιλέα· παρ’ αὐτοῦ γὰρ ἀπέσταλτο.“ τοὺς ὅρκους δὲ βεβαιώσας καὶ τοῖς πρέσβεσιν ἐγχειρίσας, χαίροντας ἐξαπέστειλεν. κδ′. Αὐτὸς δὲ μετὰ τὴν πεντηκοστὴν, Ἰουνίου μηνὸς ἱσταμένου, ἀνέζευξεν εἰς Ἀδριανούπολιν· πέμψας δὲ εἰς τὴν Κωνσταντίνου, καὶ τὴν γυναῖκα αὐτοῦ Εἰρήνην ἤγαγε πρὸς ἑαυτόν· ἧς καὶ μετὰ τὴν πρὸς βασιλέα ἄφιξιν παιδίον ἄῤῥεν τεκούσης, μετὰ μῆνας ὀκτὼ τὸ παιδίον ἐτεθνήκει. ὁ βασιλεὺς δὲ τὰς ὑπ’ αὐτὸν πόλεις περιϊὼν, καὶ τῶν αὐτῷ συνόντων τοὺς ἐπιφανεστέρους τιμαῖς τε καὶ δωρεαῖς καὶ ἐπαρχιῶν καὶ πόλεων ἐπιτροπαῖς, τοὺς δ’ ἄλλους χρήμασι καὶ ἐτησίοις θεραπεύσας προσόδοις, διέτριψε τὸ θέρος. ἤδη δὲ τοῦ θέρους τελευτῶντος, κατὰ τὰς ἀρχὰς μάλιστα τοῦ Αὐγούστου μηνὸς, οἱ πρὸς τῇ Κωνσταντίνου τοῦ βασιλέως φίλοι δηλοῦσι διὰ γραμμάτων αὐτῷ, ὡς „ὁ Συργιάννης συμβάσεις πρὸς τὸν σὸν πάππον θέμενος, ἀφίξεται πρὸς αὐτὸν ὅσον οὔπω.“ βασιλεῖ δ’ ἅμα καὶ μεγάλῳ δομεστίκῳ τὰ γράμματα ἀναγνοῦσιν ἐδόκει λυσιτελεῖν πρὸς μὲν τὸ παρὸν ἐν ἀπορῥήτῳ τὰ μηνυθέντα τηρεῖν· πέμψαντας δὲ πυνθάνεσθαι παρὰ τῶν φίλων, εἰ ὅλως ἀληθῆ τὰ περὶ Συργιάννη μηνυθέντα. σχέτλιον γὰρ ᾤετο καὶ βαρὺ πρὶν ἀκριβῶς τἀληθὲς ἐκμαθεῖν πρᾶξαί τι τῶν οὐ δεόντων ἢ φθέγξασθαι. [25]

1 120 πέμψας οὖν εὐθὺς ἐπυνθάνετο. οἱ δ’ ἔφασαν πάνυ τε ἐξητακέναι καὶ σὺν ἀκριβείᾳ μαθεῖν, ὡς μεγάλα βασιλεύς τε καὶ Συργιάννης ἀλλήλοις ἐπαγγειλάμενοι ἐποιήσαντο τὰς συνθήκας· διὸ καὶ σφόδρα περιαλγήσαντες μεμηνυκέναι· „σοὶ δὲ μελήσει τὰ λυσιτελοῦντα καὶ βουλεύεσθαι καὶ πράττειν σαυτῷ.“ τοιαῦτα περὶ Συργιάννη πυθόμενος ὁ βασιλεὺς, κατ’ ἰδίαν μόνον παραλαβὼν „ἠκηκόειν“ ἔφη πρὸς αὐτὸν „περὶ σοῦ, ὡς συμβάσεις θέμενος πρὸς τὸν ἐμὸν πάππον καὶ βασιλέα, μέλλεις μεθίστασθαι πρὸς αὐτόν. εἴτε δὲ αὐτὸς τοὺς λόγους ἐποιήσω πρῶτος, ἐλπίσας τι πλεῖον εὑρήσειν, εἴτ’ ἐκεῖθεν πολλαῖς ὑποσχέσεσιν ἀπατηθεὶς ἐπείσθης, εἰδέναι σαφῶς οὐκ ἔχω. εἰ μὲν οὖν οὐκ ἀληθῆ τὰ εἰρημένα, αὐτοί τε οἱ εἰπόντες δίκαιοι κατηγορεῖσθαι, ἐγώ τε ἄξιος οὐκ ἐπαίνου τοῖς συκοφάνταις πιστεύσας. εἰ δ’, ὅπερ ἔφην, ἢ αὐτός τι πλεονεκτήσειν ἐλπίσας, ἢ ἐκεῖθεν πεισθεὶς ὑπήχθης πρὸς τοῦτο, εἰ μὲν ἐθελήσεις τῶν τοιούτων ἀποστῆναι λογισμῶν, ἐμοὶ βουλευομένῳ πεισθεὶς, καὶ τὴν εἰς ἐμὲ πίστιν καὶ φιλίαν ὥσπερ καὶ πρότερον ἄδολον καὶ καθαρὰν τηρεῖν, τῆς αὐτῆς ἧσπερ καὶ πρότερον ἀπολαύσεις παρ’ ἐμοὶ καὶ φιλίας καὶ εὐμενείας, οὐδὲν τῶν τοιούτων ὑπολογιζομένῳ ὥσπερ οὐδ’ ἂν εἰ μὴ τὴν ἀρχὴν ἐγεγόνει, ἐπεὶ οὐδ’ ἑτέρῳ τινὶ πλὴν ἐμοὶ καὶ τῷ μεγάλῳ δομεστίκῳ μόνῳ τὰ τοιαῦτα ἦλθεν εἰς ἀκοάς. εἰ δ’ ὡς ἀγνώμονά τινα καὶ πονηρὸν ἐμὲ ἀποτρέπῃ, καὶ τὸ συνεῖναι καὶ συνδιατρίβειν οὐκ ἀνεκτὸν ἡγῇ, ἀλλ’ ὑπερφυῆ τινα καὶ μεγάλα παρὰ τοῦ ἐμοῦ πάππου καὶ βασιλέως οἰόμενος εὑρήσειν, ὅλῃ προθέσει προσχωρῆσαι αὐτῷ προείλου, ἀνιῶμαι μὲν ἐπὶ τῇ διαστάσει τῇ σῇ, φίλου καὶ συνήθους ἀποστερούμενος· βίαν δὲ οὐκ ἐπάξω, οὐδ’ ἄκοντα κατασχεῖν ἐθελήσω, ἐπεὶ οὐδὲ τὴν ἀρχὴν οὔτε πολέμου νόμῳ, οὔτ’ ἄλλῃ τινὶ βίᾳ πρὸς τὸ ἐμοὶ δουλεύειν ὑπηγαγόμην, ἀλλ’ ἑκοντὶ προσεχώρησας αὐτὸς, ἑλόμενος ἐμοὶ συνεῖναι καὶ συγκινδυνεύειν, καὶ πᾶν ὁτιοῦν ὑπὲρ ἐμοῦ καὶ ὑφίστασθαι καὶ πράττειν ἐπαγγειλάμενος. [5]

1 121 ὃ δὴ καὶ καλῶς ποιῶν, ἀληθὲς ἀπέφηνας ἐπὶ τῶν ἔργων. οὐ μὴν οὐδ’ αὐτὸς ἀχάριστος οὐδ’ ἀμνήμων ἐφάνην τῶν ἀγαθῶν, ἀλλὰ θεοῦ τῇ περὶ τοὺς φίλους προθυμίᾳ καὶ δύναμιν παρασχομένου, τούς τε ἄλλους καὶ σὲ, ὥσπερ ἔδει, τιμαῖς τε καὶ δωρεαῖς ἀξίαις τῶν πόνων ἠμειψάμην καὶ τῆς προθυμίας τῆς εἰς ἐμέ. ἐπεὶ οὖν ἑκοντὶ προσῆλθες, οὐκ ἀγαθὸν λαθραίως ἀναχωρεῖν, ἀλλ’ εἰς φανερὸν συνταξάμενον ἀπιέναι. οἴομαι μὲν οὖν οὐδὲ τὸν ἐμὸν πάππον καὶ

βασιλέα πρὸς πόλεμον ἑτοιμαζόμενον, ἐπὶ κακώσει τῶν ἐμῶν πραγμάτων σε προσλαμβάνεσθαι βούλεσθαι, ἀλλὰ τὴν μὲν εἰς ἐμὲ εἰρήνην καὶ τὰς σπονδὰς ὑγιαινούσας τηρεῖν· ἐφίεσθαι δ' ἁπλῶς οὕτω καὶ σὲ τελεῖν ὑπ' αὐτόν. καίτοι μοι καὶ τοῦτο λίαν ἔπεισι θαυμάζειν, ὅπως, αὐτῶν τῶν πραγμάτων τῆς εἰς αὐτὸν εὐνοίας ἐμοῦ καὶ εὐπειθείας ἐναργεῖς παρασχομένων τὰς ἀποδείξεις, ὅδε, ὅπερ οὐκ ἄν ποτε ἤλπισα, οὐ φιλοῦντος ἔργον οὐδὲν ἐνδείκνυται εἰς ἐμέ. εἰ δ' ἄρα καὶ πολεμεῖν ἐμοὶ προῄρηται, θεῷ μὲν μελήσει περὶ ἡμῶν. [25]

1 122 ἀναμιμνήσκω δέ σε καὶ ὧν αὐτὸς ἐφθέγξω λόγων, ἡμῶν περὶ τοῦ τί δεῖ πράττειν ἐν Βυζαντίῳ βουλευομένων. σοῦ γὰρ καὶ πρωτοστράτορος περὶ τοῦ βασιλέως ὅσα καὶ αὐτὸς οἶσθα εἰπόντων, ἐμοῦ δὲ τἀναντία βουλευσαμένου, θαυμάσας αὐτὸς „πέποιθα σαφῶς" ἔφης „ἐπὶ θεῷ, ὡς σοῦ τοῦτον τὸν τρόπον περὶ τὸν πάππον καὶ βασιλέα διακειμένου, αὐτὸς ὁ θεὸς πολεμήσει ὑπὲρ ἡμῶν, ἡμᾶς δὲ ἀμερίμνους ποιήσει." σκέψαι τοίνυν ὃ μέλλεις δρᾷν· σοὶ γὰρ ὁ λόγος εἴρηται οὑτοσί." Τοιαῦτα τοῦ βασιλέως εἰπόντος, ἐνίστατο μὲν ὁ Συργιάννης σεσυκοφαντῆσθαι φάσκων, καὶ ὧν κατηγόρηται μηδὲν ἀληθὲς εἶναι· τῷ δὲ μὴ βεβαίας παρέχεσθαι μηδ' ἐναργεῖς τὰς ἀποδείξεις ὑπὲρ ὧν κατηγορεῖτο, ὑποψίαν οὐ μικρὰν τῷ στοχάζεσθαι τὰ πράγματα παρείχετο δυναμένῳ ἐκ τῶν λόγων, ὡς πονηρὰ σύνοιδεν ἑαυτῷ. τοῦ μέντοι βασιλέως τοὺς αὐτοὺς λόγους πάλιν ἀναλαβόντος, καὶ θάρσους ἐμπλήσαντος, ὡς οὐδὲν ἧττον ἢ πρότερον εὐμενῶς διακείσεται πρὸς αὐτὸν, ἀπῆλθεν. ἐκ μέντοι Βυζαντίου παρὰ τῶν τοῦ νέου βασιλέως ἀγγελίαι ὁσημέραι ἀφικνοῦντο φίλων, τά τε περὶ Συργιάννην πείθουσαι ὡς εἴη ἀληθῆ, καὶ ὅτι βασιλεὺς ὁ πρεσβύτερος τὰ πρὸς τὸν πόλεμον ἐξαρτύεται πάντα, ὡς ἅμα τῷ Συργιάννην ἀφικέσθαι ἀναῤῥαγησομένου. ἄρτι δὲ τοῦ χειμῶνος ἀρχομένου, Ὀκτωβρίου μηνὸς πέμπτῃ ἱσταμένου, πάλιν ὁ βασιλεὺς ἰδιαζόντως ἔφη πρὸς Συργιάννην· „οὐκ οἶομαί σε ὧν πρὸ χρόνου μικροῦ πρός σε διειλέχθην ἐπιλελῆσθαι. ἐκ τότε δ' ἄχρι καὶ νῦν ὁσημέραι μοι ἀγγέλλεται περὶ σοῦ, ὡς ἀποστῆναι πρὸς τὸν ἐμὸν πάππον παρασκευάζῃ· οὐ μὴν ἀλλ' ὅτι καὶ αὐτὸς τὰ πρὸς πόλεμον ἐξαρτύεται, ὡς ἅμα τῷ σὲ παραγενέσθαι πρὸς ἐμὲ πολεμήσων. [20]

1 123 ὅσοι δ' ἐπιτηδείως ἔχουσιν ἐμοὶ, καὶ εἶρξαί σε παραινοῦσιν, ὡς ἅμα τῷ σὲ εἰρχθῆναι καὶ τοῦ πολέμου παυσομένου. ἐγὼ δ' ἃ πρότερον εἰρήκειν καὶ αὖθις ἐρῶ· ὡς εἰ μὲν τοῖς ἐμοῖς λόγοις πεισθεὶς, τοῦ τοιαῦτα καὶ βουλεύεσθαι καὶ δρᾷν ἀποστῇς, καλῶς ἂν ἔχοι· εἰ δ' ἀδυνάτως ἔχεις μεταβουλεύσασθαι, ἃ βούλει πρᾶττε. ἐγὼ γὰρ οὐ μόνον οὐχ εἶρξαί σε προθυμοῦμαι, καίτοι πάνυ ῥᾳδίως ἔχων, ὡς καὶ αὐτὸς φαίης ἂν, ἀλλ' οὐδὲ τῆς ἀρχῆς παραλύσω. τούτου δ' ἕνεκά σοι ταῦτα προλέγω, ὡς ἂν εἰδείης ἀπελθὼν, ὡς οὐ λαθὼν, ἀλλὰ φωραθεὶς ἃ προείλου παρώφθης δρᾷν." ἐπὶ τούτοις ὁ Συγιάννης συκοφαντεῖσθαι πάλιν ἰσχυρισάμενος, καὶ μηδὲν τοιοῦτον ἑαυτῷ συνειδέναι, τοῦ βασιλέως ἐπιτρέψαντος, πρὸς ἃς ἐπετρόπευε τῆς Θρᾴκης πόλεις ἀπῆλθε. δύο δ' ἐξ αὐτῶν, τὸν Ἄπρων καὶ τὴν Γαρέλλαν, φρουραῖς κατασχὼν, καὶ τἄλλα ἀσφαλισάμενος ὥστ' ἔχειν πρὸς πολιορκίαν ἀντέχειν, ἀπέστη πρὸς τὸν πρεσβύτερον βασιλέα Νοεμβρίου μηνός. ἅμα δὲ τῷ τοῦτον ἐπιβῆναι Βυζαντίου, καὶ ὁ τῶν βασιλέων πόλεμος φανερῶς αὖθις ἀνεῤῥιπίζετο. ὁ νέος γὰρ βασιλεὺς τὴν ὑποτεταγμένην αὐτῷ στρατιὰν ἅπασαν ἐν βραχεῖ συναθροίσας, τοιοῖσδε πρὸς αὐτοὺς ἐχρήσατο λόγοις· „τὸ τῆς εἰρήνης καλὸν καὶ λυσιτελὲς οὐ μόνον τοῖς ἀρχομένοις, ἀλλὰ καὶ τοῖς ἄρχουσιν, ὥσπερ αὖ πάλιν τὰ ἐκ τοῦ πολέμου κακὰ καὶ ὑμῖν μὲν πᾶσι καθέστηκε φανερά· ἐγὼ δὲ τῶν ἐμοὶ προσόντων ἰδίᾳ πάντων ἐτιμησάμην ἂν ὥστε μὴ λυθῆναι τὴν εἰρήνην· ἐπεὶ δ' ὁ ἐμὸς πάππος καὶ βασιλεὺς, ὅπερ οὐδ' ἄν ποτε ἐπείσθην πρὶν γενέσθαι, λύσας τὰς πρὸς ἡμᾶς σπονδὰς, πρὸς πόλεμον ἐχώρησε φανερῶς, οὐδεμίαν αἰτίαν ἢ λαβὴν ἡμῶν πρὸς τὸ λῦσαι ταύτας παρασχομένων, ἀλλὰ καὶ ἀκόντων νῦν ὑπ' ἀνάγκης πρὸς τὸν πόλεμον χωρούντων, καὶ ταῖς ψήφοις ἁπάσαις τὴν εἰρήνην αἱρουμένων, οὐδὲν εἶναί μοι τὸ λεῖπον δοκεῖ, ἢ θεὸν τὸν ἐν ταῖς σπονδαῖς ὅρκιον ἐπικαλεσαμένους κατὰ

τῶν ἀδικούντων χωρεῖν, οὐ μᾶλλον τοῦ αὐτοὺς κακοῦν, ἢ τοῦ μὴ αὐτοὶ κακῶς παθεῖν πρόνοιαν ποιουμένους. [10]

1 124 τὸ γὰρ εἰς τὴν ἡμετέραν περιμένειν ἀμυνομένους ἐπιόντας, οὐκ ἀνανδρίας μόνον, ἀλλὰ καὶ ἀσυνεσίας οὐ πάνυ πόῤῥω δόξειεν ἄν. ἐλπίζω δὲ οὐδὲ θεὸν αὐτὸν, ὃν ἡμεῖς εὐορκοῦμεν, ἡμᾶς ἐγκαταλιπεῖν ἂν, ἀλλὰ συμπαρέσεσθαί τε καὶ ὑπὲρ ἡμῶν ἀμυνεῖσθαι.“ Τούτων οὕτως ὑπὸ βασιλέως εἰρημένων, ἡ στρατιὰ πάντες ὥσπερ ἀπὸ γλώττης μιᾶς „χάριτας“ ἔφησαν „ὁμολογοῦμεν τῷ θεῷ πάντων καὶ βασιλεῖ, ὅτι οὐκ ἀδίκῳ τινὶ καὶ πλεονεκτικῷ τὸν τρόπον ἑπόμεθα δεσπότῃ, ἀλλὰ μᾶλλον καὶ ἃ πάντες ἂν αὐτῷ συμφαῖεν εἶναι δίκαια ὑπὲρ τῆς πρὸς ὁμοφύλους εἰρήνης προϊεμένῳ. δίκαιος δ’ ὢν ὁ θεὸς καὶ δικαιοσύνας ἠγαπηκὼς, ᾗ φησιν ὁ προφήτης, οὔτε σὲ πρὸς τὴν ἀδικίαν ἀντικαθιστάμενον, οὔθ’ ἡμᾶς ὑπὲρ τοῦ δικαίου περιόψεται στρατευομένους. [20]

1 125 ἡμῶν τοίνυν ἁπάντων ὑπὲρ σοῦ κἂν ἐξῇ πολλάκις ἀποθανεῖν ἑτοίμων ὄντων, μηκέτι μέλλωμεν μηδ’ ἀναβαλλώμεθα τὸν καιρὸν, ἀλλ’ ἐχώμεθα ἔργου θεῷ θαῤῥοῦντες.“ ἐπὶ τούτοις ὁ βασιλεὺς τῆς εὐνοίας ἕνεκα καὶ τῆς προθυμίας τῆς εἰς αὐτὸν τὰ εἰκότα εὐχαριστήσας, τὸν μὲν κοινὸν διέλυσε σύλλογον, ἰδίᾳ δ’ ἅμα δομεστίκῳ τῷ μεγάλῳ καὶ πρωτοστράτορι βουλευσάμενοι περὶ τῶν αὐτῶν, ἐπεὶ καὶ αὐτοῖς ἐδόκει καλῶς ἔχειν τὰ εἰρημένα καὶ οὐδενὸς ἐνδεῖν ἔτι, ἐπεψηφίσαντο καὶ αὐτοί. εἰς τὴν ὑστεραίαν δὲ ὁ μὲν πρωτοστράτωρ πρὸς τὴν Ἀδριανοῦ πόλιν ἐχώρει, Ἄνναν τὴν αὐτοῦ θυγατέρα τῷ Ἀσάνῃ Μανουὴλ τῆς τοῦ μεγάλου δομεστίκου γαμετῆς ἀδελφῷ πρὸς γάμον συνάψων. κε′. Βασιλεὺς δὲ πρὸς τὴν ἐκστρατείαν παρασκευάζεσθαι παραγγείλας τὴν στρατιὰν, ἡτοιμάζετο καὶ αὐτός. τά τε ἄλλα δὲ εὖ θέμενος καὶ ἐν τῷ Διδυμοτείχῳ τήν τε γαμετὴν αὐτοῦ καὶ τὴν Παλαιολογίναν Θεοδώραν, τὴν αὐτοῦ μὲν θείαν, μητέρα δὲ τοῦ μεγάλου δομεστίκου, ἀντὶ φρουρᾶς ἁπάσης καταλιπὼν, (ἦν γὰρ δὴ καὶ πρὸς διοίκησιν ἔμπειρος πολιτικῶν πραγμάτων, καὶ φρονήσεως ἐῤῥωμενεστέρας ἢ κατὰ φύσιν γυναικείαν τυχοῦσα,) καὶ πᾶσι τοῖς πόλεων ἄρχουσι καὶ διοικηταῖς τῶν πραγμάτων αὐτῇ πείθεσθαι πᾶν ὅτι ἂν κελεύῃ προστάξας καὶ τῶν περὶ αὐτῶν φροντίδων ἀπολύσας ἑαυτὸν, ἐπεὶ καὶ ἡ στρατιὰ ἡμέραις ὀκτὼ παρεσκεύαστο ὧν ἐδεῖτο, ἄρας ἐκεῖθεν, ἦλθεν ἄχρι Τζουρουλόης. στρατοπεδευσάμενος δ’ ἐκεῖ ἔμεινεν ἡμέρας τινὰς, τοῦτο μὲν, ὅτι καὶ χειμὼν ἐξαίσιος ἐπεγένετο, ἐπεὶ καὶ χειμῶνος ἦν ὥρα, (κατὰ μῆνα γὰρ ἐστρατοπεδεύοντο Δεκέμβριον,) τοῦτο δ’, ἵνα καὶ τὸ λεῖπον τῆς στρατιᾶς ἀθροισθῇ· τὸ δ’ ἔτι τούτων αἰτιώτερον, ὅτι τῆς κατὰ Θρᾴκην Ἡρακλείας τοῦ νέου βασιλέως πρὸς τὸν πρεσβύτερον ἀποστάσης, ὁ Συργιάννης τὴν Βυζαντίηθεν στρατιὰν παραλαβὼν, ἐνήδρευεν ἐν αὐτῇ. [5]

1 126 ἔδοξεν οὖν αὐτῆς πρῶτον ἀποπειράσαι. χρόνου δὲ αὐτοῦ τινος τριβομένου, ἔδοξε τοῖς ἐν τέλει πᾶσι καὶ τοῖς ἡγεμόσι τῆς στρατιᾶς συνελθοῦσι, πρεσβείαν ὡς βασιλέα τὸν πρεσβύτερον ἀποστεῖλαι ἐξαιτήσουσαν εἰρήνην· ὃ καὶ τοῦ νέου βασιλέως πυθομένου, ἐπεὶ κατὰ γνώμην αὐτῷ ἦν, πέμπουσί τινα τῶν τῆς στρατιᾶς Καλοχαιρέτην ὠνομασμένον, τὰ γράμματα ἐγχειρίσαντες· ἐπεὶ διὰ γραμμάτων ἦν ἡ πρεσβεία, αὐτὸς δὲ μόνον διακομιστοῦ τάξιν ἐπεῖχεν. ἐδήλου δὲ τὰ γράμματα τοιαῦτα· „Κράτιστε βασιλεῦ, ἡμεῖς ἄνωθεν ἐκ προγόνων ὄντες Ῥωμαῖοι, καὶ τὴν εὐπραγίαν τῶν Ῥωμαίων οἰκείαν νομίζομεν εὐδαιμονίαν, καὶ τὴν κακοπραγίαν ὡσαύτως ἐν ἰδίᾳ τιθέμεθα δυστυχίᾳ. οὗ δὴ ἕνεκα καὶ τοὺς βασιλέας ἡμῶν ὑμᾶς εὐνοεῖν ἀλλήλοις, ἀλλὰ μὴ πολεμίους εἶναι, ποιούμεθα περὶ πλείστου, ὅπερ ἐστὶν ἀληθὲς ἐννοοῦντες, ὡς ὑμῶν μὲν φιλίως πρὸς ἀλλήλους διακειμένων, καὶ τὰ τῆς ἀρχῆς αὐξάνειν, ἢ, τό γε δεύτερον, μὴ ἐλασσοῦσθαι εἰκός· πολεμίων δὲ ἀλλήλοις ὄντων, οὐ μόνον ὑπὸ τῶν προσοίκων βαρβάρων, ἀλλὰ καὶ ὑφ’ ὑμῶν αὐτῶν τὴν ὑμετέραν ἡγεμονίαν καταλυθήσεσθαι. [20]

1 127

πρὸ χρόνου μὲν οὖν τινος τῆς διαφορᾶς κινηθείσης, καὶ τοῦ νέου βασιλέως ἐπιστρατεύσαντός σοι, ἅμα τε ἐμνήσθης εἰρήνης, καὶ ὁ σὸς ἔγγονος, ὥσπερ ἂν αὐτὸς ὢν ὁ αἰτῶν, καίτοι δοκῶν ἐν τῷ πολέμῳ πλεονεκτεῖν, προσεδέξατο ἀσμένως, καὶ διελέλυτο εὐθὺς, ὥσπερ ἂν εἰ μηδὲ τὴν ἀρχὴν ὁ πόλεμος συνέστη. ὃ δὴ ἡμῖν τε καὶ τῷ ὑμῶν ὑπηκόῳ παντὶ ἡδονῆς αἴτιον καὶ εὐθυμίας κατέστη, εὐτυχίας τοῖς Ῥωμαίοις ἀρχὴν τὴν ἡμέραν ἐκείνην λογισαμένοις. νυνὶ δὲ ὁρῶντές σε τὸν μᾶλλον ὄντα δίκαιον, εἴ τι καὶ προπετῶς παρὰ τοῦ ἐγγόνου τοῦ σοῦ ἐπράττετο οἷα νέου, τὸν πόλεμον καταστέλλειν, ἐξ οὐδεμιᾶς αἰτίας προφανοῦς τάς τε σπονδὰς λελυκότα καὶ πολεμοῦντα φανερῶς, ἀθυμοῦμέν τε, ὡς εἰκὸς, καὶ συμφορῶν ἀρχὴν ἡγούμεθα τὴν λύσιν τῶν σπονδῶν. οὗ δὴ ἕνεκα καὶ δεόμεθά σου, βασιλεῦ, πρὸς αὐτοῦ τοῦ τῶν ὅρκων ἐφόρου θεοῦ, τοῦ καὶ ὄντος εἰρήνης καὶ καλουμένου, τὸν πόλεμον καταθεῖναι, καὶ μὴ περιϊδεῖν τὸ ὑπήκοον διὰ τὴν ὑμετέραν φιλονεικίαν ἀνηκέστοις κακοῖς περιπεσόν. εἰ μὲν οὖν πεισθεὶς τοῖς ἡμετέροις λόγοις τὴν εἰρήνην ἀντὶ τοῦ πολέμου μᾶλλον ἀσπάσῃ καὶ τὴν πρὸς τὸν ἔγγονον τὸν σὸν ὁμόνοιαν καὶ κοινωνίαν, καὶ αὐτοὶ προθύμους παρέξομεν ἑαυτοὺς καὶ τὰς ψυχὰς αὐτὰς, εἰ οἷόν τε, ὑπὲρ τῶν σοί τε καὶ τῷ ἐγγόνῳ τῷ σῷ συμφερόντων ῥᾳδίως προϊεμένους. ἂν δ', ὃ μὴ γένοιτο, πονηροῦ τινος βασκήναντος δαίμονος, τὴν ἡμετέραν μὲν ἀπώσῃ πρεσβείαν, τοῖς δ' ἐνάγουσι πονηροῖς καὶ χαίρουσι τοῖς κακοῖς πρὸς τὸν πόλεμον πεισθῇς, τὸν πάντ' ἐφορῶντα θεὸν καὶ τοῖς πραττομένοις πᾶσιν ἐπάγοντα δίκην ὄμνυμέν σοι, ὡς ἢ πεσούμεθα μαχόμενοι πάντες, ἢ ποιήσομεν καταφανὲς ἔργοις αὐτοῖς, ὡς δίκαιοι ἦμεν περὶ εἰρήνης πρεσβεύοντες εἰσακούεσθαι. [5]

1 128 τότε γὰρ αὐτὸς πρεσβεύσεις πρὸς ἡμᾶς, ὅτε εἰ μηδὲ τὴν ἀρχὴν ἐκίνεις πρὸς ἡμᾶς τὸν πόλεμον βέλτιον κρινεῖς. ἔτι δὲ μὴν μήτ' οἴκοθεν αὐτὸς, μήτε παρ' ἑτέρων ἀκούων πεισθῇς, ὡς ἢ δώροις καὶ ὑποσχέσεσιν ἢ ἐκπλήξει τε καὶ δειλίᾳ ἢ ἑτέρῳ τινὶ τρόπῳ ἢ περινοίᾳ τινὰς ἡμῶν παρασπάσαι καὶ τοῦ νέου βασιλέως ἀποστῆσαι δυνήσῃ. αὐτοὶ γὰρ ἡμεῖς ἀρὰς ἠρασάμεθα καθ' ἑαυτῶν τὰς παλαμναιοτάτας, ἦ μὴν ἐμμενεῖν τοῖς ὁμωμοσμένοις ἄχρι θανάτου καὶ μὴ ἀποστήσεσθαι τοῦ νέου βασιλέως, ἢ τὸν τοῦτο δράσοντα ἐνέχεσθαι ταῖς ἀραῖς. ὡς οὖν οὕτω γνώμης ἡμῶν ἐχόντων, καὶ αὐτόν σε καὶ βούλεσθαι καὶ πράττειν τὰ δέοντα παρακαλοῦμεν καὶ μὴ ταῖς μὴ οὔσαις ὑπονοίαις ἐξαπατηθέντα πρᾶξαί τι τῶν ἐν ὑστέρῳ μετάμελον παρασχησόντων.“ Τοιαῦτα πρὸς βασιλέα τὸν πρεσβύτερον οἱ τῆς συγκλήτου πάντες καὶ οἱ τῆς στρατιᾶς ἡγεμόνες ἐγγράφως διαπρεσβευσάμενοι, εἶτα καὶ ὑπογραφαῖς οἰκείαις ἵν' ᾖ πιστὸν ἐπιβεβαιώσαντες τὸ γράμμα, καὶ ἐγχειρίσαντες τῷ εἰρημένῳ Καλοχαιρέτῃ, πέμπουσιν εἰς Βυζάντιον πρὸς βασιλέα. ἀφικομένου πρὸς τὰ βασίλεια δ' αὐτοῦ, θροῦς ἤρθη παρὰ πάντων καὶ βοὴ συμμιγὴς, ὡς Παλαιολόγος ὁ τοῦ βασιλέως ἔγγονος (οὐ γὰρ ἠξίουν αὖθις αὐτὸν βασιλέα καλεῖν,) πρὸς βασιλέα πέμψας πρεσβείαν, συγγνώμης δεῖται τυχεῖν, ἀλλ' οὐκ ἂν τύχοι, εἰ μὴ αὐτὸς ἑαυτὸν ἀποδείξας δεσμώτην, πρὸς τοὺς πόδας ῥίψειε βασιλέως· οὕτω γὰρ ἂν μόλις τυχεῖν. [20]

1 129 ὁ βασιλεὺς δ' ἥτις ἦν ἡ αἰτία πυθόμενος τοῦ θορύβου, τοῖς μὲν ἀτάκτοις καὶ κεκραγόσιν ἐπέταττε σιγᾷν, τῷ δὲ Καλοχαιρέτῃ μηνύει, ὡς ἀναγκαίων τινῶν πέρι ἀσχολουμένῳ, ἐπεὶ μὴ καιρὸν εἶναι συντυχεῖν αὐτῷ, τὰ τοῦ ἐγγόνου γράμματα ἀποστεῖλαι. ὁ δ' ἀπεκρίνατο, ἑτέρῳ μηδενὶ ἂν τὰ γράμματα ἐγχειρίσαι εἰ μὴ αὐτῷ βασιλεῖ· οὕτω γὰρ εἶναι προστεταγμένον αὐτῷ. κς′. Ἠσχολεῖτο δ' ὁ βασιλεὺς κατ' ἐκεῖνο καιροῦ, ὅπως τὸν μὲν υἱὸν αὐτοῦ Κωνσταντῖνον τὸν δεσπότην τριήρεσι μακραῖς πρὸς ἑσπέραν ἐκπέμψῃ, Θεσσαλονίκης καὶ τῶν ἄλλων ἑσπερίων πόλεων ἐπιτροπεύσοντα, βασιλίδα δὲ τὴν Μιχαὴλ μὲν τοῦ βασιλέως γαμετὴν, Ἀνδρονίκου δὲ τοῦ νέου μητέρα, ἐκεῖθεν εἰς Βυζάντιον ἀναγάγῃ. ὃ δὲ καὶ γεγονὸς κατὰ τὸ ἐπίταγμα βασιλέως, ἐλύπησεν οὐ μετρίως τὸν υἱὸν αὐτῆς Ἀνδρόνικον τὸν βασιλέα, βίᾳ τὴν μητέρα ἑλκυσθεῖσαν ἀκηκοότα. ὡς γὰρ ἡ βασιλὶς τὴν αἰτίαν ἐπύθετο, δι' ἣν ὁ δεσπότης ἀφῖκτο, καὶ ἡ κυρία παρῆν,

ἐν ᾗ πρὸς τὸν πλοῦν ἔδει καλεῖσθαι, εἰσελθοῦσα τὸν ἱερὸν καὶ τῇ τῆς θεομήτορος εἰκόνι προσφῦσα, οὐδ' ἂν εἴ τι γένοιτο μεθήσειν ἔφασκεν. ὁ δεσπότης δὲ ἐλθὼν, πρῶτα μὲν λόγοις ἐπεχείρει πείθειν· ὡς δ' οὐκ ἔπειθεν, ἐβιάζετο καὶ χερσίν. [20]

1 130 ὡς δ' ἤνυε καὶ οὕτως οὐδὲν, τῷ μεγάλῳ παπίᾳ Παλαιολόγῳ καὶ τῷ πρωταλλαγάτορι Σεναχηρεὶμ καὶ Ἰωάννῃ Ζαρίδῃ τὸν ἑλκυσμὸν ἐπέτρεπε τῆς βασιλίδος. οἳ δὴ καὶ βίᾳ τῆς εἰκόνος ἀποσπάσαντες εἰς θάλασσάν τε καταγαγόντες, ἐπέτρεψαν τοῖς τριηράρχαις ἀχθησομένην ὡς βασιλέα. ἐδόκει μὲν οὖν τῷ τῆς βασιλίδος υἱῷ βασιλεῖ τῷ νέῳ καὶ τοῦτο δεινὸν, τὸ καὶ αὐτὸν δεσπότην χεῖρα βιαίαν ἐπενεγκεῖν τῇ μητρί. εἰ γὰρ καὶ ἀδελφοῦ γαμετὴ, ἀλλὰ τῷ βασιλικῷ νόμῳ καὶ δεσπότις ἦν αὐτοῦ· τὸ δὲ καὶ ἑτέροις ἐπιτρέψαι τὸ ἔργον οὐδενὸς ἐνομίσθη δεύτερον εἰς ὕβρεως ὑπερβολήν. ἀλλὰ ταῦτα μὲν ὕστερον. βασιλεὺς δ' ὁ πρεσβύτερος ὡς ἀπηλλάγη τῶν περὶ τῆς ἑσπέρας φροντίδων, τὸν Καλοχαιρέτην μεταπεμψάμενος, ἐζήτει τε τὰ γράμματα τοῦ ἐγγόνου καὶ εἴ τι διὰ στόματος ἔχει λέγειν, ἐκέλευεν ἀπαγγέλλειν. ὁ δ' ἔλεγε μήτε γράμματα μήτε λόγους τοῦ νέου βασιλέως κομίζειν, ἀλλὰ τῶν αὐτῷ συνόντων συγκλητικῶν καὶ τῶν ἄλλων ἡγεμόνων τῆς στρατιᾶς· ἐπεδίδου δὲ ἅμα καὶ τὸ βιβλίον. διελθὼν δὲ ὁ βασιλεὺς τὰ ἐγγεγραμμένα, καὶ ἅμα καὶ τὰς ὑπογραφὰς ἰδὼν, „ἐκεῖνοι μὲν" εἶπεν „ἀπειλοῦσιν ἐμοὶ ὅσα δὴ βούλονται, ἐγὼ δ' ἀνθ' ὧν τολμῶσι δίκας τίσουσί φημι τὰς ἐσχάτας." „οὐκ ἀπειλοῦσιν," εἶπεν „ὦ βασιλεῦ," ὁ Καλοχαιρέτης „ἀλλὰ δέονται πρῶτον· ἂν δ' ἐφ' οἷς ἱκετεύουσι μὴ εἰσακούωνται, τὰ μέλλοντα συμβήσεσθαι ἀπαγγέλλουσι. [20]

1 131 καὶ ἐγὼ δὲ αὐτὸς καὶ δέομαί σου καὶ συμβουλεύω, κράτιστε βασιλεῦ, μὴ περιϊδεῖν αὐτῶν τὴν ἱκετείαν· ἀλλ' ἀσπάσασθαι τὴν εἰρήνην, οὐ μόνον τῷ ὑπηκόῳ λυσιτελοῦσαν, ἀλλὰ καὶ σοὶ, καὶ μὴ παρὰ πάντων κακῶς ἀκούειν τὰ μέγιστα συναιρομένην. ὅτε γὰρ ὁ σὸς ἔγγονος βασιλεὺς ὁ νέος σου τὸ πρῶτον ἀποστὰς εἰς Ἀδριανούπολιν ἀφῖκτο, οἱ μὲν αὐτῷ τὰς αἰτίας ἀνετίθεσαν τῆς ἀποστασίας, ἕτεροι δὲ σοί· καὶ ἦν τοῖς ἀνθρώποις ἀμφίβολος ἡ περὶ τούτων γνῶσις. ὡς δ' ἐπιστρατεύσαντος ἐκείνου, σύ τε ἐμνήσθης εἰρήνης, ἐκεῖνός τε ἄσμενος προσεδέχετο μηδὲν μελλήσας, καὶ ἐγεγέννηντο αἱ σπονδαὶ, πάντες μὲν ἐπῄνεσαν ὑμᾶς τῆς τε εὐβουλίας καὶ τῆς πρὸς τὰ βελτίω μεταβολῆς· ἑορτῆς δὲ ἡμέραν ἦγον τὴν ἡμέραν ἐκείνην, τῶν ἐκ τοῦ ἐμφυλίου κακῶν πολέμου νομίσαντες ἀπηλλάχθαι. νῦν δ' ὅτε βασιλεὺς ὁ σὸς ἔγγονος τὴν ἀποτεταγμένην αὐτῷ τῆς ἀρχῆς μοῖραν περιϊὼν, τήν τε στρατιὰν ἠξίωσε προνοίας οὐ τῆς τυχούσης, καὶ τὰ πεπονηκότα τῷ χρόνῳ τείχη τῶν πόλεων ἐπέταξεν ἀνακτᾶσθαι, καὶ τῆς πολιτικῆς εὐνομίας καὶ τῆς ὅλης τῶν πραγμάτων ἐπιδόσεως, ὅσον ἐξῆν, ἐπεμελήθη, αὖθις ἐξαίφνης ὁ πόλεμος ἀνερῥάγη, μηδεμίαν μήτ' ἐκείνου μήτε τῶν συνόντων αἰτίαν παρασχομένων. ὥστ' ἐκείνῳ μὲν συμβήσεται καὶ ἐπὶ τοῖς προτέροις αἰτίας πάσης ἀπολελύσθαι, καὶ τῶν νῦν ἕνεκα ἐπαινεῖσθαι ὡς ἀμυνομένῳ καὶ οὐ κατάρχοντι πολέμου, καὶ τὴν παρὰ πάντων εὔνοιαν καρποῦσθαι ὡς ἀδικουμένῳ συναλγούντων· σὲ δ' ἁπάσαις ψήφοις καὶ νῦν καὶ πρότερον ἁλίσκεσθαι ἀδικοῦντα. [20]

1 132 ἐννόησον οὖν ἡλίκη τῶν συμβησομένων κακῶν καὶ πρὸς θεοῦ τίσις καὶ πρὸς ἀνθρώπων ἕψεται μέμψις. διὸ δὴ καὶ αὖθίς σου δέομαι, βασιλεῦ, καὶ τῶν ὑπηκόων ἔλεον σχόντα καὶ τοῦ βασιλέως τε καὶ παιδὸς καὶ αὐτοῦ δὲ σοῦ, οὕτω παρὰ Ῥωμαίοις πᾶσιν ἐπαινουμένου καὶ ὥς τινος τῶν κρειττόνων θαυμαζομένου, τὸν πόλεμον καταλῦσαι, προσδεξάμενον τὴν εἰρήνην· καὶ μὴ περιϊδεῖν τὸ μὲν ὑπήκοον ὑπὸ τοῦ πολέμου διαφθαρὲν, τὸν δὲ σὸν ἔγγονον καὶ βασιλέα ἢ νικήσαντα πάσης ἥττης αἰσχίω νικῆσαι νίκην, (πατέρα γὰρ νικήσει,) ἢ ἡττηθέντα ἀδίκως τε ὁμοῦ καὶ παρὰ πατρὸς ἀποθανεῖν, τό, τε σὸν ὄνομα τὸ παρὰ πάντων ᾀδόμενον σὺν εὐφημίᾳ, διαβαλλόμενον ἐξ ἀντιστρόφου." Τοιαῦτα εἰπὼν ὁ Καλοχαιρέτης, καὶ πρὸς τὰς ἐκ βασιλέως καὶ τῶν παρόντων πεύσεις καὶ ἀντιθέσεις συνετῶς ἄγαν τὰς ἀποκρίσεις ἀνθυπενεγκὼν, τελευταῖον ἑαυτὸν πρὸς τοὺς βασιλέως κατακλίνας πόδας, ἐδεῖτο μεθ' ὅσης σπουδῆς μὴ

ἀπώσασθαι τὴν εἰρήνην, μηδὲ τὸν ἐξ ἀρχῆς ἀνθρωποκτόνον καὶ φθονερὸν, ἀλλὰ τὸν εἰρηνοποιὸν Χριστὸν, τὸν τὰ διεστῶτα συνάψαντα, σχεῖν τὸ πλέον. ἀναστήσας δὲ αὐτὸν ὁ βασιλεὺς καὶ εὐχαριστεῖν εἰπὼν, „ὅτι ἐλθὼν ἐδίδαξας ἡμᾶς ἀρκούντως“, τοῖς ἀπεσταλκόσιν ἐκέλευεν ἀπαγγέλλειν, ὡς ἀσύνετα διαπρεσβευομένοις οὐδ’ αὐτὸς ἂν ἀπόκρισιν δοίη· ἀποκρινεῖται δ’ αὖθις, ἂν καὶ αὐτοὶ πρεσβεύσωνται συνετῶς. οὕτω μὲν ὁ Καλοχαιρέτης ἄπρακτος ἀπῆλθεν ἐκ Βυζαντίου. [20]

1 133 ὁ δέ γε βασιλεὺς ὁ νέος ἅρας ἐκ Τζουρουλόης εἰς Ἡράκλειαν, ἀφίκετο τὴν τῆς Θρᾴκης, καὶ Συργιάννην ἐκεῖ κατακλείσας ἅμα τῷ ἐκ Βυζαντίου στρατῷ, ἐπολιόρκησεν ἐφ’ ἡμέρᾳ μιᾷ. κἀκεῖθεν αὖθις ἀπαναστὰς, ἐστρατοπέδευσε περὶ Δάνειον, ἐς τὴν ὑστεραίαν δ’ εἴχετο τῆς φερούσης πρὸς τὸ Βυζάντιον. καὶ γενομένῳ κατὰ τὸ Ῥήγιον ὁ Καλοχαιρέτης ἐνέτυχεν ἀπαγγέλλων ὡς ἄπρακτος ἐπανήκει. κζ′. Στρατοπεδευσαμένῳ δὲ αὐτοῦ ἔδοξε δέον εἶναι καὶ αὐτὸν πρὸς τὸν βασιλέα καὶ πάππον ἀποστεῖλαι πρεσβείαν περὶ εἰρήνης. πέμπει δὴ τὸν μέγαν κονοσταῦλον Ἰωάννην Παλαιολόγον, τὸν πρωτοστράτορος ἀδελφὸν, καὶ Ἰωάννην τὸν Ἀπλησφάρην, γράψας τῷ πάππῳ καὶ βασιλεῖ τοιαῦτα· „τῶν ἐμοὶ συνόντων συγκλητικῶν καὶ τῶν ἄλλων ἡγεμόνων τῆς στρατιᾶς κἀμοῦ συνειδότος, πρός σε περὶ εἰρήνης διαπρεσβευσαμένων καὶ μὴ τυχόντων, νυνὶ καὶ αὐτὸς σὺν αὐτοῖς αὖθις περὶ τῶν αὐτῶν πρεσβεύομεν, ὦ βασιλεῦ, καὶ δεόμεθά σου πάντες κοινῇ μὴ ὥς τι τῶν ἀτίμων ἀποῤῥιφῆναι, ἀλλ’ εὐμενείας καὶ συγγνώμης τοῦ σοῦ κράτους τυχεῖν, ἐφιεμένους πάνυ σοῦ καὶ εἶναι δούλους καὶ ὀνομάζεσθαι, καὶ τὴν εἰρήνην ἀντὶ πολλῶν ἀγαθῶν ἄλλων ἐν εὐεργεσίας αἰτουμένους μέρει.“ τούτους μὲν οὖν ἀπέστειλεν ὡς βασιλέα, ἐν ἡμέραις ὀκτὼ κελεύσας ἐπανελθεῖν, ἀρκεῖν πρὸς τὸ βασιλέα βουλεύσασθαι περὶ τῆς εἰρήνης τὸ διάστημα νομίσας τοῦ χρόνου· αὐτὸς δ’ ἔμεινεν ἐν Ῥηγίῳ· δύο δὲ ἡμερῶν παρεληλυθυιῶν πρὸς ταῖς δέκα, ὡς οἱ πρέσβεις οὐκ ἐπανῆκον, ἅρας ἐκ Ῥηγίου, ἦλθεν ἐγγὺς τῶν Βυζαντίου τειχῶν ὅσον μὴ βάλλεσθαι τοξείαις τοὺς στρατιώτας. [20]

1 134 πέμψας δ’ ἐγγὺς τῶν ἑπομένων τινὰς, λέγειν ἐκέλευε τοῖς ἐπὶ τοῦ τείχους ἀπαγγέλλειν τῷ βασιλεῖ, ὡς „ὁ σὸς ἔγγονος, ἐπεὶ κατὰ τὴν προθεσμίαν οὐχ ἥκον οἱ πρέσβεις, ἐλθὼν αὐτὸς συγγνώμης δεῖται τυχεῖν.“ οἱ δὲ μηδ’ ἄκροις ὠσὶ παραδεξάμενοι τοὺς λόγους, βάλλοντες ἀπὸ τοῦ τείχους ἠνάγκασαν φυγεῖν. βασιλεὺς δ’ ὁ νέος αὐτόθι διακαρτερήσας μέχρι κλινούσης ἡμέρας, ὀλίγον ἀναζεύξας ἐστρατοπέδευσεν ἐγγὺς Κοσμιδίου ἐν τοῖς Λυμπιδαρίου, καὶ τρεῖς μὲν ἔμεινεν ἡμέρας ἐκεῖ. χειμώνων δ’ ἐξαισίων καὶ ὄμβρων ἐπιγενομένων, ὡς καὶ δύο τῶν στρατιωτῶν ὑπὸ ψύχους ἀποθανεῖν ἐν τῷ στρατοπέδῳ, ἐπεὶ περί τε εἰρήνης ἠλπίζετο μηδὲν ἔτι, ὅ, τε χειμὼν ἐπέκειτο σφοδρῶς, καὶ ἡ στρατιὰ τῶν πρὸς τὴν χρείαν ἠπόρει, οὐκ ἐπιτρεπόμενοι πρὸς τοῦ νέου βασιλέως τὴν χώραν κακοῦν, (ἦσαν δὲ τάγματα τεσσαράκοντα,) ἀναστρέψας ἦλθεν εἰς Διδυμότειχον, καὶ διέλυσε τὴν στρατιάν. ἔτι δὲ ἐστρατοπεδευμένου πρὸς Βυζαντίῳ, Βοησίλας ὁ τοῦ Μυσῶν βασιλέως ἀδελφὸς, τοῦ νέου βασιλέως ἀποστὰς, πρὸς τὸν πρεσβύτερον ηὐτομόλησεν. ὁ νέος δὲ βασιλεὺς μετὰ τὴν εἰς Διδυμότειχον ἄφιξιν ἐνόσησε ῥῖγος καθημερινὸν ἐν ἡμέραις τεσσαράκοντα ἐφεξῆς· τούτου δὲ πεπαυμένου, αἵματος ἄπιστόν τι χρῆμα διὰ τῶν μυκτήρων ἐῤῥύη ἐν ἡμέραις δυοκαίδεκα συνεχῶς. λωφήσαντος δὲ καὶ τούτου τοῦ κακοῦ, αὖθις ἐῤῥίγωσε τεταρταῖον ἐν ἑνὶ καὶ δέκα μησίν. [20]

1 135 ἀπὸ δὲ τοῦ τοιούτου κακοῦ τά τε σπλάγχνα καὶ ὁ σπλὴν κακῶς διατεθέντα, ἄχρι καὶ τελευτῆς αὐτοῦ τῆς κακώσεως οὐκ ἴσχυσαν ἀπαλλαγῆναι· ἀλλὰ πόνοις καὶ καθημερινοῖς γυμνασίοις μεθώδευε τὸ κακὸν ὅπως ἀναπνεῖν ἐᾠη. ὁ δέ γε πρεσβύτερος βασιλεὺς, καίτοι θαυμαζόμενος ἐπὶ συνέσει, καὶ δεινὸς δοκῶν ἐκ τῶν πραγμάτων συνεῖναι τὸ δέον, ὁρῶν τὸν ἔγγονον πλήθει τε στρατιᾶς καὶ προθυμίᾳ καὶ ἀνδρίᾳ τῇ πρὸς τὰς μάχας ὑπερέχοντα πολλῷ τῶν αὐτοῦ, καὶ δίκαιος ὢν προσδέξασθαι τὴν εἰρήνην, ἐπεὶ καὶ μετὰ καλοῦ τοῦ σχήματος ἐγίνετο, δεομένων

ἐκείνων· ὁ δὲ, ἐπιπολὺ μὲν ἠξίωσεν ἀποκρίσεως οὐδεμιᾶς τοὺς ἐπὶ τῇ εἰρήνῃ ἀφιγμένους πρέσβεις, χρόνου δὲ παρῳχηκότος πολλοῦ, ἀπέπεμψεν ἀπράκτους. ἐνῆγε δὲ αὐτὸν πρὸς τὸ μᾶλλον τὸν πόλεμον αἱρεῖσθαι μάλιστα μὲν καὶ ἡ τοῦ Συργιάννη ἄφιξις πρὸς αὐτὸν, μέγα τι καὶ ἀξιόλογον ὄντος προσδοκίμου πράττειν· οὐχ ἥκιστα δὲ καὶ τὰ νεωτερισθέντα ἐν τῇ Ῥοδόπῃ. ὁ γὰρ Παλαιολόγος Ἀνδρόνικος ὁ μέγας στρατοπεδάρχης παρὰ βασιλέως τοῦ νέου τῶν κατὰ τὴν Ῥοδόπην ἐπαρχιῶν Στενιμάχου καὶ Τζεπαίνης πόλεων καὶ τῶν ἄλλων φρουρίων οὐκ ὀλίγων ὄντων, καὶ τῆς ἐν αὐτοῖς στρατιᾶς πολλῆς τε καὶ μαχιμωτάτης οὔσης ἡγεμὼν ἀποσταλεὶς, τοὺς μὲν δώροις καὶ ὑποσχέσεσι πείσας, ἔστι δ' οὓς καὶ βιασάμενος, τῷ πρεσβυτέρῳ προσεποίησε βασιλεῖ. ὃ δὴ οὐ φαύλας ἐνεποίησεν αὐτῷ ἐλπίδας τοῦ περιγενήσεσθαι ἐν τῷ πολέμῳ. ἐν ᾧδε ὁ νέος βασιλεὺς ἐν τῷ Διδυμοτείχῳ διῆγε, τοῦ αὐτοῦ χειμῶνος ὁ Συργιάννης ἐξ Ἡρακλείας εἰς Βυζάντιον ἐλθὼν, καὶ τὴν στρατιὰν πᾶσαν παραλαβὼν, εἰς τὰς ἐπὶ Θρᾴκης ὑπηκόους τῷ νέῳ βασιλεῖ πόλεις ἐξῆλθε. [25]

1 136 καὶ πρῶτον μὲν εἰς Ἄπρω καὶ τὴν Γαρέλλαν, μὴ ἀποστῶσι δεδοικὼς πρὸς βασιλέα τὸν νέον, φρουρὰν ἀπέστειλε πεζὴν ἅμα καὶ ἱππικὴν, ὡς ἂν ἀντέχοιεν πρὸς τὰς ἐκ Διδυμοτείχου ἐφόδους. ἔπειτα εἰς Ῥαιδεστὸν ἐλθὼν, κατέσχεν αὐτὴν πείσας τοὺς φρουρούς· ἦν γὰρ περὶ τὰ τοιαῦτα δεινός. ἐκεῖθεν δὲ Βιζύην καταδραμὼν καὶ ληϊσάμενος τὰ περὶ αὐτὴν, ἦλθεν εἰς Σεργέντζιον, καὶ κατέσχε καὶ αὐτὸ προσχωρῆσαν. εἶτα εἰς Βυζάντιον ἐλθὼν καὶ διατρίψας ἡμέρας τινὰς, ἐξελθὼν αὖθις ἅμα τῇ στρατιᾷ, ἀπῆλθεν εἰς Σηλυβρίαν. μὴ προσδεξαμένων δὲ τῶν Σηλυβριανῶν, φρούριόν τι Σηλυβρίας ἐγγὺς, Σάκκους ὀνομαζόμενον, τῶν κατοικούντων γεωργῶν παραδόντων, κατέσχε· στρατιὰν δὲ ἐκεῖσε καταλιπὼν ὥστε τὰ Σηλυβριανῶν ἐπεκδρομαῖς κακοῦν, εἰς Βυζάντιον ἐπανῆλθεν. ἐκάκωσε δὲ Σηλυβριανοὺς ὁ ἐκ τῶν Σάκκων πόλεμος ἐς τὰ μάλιστα λαθραίαις τε καὶ φανεραῖς ἐφόδοις. καὶ ὁ χειμὼν ἐν τούτοις ἐτελεύτα πέμπτης ἰνδικτιῶνος. ἄρτι δ' ἔαρος ἀρχομένου, περὶ τὰς ἀρχὰς Μαρτίου μηνὸς, γράμματα παρὰ τοῦ νέου πέμπονται βασιλέως πρὸς τὰς ὑπ' αὐτὸν ἐπαρχίας, κελεύοντα τὴν στρατιὰν εἰς Διδυμότειχον ἄχρι πεντεκαιδεκάτης αὐτοῦ παρεῖναι. καὶ πάντες ἐν ᾗ παρῆσαν ἐπετάχθησαν ἡμέρᾳ. κη'. Ἀπορῶν δὲ χρημάτων, οἷς ἂν θεραπεύσειε τὸ μισθοφορικὸν ὁ βασιλεὺς· (τὰ γὰρ δημόσια οὐκ ἐπράχθησαν, ἅμα μὲν διὰ τὴν ἐκ τοῦ πολέμου ταραχὴν, ἅμα δ' ὅτι καὶ οἱ γεωργοὶ, ἐξ ὧν μάλιστα οἱ φόροι πράττονται, τῶν ἰδίων ἀνέστησαν κωμῶν, τῶν τε παρὰ τοῦ πρεσβυτέρου βασιλέως στρατιωτῶν ληϊζομένων, καὶ τῶν παρὰ τοῦ νέου πρὸς φυλακὴν ἐκπεμπομένων ἀγόντων τὰ αὐτῶν καὶ φερόντων πλεονεξίᾳ στρατιωτικῇ, καὶ οὐδὲν ἄμεινον διατιθέντων τῶν πολεμίων,) ἠνιᾶτο καὶ κατετρίβετο φροντίσιν, ὅθεν ἂν εὐπορήσειε χρημάτων σκοπῶν. [5]

1 137 ὁρῶν δὲ αὐτὸν ὁ μέγας δομέστικος σύννουν, τὴν δὲ αἰτίαν ἀγνοῶν, ἤρετο ἀνθ' ὅτου φροντίζοι. τοῦ δὲ τὴν ἀπορίαν τῶν χρημάτων εἰπόντος διὰ τὸ μὴ τὰ δημόσια εἰσπεπρᾶχθαι, καὶ τὴν εἰς τὴν στρατιὰν ἀπαραίτητον τῶν ἀναλωμάτων χρείαν· „ἀλλ' ἔγωγε“ ὁ μέγας δομέστικος εἶπε“ τὴν τοιαύτην ἀπορίαν τῶν χρημάτων σαφῶς εἰδὼς, ἅμα τῷ σὲ τὰ γράμματα ἐκπεπομφέναι ἀθροίζεσθαι κελεύοντα τὴν στρατιὰν, καὶ χρήματα ἐκ τῶν ἰδίων συνεπορισάμην ἀρκέσοντα πρὸς τὴν χρείαν. καὶ οὐδέν ἐστιν ἐνδέον ἔτι, ἢ τῶν στρατιωτῶν ἕκαστον τὸν ἀποτεταγμένον ἀριθμὸν τῆς μισθοφορᾶς ἐρχόμενον λαμβάνειν. ὃ δὴ καὶ γενήσεται εἰς δευτέραν ἢ καὶ τρίτην ἡμέραν, καὶ τούτου γε ἕνεκα φρόντιζε μηδέν.“ ὁ βασιλεὺς δὲ „τῆς μὲν εἰς ἐμέ σου“ εἴρηκεν „ἀγάπης ἕνεκα οὐδὲν χρὴ λέγειν, ὅσα τις ἂν εἴποι πάντων ἐλαττόνων ἐσομένων. δυσχεραίνω δ' οὐ μετρίως καὶ πρὸς τοῦτο, ὅσα τε τῶν ἰδίων ἐξ ὅτου πρὸς Ἀδριανούπολιν ἤλθομεν, εἰς τὰς κοινὰς χρείας ἐξαναλώσας σκοπῶν, καὶ ἃ νῦν ἐξαναλώσεις οὐκ ὀλίγας ἐσόμενα χρυσίου μυριάδας, ὡς καὶ αὐτὸς οἶδα σαφῶς. [20]

1 138

διὸ καὶ τῆς ἀπορίας οὐχ ἧσσον τῶν χρημάτων τὸ ἐν τοσούτοις σε χρήμασι ζημιοῦσθαι καθικνεῖταί μου τῆς ψυχῆς.“ παροῦσα δὲ αὐτοῖς διαλεγομένοις καὶ ἡ τοῦ μεγάλου δομεστίκου μήτηρ ἡ Παλαιολογίνα Θεοδώρα· „ἀλλ᾽ ἔγωγε“ εἶπεν „οὐ ζημίαν ἥγημαι τὸ ἀναλίσκειν ἐν τοῖς τοιούτοις, ἀλλὰ πάντων κερδῶν λυσιτελέστατόν τε ἅμα καὶ σωφρονέστατον. εἰ γὰρ λύτρον ψυχῆς ἀνδρὸς ὁ ἴδιος πλοῦτος, ἄν θ᾽ ὑπὲρ τῶν ἰδίων τις ἁμαρτημάτων, ἄν θ᾽ ὑπὲρ τοῦ ζῆν ἀναλώσῃ, οὐ ζημίαν τὴν δαπάνην, ἀλλὰ κέρδος ἡγεῖσθαι χρή· ἄλλως τε καὶ τῶν ἱερῶν διδασκόντων λογίων, ὡς, ὅπου ὁ θησαυρὸς ὑμῶν, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν, παρὰ σοὶ, βασιλεῦ, ἐπειδὴ σὺ θησαυρὸς αὐτοῦ, καὶ ἡ καρδία τοῦ μεγάλου δομεστίκου ἔσται. τούτου δὲ ὄντος ἀληθοῦς, τῶν ἄλλων πάντων χρημάτων ὡς οὐδενῶν καταφρονήσει. καὶ χωρὶς δὲ τουτωνὶ, ἂν φειδόμενοι τῶν χρημάτων κινδυνεύσητε περὶ τὸ ζῆν, οὐκ εὔδηλον, ὅτι, θανόντων ὑμῶν ἀτίμως, παρ᾽ ἄλλοις ἔσται τὰ χρήματα, ἴσως δὲ καὶ πολεμιωτάτοις; φείδεσθε τοιγαροῦν μήτε σωμάτων μήτε χρημάτων, ἄχρις ἂν τὸν κινηθέντα πόλεμον ᾖ λυσιτελεῖ διάθησθε ὑμῖν. κθ′. Ἐπὶ τούτοις αὐτῇ χάριτας ὁμολογήσας ὁ βασιλεὺς, ἐξελθὼν ἐβουλεύετο μετὰ τῶν ἐν τέλει, εἰ χρὴ πρότερον ἐπὶ Ἄπρω καὶ Γαρέλλαν, ἢ ἐπὶ τὰς ἀφεστηκυίας ποῤῥωτέρω τῶν πόλεων ἐλθεῖν· ὡς τῶν μὲν ἀπωτέρω τὴν μὲν βλάβην ἥσσονα παρεχομένων, εὐαλωτοτέρων δέ· τῶν δὲ μετὰ τοῦ μᾶλλον βλάπτειν καὶ καρτερωτάτων ἀπό τε τῆς τῶν τειχῶν κατασκευῆς καὶ τῆς ἐγκαθιδρυμένης δυνάμεως οὐσῶν. [20]

1 139 ἐδόκει δὴ ἐπὶ Ἄπρω ἐλθεῖν πρῶτον. καὶ ἅραντες ἐκ Διδυμοτείχου, ἐπεὶ πάντα παρεσκεύαστο, καὶ πρὸς τὸ μισθοφορικὸν τὸ χρυσίον διενεμήθη, ἦλθον ἐπὶ Ἄπρω. στρατοπεδευσαμένων δὲ ἐκεῖ, πέμψας ὁ βασιλεὺς ἠσπάζετο τοὺς ἐπὶ τῶν τειχῶν, καὶ πρὸς τὸ μάχης χωρὶς αὐτῷ ἐπεχείρει παραδιδόναι τὸ πόλισμα πείθειν, οὔτε ἡμαρτηκέναι φάσκων αὐτοὺς οὐδὲν, οὔτε αὐτὸν ὀργίζεσθαι πρὸς αὐτοὺς, ἀλλὰ τὴν αἰτίαν τῆς ἀποστασίας ἐπὶ τὸν βίᾳ κατασχόντα, οὐκ ἐπ᾽ αὐτοὺς εἶναι τοὺς ἠναγκασμένους. διόπερ καὶ εἰ προσχωρήσαιεν ἁμαχεὶ, πολλαῖς εὐεργεσίαις ἀμείβεσθαι εἶναι δίκαιος. οἱ δ᾽ ἐπὶ τοῦ τείχους εὐθὺς οὐδ᾽ ὅλους ἀναμείναντες ἀκοῦσαι τοὺς παρὰ βασιλέως λόγους, κακῶς τε ἔφασκον ἥκειν αὐτὸν, καὶ τοὺς ἀπάτης γέμοντας τουτουσὶ λόγους οὐκ ἐκείνοις, οὔτε δεδοικόσιν οὔτε πρὸς ἀπάτην οὖσιν εὐκόλοις, ἀλλ᾽ ἑτέροις μᾶλλον προσήκειν λέγειν· αὐτοὶ δὲ τῷ τε πεπιστευκότι τὴν πίστιν τηρήσειν, καὶ τὸ φρούριον φυλάξειν ἀσφαλῶς. ὁ βασιλεὺς δ᾽ αὖθις πέμψας ἑτέρους, μὴ τὸ κακῶς παθεῖν συνεβούλευεν ἑλέσθαι μᾶλλον ἐξ ἀβουλίας, ἐνὸν ἔξω τε κινδύνων εἶναι καὶ παθεῖν εὖ. τῶν δὲ ὑβριστικῶς ἀποκριναμένων, καὶ λίθοις καὶ βέλεσι τοὺς ἀπεσταλμένους βαλόντων, ἕτερόν τε μηδένα πρὸς αὐτοὺς ἥκειν παραγγειλάντων, ὡς αὐτὸν ἀποκτενούντων, ἐπεὶ μὴ λόγοις ἑώρα πείθειν δυνατὸς ὢν ὁ βασιλεὺς, κλίμακας ἐκέλευσεν ἑτοιμασθῆναι, ἐς τὴν ὑστεραίαν ἐσομένης τειχομαχίας. [25]

1 140 ὁρῶντες δὲ οἱ ἀπὸ τοῦ τείχους τὰς κλίμακας κατασκευαζομένας, ὡς ἀνηνύτοις ἐπιχειρούντων κατεγέλων, οὐ μόνον τῇ ἀσφαλείᾳ τῶν τειχῶν, ἀλλὰ καὶ τῷ πλήθει τῶν στρατιωτῶν οἰόμενοι περιγενήσεσθαι τοῦ πολέμου. ἦσαν γὰρ οἵ τε ἐκ Βυζαντίου κατὰ συμμαχίαν ἀφιγμένοι, ἱππεῖς μὲν εἴκοσι καὶ διακόσιοι, καὶ πεζοὶ τοξόται τούτων εἴκοσιν ἐλάσσους ἀγαθοὶ τοξεύειν, ὁπλῖταί τε οἱ ἐκ μηχανῶν ἀφιέντες βέλη τριάκοντα, ἐξ ὧν εἷς ἐπὶ τῷ εὐστόχως τῶν ἄλλων μᾶλλον διαβεβόητο βάλλειν· ἐγχώριοί τε ἱππεῖς ἑκατὸν ὡπλισμένοι, τοξόται τε οὐκ ὀλίγοι καὶ σφενδονῆται, οὐ μόνον ἐγχώριοι, ἀλλὰ καὶ τῶν περιοίκων πλεῖστοι διὰ τὸν πόλεμον συνελθόντες· καὶ γυμνητεία πολλή. οἷς ἐθάῤῥουν, εἰ μήτι ἄλλο, τὸ γοῦν ἁλῶναι ῥᾳδίως διαφυγεῖν. ἅμα δὲ πρωῒ εἰς τὴν ὑστεραίαν οἵ τε ἔξωθεν καὶ οἱ ἀπὸ τῶν τειχῶν παρετάττοντο πρὸς μάχην. καὶ γενομένης καρτερωτάτης τειχομαχίας, μέχρι μὲν ἑβδόμης ὥρας ἀντέσχον οἱ ἀπὸ τῶν τειχῶν ἀμυνόμενοι προθύμως· ἔπειτα οἱ τοῦ νέου βασιλέως ἀνδρίᾳ τε καὶ τόλμῃ τῶν ἀντιτεταγμένων ὑπερσχόντες καὶ τὰς κλίμακας τοῖς τείχεσι προσερείσαντες, τὸ πόλισμα εἷλον

καὶ διήρπασαν αὐτό. δείσας δὲ ὁ βασιλεὺς, μὴ, πάντων χρημάτων διαφθαρέντων, ἀνάστατος γένηται ὁ Ἄπρως, ἐκέλευσε τοὺς καρποὺς μὴ διαφθείρειν, ὅπως ἔχοντες ἀφορμὰς οἱ Ἄπριοι τοῦ ζῆν, μὴ ἐκλίπωσι τὸ ἄστυ. ἀπέθανον μέντοι ἐν τῇ τειχομαχίᾳ πλὴν ἑνὸς ὁπλίτου τῶν ἐκ Βυζαντίου ἐξ ἑκατέρων μερῶν οὐδεὶς, καὶ τούτου μετὰ τὴν μάχην ὑπὸ Λατίνου τινὸς ἀποκτανθέντος, ὅτι αὐτός τε καὶ πλείους ἕτεροι ἐτραυματίσθησαν ὑπ' αὐτοῦ· τραυματίαι δ' ἐγένοντο καὶ ἑκατέρωθεν οὐκ ὀλίγοι. [20]

1 141 τούς τε ἐκ Βυζαντίου ἱππέας τε καὶ πεζοὺς δήσαντες οἱ στρατιῶται εἶχον· εἰς τρίτην δὲ ἡμέραν τοὺς αἰχμαλώτους στρατιώτας ὁ βασιλεὺς κελεύσας αὐτῷ παραστῆναι, διείλεκται οὕτως· „οὔτε συνετῶς οὔτε συμφερόντως πεπράχατε ὑμῖν αὐτοῖς ὑφ' ἡμῶν προσαγορευόμενοι φιλίως, εἰς λοιδορίας αὐτοὶ τραπόμενοι καὶ ὕβρεις. τὸ μὲν γὰρ μὴ καταπλήττεσθαι τοὺς ἐπιόντας ἀλλ' ἐγκαρτερεῖν ἀμυνομένους, ἀνδρίας ἄν τις τιθείη· τὸ δὲ ὑβρίζειν τε καὶ κομπάζειν ἀπὸ τῶν τειχῶν, καὶ θράσους καὶ παρανοίας. διὸ καὶ συμβουλεύσαιμι ἂν ὑμῖν, εἴγε πείθησθε, ἀνδρίᾳ μὲν καὶ τόλμῃ καὶ χειρὸς ἔργοις ἀνθίστασθαι τοῖς πολεμοῦσι, λόγοις δὲ σωφρονεῖν. οὐ γὰρ ἡ ἀπὸ τῶν λόγων ἀκολασία, ἡ διὰ τῶν ἔργων δὲ ἐμπειρία καταπλήττει τοὺς ἐπιόντας. δοριαλώτους μὲν οὖν γενομένους ὑμᾶς, ᾗ βουλοίμεθα ἔξεστι χρῆσθαι νόμῳ πολέμου· ἐγὼ δὲ οὐκ ἐπὶ κακῷ τῶν Ῥωμαίων στρατεύων, ἀφίημι ἐλευθέρους. εἰ μὲν οὖν ὑπ' ἐμοὶ στρατεύεσθαι βούλεσθε, προνοίας τε ἀξιώσω τῆς προσηκούσης, καὶ τοῖς οἰκειοτάτοις ἐντάξω· εἰ δ' οἴκαδε ἀπελθεῖν, καὶ οὕτως εὖ ποιήσας ἀποπέμψω." Προσκυνήσαντες δὲ οἱ στρατιῶται καὶ τῆς εὐεργεσίας χάριν εὐφημήσαντες πολλὰ, καιρὸν ἐξῄτησαν εἰς διάσκεψιν. διασκεψάμενοι δὲ, τῶν ἱππέων μὲν ἔμειναν ὀλίγοι, τῶν πλειόνων ἀπελθόντων· οἱ πεζοὶ δὲ πλὴν ὀλίγων ἅπαντες εἵλοντο δουλεύειν τῷ βασιλεῖ. [20]

1 142 οἷς καὶ μισθὸν ἐτήσιον τάξας, ἐνέγραψε τοῖς οἰκέταις· τοὺς δ' ἀπελθόντας ἐφωδίασε χρυσίῳ. ὁρῶν δὲ τὸν ἄλλον ὅμιλον τῶν Ἀπρίων, ἄνδρας ὁμοῦ καὶ γυναῖκας καὶ παῖδας γυμνοὺς καὶ ἀπόρους περιϊόντας καὶ ὀλοφυρομένους τὴν ἀποστέρησιν τῶν ὄντων, τοὺς λογάδας τῆς στρατιᾶς πάντας καὶ τοὺς ἐν τέλει συναγαγὼν, „δίκαιόν ἐστιν" ἔφη „πολλοῖς καὶ μεγάλοις σήμερον εὐηργετηκότος ἡμᾶς τοῦ θεοῦ, καὶ αὐτοὺς ἀξίους τῆς εὐεργεσίας φανῆναι. τὸ γὰρ μήτε τὴν ἐγκαθεστῶσαν πολλήν τε καὶ ἀξιόμαχον οὖσαν στρατιὰν, μήτε τὴν ἀσφάλειαν καὶ τὸ ὕψος τῶν τειχῶν, μήτ' ἄλλο μηδὲν ἐμπόδιον ἡμῖν γενέσθαι πρὸς τὸ μὴ τοὺς αὐθάδεις τουτουσὶ τιμωρήσασθαι καὶ ὑβριστὰς, οὐκ ἄλλου τινὸς ἢ τῆς τοῦ κρείττονος εὐεργεσίας ἄν τις λογίζοιτο δικαίως· τὸ δ' αὖθις ἐν οὕτω καρτερᾷ τειχομαχίᾳ καὶ ἁλώσει πόλεως μήτε ἡμῶν τινὰς, ὅπερ ἦν εἰκὸς, ἀποθανεῖν, μήτε τῶν ἑαλωκότων ἀποκτείναντας ὁμοφύλοις αἵμασι χρανθῆναι, τῆς πολλῆς περὶ ἡμᾶς προνοίας καὶ κηδεμονίας τοῦ θεοῦ. χρὴ τοιγαροῦν καὶ ἡμᾶς νικήσαντας ἐπικαμφθῆναι ταῖς συμφοραῖς τῶν ἀτυχησάντων, (πρὸς μὲν γὰρ τοὺς βαρβάρους ἄχρι παντὸς πολεμεῖν δεῖ· πρὸς δὲ τοὺς ὁμοφύλους ἄχρι τοῦ κρείττονος,) καὶ μεταδοῦναι ἕκαστον ἐκ τῶν λαφύρων καθ' ὅσον ἂν αἱροῖτο τοῖς αἰχμαλώτοις. τρία γὰρ τὰ μέγιστα κερδανεῖτε· θεόν τε ἵλεων ἑαυτοῖς προπαρασκευασάμενοι, τὸν εἰς τοὺς ἀτυχοῦντας ἔλεον οἰκειούμενον καὶ τῇδέ τε πολλαπλασίοσι καὶ ἀπαλλάξαντας τοῦ βίου ἐπαγγελλόμενον ἀμείβεσθαι· καὶ τὴν ἡμετέραν εὐμένειαν προσκτώμενοι, περὶ πλείστου ποιουμένου τὴν εὐεργεσίαν τῶν αἰχμαλώτων· καὶ τρίτον ὑμῖν ἑαυτοῖς ἀνδρίας ἅμα καὶ μεγαλοψυχίας δόξαν περιποιούμενοι, ἀνδρίᾳ νικήσαντες τοὺς ἀντιτεταγμένους, ἐλευθερίᾳ δὲ γνώμης καὶ μεγαλοψυχίᾳ οὐχ ὡς πολεμίοις, ἀλλ' ὡς ὁμοφύλοις καὶ ἀτυχοῦσι τὴν δυνατὴν πρόνοιαν εἰσενεγκόντες. [5]

1 143 " τοιαῦτα παραινέσαντος τοῦ βασιλέως, οὕτω διετέθησαν ἡ στρατιὰ, ὡς πάντας μὲν ἐκ τῶν λαφύρων μεταδοῦναι τοῖς Ἀπρίοις· ὅσοι δὲ καὶ πρὸς τὸ ἀγαθοεργεῖν ἐφιλοτιμοῦντο, τοὺς δεσπότας ἀνερευνήσαντες τῶν παρ' αὐτοῖς λαφύρων, ἀπέδοσαν πάντα, μηδενὸς ἀποστερήσαντες. λ'. Ἓξ δὲ ἡμέραις μετὰ τὴν ἅλωσιν ἐνστρατοπεδευσάμενοι Ἄπρῳ, τῇ ἑβδόμῃ

ἄραντες ἐστρατοπέδευσαν ἐν Γαρέλλῃ οἱ ταύτην δὲ οἰκοῦντες, εἴτε καὶ εὐνοϊκῶς διακείμενοι πρὸς τὸν νέον βασιλέα, εἴτε καὶ παρὰ τῶν Ἀπρίων διδαχθέντες σωφρονεῖν, ἅμα τῷ προσκληθῆναι προσεχώρησαν τῷ νέῳ βασιλεῖ καὶ παρέδοσαν ἑαυτοὺς ἀμαχεί. πολλαῖς δὲ ἀμειψάμενος αὐτοὺς ὁ βασιλεὺς εὐεργεσίαις, ἄρας ἐκεῖθεν, ἦλθεν εἰς Ῥαιδεστόν. προσχωρησάντων δὲ καὶ Ῥαιδεστηνῶν, ἐπεὶ καὶ πρὸς αὐτοὺς τὴν εἰς τὸ εὐποιεῖν ἐπεδείξατο φιλοτιμίαν, ἦλθεν εἰς Σεργέντζιον· προσχωρήσαντος δὲ καὶ αὐτοῦ, τὴν πρὸς Σηλυβρίαν ᾔει, Σηλυβριανοὺς ὧν ἕνεκα τῆς εἰς αὐτὸν εὐνοίας παρὰ τῆς ἐκ Βυζαντίου στρατιᾶς ἐζημίωνται τοῦ χειμῶνος τὴν χώραν κατατρεχόντων, εὐεργεσίαις καὶ εὐχαριστίαις ἀμειψόμενος. [25]

1 144 ἐγγὺς δὲ Σηλυβρίας γενομένοις ἔδοξε καταβάντας τῶν ἵππων διαναπαύσασθαι μικρόν. στρατοπεδεύονται δὴ παρὰ τῷ φρουρίῳ Σάκκων, πολεμίῳ μὲν ὄντι διὰ τὸ Συργιάννῃ μὲν προσχωρῆσαι, καὶ τοὺς ἐκ Βυζαντίου στρατιώτας ἐπὶ τῷ Σηλυβριανοὺς ὑπερδέχεσθαι κατατρέχειν· καταφρονουμένῳ δὲ ἄλλως διά τε τὴν ὀλιγότητα καὶ ἀπειρίαν τῶν ἐνοικούντων, (ἀγρόται γὰρ ἦσαν πάντες γηπόνοι,) καὶ τὴν φαυλότητα τῶν τειχῶν. οἱ δ' ἐν αὐτῷ τῷ φρουρίῳ ἐγκεκλεισμένοι, ὥσπερ ἀγνοήσαντες ἑαυτοὺς καὶ τῶν περικειμένων ὡς οὐδενῶν καταφρονοῦντες, ὕβριζόν τε ἀπὸ τοῦ τείχους καὶ πολλὰς κατέχεον λοιδορίας καὶ βασιλέως καὶ τῶν συνόντων. γελάσας δὲ ἐφ' οἷς ὑβρίζετο ὁ βασιλεὺς, εἰ οἶνος εἴη πολὺς παρ' αὐτοῖς, ἐπυνθάνετο τῶν παρόντων· τῶν δὲ οὐδ' ἀρκούντως εὐπορεῖν ὕδατος ἀποκριναμένων, „οὐκοῦν" ἔφη „τῶν μελαγχολᾷν ποιουσῶν ἐνεπλήσθησαν βοτανῶν." κελεύσας δὲ αὐτοῖς τινα παραινέσαι καὶ σωφρονεῖν καὶ σιγᾷν, αὐτὸς ἅμα τοῖς ἄρχουσι πρὸς ἐπίσκεψιν ἐξῄεσαν τῶν σκοπῶν. οἱ δὲ δυστυχεῖς ἐκεῖνοι Σάκκιοι οὐδὲν μᾶλλον ὑφίεσαν τῶν ὕβρεων καὶ τῶν φωνῶν, ἀλλ' ἐχρῶντο πάσῃ δυνάμει. τὸ δὲ τῶν στρατιωτῶν οἰκετικὸν πρὸς τὴν ὑπερβολὴν τῶν ὕβρεων ἀχθεσθέντες, αὐτοῖς ἠξίουν τοὺς δεσπότας ἐπιτρέψαι τὸ ἔργον. ἐπιτρεψάντων δὲ αὐτῶν, ἐπιδραμόντες εἶλον αὐτοβοεί, πανταχόθεν ὑπερβάντες τὸ τεῖχος, (ἦν γὰρ εὐάλωτον,) τοῖς προστυχοῦσι χρησάμενοι ξύλοις ἀντὶ κλιμάκων, καὶ πρὸς διαρπαγὴν ἐτράποντο τῶν ἔνδον. [20]

1 145 εἴσω δὲ μιᾶς οἰκίας ἀνημμένου πυρὸς, ἀνελθόντων ἐπ' αὐτὴν πολλῶν, κατέπεσε τὸ τέγος ἐπὶ τοῦ πυρός· ἐκ χόρτων δὲ ξηρῶν οὔσης ἐστεγασμένης, φλὸξ ἀνήφθη παραχρῆμα λαμπρὰ, εὐθὺς δὲ προσεπελάβετο καὶ τῶν ἄλλων· ἦσαν γὰρ ὁμοίως αὐτῇ κατεσκευασμέναι. πύλης δὲ οὔσης τῷ φρουρίῳ μιᾶς, ἐπεὶ καὶ αὐτὴ διὰ τὸν φόβον παρὰ τῶν ἐνοικούντων ἀπῳκοδομήθη, ἄλλως θ' ὅτι καὶ ἡ πρώτως ἀναφθεῖσα οἰκία παρ' αὐτῇ ἦν, οἱ μὲν τῶν εἰσελθόντων, ἅμα δὲ καὶ τῶν ἐποίκων τοῦ χωρίου ὡς εἶχον ἐπὶ τὸ τεῖχος ἀνελθόντες, ἐξέπιπτον ῥίπτοντες ἑαυτοὺς ἡμιφλεγεῖς· οἱ δὲ ἅμα τοῖς κατοικοῦσι τὸ χωρίον ἀνθρώποις τε καὶ κτήνεσιν ὑπὸ τοῦ πυρὸς ἐναπειλημμένοι, οὐκ ἔχοντες ὅ, τι χρήσωνται, πρὸς ὁλοφυρμοὺς ἐτράποντο καὶ οἰμωγάς. καὶ ἦν δακρύων ἄξιον τὸ γινόμενον, ἀνθρώπων ὁμοῦ καὶ βοσκημάτων ἐπὶ τῇ καύσει βοώντων τε καὶ ὀλοφυρομένων. ἡ στρατιὰ δὲ πᾶσα καὶ βασιλεὺς αὐτὸς ἅμα τοῖς ἐν τέλει τῶν ἄλλων ἀμελήσαντες, περιέστησαν τὸ φρούριον προθυμούμενοι βοηθεῖν, μὴ δυνάμενοι δὲ, (πάντων γὰρ ἤδη ἐπελάβετο τὸ πῦρ,) εἰς θρήνους ὑπὸ συμπαθείας ἐτράπησαν καὶ αὐτοί. ἀνάλωνται δὲ ὑπὸ τοῦ πυρὸς ἀπὸ μὲν τῶν ἔξωθεν εἰσελθόντων ἕξ· γυναῖκες δὲ καὶ παῖδες καὶ οἱ ἔξωροι τῶν τὸ χωρίον κατοικούντων τρεῖς καὶ εἴκοσι καὶ ἑκατόν· καὶ βοσκήματα καὶ ἡ ἄλλη περιουσία ὅσα ἦν. ἐλύπησε μὲν οὖν οὐ μετρίως τὸ τοιοῦτον πάθημα τὸν βασιλέα· ἀναστὰς δὲ ἐκεῖθεν ἦλθεν εἰς Σηλυβρίαν· καὶ ὧν ἕνεκα ἦλθε διαπραξάμενος ἐκεῖ, ἐπανέζευξεν εἰς Χαριούπολιν, καὶ διέλυσε τὴν στρατιὰν πλὴν χιλίων, οὓς ἐπέταξεν αὐτῷ συνεῖναι, ἐν ἡμέραις ῥηταῖς κελεύσας πάλιν ἀκλήτους πρὸς αὐτὸν ἐπανελθεῖν. [20]

1 146 ὁ μέντοι τῶν κατὰ τὴν Ῥοδόπην ἐπαρχιῶν στρατηγὸς Παλαιολόγος ὁ μέγας στρατοπεδάρχης τὰς ὑπ' αὐτὸν πάσας πόλεις καὶ τὴν στρατιὰν, ὥσπερ ἔφημεν, ἀπὸ τοῦ νέου βασιλέως πρὸς τὸν

πρεσβύτερον ἀποστήσας, πάντων μὲν ἴσχυσε καὶ τὰς γνώμας παραστήσασθαι καὶ τῷ πρεσβυτέρῳ βασιλεῖ πεῖσαι προσέχειν· ἕνα δὲ τῶν ἀπὸ τοῦ Δακικοῦ γένους νομάδα Συρμπάνον ὠνομασμένον τῶν ὄντων ἀποστερήσας, ὅτι τῷ νέῳ προσέκειτο βασιλεῖ, πολλαῖς τε αἰκίαις ὑποβαλὼν, δύο τε τῶν ὀδόντων ἐκριζώσας καὶ τὴν παρειὰν κατακαύσας σιδήρῳ, ὡς οὐκ ἴσχυσεν ἀποστῆσαι τοῦ νέου βασιλέως, καθείρξας εἶχεν ὑπὸ κλοιοῖς. οὗτος δὴ τοῦ δεσμωτηρίου τότε διαδρὰς, καὶ πολλοὺς ἑτέρους προσεταιρισάμενος νομάδας ψιλοὺς, καὶ τῇ παρὰ τοῦ νέου βασιλέως ἐνταυθοῖ πεμφθείσῃ τῷ Παλαιολόγῳ πολεμεῖν συμμίξας στρατιᾷ, ἐπέθετο τοῖς ἐν τῇ Ῥοδόπῃ. ὁρῶντες δὲ οἱ ἐν ταῖς πόλεσι τούς τε ἀγρότας ἐκπολεμωθέντας αὐτοῖς ὁμοῦ πάντας καὶ τὴν στρατιὰν ἐπικειμένην, καὶ δείσαντες μὴ καὶ τῶν ἔνδον ἀπόλωνται στασιασάντων, μεταβαλόντες προσέθεντο τῷ νέῳ βασιλεῖ. καὶ δήσαντες τὸν στρατηγὸν εἶχον ἐν φρουρᾷ, ἄχρις ἂν ὁ βασιλεὺς πυθόμενος περὶ αὐτοῦ ψῆφον ἐνέγκῃ. αὐτοὶ δ' ἅμα Συρμπάνῳ ἦκον ὡς βασιλέα, οἱ μὲν ἀπολῃψόμενοι γέρα τῆς εἰς αὐτὸν ἐννοίας· ὅσοι δ' ἦσαν πρότερον τῷ πρεσβυτέρῳ προστεθειμένοι βασιλεῖ, ἐξαιτήσοντες συγγνώμην. [20]

1 147 ὁ βασιλεὺς δὲ τῶν μὲν ἀφεστηκότων καθαψάμενος μετρίως ὡς ἀγνωμόνων περὶ αὐτὸν εὖ δράσαντα φανέντων, παραγγείλας τε μὴ εὐχερεῖς ἔτι πρὸς τὰς ἀποστασίας καὶ τὰς παραβάσεις τῶν ὅρκων εἶναι, αὐτός τε ἀμνηστήσειν ὧν αὐτοῖς ἡμάρτηται εἰπὼν, ἠξίωσε συγγνώμης· μετὰ μικρὸν δὲ καὶ εὖ ποιήσας, οἴκαδε ἐπέταξεν ἀπιέναι. τοὺς δὲ τῇ εἰς αὐτὸν ἐμμείναντας πίστει ἐπαινέσας τε ἅμα καὶ δωρεαῖς ἀμειψάμενος ἀξίως, ἐξαπέστειλε μὲν αὐτοὺς, στρατηγὸν αὐτοῖς ἐπιστήσας τὸν Ταρχανειώτην δομέστικον, ᾧ ἐπετέτραπτο τὸν μέγαν στρατοπεδάρχην δεσμώτην ὡς βασιλέα ἀποστεῖλαι. εἰς τὴν ὑστεραίαν δὲ ὁ Συρμπάνος ἐπὶ τοῦ βασιλέως ἑστηκὼς, ἐδόκει βούλεσθαί τι πρὸς βασιλέα εἰπεῖν. συνεὶς δὲ ὁ βασιλεὺς, εἴ τι βούλοιτο ἐκέλευε λέγειν. ὁ δ' ἅμα τῷ προσταχθῆναι πρὸς τοὔδαφος ἑαυτὸν καταβαλὼν, συγγνώμης ᾔτει τυχεῖν, εἰ συβώτης ὢν καὶ βάρβαρος καὶ ἀγροῖκος, ἐτόλμησε φθέγξασθαί τι πρὸς βασιλέα. τοῦ βασιλέως δὲ προστάξαντος λέγειν δεδοικότα μηδὲν, ὑπὲρ τοῦ μεγάλου ἐδεῖτο στρατοπεδάρχου, ὥστε καὶ αὐτὸν ἐφ' οἷς εἰς βασιλέα ἥμαρτε, τοὺς κατὰ τὴν Ῥοδόπην ἀποστήσας, τυχεῖν συγγνώμης. τοῦ βασιλέως δὲ ἐρομένου, εἰ πρὸς εἰρωνείαν ἢ πρὸς ἀλήθειαν τυχεῖν δεῖται· ὁ δ' ἔφασκε, πρὸς ἀλήθειαν, καὶ ὅρκον προσετίθει πίστεως χάριν· δέον δ' εἶναι, εἴ τι καὶ ἥμαρτε, προσήκοντα πρὸς γένους ἀξιῶσαι συγγνώμης. „ἐπιλέλησαι δ'" εἴρηκεν αὖθις ὁ βασιλεὺς „ὅσα σε εἴργασται κακὰ, ἀποστερήσας μὲν τῶν ὄντων καὶ παίδων καὶ γυναικὸς, ἔτι δὲ καὶ ὀδόντων αὐτῶν, πολλαῖς τε αἰκίαις καταξάνας τὸ σῶμα, καὶ τέλος ὥσπερ τινὰ τῶν ἐπὶ δεινοτάτοις ἑαλωκότων τὴν παρειὰν κατακαύσας σιδήρῳ ὡς μηδὲ τὰς οὐλὰς ἐξαλειφθῆναι δύνασθαι; ὅλως δὲ τί σε τὸ πεῖσάν ἐστιν ὑπὲρ ἐκείνου δεῖσθαι;" „τί δ' ἂν εἴη μεῖζον" ἔφασκεν „ὦ βασιλεῦ, ἢ τὸν οὔπω χθὲς καὶ πρώην ἐν τοῖς δουλεύουσιν ἐκείνῳ τεταγμένον, νῦν εἰς τοσοῦτον ἥκειν περιφανείας, θεοῦ καὶ σοῦ, βασιλεῦ, εὐηργετηκότος, ὡς καὶ τοὺς βασιλεῖ προσήκοντας κατὰ γένος ἐξαιτεῖσθαι δύνασθαι, καὶ τῶν προσδοκωμένων ἀπαλλάττειν κακῶν;" θαυμάσας δὲ ὁ βασιλεὺς τὴν ἐπὶ τοῖς κακοῖς ἀμνηστίαν τοῦ βαρβάρου, „εἰ σύγε" ἔφη „τοσαῦτα ὑπ' αὐτοῦ ἀδικηθεὶς καὶ κακῶς παθὼν, βάρβαρος ὢν καὶ φαῦλος τὴν τύχην, τοῖς ἐναντίοις ἀμείβῃ ὅσον ἔξεστι ποιῶν εὖ, οὐδ' ἐμὲ δίκαιον μετριώτερα ἀδικηθέντα, βασιλέα τε ὄντα, ἀπαραίτητον ὀφθῆναι πρὸς ὀργήν. [15]

1 148 τοίνυν καὶ τῆς σῆς ἱκετείας ἕνεκα τὰ ἡμαρτημένα παρορῶν, ἀξιῶ συγγνώμης." εὐχαριστήσας δὲ ὁ βάρβαρος ἐπὶ τούτοις, καὶ πολλάκις ἐπευφημήσας τὸν βασιλέα, καὶ δευτέραν δέησιν προσετίθει, τὸ τὸν αὐτὸν μήτε τῆς ἀξίας ἀποστερηθῆναι μήτε τῶν προσόδων καὶ τῶν δωρεῶν τῶν βασιλικῶν. ἔτι δὲ μᾶλλον τὴν ὑπὲρ τοῦ ἠδικηκότος σπουδὴν θαυμάσας ὁ βασιλεὺς, καὶ ταύτην τὴν δέησιν ἐπλήρου. ἔτι δὲ αὐτοῦ πρὸς τοὺς πόδας βασιλέως κειμένου, τὰ τῆς συγγνώμης γράμματα διαχαραχθέντα καὶ τῇ βασιλικῇ πιστωθέντα χειρὶ ἐπεδόθησαν αὐτῷ· ὁ δὲ λαβὼν καὶ τὴν γῆν κατασπασάμενος, ἐφ' ἧς ὁ βασιλεὺς εἱστήκει, χαίρων ἀπῆλθε. [25]

1 149 λα′. Τῆς αὐτῆς δὲ ἡμέρας ἐκ Θεσσαλονίκης ἄγγελος ἐλθὼν ἀπήγγειλε βασιλεῖ, ὡς στάσεως ἐν αὐτῇ γενομένης, οἱ τῷ νέῳ βασιλεῖ προσκείμενοι ὑπερσχόντες, Θεσσαλονίκην περιεποίησαν αὐτῷ· τὸν δεσπότην δὲ Κωνσταντῖνον εἰς τὸ περὶ αὐτὴν φροντιστήριον τὸ Χορταίτου διαδράντα, κατασχόντες ἔχουσιν ἐν φρουρᾷ. ὁ βασιλεὺς δὲ εὐθὺς τοὺς ἄξοντας αὐτὸν ἔπεμψεν εἰς Θεσσαλονίκην, ὅρκοις πρότερον αὐτοὺς κατασχὼν, ὡς οὔτ’ αὐτοὶ ἑκόντες, οὔθ’ ἑτέροις παραχωρήσουσι τὸν δεσπότην ἀποκτεῖναι. οἳ καὶ ἀπελθόντες ἤγαγον αὐτὸν εἰς Διδυμότειχον μοναχῶν ἠμφιεσμένον σχῆμα· περιεβάλετο δὲ αὐτὸ καὶ πρὶν αὐτοὺς εἰς Θεσσαλονίκην ἐλθεῖν δέει τοῦ μὴ ἀποθανεῖν. συνῆλθον δὲ αὐτοῖς πρὸς τὸν νέον βασιλέα τῶν Θεσσαλονικέων καὶ τῆς συγκλήτου καὶ τῆς στρατιᾶς πολλοὶ, καὶ ὁ τῆς κατ’ αὐτὴν ἐκκλησίας πρόεδρος Ἱερεμίας, καὶ Γεράσιμος ὁ τῆς κατὰ τὸ ἱερὸν ὄρος τὸν Ἄθω ἐξηγούμενος λαύρας. ἡ μέντοι περὶ τὸν νέον ἠθροισμένη βασιλέα στρατιὰ, ἀταξίᾳ στρατιωτικῇ χρησάμενοι, ὀλίγου δεῖν κατέκοψαν ἂν τὸν δεσπότην, εἰ μὴ αὐτὸς ἐῤῥύσατο παρὼν ὁ βασιλεύς· ἐκέλευσε δὲ εἰρχθῆναι. τισὶ δὲ ὕστερον ἡμέραις ὁ δεσπότης διά τινος ἐδεῖτο τοῦ νέου βασιλέως, ἅμα καὶ πολλὰς χάριτας ὁμολογῶν, ὅτι δι’ αὐτὸν οὐκ ἐτεθνήκει, ὡς ἐπεὶ καθ’ ὁποιονδήτινα τρόπον τὸ τῶν μοναστῶν περιεβάλετο σχῆμα, καὶ τὰ νενομισμένα ἐπ’ αὐτῷ τελεσθῆναι πάντα, ὡς ἂν μὴ δοκοίη βίᾳ, ἀλλ’ ἑκὼν περιβεβλῆσθαι. [20]

1 150 ὁ βασιλεὺς δὲ ὑποπτεύσας μὴ βίου μεταβολῆς ἐπιθυμίᾳ, ἀλλ’ ὅπως ἀπολυθείη μὴ εἴργεσθαι, τοιαῦτα αἰτεῖν, τὸν Θεσσαλονίκης πέμψας μητροπολίτην καὶ τὸν τῆς λαύρας ἐξηγούμενον Γεράσιμον, οὐχ ἁρμόζοντα αἰτεῖν αὐτὸν μεμήνυκεν ἐν τῷ παρόντι· τὸ μὲν γὰρ μὴ κακῶς ὑπὸ τῶν φρουρούντων πάσχειν, ἀλλ’ ἀναπαύλης ἀπολαύειν, ἐξέσται, τὸ δὲ ἀπολυθῆναι τῆς εἱρκτῆς, ἀδύνατον τὸ νῦν εἶναι· διὸ μηδὲ τοιαῦτα δεῖσθαι. ὁ δ’ ἔτι μᾶλλον ἐδεῖτο περὶ τῶν αὐτῶν, τῶν ἱερῶν ἐκείνων ἐπιλαβόμενος ἀνδρῶν, ὡς οὐ πρὸς ὑπόκρισιν, οὐδὲ πρὸς ἀνάγκην, ἀλλ’ ἀληθείᾳ μᾶλλον τὴν πρὸς τὸν τοιοῦτον βίον αἱρούμενος μεταβολήν. ἃ δὴ καὶ πυθόμενος παρ’ αὐτῶν ὁ βασιλεὺς, ἐπέτρεψεν ἃ βούλοιτο ποιεῖν περὶ αὐτοῦ. ἤχθησαν δὲ ἐπὶ τῶν αὐτῶν καιρῶν ἐκ Θεσσαλονίκης πρὸς βασιλέα δεσμῶται καὶ οἱ τὴν βασιλίδα Ξένην τὴν τούτου μητέρα, ὅπερ ἔφθημεν εἰπόντες, ἑλκύσαντες βίᾳ, ὅ, τε Παλαιολόγος Κωνσταντῖνος καὶ Ἰωάννης ὁ Ζαρίδης καὶ ὁ πρωταλλαγάτωρ Σεναχηρείμ. ὧν τοὺς μὲν δύο, βασιλέως προστεταχότος, ἐπὶ τῆς δημοσίας ἐθεάτρισαν ἀγορᾶς ἀφῃρημένους τὸ γένειον καὶ τὰς τρίχας τῆς κεφαλῆς· τὸν Παλαιολόγον δὲ ὁ πρωτοστράτωρ ἐξῃτήσατο, ἀνεψιὸν αὐτοῦ ὑπάρχοντα, μὴ ταὐτὸν παθεῖν· εἰς δεσμωτήριον δὲ ἐνεβλήθη. ὀλίγῳ δὲ ὕστερον αὐτόν τε καὶ τοὺς ἄλλους ὁ βασιλεὺς ἠξίωσε συγγνώμης. ἐν τοῖς αὐτοῖς δὲ καιροῖς καὶ οἱ Λήμνιοι τοῦ πρεσβυτέρου βασιλέως ἀποστάντες, ἦκον ἐπὶ τὸν νέον, ἅμα τε τὴν ἀποστασίαν αὐτῶν ἀπαγγελοῦντες καὶ τὸν ἄρξοντα αἰτήσοντες τῆς Λήμνου. [25]

1 151 εὐεργετηθέντες δὲ παρὰ βασιλέως καὶ ἡγεμόνα λαβόντες ὥσπερ ᾐτοῦντο, οἴκαδε ἐπανῆλθον. τούτων γινομένων, ἐκ Σηλυβρίας ἠγγέλθη τῷ βασιλεῖ, ὡς Περσικὴ στρατιὰ κατὰ συμμαχίαν τοῦ πάππου καὶ βασιλέως ἐκ τῆς ἕω διαβᾶσα, ἅμα τῇ ἐκ Βυζαντίου στρατιᾷ ὅσον οὔπω ἐλεύσονται κατ’ αὐτοῦ. ὡς δὲ ἐπύθετο, τὴν μὲν κατὰ τῶν ὁμοφύλων τῶν Περσῶν ἐπαγωγὴν ἐθαύμασε τῶν ἀντιτεταγμένων, αὐτὸς δὲ ὁρμῇ τινι ἀσχέτῳ κατὰ τάχος ἄρας ἐκ Διδυμοτείχου, εὐθὺ τῆς ἐπερχομένης ᾔει στρατιᾶς, ὡς μαχούμενος ᾗ ἂν συντύχοι. εἰς τρίτην δὲ ἡμέραν ἥ τε ἐκ Βυζαντίου στρατιὰ ἅμα τοῖς Πέρσαις καὶ βασιλεὺς ὁ νέος μεταξὺ Τζουρουλόης καὶ Σηλυβρίας συνῆλθον. συνιδόντες δὲ οἱ Πέρσαι καὶ οἱ ἐκ Βυζαντίου Ῥωμαῖοι ὡς οὐδὲ ἀντιβλέψαι δυνήσονται πρὸς τὴν μετὰ βασιλέως στρατιὰν, οὐδὲ παρατάξασθαι ὑπομείναντες οὐδὲ πλησίον ἐλθεῖν, ἀλλ’ ἔτι ποῤῥωτέρω ὄντες, μεταστραφέντες ἔφευγον κατὰ κράτος, ἰδίᾳ μὲν οἱ Πέρσαι, ἰδίᾳ δὲ οἱ Ῥωμαῖοι. ὁ βασιλεὺς δὲ φεύγοντας ἰδὼν, καὶ αὐτὸς εἰς δύο τὸ στράτευμα διελὼν, ἐκέλευε διώκειν. ἐπιπολὺ δὲ τῆς διώξεως γενομένης, ὡς ἤνυον οἱ διώκοντες οὐδὲν, (ἦσαν γὰρ

οἱ φεύγοντες οὐκ ἐν ἐφικτῷ,) οἱ μὲν τρεῖς τῶν Περσῶν ζωγρήσαντες, οἱ δ' ἕτεροι πέντε Ῥωμαίων, ἐπανέστρεψαν, τῶν ἄλλων διασωθέντων· ἵππων δὲ τῶν μὴ δυνηθέντων ἕπεσθαι τῇ στρατιᾷ καὶ σκευῶν στρατιωτικῶν καὶ οἰκετῶν ἐκράτησαν πολλῶν. ἐλθὼν δὲ ὁ βασιλεὺς ἐστρατοπέδευσεν ἐγγὺς Σηλυβρίας. οἱ μέντοι διασωθέντες τῇ φυγῇ Ῥωμαῖοι καὶ Πέρσαι, εἰς Βυζάντιον πρὸς τὸν πρεσβύτερον βασιλέα ἐλθόντες, ἀπήγγελλον τὴν ἧτταν. [25]

1 152 ἅμα δὲ καὶ ναῦς οἱ Πέρσαι πρὸς τὴν διάβασιν ᾐτοῦντο. βασιλεὺς δὲ ἐπεχείρει πείθειν αὐτοὺς μένειν ἐν Βυζαντίῳ· ὡς δὲ οὐκ ἐπείθοντο, αὐτοί τε φάσκοντες κατατριβήσεσθαι μάτην, καὶ βασιλεῖ μηδὲν λυσιτελήσειν ἅμα τοῖς ἄλλοις πολιορκούμενοι Βυζαντίοις· μηδὲ γὰρ ἂν ἔξω τειχῶν μὴ ὅτι γε αὐτοὺς ἀλλ' οὐδ' αὐτὸν ἂν τὸν ἀρχισατράπην αὐτῶν ἅμα τῇ ὑπ' αὐτὸν πάσῃ δυνάμει πρὸς τὸν νέον ἀντιτάξασθαι δυνήσεσθαι βασιλέα. καὶ τῶν παρατυχόντων ὡς ἀληθῆ λέγουσιν ἅμα συνειπόντων Ῥωμαίων, ναῦς λαβόντες, ἐπεραιώθησαν πρὸς τὴν ἕω. λβ'. Ὡς δ' ἥ τε ἐκ τῆς Περσικῆς συμμαχίας τοῦ πρεσβυτέρου βασιλέως περιῃρέθη ἐλπὶς, τά τε κατὰ τὰς νήσους πονήρως εἶχε, τῆς μὲν Λήμνου ἤδη καὶ φανερῶς ἀφεστηκυίας, τῶν ἄλλων δὲ κλονουμένων καὶ ὅσον οὔπω τὴν ἀποστασίαν καὶ αὐτῶν ἀπειλουσῶν, καὶ αἱ κατὰ τὴν ἤπειρον πρὶν ὑπήκοοι τῷ πρεσβυτέρῳ βασιλεῖ, πλείους τῶν πόλεων ἤδη συναπέστησαν πρὸς τὸν νέον· ἀπορίᾳ πάντοθεν περισχεθεὶς, πρεσβείαν δεῖν ἔγνω πρὸς βασιλέα αὖθις τὸν ἔγγονον πέμπειν. πέμπει δὲ τὸν κατὰ τὸν Ἄθω τοῦ ἱεροῦ ὄρους πρῶτον τὸν Ἰσαὰκ, καὶ ἄλλως μὲν ὄντα συνετὸν, οὐχ ἥκιστα δὲ ἀντιποιούμενον καὶ ἀρετῆς· τοιαῦτα πρὸς βασιλέα τὸν ἔγγονον πρεσβευόμενος δι' αὐτοῦ· „εἰ μὲν ἢ κατ' ἀρχὰς ἀκίνητοι πρὸς τὸ κακὸν οἱ ἄνθρωποι ἐδημιουργοῦντο παρὰ θεοῦ, ἢ ὥσπερ ἦν δέον, αὐτεξούσιοι γεγονότες ἔμειναν ἐν τῷ ἀγαθῷ, οὐδὲν ἂν τῶν μετὰ ταῦτα παραβαθέντων ἐτολμήθη. [20]

1 153 ἐπεὶ δὲ διὰ τὴν παράβασιν εὐόλισθος πρὸς τὸ χεῖρον ἡ τῶν ἀνθρώπων γεγένηται φύσις, ἐξ ἐκείνου μέχρι καὶ νῦν πάντ' ἄνω καὶ κάτω καὶ τοῦ ἐξ ἀρχῆς ἀντικειμένου γίνεται συνεργοῦντος, ὁποῖον δή τι νῦν συμβέβηκε καὶ ἡμῖν. δέον γὰρ ἐμὲ τὴν πρὸς ἐμέ σου εὔνοιαν καὶ πρὸς πατέρα παιδὶ πρέπουσαν αἰδῶ τε καὶ τιμὴν αὐτοῖς ἔργοις καταμαθόντα, τούς σε διαβάλλειν ἐπιχειροῦντας ὡς κατ' ἐμοῦ συσκευαζόμενον δόλους, ὡς ἐχθραίνοντας ἀπωθεῖσθαι, ἐγὼ δὲ ἀπατηθεὶς, ταῖς μὲν διὰ τῶν σῶν ἔργων ἀποδείξεσιν οὐ προσέσχον, λόγοις δὲ πεπλασμένοις παρὰ τῶν συκοφαντῶν πεισθεὶς, ἤγειρα πόλεμον, οὔσης εἰρήνης. νυνὶ δὲ αὐτοῖς ἔργοις τὴν ἀβουλίαν καταμαθὼν, ἐμαυτὸν μὲν, ὥσπερ δίκαιον, καταμέμφομαι· σοὶ δὲ τούς τε τρόπους ἀγαθῷ ὄντι, καὶ τὴν εἰς ἐμὲ αἰδῶ καὶ εὔνοιαν ἴσην διατηροῦντι, ὅπως εἰς εἰρήνην ἐκ πολέμου πάλιν τὰ πράγματα ἡμῖν ἥξει, μελήσει.“ Ὁ μὲν οὖν τοιαῦτα εἶπε. βασιλεὺς δὲ ὁ νέος „χάριτας“ εἶπεν „ὁμολογῷ πολλὰς τῷ βασιλεῖ τῶν βασιλευόντων θεῷ, ὅτι τῇ αὐτοῦ χρηστότητι χρησάμενος καὶ περὶ ἐμὲ, οὔτ' αὐτόν τι κατὰ τοῦ ἐμοῦ κυρίου καὶ βασιλέως ἢ βουλεύσασθαι συνεχώρησεν ἢ πρᾶξαι, οὔτε τοὺς συκοφάντας ἀνελέγκτους ἄχρι τέλους διατελεῖν, ἀλλ' αὐτὸν βασιλέα μάρτυρα ἔχειν παρέσχεν, ὡς οὔτ' αὐτὸς ἀδικῶ, οὔθ' οἱ συκοφαντοῦντες ἀδικίας ἐνέλιπον οὐδεμίαν ὑπερβολήν. εἰ δ' ὁ βασιλεὺς αὐτὸς ὑπὸ διεφθαρμένων ἀνθρώπων ἀπατηθεὶς, εἴργασται ἃ μὴ δέον, ἀλλ' ἡμεῖς γε γονέας τε εἰδότες τιμᾷν καὶ ἄν τι καὶ ἀδικώμεθα ἀνέχεσθαι, ὅσον ἂν παράσχοι θεὸς, βουλευσάμενοι δράσομεν περὶ τῶν προκειμένων. [20]

1 154 “ ὁ μὲν οὖν πρέσβις τοιαύτης ἀποκρίσεως παρὰ βασιλέως τυχὼν, ἀπῆλθεν εἰς τὸ στρατόπεδον ὡς ἐκεῖ περιμενῶν, ἄχρις ἂν ὁ βασιλεὺς βουλευσάμενος ἀποκρίνηται περὶ τῆς εἰρήνης. ὁ βασιλεὺς δ' ἅμα τῷ μεγάλῳ δομεστίκῳ, ὅ, τι χρὴ ἐβουλεύοντο πράττειν περὶ τῶν προκειμένων, ὅπως ἡ εἰρήνη γένοιτο τοιαύτη σκοποῦντες, ὡς μηδεμίαν πρόφασιν ἔχειν τοὺς συκοφάντας πρὸς ἀλλήλους διαβάλλειν τοὺς βασιλέας καὶ πόλεμον ἐπὶ λύμῃ τῶν κοινῶν πραγμάτων κινεῖν. ἐδόκει δὴ λυσιτελεῖν αὐτοῖς τε ὁμοῦ καὶ τὴν στρατιὰν καὶ πόλεις πάσας καὶ τὴν

διοίκησιν τῶν κοινῶν πραγμάτων τῷ βασιλεῖ ἐπιτρέψαντας, αὐτοὺς ὑπ' ἐκεῖνον ἄγεσθαι, καὶ εἰς ὑπηκόους τελεῖν τὰ προσταττόμενα ἐκπληροῦντας· οὕτω γὰρ τοὺς διαβάλλοντας χώραν οὐδεμίαν ἂν σχεῖν, πάντων ὁμοῦ χρημάτων ὑπὸ τοῦ πρεσβυτέρου βασιλέως διοικουμένων. εἰς τὴν ὑστεραίαν δὲ ὁ νέος βασιλεὺς τοὺς ἐν τέλει πάντας καὶ ἡγεμόνας καὶ τοὺς λογάδας τῆς στρατιᾶς εἰς ἐκκλησίαν συναγαγών, εἶπε τοιάδε· „τὰ ἐκ τοῦ πολέμου φυόμενα κακὰ καὶ μάλιστα τοῦ ἐμφυλίου, καὶ πολλαχόθεν μὲν ἄλλοθεν ἔξεστι καταμαθεῖν, μάλιστα δ' ἄν τις αὐτὰ κατίδοι καὶ ἀπὸ τοῦ νυνὶ ἐμοῦ τε μεταξὺ καὶ βασιλέως κινηθέντος πολέμου. ἐν γὰρ ὀλίγῳ χρόνῳ τοσοῦτον αὐτοὶ ὑφ' ἑαυτῶν διεφθείραμεν τῆς δυνάμεως ἡμῶν, ὅσον οὐδ' ὁμοῦ πάντες οἱ πρόσοικοι ἡμῖν βάρβαροι ἐπιστρατεύσαντες ὁμονοοῦσι κατεργάσασθαι ἴσχυσαν ἄν. [20]

1 155 ὃ δὴ καὶ αὐτοὶ καλῶς συνιδόντες, ἐν ἀρχαῖς μάλιστα τοῦδε τοῦ πολέμου πρεσβείαν ἀποστείλαντες πρὸς βασιλέα, περὶ εἰρήνης ἐδεῖσθε κἀμοῦ συνειδότος· ὡς δ' ἠνύετε ὑμεῖς οὐδὲν, ἐπρεσβευόμην καὶ αὐτὸς περὶ τῶν ἴσων, πολλὰ δεόμενος βασιλέως μὴ περιϊδεῖν ἡμᾶς αὐτοὺς ὑφ' ἑαυτῶν ἐν τῷ πρὸς τοὺς ὁμοφύλους πολέμῳ διαφθαρέντας, καὶ τὴν εἰρήνην ὥσπερ τι μέγιστον τῶν εὐεργετημάτων ᾔτουν. τότε μὲν οὖν ἡμῶν δεομένων, ἐκεῖνος οὐ προσεδέξατο τοὺς περὶ τῆς εἰρήνης λόγους· νυνὶ δὲ εἰς τοῦτο θεὸς περιέστησε τὰ πράγματα, ὥστ' αὐτοὺς τοὺς μὴ προσδεχομένους τότε τὴν εἰρήνην ἥκειν παρ' ἡμᾶς δεομένους περὶ τῶν ὁμοίων. οὗ δὴ ἕνεκα πρῶτον μὲν ἡγοῦμαι προσήκειν ἡμᾶς πολλὰς τῆς εὐεργεσίας χάριτας ὁμολογεῖν θεῷ, κρείττους ἀεὶ τῶν ἀντιτεταγμένων ἀποδεικνύντι· ἔπειτα δὲ ἀσμένως προσδέχεσθαι καὶ τὴν εἰρήνην, καὶ μὴ διὰ τὴν μικρὰν ταύτην εὐτυχίαν αὐθάδεις φαίνεσθαι καὶ θρασεῖς· ἀλλ' ἐκεῖνον εἶναι νομίζοντας τὸν καιρὸν, ἡνίκα βουλευομένοις ἡμῖν ἀναγκαία ἐδόκει ἡ εἰρήνη, οὕτω πάλιν καὶ βουλεύεσθαι καὶ ψηφίζεσθαι περὶ αὐτῆς.“ Οὕτω τοῦ βασιλέως εἰρηκότος, ὁ μέγας δομέστικος ἐφεξῆς „οὐδὲν ἐνέλιπεν ὁ βασιλεὺς“ ἔφη „τοῦ μὴ διδάξαι τῶν δεόντων ἡμᾶς, ὥσθ' ἕτερόν τινα ἔχειν τοῖς εἰρημένοις προσθεῖναι. τό, τε γὰρ ἐν ταῖς εὐτυχίαις μὴ φυσᾶσθαι, σωφρόνων καὶ ἀνδρείων ἀπέδειξεν ὂν ἀνδρῶν, καὶ τὸ τοὺς γεγεννηκότας αἰδεῖσθαί τε καὶ τιμᾶν καὶ δίκαιον ἅμα καὶ ἀναγκαῖον· καὶ τὸ τῶν ὁμοφύλων κήδεσθαι καὶ περὶ πλείστου τὴν σωτηρίαν αὐτῶν ποιεῖσθαι, καὶ μὴ διὰ φιλονεικίαν φθειρομένους περιορᾶν, ἀλλ' εἰ δεῖ τι καὶ τῶν οἰκείων προΐεσθαι τοῦ σώζεσθαι ἕνεκα αὐτοὺς, οὐ μόνον ἀγαθῶν, ἀλλὰ καὶ συνέσει κεχρημένων ἀνθρώπων εἶναι. [5]

1 156 οἷς γὰρ ἄν τις τοὺς οἰκείους καὶ ὁμοφύλους φθειρομένους περιορῴη, τοῖς αὐτοῖς τούτοις αὐτόν ἐστι φθείρεσθαι ἀγνοοῦντα· καὶ μόνην τὴν κατὰ τῶν ὁμοφύλων νίκην ἧτταν αἰσχίστην, ἀλλ' οὐ νίκην νομίζειν χρή· κεφάλαιον δὲ ἐπὶ τούτοις, ὡς ὁ πάντα ἐφορῶν θεὸς τῇ παρούσῃ εὐτυχίᾳ ὀρθῶς καὶ ὡς προσῆκε καὶ μετὰ ἀτυφίας ὁρῶν χρωμένους ἡμᾶς, καὶ μὴ ὠμούς τινας καὶ ἀπανθρώπους γεγενημένους καὶ τὴν φύσιν ἀγνοήσαντας, ἑτέρων πολλῶν τοιούτων ἢ καὶ πλειόνων καὶ θαυμασιωτέρων εὐεργετημάτων ἀξιώσειεν ἄν. εἰ οὖν δίκαιά τε ὁμοῦ καὶ ἀναγκαῖα τὰ βεβουλευμένα καὶ πρὸς τὸ εὐδοξεῖν καὶ τὸ σώζεσθαι· λυσιτελοῦντα, οὐδὲν ἔτι λεῖπον ἢ ἐπιψηφίζεσθαι καὶ ὑμᾶς. αὐτὸς γὰρ ὀρθῶς τε οἰόμενος ἔχειν τὰ εἰρημένα καὶ ὁμοίως περὶ τῶν αὐτῶν φρονῶν, γνώμην δίδωμι δέχεσθαι τὴν εἰρήνην, καὶ τὸ ἐμὸν μέρος ἐπικυρῶ.“ Τοιαῦτα καὶ τοῦ μεγάλου δομεστίκου εἰρηκότος, ὅ, τε πρωτοστράτωρ ἐπεψηφίζετο δέχεσθαι τὴν εἰρήνη, ὀρθῶς τόν τε βασιλέα εἰρηκέναι τόν τε μέγαν δομέστικον συνειπεῖν αὐτῷ εἰπών· καὶ οἱ λοιποὶ πάντες εὐθὺς ἄκοντες μὲν, ἐπεψηφίζοντο δ' οὖν ὅμως. πάντων δὲ ἐπιψηφισαμένων τὴν εἰρήνην, ἐπυνθάνετο αὖθις ὁ βασιλεὺς, εἰ τοιαύτην δέοι τὴν εἰρήνην γενέσθαι ὥστε βεβαίαν εἶναι ἀεὶ, καὶ μηδεμίαν ὑποψίαν ὕστερον ἢ πρόφασίν τινα πολέμου ἔχειν. [20]

1 157 ὁ δέ γε μέγας δομέστικος, οἷα δὴ πρότερον ἅμα βασιλεῖ ὁποίαν τινὰ δεῖ εἰρήνην γενέσθαι βεβουλευμένος, τοιούτους ἐποιεῖτο τοὺς λόγους, ὡς δοκεῖν οὐκ ἐξεπίτηδες, ἀλλ' ἀνάγκῃ τινὶ

πρὸς τὰς ἐπὶ τοῖς τοιούτοις ὁμολογίας συνωθεῖσθαι. „δέον γὰρ“ ἔλεγεν „εἶναι, ὦ βασιλεῦ, μὴ πάλιν ἡμῖν τὰς ἐπὶ τῇ εἰρήνῃ συμβάσεις τοιαύτας γενέσθαι, ὥστε τοὺς συκοφάντας ἐγχωρεῖν προφάσεων εὐπροσώπων εὐποροῦντας ὑμᾶς τοὺς βασιλέας πρὸς ἀλλήλους διαβάλλειν καὶ τὸν πόλεμον κινεῖν, οὐ μόνον ὑμῖν ἀδοξίαν ἅμα καὶ εἰς τὰ καιριώτατα ζημίαν, ἀλλὰ καὶ τῷ ὑπηκόῳ παντὶ παντοίων προξενοῦντα φορὰν κακῶν. παραπλήσιον γὰρ συμβαίνει καὶ ἐφ’ ἡμῖν, ὁποῖον ἂν καὶ ἐπὶ δυσὶ τῶν ἐπὶ ῥώμῃ καὶ μεγέθει θαυμαζομένων συμβαίη ζώων· ἐκείνων τε γὰρ ἀλλήλοις ἀντεπιόντων καὶ συῤῥηγνυμένων, τὰ ἐν ποσὶ πάντα συντρίβεσθαι καὶ διαφθείρεσθαι εἰκὸς, ἀδικοῦντα μηδέν· καὶ ὑμῶν ἀπόλλυσθαι τοὺς ὑπηκόους μαχομένων. οὗ δὴ ἕνεκα οὐ μόνον ὅτι εἰρήνην γενέσθαι δεῖ σκοπεῖν, ἀλλ’ ὅπως καὶ βεβαία καὶ ἀκατάλυτος μενεῖ· ὡς εἴγε μέλλοιμεν, ὥσπερ καὶ πρότερον, οὐκ εἰρήνην βεβαίαν, ἀλλ’ ὥσπερ ἀνακωχὰς τοῦ πολέμου ποιεῖν, βέλτιον μηδὲ γενέσθαι τὴν ἀρχήν. οὐδὲν γὰρ ἕτερον ἢ ἐπιορκίας ἐγκλήμασι τοὺς προτέρους παρασπονδήσαντας ἐνέχεσθαι περιέσται.“ Τῶν τοιούτων δὲ λόγων οἵ τε τῆς συγκλήτου καὶ τῆς στρατιᾶς ἀκούσαντες, ὅτι μὲν κατασκευάζων τοιαῦτα ὁ μέγας δομέστικος ἐδημηγόρει, ᾔσθοντο οὐδ’ ἐπὶ μικρόν. [20]

1 158 νομίσαντες δὲ οὐκ ἄλλοθέν ποθεν αὐτὸν αἰνίττεσθαι βεβαίαν ἔσεσθαι τὴν εἰρήνην, ἢ ἀπὸ τοῦ βασιλέα τὸν νέον ἥν τε κατεῖχε πρότερον μοῖραν τῆς ἀρχῆς καὶ ὧν προσείληφεν ἐν τῷ νῦν πολέμῳ τὰ πλείω κατασχόντα ἐς τὰ μάλιστα γενέσθαι δυνατὸν, τὸν δὲ πρεσβύτερον ἠσθενηκότα διὰ τὸ τῆς ἀρχῆς ἀφῃρῆσθαι πολλὰ ἀτολμότερον πρὸς τὸ νεωτερίζειν ἂν γενέσθαι, καὶ δίκαια καὶ συμφέροντα πάντες εἶπον τὸν μέγαν δομέστικον εἰρηκέναι, καὶ τοιαύτην δεῖν ἐθορύβησαν τὴν εἰρήνην εἶναι. ὁ βασιλεὺς δὲ ἤδη τοῖς οἰκείοις λόγοις πάντας προκατειλημμένους συνορῶν, „κἀμοὶ τὰ ἴσα“ εἶπε „συνδοκεῖ· τό, τε γὰρ πρὸς ἀλλήλους ἡμᾶς πολεμεῖν, καὶ αὐτοῖς ἡμῖν καὶ τοῖς ὑπηκόοις ἀλυσιτελές· καὶ τὸ παράδειγμα οἰκεῖον μάλιστα, ᾧ προσείκασεν ὁ μέγας δομέστικος τὸν πρὸς ἀλλήλους πόλεμον ἡμῶν. ἀνάγκη γὰρ ὑμᾶς τε τοὺς ὑπ’ ἀμφοτέροις στρατευομένους ἐν ταῖς μάχαις ὑπ’ ἀλλήλων ἀποθνήσκειν, καὶ τὰς κτήσεις, ἐξ ὧν αἵ τε ἰδιωτικαὶ καὶ αἱ δημόσιοι διαφθείρεσθαι πρόσοδοι. καὶ τὸ μὴ βεβαίαν αὖθις, ἀλλ’ ὑφ’ ὁτουοῦν διαλυθήσεσθαι προσδοκωμένην γενέσθαι τὴν εἰρήνην, μάλιστα ἀσύμφορον ἡμῖν. διὸ δεῖ σκεψαμένους αὐτοὺς, πᾶσαν πρότερον πολέμου πρόφασιν περιελεῖν· πολέμου δὲ πρόφασις πᾶσιν ἀνθρώποις ἢ οἰόμενον ἀδικεῖσθαι ἀμύνεσθαι ἐθέλειν, ἢ πολέμου ἄρχειν αἱρούμενον ἀδικεῖν· ἐὰν δέ τις ἀγαγὼν ἑαυτὸν ἐγχειρίσῃ τῷ πολεμοῦντι, πᾶσαν πρόφασιν πολέμου περιεῖλεν. [20]

1 159 εἴτε γὰρ ᾤετο ἀδικεῖσθαι, τὸν ἀδικοῦντα ἔχων ἡσυχάσει, εἴτε προὐθυμεῖτο πλεονεκτεῖν, πλέον ἔχων οὗ προσεδόκησε, καὶ οὕτω παύσεται τοῦ πολεμεῖν. διὸ δεῖ καὶ ἡμᾶς βεβαίας εἰρήνης ἐπιθυμοῦντας, θεῷ τε θαῤῥήσαντας καὶ τῇ σφετέρᾳ αὐτῶν πράξει ὡς ἀγαθῇ, πᾶσαν τὴν ἀρχὴν ἡμῶν τε αὐτῶν καὶ πόλεων καὶ προσόδων ἐγχειρίσαι τῷ βασιλεῖ· οὕτω δὲ πράξαντες, πᾶσαν πρόφασιν τῶν συκοφαντῶν διαβολῆς περιελοῦμεν· ἐκείνων δὲ πεπαυμένων κακουργεῖν, οὐδὲν ἔτι ἐμποδὼν ἔσται βαθείας ἀπολαύειν πάντας εἰρήνης. εἰ δ’ αὖθις χωρήσομεν εἰς μερισμοὺς, πρῶτον μὲν αὐτὸ τοῦτο, τὸ δυσὶν ἔτεσι καὶ ἑξήκοντα ὁμοῦ πάντων ἄρχοντα αὐτὸν, νῦν τῆς κατὰ πάντων ἐξουσίας ἀποστερεῖσθαι, ἱκανὸν πρὸς ταραχὴν καὶ δυνατὸν τοῖς συκοφάνταις πεῖσαι προσέχειν ὡς ἐπιβουλεύεται παρ’ ἡμῶν καταψευδομένοις. ἔπειτα δὲ καὶ τούτοις αὐτοῖς, ὥστ’ ἔχειν ῥάπτειν τὰς διαβολὰς, ὕλην ἂν παράσχοιμεν πολλήν· ἐχόντων δὲ ἐκείνων δύναμιν κακουργεῖν, οὐκ ἐν πολλῷ χρόνῳ ἀναγκασθησόμεθα αὖθις πολεμεῖν. οὐκ ἠρεμήσουσι γὰρ, ἄχρις ἂν ποικίλαις καὶ πολλαῖς διαβολαῖς ἐξορμήσωσι πρὸς πόλεμον τὸν βασιλέα. μὴ θαυμάσητε δὲ, εἰ παρὰ τῶν νεωτεροποιῶν τούτων καὶ φθόρων ἐξαπατήσεσθαι τὸν βασιλέα λέγων, ἐμαυτὸν ἐξαίρω τοῦ λόγου ὡς μὴ τὰ ἴσα δυνάμενον παθεῖν, (καίτοι γε οὕτως ἔχω παρασκευῆς καὶ γνώμης, ὡς οὐδ’ ἂν εἴ τι γένοιτο, μήτοι γε ἐκ διαβολῆς, ἀλλ’ οὐδ’ εἰ ἀληθῆ τὰ

λεγόμενα εἴη, πρὸς πόλεμον πρότερος αὐτὸς ἐξορμήσων, πρὶν ἂν αὐτοῖς ἔργοις ἀναγκασθῶ ὡς ἐπιόντα ἀπωσόμενος τὸν πόλεμον, τὰ ὅπλα ἀναλαμβάνειν,) ἀλλ᾽ ὡς ἐνέχυρα ἱκανὰ πρὸς ἐκεῖνον τῆς διαβολῆς ἐχούσης. [5]

1 160 ὁ γὰρ ἄρχων μὴ τὴν ἀρχὴν ἀφαιρεθείη δεδοικὼς, κἂν ἐπιβουλεύεσθαι πεισθείη· ὁ δουλεύων δὲ οὐκ ἂν πείθοιτο ῥᾳδίως. τούτων δὴ ἕνεκα ὧν εἶπον, μὴ πάλιν πρὸς μερισμοὺς τῆς ἀρχῆς ἐπιπολὺ σκεψαμένῳ ἔδοξε δεῖν χωρεῖν, ἀλλ᾽ ἡμᾶς τε αὐτοὺς καὶ πάντα χρήματα ἀγαγόντας, ἐγχειρίσαι βασιλεῖ· οὕτω γὰρ ἢν ποθοῦμεν εἰρήνην βεβαία περιέσται.“ Τοιαῦτα περὶ τῆς εἰρήνης διειλεγμένου τοῦ βασιλέως, ἐπιπολὺ μὲν τὸ βουλευτήριον σιωπὴ κατέσχε βαθεῖα, πάντων πρὸς τοὺς λόγους ἐκπεπληγμένων. οὐ γὰρ ἂν ἐπὶ τοιούτοις ᾠήθησάν ποτε γενέσθαι τὴν εἰρήνην. ἀποκριναμένων δὲ οὐδὲν, ἐπιστραφεὶς ὁ βασιλεὺς πρὸς τὸν μέγαν δομέστικον „οὐ σιωπᾷν“ ἔφη „χρεὼν, ἀλλ᾽ αὐτόν τε ὡς ἔχεις περὶ τῶν εἰρημένων καὶ τοὺς ἄλλους λέγειν. ἐπὶ τούτοις ὁ μέγας δομέστικος εἶπε τοιάδε· „εἰ μὲν πρὸς βαρβάρους, ὦ βασιλεῦ, τοὺς φύσει πολεμίους ὁ πόλεμος ἡμῖν ἦν, οὐδὲν ἕτερον ἔδει σκοπεῖν, ἢ ὅπως, ἢν μὲν περιγενώμεθα τῷ πολέμῳ, ἐπεξιέναι καὶ διαφθείρειν, ἄχρις ἂν ἢ ἐκτρίψαντες ποιήσωμεν ἐκποδὼν, ἢ, τό γε δεύτερον, δουλωσάμενοι ποιήσωμεν ὑποφόρους· εἰ δὲ ἰσόῤῥοπα ἡμῖν τὰ πράγματα ἦν, πρὸς τὴν αὐτῶν χρείαν μεθαρμόζεσθαι καὶ αὐτούς. [20]

1 161 ἐπειδὴ δέ ἐστιν οὔτε πρὸς φύσει πολεμίους βαρβάρους, οὔτε πρὸς τὴν αὐτὴν μὲν ᾐρημένους θρησκείαν ἡμῖν, ἄλλως δὲ πολεμίους καὶ ὑπὸ ἰδίαν τεταγμένους ἡγεμονίαν, οὓς ἄν τις ἴσως καὶ βιάζεσθαι συγχωρήσειε δυναμένοις· ἀλλὰ πρὸς ὁμοφύλους καὶ οἰκειοτάτους, τίς ἂν νοῦν ἔχων καὶ μικράν τινα ποιούμενος φροντίδα τοῖς ἐν ᾅδου καταδίκοις μὴ συνεῖναι, μᾶλλον ἂν ἀνθέλοιτο τὸν πόλεμον τῆς εἰρήνης; καίτοι γε οὐδ᾽ οὕτω συμμεμέρισται ὑμῖν τοῖς βασιλεῦσι τὰ τῆς ἀρχῆς, ὡς τὸν μὲν τῆς ἐκ τῆς ἕω στρατιᾶς, τῆς ἑσπερίου δὲ τὸν ἕτερον στρατηγεῖν· ἦν γὰρ οὕτω τι μετριώτερον, Ῥωμαίοις μὲν καὶ οὕτω Ῥωμαίων συμπιπτόντων καὶ κτεινομένων, ὅμως δ᾽ οὖν τινα παραμυθίαν τὸ μὴ προσήκειν αὐτοῖς καθ᾽ αἷμα τοὺς ἀποσφαττομένους οἰομένων. νυνὶ δ᾽ οὕτως ἡ κοινὴ τῶν Ῥωμαίων συνεσκεύασε δυστυχία, ὡς αὐτὰς τὰς οἰκίας πρὸς ἀλλήλας μερισθείσας, μήτοι γε πόλεις, καὶ ἀδελφοὺς ἀλλήλοις, καὶ παῖδας πατράσι, καὶ φίλους γνησιωτάτοις φίλοις οὐ τῷ σφετέρῳ αὐτῶν, ἀλλὰ τῷ τῶν βασιλέων ἔχθει πολεμεῖν. εἰκὸς δὲ καὶ παρ᾽ αὐτὰς τὰς μάχας τὸν πατέρα τὸν οἰκεῖον ἢ τὸν ἀδελφὸν ἀποκτείναντά τινα ἢ τὸν φίλον, ἐν τῷ σκυλεύειν τὴν δυστυχεστάτην ἐπιγνῶναι νίκην, οὗ τί σχετλιώτερον γένοιτ᾽ ἄν; ὧν δὴ ἕνεκα αὐτός τε ἡγοῦμαι τὴν εἰρήνην λυσιτελεῖν, καὶ οἱ ἄλλοι συνεπιψηφίζονται πάντες. ἐπειδὴ δὲ νῦν καὶ ἐφ᾽ ὁποίοις δή τισι τὴν εἰρήνην γενέσθαι δεῖ πρόκειται σκοπεῖν ὥστε μένειν βεβαίαν καὶ μὴ πάλιν προφάσεων πρὸς πόλεμον εὐπορεῖν, εἰ μὲν ἕτερ᾽ ἄττα ἢ αὐτὸς εἴρηκας, ὦ βασιλεῦ, λυσιτελεῖν ἐλογιζόμην, εἶπον ἂν ἐνδοιάσας μηδέν· ἐπειδὴ δὲ ἅμα τε δίκαια καὶ τῷ κοινῷ συμφέροντα Ῥωμαίων καὶ πρὸς εὐδοξίαν οὐδενὸς δεύτερα σαυτῷ τε εἴρηκας καὶ ἡμῖν, θεῷ τῷ τῶν ἀγαθῶν θαῤῥήσαντες ἐφόρῳ, εἰς ἔργα προάξωμεν τοὺς λόγους. [5]

1 162 “ Τοιαῦτα μὲν καὶ ὁ μέγας δομέστικος εἶπεν· ἐπιτραπεὶς δὲ καὶ ὁ πρωτοστράτωρ ἃ δοκεῖ συμφέροντα εἰπεῖν, „τὴν μὲν εἰρήνην ὡς ἀγαθὸν καὶ λυσιτελὲς ἡμῖν τε καὶ τῷ κοινῷ Ῥωμαίων παντὶ, οὐδ᾽ ἂν αὐτὸς ἀρνηθείην, μὴ καὶ οἴεσθαι καὶ πεπεῖσθαι“ εἶπε „παρ᾽ ὑμῶν. τοιαύτην μέντοι οἵαν αὐτὸς εἴρηκας γενέσθαι, βασιλεῦ, οὐδὲ ὑπονοῆσαί ποτε ὁμολογῶ. ἐλογιζόμην γὰρ ὅτι πρὸς οἷς κατείχομεν πρότερον καὶ ἐκ τῶν νῦν προσχωρησάντων οὐκ ὀλίγα κατασχόντες, τὰς ἐπὶ τῇ εἰρήνῃ ποιήσομεν σπονδάς. διὸ καὶ προθυμίᾳ σὺν πολλῇ τῶν περὶ τῆς εἰρήνης εἰχόμην λόγων· ἐπειδὴ δέ σοι οὕτω βέλτιον δοκεῖ, κἀμοὶ πᾶσα συνδοκεῖν ἀνάγκη. ἐξ ὅτου γάρ σοι φέρων ὑπέταξα ἐμαυτὸν, οὕτω πέπεισμαι ὡς ἅμα σοὶ καὶ ἀποθανούμενος καὶ βιώσων. διόπερ εἰ καὶ αὐτὸς ἑτέρως ἐλογιζόμην ἔσεσθαι τὴν εἰρήνην, ἀλλ᾽ ἐπειδὴ νυνὶ σοὶ τοῦτον τὸν τρόπον δοκεῖ, ὡς ἂν αὐτὸς βέλτιον ἡγῇ τελείσθω.“ τοιαῦτα καὶ πρωτοστράτορος εἰπόντος,

εὐχαριστήσας ὁ βασιλεὺς ἐπυνθάνετο τῶν ἄλλων. ἐπισχόντες δὲ μικρὸν, „παρὰ σοὶ τὴν ἐξουσίαν, ἔφασαν, εἶναι τοῦ πράττειν· δεσπότης δὲ ὢν, ἃ βούλει πρᾶττε.“ τὴν τοιαύτην δὲ ἀπολογίαν οὐ πεισθέντες τοῖς εἰρημένοις, ἀλλ᾽ ἀηδῶς μᾶλλον εἶπον διατεθέντες. [20]

1 163 ὁ μέντοι βασιλεὺς τὴν ἀπολογίαν ὅ, τι νοεῖ ὑποκρινάμενος ἀγνοεῖν, εὐχαριστήσας καὶ αὐτοῖς, διέλυσε τὴν ἐκκλησίαν. ἐξ ἐκείνης δὲ καὶ εἰς ἑβδόμην ἡμέραν ὁ βασιλεὺς τῷ μεγάλῳ δομεστίκῳ ἅμα καὶ πρωτοστράτορι τούς τε ἐν τέλει καὶ τοὺς λογάδας πείθοντες τῆς στρατιᾶς, καὶ δι᾽ αὐτῶν ἅπαν τὸ πλῆθος, ἴσχυσαν μόλις εὐπαράδεκτον πᾶσι τὴν ἐπὶ τοῖς εἰρημένοις εἰρήνην καταστῆσαι. ἐξῆν μὲν οὖν καὶ βασιλεῖ σὺν ὀλίγοις τῶν ἐπιφανῶν τισι τὴν εἰρήνην κυροῦν, ἐδόκει δὲ βέλτιον γενέσθαι ψήφῳ κοινῇ. καὶ διὰ τοῦτο τὰ τοιαῦτα ᾠκονομεῖτο. λγ′. Ἐπεὶ δ᾽ ἐκεκύρωτο παρὰ πάντων, τὸν τοῦ ἁγίου ὅρους πρῶτον, ὅστις καὶ ἐπρέσβευε τότε, μετακαλεσάμενος ὁ βασιλεὺς, „τὴν μὲν πρὸς τὴν εἰρήνην ἔνστασιν“ εἶπε „τῆς στρατιᾶς, τήν τε ἡμετέραν πρὸς τοῦτο σπουδὴν καὶ τοὺς τρόπους καὶ τὰς περινοίας, δι᾽ ὧν αὐτὴν εὐπαράδεκτον πᾶσι πεπείκαμεν γενέσθαι, αὐτὸς ἰδὼν ἀπαγγελεῖς τῷ ἐμῷ κυρίῳ καὶ βασιλεῖ· ἐξ ἐμοῦ δὲ πρὸς αὐτὸν τοιαῦτα ἐρεῖς, ὡς, μάρτυρα τῶν ἐμῶν ποιοῦμαι λόγων τὸν πάντ᾽ ἐφορῶντα ὀφθαλμὸν τοῦ θεοῦ καὶ τὴν ἐκ τοῦ συνειδότος ἀδέκαστον κρίσιν, ὡς οὔτε πρότερον οὔτε νῦν ἐμαυτῷ τι σύνοιδα εἰργασμένῳ οἷον ἄξιον εἶναί σε τὸν ἐμὸν κύριον καὶ πατέρα οὕτως ἐκπολεμωθῆναι ποιῆσαι πρὸς ἐμέ. διόπερ πρότερόν τε ἅμα τε ἐμνήσθης εἰρήνης, καὶ αὐτὸς μηδὲν ἀντειπὼν μηδὲ πολυπραγμονήσας, ἀλλὰ καὶ νομίζων εὐεργετεῖσθαι, τὸ ἐπίταγμα ἐπλήρουν τὸ σόν· καὶ νῦν, καίτοι γε τῆς στρατιᾶς πολλὰ δυσχεραινόντων, ἐφ᾽ οἷς ἐπεχείρουν πείθειν, ὡς ἀκριβῶς παρὰ τοῦ πρέσβεως μαθήσῃ, ὃ προστέταχας, καὶ θεοῦ συναιρομένου, ἤγαγον πρὸς πέρας. [5]

1 164 ἐν μὲν οὖν ταῖς ἐπὶ τῇ τοῦ προτέρου πολέμου καταθέσει σπονδαῖς τὸ ἀπὸ Χριστουπόλεως ἄχρι Σηλυβρίας εἰς ἰδίαν ἀρχὴν περιεποιησάμην, οὐ δεόμενος αὐτὸς, ἀλλὰ δι᾽ ἃς εἶπον αἰτίας τότε οὔσας ἀναγκαίας. νυνὶ δὲ συνιδὼν, ὡς ἡ ἐπὶ τοῖς τοιούτοις εἰρήνη ἀρχὴ κατέστη δευτέρου πολέμου· (οἱ γὰρ συκοφάνται καὶ κοινοὶ πολέμιοι καὶ τῆς Ῥωμαίων τύχης ἀφανεῖς λυμεῶνες ὕλης εὐπορήσαντες καὶ πολλὰς αἰτίας πλασάμενοι καὶ διαβολὰς, ἐξώργισαν κατ᾽ ἐμοῦ καὶ πρὸς πόλεμον ἐξώρμησαν ἐξ οὐδεμιᾶς αἰτίας ἐμφανοῦς,) δείσας μὴ καὶ αὖθις τὴν προτέραν μοῖραν τῆς ἀρχῆς ἢ καὶ πλεῖόν τι ἰδιοποιησάμενος, ἀφορμὰς πάλιν τοῖς συκοφαντεῖν ἐθέλουσι παράσχω, καὶ πλασάμενοι διαβολὰς, πρὸς τὸν κατ᾽ ἐμοῦ πόλεμόν σε ἐρεθίσωσιν αὖθις, ὅπερ ἐπαχθέστερον ἐμοὶ θανάτου· φέρων ὑπὸ τὴν σὴν ἐξουσίαν παραδίδωμι πάντα, οὐ πόλεις μόνον καὶ χώραν καὶ δημοσίους φόρους, ἀλλὰ καὶ αὐτὸν ἐμὲ μετὰ πάντων ὧν ἄγω, καὶ τὸ ἀπὸ τοῦδε σοὶ περὶ τῆς διοικήσεως πάντων μελήσει ἕκαστα σκεψαμένῳ. τοῦ μέντοι μισθοφορικοῦ τῆς στρατιᾶς τὸν μισθὸν αὐξήσας, παρέσχον καὶ γῆς ἑκάστῳ πλέθρα χρυσίων δέκα. περὶ μὲν οὖν τῆς αὐξήσεως τοῦ μισθοῦ αὐτὸς ἂν εἰδείης ᾗ χρὴ γενέσθαι· τῆς μέντοι γῆς τοὺς στρατιώτας δέομαι μὴ ἀφαιρεθῆναι, τοῦτο μὲν, ὅτι στέρησις οὐδεμία ταῖς δημοσίαις προσόδοις ἀπὸ τῆς διανομῆς γεγένηται ταύτης, τοῦτο δ᾽, ὅτι καὶ διὰ τὴν ὀλιγότητα οὐδεμίαν ἀσχολίαν παρέχουσα τοῖς στρατιώταις πρὸς τὸ εἰς τὰς ἐκστρατείας εὐκόλους εἶναι ὠφέλειάν τινα δοκεῖ παρέχειν. [5]

1 165 πρὸς τούτοις καὶ τὸ ἀποτεταγμένον εἰς τὴν αὐτῶν μισθοφορὰν χρυσίον πρὸς ἐμὲ πρότερον ἀποκαθιστάμενον, παρ᾽ ἐμοῦ διανέμεσθαι τοῖς στρατιώταις· οὕτω γὰρ ἐπηγγειλάμην αὐτοῖς, ὅτε τοὺς περὶ τῆς εἰρήνης πρὸς αὐτοὺς ἐποιούμην λόγους οὐ ῥᾳδίως πειθομένοις. περί γε μὴν τῆς οἰκίας τῆς ἐμῆς ὅπως διοικηθήσεται, ὡς ἂν αὐτὸς κρίναις εὖ ἔχειν, ἐμοὶ πείθεσθαι ἀνάγκη. ὁ δέ γε θεῖος ὁ ἐμὸς ὁ δεσπότης νῦν μὲν οὐκ ἀπολυθήσεται τῆς εἱρκτῆς, οὕτως ἐμοῦ λυσιτελεῖν δι᾽ αἰτίας οἰομένου τινάς· μετὰ δὲ χρόνον τινὰ μικρὸν ἀπολυθήσεταί τε καὶ σὺν ἐμοὶ διάξει θεραπευόμενος. διὸ καὶ δέομαι τούτου χάριν τυχεῖν συγγνώμης.“ Τοιαῦτα πρὸς τὸν βασιλέα καὶ πάππον ὁ νέος βασιλεὺς τὸν πρεσβεύοντα πρῶτον Ἰσαὰκ κελεύσας εἰπεῖν, ἀπέστειλεν εἰς Βυζάντιον. ἐπεὶ δὲ ἀφῖκτο, τήν τε εἰρήνην ὅτι κεκύρωτο καὶ ἐφ᾽ ὁποίοις τισὶν ἀπήγγειλε, τήν

τε ἔνστασιν ἐν τοῖς τοιούτοις τῆς στρατιᾶς καὶ τὴν τοῦ νέου βασιλέως σπουδὴν καὶ τὴν οἰκονομίαν οἷς ἴσχυσε πάντας πεῖσαι τὴν εἰρήνην ἐπιψηφίσασθαι. ἀκούων δὲ ὁ βασιλεὺς, πρῶτον μὲν ἐξεπέπληκτο καὶ ἠπίστει διὰ τὸ μέγεθος τοῖς ἀπαγγελλομένοις. μὴ γὰρ ὅτι τῆς ἁπάσης ἀρχῆς τὸν νέον ᾤετο αὐτῷ ἐκστήσεσθαι βασιλέα, ἀλλ' εἴγε καὶ ἐκ Βερρόιας ἢ καὶ πορρωτέρω ἄχρι Σηλυβρίας αὐτῆς κατασχὼν, παρεχώρησεν αὐτῷ τῶν ἄλλων, ἠγάπησεν ἄν· καὶ αὐτὸ δὲ ὅλως τὸ παραδέξασθαι τὴν εἰρήνην, οὐ τῇ τοῦ πράγματος φύσει, ἀλλὰ τοῖς ἀγαθοῖς τρόποις τοῦ βασιλέως καὶ ἐγγόνου θαῤῥῶν, διεπρεσβεύετο πρὸς αὐτόν· ἀγαπητὸν ἡγούμενος ἂν ὅπως ποτὲ πεισθείη μόνον τὸν πόλεμον καταθέσθαι. [5]

1 166 ἔπειτα δὲ ἡδονῆς ἦν καὶ θυμηδίας μεστὸς αὐτός τε καὶ οἱ προσέχοντες αὐτῷ τῶν ἐπιφανῶν, καὶ οἱ ἄλλοι Ῥωμαῖοι ἑορτὴν ἦγον τὴν χαριεστάτην πασῶν. λδ′. Εἰς τάχος τε ἐκέλευε τριήρεις δύο πληροῦν· ἐπεὶ δὲ ἐπεπλήρωντο, σὺν τάχει καὶ προθυμίᾳ πολλῇ τὴν βασιλίδα Ξένην τὴν Ἀνδρονίκου μητέρα τοῦ νέου πέμπει πρὸς τὸν υἱόν· ἅμα μὲν τῆς εἰς αὐτὸν καλοκἀγαθίας καὶ τῆς τιμῆς καὶ εὐπειθείας πρεπούσας ἀποδώσουσαν εὐχαριστίας, ἅμα δὲ καὶ τὴν κυρωθεῖσαν εἰρήνην ἐγγράφοις βεβαιώσουσαν ὅρκοις. ἐλθοῦσαν δὲ εἰς τὸ περὶ Σηλυβρίαν Ἐπιβάτας προσαγορευόμενον χωρίον ἔτι τότε ἀτείχιστον ὄν, βασιλεὺς ὁ υἱὸς αὐτῆς ἐλθὼν προσεκύνησέ τε ὁμοῦ τὴν μητέρα· καὶ ἐθρήνησαν ἐφ' ἱκανὸν, ἡ μὲν τὴν χηρείαν, ὁ δὲ τὴν ὀρφανίαν ὀδυρόμενος τοῦ πατρός· οὔπω γὰρ ἄχρι τότε μετὰ τὴν βασιλέως τελευτὴν εἰς ἓν βασιλεὺς ὁ νέος τῇ μητρὶ καὶ βασιλίδι συνῆλθεν· ἔπειτα ἡ βασιλὶς τῷ βασιλεῖ καὶ υἱῷ τάς τε τοῦ βασιλέως καὶ πάππου ἀπαγγείλασα εὐχαριστίας, καὶ ἕτερ' ἄττα ὁμιλήσασα ὅσα ἦν αὐτῇ βουλομένῃ, τὰ ὁμωμοσμένα παρὰ βασιλέως τοῦ υἱοῦ ἐγγράφως παραλαβοῦσα, ἐπανῆκεν αὖθις ὡς βασιλέα τὸν κηδεστήν. [20]

1 167 ὁμωμοκότος δὲ καὶ αὐτοῦ τὴν εἰρήνην ἀκατάλυτον καὶ βεβαίαν τηρήσειν ἐπὶ τούτοις γεγενημένην, ὥστε τὴν μὲν ἀρχὴν πᾶσαν καὶ τὴν διοίκησιν τῶν πραγμάτων αὐτῷ προσήκειν, πρὸς δὲ βασιλέα τὸν ἔγγονον τὴν μισθοφορὰν τῆς στρατιᾶς δίδοσθαι μόνον, ὥσπερ ἦν αὐτοῖς ἐν ταῖς συνθήκαις γεγραμμένον, ὡς ἂν παρ' αὐτοῦ χορηγοῖτο τοῖς στρατιώταις· ἔτι δὲ καὶ περὶ τῆς διανεμηθείσης γῆς τοῖς αὐτοῖς τούτοις μισθοφόροις παρὰ τῶν τὰ δημόσια διοικούντων ἐνοχλεῖσθαι μηδὲν, ἀλλ' αὐτοῖς ἀνεπηρέαστον διατηρεῖσθαι· καὶ τῆς ἰδίας οἰκίας ἕνεκα καὶ βασιλίδος τῆς αὐτοῦ γυναικὸς παρὰ τοῦ βασιλικοῦ ταμιείου ἑξακισχιλίους ἐπὶ τρισμυρίοις χορηγεῖσθαι χρυσοῦς. καὶ τῶν τοιούτων ἐγγράφων ὅρκων πρὸς βασιλέα τὸν νέον ἀπεσταλμένων, ἄρας ἐξ οὗπερ ἐστρατοπεδεύετο τόπου, εἰς Βυζάντιον ἦκε τὸν βασιλέα προσκυνήσων. ἐξῆλθε δὲ καὶ ὁ βασιλεὺς εἰς ὑπάντησιν τοῦ ἐγγόνου καὶ βασιλέως. πλησίον δὲ ἀλλήλων γενομένων, βασιλεὺς ὁ νέος ἀπεπήδησε τοῦ ἵππου, ὡς ἀπὸ γῆς οἷα δοῦλος τὸν βασιλέα προσαγορεύσων. ὁ δέ γε πρεσβύτερος τὰς ἡνίας ἀναστρέψας, ἤλαυνεν ὀπίσω· ἐβούλετο δὲ αὐτῷ τὸ τοιοῦτο, μὴ πεζῇ τὸν βασιλέα, ἀλλ' ἔφιππον εἶναι δίκαιον τὴν προσαγόρευσιν ποιεῖσθαι. ἔθος γὰρ ἐπεκράτησεν ἀρχαῖον παρὰ τοῖς Ῥωμαίων βασιλεῦσιν, ὅταν μέλλωσιν ἀλλήλοις συντυγχάνειν, τοὺς μὲν ἑπομένους ἑκατέροις τῶν ἵππων καταβάντας ἔπεσθαι πεζῇ, αὐτοὺς δὲ συμμίξαντας ἐφίππους, τὸν μὲν νεώτερον κύψαντα τοῦ πρεσβυτέρου βασιλέως περιπτύσσεσθαι τὴν χεῖρα, τὸν ἐπὶ τῆς κεφαλῆς πρότερον περιελόμενον πῖλον· ἀνακύψαντα δὲ ἐκεῖθεν, εἰς τὸ πρόσωπον αὐτὸν τὸν πατέρα ἀντιφιλεῖν. [25]

1 168 τότε δὲ οὐκ ἀγνοῶν τὸ ἔθος ὁ νέος βασιλεὺς κατέβη τοῦ ἵππου, ἀλλ' ὡς ἂν μάλιστα καὶ πλέω τοῦ δικαίου καὶ συνήθους αἰδῶ καὶ εὐπείθειαν τῷ πάππῳ ἀποδῷ. ἑπομένου δὲ αὐτοῦ πεζῇ καὶ μὴ ἐνδιδόντος, ἀναγκασθεὶς περιέμεινεν ὁ βασιλεύς· πλησίον δὲ γενόμενος ὁ νέος, περιεπτύξατο τὸν πόδα τοῦ βασιλέως πάντων ὁρώντων. τούτου δὲ γενομένου, θρῆνος ἐφ' ἱκανὸν ὁμαλῶς ἤρετο διὰ πάσης τῆς στρατιᾶς, ἅμα καὶ χαρὰ, ὅπερ ἐπὶ ταῖς παρ' ἐλπίδα μεγίσταις εὐτυχίαις γίνεσθαι φιλεῖ· ἢ καὶ τὸ ἄτυφον καὶ μέτριον τοῦ νέου βασιλέως ὁρῶντες,

ἐπεκάμπτοντο πρὸς οἰμωγάς. ἔπειτα ἐφίππου καὶ τοῦ νέου βασιλέως γενομένου ἦλθον ἄχρι πυλῶν. ἀναστρέφειν δὲ εἰς τὸ στρατόπεδον τοῦ πρεσβυτέρου βασιλέως ἐπιτρέποντος τῷ νέῳ, οὐκ εἶξεν, ἀλλὰ τοῖς ἄλλοις ἔξω τειχῶν περιμένειν σημήνας τῇ χειρὶ, αὐτὸς ἅμα τισὶ τῶν εὐπατριδῶν ἐντὸς γενόμενος τῶν τειχῶν, καὶ συνοδεύσας τῷ πάππῳ καὶ βασιλεῖ μέχρι μέσης ὁδοῦ, συνταξάμενος ἐπανῆλθεν εἰς τὸ στρατόπεδον. εἰς τὴν ὑστεραίαν δὲ εἰσελθὼν, πρῶτα μὲν εἰς τὸ τῆς θεομήτορος τέμενος τῆς Ὁδηγητρίας ἐλθὼν, εὐχαριστίας ἀπεδίδου πολλὰς τῷ χορηγῷ τῆς εἰρήνης θεῷ καὶ τῇ αὐτοῦ πανάγνῳ μητρί. ἐκεῖθεν δὲ ἐπανῆλθεν εἰς τὰ βασίλεια, καὶ συνδιῆγε τῷ πάππῳ καὶ βασιλεῖ. ἐκ μέντοι τῶν πέριξ χωρῶν τε καὶ πόλεων καὶ αὐτοῦ Βυζαντίου εἰς τὰ βασίλεια ἐφοίτων πανδημεὶ, ἅμα μὲν συνεορτάσοντες καὶ αὐτοὶ τὴν εἰρήνην, ἅμα δὲ ὀψόμενοι καὶ βασιλέα τὸν νέον, ὃς αἰτιώτατος ἐδόκει τῆς ἐν τῷ παρόντι εὐτυχίας εἶναι. [25]

1 169 θαυμάζοντες δὲ αὐτοῦ τήν τε εὐπείθειαν πρὸς βασιλέα καὶ τὸ τοῦ φρονήματος μέτριον καὶ κατεσταλμένον, οἵκαδε χαίροντες ἐπανῄεσαν. βασιλεὺς δὲ ὁ νέος ἅμα τῷ πρεσβυτέρῳ πέντε πρὸς ταῖς δέκα τῷ Βυζαντίῳ ἐνδιατρίψας ἡμέρας, καὶ τὰς ὑπ' αὐτῷ τελούσας ἐπαρχίας τῷ πάππῳ καὶ βασιλεῖ παραδεδωκὼς, αὐτὸς, ἐπιτρέψαντος βασιλέως, εἰς Διδυμότειχον ἐπανῆλθεν, ἔνθα καὶ ἡ σύνευνος αὐτῷ βασιλὶς ἦν, Αὐγούστου μηνὸς ἱσταμένου τῆς αὐτῆς πέμπτης ἰνδικτιῶνος. λε'. Βασιλεὺς δὲ ὁ πρεσβύτερος πᾶσαν τὴν ἡγεμονίαν Ῥωμαίων ποιησάμενος ὑφ' ἑαυτῷ, τοῦ ἐγγόνου καὶ βασιλέως παρακεχωρηκότος, ἐπιτρόπους τε ἀπέστελλε κατὰ πᾶσαν ἐπαρχίαν ὡς ἂν αὐτῷ ἐδόκει βέλτιστα ἔχειν· καὶ ταῖς τῶν δημοσίων προσόδων πράξεσι τοὺς ἐπιμελησομένους ἐφίστη· καὶ ἀπογραφέας δὲ ἀποστείλας, τὸ στρατιωτικὸν ἅπαν ὅσον ἦν ἐκ χωρίων ἀποτεταγμένον τὰς προσόδους ἔχειν, ἔτι δὲ καὶ τοὺς συγκλητικοὺς ἐξίσαζε καὶ διῴκει δι' αὐτῶν τὴν ἡγεμονίαν. ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους Σφεντισθλάβος ὁ τῶν Μυσῶν βασιλεὺς, ὃς ἦν τὴν βασιλέως τοῦ νέου ἀδελφὴν γεγαμηκὼς, ἐτεθνήκει νοσήσας· διεδέξατο τὴν ἀρχὴν Μυσῶν ὁ υἱὸς αὐτοῦ Γεώργιος ὁ Τερτερής. ἔτι δὲ τοῦ πρὸς ἀλλήλους τῶν βασιλέων συνεστῶτος πολέμου, ὅτε καὶ Παλαιολόγος Ἀνδρόνικος τῶν κατὰ τὴν Ῥοδόπην τοῖς Ῥωμαίοις ὑπηκόων ἄρχων ἐπαρχιῶν, ἀπέστησε τοῦ νέου πρὸς τὸν πρεσβύτερον βασιλέα, ὁ Τερτερὴς ταῖς πόλεσιν ἐκείναις ἐπιστρατεύσας, τὰς μὲν ἄλλας ἐδῄωσε, Φιλιππούπολιν δὲ εἶλε, μεγάλην τε καὶ πολυάνθρωπον οὖσαν, καὶ πεζῷ καὶ ἱππικῷ στρατεύματι ἐῤῥωμένην, καὶ ἐν ἐπικαίρῳ μάλιστα χωρίου κειμένην, ὡς αὐτάρκη εἶναι καὶ πρὸς πόλεμον καὶ εἰρήνην τῶν ἄλλων μάλιστα ἠπειρωτίδων. [5]

1 170 εἶλε δὲ τρόπῳ τοιῷδε. παρὰ τῶν ἐν Βυζαντίῳ τινὸς αὐτῷ τῶν ἐπιτηδείων ἔχθει τῷ πρὸς βασιλέα τὸν νέον κρύφα ἐμηνύθη, ὡς τῶν Φιλιππουπολιτῶν τῷ νέῳ βασιλεῖ συστρατευομένων, τῶν τε ἄλλων ἐγχωρίων περὶ τὴν τοῦ σίτου συγκομιδὴν ἀσχολουμένων, ἐπελθὼν ἐκ τοῦ αἰφνιδίου ῥᾷον ἂν κρατήσειεν ὀλιγανδρούσης. κατὰ δὴ τὴν τοιαύτην ὑφήγησιν ἐπελθὼν, ἀπορίᾳ τῶν ἀμυνομένων παρεστήσατο ῥᾳδίως. ἀφικομένου δὲ μετὰ τὴν εἰρήνην εἰς Διδυμότειχον τοῦ νέου βασιλέως, ὁ Τερτερὴς ἀποστείλας στρατιὰν, τὰ περὶ τὴν Ἀδριανούπολιν κατέδραμε πολίχνια καὶ ἐληΐσατο· ἐπιδιώξας δὲ ὁ βασιλεὺς κατέλαβεν ἐν τοῖς ὁρίοις τῆς Μυσίας, καὶ ἀπροσδοκήτως ἐμπεσὼν, τοὺς μὲν διέφθειρεν αὐτῶν, τοὺς δὲ εἶλε ζῶντας, πλὴν ὀλίγων, ὅσοι διεσώθησαν ἐπιγενομένης νυκτός· καὶ τὸ στρατόπεδον αὐτῶν διήρπασαν οἱ στρατιῶται, καὶ τὴν λείαν ἐπανήγαγον. μετὰ δὲ ταύτην τὴν μάχην ἔγνω δεῖν ὁ βασιλεὺς μὴ ἀμύνεσθαι μόνον ἐπερχομένους τοὺς Μυσοὺς, ἀλλὰ καὶ αὐτὸν αὐτοῖς ἐπιστρατεύειν. καὶ συναγαγὼν ἀξιόμαχον στρατιὰν, μετὰ τριακοστὴν ἡμέραν ἐπέβαλεν εἰς τὴν Μυσίαν καὶ ἐδῄωσε τὰ πολλὰ αὐτῆς, ἠνδραποδίσατο δὲ οὐδένα· οὐδὲ γὰρ ἔθος οὔτε Μυσοῖς οὔτε Ῥωμαίοις ἐν ταῖς καταδρομαῖς ἀνδραποδίζεσθαι ἀλλήλους· βοσκήματα δὲ καὶ ἄλλην ἀποσκευὴν εἶλον αἰχμάλωτον πολλήν. [20]

1 171 ἐκεῖθεν δὲ εἰς Βυζάντιον ἐπανῆκε τῷ βασιλεῖ καὶ πάππῳ συνησθησόμενος ἐπὶ τῇ νίκῃ· ταύτην γὰρ ἐποιήσατο πρώτην εἰσβολὴν βαρβάροις ἐπιστρατεύσας. εὗρε δὲ ἐλθὼν ὑπὸ τοῦ πρεσβυτέρου βασιλέως τὸν Συργιάννην εἰς δεσμωτήριον ἐμβληθέντα. ὕστερον δὲ ὀλίγαις ἡμέραις ὁ πρεσβύτερος βασιλεὺς δικαστήριον καθίσας, συνδικάζοντος αὐτῷ καὶ τοῦ νέου βασιλέως καὶ τῶν ἐν τέλει πάντων Ῥωμαίων παρόντων, ἐκέλευσε τὸν Συργιάννην εἰς μέσους ἐλθεῖν, ὡς ὧν κατηγορεῖτο τὰς αἰτίας ἀπολυσόμενον. κατηγορεῖτο δὲ αὐτοῦ, ὡς εἴη συνωμοσίας ἅμα Ῥωμαίων οὐ πολλοῖς πεποιημένος ἐπὶ τῷ τὸν πρεσβύτερον βασιλέα ἀποκτείναντας, αὐτὸν ἀποδειχθῆναι βασιλεύοντα Ῥωμαίων. οἱ μὲν οὖν διώκοντες ἐπέκειντο σφοδρῶς ἀληθῆ ἃ αὐτοῦ κατηγοροῦντο διϊσχυριζόμενοι εἶναι. ἔλεγχον μέντοι ἐναργῆ τῶν κατηγορουμένων οὐκ ἠδύναντο παρέχειν· αὐτός τε ἐκ τοῦ ὁμοίου, ἃ μὲν κατηγορεῖτο συκοφαντίας διετείνετο εἶναι, οὐ μέντοι καὶ ἀποδείξεις παρεῖχεν ἰσχυρὰς, ἐξ ὧν ἂν τὴν δίκην διαφύγοι. ἐπὶ πολὺ δὲ αὐτοῦ τε καὶ τῶν διωκόντων πρὸς ἀλλήλους ἀντικαθισταμένων, ὡς ἰσοπαλεῖς ἦσαν αἱ δίκαι, ὁ πρεσβύτερος βασιλεὺς ἐπέτρεπε τῷ νέῳ ψῆφον ἐπὶ τοῖς λεγομένοις ἐξενεγκεῖν. τοῦ δὲ ἀπαγορεύσαντος δέει τοῦ μὴ διὰ τὴν ἀποστασίαν καιροῦ παρασχόντος δοκεῖν ἀμύνεσθαι αὐτὸν, ὁ πρεσβύτερος βασιλεὺς πολλὰ αὐτοῦ κατηγορήσας, καὶ τοὺς διώκοντας ἀποφηνάμενος ἀληθεύειν, τὸ δεσμωτήριον κατέκρινεν οἰκεῖν ὑπὸ κλοιοῖς ἐνὶ κανόνι συνηρμοσμένοις φρουρεῖσθαι κελεύσας. [25]

1 172 ἐλέγετο μέντοι ὡς ἐπὶ ταῖς τοῦ νέου βασιλέως πρὸς τὸν αὐτοῦ συμβάσεσι πάππον καὶ τοῦτο εἴη συντεθειμένον, τὸ ἐκ παντὸς τρόπου τὸν Συργιάννην εἱρχθῆναι τοῦ νέου βασιλέως ᾐτηκότος· ἦν δὴ σαφὴς καὶ ἀναντίῤῥητος συκοφαντία. λϛ'. Ἔτι δὲ βασιλέως τοῦ νέου διατρίβοντος ἐν Βυζαντίῳ, Τερτερὴς ὁ τῶν Μυσῶν βασιλεὺς ἐτελεύτησε τὸν βίον. τελευτήσαντος δὲ αὐτοῦ, αἱ ἀπὸ Μεσημβρίας ἄχρι Στίλβνου τοῖς Μυσοῖς ὑπήκοοι πόλεις ἑκοντὶ τοῖς Ῥωμαίων προσεχώρησαν βασιλεῦσι. καὶ ὁ πρεσβύτερος βασιλεὺς ταῖς προσχωρησάσαις πόλεσιν ἀπέστειλεν ἐπιτρόπους, οὓς ἔκρινεν αὐτός. Βοησίλας δὲ ὁ τοῦ προβεβασιλευκότος Μυσῶν ἀδελφὸς αὐτόμολος ὢν ἐν Ῥωμαίοις τότε, ὡς ἐπύθετο τὴν τελευτὴν τοῦ βασιλέως Μυσῶν, ἀπελθὼν καὶ αὐτὸς προσεποιήσατο ἑαυτῷ τὰς ἀπὸ Στίλβνου μέχρι Κόψεως ἐπιλοίπους τῆς Μυσίας πόλεις προσχωρησάσας ἀμαχεὶ διὰ τὴν οἰκειότητα τοῦ γένους. πέμψας δὲ ὡς βασιλέα καὶ ἐπαγγειλάμενος ὑπ' αὐτὸν τελεῖν αὐτόν τε καὶ πόλεις καὶ τὴν συνεπομένην στρατιὰν, δεσπότης Μυσίας ὑπὸ βασιλέως ἐπιτέτραπται ὀνομάζεσθαι. βασιλεὺς δὲ ὁ νέος, ἅμα καὶ τοῦ πάππου καὶ βασιλέως ἐπιτετραφότος, τὴν ἐκ Βυζαντίου καὶ τὴν Θρᾳκίαν στρατιὰν ἀθροίσας, εἰς Φιλιππούπολιν ὡς ἐκπολιορκήσων ἦλθε. γενομένῳ δὲ ἐκεῖ ὁ Βοησίλας ἅμα τῇ ὑπ' αὐτὸν στρατιᾷ τοῦ πολέμου συνεφαψόμενος συνῆλθε· καὶ περιστρατοπεδευσάμενοι ἐπολιόρκουν· οὔσης δὲ ἐντὸς ἀξιομάχου στρατιᾶς, ἥνυον οὐδὲν, ἀλλὰ ἐκακοπάθουν. [25]

1 173 ὁ γὰρ Τερτερὴς ἅμα τῷ τὴν Φιλιππούπολιν κατασχεῖν, δείσας μὴ αὖθις οἱ Ῥωμαῖοι ἐπελθόντες, διὰ τὴν ὀλιγανδρίαν, ὥσπερ καὶ αὐτὸς, ἕλωσιν αὐτὴν, ἅμα δ' ὅτι καὶ ἐν ὁρίοις ἦν τῆς ἐκείνου καὶ Ῥωμαίων ἡγεμονίας, χιλίους μὲν ἱππέας λογάδας ἐξ Ἀλανῶν καὶ Μυσῶν, καὶ δὶς τοσούτους πεζοὺς πελταστὰς, οἳ δοκοῦσι μαχιμώτατοι εἶναι παρ' αὐτοῖς, τὴν πόλιν ἔπεμψε φρουρεῖν. ἄρχοντες δὲ ἦσαν αὐτῶν ὅ, τε Ἰτίλης καὶ ὁ Τεμήρης, τὸ γένος Ἀλανοὶ, καὶ Ἰνᾶς ὁ ἐξ Οὔγκρων· στρατηγὸς δὲ ἐπὶ πᾶσιν Ἰβάνης ὁ Ῥὼς κατά τε χεῖρα γενναῖος καὶ ἐμπειρότατος στρατηγεῖν· οἳ καὶ τετελευτηκότος τοῦ βασιλέως αὐτῶν, οὐ κατέλιπον τὴν πόλιν, ἀλλ' ἐφρούρουν μένοντες. τότε δὲ πολιορκούμενοι ὑπὸ βασιλέως, ἔξω μὲν πυλῶν ὡς ἐς μάχην παραταξόμενοι προῄεσαν οὐδαμῶς· τὰς πύλας δὲ ἀποικοδομήσαντες, ἀπὸ τῶν τειχῶν ἠμύνοντο καρτερῶς καὶ ἐκάκουν πολλὰ τὴν βασιλέως στρατιάν. ἐπολιόρκησε μὲν οὖν αὐτοὺς ὁ βασιλεὺς ἐπὶ τέσσαρσι μησὶ συνεχῶς ὁσημέραι τειχομαχῶν. ἀπαγορεύοντος δὲ τὴν παράληψιν ἤδη, ἐκ Γερμανῶν τις περὶ τειχομαχικὰς μηχανὰς ἐξησκημένος, ὡς ἐν ῥᾳδίῳ τῆς

ἐπιχειρήσεως ἐδόκει ἡ πόλις κεῖσθαι, ἐλπίδας τῆς ἁλώσεως οὐ φαύλας ὑπετίθει τῷ βασιλεῖ, καὶ ἐδημιούργει τὸ μηχάνημα, προστάξαντος βασιλέως. ἦν δὲ τοιόνδε· ἐπὶ τροχοῖς ἑκκαίδεκα οἰκίαν κατεσκεύασε ξυλίνην δυναμένην ὑποδέξασθαι ἄνδρας ἑκατὸν, οἳ ἔμελλον τὴν μηχανὴν κινεῖν ἔνδοθεν ὠθοῦντες· ὑπεράνω δὲ τοῦ οἰκήματος ξύλινον πύργον καταστρώματα ἔχοντα πέντε, ὡς ἐν ἑκάστῳ δὴ καταστρώματι τῶν ἐκ τόξων Λατινικῶν τῶν λεγομένων τζαγγρῶν ἀφιέντων βέλη ἐσομένων ὀκτὼ, οἳ ἔμελλον τοὺς ἐπὶ τοῦ τείχους βάλλοντες ἀπώσεσθαι. [5]

1 174 τελεσθείσης δὲ ἤδη τῆς μηχανῆς, καὶ τῶν τε ὁπλιτῶν καὶ τῶν ἐπὶ τῷ κινεῖν τὸν πύργον τεταγμένων, ἡ μὲν ἄλλη πᾶσα στρατιὰ τῶν σημαίων ἀρθέντων καὶ τῆς σάλπιγγος σημηνάσης, ἐτειχομάχουν· ὁ πύργος δὲ ὑπὸ τῶν ἔνδοθεν ὠθούντων κινούμενος, ᾔει βάδην, ὡς δοκεῖν αὐτὸν ἐμπνέοντα κινεῖσθαι. οὐδὲ γὰρ ἐωρᾶτό τις τῶν ἔνδοθεν οὐδαμόθεν, διὸ οὐδὲ βάλλεσθαι δυνατὸς ἦν. ὡς δὲ ἐν ἐφικτῷ ἐγένοντο τοῦ τοξεύειν, οἱ μὲν ἀπὸ τοῦ ξυλίνου πύργου ἔβαλλον τοὺς ἀπὸ τῶν τειχῶν· αὐτοὶ δὲ μήτε τι ἀντιδρᾶν ἔχοντες, καὶ τῶν ἀπὸ τῶν τζαγγρῶν ἀφιεμένων βελῶν διὰ κραταιότητα καὶ ῥύμην διὰ παντὸς ὅπλου χορούντων καὶ διαδυομένων, τραυματιζόμενοι ὑπ’ αὐτῶν, οἱ δὲ καὶ ἀποθνήσκοντες, μικρὸν μὲν ἐκαρτέρησαν, ἔπειτα ἀπέστησαν, τὸ τεῖχος ἔρημον καταλιπόντες. μέλλοντος δὲ ὅσον οὔπω τοῦ ξυλίνου πύργου τοῖς τείχεσι τῆς πόλεως συμμίγνυσθαι, τοιοῦτόν τι συνέβη. πρὸ τῶν τῆς πόλεως τειχῶν ἦν ἐκ παλαιοῦ κατεσκευασμένη στοὰ πρὸς ὑποδοχὴν ὕδατος· ξύλοις δὲ καὶ σανίσι στεγασθεῖσα, ἐπιτεθείσης ἄνωθεν καὶ γῆς, ἦν ἐν τῷ ἀφανεῖ, καὶ οὐδεὶς οὐδὲ τῶν ἐγχωρίων ἐκ χρόνων ᾔδει παλαιῶν κατακεκρυμμένην. [20]

1 175 ἁμάξας μὲν οὖν καὶ ὅσα δι’ αὐτῆς διήρχετο βάρη, ἔστεγον τὰ ξύλα. ὡς δὲ ὁ πύργος ἐγένετο κατ’ αὐτῆς, διαθραυσθέντων τῷ βάρει, κατεχώσθη ἐν τῇ στοᾷ. τῶν μὲν οὖν ἔνδον ὄντων ἀπέθανεν οὐδείς, ἀλλὰ διεσώθησαν πάντες· ἡ μέντοι Φιλιππούπολις παρὰ τοσοῦτον ἐλθοῦσα διέφυγεν ἁλῶναι. οἱ γὰρ ἔνδον ἀναθαρσήσαντες, ἀναβάντες ἠμύνοντο ἐπὶ τὸ τεῖχος, καὶ ἡ λοιπὴ στρατιὰ ἐπαύσαντο τειχομαχοῦντες. ὑπὸ δὲ τοὺς αὐτοὺς καιροὺς οἱ τῶν Μυσῶν δυνατοὶ, τοῦ βασιλεύσαντος αὐτῶν Τερτερῆ ἀδιαδόχου ἀποθανόντος, τὸν τῆς Βιδύνης ἄρχοντα Μιχαὴλ τοῦ παρ’ αὐτοῖς δεσπότου τοῦ Στρεαντζιμήρου υἱὸν ἐκ Μυσῶν καὶ Κομάνων τὰς τοῦ γένους ἕλκοντα σειρὰς προσκαλεσάμενοι ἀπέδειξαν βασιλέα ἑαυτῶν, καὶ τὸν Τίρνοβον, ἐν ᾧ καὶ τὰ βασίλεια αὐτῶν ἐστι, παρέδοσαν καὶ τὴν ἄλλην ἀρχήν. ὁ δὲ τήν τε ἰδίαν στρατιὰν συναγαγὼν καὶ ἐξ Οὐγκροβλάχων κατὰ συμμαχίαν οὐκ ὀλίγην, ἔτι δὲ καὶ Σκυθικὴν παραλαβὼν, βασιλεῖ μὲν τῷ Ῥωμαίων Φιλιππούπολιν πολιορκοῦντι ἐπιέναι οὐκ ἔγνω δεῖν· ᾔδει γὰρ ἀξιόμαχος οὐκ ὤν. κατὰ δὲ τῶν μετὰ τὴν Τερτερῆ τελευτὴν τοῖς Ῥωμαίοις προσθεμένων πόλεων ἐχώρει ἐν τοῖς ὀρεινοῖς κειμένων ἀσφάλειαν παρέχουσι τοῖς συστρατευομένοις αὐτῷ Σκύθαις καὶ τοῖς ἄλλοις συμμάχοις οὖσι τοξόταις, καὶ καθήμενος ἐδῄου τὴν γῆν καὶ τὰς πόλεις ἐπολιόρκει. ὡς δὲ ἠγγέλθη ταῦτα τῷ βασιλεῖ, μετὰ τῶν ἐν τέλει βουλευσαμένῳ ἐδόκει τὴν μὲν πολιορκίαν Φιλιππουπόλεως καταλιπεῖν, κατὰ δὲ Μιχαὴλ ὡς αὐτῷ μαχεσομένους χωρεῖν. [20]

1 176 οὕτω δὲ βουλευσαμένοις, τὸν μὲν τῶν Μυσῶν δεσπότην Βοησίλαν οἴκαδε ἐκέλευεν ὁ βασιλεὺς ἀπελθόντα, ἐπεὶ πλησίον ἦν, καὶ αὐτὸν καὶ τὴν ὑπ’ αὐτὸν στρατιὰν ὧν ἂν δέοιτο πρὸς τὴν μάχην παρασκευασάμενον, εἰς τρίτην ἡμέραν εἰς Ποτοῦκαν ἐλθεῖν, ὃ πόλισμα ἦν κατεσκαμμένον ἔκ τινος ὡς ἔοικε πολέμου, (ἀπεῖχε δὲ τοῦ τόπου, οὗ ἐστρατοπεδεύετο Μιχαὴλ, μιᾶς ἡμέρας ὁδὸν,) ὡς ἐκεῖ τοῦ βασιλέως αὐτὸν περιμενοῦντος. ὁ μὲν οὖν οἴκαδε εἰς Κόψιν ἀπῆλθεν ἐξαρτυσόμενος τὰ πρὸς μάχην· βασιλεὺς δὲ Στενιμάχου καὶ Τζεπαίνης Βρυέννιον τὸν Γεώργιον στρατηγὸν καταστήσας, στρατιάν τε ἀρκοῦσαν πρὸς φυλακὴν καταλιπὼν ὥστε μὴ κακῶς ὑπὸ τῶν Φιλιππουπολιτῶν ὑπεκθεόντων τὴν χώραν πάσχειν, αὐτὸς ἄρας παντὶ τῷ στρατεύματι, ἦλθεν εἰς Ποτοῦκαν, ὡς ἐκεῖ τὸν Βοησίλαν κατὰ τὸ σύνθημα περιμενῶν. στρατοπεδευομένῳ δὲ ἐκεῖ ἀπήγγειλέ τις ἐλθὼν, ὡς ἐτεθνήκει Βοησίλας ἐξαπίνης· τότε μὲν

οὖν ἐδόκει ψεύδεσθαι ὁ ἄνθρωπος καὶ οὐδὲν λέγειν ὑγιές· μετὰ μικρὸν δὲ καὶ δεύτερος ἐλθὼν ἀπήγγειλε τὰ ἴσα, καὶ οὐδ' αὐτὸς ἀξιόχρεως εἰς πίστιν ἐδόκει· τρίτος δὲ μετ' ἐκείνους ἐλθών, ὅτι τε ἐτεθνήκει ἔλεγεν ὄντως καὶ ὡς αὐτὸς αὐτὸν ἴδοι ἀπὸ τοῦ κρημνοῦ εἰς Κόψιν ἀναγόμενον ἐπὶ κλίνης τεθνηκότα ἐπὶ τῷ τυχεῖν ὁσίας· καὶ ἐπεπίστευτο οὗτος ὅτι τε Ῥωμαῖος ἦν καὶ ἀπόδειξιν ἐναργῆ παρείχετο τὴν ὄψιν. ἐδόκει δὴ οὖν διὰ ταῦτα τῷ βασιλεῖ οὐ μαχητέα εἶναι πρὸς Μιχαήλ. [25]

1 177 οὐ γὰρ ἦν ἀξιόμαχος τοῖς πολεμίοις τότε ἡ τῶν Ῥωμαίων στρατιὰ, ἅμα μὲν διὰ τὸ τοῖς ὀρεινοῖς ἐνστρατοπεδεύειν αὐτοὺς καὶ φάραγγας βαθείας περιβεβλῆσθαι, τοξείαν ἔχοντας πολλὴν μέγιστα βλάπτειν ἐν ταῖς δυσχωρίαις δυναμένην· ἅμα δ' ὅτι καὶ τῆς παρεῖναι πρὸς τὴν μάχην στρατιᾶς Ῥωμαίων ὀφειλούσης ἀπελείπετο οὐκ ὀλίγη. οἵ τε γὰρ ὑπὸ Βοησίλαν τεταγμένοι περὶ τρισχιλίους ὄντες, διὰ τὴν Βοησίλα τελευτὴν οὐκ ἦσαν προσδόκιμοι παραγενήσεσθαι, καὶ ἐν ταῖς κατὰ τὴν Φιλιππούπολιν τειχομαχίαις πολλοὶ γενόμενοι τραυματίαι, (ἀπέθανον γὰρ οὐ πλείους τῶν τριῶν,) οἴκαδε ἕκαστος ἀπῆλθον θεραπευθησόμενοι· καὶ παρὰ Βρυεννίῳ διὰ τὴν Στενιμάχου καὶ τῶν ἄλλων πόλεων φυλακὴν κατελείποντο ἱκανοί. δι' ἃ δὴ πάντα λυσιτελεῖν μᾶλλον ἐδόκει τῷ βασιλεῖ μὴ μαχεσάμενον ἀναστρέφειν· ἐπανῆκεν οὖν εἰς Ἀδριανούπολιν βαρέως ἐνεγκὼν, ὅτι οὐκ ἐξεγένετο αὐτῷ τιμωρήσασθαι τοὺς πολεμίους. μετὰ δὲ ὀγδόην ἡμέραν ἀφίκετο πρὸς βασιλέα γράμματα Βοησίλα λέγοντα ὅτι ζῇ· μύκητας δὲ φαγὼν, τῶν περὶ τὴν καρδίαν μορίων νεκρωθέντων, κάρῳ κατασχεθῆναι καὶ ἀναισθησίᾳ βαθείᾳ ἐφ' ἡμέραις τρισὶν, ὡς δοκεῖν ἤδη ἀπηλλάχθαι τοῦ ζῆν, μετὰ δὲ ταύτας τῶν περὶ αὐτὸν θηριακῇ καὶ τοῖς παρὰ τῶν ἰατρῶν λεγομένοις ἀντιδότοις χρησαμένων, μόλις εἰς αἴσθησιν ἐπαναγαγεῖν. λζ′. Τοιαῦτα μὲν ἐγένετο κωλύματα τῷ νέῳ βασιλεῖ τοῦ μὴ πρὸς Μιχαὴλ τὸν Μυσῶν βασιλέα διαγωνίσασθαι καὶ τοὺς συμμάχους. [20]

1 178 αὐτὸς δὲ Μιχαὴλ τὰς μὲν πολιορκουμένας πόλεις παρεστήσατο ὁμολογίᾳ τὴν ἐκ βασιλέως Ῥωμαίων ἀπηγορευκυίας ἐπικουρίαν· πρὸς δὲ τὴν Φιλιππούπολιν στρατιάν τε ἀκμάζουσαν ἑτέραν ὥστε φρουρεῖν αὐτὴν ἀπέστειλε καὶ στρατηγόν· τὸν δὲ Ἰβάνην καὶ τοὺς πολιορκηθέντας στρατιώτας ἅμα τοῖς σφετέροις στρατηγοῖς μετεκαλεῖτο ὡς ἀμειψόμενος τῶν πόνων ἕνεκα καὶ τῆς ἀνδρίας, ἣν ἐν τῷ πολιορκεῖσθαι ἐπεδείξαντο. ὁ δὲ τῆς πεμφθείσης στρατιᾶς στρατηγὸς ἐπειδὴ ἐγγὺς Φιλιππουπόλεως ἦν, πέμψας πρὸς Ἰβάνην, τήν τε ἄφιξιν αὐτῶν καὶ ἐφ' ὅ,τι ἥκοιεν ἐδήλου. Ἰβάνης δὲ ἅμα τοῖς ὑπ' αὐτὸν ἄρχουσι τῆς στρατιᾶς, καὶ τοὺς φρουροὺς ὅσοι ἦσαν παραλαβὼν, εἰς ὑπάντησιν ἐξῆλθε τῶν ἐρχομένων, καὶ διενυκτέρευσεν ἔξω μετ' αὐτῶν ὡς ἐς τὴν ὑστεραίαν αὐτοῖς τὴν πόλιν παραδώσων. ὑπὸ δὲ τὴν αὐτὴν νύκτα καὶ ὁ Βρυέννιος εἰς Φιλιππούπολιν ἐνήδρευσεν ἐλθὼν, ὡς ἅμα ἕῳ τὰ τῆς πόλεως βοσκήματα διαρπάσων. πυθόμενος δὲ, ὡς ὁ Ἰβάνης καὶ ἡ φρουροῦσα στρατιὰ ἅμα τοῖς σφετέροις στρατηγοῖς εἰς ὑπάντησιν ἐξῄεσαν τῶν διαδεξομένων, ἀναστὰς ἦλθεν ἐγγὺς τειχῶν. οἱ δὲ κατοικοῦντες τὴν πόλιν νομίσαντες καιρὸν εἶναι τῶν Μυσῶν ἑαυτοὺς ἐλευθεροῦν, ἀνοίξαντες τὰς πύλας, τὸν Βρυέννιον ἅμα τῇ Ῥωμαίων εἰσεδέξαντο στρατιᾷ. καὶ ὃ βασιλεὺς διὰ τῆς χρονίου πολιορκίας καὶ τῶν πολλῶν καὶ συνεχῶν οὐκ ἠδυνήθη καταπράξασθαι τειχομαχιῶν, τοῦτο Βρυέννιος, θεοῦ συναιρομένου, κατώρθωσεν ἀπόνως, καὶ τὴν Φιλιππούπολιν ἀνεσώσατο Ῥωμαίοις. [25]

1 179 ὁ δὲ Ἰβάνης ἅμα ἕῳ τὴν ἅλωσιν τῆς πόλεως πυθόμενος καὶ οἱ ἄλλοι, ἀνεχώρησαν ἐπ' οἴκου. μετὰ δὲ τοῦτο Μιχαὴλ ὁ τῶν Μυσῶν βασιλεὺς τῷ Βοησίλᾳ τῆς τε Κόψεως καὶ ἑτέρων τεττάρων κρατοῦντι φρουρίων ἐπέκειτο σφοδρῶς, καὶ ἐπολιόρκει πέμπων στρατιάν. μέχρι μὲν οὖν ἐνιαυτοῦ καὶ περαιτέρω ὁ Βοησίλας πρὸς τὸν πόλεμον ἀντεῖχεν ἰσχυρῶς, καὶ τοῦ βασιλέως βοηθοῦντος καὶ χρήμασι καὶ ἵππῳ καὶ πεζῇ στρατιᾷ. μετὰ δὲ τοῦτο διὰ τὰς συνεχεῖς ἐφόδους καὶ τὸ πανταχόθεν ἀποκεκλεῖσθαι τὰς πρὸς τὸ ζῆν ἀφορμὰς τοὺς ὑπ' αὐτὸν ὁρῶν τῷ Μιχαὴλ

ταῖς γνώμαις προστιθεμένους, καταλιπὼν αὐτοὺς, ἀφίκετο πρὸς βασιλέα. οἱ δὲ ἑαυτούς τε καὶ τὰ φρούρια παρέδοσαν Μιχαήλ. μετὰ δὲ τὸ ταύτην κατασχεῖν πανστρατιᾷ εἰσέβαλεν ἐς τὴν Ῥωμαίων, καὶ τὰ ἀνωτερικὰ μέρη τῆς Θρᾴκης ἐληΐσατο πάντα ἄχρι Βήρας ἐπελθὼν ἐν ἡμέραις μάλιστα δυοκαίδεκα. ἐκράτησε δὲ λείας οὐ πολλῆς διὰ τὸ τοὺς γεωργοὺς ἐκ προνοίας τοῖς φρουρίοις καὶ ταῖς πόλεσιν ἐγκατακλεισθῆναι. βασιλεὺς δὲ ὁ νέος ἐν Διδυμοτείχῳ διατρίβων, οὐκ ἀντεπεξῆλθε Μυσοῖς διὰ τὸ μὴ στρατιὰν ἠθροισμένην ἀξιόμαχον ἔχειν. λύπῃ δὲ συνείχετο χαλεπῇ διὰ τὸ μὴ δύνασθαι ἀμύνασθαι τοὺς πολεμίους. σφαδάζων δὲ καὶ ἐκκαιόμενος τῷ θυμῷ, ἐπανιόντι μηνύει τῷ Μιχαὴλ, ὡς „σὺ μὲν ἐκ παρασκευῆς τὴν ὑπό σε ἀθροίσας στρατιὰν, εἰσέβαλες εἰς τὴν ἡμετέραν καὶ ἐκάκωσας ὅσον ἐξῆν. ἐμοὶ δὲ τὸ νῦν ἔχον ἀδυνάτως ἔχοντι ἐκ παρατάξεως διαγωνίσασθαι, ἥδιστ’ ἂν μόνῳ γένοιτο διαγωνίσασθαι πρὸς μόνον.“ αὐτὸς δὲ ἀπεκρίνατο μήτε ἐγκέφαλον ἂν σχεῖν χαλκέα, εἰ ἐνὸν τοῦ πεπυρακτωμένου τῇ πυράγρᾳ ἅπτεσθαι σιδήρου, ὁ δ’ ἀντὶ ταύτης τῇ χειρὶ χρῷτο· αὐτόν τε γέλωτα πολὺν ὀφλήσειν, εἰ μὴ τῇ στρατιᾷ πολλῇ τε καὶ ἀγαθῇ οὔσῃ, ἀλλὰ τῷ ἰδίῳ σώματι διακινδυνεύοι· διὸ οὐδὲ πράξειν ἃ προκαλεῖται παρ’ αὐτοῦ. [5]

1 180 αὐτὸν δὲ τῷ ὑπερβάλλοντι πρὸς τοιαῦτα ἐξάγεσθαι τοῦ θυμοῦσθαι· μετὰ μικρὸν δὲ φιλίας αὐτοῖς γενησομένης ἰσχυρᾶς, ἅμα ἀλλήλοις ἑτέροις μαχοῦνται πολεμίοις. τοιαῦτα ἀποκρινάμενος ὁ Μιχαὴλ, ἐπανέζευξεν εἰς Μυσίαν. βασιλεὺς δὲ ὁ νέος ἐκ Διδυμοτείχου εἰς Βυζάντιον ἐλθὼν, λύπης ἀνάπλεως ὢν διὰ τὴν εἰσβολὴν, „οὐ δίκαιόν ἐστιν“ ἔλεγε πρὸς τὸν πάππον „πολλήν τε καὶ ἀγαθὴν ἔχοντας στρατιὰν, καὶ δυναμένους καὶ αὐτοὺς εἰς τὴν τῶν πολεμίων ἐσβαλόντας ἐκ τοῦ ὁμοίου τὴν ἐκείνων κακοῦν, ἢ ἀργοὺς καὶ ἀπράκτους καθῆσθαι παντελῶς, ἢ πρὸς σπονδὰς χωρεῖν πέμψαντας πρέσβεις, αὐτοῖς ἔργοις ὁμολογοῦντας, ὡς πάσχειν μόνον ἐπιτήδειοι κακῶς, οὐκέτι δὲ καὶ ἀντιδρᾶν ἐσμεν τοὺς πολεμίους δυνατοί. οὗ δὴ ἕνεκα δέομαί σου, βασιλεῦ, τὴν ἐπ’ ἐκείνοις καὶ ἡμῖν ἐκστρατείαν ἐπιτρέψαι· τιμωρησαμένοις δὲ τοὺς πολεμίους τῆς ἀδικίας τῆς εἰς ἡμᾶς, τότ’ ἤδη, εἴγε φαίνοιτο λυσιτελεῖν, τὰς πρὸς αὐτοὺς ποιήσομεν σπονδὰς, ἐγνωκότας ἀκριβῶς ὡς ἀλυσιτελὲς αὐτοῖς τὸ προεπιχειρεῖν ἡμῖν.“ τοιαῦτα μὲν ὁ νέος εἴρηκε βασιλεὺς, τὸν πρεσβύτερον πρὸς τὸν κατὰ τῶν βαρβάρων πόλεμον ἐξορμῶν. παρὼν δὲ καὶ ὁ μέγας δομέστικος αὐτοῖς διαλεγομένοις „τὸ ἀδικεῖσθαι“ εἶπε „καὶ κακῶς πάσχειν ὑφ’ ὁτουοῦν ἐν πᾶσιν ἴσον ὄν, μείζω ἢ ἐλάσσω τὴν ὀδύνην παρὰ τὸ ἀξίωμα τῶν ἀδικούντων φέρει. [20]

1 181 διὸ καὶ πάντες ἄνθρωποι τοῖς κρείττοσι μὲν δουλεύουσιν ἀνεπαχθῶς, ἀμύνεσθαι δὲ ἀξιοῦσι τοὺς ἴσους, ἂν ἀδικῶνται· καὶ μᾶλλόν τοι αἱροῦνται τὸν κίνδυνον ὑπὲρ τοῦ μὴ δουλεύειν καὶ τῆς εὐκλείας, ἢ τὴν ἐν τῷ αὐτίκα ῥᾳστώνην δέει τοῦ μὴ φοβερώτερα παθεῖν. οἱ νυνὶ δὲ πολεμοῦντες ἡμῖν Μυσοὶ οὐχ ὅπως μείζους, ἀλλὰ καὶ ἐλάσσους ἡμῶν εἰσι πολλῷ τῷ μέτρῳ. οἵ τε γὰρ βασιλεύοντες ἡμῶν ὑμεῖς τῶν ἐκείνων βασιλέων καὶ φρονήσει καὶ ἀνδρίᾳ καὶ ἐμπειρίᾳ τῇ πρὸς τοὺς πολέμους ὑπερέχετε πολλῷ, καὶ στρατηγοῖς ἔχετε χρῆσθαι καὶ πλείοσι καὶ βελτίοσιν ἐκείνων· χώρας τε ἄρχετε κατὰ πάντα ὑπερεχούσης καὶ πλήθει στρατιᾶς καὶ μεγέθει πόλεων καὶ ἀριθμῷ καὶ προσόδοις ἐτησίοις καὶ τῇ ἄλλῃ πάσῃ κατασκευῇ. ἄτοπον οὖν ἐκείνους μὲν ἐκ τοῦ ἐλάττονος ὁρμωμένους ἡμᾶς κακοῦν, ὑμᾶς δὲ μὴ χρῆσθαι τῇ σφετέρᾳ αὐτῶν δυνάμει, ἀλλ’ ἐᾷν αὐτοὺς ἀτιμωρήτους. τοῦτο μὲν οὖν ὑμῖν προσήκειν ἡγοῦμαι τοῖς βασιλεῦσιν. ἐγὼ δὲ καὶ ἄλλως μὲν πρόθυμος πρὸς τὸ τοῖς προστάγμασιν ὑμῶν ἐξυπηρετεῖν δίκαιος εἶναι ὁμολογῶ· πρὸς δὲ τὸν ἐνεστῶτα νυνὶ πόλεμον τουτονὶ οὐκ αὐτοχειρίᾳ μόνον, ἀλλὰ καὶ χρήμασιν ἰδίοις καὶ οἰκέταις ὑπέρ τε τῆς τῶν ὁμοφύλων ὠφελείας καὶ τῆς εὐδοξίας τῶν βασιλέων ὑμῶν, τὴν δυνατὴν ἕτοιμός εἰμι εἰσφέρειν καὶ σπουδὴν καὶ προθυμίαν. οἶομαι δὲ οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ τοὺς ἄλλους ὁμοίως ἐμοὶ τῶν ἐπιφανεστέρων διακεῖσθαι. [20]

1 182

εἰ δ’ ὑμῖν δοκεῖ καὶ προστάττετε τοῦτο, καὶ καθ’ ἑαυτοὺς ἡμεῖς, οἱ τῆς συγκλήτου, ποιήσαντες ἐκκλησίαν ὅ, τι χρὴ πράττειν βουλευσόμεθα περὶ τοῦδε τοῦ πολέμου.“ λη′. Ἐπαινέσαντος δὲ τοῦ πρεσβυτέρου βασιλέως καὶ ἐπιτρέψαντος τὴν βουλὴν, οἵ τε μετὰ τοῦ νέου βασιλέως ἐλθόντες καὶ οἱ τῷ πρεσβυτέρῳ συνόντες ἐν Βυζαντίῳ τῶν ἐπιφανῶν, προστεταχότων τῶν βασιλέων, ἐν μέσαις ταῖς βασιλείοις ἐκαθέσθησαν αὐλαῖς, βουλευσόμενοι περὶ τοῦ πολέμου. σιγῆς δὲ γενομένης ἐπὶ μικρὸν, οἱ ἐν Βυζαντίῳ τοὺς μετὰ τοῦ νέου προὐκαλοῦντο βασιλέως ἐλθόντας, ἐφ’ οἷς συνήγαγον τὴν ἐκκλησίαν λέγειν, ὡς αὐτῶν ἅττα ἂν λέγωσιν ἀκουσομένων. ἐκείνων δὲ τὸν μέγαν δομέστικον προτρεπομένων λέγειν ὡς καὶ αὐτῶν τὰ ἴσα καὶ βουλομένων καὶ φρονούντων, ὁ μέγας δομέστικος εἶπε τοιάδε· „ἄνδρες συστρατιῶται, ἐν ἴσῳ πάντες ἄνθρωποι δικαιοῦσι τῷ τε τῆς ὑπαρχούσης δόξης ὑφιεμένῳ μέμφεσθαι διὰ μαλακίαν, καὶ τὸν τῆς μὴ προσηκούσης θρασύτητι ἐφιέμενον μισεῖν. διὸ καὶ αὐτὸς οὐ τῆς μὴ προσηκούσης ἡμῖν δόξης ἀντέχεσθαι παρελήλυθα συμβουλεύσων, ἀλλὰ τὴν ὑπὸ τῶν προγόνων εἰς ἡμᾶς ἀγῶσι καὶ πόνοις διασωθεῖσαν ἀτολμίᾳ τῇ πρὸς τὰ δεινὰ ἐλάσσω μὴ ποιεῖν. μὴ θαυμάσητε δὲ, εἰ, βασιλεῦσι περὶ τῶν τοιούτων βουλεύεσθαι προσῆκον, αὐτὸς ὑμῖν προὔθηκα τὴν βουλήν. ἡγοῦμαι γὰρ καὶ πόλιν αὐτονομουμένην καὶ βασιλείαν πλείω τοὺς ἰδιώτας ὠφελεῖν σύμπασαν ὀρθουμένην, ἢ κακῶς πάσχουσαν ἀθρόαν, καθ’ ἕκαστον δὲ εὐπραγοῦσαν τῶν πολιτῶν. [20]

1 183 δυστυχῶν μὲν γὰρ ἐν εὐπραγούσῃ τῇ πατρίδι μάλιστ’ ἄν τις διασώζοιτο· εὖ δὲ φερόμενος ἐν ἀτυχούσῃ οὐδὲν ἧττον συναπόλλυται. ὁπότε οὖν καὶ πόλις καὶ βασιλεία πρὸς μὲν τὰς ἰδίας συμφορὰς οἵα τε ἀντέχειν, εἷς δὲ ἕκαστος ἀδύνατος πρὸς τὰς ἐκείνης, πῶς οὐ χρὴ παντὶ τρόπῳ πάντας ἀμύνειν αὐτῇ; ἃ μὲν οὖν εἰς ἡμᾶς ὁ τῶν Μυσῶν ἐξύβρισε βασιλεὺς, πάντες ἀκηκόατε καὶ αὐτοί. τῶν ἄλλων γὰρ λῃστείαις χρωμένων, ἤ, εἴποτε καὶ ἐσβάλλοιεν στρατιᾷ, ἄχρι τῆς ἄκρας ἀφικνουμένων καὶ ἅμα τῷ αἴσθησιν παρασχεῖν ἀποδιδρασκόντων εἰς τὴν ἰδίαν, αὐτὸς ὥσπερ οὐκ εἰς πολεμίαν, ἀλλ’ εἰς τὴν ἰδίαν ποιούμενος τὰς στρατοπεδείας, ἀσφαλῶς καθήμενος ἐδῄου τὴν γῆν ἡμῶν ἐπὶ δυοκαίδεκα ἡμέραις· καὶ προῆλθέ γε ἄχρι Βήρας καὶ Τραιανουπόλεως, τέμνων αὐτήν. εἴ τῳ δὲ δοκεῖ διὰ τὸ ἐκ προνοίας ἐν ταῖς πόλεσι καὶ τοῖς φρουρίοις τά τε βοσκήματα καὶ τοὺς ἀνθρώπους ἐγκατακλεισθέντας ἐλάσσω, ἢ ἐχρῆν γενέσθαι, τὴν ζημίαν ἀνεκτὸν εἶναι, ἴστω ἐξαπατῶν ἑαυτόν. ἐὰν γὰρ μὴ νῦν τιμωρησώμεθα αὐτοὺς ἀξίως, καὶ δευτέραν ἐσβολὴν ποιήσονται καὶ τρίτην· καὶ οὐ μόνον τοὺς τῶν πόλεων δήμους ἀπ’ ἐλασσόνων ὁρμωμένους ἀποστερήσουσι καὶ τούτων, ἀλλὰ καὶ ἡμᾶς τοὺς δυνατοὺς, πολλὰ καλὰ κτήματα ἔχοντας κατὰ τὴν χώραν, ζημιώσουσι πολλά. διὸ δὴ καὶ παραινῶ ὑμῖν, ὁμόσε χωρεῖν τοῖς πολεμίοις, μὴ φρονήματι μόνον τῶν προγόνων, ἀλλὰ καὶ καταφρονήματι χρωμένους. [20]

1 184 ἐκεῖνοί τε γὰρ ἐκ τοῦ ἀεὶ νικᾷν τοὺς Μυσοὺς ἐχυρωτέραν ἔχοντες τὴν τόλμαν, καταφρονητικῶς ἐπῄεσαν αὐτοῖς, καὶ ἡμῖν, ἐὰν τῆς ἐκείνων ἀρετῆς καὶ προθυμίας φανῶμεν ζηλωταὶ, τὸ αὐτὸ ἐξέσται. ἔχομεν δὲ καὶ πολλὰ ἐνέχυρα ἀσφαλῆ τοῦ περιγενέσθαι ἂν αὐτῶν ἐν τῷ πολέμῳ. ἥ τε γὰρ ἡμετέρα στρατιὰ πλείων καὶ τὰ πολέμια κραταιότερα, ὑμῶν τε τῆς συγκλήτου πολλοὶ τῶν ἐκείνων βασιλέων οὐ φρονήσει μόνον, ἀλλὰ καὶ ἀνδρίᾳ καὶ πείρᾳ τῇ πρὸς στρατηγίας ὑπερέχετε πολύ· χρήμασί τε οὐκ ἐκ τῶν κοινῶν μόνον, ἀλλὰ καὶ ἐκ τῶν ἰδίων ἐῤῥώμεθα μᾶλλον ἐκείνων. οἷς εἰ μὴ χρησαίμεθα νῦν, ὁπότε ἂν ἀπολαύσαιμεν τῆς ἐξ αὐτῶν ὠφελείας ἀπορῶ. ὡς οὖν ἐν πᾶσιν ὑπερέχοντες αὐτῶν, διδάξωμεν αὐτοὺς οὐ τὸ ἐς τὴν ἡμετέραν εἰσβάλλειν ὂν λυσιτελὲς, ἀλλὰ τὸ τὴν ἰδίαν ἀσινῆ καρποῦσθαι ἀγαπητόν· καὶ προθύμως συναγωνισώμεθα κατὰ τόνδε τὸν πόλεμον τοῖς ἡμετέροις βασιλεῦσι καὶ χρήμασι καὶ οἰκέταις καὶ τοῖς σώμασιν αὐτοῖς, τῇ τε τῆς Ῥωμαίων ἡγεμονίας τιμῇ ἀπὸ τοῦ μὴ ὑπὸ τῶν βαρβάρων καταφρονεῖσθαι, ᾗ ἀγαλλόμεθα πάντες, βοηθῶμεν καὶ μὴ φεύγωμεν τοὺς πόνους. ἃ μὲν οὖν εἶπον, προθύμως ἅπτεσθαι τοῦ πολέμου παραινῶν ὑμῖν, οὐδὲ αὐτοὺς ἂν λογισαμένους

ὡς οὐ καλῶς ἔχουσιν, ἀντειπεῖν δοκῶ. ὅτι δὲ πρὸς τὴν ἴσην παρεσκεύασμαι καὶ αὐτὸς καὶ σπουδὴν καὶ προθυμίαν, ἐξ αὐτῶν ἔσται τῶν ἔργων τὴν ἀπόδειξιν παραλαβεῖν. [20]

1 185 ἀνδρίᾳ μὲν γὰρ καὶ συνέσει καὶ ἐμπειρίᾳ τῇ πρὸς τοὺς πολέμους πολλοῖς ἂν ὑμῶν συγχωρήσαιμι τὸ πλέον ἔχειν· τῇ προθυμίᾳ δὲ τῇ κατὰ τὰ ἔργα καὶ τῷ ὑπὲρ τῆς τῶν ὁμοφύλων ὠφελείας καὶ τῆς βασιλέων τῶν ἡμετέρων τιμῆς καὶ ἡμῶν αὐτῶν εὐδοξίας καὶ χρήματα καὶ οἰκέτας καὶ αὐτὸ τὸ σῶμα ἐπιδοῦναι, οὐδενὸς εἶναι δεύτερος ἀξιῶ. ὡς οὖν οὐχ ὑπὲρ εὐδοξίας μόνον, ἀλλὰ καὶ τῆς εἰσέπειτα ἀσφαλείας βουλευόμενοι, οὕτω καὶ ψηφισώμεθα καὶ ἀψώμεθα τοῦ πολέμου· καὶ μὴ χείρους φαινώμεθα τῶν προγόνων, οἳ μετὰ πόνων καὶ κινδύνων τὸ μὴ ὑπὸ τῶν τοιούτων περιφρονεῖσθαι παρέδοσαν ἡμῖν· ἀλλὰ πολὺ φοβερώτερον νομίζωμεν τὴν οὖσαν εὐδοξίαν ἀπραγμοσύνῃ ἂν ἀφαιρεθῆναι, ἢ κτώμενοι ἀτυχῆσαι.“ Τοιαῦτα μὲν ὁ μέγας δομέστικος εἶπεν. ὁ πρωτοστράτωρ δὲ μετ’ αὐτὸν „μὴ νομίζετε“ εἶπεν „ὦ παρόντες, τὸν μέγαν δομέστικον μόνον τοιαῦτα καὶ βουλεύεσθαι καὶ προθυμεῖσθαι, ἀλλὰ καὶ ἡμῖν ἅπασι ταῦτα συνδοκεῖν· καὶ μὴ ἂν τὰ ἡμέτερα ὀρθωθῆναι, εἰ μὴ καὶ σπουδὴν καὶ τόλμαν ἀξίαν καὶ τῆς τῶν προγόνων καὶ ἡμῶν αὐτῶν ἀναλάβωμεν εὐδοξίας.“ τὰ ἴσα δὲ καὶ οἱ τῷ νέῳ βασιλεῖ συνόντες συνεπεψηφίσαντο πάντες. τοῖς δ’ ἐν Βυζαντίῳ τῷ πρεσβυτέρῳ συνοῦσι βασιλεῖ ἀναγκαῖα μὲν οὐκ ἐδόκει τὰ εἰρημένα· οὐ μέντοι καὶ ὡς ἀλυσιτελῆ ἐτόλμησαν φανερῶς ἀντειπεῖν, ἀλλὰ πολλὰ ἐφεξῆς συνείραντες, ἐξ ὧν κατεσκεύαζον ἀδήλως, ὡς δεῖ τὴν ἀπραγμοσύνην μᾶλλον αἱρεῖσθαι, ἀνέστησαν ἀσύμφωνοι ταῖς γνώμαις, τὸ μὲν δοκεῖν, ἐξ ἀποριῶν τινων εἰς ἀμηχανίαν καθιστάμενοι, τὸ δ’ ἀληθὲς, οὐχ ἃ τῷ κοινῷ λυσιτελεῖ, ἀλλ’ ἃ αὐτοῖς ἰδίᾳ διαφέρει σκοποῦντες. [20]

1 186 ἐπηκροῶντο δὲ καὶ οἱ βασιλεῖς ἔνδοθεν τῶν λεγομένων, ὄντες οὐ μακράν. βασιλεὺς μὲν οὖν ὁ νέος ἐφθέγξατο οὐδέν· ὁ δέ γε πρεσβύτερος τῶν μὲν αὐτῷ συνόντων ἀνανδρίαν τε πολλὴν κατεγίνωσκε καὶ ἀβουλίαν, τοὺς δὲ τῷ ἐγγόνῳ συνόντας ἐθαύμαζε τῆς εὐβουλίας, καὶ τῆς ὑπὲρ τοῦ κοινῇ συμφέροντος σπουδῆς ἐπῄνει· μάλιστα δὲ τὸν μέγαν δομέστικον συνετῶς ἄγαν καὶ καιρίως βεβουλευμένον, καὶ ἀκριβεῖς ἔλεγεν αὐτῷ τοῦ πρὸς μητρὸς πάππου χαρακτῆρας ἐνορᾶν, ὃς οὕτως ἦν τά τε δέοντα συνεῖναι ὀξὺς καὶ ἑρμηνεῦσαι ταῦτα ἱκανὸς καὶ καταπράξασθαι δραστηριώτατος· „ὡς παρ’ ἐμοὶ κριτῇ, εἴγε ἐτελεύτων ἐξ ὀσφύος οὐκ ἔχων διάδοχον τῆς βασιλείας καταλιπεῖν, ἐκεῖνον ἂν συνεβούλευσα Ῥωμαίοις προστήσασθαι ἑαυτῶν.“ οὕτω μὲν ὁ βασιλεὺς τῶν μὲν κατέγνω, τοὺς ἑτέρους δὲ ἠξίωσεν ἐπαίνων. αὐτὸς δ’ ὅ,τι χρὴ πράττειν ἅμα τῷ νέῳ βασιλεῖ περὶ τοῦ προκειμένου ἐβουλεύοντο πολέμου. ἐξετάζοντες δὲ τὸν λόγον, ὃν πρὸς βασιλέα τὸν νέον ὁ βασιλεὺς Μυσῶν μεμήνυκε Μιχαὴλ, (ὡς εἴσω ὀλίγου χρόνου διὰ τὴν ἐσομένην αὐτοῖς φιλίαν συστρατευόμενοι πρὸς τοὺς ἑτέρωθί που μαχοῦνται πολεμίους,) καὶ μηδὲν ἕτερον στοχάζεσθαι δυνάμενοι, ἢ ὅτι Μιχαὴλ τὴν βασιλέως ἀδελφὴν, ἢ τῷ προβεβασιλευκότι Μυσῶν συνῴκει, βούλεται γυναῖκα ἀγαγέσθαι, ἐπεψηφίζοντο τὸν μὲν βασιλέα τὸν νέον ἐξελθόντα Βυζαντίου, στρατιὰν συναθροίζειν ὡς ἐς τὴν Μυσίαν ἐσβαλοῦντα. [25]

1 187 εἰ μὲν οὖν ἐν ταῖς ἡμέραις τῆς παρασκευῆς ὁ τῶν Μυσῶν πρεσβείαν πέμψας βασιλεὺς χωροίη πρὸς σπονδὰς ἐπὶ τῷ τὴν βασιλέως γῆμαι ἀδελφὴν, τὴν στρατιὰν πάλιν κατὰ πόλεις διαλυθῆναι· εἰ δὲ μὴ ἐπικηρυκεύοιτο, εἰς τὴν Μυσίαν ἐσβαλεῖν. ἐπὶ τούτοις μὲν οὖν ὁ νέος βασιλεὺς ἐξῆλθε τοῦ Βυζαντίου καὶ συνήθροιζε τὴν στρατιάν. λθ′. Μεταξὺ δὲ συναθροιζομένου, ἐκ Μυσῶν βασιλέως ἀφίκοντο πρὸς βασιλέα τὸν νέον πρέσβεις, ὁ Γρίδος καὶ ὁ Πάντζος, λέγοντες ὡς ὁ βασιλεὺς αὐτῶν βασιλεῦσι Ῥωμαίων ἐθέλων εἶναι φίλος, τὴν βασιλέως ἔγημεν ἀδελφὴν, ἢ τῷ πρὸ αὐτοῦ βεβασιλευκότι Μυσῶν συνῴκει, καὶ τὰ νενομισμένα ἐτελέσθησαν ἐπὶ τοῖς γάμοις. προσήκειν οὖν τὰς μὲν διαφορὰς ἁπάσας καὶ προφάσεις τοῦ πολέμου ἐκποδὼν γενέσθαι· αὐτοὺς δὲ εἰρηνικὰς θεμένους σπονδὰς, τὸν ἐς ἀεὶ

χρόνον ἀναμίγνυσθαι Ῥωμαίους Μυσοῖς καὶ μηδὲν ἀλλήλους ἀδικεῖν, ἀλλ᾽ ὥσπερ ὑπὸ μίαν ἡγεμονίαν πάντας τελεῖν. ἀσμένως δὲ αὐτοὺς δεξάμενος ὁ βασιλεὺς καὶ δώροις ἀμειψάμενος βασιλικῶς, καὶ τὴν γεγενημένην ἐπιγαμίαν κατὰ γνώμην αὐτῷ γεγενῆσθαι εἰπών, εἶτα καὶ αὐτὸς πρὸς τὸν Μυσῶν βασιλέα καὶ κηδεστὴν τὸν Παλαιολόγον Ἀνδρόνικον τὸν μέγαν στρατοπεδάρχην καὶ Ἰωάννην τὸν Ἀπλησφάρην πρέσβεις ἅμα συνεξέπεμψεν αὐτοῖς βεβαιώσοντας τὴν εἰρήνην. καὶ διῆγον ἔνσπονδοι οἱ Ῥωμαῖοι καὶ οἱ Μυσοὶ μέχρι πολλοῦ. τήν τε στρατιὰν ἐκέλευσεν ἐπ᾽ οἴκου ἕκαστον διαλυθῆναι, καὶ τῷ πάππῳ καὶ βασιλεῖ διὰ γραμμάτων τὰ γεγενημένα ἐδήλου. [25]

1 188 ἀλλὰ ταῦτα μὲν τοῦτον συνηνέχθη τὸν τρόπον. τὸ δὲ ἐξ Ὑπερβορέων Σκυθικὸν πλήθει τε ἀναρίθμητον σχεδὸν ὂν καὶ δυνατώτατον τῶν ἑκασταχοῦ ἐθνῶν, ἐν μὲν τοῖς παλαιοτέροις χρόνοις ἐτησίως εἰς τὴν Ῥωμαίων εἰσβάλλον, τὰ μέγιστα ἐκάκου, τὸ προστυχὸν ἐξανδραποδιζόμενον ἅπαν. συνιδόντες δὲ οἱ βασιλεῖς Ῥωμαίων, ὡς μάχῃ πρὸς αὐτοὺς διαγωνίζεσθαι ἀδύνατοι εἶεν, δώροις καὶ φιλοφροσύναις τοὺς αὐτῶν θεραπεύοντες σατράπας, τὸ μὴ ὑπ᾽ αὐτῶν διαφθείρεσθαι ἐκαρποῦντο. μάλιστα δὲ αὐτοὺς ἐξημέρου καὶ φιλίως διετίθει πρὸς Ῥωμαίους τὸ ἐκ τῶν βασιλικῶν οἴκων γυναῖκας ἄγεσθαι ἑαυτοῖς· περιμάχητον γὰρ αὐτοῖς τὸ τοιοῦτο διὰ τὸ τὸν βασιλέα Ῥωμαίων Ἀλεξάνδρου τοῦ Μακεδόνων καὶ Περσῶν βασιλέως οἴεσθαι διάδοχον εἶναι. ὃ δὴ καὶ οἱ Ῥωμαίων βασιλεῖς εἰδότες, παρθένους τὴν ὄψιν διαπρεπεῖς, οὐκ εὖ γεγονυίας μόνον, ἀλλὰ καὶ ἐξ ἀσήμων γενῶν ἐν τοῖς βασιλείοις ἐκτρέφοντες, ὡς θυγατέρας ἑαυτῶν, ὁπότε δέοι, τοῖς Σκυθῶν σατράπαις κατηγγύων. καὶ διὰ τοιούτων ἐπινοιῶν καὶ τρόπων θεραπευόμενοι ἐπὶ πολλοῖς ἔτεσιν οὐκ ἐσέβαλον εἰς τὴν Ῥωμαίων. τοῦ δὲ ἔτους, οὗ Μιχαὴλ ὁ Ῥωμαίων βασιλεὺς τῶν Παλαιολόγων ὁ δεύτερος ἐτεθνήκει, τὴν Μυσίαν Σκυθικὴ καταδραμόντες στρατιὰ, μέρος τι αὐτῆς καὶ τὴν Ὀδρυσῶν ἄχρι Ἀδριανουπόλεως ἐπῆλθε καὶ ἐζημίωσεν οὐ πολὺ, ἅτε καὶ τῆς στρατιᾶς εὐαριθμήτου οὔσης. τοῦ δὲ ἐπιόντος ἔτους, τοῦ νέου βασιλέως διὰ τὸν πρὸς τὸν πάππον πόλεμον περὶ Βυζάντιον ἐστρατοπεδευμένου, Σκυθικὴ στρατιὰ οὐκ ὀλίγη ἐς τὴν Ῥωμαίων ἐσβαλοῦσα, πᾶσαν μὲν ἐπέδραμε τὴν Θρᾴκην, ἐζημίωσε δὲ οὐ πολλὰ διὰ τὸ τοὺς ἄρχοντας τῶν κατὰ Θρᾴκην πόλεων τὴν ἔφοδον προγνόντας, τοὺς κατὰ τὴν χώραν ἐσκεδασμένους ἀνθρώπους συστεῖλαι εἰς τὰς πόλεις. [5]

1 189 ἑβδόμης δὲ ἰνδικτιῶνος ἱσταμένης, ἐκ τῶν Σκυθῶν δυοκαίδεκα μυριάδες ἐσέβαλλον εἰς τὴν Ῥωμαίων. ἐστρατήγουν δὲ αὐτῶν μυρίαρχοί τε καὶ χιλίαρχοι κατὰ τὸν ἀριθμὸν, καὶ αὐτοκράτορες στρατηγοὶ δύο, Ταιτὰχ καὶ Τογλοὺ Τοργάν. ἐχρόνισαν μὲν οὖν οἱ Σκύθαι μάλιστα ἐν τῇ ἐσβολῇ ταύτῃ· τεσσαρακοστῇ γὰρ ἡμέρᾳ μετ᾽ αὐτὴν ἐν μέσῃ καθήμενοι τῇ Θρᾴκῃ, αὐτὴν ἐδῄουν· καὶ πλῆθός τε ἀνδραπόδων εἶλον καὶ λείαν ἑτέραν οὐκ ἀριθμητὴν, καὶ τὰ μέγιστα ἐκάκωσαν τὴν βασιλέως γῆν. βασιλεὺς δὲ ὁ νέος τὴν μὲν ὑπὸ Ῥωμαίους ἅπασαν οὐκ ἠδυνήθη συναθροῖσαι στρατιὰν, (διεσκεδασμένοι γὰρ κατὰ πόλεις ἐφύλαττον ἕκαστος τὴν αὐτῶν,) ὅσους δὲ ἐνῆν μάλιστα συναθροίσας, ἀνιχνεύων περιῄει, εἴπου μέρει τινὶ τῆς Σκυθικῆς στρατιᾶς ἐντυχὼν, ὅσον ἂν ἐξῇ ἀμύναιτο αὐτούς. ἐπὶ πεντεκαίδεκα μὲν οὖν ἡμέραις τὸ αὐτὸ ἐποίει συνεχῶς· μηδὲν δὲ ὧν ἠβούλετο ἀνύων, εἰς Ἀδριανούπολιν ἐλθὼν, τὸ μὲν πολὺ κατέλιπεν ἐκεῖ τῆς στρατιᾶς διὰ τὸ τῶν ἐπιτηδείων τὴν πόλιν εὐπορεῖν, αὐτὸς δὲ τῆς στρατιᾶς ὀλίγους ἅμα τῷ μεγάλῳ δομεστίκῳ παραλαβὼν, τὴν ἐς Διδυμότειχον ᾔει. μεταξὺ δὲ τῆς τε Ἀδριανοῦ καὶ αὐτοῦ, ἐν χωρίῳ τινὶ Προμουσούλου προσαγορευομένῳ, στρατιᾷ περιέτυχον Σκυθικῇ, ἀνδράποδά τε καὶ λοιπὴν λείαν ἀγούσῃ πολλήν. [20]

1 190 οὕτω δὲ τοῦ τόπου παρασχόντος, τοῖς μὲν Ῥωμαίοις ἡ τῶν Σκυθῶν στρατιὰ ἦν καταφανὴς, οὐκέτι δὲ καὶ ἡ Ῥωμαίων αὐτοῖς. βουλευσαμένῳ δὴ τῷ βασιλεῖ ἅμα τῷ μεγάλῳ δομεστίκῳ, ἐδόκει ἐπιχειρεῖν αὐτοῖς, εἰ καὶ τριπλασίους ἢ καὶ πλείους τῶν σφετέρων ἐνομίζοντο στρατιωτῶν· ἦσαν δὲ οὐ τρὶς, ἀλλὰ καὶ δεκάκις τόσοι. ἦσαν γὰρ ἐγγὺς αὐτῶν καὶ ἕτεροι

ἐστρατοπεδευμένοι, οὓς ἀφανεῖς ὁ Ἕβρος ἐποίει κειμένους παρ' αὐτῷ, οἳ προσεβοήθουν, γενομένης τῆς συμβολῆς. οὕτω δὲ δόξαν, καὶ τοῖς στρατιώταις τὴν γνώμην ἐκοινοῦντο. ὡς δὲ καὶ αὐτοῖς ἐδόκει μαχητέα εἶναι, καὶ μᾶλλον ἦσαν προθυμότεροι τοῦ βασιλέως, τῶν ἵππων ἀποβάντες καὶ θεὸν ἐπικαλεσάμενοι, τοὺς μὲν ἀδίκως ἐπιστρατεύσαντας κολάσασθαι τῆς ἀδικίας, αὐτοῖς δὲ τιμωρῆσαι δικαίως ἀμυνομένοις, σταυρῷ τε καθοπλίσαντες ἑαυτοὺς, ἔφιπποι γενόμενοι, ἐπῄεσαν τοῖς βαρβάροις ἀτρέπτῳ καὶ παραβόλῳ φρονήματι. καὶ οἱ Σκύθαι ἰδόντες ἀντεπῄεσαν καὶ αὐτοί· προσεβοήθουν δὲ καὶ οἱ ἐγγὺς ἐστρατοπεδευμένοι. καὶ γενομένης μάχης καρτερᾶς, θεοῦ συμμαχοῦντος τοῖς Ῥωμαίοις, ἐτρέψαντό τε τοὺς βαρβάρους καὶ ἐνίκησαν κατὰ κράτος· καὶ τοὺς μὲν ἀπέκτειναν αὐτῶν, τοὺς δὲ λοιποὺς ἀπέπνιξαν εἰς τὸν Ἕβρον ἐμβαλόντες. διεσώθησαν δὲ οὐ πλείους ὀκτὼ καὶ εἴκοσιν αὐτῶν, οἵτινες ἴσχυσαν διανήξασθαι τὸν ποταμόν. οἱ δὲ Ῥωμαῖοι τούς τε νεκροὺς σκυλεύσαντες τῶν πολεμίων, καὶ τὴν ἄλλην διαρπάσαντες ἀποσκευὴν, καὶ τὴν λείαν καὶ τοὺς αἰχμαλώτους λαβόντες, ἦκον εἰς Διδυμότειχον ἅμα τῷ βασιλεῖ. τῶν δὲ διασωθέντων βαρβάρων εἰς τὸ μέγα στρατόπεδον ἐλθόντων, ὡς τοῖς στρατηγοῖς ἠγγέλθη τὸ συμβὰν, στρατιὰν ἐκ τῶν ἀρίστων οὐκ ὀλίγην ἐπιλεξάμενοι, ἀπέστειλαν καθ' ὃν ἡ μάχη τόπον ἐγεγόνει, ὡς ἂν εἰ μὲν ἐντύχοιεν τοῖς νικήσασι Ῥωμαίων, ἀναμαχέσωνται τὴν ἥτταν· εἰ δ' οὖν, ἀλλὰ τούς τε σφετέρους θάψωσι νεκροὺς, καὶ εἴ τινες ἐν αὐτοῖς εὑρεθῶσιν ἐμπνέοντες τραυματίαι, ἀνελόμενοι ἀξιώσωσιν ἐπιμελείας. [5]

1 191 ἐλθόντες δὲ καὶ ταφῆς ἠξιωκότες τοὺς νεκροὺς, (ζῶντα γὰρ οὐδένα εὗρον,) πρὸς μὲν τὸ στρατόπεδον ὑπέστρεψαν οὐκέτι, τὴν δὲ πρὸς τὰ οἰκεῖα φέρουσαν ἥνυον ὁδόν. ὡς δὲ ἠγγέλθη βασιλεῖ περὶ Μόῤῥαν εἶναι Σκυθικὴν στρατιὰν, Διδυμοτείχου ἐξελθὼν, ἤλαυνεν ὡς εἶχε τάχους ἐπ' αὐτούς. διαβάντων δὲ αὐτῶν τὸν Ἕβρον κατὰ τὴν Τζερνομιάνου λεγομένην πόλιν, ἐπεὶ καὶ ὁ βασιλεὺς κατὰ τὸν αὐτὸν διεβίβασε πόρον ἣν ἦγε στρατιὰν, ἡ κατὰ τὴν Ἀδριανούπολιν καταλειφθεῖσα παρὰ βασιλέως στρατιὰ ἅμα τοῖς σφετέροις ἄρχουσιν ἐνταῦθα προσέμιξαν τῷ βασιλεῖ, συγχαίροντες μὲν αὐτῷ τῆς κατὰ τῶν βαρβάρων νίκης, ἀνιώμενοι δ', ὅτι καὶ αὐτοὶ μὴ παρῆσαν, ἀλλ' ὑστέρησαν τῆς μάχης, καὶ ἐπεδίωκον ἐνωθέντες. γενόμενοι δὲ κατὰ τὸν Τοῦντζαν λεγόμενον ποταμὸν, τὴν μὲν Σκυθικὴν ἄρτι διαβᾶσαν εὗρον στρατιάν. ὥσπερ δὲ καὶ πρότερον, τοῦ τόπου παρασχόντος, αὐτοῖς μὲν ἡ τῶν Σκυθῶν ἑωρᾶτο πᾶσα στρατιὰ, αὐτοὶ δὲ ἀθέατοι ἦσαν, πλὴν ὀλίγῳ ἐλασσόνων τῶν προτάκτων ἑκατὸν, ἐν οἷς καὶ αὐτὸς ἦν βασιλεύς. οὓς ἰδόντες οἱ Σκύθαι, τῆς πορείας μὲν ἔστησαν καὶ αὐτοὶ, οὐ μέντοι καὶ ἐχώρησαν πρὸς μάχην, τοῦτο μὲν, ὅτι καὶ ὁ ποταμὸς πλημμυρῶν ἦν ἤδη ἔαρος ἀρχομένου· τοῦτο δ', ὅτι καὶ τῶν πολεμίων ἀφανῶν ὄντων ἐδεδοίκεσαν τὴν συμπλοκὴν, μὴ οὐκ ἀπαλλάξουσι καλῶς πλειόνων ἢ κατὰ σφᾶς ὄντων. [5]

1 192 τοῖς Ῥωμαίοις τε ὁμοίως ἀλυσιτελὲς τὸ κατὰ τῶν Σκυθῶν ἐφαίνετο χωρεῖν, οὐ δεκάκις ἀλλὰ περαιτέρω ὑπερέχοντας αὐτῶν τῷ ἀριθμῷ. ὅμως δὲ βασιλεὺς ἅμα τοῖς φαινομένοις Ῥωμαίων καὶ Ταςπουγᾶς, εἷς τῶν παρὰ Σκύθαις στρατηγούντων, καὶ αὐτὸς ἅμα τοσούτοις βαρβάροις, ἐν ἑκατέροις μέρεσι γενόμενοι τοῦ ποταμοῦ, διάλογόν τινα ἐποιήσαντο βραχύν. ἐρομένου γὰρ αὐτοὺς οἵτινες εἶεν τοῦ βαρβάρου, διά τινος ἀπεκρίνατο τῶν διγλώσσων ὁ βασιλεὺς, ἄνθρωποι εἶναι καὶ αὐτοὶ θηρεῦσαί τι ζητοῦντες, ὥσπερ καὶ αὐτοὶ ποιοῦσιν. οὐ καλῶς δὲ ἔφασκεν αὐτοὺς ὁ βασιλεὺς, οὐδὲ ἀνδρείων, ἀλλὰ λῃστῶν ἔργον ποιεῖν, ἀκήρυκτοί τε ἐπερχόμενοι καὶ γεωργοὺς ἐξανδραποδιζόμενοι, ἀνθρώπους οὐκ εἰδότας πολεμεῖν. ἔδει γὰρ αὐτοὺς μᾶλλον τὴν ἔφοδον αὐτῶν προκαταγγέλλοντας, στρατιώταις ἐντυγχάνειν εἰθισμένοις πολεμεῖν· κἂν αὐτῶν ἦτε κρείττους, οὐδὲν ἦν θαυμαστὸν, εἰ καὶ τούτους τοὺς ἀπολέμους ἐξηνδραποδίζεσθε ἆθλον τῆς ἀρετῆς. Ταςπουγᾶς δὲ οὐδὲν ἔφασκε τούτων εἶναι πρὸς αὐτούς· ὑπ' ἐξουσίαν γὰρ ὄντες, προσταττόμενοι ἐπέρχεσθαι καὶ ἀπιέναι ἢ μένειν. ἠρώτα δὲ, εἰ αὐτοὶ εἶεν οἱ χθὲς καὶ πρώην τῆς Σκυθικῆς στρατιᾶς μάχῃ κρατήσαντες καὶ ἀνελόντες. [20]

1 193 ὁ βασιλεὺς δὲ μήτ᾽ αὐτοὶ εἶναι, μήτ᾽ ἀκηκοέναι ἔφασκε περὶ τούτων· ἐνδέχεσθαί γε μὴν, ὥσπερ νῦν αὐτοῖς ἂν, εἰ μὴ κώλυμα ἦν ὁ ποταμὸς, συνέβη, ἑτέροις περιτυχόντας τοὺς κρατηθέντας μάχῃ διαφθαρῆναι. οὕτως, εἴρηκεν ὁ βάρβαρος, εἰκός· ἀδικίαν μέντοι τοὺς στρατιώτας ἐκείνους οὐδενὸς φεισαμένους εἰργάσθαι, ἀλλὰ τοὺς μὲν ἀποπνίξαντας ἐν τῷ ῥείθρῳ, τοὺς δὲ κατακοντίσαντας ἀφειδῶς. τοιαῦτα διαλεχθεὶς ἀπῆλθεν, ὅτι Ῥωμαίων εἴη βασιλεὺς ὁ διαλεγόμενος αὐτοῖς ἠγνοηκώς. τὸ δὲ πολὺ τῆς στρατιᾶς ἔτι τῇ Ῥωμαίων ἱκανὰς ἐνδιατρίψαντες ἡμέρας, ἐπανέζευξαν καὶ αὐτοί. φήμη μέντοι τις ᾔρετο διὰ πάντων ὁμαλῶς, ὡς πρότερόν τε βασιλεὺς ὁ πρεσβύτερος ἔχθει τῷ πρὸς τὸν ἔγγονον Σκύθας ἐπάξαι Ῥωμαίοις, καὶ νῦν οὐδὲν ἧττον, κρύφα διαπρεσβευσάμενος πρὸς αὐτοὺς, βουλόμενος ἀναστῆσαι Θρᾴκην, ὅτι προσέκειτο τῷ νέῳ βασιλεῖ. εἶχε δὲ ὑγιὲς οὐδὲν, ἀλλὰ καίτοι ὑπὸ πολλῶν φημισθεῖσα, τὸ ψεῦδος ἄκρατον εἶχεν. οὔτε γὰρ πρότερον οὔθ᾽ ὕστερον τῆς Σκυθικῆς αἴτιος ἐφόδου ἐγεγόνει. μ′. Ὁ βασιλεὺς δὲ ὁ νέος κατὰ τὸ Διδυμότειχον καὶ τὴν Ἀδριανοῦ διέτριβε πόλιν· περὶ δὲ τὴν τοῦ σίτου μάλιστα συγκομιδὴν ἡ αὐτοῦ γαμετὴ νόσῳ κατεσχέθη. διανοούμενος δὲ καὶ αὐτὸς εἰς Βυζάντιον ἀπελθεῖν, προέπεμψεν αὐτὴν, ἅμα καὶ διὰ τὴν νόσον· γενομένη δὲ ἐν Ῥαιδεστῷ, ἐπεὶ μὴ ἐδύνατο ἀντέχειν, ἐτεθνήκει ἑκκαιδεκάτῃ κατὰ Αὔγουστον μῆνα ἑβδόμης ἰνδικτιῶνος, οὐδένα ἔχουσα ἐκ βασιλέως παῖδα. τὸν μὲν οὖν νεκρὸν αὐτῆς κομίσαντες εἰς Βυζάντιον, ἐν τῇ τοῦ Λιβὸς ἔθαψαν μονῇ μεγαλοπρεπῶς καὶ βασιλικῶς. [25]

1 194 βασιλεὺς δὲ ὁ ταύτης ἀνὴρ τὴν ἐς Βυζάντιον βαδίζων, ἐνόσησε καὶ αὐτὸς κατὰ τὰς αὐτὰς ἡμέρας, γενόμενος ἐν Βιζύῃ, καὶ προσέμεινεν ἡμέρας τινὰς ἐκεῖ διὰ τὴν νόσον. ἐπεὶ δὲ ἐῤῥάϊσεν, εἴχετο τῆς ὁδοῦ, καὶ γεγονὼς κατὰ τὴν Ἡράκλειαν τῆς Θρᾴκης, συμβὰν οὕτω, τὴν τῆς βασιλίδος ἐπύθετο τελευτὴν, καὶ ἐπένθησεν ἐκεῖ ἐπὶ πεντεκαίδεκα ἡμέραις. ἔπειτα ἦκεν εἰς τὴν Κωνσταντίνου, καὶ συνδιῆγεν αὐτόθι τῷ πρεσβυτέρῳ βασιλεῖ ἄχρι Νοεμβρίου τῆς ὀγδόης ἰνδικτιῶνος. τῷ δὲ πρεσβυτέρῳ βασιλεῖ ἐδόκει δεῖν εἶναι γυναῖκα μνηστεύσασθαι τῷ ἐγγόνῳ, τοῦτο μὲν, ὅτι καὶ κατ᾽ αὐτὸ τὸ τῆς ἡλικίας ἀκμαιότατον ἦν, (ἑπτὰ γὰρ ἐπὶ τοῖς εἴκοσι μέχρι τό τε γέγονεν ἔτη,) ἄλλως θ᾽, ὅτι οὐδὲ παιδὸς ἦν πατὴρ, ὃ τοῖς βασιλεῦσι τῶν ἀναγκαιοτάτων ἐπὶ τῷ διάδοχον τῆς ἀρχῆς ἔχειν δοκεῖ. ἐκοινοῦτο δὴ καὶ τῷ νέῳ βασιλεῖ τὴν γνώμην καὶ ἐπεχείρει πείθειν, ἅμα μὲν τὴν ἐπὶ τῇ τετελευτηκυίᾳ λύπην ὑφαιρῶν, ἅμα δὲ καὶ τὰς αἰτίας ὡς ἀναγκαίας τοῦ δευτέρου γάμου προστιθείς. βασιλεὺς δὲ ὁ νέος ἐπὶ πᾶσιν ἐπέτρεπε τὴν κρίσιν τῷ πάππῳ, ὡς ἐφ᾽ οἷς ἂν αὐτῷ δόξῃ λυσιτελεῖν αὐτοῦ πεισθησομένου πάντως. σκοπουμένοις δὲ αὐτοῖς, ὅθεν ἂν ἀγάγοιντο τὴν βασιλίδα, ἐπύθοντο ὡς τοῦ τῆς Σαβωΐας ἄρχοντος, ὃν κόντον ἡ Λατίνων γλῶττα καλεῖ, ἐπὶ υἱῷ τελευτήσαντος καὶ θυγατρὶ, ὁ μὲν υἱὸς αὐτῷ τὴν ἀρχὴν διεδέξατο τοῦ πατρὸς, ἡ θυγάτηρ δὲ ἀμνήστευτος ἔτι θαλαμεύεται παρὰ τῷ ἀδελφῷ. [20]

1 195 αὐτίκα γοῦν ἐπιλεξάμενοι πρέσβεις, τόν τε παρακοιμώμενον Ἀνδρόνικον τὸν Τορνίκην καὶ τὸν ἐπὶ τοῦ στρατοῦ Τζουϊὰν ντὲ Τζεπλὲτ, Κύπριον μὲν ὄντα τὸ γένος καὶ καθ᾽ αἷμα προσήκοντα τῷ ταύτης ῥηγί. ὑποτεταγμένον δὲ αὐτοῖς ἀπέστειλαν εἰς Σαβωΐαν, εἰ μή τινι ἑτέρῳ ἐμεμνήστευτο ἡ κόρη, εἴγε καὶ τῷ ἀδελφῷ κατὰ γνώμην εἴη, ἄξοντες συνοικήσουσαν τῷ νέῳ βασιλεῖ. ἀφικόμενοι δὲ οἱ πρέσβεις ἐκεῖ, ἔτι μὲν ἀμνήστευτον εὗρον περὶ ἧς ἦκον· ἐκ μέντοι Φράντζας καὶ ἕτεροι μικρὸν πρὸ αὐτῶν τῆς αὐτῆς ἕνεκα ἦκον πρεσβείας ὡς τῷ σφετέρῳ μνηστευσόμενοι ῥηγί. ὁ δὲ τῆς μνηστευομένης ἀδελφὸς Σαβωΐας κόντος μᾶλλον εἵλετο τῷ βασιλεῖ Ῥωμαίων κατεγγυῆσαι τὴν ἀδελφὴν, καὶ μετὰ φιλοφροσύνης πολλῆς καὶ τιμῆς προσδεξάμενος τοὺς πρέσβεις Ῥωμαίων, συνέθετο τὴν ἀδελφὴν ὡς βασιλέα πέμπειν. ἅμα δὲ τῷ βασιλίδα Ῥωμαίων αὐτὴν ὀνομασθῆναι, τήν τε δίαιταν αὐτῆς πᾶσαν πρὸς τὸ μεγαλοπρεπέστερον ἐνήλλαξεν ὁ ἀδελφὸς, καὶ αὐτὸς οὐχ ᾗ καὶ πρότερον αὐτῇ προσεφέρετο ὁμοίως. πρότερον γὰρ τῇ τε ἡλικίᾳ προέχων καὶ τῷ ἄρχων αὐτὸς εἶναι, καὶ τῆς ἀδελφῆς διὰ ταῦτα ᾤετο δεῖν κρατεῖν· ἐπεὶ δὲ κατηγγύηται τῷ βασιλεῖ, κυρίαν ἑαυτοῦ τὴν ἀδελφὴν καὶ ᾤετο καὶ ὠνόμαζε, καὶ πρὸς τοὺς

Ῥωμαίων πρέσβεις τοιαῦτα φιλοτιμούμενος διεξῄει, ὡς αὐτῷ μὲν καὶ διὰ τὴν ἡλικίαν καὶ τὴν ἄλλην ἀρχὴν προσῆκε τῶν πρωτείων ἀντιποιεῖσθαι· ἐπεὶ δὲ, βουλομένου θεοῦ, καὶ μείζονος δόξης καὶ ἀρχῆς ἐπελάβετο ἡ ἀδελφὴ, δέον εἶναι καὶ αὐτὸν στέργειν τὰ ἐψηφισμένα παρὰ θεοῦ, καὶ κυρίαν ἑαυτοῦ τὴν βασιλίδα Ῥωμαίων ἡγεῖσθαι. [20]

1 196 καὶ γὰρ οὐ βάρβαροι μόνον, ἀλλὰ καὶ Ἰταλοὶ καὶ ὅσοι ἄλλοι ἄρχουσί τινων, τὴν Ῥωμαίων βασιλείαν καὶ ἑαυτῶν καὶ τῶν ἄλλων ἕκαστος καὶ μείζονα καὶ περιφανεστέραν οἴονται. μα′. Κατὰ δὲ τοὺς αὐτοὺς καιροὺς, δευτέρᾳ ἱσταμένου Φεβρουαρίου τῆς αὐτῆς ὀγδόης ἰνδικτιῶνος, ὁ νέος βασιλεὺς παρὰ τοῦ πάππου καὶ βασιλέως ἐν τῷ τῆς τοῦ θεοῦ Σοφίας ἐστέφθη ναῷ, Ἠσαΐου πατριαρχοῦντος. ἡ τοιαύτη δὲ βασιλικὴ τελετὴ τοῦτον γίνεται τὸν τρόπον. τῆς προθεσμίας ἐνστάσης, καθ’ ἣν ἤδη τέτακται τῷ θείῳ μύρῳ χρίειν τὸν βασιλέα, τοὺς ἐν ἀξιώμασι πάντας καὶ τοὺς ἐν τέλει καὶ τὴν στρατιὰν, οὐ μὴν ἀλλὰ καὶ τὸν τῶν ἱερῶν τῆς ἐκκλησίας τῆς νέας ταυτησὶ Ῥώμης οἰάκων ἐπειλημμένον, ἔτι δὲ καὶ πανδημεὶ τὴν πόλιν τοῖς βασιλείοις ἅμα ἕῳ πάντας παρεῖναι δεῖ. περὶ δὲ δευτέραν ὥραν μάλιστα τῆς αὐτῆς ἡμέρας, τοῦ μέλλοντος χρισθήσεσθαι βασιλέως ἐπὶ ἀσπίδος καθεσθέντος, ὁ βασιλεὺς καὶ πατὴρ τοῦ ἀναγορευομένου, εἴγε περίεστι, καὶ ὁ πατριάρχης τῶν ἐμπροσθίων μερῶν ἐπιλαμβανόμενοι τῆς ἀσπίδος, τῶν δ’ ἐπιλοίπων οἱ ἐν ἀξιώμασιν ὑπερέχοντες δεσπόται τε καὶ σεβαστοκράτορες, εἴπερ εἰσὶν, ἢ οἱ ἐπιφανέστατοι μάλιστα τῶν συγκλητικῶν, καὶ μετεωρίσαντες ὡς ἔνι μάλιστα αὐτὸν ἅμα τῇ ἀσπίδι, τοῖς πλήθεσιν ἐπιδεικνύουσι τὸν βασιλέα πάντοθεν περιϊσταμένοις. [20]

1 197 ἐπευφημησάντων δὲ αὐτῶν, καταθέντες ἄγουσιν εἰς τὸν ναὸν, ἔνθα δεῖ τὴν τελετὴν γενέσθαι. οἰκίσκου δ’ ἐν αὐτῷ ξυλίνου τῆς τοιαύτης ἕνεκα χρείας προκατεσκευασμένου, τὸν νέον εἰσάγουσι βασιλέα, καὶ τὴν πορφύραν καὶ τὸ διάδημα ἐνδιδύσκουσι, πρότερον τῶν ἀρχιερέων εὐλογούντων αὐτά. ἐπὶ δὲ τῆς κεφαλῆς οὐ νενομισμένον περιτίθεταί τι, ἀλλ’ ἢ στέφανος, ἢ ὅ,τι ἂν ἄλλο δοκῇ. τούτων δὲ γινομένων, ἡ θεία τελεῖται μυσταγωγία. ἐχόμενα δὲ τοῦ εἰρημένου οἰκίσκου καὶ ἀναβάθρα ἐκ ξύλων προκατασκευάζεται καὶ αὐτὴ, καὶ περιειλοῦσιν αὐτὴν πάντοθεν πέπλοις Σηρικοῖς ἐρυθροῖς· ὑπεράνω δὲ αὐτῆς κατὰ τὸν ἀριθμὸν τῶν βασιλέων τίθενται θρόνοι χρυσοῖ οὐ κατὰ τοὺς εἰωθότας, ἀλλ’ ἐπηρμένοι μάλιστα τῷ ὕψει, τέτταρας ἢ καὶ πέντε ἔχοντες ἀναβασμοὺς, ἐφ’ οὓς, ἐξιόντες τοῦ οἰκίσκου, ἀναβαίνοντες καθίζουσιν οἱ βασιλεῖς, ἤν γε μὴ εἷς, ἀλλὰ πλείους ὦσι. συναναβαίνουσαι δὲ αὐτοῖς καὶ αἱ βασιλίδες, καθίζουσιν ἐπὶ θρόνων, αἱ μὲν προεστεμμέναι τὰ στέμματα περικείμεναι, ἡ μέλλουσα δὲ στεφανηφοροῦσα. πρὸ δὲ τῆς τοῦ τρισαγίου θείας ὑμνολογίας ἄνεισιν ἐπὶ τὸν ἄμβωνα ὁ πατριάρχης τῶν ἀδύτων ἐξιών. συνανέρχονται δὲ αὐτῷ καὶ τῶν τῆς ἐκκλησίας ἀρχόντων οἱ ἐπιφανέστεροι, τὰς ἱερὰς καὶ αὐτοὶ ἐνδεδυμένοι στολάς· οὓς ἀποστέλλων προσκαλεῖται τοὺς βασιλέας. οἱ δ’ εὐθὺς ἐξανιστάμενοι τῶν θρόνων, ἐπὶ τὸν ἄμβωνα χωροῦσι. [20]

1 198 σιωπὴ δὲ βαθεῖα καὶ ἀταραξία τὸ πλῆθος κατέχει πᾶν. ὁ δὲ πατριάρχης τὰς ἐπὶ χρίσει τῶν βασιλέων συντεθειμένας δίεισιν εὐχὰς, τὰς μὲν ἡσυχῇ καθ’ ἑαυτὸν, ἔστι δ’ ἃς καὶ εἰς ἐπήκοον πάντων, καὶ τῷ χρισθησομένῳ ἐξιλάσκεται τὸ θεῖον. μετὰ τοῦτο δὲ ὁ μέλλων χρισθήσεσθαι βασιλεὺς τὸ ἐπικείμενον, ὅ,τι ἂν ᾖ, τῇ κεφαλῇ ἀφαιρεῖ. νενόμισται δ’ αὐτίκα πάντας, ὅσοι πάρεισιν ἐντὸς τοῦ ναοῦ, γυμναῖς καὶ αὐτοὺς ἑστάναι κεφαλαῖς. ὁ πατριάρχης δὲ τῷ θείῳ μύρῳ σταυροειδῶς χρίει τὴν βασιλέως κεφαλὴν, ἐπιλέγων μεγάλῃ φωνῇ· ἅγιος. διαδεχόμενοι δὲ οἱ ἐπὶ τοῦ ἄμβωνος ἱστάμενοι τὴν φωνὴν, ἐκ τρίτου καὶ αὐτοὶ λέγουσιν· ἅγιος. ἐφεξῆς δὲ καὶ πᾶν τὸ πλῆθος τὸ αὐτὸ ἐπιφωνοῦσι τοσαυτάκις. μετὰ τοῦτο τῶν ἀδύτων ἐντὸς παρὰ διακόνων τὰς ἱερὰς ἐνδεδυμένων στολὰς κατεχόμενον τὸ στέμμα, (οὐ γὰρ ἐπὶ τῆς ἱερᾶς, ὥς τινές φασι, τραπέζης κεῖται,) ἄγουσιν ἐπὶ τὸν ἄμβωνα. καὶ εἴγε πάρεστι προεστεμμένος βασιλεὺς, ἅμα τῷ πατριάρχῃ τὸ στέμμα λαβόντες, ἐπιτιθέασι τῇ κεφαλῇ τοῦ νέου βασιλέως, καὶ ἐκφωνεῖ ὁ πατριάρχης· ἄξιος. διαδεχόμενοι δὲ οἱ ἐπὶ τοῦ ἄμβωνος, ἐκ τρίτου λέγουσιν αὐτοί τε καὶ πᾶν τὸ

πλῆθος ὃν τρόπον ἐπὶ τοῦ μύρου. εἶτα ἐπιλέγει πάλιν ὁ πατριάρχης εὐχὰς, καὶ κατέρχεται τοῦ ἄμβωνος ὁ βασιλεὺς, οὐκ ἐξ οὗπερ ἀνῆλθε μέρους, ἀλλ' ἐκ τοῦ πρὸς τὸν σωλέαν τετραμμένου. εἰ μὲν οὖν συμβῇ μὴ κατ' ἐκεῖνον τὸν καιρὸν ἔχειν γυναῖκα τὸν βασιλέα, εὐθὺς ἐπὶ τὴν ἀναβάθραν ἀνιὼν, ἐπὶ τοῦ θρόνου καθίζει πάλιν· εἰ δ' ἔχει, τότε καὶ αὐτὴν ἀνάγκη στεφθῆναι πᾶσα. [20]

1 199 διὸ καὶ ἐξανισταμένην τοῦ θρόνου, δύο τῶν γνησιωτάτων ἑκατέρωθεν λαβόμενοι συγγενῶν, ἢ εἰ μὴ γνησίους ἔχοι, ἐκτομίαι τοσοῦτοι τῆς ἀναβάθρας τε κατάγουσι καὶ φέροντες ἱστῶσι πρὸ τοῦ σωλέου. κατερχόμενος δὲ ὁ βασιλεὺς, τὸ δι' αὐτὴν ηὐτρεπισμένον στέμμα λαμβάνων ὑπὸ γνησίων τινῶν ἢ ἐκτομιῶν κατεχόμενον, καὶ αὐτὸ ἐπιτίθησι τῇ κεφαλῇ τῆς γυναικός· ἡ δὲ τὸν ἄνδρα καὶ βασιλέα προσκυνεῖ, δουλείαν ὁμολογοῦσα. ὁ πατριάρχης δὲ παρὰ τὸν σωλέαν ἱστάμενος καὶ αὐτὸς, ἐπιλέγει εὐχὴν ὑπέρ τε τοῦ βασιλέως καὶ βασιλίδος καὶ τοῦ ὑπηκόου παντός. οὕτω μὲν οὖν καὶ ὁ βασιλεὺς τὴν ἰδίαν γυναῖκα στέφει. εἰ δὲ συμβῇ προεστεμμένον εἶναι τὸν βασιλέα, ἐπὶ τῆς τῶν γάμων τελετῆς ὁ βασιλεὺς τὴν ἰδίαν ὡσαύτως στέφει γυναῖκα. αὖθις δὲ ἀμφότεροι ἐπὶ τὴν ἀναβάθραν ἀνερχόμενοι, κάθηνται ἐπὶ τῶν θρόνων, τῆς ἄλλης μυσταγωγίας τελουμένης. ᾀδομένου μέντοι τοῦ τρισαγίου ἢ τῶν ἀποστολικῶν γραφῶν ἢ τῶν θείων λογίων ἀναγινωσκομένων, ἀνίστανται καὶ αὐτοί. ἐξ ἑκατέρων δὲ τῶν τοῦ ναοῦ μερῶν ἐπὶ ξυλίνων ἀναβαθρῶν εἰς αὐτὸ τοῦτο πεποιημένων οἱ πρωτοψάλται ἱστάμενοι καὶ δομέστικοι λεγόμενοι, καὶ ἕτεροι τῆς ἐκκλησιαστικῆς τάξεως ᾄδειν εἰδότες, οὓς ἐπὶ τῆς τοιαύτης τελετῆς κράκτας ἔθος ὀνομάζειν ἐστὶ, μέλη τινὰ ᾄδουσιν ἐξεπίτηδες συντεθειμένα ἁρμόζοντα τῇ ἑορτῇ. τῆς μεγάλης δὲ εἰσόδου ἐπὶ τῆς ἱερᾶς μυσταγωγίας λεγομένης ἤδη ἀρχομένης, οἱ τῆς ἐκκλησίας ἐπιφανέστεροι τῶν διακόνων ἐρχόμενοι προσκαλοῦνται τὸν βασιλέα· ὁ δὲ εἰς τὴν λεγομένην πρόθεσιν, ἔνθα τὰ ἅγια κεῖται, ἔρχεται μετ' αὐτῶν. [20]

1 200 ἔξω δὲ ἱστάμενος τῆς προθέσεως, περιβάλλεται μανδύαν χρυσοῦν ἐπὶ τὸ διάδημα καὶ τὴν πορφύραν. καὶ τῇ μὲν δεξιᾷ χειρὶ κατέχει σταυρὸν, ὃν ἔθος κατέχειν ὅσον ἂν χρόνον τὸ στέμμα φορῇ, τῇ δὲ λαιᾷ νάρθηκα φέροντες ἐγχειρίζουσιν, ὥστε τάξιν ἐκκλησιαστικὴν τὴν τοῦ δεποτάτου λεγομένου ἐπέχειν· ἃ ἀμφοτέραις ἔχων, τῆς εἰσόδου πάσης ἡγεῖται τῆς ἱερᾶς. ἐξ ἑκατέρων δὲ αὐτοῦ μερῶν κατὰ τὰ πλάγια οἵ τε τοὺς πελέκεις ἔχοντες Βάραγγοι προσαγορευόμενοι, καὶ νέοι τῶν εὐπατριδῶν περὶ ἑκατὸν ὡπλισμένοι διαπρεπῶς παρέπονται ἢ καὶ ἄνοπλοι· κατ' εὐθεῖαν δὲ μετ' αὐτὸν οἵ τε διάκονοι ἐφεξῆς ἕπονται καὶ οἱ ἱερεῖς, ἔπιπλά τε καὶ σκεύη τῶν ἱερῶν καὶ αὐτὰ τὰ ἁγιώτατα ἐπιφερόμενοι. τὸν δὲ ναὸν περιελθόντες κατὰ τὸ ἔθος, ἐπειδὰν γένοιντο ἐν τῷ σωλέᾳ, οἱ μὲν ἄλλοι πάντες ἑστᾶσιν ἐκτὸς, αὐτὸς δὲ μόνος εἰσερχόμενος τὸν σωλέαν, τὸν πατριάρχην ἐπὶ ταῖς ἱεραῖς κιγκλίσιν ἑστηκότα εὑρίσκει. προσαγορεύσαντες δὲ ἀλλήλους, ὁ πατριάρχης μὲν ἐσωτέρω, ἔξω δ' ὁ βασιλεὺς περιμένουσιν ἑστῶτες· εὐθὺς δὲ ὁ μετὰ τὸν βασιλέα τῶν ἄλλων ἡγούμενος διακόνων, τῇ δεξιᾷ μὲν κατέχων θυμιατὸν, τῇ δ' ἑτέρᾳ τὸ τοῦ πατριάρχου λεγόμενον μαφόριον, τὸν βασιλέα παριὼν θυμιᾷ· κλίναντος δὲ αὐτοῦ τὴν κεφαλὴν, ὁ διάκονος εἰς ἐπήκοον πάντων „μνησθείη κύριος ὁ θεὸς" λέγει „τοῦ κράτους τῆς βασιλείας ὑμῶν ἐν τῇ βασιλείᾳ αὐτοῦ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων," ἐπιλέγων καὶ τὸ ἀμήν. [5]

1 201 ἐφεξῆς δὲ καὶ οἱ λοιποὶ διάκονοι παριόντες καὶ ἱερεῖς λέγουσι τὸ αὐτό. τούτου δὲ τελεσθέντος, ὁ βασιλεὺς τὸν πατριάρχην προσαγορεύσας, ἀποδύεται τὸν μανδύαν. καὶ τὸν μὲν ὁ τῆς ἐκκλησίας ῥαιφερενδάριος ἀποφέρεται, (οὕτω γὰρ ἔθος·) ὁ βασιλεὺς δ' ἐπὶ τὴν ἀναβάθραν ἀνερχόμενος, ἐπὶ τοῦ θρόνου κάθηται πάλιν, τοῦ συμβόλου τῆς πίστεως τῆς τε προσευχῆς τοῦ πάτερ ἡμῶν λεγομένων, καὶ τῆς ὑψώσεως γινομένης τοῦ δεσποτικοῦ καὶ ἁγίου σώματος, ἀνιστάμενος. τῆς ὑψώσεως δὲ τελεσθείσης, εἰ μὲν ἀνεπιτηδείως πρὸς τὴν τῶν ἁγιασμάτων κοινωνίαν ὁ βασιλεὺς ἔχει, μέχρι συμπληρώσεως τῆς θείας μυσταγωγίας κάθηται ἐπὶ τοῦ

θρόνου· εἰ δὲ παρεσκεύασται πρὸς τοῦτο, πάλιν αὐτὸν οἱ διάκονοι ἐρχόμενοι προσκαλοῦνται. καὶ μετ' αὐτῶν εὐθὺς εἴσεισιν εἰς τὰ ἄδυτα, καὶ θυμιατοῦ αὐτῷ διδομένου, τὴν ἱερὰν τράπεζαν πρῶτα μὲν κατὰ ἀνατολὰς θυμιᾷ, εἶτα πρὸς ἄρκτον καὶ μετὰ τοῦτο πρὸς ἑσπέραν καὶ τέταρτον πρὸς μεσημβρίαν βλέπων· πάλιν δὲ πρὸς ἀνατολὰς θυμιάσας, θυμιᾷ καὶ τὸν πατριάρχην· προσαγορεύσας δὲ αὐτὸν ὁ πατριάρχης καὶ τῆς χειρὸς αὐτοῦ λαβὼν τὸν θυμιατὸν, ἀντιθυμιᾷ καὶ αὐτὸν αὐτός. [20]

1 202 μετὰ δὲ τοῦτο τὸ στέμμα τῆς κεφαλῆς περιελόμενος ὁ βασιλεὺς, ἐγχειρίζει τοῖς διακόνοις. ὁ δὲ πατριάρχης εἰς τὰς χεῖρας αὐτῷ τοῦ δεσποτικοῦ σώματος ἐπιδίδωσι μερίδα· μετασχὼν δὲ αὐτῆς, καὶ τοῦ ζωοποιοῦ αἵματος κοινωνεῖ, οὐ λαβίδι, καθάπερ οἱ πολλοὶ, ἀλλ' αὐτῷ κρατῆρι τὸν τῶν ἱερωμένων τρόπον. τό, τε στέμμα περιθέμενος αὖθις, ἔξεισι τῶν ἀδύτων. τελεσθείσης δὲ τῆς μυσταγωγίας, τοῦ διαδιδομένου τοῖς πλήθεσιν ἁγιάσματος αὖθις μετασχὼν, καὶ παρὰ τοῦ πατριάρχου καὶ τῶν παρόντων ἀρχιερέων εὐλογηθεὶς, καὶ περιπτυξάμενος αὐτῶν τὰς χεῖρας, ἄνεισιν εἰς τὰ λεγόμενα κατηχούμενα, ὡς ἂν ἐξ ἀπόπτου παρὰ πάντων ὁρώμενος εὐφημηθείη. τελεσθέντος δὲ καὶ τούτου, κατελθὼν ἐκεῖθεν αὐτὸς καὶ ἡ βασιλὶς μόνοι, τῶν ἄλλων ἁπάντων ἑπομένων πεζῇ, ἔφιπποι χωροῦσι πρὸς τὰ βασίλεια· τραπέζης δὲ ἡτοιμασμένης ἐκεῖ στεφηφοροῦντες καθήμενοι εὐωχοῦνται· διακονεῖται δὲ αὐτοῖς ὁ μέγας δομέστικος τὰ πρὸς χρείαν, ἂν δὲ μὴ ᾖ μέγας δομέστικος, ὁ δεσπότης. τὰς δ' ἐφεξῆς ἡμέρας δέκα πλείους ἢ ἐλάττους, (οὐ γὰρ ἀριθμὸς νενόμισται τῶν τῆς ἑορτῆς ἡμερῶν, ἀλλ' ὅπως ἂν βασιλεῖ δοκῇ,) τὸ μὲν διάδημα καὶ τὸ στέμμα καὶ τὴν πορφύραν ἐν τοῖς βασιλικοῖς ἀποτίθενται ταμιείοις, ἐσθῆτας δὲ ἑτέρας περιβεβλημένοι λαμπρὰς καὶ βασιλικὰς, ἑορτάζουσι λαμπρῶς· ἀρίστων τε παρασκευαζομένων πολυτελῶν, οἱ συγκλητικοὶ πάντες καθήμενοι ἀριστῶσιν, ὁρώντων τῶν βασιλέων καὶ εὐωχουμένων καὶ αὐτῶν ἐν ἰδίᾳ τραπέζῃ. διακονεῖται δὲ αὐτοῖς ὁ ἐπὶ τῆς βασιλικῆς τεταγμένος τραπέζης· ὁ μέγας δὲ δομέστικος ἐν τῷ προσήκοντι τόπῳ τοῖς ἄλλοις συνανακέκλιται συγκλητικοῖς. [25]

1 203 ἄξιον δὲ καὶ ὃ παρελίπομεν τῆς τελετῆς ταύτης ἐπιμνησθῆναι. τῇ γὰρ ἡμέρᾳ, καθ' ἣν ὁ βασιλεὺς χρισθεὶς ἔξεισι τοῦ ναοῦ, παρά τινος τῶν συγκλητικῶν, ὃν ἂν ὁ βασιλεὺς ἐθέλῃ, εἰς τὸν δῆμον ῥίπτονται ἃ λέγουσιν ἐπικόμβια. δύναται δὲ τοῦτο ἀποδέσμους τινὰς εἶναι ἐν ὀθονίων τμήμασι δεδεμένους, ἔνδον ἔχοντας νομίσματα χρυσᾶ τῶν βασιλικῶν τρία καὶ ἐξ ἀργύρου τοσαῦτα ἢ καὶ πλείω, καὶ ὀβολοὺς ἀπὸ χαλκοῦ τοσούτους. ῥίπτονται δὲ ἀπόδεσμοι τοιοῦτοι χιλιάδων ἔλαττον ἢ πλεῖον δέκα ἐν τοῖς προαυλίοις μάλιστα τοῦ ναοῦ. ὑπὸ δὲ τὴν αὐτὴν ἡμέραν ἐν τοῖς βασιλείοις τοῦ δήμου συνηθροισμένου παντὸς, παρὰ τοῦ αὐτοῦ πάλιν συγκλητικοῦ τῶν προτέρων ἴσοι ἢ καὶ πλείους ῥίπτονται ἀπόδεσμοι. εἰς τὴν ὑστεραίαν δὲ τῶν δημοτικῶν μὲν πάρεισιν οὐδένες· τοῦ στρατιωτικοῦ δὲ καὶ τοῦ περὶ τὴν βασιλικὴν ὑπηρεσίαν τεταγμένου παρόντος παντὸς, ἐν ταῖς τῶν βασιλείων αὐλαῖς ἐξερχόμενος ὁ βασιλεὺς, τοῦ τῶν βασιλικῶν ταμίου παρεστῶτος, χρημάτων καὶ τὴν ἄκραν τῆς ἐσθῆτος πλήρη φέροντος νομισμάτων χρυσῶν ἐκ τῶν βασιλικῶν, δραττόμενος ὁ βασιλεὺς κύκλῳ διασκεδάζει. κενωθέντων δὲ, ὁ ταμίας αὖθις τὴν ἐσθῆτα ἀναπληροῖ· καὶ τοῦτο γίνεται οὐ τρὶς καὶ τετράκις μόνον, ἀλλὰ καὶ πλεονάκις. αἴτιον δὲ τῆς τοιαύτης διαδόσεως τοῦ χρυσοῦ τὸ πάντας βούλεσθαι τὸν βασιλέα ἐκ τῶν αὐτοῦ δαπανῶντας αὐτῷ συνευφραίνεσθαι καὶ συμπανηγυρίζειν. τοιαύτη μὲν ἡ ἐπὶ τοῖς βασιλεῦσι στεφομένοις γινομένη τελετή· ἡ δὴ γέγονεν ὁμοία καὶ ἐπ' Ἀνδρονίκῳ τῷ νέῳ βασιλεῖ, Φεβρουαρίου ἱσταμένου τῆς ὀγδόης ἰνδικτιῶνος. [25]

1 204 μβ'. Τοῦ δὲ ἐπιόντος ἔτους κατὰ μῆνα Φεβρουάριον ἐννάτης ἰνδικτιῶνος, ἐκ τῆς Σαβωΐας εἰς Βυζάντιον ἦκεν Ἄννα ἡ βασιλὶς, πολλὴν ἐπαγομένη καὶ βασιλικὴν θεραπείαν ἔκ τε ἀνδρῶν ὁμοίως καὶ γυναικῶν. ἔκ τε γὰρ τῶν παρὰ Λατίνοις καβαλλαρίων καὶ σκουερίων λεγομένων ἦγε πολλοὺς καὶ τῶν ἄλλως παρ' αὐτοῖς εὐπατριδῶν· καὶ τὰς ἐν ἑτέροις χρόνοις εἰς τὴν

Ῥωμαίων ἐξ ἀλλοδαπῶν ἀφικνουμένας βασιλίδας ὑπερεῖχε πολυτελείᾳ. προσεδέχθη τε ὁμοίως παρὰ τοῦ βασιλέως καὶ κηδεστοῦ βασιλικῶς τε καὶ μεγαλοπρεπῶς καὶ ὥσπερ ἦν εἰκὸς τὴν βασιλέως καὶ υἱοῦ γαμετήν. συμβέβηκε δὲ καὶ βασιλέα τὸν νέον τῷ Βυζαντίῳ κατὰ τὸν αὐτὸν καιρὸν ἐνδιατρίβειν. ἡ δὲ βασιλὶς Ἄννα τῇ τε κατὰ τὸν πλοῦν ταλαιπωρίᾳ καὶ τῇ τῶν ἀέρων ἐναλλαγῇ τὸ σῶμα πεπονηκυῖα, ἐνόσησεν ὀλίγαις ἡμέραις ὕστερον τῆς ἀφίξεως αὐτῆς. ὅ, τε νέος Ἀνδρόνικος τοῦτο μὲν καὶ διὰ τὴν τῆς βασιλίδος νόσον, τοῦτο δ', ὅτι καὶ χρεία τις ἀπαραίτητος ἐκάλει, πρὸς τὰς ἐπὶ Θρᾴκης ἐξῄει πόλεις, καὶ διέτριψεν ἄχρι φθινοπώρου ἐν ἐκείναις. Ὀκτωβρίου δὲ ἱσταμένου τῆς δεκάτης ἰνδικτιῶνος, εἰς Βυζάντιον ἐπανῆκε. καὶ ἡ γαμήλιος ἐτελεῖτο ἑορτὴ λαμπρὰ καὶ περιφανής· ὥσπερ δὲ ἔθος τοῖς βασιλεῦσι, μετὰ τὸ ἐπὶ τοῖς γάμοις τὰ νενομισμένα τελεσθῆναι, καὶ Ἄνναν τὴν βασιλίδα βασιλεὺς ἔστεψεν ὁ ταύτης ἀνήρ. [20]

1 205 μετὰ δὲ τὸ τὴν τῶν γαμηλίων ἑορτὴν παραδραμεῖν τῶν μετὰ τῆς βασιλίδος ἐκ Σαβωΐας ἐλθόντων ἀνδρῶν τε καὶ γυναικῶν οἱ πολλοὶ μὲν εἰς τὴν οἰκείαν ἐπανῆλθον· ἔμειναν δὲ μετ' αὐτῆς ὀλίγον τινὲς καὶ Ζαμπέα μία τῶν γυναικῶν ἅμα τοῖς υἱέσι, φρονήσει τε ὑπερέχουσα τὰς ἄλλας, καὶ βασιλικοῖς οἴκοις διά τε παιδείαν καὶ τὴν ἄλλην ἐπιτηδειότητα πρέπουσα ἐνδιατρίβειν. ἐκ μέντοι Σαβωΐας οὐκ ὀλίγοι τῶν εὐπατριδῶν εἰς τὴν Ῥωμαίων ἀφικνούμενοι, ἐφ' ὅσον ἐβούλοντο συνῆσαν τῷ βασιλεῖ, πολλῆς ἀξιούμενοι φιλοφροσύνης. ἦσαν γὰρ δὴ οὐκ ἀνδρεῖοι μόνον καὶ τολμητίαι κατὰ τὰς μάχας, ἀλλὰ καὶ ἄλλως ἐν ταῖς παιδιαῖς εὐφυεῖς συνεῖναι. κυνηγεσίων καὶ γὰρ συμμετεῖχον τῷ βασιλεῖ, καὶ τὴν λεγομένην τζουστρίαν καὶ τὰ τερνεμέντα αὐτοὶ πρῶτοι ἐδίδαξαν Ῥωμαίους οὔπω πρότερον περὶ τῶν τοιούτων εἰδότας οὐδέν. αὐτῶν δὲ ἀπερχομένων εἰς τὴν οἰκείαν, ἕτεροι ὥσπερ ἐκ διαδοχῆς ἐφοίτων ὡς βασιλέα· καὶ σχεδὸν ἐκ Σαβωΐας ἀεὶ τῷ νέῳ βασιλεῖ συνῆσάν τινες. οὕτω δὲ ὑπὸ φιλοτιμίας περὶ τὰ τοιαῦτα ἐξησκήθησαν οὐκ ὀλίγοι Ῥωμαίων, μάλιστα δὲ πάντων ὁ βασιλεὺς, ὃς καὶ τοὺς διδάξαντας ὑπερέσχεν, ὡς μὴ τοὺς ἐκ Σαβωΐας μόνον τὴν ἧτταν ὁμολογεῖν, ἀλλὰ καὶ τοὺς ἐκ Φράντζας καὶ Ἀλαμανίας καὶ Μπουργουνίας, ἐν οἷς μάλιστα σπουδάζεται τὰ τοιαῦτα, τήν τε τοῦ βασιλέως θαυμάζειν εὐφυΐαν καὶ τῶν περὶ τὰ τοιαῦτα παρ' αὐτοῖς εὐδοκιμούντων κρείττω ὁμολογεῖν. [20]

1 206 μετὰ μέντοι τοὺς γάμους ὀλίγον τινὰ χρόνον τῇ Κωνσταντίνου ἐνδιατρίψας ὁ νέος βασιλεὺς, τῷ βασιλεῖ συνταξάμενος καὶ πάππῳ, ἅμα τῇ βασιλίδι ἐξῄει Βυζαντίου, ὡς εἰς Διδυμότειχον ἀφιξόμενος. γενομένῳ δὲ ἐν χωρίῳ Μεγάλην προσαγορευομένῳ Καρύαν, κατὰ τὸ τοῦ Λίπηκος λεγόμενον ὄρος, Πέρσας ἠγγέλθη πεζοὺς τὰ ἐκεῖ κατατρέχοντας χωρία δῃοῦν. οἱ μὲν οὖν τῷ βασιλεῖ συνόντες στρατιῶται ἅμα ἕῳ τῆς ὁδοῦ ἐχόμενοι, ὡς εἶχον, ἤνυον αὐτήν· βασιλεὺς δ' ἅμα τῷ μεγάλῳ δομεστίκῳ καί τισιν εὐαριθμήτοις ἑτέροις ὑπελίπετο κατόπιν, θηρεύων ἅμα μεταξὺ τῆς ὁδοιπορίας. ὡς δὲ ἡ ἔφοδος ἠγγέλθη τῶν βαρβάρων, πρὸς μὲν τοὺς στρατιώτας ἔπεμψε τὸν ἐροῦντα ἀναστρέφειν ὡς μαχουμένους τοῖς βαρβάροις. αὐτὸς δ' ἅμα τῷ μεγάλῳ δομεστίκῳ δεῖν ἔγνωσαν μετὰ τῶν συνόντων ἐν οἷς ἐπύθοντο τοὺς Πέρσας εἶναι χωρίοις γενέσθαι, ἑκατέρωθεν λογισάμενοι ἐν τῷ ἀσφαλεῖ ἔσεσθαι, ἐὰν αὐτοὺς συμβῇ τοῖς βαρβάροις συντυχεῖν. ἐάν τε γὰρ εὐεπιχείρητοι φανῶσι, ῥᾷον ἂν κατεργάσεσθαι τὸ ἔργον, ἐάν τε ὑπερέχοντες φαίνωνται πολὺ αὐτῶν ὡς μὴ ἀσφαλὲς εἶναι καθίστασθαι εἰς μάχην, μετὰ ἀδείας ἀπαλλάξεσθαι αὐτῶν ἔφιπποι ὄντες πεζῶν. προπέμψαντες δὲ αὐτῶν τινας ὥστε τὰ ἔμπροσθεν σκοπεῖν, ἐβάδιζον αὐτοὶ κατόπιν ὡπλισμένοι. οἱ βάρβαροι δὲ τὰς μὲν τετριμμένας παντάπασι ἐξέκλιναν ὁδούς· δι' ἀβάτων δὲ χωρίων ἰόντες ὡς ἐπιθησόμενοί τισι τῶν αὐτόθι κατοικούντων, τοὺς μὲν σκοποὺς ἔλαθον παρελθόντας, ἐξαίφνης δὲ μήτ' αὐτοὶ προϊδόντες συνέμιξαν βασιλεῖ. [25]

1 207

γενομένης δὲ μάχης καρτερᾶς, οἱ μὲν βάρβαροι μαχόμενοι παραβόλως, ἔπεσον πάντες, οἱ βασιλικοὶ δὲ αὐτοὶ καὶ οἱ ἵπποι πλὴν ὀλίγων ἐτραυματίσθησαν πάντες, ἀπέθανε δὲ οὐδείς· ἵππους δὲ ἀπέβαλον πολλούς. ἐτρώθη δὲ καὶ ὁ βασιλεὺς τὸν πόδα ὀϊστῷ, ὅ, τε ἵππος αὐτοῦ πληγεὶς ἑπτάκις, μετὰ μικρὸν ἀπέθανε τῆς μάχης. ὁ δὲ μέγας δομέστικος ὀλίγου ἐδέησε μαχόμενος πεσεῖν. περισχόντες γὰρ αὐτὸν πολλοὶ τῶν βαρβάρων, τὸν μὲν ἵππον κατετραυμάτισαν ἐπὶ τοσοῦτον, ὡς μηκέτι δύνασθαι κινεῖσθαι· αὐτὸν δὲ ὀϊστοῖς τε καὶ κοντοῖς καὶ λίθοις ἔπληξαν πολλάκις. οὐδὲν δὲ αὐτῶν ἠδυνήθη καθικέσθαι, τῶν ὅπλων ἀντισχόντων, καίτοι γε τῶν μηρῶν καὶ βραχιόνων ὄντων γυμνῶν· τόν τε παρὰ τὴν ζώνην ἀκινάκην ἥρπασαν αὐτοῦ, καὶ τὰ τῶν ἱματίων ἄκρα διέῤῥηξαν τοῖς ἑλκυσμοῖς, αὐτὸς δὲ παραδόξως ἀμυνόμενος διεσώθη, μηδὲ τραυματισθείς. μετά τε τὴν νίκην πολλοὺς ἔλεγεν ἀγῶνας καὶ μεγάλους ἐκ παιδικῆς ἡλικίας διηνυκέναι, οὐδὲ ἅπαξ δὲ ἐν χρῷ κινδύνου παρὰ τοσοῦτον γεγενῆσθαι. οὕτω μὲν οὖν οἱ βάρβαροι πάντες ἔπεσον παρὰ τὴν μάχην. ὁ βασιλεὺς δὲ εἰς Διδυμότειχον ἐλθὼν, πονήρως ἀπὸ τοῦ τραύματος ἐπὶ πολὺν διετέθη χρόνον. περὶ δὲ συγκομιδὴν τοῦ σίτου μάλιστα τοῦ αὐτοῦ ἔτους ὁ τῶν Μυσῶν βασιλεὺς Μιχαὴλ τῷ νέῳ βασιλεῖ Ἀνδρονίκῳ ἠθέλησε συγγενέσθαι. τῷ δὲ τοῦτο μὲν οὐκ ἦν καθ' ἡδονὴν διὰ τὸ τὸν πόδα ἔτι ἀπὸ τοῦ τραύματος ἀλγεῖν, ὅμως μέντοι τῷ βασιλεῖ καὶ πάππῳ τὰ τοῦ πράγματος ἀναθεὶς, ἐπεὶ ἐπέτρεπεν ἐκεῖνος, εἰς Τζερνομιάνους ἅμα γυναικὶ ἐλθόντι τῷ Μιχαὴλ, συνεγένετό τε καὶ συνδιέτριψεν αὐτοῖς ὁ βασιλεὺς ἐφ' ἡμέραις ὀκτώ· συνησθέντες δὲ ἀλλήλοις οἱ βασιλεῖς, μετὰ τοῦτο διελύθησαν ἑκάτερος ἐπ' οἴκου. [5]

1 208 εἰς Διδυμότειχον δὲ Ἀνδρόνικος ὁ βασιλεὺς ἐλθὼν, παρὰ τῶν ἐν Βυζαντίῳ φίλων εὗρεν ἄγγελον ἀφιγμένον, ὅτι βασιλεὺς ὁ πρεσβύτερος ἀπό τινων τεκμηρίων καὶ λόγων εὔδηλός ἐστι πολεμησείων, ἀπαγγέλλοντα πρὸς αὐτόν. ὅπερ ἀκούσας ὁ βασιλεὺς, ἐξεπέπληκτο μὲν εὐθὺς τὴν ἀτοπίαν τῆς ἀγγελίας, ἠπίστησε δὲ ὅμως. τοῖς δὲ φίλοις ἐκέλευεν ἀπαγγέλλειν, ὡς αὐτὸς μὲν πολλὴν ἂν αὐτοῖς τῆς εἰς αὐτὸν εὐνοίας εἰδείη χάριν, διὰ δὲ τὸ σφόδρα μὴ βούλεσθαι τὰ τοιαῦτα τοῖς λεγομένοις ἀπιστεῖν· δέον δὲ αὐτοὺς πάνυ φιλοῦντας ἀκριβεστάτῃ βασάνῳ τὸ πρᾶγμα δοῦναι, καὶ ὅ, τι ἂν φανῇ σαφὲς ἀπαγγέλλειν. τοῖς μὲν οὖν ἐν Βυζαντίῳ φίλοις ὁ βασιλεὺς ἐπέσκηπτε τοιαῦτα. ἅμα δὲ δομεστίκῳ τῷ μεγάλῳ καὶ πρωτοστράτορι συνελθόντες, ἀνηρεύνων, εἴ τι συνειδεῖεν ἑαυτοῖς ἄξιον πολέμου εἰργασμένοις, ὃ καὶ τὸν βασιλέα τὴν εἰρήνην ἂν πείσειε καταλῦσαι· πολλά τε καὶ πολλάκις τὸν ἄχρι τότε χρόνον ἐξετάσαντες ἀπὸ τῶν σπονδῶν, τῷ βασιλεῖ μὴ οὔτ' ἐκ προφανοῦς, οὔτ' ἐξ ἀδήλου προφάσεως εὕρισκον προσκεκρουκέναι. ᾠήθησαν δὲ ὅμως ἀπὸ τοιαύτης αἰτίας ἐνδέχεσθαι πρόφασιν τὸν πόλεμον ἂν σχεῖν. μγ'. Τῷ πρώτῳ βεβασιλευκότι Ῥωμαίων Παλαιολόγῳ τῷ Μιχαὴλ ἄῤῥενες τρεῖς γεγέννηνται παῖδες, οὗτός τε ὁ μετ' αὐτὸν βεβασιλευκὼς Ἀνδρόνικος καὶ Κωνσταντῖνος ὁ ἐν τῇ πορφύρᾳ τεχθεὶς καὶ Θεόδωρος τρίτος, καὶ θυγατέρες τοσαῦται. [25]

1 209 τοῖς μὲν οὖν ἄλλοις ἄλλοι γεγέννηνται παῖδες, καθάπερ ἐν ἀρχῇ τῆς ἱστορίας ἐδήλωσε φθάσας ὁ λόγος, τῷ πορφυρογεννήτῳ δὲ Κωνσταντίνῳ ὁ Παλαιολόγος Ἰωάννης μονογενὴς γεγέννηται παῖς· ᾧ Μετοχίτης ὁ μέγας λογοθέτης ἐξέδωκε τὴν θυγατέρα Εἰρήνην πρὸς γάμον, τῇ τοῦ πανυπερσεβάστου πρὸς τοῦ θείου καὶ βασιλέως ἀξίᾳ τετιμημένῳ. οὗτος δὴ ὁ πανυπερσέβαστος οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρὶς Θεσσαλονίκης τε καὶ τῶν ἄλλων ἑσπερίων πόλεων ἐπιτροπεύσας, τά τε ἄλλα διῴκει ᾗ αὐτῷ ἐδόκει ἄριστα εἶναι, καὶ τῷ τῶν Τριβαλῶν ἄρχοντι Στεπάνῳ τῷ Κράλῃ Μαρίαν τὴν αὐτοῦ κατηγγύησε θυγατέρα· οὗ δὴ γενομένου, νοῦν ἔσχε τῷ τῶν Τριβαλῶν ἄρχοντι προσχωρῆσαι ὄντι κηδεστῇ, ὡς ἂν τῇ ἐκείνου δυνάμει χρώμενος συμμαχοῦντος, ὧν ἐπετρόπευε πόλεων ὅσας ἂν οἷόν τε ᾖ φρουραῖς κατασχὼν καὶ ἰδιοποιησάμενος, ἰδίαν ἑαυτῷ καταστήσῃ δυναστείαν, ἀποστήσας βασιλέως. ὁ μὲν οὖν τοιαῦτά τε διενοεῖτο καὶ εἰς ἔργον ἐξῆγε, καὶ πανοικεσίᾳ μὲν ἐχώρησε πρὸς Τριβαλοὺς, καταπράξασθαι

δὲ ἴσχυσεν ὧν ἤλπισεν οὐδέν. αἱ γὰρ ὑπ' αὐτὸν πᾶσαι πόλεις τὴν ἀποστασίαν συνεῖσαι, οἷα δὴ ἐχρῶντο πολεμίῳ. ἐκ τῆς τοιαύτης δὴ αἰτίας ταραχῆς οὐ φαύλης τινὸς αἱ κατὰ τὴν ἑσπέραν ἐνεπλήσθησαν πόλεις. ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τῶν τοῦ μεγάλου λογοθέτου υἱῶν Δημήτριος μὲν ὁ Ἄγγελος Στρουμβίτζης ἐπίτροπος ἦν, Μιχαὴλ δὲ ὁ Λάσκαρις, Μελενίκου, πόλεων Μακεδονικῶν· οἳ δὴ γυναικὸς ἀδελφοὶ ὄντες τοῦ πανυπερσεβάστου, γράμματα πέμπουσι πρός τε ἐκεῖνον καὶ τὴν ἀδελφὴν, προφανῶς μὲν αὐτῶν ἀποστασίαν οὐ κατηγοροῦντα, πρόφασιν μέντοι οὐκ ἀγεννῆ τινα παρεχόμενα ὑποψίας. [5]

1 210 λέξεών τε γὰρ εὐπόρουν ἀμφιβόλων, καὶ φιλίας ἀνεμίμνησκον ἀρχαίας καὶ συνδιατριβῆς, καὶ τοῦ δεῖν ἀλλήλοις εὐνοεῖν ἄλλων τε ἕνεκα πλειόνων καὶ μάλιστα τῶν ἐκ τῆς συγγενείας ἐνεχύρων. τοὺς τὰ τοιαῦτα τοίνυν γράμματα κομίζοντας στρατιῶται συλλαβόντες κατὰ τὴν ὁδὸν, οἳ ἦσαν ἐπ' αὐτὸ τοῦτο τεταγμένοι φυλάττειν τὰς ὁδοὺς τοῦ πρὸς τὸν πανυπερσέβαστον ἕνεκα πολέμου, καὶ τὰ γράμματα ἀφελόμενοι, πρὸς μὲν Βυζάντιον ὡς βασιλέα τὸν πρεσβύτερον τὰ γράμματα κομίσαι οὐκ ἔγνωσαν δεῖν, τὸν μέγαν λογοθέτην τὰ μέγιστα παρὰ βασιλεῖ δυνάμενον δεδοικότες, εἰς Διδυμότειχον δὲ ἦλθον φέροντες τῷ νέῳ βασιλεῖ. ἐπαινέσας δὲ αὐτοὺς τῆς συνέσεως καὶ εὐβουλίας, ἀπέλυσεν εὖ ποιήσας ὁ βασιλεύς. τὰ μέντοι γράμματα εἰς Βυζάντιον τῷ μεγάλῳ πέμψας λογοθέτῃ, παρῄνει τε καὶ συνεβουλεύετο αὐτὰ φιλικῶς, ὡς τὰ μὲν γράμματα ταυτὶ τῷ κηδεστῇ πέμψειαν οἱ υἱοὶ γέμοντα πολλῆς ὑποψίας, αὐτὸν δὲ ἐκείνων τε ὄντα πατέρα καὶ τῇ Ῥωμαίων ἡγεμονίᾳ τὴν δυνατὴν ὠφέλειαν ὀφείλοντα εἰσφέρειν, οἷα τῶν κατ' αὐτὴν πραγμάτων δι' αὐτοῦ διοικουμένων, χρεὼν ἐκείνους τε ἀπαθεῖς κακῶν τηρεῖν καὶ τὴν προσδοκωμένην ἀπ' αὐτῶν προαναστέλλειν βλάβην. τοῦτο δὲ γένοιτ' ἂν, εἰ αὐτοὺς μὲν τοῦ τῶν πόλεων ἐκείνων ἄρχειν ἀποστήσας, ἑτέρους ἀνυπόπτους ἐπιστήσει, αὐτοῖς δὲ ἑτέρας ἀρχὰς ᾗ ἂν αὐτῷ δοκῇ λυσιτελεῖν ἐγχειρίσει. [20]

1 211 „ἐμοὶ μὲν οὖν οὐκ ἀγαθὸν ἔδοξεν" εἶπε „τῷ βασιλεῖ τὰ τοιαῦτα γράμματα ποιῆσαι δῆλα, ἀλλὰ μόνῳ σοὶ, ὡς ἂν, συνετὸς ὤν, τά τε δέοντα ὑπὲρ τῶν κοινῶν οἰκονομήσῃς πραγμάτων καὶ τοῖς παισὶ τὰ λυσιτελοῦντα." βασιλεὺς μὲν οὖν τοιαῦτα τῷ μεγάλῳ συνεβούλευε λογοθέτῃ· ὁ δὲ, πείθεσθαί τε δέον καὶ χάριτας τῆς τῶν υἱῶν κηδεμονίας ὁμολογεῖν, τοὐναντίον ἐποίει πᾶν. τραχέως γὰρ ἀποκρινάμενος καὶ σκληρῶς, ἐπὶ τέλει προσέθηκε καὶ τοῦτο, ὡς καὶ τοῖς ὄνοις ἡ παροιμία δίδωσι τὸν ξέοντα ἀντιξέειν. ταύτην μὲν οὖν ἑαυτοὺς ἀνερευνῶντες ὑπενόουν αἰτίαν εἰς τὸ πολεμεῖσθαι παρεσχημένους, τὸν μέγαν ὑπολογιζόμενοι παροξυνθέντα διὰ ταῦτα λογοθέτην εἰς τὸ πολεμεῖν παρακαλέσαι τὸν βασιλέα· σαφὲς μέντοι εἶχον οὐδὲν εἰδέναι. ἄξιον δὲ καὶ οἵας εὐεργεσίας πρός τε λογοθέτην τὸν μέγαν καὶ πρὸς τὸν πρωτοβεστιάριον Ἀνδρόνικον τὸν Παλαιολόγον, τοὺς τοῦ τρίτου τουτουὶ πολέμου μάλιστα αἰτιωτάτους γεγενημένους, βασιλεὺς ὁ νέος ὑπῆρξε, διηγήσασθαι διὰ βραχέων, ὡς ἂν πρὸς οἷον ἠγνωμόνουν εἰδείημεν εὐεργέτην. ὁ γὰρ πρωτοβεστιάριος οὑτοσὶ Παλαιολόγος Ἀνδρόνικος, τῆς τοῦ πρεσβυτέρου βασιλέως Ἀνδρονίκου παῖς ὢν ἀδελφῆς τῆς Ἄννης, ἣ συνῴκει Μιχαὴλ τῷ δουκὶ τῶν Πάτρας ἀρχόντων ἑνὶ καὶ τῆς κατ' αὐτὴν Θεσσαλίας, ἔκ τινος διαφορᾶς πρὸς τὸν μέγαν λογοθέτην ἀπεχθῶς διατεθεὶς, πρὸς τὸν νέον βασιλέα ἐλθὼν πολλά τε καὶ ἄκοσμα διεξῄει κατ' αὐτοῦ, καὶ τελευταῖον προσετίθει, ὡς ἤδη πρὸς τὴν πρὸς αὐτὸν ἀπέχθειαν ἀπειρηκὼς, βούλοιτ' ἂν αὐτὸν συγκόπτειν πολλαῖς ταῖς πληγαῖς, κἂν δέῃ διὰ τοῦτο καὶ ἀποθνήσκειν· δι' ὃ καὶ ἀμύνειν αὐτῷ, εἴ τι μετὰ ταῦτα διὰ τὸ τόλμημα ἐπίοι δεινὸν, ἐδεῖτο. [5]

1 212 ἀκούσας δὲ ὁ βασιλεὺς, λόγοις τε πολλοῖς καὶ παραινέσεσι τὸν πρωτοβεστιάριον ἀπάγειν τοῦ τολμήματος ἐπεχείρει· ὡς δὲ οὐκ ἔπειθε, καὶ διαθήσειν ἠπείλησε τὰ χαλεπώτατα, εἰ μὴ παύσοιτο τοιούτοις ἐπιχειρῶν. ἔφη γὰρ, εἰ μὲν πρὶν μηδὲν πρὸς αὐτὸν τοιοῦτον εἰπεῖν τι εἰργάζετο τῶν ἀτόπων, δεινὸν μὲν ἂν ἦν, οὐδὲν δὲ αὐτῷ διαφέρειν· ἐπειδὴ δὲ αὐτῷ φανερὰν κατέστησε τὴν γνώμην, ἀδύνατον εἰς ἔργον τὴν βουλὴν προαγαγεῖν. τὴν γὰρ εἰς τὸν μέγαν

λογοθέτην παροινίαν, διοικητὴν τῶν βασιλέως ὄντα πραγμάτων, εἰς ἐκεῖνον ἄγειν τὴν ὕβριν, ἃ μὴ δέον αὐτὸν συγχωρεῖν. τούτοις μὲν οὖν ὁ πρωτοβεστιάριος ἐπείθετο δείσας, καὶ ἀπέσχετο τοῦ τὸν μέγαν λογοθέτην τὰ αἴσχιστα διαθεῖναι. ὀλίγαις δὲ ὕστερον ἡμέραις βασιλεὺς ὁ πρεσβύτερος, εἴτ' ἐκ διαβολῆς εἴτε καὶ ἄλλως, τοσοῦτον ἐξώργιστο κατὰ πρωτοβεστιαρίου, ὡς καὶ εἶρξαι θελῆσαι. πέμψας τοιγαροῦν πρὸς βασιλέα τὸν νέον τὸν μέγαν λογοθέτην, ἄλλα τε πολλὰ τοῦ πρωτοβεστιαρίου κατηγόρει, καὶ ὅτι λοιδορούμενος αὐτὸν οὐ παύεται καὶ διασύρων, δι' ἃ δὴ καὶ μόνα δίκαιος εἶναι τὴν ἐσχάτην δοῦναι δίκην· οὐ ταῦτα δὲ μόνον, ἀλλ' ὅτι καὶ ἀποστασίαν ἀπ' αὐτῶν ἐννοεῖ. τούτων οὖν ἕνεκα πάντων εἰς δεσμωτήριον αὐτὸν ἐμβαλεῖν δέον εἶναι οἰηθεὶς, καὶ αὐτῷ τὴν γνώμην δηλοῦν, ὡς ἂν εἰδείη τε καὶ αὐτὸς ἅμα καὶ συνεπιλαμβάνοιτο πρὸς τὸ ἔργον. [20]

1 213 πρὸς ταῦθ' ὁ νέος ἀπεκρίνατο βασιλεὺς τοιαῦτα· „θειότατε βασιλεῦ, τὸ μὲν πρωτοβεστιάριον τὸν ἐμὸν θεῖον ἀκόλαστόν τε εἶναι περὶ τὴν γλῶτταν καὶ πρὸς λοιδορίας εὐχερῆ, καὶ αὐτὸς συνομολογήσαιμι ἄν· διὸ καὶ αὐτὸς συνεπιψηφίζομαι τιμωρίας ἄξιον εἶναι τῆς προσηκούσης. τοὺς γὰρ ἐπιφανεστέρους μᾶλλον τῶν ἀνδρῶν καὶ προσήκοντας βασιλεῦσι τά τε ἄλλα συνετοὺς καὶ κοσμίους εἶναι δεῖ καὶ πρὸς πᾶσαν ἀρετῆς ἰδέαν ἐπιτηδείους, καὶ τὴν γλῶτταν πρό γε τῶν ἄλλων εὐφήμους, οἷα δὴ τοῖς ὑποδεεστέροις ὥς τινα παραδείγματα κοινὰ καὶ τύπους κειμένους, πρὸς οὓς ὁρῶντες οἱ πολλοὶ, ῥυθμίζοιντ' ἂν πρὸς τὸ βέλτιον. ἀποστασίαν μέντοι οὔτ' αὐτὸς κατέγνων αὐτοῦ ποτε, οὔτε παρ' ἄλλου σαφῶς ἀκήκοα εἰδότος· οὐ δὴ δίκαιον λόγοις ἁμαρτόντα ἔργῳ τὴν κόλασιν ὑποσχεῖν, ἀλλὰ μᾶλλον ἐφ' οἷς ἥμαρτε τυχόντα συγγνώμης, λόγοις σωφρονίζειν τοῦ λοιποῦ καὶ ἀπειλεῖν, εἰ μὴ παύοιτο τοιαῦτα ἁμαρτάνων, ὡς καὶ ὧν ἀφίεται νῦν ὁμοῦ πάντων ἐν τῷ τότε ὑφέξοντα τὰς δίκας·“ οὕτω γὰρ πρωτοβεστιάριόν τε ἂν σωφρονέστερον γενέσθαι, αὐτόν τε οὐ ζημιώσεσθαι ἄνδρα τῶν ἐπιφανῶν καὶ καθ' αἷμα προσηκόντων. τοιαῦτα συμβουλεύων ἐδεῖτο πείθεσθαι καὶ τὴν ὀργὴν πρωτοβεστιαρίῳ ὑφεῖναι. εἰ δ' ἄρα ἀνενδότως ἔχει καὶ μὴ βούλοιτο συγγνώμης ἀξιοῦν, κύριον ὄντα πάντων ὅ, τι ἂν ἐθέλῃ ἐξεῖναι ἔλεγε ποιεῖν. [20]

1 214 συνήρατο δ' ἂν καὶ αὐτὸς πρὸς τὸ τιμωρήσασθαι τὸν ὑβριστὴν, εἴγε ἐνδεᾶ τῆς δυνάμεως ἑώρα τὴν βούλησιν κεκτημένον· ἐπεὶ δὲ ὅσα ἂν ᾖ βουλομένῳ καὶ δυνατός ἐστι καταπράξασθαι, περαινέτω τὴν βουλήν. Ταῦτα τοῦ μεγάλου λογοθέτου πρὸς βασιλέα τὸν πρεσβύτερον ἀπαγγείλαντος, εἴτε τοῖς βεβουλευμένοις ὡς λυσιτελέσιν ὁ βασιλεὺς πεισθεὶς, εἴτε τὴν τοῦ νέου καλοκἀγαθίαν αἰδεσθεὶς, τοῦ κακῶς ποιεῖν τὸν πρωτοβεστιάριον ἀπέστη. οὕτω μὲν ἀμφοτέροις ὁ νέος βασιλεὺς, τῷ μὲν τοῦ μὴ πληγαῖς πρὸς τῷ ἀτιμασθῆναι συγκοπῆναι, τῷ δὲ τοῦ μὴ διὰ βίου δεσμωτήριον οἰκεῖν, αἰτιώτατος ἐγεγόνει. αὐτοὶ δὲ μετὰ μικρὸν ἐκ τοῦ ἄκρως ἐκπεπολεμῶσθαι εἰς φιλίαν συνελθόντες καὶ ὅρκοις ἐμπεδώσαντες ἀλλήλους ἢ μὴν φρονήσειν ταὐτὰ, πρὸς τὸν κατὰ τοῦ νέου βασιλέως πόλεμον αὐτοί τε ἐξηρτύοντο καὶ τὸν βασιλέα παρεκάλουν, ἀπάταις χρώμενοι καὶ διαβολαῖς· καὶ τῆς εὐεργεσίας ἀπεδίδοσαν χάριν τὸ μέχρι θανάτου πολεμεῖν. ἀλλ' ἐκεῖνοι μὲν οὕτω· βασιλεὺς δὲ ὁ πρεσβύτερος τὸν πρωτοβεστιάριον ἄρχοντα καταστήσας Βαλαγράδων, προσηνῶς τε καὶ ἡμέρως ὁμιλήσας καὶ πολλὰ ἐπαγγειλάμενος εὖ ποιήσειν, ἐξέπεμψεν, ὅσων ἂν δέοι πρὸς τὸν πόλεμον εἶναι παρεσκευασμένον παραγγείλας, ὡς ἅμα τῷ δέξασθαι γράμματα παρ' αὐτοῦ βασιλεῖ τῷ νέῳ τὴν ἐκ τῆς ἑσπέρας ἐπάξων στρατιάν. [20]

1 215 ἀπὸ δὲ Βυζαντίου πρὸς τὸν νέον Ἀνδρόνικον ἦκον γράμματα παρὰ τῶν φίλων, σαφῶς ἀπαγγέλλοντα, τὸν πρεσβύτερον βασιλέα πρὸς τὸν πόλεμον παρασκευάζεσθαι. διὸ καὶ ἐδόκει δεῖν αὐτῷ ἅμα τῷ μεγάλῳ δομεστίκῳ καὶ πρωτοστράτορι βουλευτέα εἶναι περὶ τοῦ πολέμου. βουλευσαμένοις δὲ μεγαλοψυχίᾳ ὥσπερ καὶ ἐπὶ τῶν προτέρων πολέμων ἐδόκει χρῆσθαι καὶ μὴ προεξανίστασθαι, ἀλλὰ τὸν ἀπὸ τῶν πραγμάτων ἔλεγχον περιμένειν, ἅμα καὶ ἐλπίζοντες

περιγενήσεσθαι τοῦ πολέμου, ἀμύνοντος αὐτοῖς καὶ τοῦ θεοῦ παρασπονδουμένοις· αὐτοὶ γὰρ οὔτε λόγῳ αἰτίαν παρασχεῖν τοῦ λελύσθαι τὰς σπονδάς. πείρας δὲ χάριν ἐδόκει πρὸς Βυζάντιον ἀπελθεῖν ὡς ἢ φανεροῦ γενησομένου ἅμα τῷ αὐτοὺς ἀφικέσθαι τοῦ πολέμου ἢ διαλυθησομένου, τῶν κινούντων καταπληξάντων. βασιλεῖ πᾶν οὖν τῷ νέῳ καὶ τοῖς φίλοις οὕτως ἐδόκει. μδ′. Καὶ ὕστερον οὐ πολλαῖς ἡμέραις κατὰ τὰς ἀρχὰς Ὀκτωβρίου τῆς ἐνδεκάτης ἰνδικτιῶνος ἐκ Διδυμοτείχου ἦλθον εἰς Σηλυβρίαν, στρατιὰν μὲν οὐκ ἐπαγόμενοι τοῦ μὴ δοκεῖν ἐξεπίτηδες πρὸς πόλεμον χωρεῖν, ἅμα δὲ οἰκέταις καὶ τῶν φίλων οὐκ ὀλίγοις. ὡς δὲ ἐπύθετο ὁ πρεσβύτερος βασιλεὺς, τόν τε δικαιοφύλακα Γρηγόριον τὸν Κλειδᾶν καὶ Νίφωνα τὸν ἐπίσκοπον Μογλαίνων πρὸς τὸν ἔγγονον ἀπέστειλεν εἰς Σηλυβρίαν, εἰς Βυζάντιον κελεύων μὴ ἐλθεῖν· οὐδὲ γὰρ ἂν αὐτῷ τὴν εἴσοδον παραχωρήσειν, ὅτι τὰς πρὸς αὐτὸν σπονδὰς παραλύσειε καὶ τοὺς ὅρκους· κἄν τι περὶ αὐτὸν συμβῇ τῶν ἀβουλήτων, οὐκ ἐκείνῳ, ἀλλ᾽ ἑαυτῷ τὴν αἰτίαν λογίζεσθαι παρεσπονδηκότι. [20]

1 216 τούτων ἀκούσας ὁ νέος βασιλεὺς, ἦλγησε μὲν οὐχ ἥκιστα ἐπὶ ταῖς ἀγγελίαις· μικρὸν δὲ ἐπισχὼν, „ἐβουλόμην“ εἶπε „μὴ τοσοῦτον ἀμνήμονα τὸν ἐμὸν κύριον καὶ βασιλέα ἦς ἔργοις αὐτοῖς εὐπειθείας καὶ δουλείας πρὸς αὐτὸν ἐνεδειξάμην ὀφθῆναι νῦν· ἐπεὶ δ᾽ ἡ τῶν ἐμῶν ἁμαρτημάτων πληθὺς ἐπίορκον καὶ τῶν πρὸς αὐτὸν συμβάσεων ἀθετητὴν καὶ οἴεσθαι ἀνέπεισε καὶ λέγειν, δέον εὐγνώμονα καὶ φιλοπάτορα καὶ αὐτῷ ὑπείκοντα λογίζεσθαι πάντα, πρῶτον μὲν ἐν καιρίῳ οἶομαι τὴν πρὸς ἐμὲ ὑμῶν ἄφιξιν γεγενῆσθαι, συνετῶν ὄντων καὶ δυναμένων μάλιστα ἀπὸ τῶν λεγομένων τὰ ἀληθῆ καὶ τὰ δέοντα συνεῖναι. ἔπειτα ἐρωτῶ, εἰ καὶ παρὰ τοῦ ἐμοῦ κυρίου καὶ βασιλέως ἐπιτέτραπται ὑμῖν, ἅ τε ἠδίκηκα ἐγκαλεῖν καὶ τούτων τὴν ἀπολογίαν δέχεσθαι διεξιόντος. ἐλπίζω γὰρ ἐκ πολλοῦ τοῦ περιόντος ἀπολύσασθαι τὰ ἐγκλήματα.“ τῶν δὲ εἰπόντων μηδὲν πλέον ἐπιτετράφθαι ἢ ὅσον μὴ εἰς Βυζάντιον ἀπαγγείλαντας ἥκειν, αὖθις ἀναστρέφειν, „ἀπαγγείλατε τοίνυν“ ἔφη „τῷ ἐμῷ κυρίῳ καὶ βασιλεῖ, ὅτι τὸν ἔφορον τῆς ἀληθείας ἐπιμαρτύρομαι θεὸν καὶ αὐτὸν ἀλήθειαν καλούμενον καὶ ὄντα, ὡς οὔτε πρότερον, οὔτ᾽ ἐν τῷ νῦν ἀδίκως κατ᾽ ἐμοῦ κινουμένῳ πολέμῳ, οὔτ᾽ ἔργοις οὔτε μὴν ἐν ῥήμασιν ἐμαυτῷ τι σύνοιδα πεπραγμένον κατὰ σοῦ. διὸ καὶ ἱκέτης γίνομαί σου πρὸς αὐτοῦ τοῦ θεοῦ τὸ ὀργίζεσθαι ἀποθέμενον, συμπαθείᾳ χρήσασθαι καὶ πρᾳότητι, καὶ τοῦ δικαίου καὶ λυσιτελοῦντος ἔξω ποιεῖν μηδέν. εἰ δ᾽ ἄρα τοῦ δαίμονος ἡ δυσμένεια, δι᾽ ἣν πολλάκις ἐν κακοῖς τεταλαιπώρηκα, τῆς μὲν δουλείας καὶ εὐπειθείας, ἣν ἔργοις αὐτοῖς ἐπεδειξάμην ἐν παντὶ τῷ παρασχόντι, παρεσκεύασεν ἐπιλελῆσθαι, τοῖς διαβάλλουσι δὲ καὶ συκοφαντοῦσιν ἀνέπεισε προσέχειν καὶ τὸν κατ᾽ ἐμοῦ πόλεμον κινεῖν, δέομαι αὖθις μὴ ἐρήμην οὕτω καταψηφίσασθαι, ἀλλὰ τά τε ἐγκλήματα δηλῶσαι καὶ τόπον ἀπολογίας παρασχεῖν. [5]

1 217 εἰ μὲν οὖν διαφύγω τὴν δίκην, τὰ ἐγκλήματα ἀπολυσάμενος, εὖ ἂν ἔχοι· ἂν δ᾽ ἐπιορκῶν ἁλῶ καὶ παρασπονδῶν, οὐδεμιᾶς ἀξιῶ τυχεῖν συγγνώμης, ἀλλὰ πᾶν ὁτιοῦν πάσχειν αὐτὸς τιμῶμαι.“ βασιλεὺς μὲν οὖν ὁ νέος τοῖς πρέσβεσι τῷ πάππῳ τοιαῦτα ἐκέλευεν ἀπαγγέλλειν· οἱ δ᾽ ἐπυνθάνοντο αὖθις, εἰ μηδὲν ἑαυτῷ σύνοιδε τοὺς πρὸς βασιλέα τὸν πάππον γεγενημένους ὅρκους παραβεβηκὼς, οἰόμενοι πεῖσαι ἂν βασιλέα ῥᾳδίως διαλύσασθαι πρὸς τὸν ἔγγονον, εἰ μηδὲν ἐπιορκοῦντα πύθοιτο αὐτόν. τοῦ δὲ ἰσχυρισαμένου ἄχρι τότε παρεσπονδηκέναι μηδαμῶς, χαίροντες εἰς Βυζάντιον ἐπανῆκον, ἐλπίζοντες τὸν πόλεμον τῶν βασιλέων καταλύσειν· τὸ δ᾽ ἐναντίως ἢ ἀπέβη προσεδόκων. ἀπαγγειλάντων γὰρ ὅσα βασιλεὺς ὁ νέος πρὸς τὸ μὴ παρεσπονδηκέναι παραιτεῖται, οὐδὲν μᾶλλον ὁ πρεσβύτερος ὑφῆκε τῆς ὀργῆς, ἀλλ᾽ ἐκείνοις μὲν ἀπεκρίνατο οὐδέν· τῷ πατριάρχῃ δὲ Ἠσαΐᾳ τὸ μνημονεύειν ἐν ταῖς ἱεροτελεστίαις τοῦ ἐγγόνου μήτ᾽ ἐν τῷ τῆς τοῦ θεοῦ Σοφίας νεῷ, μήτ᾽ ἐν τοῖς ἄλλοις ἱεροῖς ἐκέλευε συγχωρεῖν· καὶ αὐτῶν γὰρ τῶν ἐν βασιλείοις ἱερῶν ἀπεληλακέναι τὴν τούτου μνήμην. [20]

1 218

ὁ πατριάρχης δὲ τὴν αἰτίαν ἠρώτα, δι’ ἣν ἂν ἐκβάλλοιτο τῶν ἱερῶν ἡ μνήμη τοῦ βασιλέως· εἰ μὲν γὰρ εἴς τι τῶν ἀλλοτρίων τῆς ἐκκλησίας ἐξώκειλε δόγμα, οὐδ’ οὕτω πρὸ πάσης παραινέσεως καὶ πείρας τῶν ἱερῶν ἐκβάλλειν χρὴ, ἀλλ’ αὐτὸν ὑπὸ τοῦ θεοῦ τῶν ἱερῶν τῆς ἐκκλησίας προστάτην ἀποδειχθέντα δογμάτων καὶ κηδεμόνα ψυχῶν, οὐκ ἄχρι Ῥηγίου μόνον, ὅπου βασιλεὺς ὁ νέος διατρίβει, ἀλλὰ καὶ εἰς ἐσχατιὰς γῆς ὑπὲρ ψυχῆς κινδυνευούσης ὀφείλειν τε καὶ προθυμεῖσθαι βαδίζειν. διὰ τοῦτο δέον εἶναι πρῶτον πρὸς αὐτὸν ἀπελθεῖν· κἂν μὲν, θεοῦ συναιρομένου, πολλὰ διδαχθεὶς καὶ νουθετηθεὶς τὴν κακοδοξίαν ἀπόθηται, τὴν ἀλήθειαν ἀσπασάμενος καὶ τὸ ὑγιαῖνον τῶν δογμάτων ἐπεγνωκὼς, πανταχόθεν ἂν ἔχοι καλῶς, τῇ τε ἐκκλησίᾳ, τοῦ κατὰ πνεῦμα, καὶ σοὶ, τοῦ σωματικοῦ παιδὸς, τοῖς τε Ῥωμαίοις, τοῦ βασιλέως σεσωσμένου. ἂν δ’ ἐθελοκακῶν φανῇ καὶ πρὸς τὰς αὐγὰς τῆς ἀληθείας καμμύων ἑκοντὶ τοὺς ὀφθαλμοὺς, καὶ οὐδὲ μικράν τινα παρέχων ἐλπίδα τοῦ ἰατρευθῆναι ἄν ποτε, οὐ τῶν ἐν Βυζαντίῳ ἱερῶν μόνον αὐτοῦ τὴν μνήμην ἐκβαλῶ, ἀλλὰ καὶ τοῖς ὁποιδήποτε γῆς Χριστιανοῖς ἐκκήρυκτον αὐτὸν ποιήσω.“ ἀποκριναμένου δὲ τοῦ βασιλέως, οὐ διαστροφὴν τῆς πίστεως τῷ ἐγγόνῳ ἐγκαλεῖν, ἀλλὰ τῶν εἰς αὐτὸν ὅρκων ἀθέτησιν καὶ τῶν συνθηκῶν, ἔτι τε αὐθάδειαν καὶ ἀπείθειαν, καὶ διὰ τοῦτο νουθεσίας καὶ παιδείας χάριν τὸ τοιοῦτον ἐπινενοηκέναι, πάλιν δὲ αὐτοῦ τὴν διόρθωσιν ἀξίαν ἐπιδειξαμένου τῶν ἡμαρτημένων, αὐτὸν τὰ δέοντα ποιήσειν· „οὐκοῦν“ εἶπεν ὁ πατριάρχης „δέομαί σου, κράτιστε βασιλεῦ, μίαν ἐμοὶ χάριν ταύτην καταθεῖναι μεγίστην, τὸ πρὸς αὐτὸν ἐπιτρέψαι ἀπελθεῖν·“ ἐλπίζειν γὰρ βασιλέα τὸν νέον πείσειν, εἴ τί τε ἡμάρτηται πρότερον, ἐπανορθώσασθαι καὶ ἀσφαλῶς εἰς τὸ ἑξῆς τὰ δέοντα ποιεῖν, τά τε μεταξὺ προσκόμματα καὶ τὰς αἰτίας τοῦ πολέμου ποιήσειν ἐκποδών. [5]

1 219 ἀηδῶς δὲ ὁ βασιλεὺς ἐπὶ τοῖς εἰρημένοις διατεθεὶς, „ἐχρῆν“ εἶπε „τοῖς ἐμοῖς ἀπολυπραγμόνως πείθεσθαι λόγοις, καὶ τὸ κελευόμενον ἀντιλέγοντα μηδὲν ποιεῖν· ἐπεὶ δ’ οὐκ οἶδ’ ᾧτινι χρώμενος λογισμῷ τἀναντία καὶ λέγειν καὶ πράττειν προῄρησαι, ἐμοὶ δέον συνεργεῖν, αὐτὸς ἂν εἰδείης ἃ δέον ποιεῖν.“ οὕτω μὲν οὖν βασιλεύς τε καὶ πατριάρχης ἀσύμφωνοι ταῖς γνώμαις ἦσαν. διὸ καὶ ἐν μὲν βασιλείοις τὴν τοῦ νέου βασιλέως ἀπείρητο ποιεῖσθαι μνήμην· ἐν δὲ τοῖς κατὰ Βυζάντιον λοιποῖς ἱεροῖς καὶ ἐν αὐτῷ τῷ τῆς Σοφίας τοῦ θεοῦ τεμένει τῷ ἱερῷ, ὡς ἔθος ἦν, ἡ μνήμη τῶν βασιλέων ἐτελεῖτο. με′. Βασιλεὺς δὲ ὁ νέος ἐν τῷ περὶ τὸ Ῥήγιον Ἐννακόσια προσαγορευομένῳ χωρίῳ ἀπὸ τῆς ἀρχῆς μάλιστα Ὀκτωβρίου ἄχρι καὶ Δεκεμβρίου διατρίβων μηνὸς, ἐδεῖτο τοῦ πρεσβυτέρου βασιλέως, μὴ αὖθις τὰ Ῥωμαίων πράγματα εἰς φθορὰν καὶ ταραχὴν ἐμβαλεῖν, ἀλλ’ ἔλεον τῶν ὑπηκόων σχόντα, μὴ ἐπὶ πλέον τὸν πόλεμον ἐξάγειν. ὡς ἂν δὲ αὐτὸν τὴν εἰρήνην πείσῃ μᾶλλον ἑλέσθαι, καὶ τοιοῖσδε πρὸς αὐτὸν διὰ πρέσβεων ἐχρῆτο λόγοις· „τῆς ἐμῆς, ὦ βασιλεῦ, σπουδῆς τε καὶ προθυμίας ὑπὲρ τῶν κοινῇ τῇ Ῥωμαίων ἡγεμονίᾳ συμφερόντων οὐχ ἕτερόν τινα ἀξιόχρεων ἢ σὲ μάρτυρα ἔξεστι παρασχεῖν. [20]

1 220 οἶσθα γὰρ, ὅπως, Προυσηνῶν ὑπὸ Περσῶν πολιορκουμένων καὶ ὅσον οὔπω ἁλώσεσθαι προσδοκωμένων διὰ τὸ τὸν σῖτον παντάπασιν ἐπιλελοιπέναι, πυθόμενος αὐτὸς αὐτόκλητος εἰς Βυζάντιον ἦκον, δεόμενός τε ἅμα καὶ συμβουλεύων, τοῖς πολιορκουμένοις τὴν δυνατὴν πρόνοιαν εἰσενεγκεῖν. αὕτη δ’ ἦν τὸ ἐμὲ ἅμα τῇ στρατιᾷ ναυσὶ πρὸς τὴν Τρίγλειαν περαιωθέντα, ἐπεὶ οὐ πολὺ Προύσης διέχει, τοῖς τε βαρβάροις, ἢν δύνωμαι, ἐπιθέσθαι καὶ Προυσηνοῖς τὰ ἐπιτήδεια ἐσκομίσαι· τούτου δὲ γενομένου, ἐλπὶς αὐτοὺς χρόνον πολὺν πρὸς τὴν πολιορκίαν ἀντισχήσειν· τἄλλα γὰρ ἡ πόλις ἅπαντα κατεσκεύασται καρτερῶς. ἐγὼ μὲν οὖν οὕτω προθυμίας εἶχον πρὸς τὸ Προυσηνοῖς βοηθεῖν αὐτὸς διακινδυνεύων, σοῦ δὲ μὴ ἐφιέντος, ἄκων κατεσχέθην· ὃ καὶ μάλιστα αἴτιον ἔδοξε γεγενῆσθαι τοῦ Προῦσαν ὑπὸ τοῖς πολιορκοῦσι βαρβάροις γεγενῆσθαι. ταῦτα δὲ διῆλθον, οὐχ ἵν’ ἁπλῶς οὕτω φιλοτιμήσωμαι, ἀλλ’ ἵν’ ἐπιδείξαιμι ἐκ πολλοῦ τοῦ περιόντος, ὅτι εἰ μιᾶς ἕνεκα πόλεως κινδυνευούσης οὕτω περιεκαιόμην καὶ δεῖν ἐνόμιζον ἢ βοηθεῖν αὐτῇ ἢ καὶ αὐτὸς συγκινδυνεύειν, πολὺ μᾶλλον ἂν

ἀλγοίην νῦν, ὁμοῦ Ῥωμαίων σύμπασαν τὴν ἡγεμονίαν κινδυνεύουσαν ὁρῶν. τὸ γὰρ ἡμᾶς, τοὺς ὑπὲρ αὐτῆς πρὸς τοὺς ἔξω πολεμίους πολεμεῖν δικαίους ὄντας, συῤῥήγνυσθαι ἀλλήλοις οὐκ ἄλλο τι ἢ καταστροφὴν αὐτῆς τελεωτάτην οἴεσθαι χρή. [20]

1 221 διὸ δὴ καὶ σφόδρα σου δέομαι, βασιλεῦ, εἰ μὲν οἷόν τε, καταλῦσαι τὴν ἔχθραν καὶ τὴν εἰρήνην μᾶλλον ἢ τὸν πόλεμον ἑλέσθαι. εἰ δ' ἐπὶ τοσοῦτον οἱ τῶν συκοφαντῶν ἴσχυσαν λόγοι, ὥστ' ἐμὲ πολλὰ περὶ εἰρήνης δεόμενον ἀνύειν μηδὲν, τό γε δεύτερον ἱκετεύω, ἐπὶ σοῦ ἅμα δύο ἢ καὶ τρισὶν ἐλθόντα δικασθῆναι. κἂν μὲν ἀπολύσωμαι τὰς αἰτίας, καλῶς ἂν ἔχοι· ἂν δ' ἀδικῶν ἁλῶ καὶ ἐπιορκῶν, τῶν μακρῶν ἀπαλλαγήσῃ πόνων, ἔχων ἐν χερσὶ τὸν ἀδικοῦντα, καὶ μὴ φείσῃ, πρὸς αὐτοῦ θεοῦ, ἀλλὰ κόλασον ἀξίως τῶν ἁμαρτημάτων. εἰ δὲ μὴ τοῦτό σοι ἀρεστὸν, τὸ αὐτὸν ἐμὲ ἐπὶ σοῦ ἐλθόντα δικασθῆναι, ἀλλ' ὁ μέγας δομέστικος γοῦν ἐλθὼν δικαζέσθω ὑπὲρ ἐμοῦ. κἂν καὶ αὐτὸς ἁλῷ, τὰ ἔσχατα ὑπομενέτω· πάντως δὲ οὐδὲν ἧττον ἀλγήσω, ἢ εἰ αὐτὸς ἐν τῷ σώματι ὑφιστάμην τὰ δεινά." Τοιαῦτα μὲν βασιλεὺς ὁ νέος ἐπέστελλε πρὸς τὸν πάππον καὶ βασιλέα· καὶ ὁ μέγας δὲ δομέστικος τοιαῦτα ἔγραψε, δεόμενος περὶ τῶν αὐτῶν· „κράτιστε βασιλεῦ, ἀμφότερά σε οἶομαι σαφῶς πεπεῖσθαι περὶ ἐμοῦ, ὅτι τε εὐνοϊκῶς διάκειμαι καὶ φιλίως περί σε καὶ οὐδενός σοι δουλεύειν ἧττον αἱροῦμαι, τούτων ἀποδείξεις σαφῶς τῶν πραγμάτων ἐν πολλοῖς παρασχομένων, καὶ ὅτι τὴν κοινὴν τῶν Ῥωμαίων εὐδαιμονίαν οὐ τῶν ὄντων μόνον, ἀλλὰ καὶ αὐτῆς ζωῆς προθύμως ἀλλαξαίμην ἄν. νυνὶ δέ σε ὁρῶν ἐξ οὐδεμιᾶς αἰτίας λύοντα μὲν τὰς σπονδὰς, ὡρμημένον δὲ πολεμεῖν, σφόδρα μὲν ἀλγῶ καὶ παραπλήσιον θανάτου, τὰς συμφορὰς, αἳ περιστήσονται Ῥωμαίους ἐκ τοῦ πρὸς ἀλλήλους ἐννοῶν πολέμου· δέομαι δέ σου μὴ τοιούτοις κακοῖς τοὺς ὑπηκόους περιπεσόντας περιϊδεῖν, ἀλλὰ στῆσαι τὴν συμφοράν, βασιλεῖ τῷ ἐγγόνῳ διαλλαγέντα, οὐδὲν, ὅσα γε ἐμὲ εἰδέναι, οὔτε ἐν πράγμασιν οὔτε ἐν λόγοις, οὔτε πρότερον προσκεκρουκότι οὔτε νῦν, (οἶσθα δὲ σαφῶς, ὡς οὐδὲν οὔτε φθέγγεται οὔτε πράττει, μὴ συνειδότος ἐμοῦ·) μὴ δὴ τὰς συκοφαντίας τῶν ἐπ' ὀλέθρῳ ἡδομένων τῷ κοινῷ τῆς κοινῆς προθεῖναι σωτηρίας, μηδ' αὐτοῖς πεισθῆναι πρὸς τὸ πολεμεῖν ἐνάγουσιν, ἐξ αὐτῆς τῆς πείρας ἀκριβῶς δεδιδαγμένος, ὡς ἀδυνάτοις ἐπιχειροῦσι καὶ ἄχθος ἆραι τὴν δύναμιν αὐτῶν ἐθέλουσιν ὑπερβαῖνον. [10]

1 222 καταλύων μὲν οὖν τὸν πόλεμον, τὰ δέοντα βουλεύσῃ καὶ σαυτῷ καὶ ἡμῖν· τοὐναντίον δὲ ποιῶν, οὐκ οἶδα ὁποτέροις μᾶλλον ἀλυσιτελέστερον βουλεύσῃ. βασιλεὺς μὲν οὖν ὁ σὸς ἔγγονος δίκῃ διαλύεσθαι τὰ ἐγκλήματα προκαλεῖται, καὶ παρὰ σοὶ δικαστῇ, ὃ πάντες ἂν αὐτῷ συμφαῖεν, ὡς δικαία ἡ ἀξίωσις· ἢ, τό γε δεύτερον, εἰ μὴ αὐτόν σοι κατὰ γνώμην πρὸς τὴν δίκην ἀπαντῆσαι, ἀλλ' αὐτὸν ἐμὲ ὑπὲρ τῶν αὐτῷ διαφερόντων τὰς εὐθύνας παρασχεῖν. εἰ μὲν οὖν αὐτὸν ἐλθεῖν κελεύσεις, πέπεισμαι σαφῶς, ὡς ὀφθεὶς μόνον ἀραχνίων ἱστῶν ἀδρανεστέρας ἀποδείξει τὰς συκοφαντίας· εἰ δὲ, τό γε δεύτερον, ἐμὲ, ἐλπίζω καὶ αὐτὸς οὐ μόνον οὐδὲν ἠδικηκότα, ἀλλὰ καὶ φιλοπάτορα καὶ τὴν προσήκουσα αἰδῶ καὶ εὐπείθειαν μέχρι παντὸς ἐπιδεδειγμένον ἀποδείξειν. εἰ δ' ἀμφοτέρων τούτων καταφρονήσεις, πεισθεὶς τοῖς συκοφαντοῦσιν, ἡμᾶς μὲν ὁ θεὸς οὐ περιόψεται ἀδικουμένους· ὑμῖν δὲ ὅποι τὰ πράγματα τελευτήσει, ἐμοὶ μὲν ἄμεινον σιωπᾷν, ἡ πεῖρα δὲ διδάξει σαφῶς. [25]

1 223 πλὴν τὰ παρόντα μοι γράμματα τηρεῖσθαι δέομαι ἐν ἀσφαλεῖ, ὅπως ἐκ τῶν ἀποβησομένων εἰ ἀγαθὸς σύμβουλος ἐγὼ φανῇ." μς'. Οἱ μὲν οὖν τοιαῦτα τῷ πρεσβυτέρῳ ἐπέστελλον βασιλεῖ· ὁ δὲ τὰ γράμματα ἀναγνοὺς, οὐδὲν ἀπεκρίνατο πλέον, ἢ ὡς οὐ ῥᾴδιον ἐπὶ δίκῃ οὔτε τὸν ἔγγονον, οὔτε τὸν Καντακουζηνὸν ἐν Βυζαντίῳ δέχεσθαι. βασιλεὺς δὲ ὁ νέος ἀκούσας τὴν βασιλέως ἀπόκρισιν, ἤλγησε μὲν σφοδρῶς ἐφ' οἷς οὕτω παρὰ πάντα δικαίου λόγον καὶ αὐτῆς εἴργετο ἀπολογίας· ἀπαγορεύσας δὲ τὸ βασιλέα πείθειν ἐπιχειρεῖν, τῷ πατριάρχῃ γράφει τοιαῦτα· „δέσποτα πατριάρχα καὶ ἡ περὶ αὐτὸν θεία σύνοδος καὶ ἱερὰ, ἴστε σαφῶς ὅσα βασιλέως μεταξὺ καὶ ἐμοῦ πρὸ χρόνου συμβέβηκέ τινος, διὰ τὰς ἁμαρτίας φαίην ἂν ἔγωγε τὰς ἐμάς. ταῦτα μὲν

οὖν ὁ πάντα σοφῶς οἰκονομῶν θεὸς διέλυσέ τε ῥᾳδίως καὶ βαθεῖαν ἐχορήγησεν εἰρήνην· ὅτε δὲ πάντα τὰ ἐν μέσῳ σκῶλα καὶ προσκόμματα περιῃρέθη, καὶ βαθείας ἀπελαύομεν γαλήνης, οὐδ' ἄχρι λογισμοῦ ἐμφυλίου πέρι μηδὲν πολέμου ἐννοοῦντες, αἰφνίδιον ἀνερράγη κλύδων βαρὺς καὶ χαλεπὴ τρικυμία τὴν Ῥωμαίων αὐτάνδρον ἡγεμονίαν ἀπειλοῦσα καταδύειν, καὶ συμβέβηκέ τι παραπλήσιον ἡμῖν ὥσπερ καὶ τοῖς νοσοῦσιν. ἐκεῖνοί τε γὰρ κατὰ μὲν τὴν πρώτην μάλιστα τῆς νόσου προσβολὴν, κἂν σφοδρὰ τύχῃ οὖσα χαλεπὴ, ἀντέχουσιν ἰσχυρῶς· ἂν δὲ ῥαΐσασι δεύτερον αὖθις ἢ καὶ τρίτον ἐπίθηται εἰ τύχοι, ἀσθενεστέροις περιτυχοῦσα, κατεργάζεται ῥᾳδίως τοὺς ἀνθρώπους. [20]

1 224 καὶ ἡμῖν τὸ αὐτὸ συμβέβηκε νῦν. ὑπό τε γὰρ τῶν πρότερον ἐμφυλίων γεγενημένων πολέμων καὶ τῶν ἔξωθεν ἡμῖν ὑπὸ τῶν βαρβάρων ἐπενεχθέντων τῷ πλείονι κατειργασμένοι μέρει, οὐδὲ ἄν τι βλέψαι δυνησόμεθα πρὸς τὰ ἀναφυόμενα κακὰ, ἀλλὰ διαφθαρησόμεθα αὐτοὶ ὑφ' ἑαυτῶν. ἅπερ ἅπαντα συνορῶν καὶ αὐτὸς, καὶ τὸν κίνδυνον οὐκ ἴδιον, (ἦν γὰρ ἂν ἀνεκτὸν,) ἀλλὰ κοινὸν τῶν Ῥωμαίων ἁπάντων ὄντα σαφῶς ὁρῶν, ἐν ἑξήκοντα ἡμέραις ἤδη μάλιστα περὶ Ῥήγιον κάθημαι, καθάπερ ἴστε καὶ αὐτοὶ, βασιλέως δεόμενος ὁσημέραι μετὰ τῆς προσηκούσης αἰδοῦς ἐμοὶ καὶ μετριότητος καὶ δουλείας, συγγνώμης τυχεῖν, καίτοι γε μηδὲν ἑαυτῷ συνειδὼς ὀργῆς ἄξιον πεπραγμένῳ. ὡς δὲ πολλὰ μοχθήσας, εὕρισκον οὐδεμίαν ὄνησιν ἀπὸ τῶν πόνων, ἐτραπόμην ἑτέραν, μετὰ κομιδῇ τινων εὐαριθμήτων ἐπὶ τοῦ βασιλέως ἐλθεῖν αἰτῶν, καὶ ὑπὲρ ὧν ἐγκαλοῦμαι εὐθύνας ταύτῃ παρασχεῖν· ἢ εἰ μηδὲ τοῦτο κατὰ γνώμην εἴη βασιλεῖ, τὸν μέγαν δομέστικον ἐλθόντα ὑπὲρ ἐμοῦ ἀπολογεῖσθαι. καὶ ἐπ' οὐδεμιᾷ προκλήσει εἰσηκούσθην, ἀλλ' οὕτως ἐρήμην παρὰ πάντα τοῦ δικαίου νόμον καταδικάζομαι. ἐγὼ δὲ, εἴγε βασιλεὺς αὐτὸς ῥητήν τινα δίκην ὁποίαν ἂν αὐτῷ ἐδόκει ἐκέλευεν ὑπὲρ ὧν ἐγκαλοῦμαι δοῦναι, ἠγάπησα ἄν, καὶ σὺν προθυμίᾳ πολλῇ παρέσχον· νυνὶ δὲ ὁρῶν τὴν εἰς ἐμὲ ὀργὴν κατὰ πάντων Ῥωμαίων ἐξάγουσαν τὴν βλάβην, οὐκ ἀνεκτῶς ἀλγῶ. [20]

1 225 διὰ τοῦτο καὶ δεόμενος τῆς ὑμῶν ἁγιότητος γράφω, εἴγε τοῦ θεοῦ ἐστε ὑμεῖς, σπουδάσαι ὑπὲρ τῆς εἰρήνης καὶ μὴ περιϊδεῖν ἡμᾶς τοῖς ὁμοφύλοις αἵμασι καταχρανθέντας, ἀλλ' ἢ πεῖσαι βασιλέα πρὸς ὑμᾶς ἐμὲ γενόμενον ὑπὲρ ὧν ἐγκαλοῦμαι λόγον ὑποσχεῖν, ἢ ἐνταῦθα γενομένων ὑμῶν, ὑπὲρ τῶν ἴσων τὴν ἀπολογίαν θέσθαι." Τοσαῦτα μὲν βασιλεὺς ὁ νέος πατριάρχου καὶ τῶν ἄλλων δεόμενος ἀρχιερέων ἔγραψεν ὑπὲρ τῆς εἰρήνης, ἃ καὶ φέρων ὁ διακομιστὴς ἐνεχείρισε τῷ πατριάρχῃ. καὶ τῶν ἀρχιερέων συνεδριαζόντων, ἀναγνωσθέντων δὲ τῶν γραμμάτων, ὡς ἐδόκει ἡ ἀξίωσις δικαία τοῦ νέου βασιλέως, πάντες εὐθὺς πρὸς βασιλέα τὸν πρεσβύτερον ἐλθόντες, τά τε γράμματα ἐδείκνυσαν τοῦ ἐγγόνου καὶ συνηγόρουν αὐτῷ ὡς δίκαια ἀξιοῦντι. καὶ αὐτὸ γὰρ ἔφασαν τὸ περὶ πλείστου ποιεῖσθαι ἢ αὐτὸν ἐνταῦθα ἐλθόντα ὑπὲρ ὧν ἐγκαλεῖται παρέχειν ἐθέλειν εὐθύνας, ἢ τοῦ πατριάρχου ἐκεῖ γενομένου τὸ αὐτὸ ποιεῖν, τεκμήριον ἂν εἴη μέγιστον ἢ τοῦ μηδὲν ἡμαρτηκέναι, ἢ εἰ καὶ ἥμαρτε, τοῦ βούλεσθαι ἂν διορθωθῆναι. τούτου δὲ οὕτως ἐξ αὐτῶν πραγμάτων ἀποδεικνυμένου, δίκαιον ἂν εἴη καὶ ἅμα λυσιτελὲς καὶ ἀναγκαῖον, ἐκ δύο τῶν ζητουμένων γενέσθαι θάτερον. ὁρῶν οὖν καὶ ὁ βασιλεὺς τό, τε ἀναντίῤῥητον τῆς ἀξιώσεως καὶ τὴν τοῦ πατριάρχου καὶ τῶν ἀρχιερέων πρὸς τοῦτο σπουδὴν, τὸ μὲν τὸν νέον βασιλέα πρὸς ἐκεῖνον ἥκειν ἀπηγόρευεν, ὥσπερ καὶ τὸ τὸν πατριάρχην ἐκεῖ γενέσθαι, οὐδὲν εἶναι προῦργου φάμενος ἑκάτερον· ἐπένευσε δὲ τῶν τε ἀρχιερέων καὶ τῶν τῆς συγκλήτου τινὰς, οὐ μὴν ἀλλὰ καὶ τῶν τῆς ἐκκλησίας ἀρχόντων καὶ τῶν ἀρχιμανδριτῶν, πρὸς τὸν ἔγγονον παραγενομένους, τά τε ἐγκλήματα κομίζειν καὶ ἀπολογίαν ζητεῖν ὑπὲρ αὐτῶν. [25]

1 226 πέμπονται τοίνυν ἀπὸ μὲν τῶν ἀρχιερέων ἓξ, καὶ τοσοῦτοι συγκλητικοὶ, ἔκ τε τῶν τῆς ἐκκλησίας ἀρχόντων καὶ τῶν ἀρχιμανδριτῶν λεγομένων ἀνδρῶν εὐλαβῶν ἴσοι τὸν ἀριθμὸν ἐξ ἑκατέρων. σὺν τούτοις καὶ οἱ παρὰ βασιλέως πρότερον ἀποσταλέντες, ὅ, τε τῶν Μογλαίνων

ἐπίσκοπος Νίφων καὶ Κλειδᾶς ὁ δικαιοφύλαξ, οἷς δὴ καὶ τὰ κατὰ τοῦ νέου βασιλέως ἐγκλήματα ὁ πρεσβύτερος ἐνεχείρισε βασιλεύς. ἐπὶ τούτοις πᾶσι καὶ ὁ ἀρχιεπίσκοπος Βουλγαρίας Γρηγόριος, ἀνὴρ σοφός τε εἰς λόγους καὶ θαυμάσιος ἐν συνέσει καὶ τῆς ὄντως σοφίας ἄκρως ἐπειλημμένος, καὶ σὺν αὐτῷ Θεόδωρος ὁ Ξανθόπουλος, καὶ αὐτὸς ἀρετῇ τε καὶ συνέσει καὶ παιδείᾳ κεκοσμημένος. οὗτοι μὲν οὖν εἰς Ῥήγιον πάντες ἦλθον τὰς τοῖν βασιλέοιν ἐξετάσοντες διαφοράς. ἰδὼν δὲ αὐτοὺς βασιλεὺς ὁ νέος, εὐθὺς μὲν ἡδονῆς ἀνάπλεως καὶ θυμηδίας ἦν, ἅτε δὴ μέλλων ὑπὲρ ὧν κατηγορεῖτο διδόναι λόγον· προσαγορεύσας δὲ αὐτοὺς, ἐκέλευεν ἀναπαύλης ἀπολαύειν, ὡς ἐς τὴν ὑστεραίαν ἅμα πρωῒ τοῦ συλλόγου γενησομένου. οἱ μὲν οὖν οὕτως ἐποίουν· βασιλεὺς δὲ ἅμα ἕῳ τῶν τε ἰδίων τοὺς ἐπιφανεστέρους καὶ τοὺς ἐκ βασιλέως ἀφιγμένους εἰς τὸν σύλλογον ἐκάλει. ὡς δὲ πάντες παρῆσαν, σιωπὴ μὲν τὸ θέατρον κατέσχεν ἐπὶ μικρὸν, καὶ πάντες ὡς ἐπὶ καινοῖς τισι παρεῖχον μετεώρους τὰς ἀκοάς. ἤρξατο δ' ἀρχιεπίσκοπος οὕτως εἰπών· „κράτιστε βασιλεῦ, τῶν μεταξὺ τῶν βασιλέων ὑμῶν κεκινημένων νῦν ἕνεκα διαφορῶν αὐτὸς μὲν ᾔτησας, εἰς Βυζάντιον ἐλθὼν ἐπὶ τοῦ βασιλέως τὰς εὐθύνας παρέχειν, ἢ εἰ μὴ τοῦτο, τοῦ πατριάρχου ἐνταυθοῖ γενομένου, δίκῃ διαλύεσθαι τὰ ἐγκλήματα. [25]

1 227 τούτων μὲν οὖν ἑκάτερον οὐ ῥᾴδιον ἦν ᾗ αὐτὸς ἠξίωκας γενέσθαι· προστάξαντος δὲ βασιλέως καὶ πατριάρχου, ἥκομεν ἡμεῖς ὑπὲρ ὧν ἐγκαλῇ τὰς ἀπολογίας ἀκουσόμενοι. σύ τε δίκαιος ἂν εἴης, εἴ τι περὶ αὐτῶν ἔχεις λέγειν, διεξιέναι.“ εἶπεν οὖν ὁ βασιλεύς· μζ'. „Καὶ βουλομένῳ μοι πάνυ ἡ πρὸς ἐμὲ ἄφιξις γεγένηται ὑμῶν, καὶ εὐχῆς ἔργον ἡγοῦμαι τὸ καὶ ὁπωσοῦν ὑπὲρ ὧν κατηγοροῦμαι καιρόν τινα εὑρήσειν ἀπολογίας. οὐ δίκαιον δὲ ἡγοῦμαι, οὔτε μήν τινα λόγον σῶζον, ἐμὲ μὲν πολλάκις τῆς εἰς τὸν βασιλέα αἰδοῦς καὶ εὐπειθείας αὐτοῖς ἔργοις ἐναργεῖς παρέχεσθαι τὰς ἀποδείξεις, τῆς ἴσης δὲ εὐνοίας οὐδὲ λόγοις γοῦν ψιλοῖς ἀξιοῦσθαι παρ' αὐτοῦ. καίτοι γε ἐχρῆν πρὸς τὰς πράξεις τὰς ἐμὰς τοὺς τῶν συκοφαντῶν παραβάλλοντα λόγους, ἢ κολάζειν αὐτοὺς ἀξίως τῆς κακουργίας ἑαυτῶν, ὡς ἂν αὐτοί τε παύοιντο συκοφαντοῦντες καὶ τοῖς ἄλλοις εἶεν παράδειγμα σωφροσύνης, ἢ, τό γε δεύτερον, αὐτοῖς μὲν σφοδρῶς ἐπιπλήττειν καὶ ἐπιτιμᾷν τοῦ τοιαῦτα ἕνεκα τολμᾷν· βεβαίαν δὲ καὶ ἡδρασμένην τὴν εἰς ἐμὲ εὔνοιαν τηρεῖν, ὅπερ ἔφην, ἐκ τῶν ἔργων σαφεῖς ἔχοντα τὰς ἀποδείξεις, ὡς εὐνούστατος ἐγὼ περὶ αὐτὸν καὶ τὴν παιδὶ πρέπουσαν ἀγαθῷ πρὸς πατέρα αἰδῶ τε καὶ εὐπείθειαν καὶ δουλείαν ἀποσώζων. ἐπεὶ δὲ τοῦτο μὲν τὴν ἐναντίαν ᾗ προσῆκεν εἴληχε τάξιν, καὶ τὰ μὲν ἡμέτερα ἔργα τῆς βασιλέως ἐξεῤῥύηκε μνήμης παντελῶς· οἷς δὲ ἔργον ἐπιμελὲς, ἡμᾶς ἀλλήλοις διαβάλλοντας, τῇ κοινῇ λυμαίνεσθαι Ῥωμαίων εὐδαιμονίᾳ, τοῖς λόγοις κατάκρας ἑάλω, τί λοιπὸν ἢ σφόδρα μὲν ἀλγῆσαι ἐφ' οἷς παρ' ἀξίαν ἀτυχῶ, συγγνώμην δὲ πρὸς πατρὸς καὶ τῶν διαβολῶν ἕνεκα αἰτεῖν, ἢ, τό γε δεύτερον, βάσανον καὶ δίκην ἐφ' οἷς ἀδίκως ἐγκαλοῦμαι; ὃ δὴ καὶ διετέλεσα ποιῶν, εἰς ἑξηκοστὴν τήνδε ἡμέραν ἢ καὶ μᾶλλον ὑπαίθριος ταλαιπωρῶν μετὰ τουτωνὶ πάντων ὧν ἄγω, ἐν ὥρᾳ μάλιστα χειμῶνος, καθάπερ δὴ ἴστε καὶ αὐτοί. [10]

1 228 ἦν μὲν οὖν κράτιστον, ἐπὶ βασιλέως αὐτοῦ, παρόντος καὶ πατριάρχου καὶ τοῦ κοινοῦ τῶν Ῥωμαίων παντὸς, ποιεῖσθαι τὰς ἀπολογίας, ἵν' ἢ διαφυγὼν τὰς αἰτίας, πᾶσι καταστήσω ἐμφανὲς, ὡς βιαιότατα καὶ ἄδικα ὑπὸ τῶν συκοφαντούντων ὑπομένω, ἢ ἁλοὺς ταῖς ἁπάντων ψήφοις ἀδικῶν, μηκέτι δύνωμαι πρὸς ἀναβολὰς χωρεῖν μηδ' ἔφεσιν ζητεῖν, ὡς ἢ πρὸς χάριν ἢ πρὸς φιλονεικίαν ὑπὸ τῶν δικασάντων καταψηφισθεὶς, ἀλλὰ τὴν ἀξίαν δίκην δῶ. ἐπειδὴ δὲ οὕτω δεῖν εἶναι κέκρικεν ὁ βασιλεὺς, χάριτας μὲν πολλὰς ὁμολογῶ τῷ πάντων βασιλεύοντι θεῷ, ὅτι καιρὸν παρέσχεν ἀπολογίας, οὐχ ἧττον δὲ βασιλεῖ τε καὶ πατριάρχῃ, τῷ μὲν πείσαντι τὴν ἐξέτασιν, τῷ δὲ πεισθέντι· καὶ ὑμῖν τοῖς ἀφιγμένοις ἕνεκα τῶν πόνων. δέομαι δὲ ὑμῶν, μὴ ὡς βασιλεῖ μοι προσέχειν ἐπὶ τῆς δίκης ταυτησὶ, μηδέ τι ὧν ἂν καταγνώσησθε διὰ τὸ ἀξίωμα συγχωρεῖν, ἀλλ' ἀπαραιτήτως ἐφ' οἷς ἂν οἴησθε καταψηφίζεσθαι ἀδικεῖν. [20]

1 229 ἂν μέντοι μεταξὺ ἀπολογούμενος ἀνάγκῃ γε (οὐ γὰρ ἑκοντὶ πρὸς τοιούτους ἄν ποτε ἦλθον λόγους) τὸν βασιλέα καὶ πάππον τὸν ἐμὸν ἀποφαίνω ἀδικοῦντα καὶ ἐπιορκοῦντα, μήτ' ἐμοὶ λογίζεσθαι ἀλλ' αὐτῇ τῇ τοῦ πράγματος δέομαι φύσει τοὺς λόγους μήτ' αὐτοὺς ψῆφον ἐξάγειν, ἀλλ' ἐμοὶ μὲν κριτὰς καθῆσθαι, ἐκείνῳ δὲ ἀκροατὰς καὶ μόνον. ἐπεὶ δέ με ἐκελεύσατε ἀπολογεῖσθαι, ἀναγκαῖον τοὺς κατηγοροῦντας πρῶτον τὰ ἐγκλήματα εἰς μέσον ἄγειν, ὡς ἂν ἐφεξῆς αὐτὸς ποιῶμαι τὰς ἀπολογίας." Βασιλεὺς μὲν οὖν τοιαῦτα εἶπεν· οἱ δικασταὶ δὲ ἐπαινέσαντες τοὺς λόγους, τὰ ἐγκλήματα ἐκέλευον τοὺς ἐπιτετραμμένους εἰς μέσον ἄγειν. καὶ παρελθόντες εἰς μέσους ὅ, τε δικαιοφύλαξ καὶ ὁ τῶν Μογλαίνων ἐπίσκοπος, διεξῆεσαν πάντα καθ' ἕν. ἀπολογουμένου δὲ βασιλέως, βέβαιον μὲν οὐδὲν ἐδόκουν ἔχειν, οὐδ' ἀπόδειξιν ἐναργῆ οὔτ' ἐξ αὐτῶν τῶν πραγμάτων, οὔτε μὴν ἐκ μαρτυρίας τινός· ἐδόκουν δὲ ἐξ ὑποψίας μᾶλλον ἢ ἀληθείας συνειλέχθαι. τελευταῖον δὲ τόδε εἶπον· „ἐν τοῖς ὅρκοις τοῖς ἐπὶ τῇ εἰρήνῃ γεγραμμένοις γέγραπται καὶ τοῦτο, τὸ τὸν μὲν βασιλέα τὸν πάππον τὸν σὸν τὴν διοίκησιν πᾶσαν ἔχειν καὶ ἡγεμονίαν τῆς ἀρχῆς, σὲ δὲ ὑπ' αὐτὸν τελεῖν καὶ τὰ προσταττόμενα ἐκπληροῦν· τὸν δὲ παρὰ ταῦτα ποιοῦντα, ἐπίορκον καὶ ἄδικον εἶναι. σὺ δὲ, μήτ' ἐπιτρέψαντος μήτε μὴν εἰδότος βασιλέως, ἀπὸ τῶν τοὺς δημοσίους πραττόντων φόρους ἀφείλου βίᾳ χιλιάδας τέτταρας χρυσίου. [20]

1 230 " „ὅτι μὲν τὰ χρήματα ἀφειλόμην, οὐδ' αὐτὸς ἂν ἀρνηθείην" εἶπεν ὁ βασιλεὺς, οὐκ ἐπιωρκηκέναι δὲ, οὐδ' ἀναίσχυντος καὶ καταφρονητὴς διὰ τοῦτο δίκαιος κρίνεσθαι βασιλέως. „αἰνίγματι λέγεις ὅμοιον" οἱ δικάζοντες εἶπον „εἰ μηδὲν πράττειν ἐπὶ τῶν ὅρκων παρὰ γνώμην βασιλέως γεγραμμένου, αὐτὸς τὰ χρήματα βασιλέως ἄκοντος λαβὼν, μηδὲ τοὺς ὅρκους παραβεβηκέναι φαίης. ἢ γὰρ οὐ γέγραπται, τὴν διοίκησιν πᾶσαν τῶν πραγμάτων βασιλέα ἔχειν, σέ τε μηδὲν παρὰ γνώμην ποιεῖν ἐκείνου, ἢ, τούτου δοθέντος, οὐκ ἂν διαφύγοις τὸ ἐπιορκεῖν, ἄκοντος βασιλέως τὰ χρήματα εἰληφέναι ὁμολογῶν." Ξανθόπουλος δὲ τῶν ἐκ Βυζαντίου ἀφιγμένων εἷς „οὐ δίκαιον" εἶπε „καταψηφίζεσθαι, πρὶν ἂν ὁ βασιλεὺς περὶ τῶν κατηγορουμένων λόγον δῷ· τότε γὰρ, εἰ δικαιοῦν ἢ καταψηφίζεσθαι ἐκ τῶν λεγομένων δέοι, γνοίημεν ἄν. συνθεμένων δὲ καὶ τῶν ἄλλων, ὁ βασιλεὺς ἀπελογεῖτο τοιαῦτα· μη'. „Καὶ δίκαιον εἶναι νομίζω καὶ κατὰ γνώμην ἦν ἂν ἐμοὶ, εἰ τὰ πραττόμενα βασιλεὺς μετὰ τῆς προσηκούσης ἐξήταζεν ἀκριβείας· ἦ γὰρ ἂν οὐκ ἂν ἐμὲ νῦν ἀναιδείας καὶ ἀφοβίας καὶ, τὸ μέγιστον, ἐδίωκεν ἐπιορκίας. τὸ μὲν γὰρ μὴ προκατειλῆφθαι τὸν δικαστὴν τὴν γνώμην, ἐξάγειν μάλιστα ὀρθὰς ποιεῖ τὰς κρίσεις· ὃ δὲ μὴ τοῦτον τὸν τρόπον, σφάλλεσθαι ὡς τὰ πολλὰ ἀνάγκη. ἐὰν γὰρ τάς τε κατὰ τοὺς προτέρους πολέμους αἰτίας γεγενημένας, δι' ἃς αἵ τε ξυνθῆκαι προὐχώρησαν καὶ οἱ ὅρκοι, ὅθεν τε κἀκ τίνος συνεώρα, καὶ τὴν ἐμὴν πρὸς τὴν τοῦ πολέμου κατάλυσιν ἐπιμέλειαν καὶ σπουδὴν καὶ προθυμίαν, ἔτι τε ἦν ἐνεδειξάμην ἐν τῷ παρασχόντι παντὶ κηδεμονίαν καὶ εὐπείθειαν καὶ στοργὴν πρὸς αὐτὸν, οὐκ ἂν νῦν τοιαῦτα ἔφευγον ἐγὼ, ἀλλὰ τῶν τε παρόντων ἂν αὐτὸς ἐγὼ καὶ τῶν προσδοκωμένων οἱ Ῥωμαῖοι κακῶν ἦμεν ἀπηλλαγμένοι, βασιλεύς τε αὐτὸς θορύβου τε παντὸς ἔξω καὶ τῆς ἀπὸ τοῦ ἑκοντὶ Ῥωμαίοις ἐπὶ φθορᾷ δοκεῖν τὸν πόλεμον ἐπάγειν δυσκλείας γινομένης. [10]

1 231 νυνὶ δὲ, ὡς ἔοικεν, ἐκείνων ἁπάντων ἐπιλελησμένος, ἃ ὑμεῖς πάντες ἀκηκόατε κατηγόρηκέ μου πολλὰ καὶ δεινά. ἐγὼ δὲ, καίτοι δεινῶν ὄντων τῶν ἄλλων ἁπάντων, ἠνεσχόμην ἂν σιγῇ αἰδοῖ τε τῇ πρὸς βασιλέα καὶ τῷ, μὴ τῆς ἀπολογίας ἕνεκα τῶν μέμψιν τινὰ αὐτῷ οἰσόντων εἰπεῖν εἰς ἀνάγκην τι ἐλθεῖν· τὸ δὲ ἐπιορκίαν ἐμαυτῷ προστρίψασθαι, ἐνὸν ἀσφαλῶς καὶ μετὰ πολλοῦ τοῦ περιόντος τὴν δίκην διαφυγεῖν, οὔθ' ὅσιον ἥγημαι οὔτ' ἀνεκτόν. διὸ καὶ πειράσομαι ἐμαυτὸν ὡς οἷόν τε τάς τε σπονδὰς καὶ τοὺς ὅρκους ἀκεραίους ἄχρι νῦν μάλιστα διατετηρηκότα ἀποδεῖξαι· ἂν δ' ἐκεῖνον διὰ τούτων ἀποφαίνω καὶ τοὺς ὅρκους λελυκότα καὶ τὰς σπονδὰς, μηδεμίαν ἐμοῦ καταγινώσκειν ἰταμότητα μήτε προπέτειαν ἀξιῶ, ἀλλὰ τῇ τοῦ

πράγματος λογίζεσθαι ἀνάγκῃ τὴν κατηγορίαν. πρῶτον μὲν οὖν ἐκεῖνο ἂν εἴποιμι, ὡς τοὺς ἐπὶ ταῖς συνθήκαις ὅρκους οὐκ αὐτὸς ὀμώμοκα μόνος, ἀλλὰ καὶ βασιλεὺς, καὶ τὴν αὐτὴν ἀνάγκην ἑκατέροις ἀπαραβάτους τηρεῖν εἶναι· ἂν δὲ ἐξ ἑνὸς παραβαθῶσι, μηκέτι τὸν ἕτερον, ἂν ἀμύνηται, ἐνέχεσθαι ταῖς αἰτίαις. [25]

1 232 ὃ δὴ καὶ βασιλεὺς αὐτὸς ἐδίκασε καλῶς φθάσας. λελυκότος γὰρ ἐμοῦ τοὺς ὅρκους καὶ τὰς σπονδὰς, οὐδεμιᾷ φησιν αὐτὸς ἐνέχεσθαι αἰτίᾳ, ἄν τι βλάπτῃ ἀμυνόμενος. καὶ ὑμεῖς δὲ, ὑπολαμβάνω, τὸ αὐτὸ συμφαίητε ὀρθῶς ἂν ἔγωγε εἴποιμι καὶ δικαίως. πάνυ δὲ ἡδέως ἐδεξάμην, ὅτι καὶ Κωκαλᾶς ὁ μέγας λογαριαστὴς συμπάρεστιν ὑμῖν. συμβαλεῖται γὰρ ἐμοὶ πρὸς τὴν ἀπολογίαν οὐ μικρά τινα ἐπὶ μαρτυρίαν, ἀχθησόμενος ὧν μέλλω λέγειν· καίτοι γε αὐτὸς κηδεστὴς ὢν πρωτοβεστιαρίου τοῦ θείου τοῦ ἐμοῦ, ὅ,τι τε κατηγοροῦμαι καὶ ὁποίας ποιήσομαι τὰς ἀπολογίας παρεγένετο ἀκοῦσαι, ὡς ἂν εἰδέναι ἔχῃ πρὸς τὸν κηδεστὴν γράφων ἀπαγγέλλειν τἀληθές. ἐγὼ δὲ τὸ καὶ αὐτὸν παρεῖναι μάλιστα ἀπεδεξάμην. σκέψασθε τοίνυν ὁπότερος πρότερος παραβέβηκε τοὺς ὅρκους. παρέξομαι δὲ οὐ λόγους εὐπρεπεῖς πρὸς τὴν ἀπολογίαν, οὐδὲ μάρτυρας ἀνθρώπους διεφθαρμένους, οἷς ἄν τινι καὶ ἀπιστεῖν καὶ παραγράφεσθαι ἐξεῖναι, ἀλλ' αὐτὰ τὰ βασιλέως γράμματα μαρτυρήσειεν ἐκ πολλοῦ καὶ μετ' ἐπιμελείας καὶ φροντίδος τὸν πρὸς ἐμὲ πόλεμον κεκινηκώς. καὶ πρῶτον ἀναγνωσθήτω ἡμῖν τὸ τοῦ βασιλέως πρόσταγμα, ὃ πρωτοβεστιαρίῳ ἀπέστειλε τῷ ἐμῷ θείῳ, Ἰουλίῳ μηνὶ τῆς δεκάτης ἰνδικτιῶνος, ἔχον ἐπὶ λέξεως οὑτωσί· „περιπόθητε ἀνεψιὲ τῆς βασιλείας μου πρωτοβεστιάριε κύριε Ἀνδρόνικε Παλαιολόγε. ἡ ἀναφορὰ, ἣν ἀνέφερες τῇ βασιλείᾳ μου, ἀπεσώθη καὶ ἐξ αὐτῆς ἐγνώρισα ὅσον ἔγραψες καὶ ἀνέφερες. [20]

1 233 ἀπεδεξάμην γοῦν πολλὰ τὴν σπουδὴν καὶ ἐπιμέλειαν καὶ τὸν εἰς τοῦτο ἀγῶνά σου· καὶ πάλιν εἰς τὸ ἔμπροσθεν ἐπιμελήθητι ἵνα τελεσθῇ. καλὰ γὰρ γινώσκεις, ὅτι οὐ δι' ἄλλο τι ἀπεστάλης εἰς τὸ αὐτόθι κεφαλατίκιον παρ' ὃ διὰ τὴν δουλείαν αὐτήν. ἐπεὶ γοῦν καὶ πρὸ τῆς σῆς ἀναφορᾶς ἀπέστειλε καὶ ὁ Κράλης ἀποκρισιάριον αὐτοῦ ἐνταῦθα, καὶ ἐδήλωσε πρὸς τὴν βασιλείαν μου, ὅπως ἤδη κατεστάθη μετὰ σοῦ, καὶ εὑρίσκεται ἕτοιμος, ἵνα κατὰ πᾶσαν τὴν αὐτοῦ δύναμιν βοηθήσῃ ἡμῖν, μὴ μόνον μετὰ τοῦ φωσάτου αὐτοῦ, ἀλλὰ καὶ αὐτὸς παρὼν, πάλιν ἐπιστώθη τοῦτο ἡ βασιλεία μου ἔτι πλέον ἀπὸ τῆς σῆς ἀναφορᾶς. ποίει γοῦν τὴν δουλείαν σου μετὰ πολλῆς συντομίας, ὅτι καὶ ἡ βασιλεία μου ἐπιμελῶς πράττει, καὶ πρόσεξαι μή πως προλάβωμεν ἡμεῖς ὑμᾶς.“ τοῦτο μὲν δὴ τοιοῦτον. ἐγὼ δὲ καὶ δευτέραν παρέξομαι μαρτυρίαν, πρὸς τὸν αὐτὸν πρόσταγμα βασιλέως, Σεπτεμβρίῳ γραφὲν ἑνδεκάτης ἰνδικτιῶνος· „περιπόθητε ἀνεψιὲ τῆς βασιλείας μου πρωτοβεστιάριε κύριε Ἀνδρόνικε Παλαιολόγε· οἶδας ὅσον διωρίσατο πρός σε ἡ βασιλεία μου περὶ τῶν δουλειῶν ὧν ἀνετέθης, καὶ ὅτι δέον σε σπουδάσαι, μή πως προλάβῃ ὑμᾶς ἡ βασιλεία μου· καὶ ἰδοὺ, ὡς βλέπω, οὕτω μέλλει γίνεσθαι. ἐγὼ γὰρ ἄλλο οὐδὲν ἐκδέχομαι ἢ ἀπὸ τῶν αὐτόθι μήνυμα. ποῦ γοῦν ἐστιν ἡ ἐπιμέλειά σου; ποῦ ἐστιν ἡ σὴ ὑπόσχεσις; ἀπὸ γὰρ τοῦ Ἰουλίου μηνὸς οὐδὲν ἐγνώρισά τι ἀκριβῶς ἀπὸ τῶν αὐτόθι, ἀλλ' ἢ μόνον ἀπὸ τῆς φήμης, καὶ ἃς γνωρίσω κατὰ πᾶσαν συντομίαν, ὅτι, ὡς ἀνωτέρω εἴρηται, οὐδὲν ἄλλο ἐκδεχόμεθα, ἢ τὸ μήνυμα ὑμῶν. [20]

1 234 “ καὶ Κωκαλᾶς δὲ οὑτοσὶ πρωτοβεστιαρίῳ τῷ γαμβρῷ γράφων, ἀμέλειαν αὐτοῦ πολλὴν καὶ ῥᾳθυμίαν καταγινώσκει, καὶ ὡς μὴ τὰς ἐπαγγελίας ἐκπληροῦντι ἐπιπλήττει, ὡς λυπουμένου μὲν βασιλέως διὰ ταῦτα, αἰσχυνομένου δὲ αὐτοῦ, ὃς ἐπηγγείλατο μετὰ πάσης ἐπιμελείας αὐτὸν καὶ ταχυτῆτος πληρώσειν τὰ ἐπηγγελμένα. ἵνα δὲ διὰ τὸ μὴ καθαρῶς τὰ ἀναγνωσθέντα προστάγματα γράφειν περὶ ἐμοῦ, περί τινων ἄλλων τισὶ δόξωσι γεγράφθαι, ἕτερον παρέξομαι, τά τε πρότερα ὡς περὶ ἐμοῦ εἴησαν γεγραμμένα βεβαιοῦν, καὶ τὸν πρὸς ἐμὲ πόλεμον κηρύττον ἐμφανῶς, γραφὲν Ὀκτωβρίῳ τῆς ἑνδεκάτης ἰνδικτιῶνος· „περιπόθητε ἀνεψιὲ τῆς βασιλείας μου πρωτοβεστιάριε κύριε Ἀνδρόνικε Παλαιολόγε· αἱ ἀναφοραὶ ὑμῶν πάντων διεκομίσθησαν

εἰς τὴν βασιλείαν μου καὶ ὑπανεγνώσθησαν, καὶ ὑπεραπεδεξάμην πάντας ὑμᾶς περὶ πάντων ὧν ἀναφέρετε. ἀπελογήσατο καὶ διωρίσατο καὶ ἡ βασιλεία μου κατὰ μέρος πρὸς πάντας ὑμᾶς μετὰ τοῦ κατέργου, μᾶλλον δὲ μετὰ τοῦ περιποθήτου ἀνεψιοῦ τῆς βασιλείας μου τοῦ Ἀσάνη κυρίου Μιχαὴλ τοῦ ἐξαδελφοῦ σου· καὶ ἐξ ἐκείνου μέλλετε γνωρίσειν εἷς ἕκαστος ἀφ' ὑμῶν πλατυκώτερον τὸν ὁρισμὸν τῆς βασιλείας μου. [20]

1 235 μήπως δὲ, γενομένης τινὸς ἀργίας παρὰ τῆς θαλάσσης εἰς τὸ κάτεργον, ἀγνοῆτε τὸν καθόλου ὁρισμὸν τῆς βασιλείας μου, ἰδοὺ καὶ διὰ ξηρᾶς διορίζεται καὶ δηλοποιεῖ ὑμῖν ἡ βασιλεία μου, ὅτι τόσοι καὶ τοιοῦτοι εὑρίσκεσθε αὐτόθι, ὅτι εἴπερ εἷς καὶ μόνος ὑμῶν ἦν εἰς τὰ αὐτόθι μέρη, ἀρκετὸς ἔμελλεν εἶναι εἰς τὴν τοῦ ἐγγόνου μου μάχην· πόσῳ μᾶλλον ὅτι εὑρίσκεσθε τοσοῦτοι καὶ τοιοῦτοι, οἷοι εὑρίσκεσθε; λόγος οὐδείς. καὶ ἀπὸ τοῦ νῦν λύω τὸν πάρδον μου τὸν δεδεμένον, καὶ ποιεῖτε ᾗ ἂν ὑμῖν ἡ σύνεσις ὑφηγῆται, ὅτι καὶ ἐγὼ ἤδη ὁρμῶ." τοιαῦτα μὲν βασιλεὺς ἐπέταττε τῷ ἀνεψιῷ οὐδὲν ἔχων ἐγκαλεῖν ἐμοὶ, ἀλλ' αὐτὸς πρῶτος λύων τὰς σπονδὰς καὶ τοὺς ὅρκους. ἵνα δὲ εἰδῆτε, ὅτι καὶ πολλοῖς ἐχρῆτο συνεργοῖς πρὸς τὸν πόλεμον τὸν κατ' ἐμοῦ καὶ ἐκ πολλοῦ τοῦ χρόνου παρεσκευάζετο πρὸς αὐτὸν, καὶ ἑτέραν παρέξομαι γραφὴν τοῦ Κωκαλᾶ τουτουῒ πρὸς τὸν γαμβρὸν πρωτοβεστιάριον ἀπεσταλμένην ἔχουσαν οὑτωσί· „πρῶτον μὲν ἐβαρύνετο καθ' ὑμῶν ὁ αὐθέντης ἡμῶν ὁ βασιλεὺς, μᾶλλον δὲ κατὰ σοῦ, πῶς οὐδὲν γράφετε καὶ ἀναφέρετε τί ποιεῖτε καὶ πῶς πράττετε· τὰ νῦν δὲ ἀπεδέξατο μὲν ὅτι ἐγράψατε, ἐμέμψατο δὲ ὑμῖν ὅπως οὕτως ἀπερισκέπτως ἐπέμψατε τὰς ἀναφορὰς ὑμῶν, καὶ εἴπερ συνέβαινεν ἐμπεσεῖν εἰς τὰς χεῖρας τοῦ ἐγγόνου τοῦ βασιλέως, ὁμολογουμένως γνωσθῆναι ἔμελλεν, ὅτι πρὸ καιροῦ καὶ μετὰ μεμεριμνημένου σκοποῦ ἐκινήθη ἡ παροῦσα μάχη. [20]

1 236 ὅπερ οὐ γέγονε καλῶς· ἀλλὰ ὥσπερ κατὰ τὸ παρὸν ἡμεῖς τὸ πρόσταγμα καὶ τὴν παροῦσαν γραφὴν ἐβάλομεν ἐντὸς πούκλου, (καὶ τίς δύναται ἐνθυμηθῆναι, ὅτι ἐστί τι ἐντὸς τοῦ πούκλου;) οὕτως ποιεῖτε καὶ ὑμεῖς· καὶ ἀπὸ τοῦ νῦν ἄρξασθε, ὅτι, καθὼς καὶ ἀπὸ τοῦ προστάγματος μέλλεις μαθεῖν, ἰδοὺ καὶ ὁ βασιλεὺς ἄρχεται. ὅμως δοκεῖ μοι, ὅτι πρὸ τοῦ ἀκοῦσαι τὴν ἀρχὴν μέλλετε ἰδεῖν τὸ τέλος. πάντες γὰρ οἱ μετὰ τοῦ ἐγγόνου τοῦ βασιλέως εὑρισκόμενοι ἄρχοντες καὶ τὰ ἀρχοντόπουλα, κατεστάθησαν ὑπὸ τοῦ βασιλέως, καὶ τὰς αὐτοῦ εὐεργεσίας ἔχουσι διά τε οἰκονομιῶν διά τε χρυσοβούλλων· καὶ πάντες εἰσὶν ἕτοιμοι καὶ ἐκδέχονται ὁρισμὸν τοῦ αὐθέντου ἡμῶν τοῦ βασιλέως τοῦ ἁγίου, ἵνα ἐάνπερ ὁρίσῃ αὐτοῖς, φέρωσι τὸν ἔγγονον αὐτοῦ δεδεμένον εἰς τὰς χεῖρας· καὶ ἀπὸ τοῦ αὐτοῦ νῦν ἐπιμελήθητι καὶ σὺ, ἵνα δείξῃς ἔργον τῆς γνώσεως καὶ τῆς πείρας, ἧς ἔχεις πρὸς τὸ πράττειν." ἐκ τούτων μὲν οὖν ἁπάντων, ὁπότερος λέλυκε τοὺς ὅρκους αὐτοὶ κρινεῖτε. ὥστ' εἰ καὶ αὐτὸς μετὰ τὴν οὕτω περιφανῆ παράβασιν τῶν ὁμωμοσμένων ἔξω τι εἴργασμαι τῶν συνθηκῶν, οὐ δίκαιον οὐδὲ λόγον ἔχον ἐπιορκίαν ἐγκαλεῖν. ὥστε εἰ καὶ χρήματα εἴληφα, ὡς αὐτοί φασι, παρὰ τὰς συνθήκας, οὐκ ὀφείλειν δίκην λελυμένων τῶν συνθηκῶν. ἐγὼ δὲ καὶ τούτων χωρὶς εὐορκεῖν ἀποδείξω ἐμαυτὸν τὰ χρήματα εἰληφώς. ἐν τοῖς ὅρκοις γὰρ γέγραπται, ὡς ἂν ἐκ τῶν δημοσίων χρημάτων τῶν τε τῆς ἐμῆς οἰκίας ἕνεκα ἀναλωμάτων καὶ βασιλίδος τῆς ἐμῆς γυναικὸς, ἔτι δὲ καὶ τῆς μισθοφόρου στρατιᾶς χρήματα ἐμοὶ χορηγεῖσθαι ὅσα γέγραπται ἐν ταῖς συνθήκαις· καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλὰ δι' ὅρκων ἐγγράφων, ὡς πάρεστιν ὁρᾷν ἐκ χρυσοβούλλου βασιλέως τοῦ πρὸς ἐμέ. [5]

1 237 ἐκ τοίνυν τῶν καιρῶν ἐκείνων ὅτε ἐγεγένητο οἱ ὅρκοι ἄχρι καὶ νῦν τέτταρες ἐπ' ἔτεσι τέτταρσι παρῆλθον μῆνες, ἐν οἷς ἐκ τῶν γεγραμμένων ὀφείλονταί μοι λογιζομένῳ πέντε καὶ τριάκοντα χρυσίου μυριάδες. καὶ τοῦτο ἔξεστιν ἀποδεικνύειν ἐναργῶς ἐκ τῶν γραμματείων τῶν εἰς ἀπόδειξιν γινομένων παρὰ τῶν τὰ χρήματα εἰσκομιζόντων, προστάττοντος βασιλέως. τί τοίνυν ἀδικῶ, εἰ τοσούτων ἐμοὶ χρημάτων ὀφειλομένων, ὀλίγα ἄττα εἴληφα ἐκ πολλῶν; ἤ που δίκαιον, βασιλέα μὲν ἐμὲ τοσούτων ἀποστεροῦντα, μήτ' ἀδικεῖν οἴεσθαι, μήτε μὴν

ἐπιορκεῖν, ἐμὲ δὲ εἴ τι τῶν ὀφειλομένων πολλοστὸν ἀπείληφα μέρος, εἰς δικαστήρια ἕλκεσθαι καὶ ἐπιορκίαν ἐγκαλεῖσθαι καὶ ἀπελαύνεσθαι καὶ τὰ ἔσχατα ὑπομένειν; καίτοι, εἴγε τῶν τῆς οἰκίας τῆς ἐμῆς ἕνεκα μόνον ἀποτεταγμένων ἀπεστερούμην, δίκαιον μὲν οὐκ ἂν ἦν, ἐγὼ δὲ ἤνεγκα ἂν σιγῇ, αἰδοῖ τε τῇ πρὸς βασιλέα καὶ τῷ νομίζειν τὰ παρὰ πατρὸς ἐπαγόμενα ἀλγεινὰ, ὁποῖ’ ἄττα ἂν ᾖ, δίκαιον εἶναι τὸν παῖδα φέρειν καὶ μήτε ἐγκαλεῖν, μήτε θορυβεῖσθαι, ἀλλὰ δεῖσθαι μόνον ἠπιώτερον ἐμοὶ καὶ ἥμερον ἐπιβλέψαι τὸν πατέρα καὶ τὰ λυποῦντα λῦσαι δεινά. νυνὶ δὲ καὶ τῆς στρατιᾶς ἀπεστερημένων τῆς ἐτησίου μισθοφορᾶς, ἣν μόνην ἔχουσι τοῦ βίου ἀφορμὴν, οὐκ ἀνεκτὸν ἡγησάμην μεγαλοψύχως τὰς ἀλλοτρίας φέρειν συμφοράς. [20]

1 238 καίτοι σκέψασθε ὡς ἀδικοῦνται. πρῶτον μὲν γὰρ οὔτ’ ἐμπορίαις οὔτε γεωργίαις οὔθ’ ἑτέροις ἐπιτηδεύμασί τισιν, ἐξ ὧν ἂν πορίζοιντο τὰ ἐπιτήδεια, παρ’ ἡμῶν συγχωροῦνται χρῆσθαι ἕνεκα τοῦ πρὸς τὰς ἐκστρατείας ἀεὶ ἕτοιμοι εἶναι καὶ μὴ κωλύματά τινα ἔχειν ὥστε ἀναγκάζεσθαι οἴκοι μένειν. ἔπειτα δὲ παρὰ βασιλέως καὶ αὐτοῦ τοῦ τεταγμένου ἀπεστέρηνται μισθοῦ, ὃν οὐχ ἁπλῶς, ἀλλ’ ὅρκοις ἐπηγγείλατο ἀποδιδόναι ἐτησίως. καὶ τρίτον, ἠμέληνται παρ’ ἐμοῦ ἐπὶ τοσοῦτον χρόνον ἕνεκα τοῦ μὴ βασιλεῖ δοκεῖν φορτικὸς καὶ ἐπαχθής. καίτοι γε ἐχρῆν ἐμὲ πρὸς μὲν τὰ οἰκεῖα φαίνεσθαι μεγαλόφρονα καὶ καταφρονητὴν χρημάτων καὶ πάντα τῇ τοῦ πατρὸς ἐξακολουθοῦντα γνώμῃ, πρὸς δὲ τὰ τούτων κηδεμονικὸν καὶ ἀπαραίτητον, καὶ πάντα καὶ ἐπινοοῦντα καὶ πράττοντα, ὥστε μὴ ἀποστερεῖσθαι τοῦ μισθοῦ αὐτοὺς, μηδὲ εὐγνωμοσύνῃ τῇ πρὸς τὸν βασιλέα κακοῖς τοῖς ἐσχάτοις περιβάλλειν· οὐ γὰρ εὐγνωμοσύνη τοῦτό γε, ἀλλ’ ὠμότης καὶ ἀπανθρωπία ἐσχάτη, τὸ, ἑτέρων ὑπὸ τοῦ λιμοῦ κινδυνευόντων ἀπολεῖσθαι, μεγαλοψυχεῖν αὐτόν. οὐ μὴν παρέλιπον τὸ μὴ βασιλέως δεῖσθαι ἀεὶ τῇ στρατιᾷ χορηγεῖσθαι τὸν μισθόν. ἐς τοσοῦτον γὰρ ἀπορίας ἦλασαν πολλοὶ αὐτῶν, ὡς ἀποκαρτερῆσαι τὰς γυναῖκας αὐτῶν, νυκτὸς ἐπιγενομένης, ὡς ἂν μὴ κατάδηλοι ὦσι τοῖς γνωρίμοις, τὰς ἑτέρων οἰκίας περιϊούσας ἑαυταῖς καὶ ἀνδράσι τροφῆς τινος αἰτούσας γλίσχρως ἐκπορίζειν. [20]

1 239 οἷς ἐπικλασθεὶς καὶ αὐτὸς τὴν ψυχὴν, τὰ χρήματα ὑπὲρ ὧν ἐγκαλοῦμαι ἀφελόμενος, μικράν τινα παρέσχον παραψυχήν. εἰ τοίνυν διὰ τοῦτο ἐπίορκος ἐγὼ καὶ ἄδικος καὶ τοῦ πατρὸς καταφρονητὴς, κρίνατε ὑμεῖς. πρῶτον μὲν οὖν ἀπέδειξα ἐμαυτὸν μηδὲν μηδαμῶς παραβεβηκότα τὰς συνθήκας, ἀλλὰ καὶ φανερῶς παρασπονδηθείς· καὶ τὰς ἀποδείξεις τοῦ λελυκέναι βασιλέα πρῶτον τοὺς ὅρκους ἔχων παρ’ ἐμαυτῷ, καθάπερ εἴδετε, αὐτὸς μένω τὴν εἰρήνην ἀσπαζόμενος καὶ δεόμενος ἐπὶ τοσοῦτον χρόνον βασιλέως, μὴ τὸν πόλεμον κινεῖν. εἰ δέ τις ἔχει με ἀποδεικνύειν παραβεβηκότα πρότερον τοὺς ὅρκους, παρίτω καὶ δεικνύτω. ἔπειτα καὶ περὶ τῶν χρημάτων, εἰ ἐκ πέντε καὶ τριάκοντα μυριάδων τῶν ὀφειλομένων τοσαῦτα λαβὼν ἀδικῶ, καταψηφίζεσθε ὑμεῖς.“ μθ′. Τοσαῦτα μὲν βασιλεὺς ὁ νέος ἀπολογούμενος εἶπε· Κωκαλᾶς δὲ μεταξὺ βασιλέως ἀπολογουμένου, πρὶν μὲν τὰ πρὸς τὸν πρωτοβεστιάριον γράμματα ἀναγνωσθῆναι, πολὺς ἦν ἐγκείμενος αὐτῷ, αὐτὸν τοῦ πολέμου φάσκων αἴτιον εἶναι, ἀνθρώποις πειθόμενον συκοφάνταις, τόν τε βασιλέα διαβάλλουσι πρὸς αὐτὸν καὶ πρωτοβεστιάριον καὶ τοὺς ἄλλους τοὺς ἐν τέλει ὡς βεβουλευμένους πόλεμον κινεῖν. ἐπεὶ δὲ τά τε γράμματα ἀνεγνώσθη, καὶ ἀπεδείχθη καὶ αὐτὸς τῶν ἄλλων οὐχ ἧττον τὴν εἰρήνην καταλύων, αὐτὸς μὲν οὐδὲν ἔχων ἀντειπεῖν, οὕτως ἐξεληλεγμένος φανερῶς, καθῆστο σιωπῶν. [25]

1 240 βασιλεὺς δὲ ἐπιστραφεὶς πρὸς αὐτὸν, „ὦ μέγα λογαριαστὰ“ εἶπε „τὸ μὲν ἁμαρτάνειν τινὰ καὶ τὸν πλησίον ἀδικεῖν καὶ πλεονεκτεῖν, θαυμαστὸν οὐδέν· ἄνθρωποι γὰρ ἅπαντες τοῖς ὁμοίοις ὑποκείμεθα πάθεσι καὶ πρὸς κακίαν πρόχειροι μᾶλλον ἢ πρὸς ἀρετήν ἐσμεν· τὸ δ’ ἀδικοῦντα καὶ ἐπιορκοῦντα καὶ ψευδόμενον, ἔπειτα δόλους ῥάπτειν καὶ συκοφαντίας καὶ παντὶ σθένει πειρᾶσθαι τὰς αἰτίας εἰς τοὺς ἀθώους περιτρέπειν, ὡς ἂν πρὸς τῷ ἀποκτεῖναι καὶ δίκαια δοκῇ ποιεῖν, οὐκ ἀνθρώπου πάντως, ἀλλὰ τοῦ ἐξ ἀρχῆς ἔργον ἀνθρωποκτόνου.“ παρὼν δὲ καὶ ὁ

λογοθέτης τοῦ στρατιωτικοῦ Θεόδωρος ὁ Καβασίλας, συνετὸς μὲν ὢν καὶ σοφὸς καὶ παρὰ τῷ πρεσβυτέρῳ βασιλεῖ πολλῆς ἀπολαύων εὐμενείας καὶ οἰκειότητος, οὐδὲν δὲ ἧττον καὶ παρὰ τῷ νέῳ, ἐκ τῶν ἀπεσταλμένων παρὰ βασιλέως ὢν, καὶ φίλος ἐς τὰ μάλιστα Κωκαλᾷ, τὸν νέον βασιλέα ἰδὼν πρὸς τοὺς διαβάλλοντας διαταραχθέντα καὶ βουληθεὶς εὐτραπελίᾳ λόγων τὸ βασιλέως ἦθος εἰς ἡμερότητα μεταβαλεῖν, „οὐ θαυμάζειν“ εἶπεν „ὦ βασιλεῦ, χρεών· τοιαῦτα γὰρ τὰ τοῦ πλάνου ἔνεδρα καὶ σκάμματα.“ ἦν γὰρ δὴ ὁ Κωκαλᾶς ἐν ταῖς παιδιαῖς ὑπὸ τῶν ἡλικιωτῶν πλάνος ὠνομασμένος. καὶ ἔδοξε καιρίως εἰρῆσθαι· μετέβαλε γὰρ τὸ τοῦ βασιλέως ἦθος ἐκ τοῦ ἐμβριθοῦς πρὸς μειδίαμα σεμνόν. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. τοῖς δ’ ἀρχιερεῦσιν ἐκέλευεν ὁ βασιλεὺς, εἰ ἀδικῶν αὐτὸς καὶ ἐπιορκῶν φαίνοιτο, καταψηφίζεσθαι. οἱ δ’ ἔφασαν, ἔχειν μὲν αὐτοῦ καταψηφίζεσθαι μηδὲν, δεῖσθαι δὲ μόνον αὐτοῦ, τρόπους τινὰς καὶ ἐπινοίας, ὥσπερ καὶ πρότερον, ἐξευρεῖν, ἐξ ὧν ἂν τὰ προσδοκώμενα κακὰ διαλυθείη. [20]

1 241 „καὶ σφόδρα γε“ εἶπεν ὁ βασιλεὺς „μηδὲ τὴν ἀρχὴν ἐβουλόμην τὸν πόλεμον κεκινῆσθαι, ἢ κινηθέντα τάχιστα καταλυθῆναι. ὅτι δὲ οὐχ ὑπόκρισις οὐδ’ εἰρωνεία τὰ τοιαῦτα, ἐξ αὐτῶν τῶν πραγμάτων ἐναργῆ πάρεστι τὴν ἀπόδειξιν λαβεῖν· τρίτον γὰρ ἤδη μῆνα κάθημαι ἐνταῦθα δεόμενος βασιλέως, τὸν πόλεμον καταθέσθαι καὶ μὴ διὰ φιλονεικίαν τὴν Ῥωμαίων ἡγεμονίαν περιϊδεῖν ἀνηκέστοις κακοῖς περιπεσοῦσαν· ἀλλ’ οὐδεὶς ὁ εἰσακούων· καὶ ταῦτα πεπεισμένος φανερῶς, ὡς ἐπιβουλεύομαι, μηδὲν ἀδικῶν. οὐ γὰρ πάνυ ἀγνοῶ, ὅτι μὴ ταῦτα μόνον, ἅπερ ἀκηκόατε, γράμματα ἐπέμφθησαν κατ’ ἐμοῦ, ἀλλ’ ἐκ πολλῶν τῶν διασωθέντων ἑάλωσαν ὀλίγα. τῷ σφόδρα δὲ βούλεσθαι τὴν εἰρήνην, τήν τε ἐμαυτοῦ καὶ τῶν συνόντων ἀσφάλειαν τιθέμενος ἐν δευτέρῳ, θεῷ δὲ μόνῳ τὰς ἐλπίδας ἀναθεὶς, ὃν εὐορκῶ, κατὰ τὸ ἐνὸν ἐμοὶ τὰ προσδοκώμενα κακὰ ἐκ μέσου ποιεῖν πειρῶμαι. ἡγοῦμαι δὲ, ἂν καὶ βασιλεὺς ἐθελήσῃ τῶν ὀφειλομένων χρημάτων τὰ ἡμίση ἀποδοῦναι τῇ στρατιᾷ, ἐκείνους τε μηδὲν πλέον πολυπραγμονήσειν ἀγαπήσαντας, καὶ ἡμᾶς τῶν ἐκ τοῦ πολέμου προσδοκωμένων ἀπαλλάξεσθαι κακῶν.“ εἰπόντων δὲ τῶν ἀρχιερέων, ὡς νῦν μὲν οὐκ ἂν εἴη ῥᾴδιον ἀπορίᾳ χρημάτων τοσαῦτα ὄντα ἀποδοθῆναι, ὅσα δ’ ἂν ἐξῇ λαβόντας νῦν, τὰ λειπόμενα κομίσασθαι χρόνῳ ῥητῷ· „οὐκοῦν“ ὁ βασιλεὺς ἔφη „εἰ τοῦτο δυσχερὲς δοκεῖ, καὶ τὰ ἡμίση καταλιπόντες τούτων, τῷ τετάρτῳ μορίῳ τοῦ ὅλου ἀρκεσθησόμεθα τῆς εἰρήνης καὶ τῆς ὁμονοίας χάριν. [20]

1 242 “ οἱ δὲ ἀκούσαντες ἐπῄνεσάν τε ὡς κρείττω χρημάτων τὸν βασιλέα, καὶ ἀναμφιβόλως ἔφασκον ἀποδοθήσεσθαι τὰ εἰρημένα. ὡς δὲ εἶδεν ἐπὶ τούτοις συνθεμένους, βουλόμενος ὁ βασιλεὺς, ὡς καὶ τῶν πᾶσι δοκούντων μετριωτάτων διὰ τὸ τὸν πόλεμον καταλυθῆναι ἐξίσταται ἑκὼν, ποιῆσαι φανερὸν, „δέον“ ἔφη „καὶ ὑμῖν, κατά τε τὴν ὁδὸν πεπονηκόσι καὶ ἀσιτίᾳ προσταλαιπωρήσασιν ὅλην τὴν ἡμέραν, χάριν καταθεῖναί τινα. οὐκοῦν καὶ τὸ τέταρτον τῶν ὀφειλομένων χρημάτων ἀφίημι ὑμῶν χάριν, καὶ οὐδὲν παρὰ βασιλέως ἀπαιτῶ πλὴν ὅσα οἱ τὰ δημόσια διοικοῦντες αἰτίας τινὰς πλασάμενοι ψευδεῖς, ἀποστερήσαντες βασιλέως ἔχουσιν αὐτοὶ, ἀποδείξεως γενομένης ἐναργοῦς, ταῦτα λαβόντα διανεῖμαι τῇ στρατιᾷ μικρᾶς ἕνεκά τινος παραμυθίας. μὴ θαυμάσητε δὲ, εἰ περὶ τοῦ μὴ δεῖν ἐπὶ ταῖς ἑτέρων κακοπραγίαις ἕτερον μεγαλοψυχεῖν καὶ φιλοτιμεῖσθαι πολλὰ πρότερον εἰπὼν, νῦν οὕτω ῥᾳδίως τὰ τοῖς στρατιώταις ὀφειλόμενα χρήματα πρόειμαι. ἐὰν γὰρ εἰς τὸν ἐφεξῆς χρόνον κατὰ τοὺς ὅρκους καὶ τὰς συνθήκας ἡ τεταγμένη μισθοφορὰ παρέχηται αὐτοῖς, τὰ ὀφειλόμενα ἐπὶ τῷ προτοῦ πάνυ φιλοῦντες ἐμοὶ χαριοῦνται χρόνῳ. ἄλλως τε ἔδεισα μή τις καὶ διὰ ταῦτα γένηται ἀναβολὴ πρὸς τὴν εἰρήνην, καὶ δόξωμεν μᾶλλον ἐξεπίτηδες τὸν πόλεμον αἱρεῖσθαι. [20]

1 243 καὶ διὰ τοῦτο δεῖν ᾠήθην πᾶν ζήτημα καὶ ἀμφιβολίαν ποιῆσαι ἐκποδὼν, καὶ μᾶλλον τοῖς ἡμετέροις φανῆναι φορτικὸς καὶ ἐπαχθὴς, ἢ πρὸς τὸν πόλεμον αἰτίαν παρασχεῖν.“ τοιαῦτα βασιλέως εἰπόντος τοῦ νέου, οἱ παρὰ τοῦ πρεσβυτέρου ἀπεσταλμένοι ἀρχιερεῖς καὶ συγκλητικοὶ θαυμάσαντες τῆς μεγαλοψυχίας τὸν βασιλέα καὶ τοῦ σφόδρα οὕτω τὴν εἰρήνην αἱρεῖσθαι,

χάριν ὁμολογήσαντες πολλὴν, χαίροντες ᾐτοῦντο τὴν ἐπάνοδον ἐπιτραπῆναι, νομίζοντες, ὡς ἅμα τῷ τὰ πεπραγμένα ἀπαγγεῖλαι βασιλεῖ κώλυμα οὐδὲν ἔσται τῇ εἰρήνῃ ὥστε εἶναι. ἐκείνοις μὲν οὖν ὥσπερ ᾐτοῦντο ἐπέτρεπεν ἐπανελθεῖν. δι' αὐτῶν δὲ πρὸς βασιλέα τὸν πάππον ἐπρεσβεύετο τοιάδε· „τὴν μὲν ἐμὴν πρὸς τὸ σὲ τὴν Ῥωμαίων ἔχειν ἡγεμονίαν σπουδήν τε καὶ προθυμίαν θεός τε οἶδε καλῶς ὁ πάντα εἰδὼς, καὶ αὐτὸς ἂν ἐπιμαρτυρήσαις. ἐνὸν γὰρ, εἴγε ἐβουλόμην, σὲ λυπεῖν καὶ κατὰ τοὺς προτέρους πολέμους ἢ συμπάσης ἢ τῆς πλείονος ἀρχῆς κρατεῖν, οὐκ ἠθέλησα ἑκὼν, ἀλλὰ σοὶ νομίζων εἶναι δίκαιον ἐξίστασθαι ταύτης ὄντι πατρὶ, ἕως ἂν περιῇς, δυνάμενος κατασχεῖν, παρεχώρησα ἑκὼν εἶναι· καὶ τοῦτό γε οὐκ ἄνευ πόνων καὶ κινδύνων. τῶν γὰρ σὺν ἐμοὶ πολεμουμένων πάντων τοὺς μὲν πόνους καὶ τοὺς κινδύνους ἐν τῷ πολεμεῖν ὑφισταμένων, τῶν ἄθλων δὲ καὶ τῶν γερῶν ἀποστερουμένων, διὰ τὸ ἐμὲ, σοῦ προστάττοντος, εὐθὺς ἄσμενον χωρεῖν πρὸς τὴν εἰρήνην καὶ πάντων σοι παραχωρεῖν, ὧν ἐκτήσαντο αὐτοὶ κρατοῦντες ἐν τῷ πολέμῳ, ἀμφοτέρωθεν ἐμοὶ συνέβαινε τὸ θορυβεῖσθαι. τό, τε γὰρ πείθειν καταθέσθαι τὸν πόλεμον, ἐπίπονον ἦν, αὐτῶν δίκαια λέγειν ἰσχυριζομένων καὶ μέχρι παντὸς ἐπεξιέναι τοὺς πολεμοῦντας ἀξιούντων πολέμου νόμῳ, τό, τε ἀκόντων αὐτῶν τι ποιεῖν, οὐκ ἀδεές. [25]

1 244 φιλίᾳ γὰρ ξυστρατευόντων τῶν πλειόνων καὶ ἐλπίδι τοῦ ἄρξαντα ἀντευποιήσειν, εἰ μὴ γνώμῃ αὐτῶν ἐπράττετο τὰ τῆς εἰρήνης, εἰκὸς ἦν αὐτοὺς περικακήσαντας χωρεῖν πρὸς τοὺς ἐναντίους, ὅπερ ἀκινδύνως οὐκ ἂν ἐπράττετο ἐμοί. ἐγὼ δὲ τοῦ τὰ φίλα ἕνεκα πράττειν σοὶ τούς τε πόνους ὑφιστάμην ἐν τῷ πείθειν, ἑνός τινος ἢ καὶ δύο συναιρομένων, καὶ τῶν ὑφορωμένων κινδύνων κατεφρόνουν, νομίζων, ἂν αὐτοῖς ἔργοις ἀποδειχθῶ εὔνους ἐς τὰ μάλιστά σοι καὶ ἐν τοῖς κατεπείγουσι καιροῖς οὐ πολεμίως, ἀλλὰ φιλίως διακείμενος, θαῤῥῆσαι ἂν ἐμοὶ καὶ τὴν ἔχθραν καταλῦσαι. τὸ δ' ἐναντίως ἔχον νῦν ἢ προσεδόκων αὐτὸς ὁρᾶται. πάντα γὰρ ἐκεῖνα καὶ, τὸ μέγιστον, αὐτὴν ἀλήθειαν θέμενος ἐν οὐδενὶ, ἀνθρώποις δὲ διεφθορόσι καὶ ψευδομένοις καὶ μηδὲν ἐξ ὧν ἂν τὰ κοινὰ βέλτιον σχοίη, ἀλλ' ἐξ ὧν ἂν ἰδίᾳ τι ὠφεληθεῖεν αὐτοὶ, σκοποῦσι πεισθεὶς, εἵλου μᾶλλον πολεμεῖν ἐμοί· ἐγὼ δὲ καίτοι δίκαιος ὢν οἷα προεπιβουλευόμενος καὶ παρασπονδούμενος, ἑτοιμότερον πρὸς τὸν πόλεμον χωρεῖν, αἰδοῖ τε τῇ περί σε καὶ πόθῳ ἀσχέτῳ τῷ πρὸς τὴν εἰρήνην τρίτον ἤδη μῆνα κάθημαι ἐνταῦθ' ἱκετεύων καὶ παραιτούμενος τὴν σὴν ὀργήν. νυνὶ δὲ τῶν ὑπό σου ἀρχιερέων καὶ τῶν ἄλλων συγκλητικῶν ἀπεσταλμένων ἐπὶ τὸ τὰ ἐγκλήματα τὰ ἐμὰ ἐξετάσαι ἡκόντων, αὐτὸς μὲν πολλῆς ἐνεπλήσθην ἡδονῆς, ὡς καιρὸν ἀπολογίας εὑρηκώς· ἐκκλησίας δὲ γενομένης, τὴν ἀπολογίαν ἐφ' οἷς ἐνεκαλούμην ἀληθῆ καὶ δικαίαν ἐποιησάμην. [25]

1 245 ἃ μὲν οὖν εἶπον πρὸς τὰ ἐγκλήματα, αὐτοὶ ἐλθόντες ἀπαγγελοῦσιν· ἐγὼ δ' αὖθίς σου δέομαι, βασιλεῦ, μήθ' ἡμᾶς μήτε τοὺς ἄλλους περιϊδεῖν Ῥωμαίους διὰ τὸν πρὸς ἀλλήλους ἡμῶν πόλεμον φθειρομένους, ἀλλ' ἐν ἡμέραις ὀκτὼ τά τε δέοντα σκέψασθαι καὶ ἡμῖν ὡς ἔχεις γνώμης δηλῶσαι. ἂν μὲν οὖν, καὶ θεοῦ τοῦ χορηγοῦ τῆς εἰρήνης συνευδοκοῦντος, πρᾳότερον ἡμῖν διατεθῇς καὶ μᾶλλον ἕλοιο τὴν εἰρήνην, πανταχόθεν ἂν ἔχοι καλῶς· ἂν δ' ἡ τῶν ἡμετέρων ἁμαρτημάτων πληθὺς καὶ τὸ μάλιστα βούλεσθαι διαφθαρέντας ἡμᾶς ἰδεῖν πρὸς τὸ πολεμεῖν μᾶλλον παρασκευάσωσιν ὁρμῆσαι, καὶ οὕτως ἐγώ σοι τρόπον ὑφηγήσομαι ἰσχυρότατον τοῦ πρὸς ἐμὲ πολέμου, ὡς ἂν τάχιστά τε καὶ χωρὶς κινδύνων πραγμάτων ἀπαλλαγῇς. θεὸς ὁ χορηγὸς πάντων τῶν ἀγαθῶν, ὁ πατὴρ πάντων καὶ κύριος τῶν βασιλέων, ἄμαχόν τινα καὶ θαυμασίαν παρέσχετο δύναμίν σοι, πρὸς ἣν οὐχ ὅτι γε ἀντιστῆναι, ἀλλ' οὐδ' ἀντιβλέψαι δυνατὸς εἶναι ὁμολογῶ. ἔστι δ' αὕτη τις, τὸ σὲ μὲν εἶναι κύριον καὶ πατέρα, ἐμὲ δὲ υἱὸν καὶ δοῦλον ἀκριβῶς. ταύτῃ δὴ χρησάμενος τῇ δυνάμει, ἐν ὀλίγῳ πᾶν, ὃ βούλει, ῥᾳδίως ἔσῃ κατωρθωκώς. ἐὰν γὰρ κελεύσῃς ὡς πατὴρ, κλοιὰ περιθέμενον αὐτόθι δεσμωτήριον οἰκεῖν ἐλθόντα, ἑτοιμότατα τὸ κελευόμενον ποιήσω. καὶ τί λέγω δεσμωτήριον καὶ κλοιά; καὶ εἴ τι

βούλει τῶν αἰσχροτάτων ἕτερον, προθύμως σοῦ κελεύοντος ὑπομενῶ· ἂν δὲ ταύτην ἀφεὶς τὴν δύναμιν, ἐπὶ τὴν ἑτέραν, ἣν ἐκ πολλοῦ λανθάνειν οἰόμενος παρεσκεύασας σεαυτῷ, τραπῇς, ἐλπίζων ἐμὲ κατεργάσεσθαι πολέμῳ, ὀκνῶ μὲν εἰπεῖν, εἰρήσεται δὲ ὅμως, δέδοικα μὴ, ὥσπερ καὶ πρότερον, ἐπὶ τῶν ἔργων αὐτῶν ἀλυσιτελῶς σεαυτῷ βεβουλευμένος φανῇς. [25]

1 246 τότε μὲν οὖν θεοῦ τε συναιρομένου καὶ τῶν ἐμὲ πάνυ φιλούντων τουτωνὶ συμπραττόντων, ἱδρῶσι πολλοῖς καὶ πόνοις οὐχ ὅπερ αὐτὸς ἔργον εὐχῆς ἡγοῦ τελεσθῆναι, ἀλλ' ὅπερ σὺ μὲν οὐδὲ ἐνεθυμήθης, ἐμοὶ δὲ ἦν διὰ σπουδῆς, κατωρθώθη· νῦν δὲ δέδοικα, ἂν τὰ πράγματα ἑτέρως ἢ αὐτὸς ἐλπίζῃς ἀποβῇ, μὴ καὶ αὕτη ἡ ἐλπὶς περιαιρεθῇ. διὸ καὶ δέομαι αὖθις καὶ συμβουλεύω, ἢ τὴν εἰρήνην ἐλέσθαι, ἢ εἴγε πάντως ὥρμησαι πρὸς τὸ πολεμεῖν, τῇ μεγάλῃ χρήσεσθαι ἰσχύϊ, ἣν ἔχεις ὡς πατὴρ, δι' ἧς ῥᾳδίως ἅπαν ἄν σοι τὸ βουλόμενον κατορθωθείη, (ἴστω δὲ θεὸς ὡς ἀληθῆ λέγω,) καὶ μὴ τῇ συκίνῃ θαῤῥεῖν ἐπικουρίᾳ, τοῖς ἐκπεμφθεῖσιν ἐπὶ τὴν ἑσπέραν ἄρχουσιν ἐπὶ τὸ τὸν κατ' ἐμοῦ πόλεμον ἐξαρτύσασθαι. πολλῶν γὰρ ὄντων, ὡς αὐτὸς οἶει, καὶ θαυμασίων στρατηγῶν, πολλῷ τῷ μέτρῳ διαφέροντας ἴσθι ἐμὲ καὶ τοὺς μετ' ἐμοῦ. ἂν μὲν οὖν ἐμοὶ πεισθεὶς, ἐπιψηφίσῃ τὴν εἰρήνην, θεόν τε εὐφρανεῖς καὶ τοὺς ἀγαθοὺς ἀγγέλους αὐτοῦ, καὶ ἡμᾶς πολέμων καὶ κινδύνων ἀπαλλάξεις. ἂν δ' ἑτέρως βουλεύσῃ, ἐγὼ μὲν ἐπιμαρτύρομαι τὸν πάντα ἐφορῶντα ὀφθαλμὸν καὶ τὰς διοικούσας τὰ ἡμέτερα πράγματα δυνάμεις οὐρανίους, ὡς καὶ ἀδικούμενος καὶ παρασπονδούμενος, ὅμως ἀσπάζομαι τὴν εἰρήνην· αὐτὸς δ' ἂν εἰδείης ὅ,τι καὶ σεαυτῷ συμφέρον καὶ τοῖς ἄλλοις Ῥωμαίοις καὶ βουλεύσασθαι καὶ πρᾶξαι. [20]

1 247 " Τοιαῦτα μὲν βασιλεὺς ὁ νέος διεπρεσβεύσατο πρὸς βασιλέα τὸν πάππον. ν'. Εἰς Βυζάντιον δὲ τῶν πρέσβεων ἀφικομένων, πρότερος ἐλθὼν ὁ Κωκαλᾶς, πάντα κατὰ μέρος διεξῄει πρὸς βασιλέα, ὅσα τε αὐτοὶ ἐγκαλοῦντες εἴποιεν τῷ νέῳ βασιλεῖ, καὶ οἵαις αὐτὸς πρὸς ἕκαστα χρήσαιτο ταῖς ἀπολογίαις, καὶ τελευταῖον ὅσα διαπρεσβεύσαιτο πρὸς αὐτόν. καὶ ἔδοξεν οὐ κατὰ καιρὸν τὴν ἐκεῖσε τῶν ἀρχιερέων καὶ τῶν ἄλλων ἄφιξιν γεγενῆσθαι, ὡς ἀνάγκης ἤδη οὔσης ἢ πρὸς τὴν εἰρήνην χωρεῖν, ἢ ὡρμημένους πολεμεῖν προδήλως ἤδη πᾶσιν ἀδικεῖν δοκεῖν. μετὰ μικρὸν δὲ καὶ οἱ λοιποὶ ἐλθόντες καὶ προσκυνήσαντες τὸν βασιλέα, οὐδὲν ἐπετράπησαν εἰπεῖν τῶν κατὰ τὴν πρεσβείαν, ἀλλ' ἕκαστον οἴκαδε ἀπελθόντας ἠρεμεῖν, ἄχρις ἂν βασιλέως προστάξαντος ἀπαγγείλωσι τὰ τῆς πρεσβείας. τοῦτο δὲ ἦν σκῆψις εὐπρεπής. ἔδοξε γὰρ βασιλεῖ μᾶλλον λυσιτελεῖν σιωπῇ τὸ πρᾶγμα παρελθεῖν, δεδοικότι μὴ, δημοσίᾳ ἀπαγγελλομένης τῆς πρεσβείας, ἢ ἀναγκάζοιτο παρὰ πάντων εἰρηνεύειν πεπεισμένων ἤδη, τὸν νέον βασιλέα καὶ δίκαια καὶ συμφέροντα ἀξιοῦν, ἢ εἰ μὴ πείθοιτο, δοκοίη φανερῶς ἀδικεῖν. ἐξ μὲν οὖν ἡμέραι παρῆλθον, καὶ τῆς πρεσβείας λόγος ἦν οὐδείς. ἀχθόμενος δὲ ὁ πατριάρχης ἐπὶ τῇ τοῦ χρόνου παρατάσει, μεμήνυκε πρὸς βασιλέα, ὡς „ἐξ ἡμερῶν παρελθουσῶν, οὐδὲν παρὰ τῶν πρὸς βασιλέα τὸν ἔγγονον τὸν σὸν ἀπεσταλμένων ἀρχιερέων ἐπύθου· δέον οὖν, ἐπεὶ καὶ ὁ χρόνος πρὸς διάσκεψιν ἱκανὸς, πυθέσθαι αὐτῶν ὅ,τι λέγουσιν. [20]

1 248 " ὁ δὲ ἐπηγγείλατο ποιήσειν. ὡς δ' ἕτεραι τοσαῦται διεληλύθασιν ἡμέραι καὶ λόγος οὐδεὶς ἐγίνετο αὐτῶν, πάλιν πέμψας ὁ πατριάρχης, ἐδεῖτο τοῦ βασιλέως μὴ οὕτω τρίβεσθαι τὸν καιρὸν, ἀλλὰ τόν τε ἀρχιεπίσκοπον μετακαλεσάμενον καὶ τοὺς ἄλλους ἀρχιερεῖς, ὅ,τι τε ὁ ἔγγονος ἀπολογεῖται ἀκοῦσαι καὶ αὐτὸν σκεψάμενον ἐξ αὐτῶν τὰ λυσιτελοῦντα Ῥωμαίοις ποιεῖν. ὁ βασιλεὺς δὲ ἀπεκρίνατο, μηδενὶ αὐτὸν ἐξεῖναι ἀνερευνᾷν, ὅπως τὰ κατ' οἶκον πράγματα διεξάγει· αὐτῷ γὰρ μελήσειν ὁπότε καὶ ὅπως αὐτὰ δέοι οἰκονομεῖν· αὐτὸν δὲ, πατριάρχην ὄντα, τῶν ἐκκλησιαστικῶν ἐκέλευεν ἔχεσθαι φροντίδων, τῶν κοινῶν δὲ καὶ τῶν βασιλικῶν ἀπέχεσθαι πραγμάτων. τοιαῦτα μὲν ὁ βασιλεὺς εἴρηκεν, οἰόμενος τὸν πατριάρχην καταπτήξαντα τοὺς λόγους, μᾶλλον ἂν ἀσπάσασθαι τὴν σιωπήν. ὁ δὲ εἰς τὴν ὑστεραίαν τοιαῦτα καὶ αὐτὸς μεμήνυκε πρὸς βασιλέα· „κράτιστε βασιλεῦ, τὸ τὰ δέοντα παραινεῖν καὶ συμβουλεύειν καὶ ἔτι προσαναγκάζειν πράττειν, οὔθ' ἑκὼν προήσομαι αὐτὸς, οὔτ' ἄκων δέει

ληφθείς. εἰ δ’ αὐτὸς τοιαύτῃ συζῇν ἐμὲ ἀπραγμοσύνῃ ἀξιοῖς, ὥστε μὴ φθέγγεσθαι μήτ’ ἀκούειν μήτε ὁρᾷν, ἐχρῆν πρὶν τῆς ἐκκλησίας προστάτην προβαλέσθαι εἰπεῖν. κἂν μὲν καὶ αὐτῷ μοι καὶ δίκαια ταὐτὰ καὶ λυσιτελοῦντα ἐδόκει, στέργειν ἦν ἀνάγκη νῦν· ἂν δ’ ἕτερα ἐνόμιζον προσήκειν πατριάρχῃ, παρεχώρουν ἂν ἑτέρῳ τῶν θρόνων οὕτω ζῇν προῃρημένῳ. [20]

1 249 ἐπεὶ δὲ θεοῦ χάριτι οὐ τῶν ὀρθῶν τῆς ἐκκλησίας δογμάτων προβέβλημαι μόνον, ἀλλὰ καὶ τῶν ἀδικουμένων προΐστασθαι καὶ ὑπερμαχεῖν ἀνάγκην ἔχω, τοῖς ἀδικεῖν ἐθέλουσι καὶ πλεονεκτεῖν οὐ παύσομαι διαφερόμενος καὶ ἀντιλέγων, ἄν τε τῶν φαυλοτάτων τινὲς ὦσιν, ἄν τε τῶν ὑπερλάμπρων καὶ εἰς αὐτὸ τὸ ἀκρότατον ἀφιγμένων τῆς εὐτυχίας· καὶ μᾶλλον πρὸς ἐκείνους, ὅσῳ καὶ τὰ ἀδικήματα μείζω καὶ πρὸς πλείονας ἐξάγοντα τὴν βλάβην. εἰ γὰρ μέλλοιμεν τοῖς μὲν μικροῖς μικρά τινα ἀδικοῦσι μόνον ἐγκαλεῖν καὶ τὴν ἀδικίαν ὀνειδίζειν, πρὸς δὲ τοὺς μεγίστους καὶ τὰ μέγιστα βλάπτοντας ἑκόντες ὄντες διὰ τὸ ἀξίωμα σιωπᾷν καὶ μηδὲ γρύζειν τολμᾷν, οὐδὲν διοίσομεν ἰατρῶν τῶν περὶ τρίχας μὲν καὶ ὄνυχας ἠσχολημένων καὶ τὴν τέχνην ἐν αὐτοῖς ἐπιδεικνυμένων, ἐὰν δέ τι νόσημα παρεμπέσῃ τῷ ζώῳ λυμαινόμενον ὅλῳ, τούτου δὲ μηδεμίαν πρόνοιαν ποιουμένων, ἀλλ’ ἡγουμένων ἀρκεῖν, εἴγε καὶ αὐτοὶ καθήμενοι μετὰ τῶν ἄλλων, ἀπολλύμενον ὁρῷεν. ἐγὼ δὲ καὶ πάνυ θαυμάζω μεμνημένος, ὡς ἐκέλευσας ἐμὲ μὲν τὰ τῆς ἐκκλησίας πράττειν καὶ περὶ αὐτὰ ἠσχολῆσθαι μόνα, σὲ δὲ ἐᾷν ὅπως ἂν δοκῇ τὰ τῆς βασιλείας διοικεῖν. παραπλήσιον γάρ ἐστιν ὥσπερ ἂν πρὸς τὴν ψυχὴν εἴποι τὸ σῶμα· οὐ δέομαι τῆς κοινωνίας καὶ τῆς συναφείας τῆς σῆς, οὐδὲ συνεργὸν πρὸς τὰ πραττόμενα βούλομαι ἔχειν, ἀλλ’ ἐγὼ μὲν ὡς οἷόν τε ᾖ καὶ βούλωμαι, διοικήσω τἀμά, σὺ δὲ φρόντιζε περὶ τῶν ἰδίων. πᾶσι μὲν οὖν ἁμαρτάνουσι ὥσπερ τι κοινὸν φάρμακον τὸ μετανοεῖν ἐπὶ τοῖς πεπλημμεληκόσιν ἐδόθη, ἄν τε πρὸς θεὸν, ἄν τε πρὸς ἀνθρώπους ἡ πλημμέλεια ᾖ. [25]

1 250 οὐκ ἂν δὲ μεταγνοίη τις, ἂν μὴ πρότερον ὑπεύθυνον νομίσας ἑαυτὸν, μετριώτερός τε γένηται ἑαυτοῦ καὶ φέρων ἑαυτὸν τῷ παρ’ αὐτοῦ δοκοῦντι ἠδικῆσθαι, ὑποχείριον ποιήσῃ. τοῦτο τοίνυν βασιλεὺς ὁ σὸς ἔγγονος πρότερόν τε φαίνεται ποιήσας, καὶ μᾶλλον ἢ προσῆκε καὶ νῦν οὐχ ἥκιστα. καὶ γὰρ τότε δυνάμενος, εἴπερ ἠβούλετο, τῆς Ῥωμαίων ἡγεμονίας οὐκ ἔλαττον μέρος παρασπάσας ἔχειν, οὐκ ἠθέλησεν, ἀλλὰ φέρων ἑαυτὸν ὑπέταξέ σοι, καὶ ταῦτα μηδεμίαν αἰτίαν πρὸς τὸν πόλεμον ἐκεῖνον παρασχών· καὶ, τὸ μέγιστον, ὅτι, τῆς εἰρήνης γενομένης, πρός σε ἐλθὼν, οὐκ ἠθέλησεν ἔφιππός σοι προσελθεῖν, ὥσπερ νόμος τοῖς βασιλεῦσιν, ἀλλὰ πεζῇ τε προσεκύνησε καὶ ἠσπάσατό σου τὸν πόδα, ὅπερ δουλείας ἀκριβοῦς τεκμήριον ἦν. καὶ νῦν τοῦ πολέμου κινουμένου τουτουΐ, τοσοῦτον χρόνον καθήμενος, δεῖταί σου μὴ τὴν εἰρήνην καταλῦσαι. ἐλθόντων δὲ καὶ τῶν ἀρχιερέων καὶ συγκλητικῶν, οὓς ἔπεμψας πρὸς αὐτὸν, πρῶτον μὲν ἀπέδειξεν ἑαυτὸν μηδὲν ἀδικοῦντα μετὰ πολλοῦ τοῦ περιόντος, ἀλλ’ ἀδικούμενον καὶ συκοφαντούμενον· ἔπειτα δὲ καὶ τοῦ μὴ λυθῆναι τὴν εἰρήνην εἶπέ τε πολλὰ καὶ ἔπραξεν ἄξια λόγου, καὶ πρὸς σὲ μεμήνυκε πολλὰ, ἅπερ αὐτός τε ἀκούσας θεῷ τε εὐχαρίστησα τῷ τοιαύτην αὐτῷ σύνεσιν χαρισαμένῳ καὶ ἐκεῖνον ἐπῄνεσα τῆς καλοκἀγαθίας, καὶ σὲ ἐλογιζόμην ταῦτα πυθόμενον, θεῷ τε χάριν ὁμολογῆσαι καὶ τὸν υἱὸν πέμψαντα διὰ τάχους ἀγαγεῖν πρὸς σεαυτὸν, καὶ τὰ προσδοκώμενα δυσχερῆ λῦσαι καὶ εὐφροσύνης ἅπαντας καὶ θυμηδίας ἐμπλῆσαι τῆς ἐπὶ τῇ εἰρήνῃ τῶν βασιλέων ἡμῶν γενησομένης. [20]

1 251 σὺ δ’ οὐ μόνον οὐκ ἐποίησας τοιοῦτον οὐδὲν, ἀλλὰ καὶ ἐμὲ τὰ δέοντα συμβουλεύοντα ἀπώσω, καὶ σιωπᾷν ἐκέλευσας καὶ μὴ περιεργάζεσθαι τὰ μὴ προσήκοντα. ἐμοὶ δὲ ἀνάγκην ἔχοντι τῶν ἀδικουμένων προΐστασθαι καὶ βοηθεῖν αὐτοῖς ὅση δύναμις, καὶ ὑπὲρ βασιλέως τὸ αὐτὸ ποιήσω, καὶ μᾶλλον ὑπὲρ τούτου, ὅσῳ καὶ τὰ μέγιστα ἀδικεῖται καὶ οὐκ εἰς αὐτὸν μόνον, ἀλλ’ εἰς πάντας Ῥωμαίους τῆς εἰς αὐτὸν ἀδικίας διαβαινούσης· ὃ δέ με τῶν ἄλλων μᾶλλον οὐκ ἐᾷ σιωπᾷν, ὅτι, σοῦ προστάξαντος, ὀλίγῳ πρότερον αὐτὸς αὐτὸν ἔχρισα βασιλέα. τὸν οὖν οὕτω νομίμως καὶ δικαίως καὶ κατὰ γνώμην σὴν γεγενημένον βασιλέα, νῦν ἀπελαύνεσθαι, καὶ

ταῦτα ἐπ᾽ οὐδεμιᾷ προφάσει, ποῦ δίκαιον; ἢ πῶς οὐκ ἂν νομισθείην ἄξιος πολλῶν κεραυνῶν, ἐπὶ τοιαύτῃ παρανομίᾳ σιωπῶν αὐτός; διὰ τοῦτό σου καὶ αὖθις δέομαι πρὸς τῆς ἀληθείας αὐτῆς, εἴ τι καὶ παρεσύρης πεισθεὶς ἀνθρώποις διεφθορόσι, ταχεῖαν ποιήσασθαι τὴν διόρθωσιν καὶ μὴ τῷ ψεύδει κατὰ τῆς ἀληθείας ἰσχύσαι δοῦναι ῥοπήν.“ Τοιαῦτα μὲν ὁ πατριάρχης μεμήνυκε πρὸς βασιλέα, μηνυταῖς χρησάμενος τῷ τε χαρτοφύλακι Γρηγορίῳ τῷ Κουτάλῃ καὶ τῷ τῶν μοναστηρίων ἄρχοντι τῷ Κυβεριώτῃ. ἀκούσας δὲ ὁ βασιλεὺς, θυμῷ τε ἐλήφθη οὐκέτι ἀνασχετῶς καὶ προσέταξεν εὐθὺς, τοὺς μὲν μηνύσαντας τοὺς λόγους εἰς δεσμωτήριον ἐμβληθῆναι, Μακάριον δὲ τὸν μητροπολίτην Σερρῶν ἐν τοῖς βασιλείοις καὶ αὐτὸν ὑπὸ φρουρᾷ εἶναι· τὸν μέντοι πατριάρχην τοῦ πατριαρχείου ἐκβληθέντα, ἐν τῇ μονῇ τῶν Μαγκάνων ἀπρόϊτον μένειν· τοὺς δὲ πρὸς τὸν νέον βασιλέα παραγενομένους ἀρχιερέας μήτ᾽ αὐτοὺς προϊέναι τῶν οἰκιῶν αὐτῶν, μήθ᾽ ἑτέρους παρ᾽ αὐτοὺς φοιτᾷν. [25]

1 252 ταῦτα μὲν οὖν ᾗ προσέταξεν ἐγένετο ὁ βασιλεύς. μετὰ δὲ τὴν ἐκ τοῦ νέου βασιλέως τῶν πρέσβεων ἀναχώρησιν πέντε πρὸς τῶν δέκα ἡμερῶν διηνυσμένων, ἐπεὶ μήτε παρὰ βασιλέως τοῦ πρεσβυτέρου, μήτε τοῦ πατριάρχου ἀπολογία τις ἀφίκετο πρὸς αὐτὸν, οὐκ ἐπ᾽ ἀγαθῷ τεκμαιρόμενος εἶναι τὴν σιγὴν, ἅμα τῷ μεγάλῳ δομεστίκῳ καὶ πρωτοστράτορι ἐβουλεύοντο τί δέοι ποιεῖν. εἶπεν οὖν ὁ μέγας δομέστικος· „οὐκέτι δέον, ὦ βασιλεῦ, ἀπράκτους καθῆσθαι, ἀλλ᾽ ἔργου ἔχεσθαι. οὐδὲ γὰρ ἔτι τινὸς ἐνδεῖν, ὃ πράξαντας ἐλπὶς τὸν πόλεμον καταλῦσαι. ὅ, τε γὰρ χρόνος, ὃν ἐνταῦθα καθήμενοι δεόμεθα βασιλέως, τοσοῦτον ὑπερήλασε καὶ τὸ δέον, ὥστ᾽ ἤδη οὐ μεγαλοψυχία καὶ καρτερία ἡ ἐπὶ πλέον παράτασις, ἀλλ᾽ ἔκπληξις πρὸς τὰ δεινὰ καὶ ἀτολμία δόξαι ἄν τισι δικαίως· πρός τε βασιλέα οὐδὲν ὅ,τι παραλέλοιπας τῶν δεόντων, ἀλλὰ πρότερόν τε πολλάκις ἐπρεσβεύσω πρὸς αὐτὸν δεόμενος μὴ καταλῦσαι τὴν εἰρήνην, καὶ νῦν πρὸς τοὺς ἐκεῖθεν ἀφιγμένους πρέσβεις ὅσα ἦν ἐπιθυμοῦντος τὴν εἰρήνην, ἐνταῦθά τε εἶπας καὶ πρὸς ἐκεῖνον διεπρεσβεύσω. ὅ,τε παρελθὼν χρόνος μετὰ τὸ τοὺς πρέσβεις ἐντεῦθεν ἀπελθεῖν ἱκανὸς καὶ περὶ τοῦ πράγματος βασιλέα διασκέψασθαι καὶ ἀπολογίαν δοῦναι, εἴ τι μετριώτερον διενοεῖτο. [20]

1 253 τὸ δ᾽ ἐν τοσούτῳ χρόνῳ παρὰ βασιλέως τινὰ ἀπολογίαν μὴ ἐλθεῖν, τεκμήριον ἐναργὲς τοῦ μὴ προσδέξασθαι τὴν εἰρήνην, ἀλλὰ πρὸς τὸν πόλεμον ἤδη φανερῶς χωρεῖν· καὶ τοῦτο ἄν τις καὶ ἐξ αὐτοῦ τοῦ πράγματος στοχάσαιτο ἀσφαλῶς. ὁ γὰρ ἐν τοσούτῳ χρόνῳ τὰ πρὸς τὸν πόλεμον ἐξαρτυόμενος καὶ τοσούτους ἐς αὐτὸ τοῦτο πρὸς τὴν ἑσπέραν ἐκπέμψας, ὡς ἂν ἔχῃ χρῆσθαι μεγάλῃ παρασκευῇ πρὸς αὐτὸν καταστὰς, οὐκ ἂν ῥᾳδίως τὰς ἐκεῖθεν πρόηται ἐλπίδας. διὸ οὐδὲ ἡμᾶς ἀπράκτους δεῖ καθῆσθαι, ἀλλὰ πανταχόθεν, ἀπεγνωκότας τὴν εἰρήνην, πρὸς τὸ ἀμύνεσθαι παρασκευάζεσθαι τοὺς ἐπιόντας.“ Τοιαῦτα τοῦ μεγάλου δομεστίκου εἰπόντος, καὶ ὁ πρωτοστράτωρ ἔργου ἅπτεσθαι παρῄνει. „εἰ μὲν γὰρ ἠγνοοῦμεν“ εἶπεν „ὅτι βασιλεὺς ἐκ πολλοῦ κεκίνηται πρὸς τὸ πολεμεῖν ἡμῖν καὶ πανταχόθεν ἑαυτῷ δύναμιν συναθροίζει καθ᾽ ἡμῶν, ἐχρῆν διασκέπτεσθαι ἐπιπολὺ, μὴ, αὐτοῦ τῆς εἰρήνης ἐχομένου, ἡμεῖς δόξωμεν ἐξ ἀβουλίας πολέμου ἦρχθαι. ἐπεὶ δὲ τοῦτο ἐκ πολλῶν ἡμῖν γεγένηται καταφανὲς, καὶ οὐδ᾽ αὐτὸς ἂν ἀρνήσαιτο βασιλεὺς, μὴ οὐκ αὐτὸς αἴτιος γεγενῆσθαι τοῦ νυνὶ πολέμου, ἀναγκαῖον καὶ ἡμᾶς ὅθεν ἄν τις ὠφέλεια ἥξει πράττειν.“ βασιλεῖ δὲ καὶ αὐτῷ μὲν οὐκ ἐπιπλέον ἔτι ἐδόκει μέλλειν, ἀλλ᾽ ἀπελθόντας παρασκευάζεσθαι πρὸς τὸν πόλεμον, παρῄνει δὲ μηδὲ τὴν τελευταίαν ἐλπίδα τῆς εἰρήνης ἀπολιπεῖν, ἀλλ᾽ αὐτοὺς πρὸς Βυζάντιον ἐλθόντας, δι᾽ ἑαυτῶν τὴν εἰρήνην αἰτεῖν. [20]

1 254 κἂν μὲν αἰδεσθέντες καταλύσωσι τὸν πόλεμον, τὸ ζητούμενον ἠνῦσθαι· ἐὰν δὲ μὴ, θεὸν ἐπιμαρτυραμένους καὶ αὐτοὺς Βυζαντίους, ὡς παντὶ τρόπῳ τὴν εἰρήνην αἰτοῦντες ἀπωθοῦνται ὑπ᾽ αὐτῶν, ἀναχωρεῖν. ὁ μέντοι μέγας δομέστικος „πρὸς μὲν Βυζάντιον“ εἶπεν „ἐλευσόμεθα, καθάπερ ἐκέλευσας, βασιλεῦ· πάνυ δὲ θαυμάζω, ὅτι τοσαῦτα καὶ τοιαῦτα πρὸς τὸ μὴ

καταλυθῆναι τὴν εἰρήνην πραγματευσαμένων ἡμῶν καὶ πλέον ἠνυκότων μηδὲν, τὴν αἰδῶ ἥλπισας μόνην τοῦτο ἄν ποτε δυνηθῆναι. συγγνώμη δ' ὅμως τοῦ λόγου, τοῖς ὑπὸ πυρετοῦ λαύρου κατεχομένοις πάσχοντι ταὐτόν. ἐκεῖνοί τε γὰρ ἀεὶ κρήνας διΐασι καὶ ποταμοὺς τῷ νῷ καὶ πάντα χρήματα ὕδωρ ἀναβλύζειν αὐτοῖς ἀξιοῦσι καὶ δυσχεραίνουσι τούτου μὴ γινομένου, καίτοι γε εἰδότες σαφῶς, ὡς ἀδύνατα ἀξιοῦσι· καὶ σοὶ τῆς εἰρήνης σφόδρα περικαῶς ἐχομένῳ, οὐδὲν θαυμαστὸν καὶ τὰ πάντη ἀνέφικτα ἡγεῖσθαι δυνατὰ, καὶ ἐξ ἀπόρων, τὸ λεγόμενον, πόρους ἐπινοεῖν. ἐγὼ δὲ ἄλλοις τε πολλοῖς ἀπηγόρευκα τὴν εἰρήνην καὶ τῷ ἐπὶ τοσαύταις ἡμέραις μηδὲν τὸν πατριάρχην σοὶ μεμηνυκέναι. ἔστι μὲν γὰρ ὑπονοεῖν διὰ τὸ τὰς τῆς πόλεως πύλας ἀσφαλῶς φρουρεῖσθαι, μηδ' αὐτῷ ἐξεῖναί τινα πέμψαι πρὸς ἡμᾶς· ἐμοὶ δὲ δοκεῖ οὐ διὰ τοῦτο μᾶλλον ἢ διὰ τὸ μὴ κακῶν ἄγγελος γενέσθαι ἀσπάσασθαι τὴν σιωπήν.“ οἱ μὲν οὖν τοιαῦτα πρὸς ἀλλήλους βουλευόμενοι εἶπον. να′. [20]

1 255 Ὡς δὲ ἐδόκει πρῶτον εἰς Βυζάντιον ἐλθεῖν, ἅραντες ἐκ Ῥηγίου ἅμα τριακοσίοις καὶ χιλίοις λογάσιν, οὓς ἦγον, τὴν ἐς Βυζάντιον ἐπορεύοντο. μετὰ δὲ τὸ τὴν αὐτόθι γέφυραν διελθεῖν, παρὰ τῶν ἐν Βυζαντίῳ βασιλέως φίλων ἦκε γράμματα πρὸς βασιλέα, πάντα κατὰ μέρος διεξιόντα, ὅπως τε οἱ ἀφιγμένοι πρέσβεις οὐδ' ἐρωτήσεως πρὸς βασιλέως ἀξιωθεῖεν τοῦ πρεσβυτέρου, ὅσα τε δυσχεράνας ὁ πατριάρχης τούτου ἕνεκα εἴποι πρὸς βασιλέα καὶ ὧν τύχοι τῶν ἀποκρίσεων, καὶ τελευταῖον, ὡς αὐτός τε καὶ οἱ συμμετασχόντες αὐτῷ τῆς πρὸς βασιλέα ἀπολογίας εἰρχθεῖεν. τῷ μὲν οὖν πέμψαντι τὰ γράμματα βασιλεὺς διὰ τοῦ κεκομικότος τῆς εἰς αὐτὸν εὐνοίας ἀντέπεμπε χάριτας πολλὰς, τοῖς δὲ ἀμφ' αὐτὸν ἐκέλευε τὰ ὅπλα περιθέσθαι, νομίζων, οὐκ ἀσφαλὲς εἶναι οὐδ' ἐμπειρίας στρατιωτικῆς διὰ πολεμίας ἰόντας ἀφράκτους χωρεῖν· καὶ ὡπλίζοντο πάντες ᾗ προσετάχθησαν. ὡς δὲ πλησίον ἐγένοντο τῶν Βυζαντίου τειχῶν, τὴν στρατιὰν μὲν ἔστησε βασιλεὺς ἀπωτέρω· αὐτὸς δ' ἅμα τῷ μεγάλῳ δομεστίκῳ καὶ πρωτοστράτορι καὶ στρατιώτας ἑτέρους τριάκοντα παραλαβὼν, ἦλθεν ἐγγὺς τειχῶν παρὰ τὴν τῆς Γυρολίμνης προσαγορευομένην πύλην. ἐφ' ὧν ἄλλοι τε ἦσαν ὡπλισμένοι πολλοὶ καὶ ἄρχων αὐτῶν ὁ τῆς βασιλικῆς τραπέζης δομέστικος Φωκᾶς ὁ Μαρούλης, ὃν αὐτὸς δι' ἑαυτοῦ προσηγόρευεν ὁ βασιλεύς. ὁ δ' ἀπεκρίνατο μὲν οὐδὲν, προσεκύνει δὲ μόνον σιγῇ. τό,τε γὰρ ὡς βασιλέα καὶ δεσπότην ἑαυτοῦ δέος οὐ μικρὸν ἐνεποίει προσαγορεῦσαι, τὴν ἐκ βασιλέως τοῦ πρεσβυτέρου βλάβην ὑφορωμένῳ, καὶ τὸ ὡς ἰδιώτῃ προσενεχθῆναι, οὐ μόνον ἰταμὸν δεινῶς, ἀλλὰ καὶ αὐτῷ μηδαμῶς προσῆκον, ἅτε πεπαιδευμένῳ περὶ τὰ τοιαῦτα ἱκανῶς. [25]

1 256 βασιλεὺς δὲ ἐκέλευεν αὐτὸν πρὸς βασιλέα τὸν πάππον ἐλθόντα ἀπαγγεῖλαι, ὡς „δεῖταί σου βασιλεὺς ὁ σὸς ἔγγονος ἢ αὐτὸν κελεῦσαι πρός σε ἐλθεῖν, ἢ εἰ τοῦτο δυσχερὲς, ἀλλὰ, τό γε δεύτερον, ἐν εὐεργεσίας μεγάλῳ μέρει ταύτην αὐτῷ χάριν καταθεῖναι, τὸ, ἐλθόντα αὐτὸν ἐπὶ τοῦ πύργου τουτουΐ, μικρὰ ἅττα διαλεχθῆναι πρὸς σὲ, ἢ εἰ μηδὲ τοῦτο δυνατὸν, τό γε τρίτον, τὸν θεῖον αὐτῷ Μαρκέσην πρὸς αὐτὸν ἀποστεῖλαι ἀρτίως ἥκοντα ἐκ Λουμπαρδίας, ἅμα μὲν ἐπιθυμίαν ἔχοντα αὐτῷ συγγενέσθαι χρόνον ἤδη συχνὸν ἀποδημοῦντι, ἅμα δ' ἵνα χρήσηται αὐτῷ καὶ πρεσβευτῇ πρὸς αὐτόν.“ ὁ μὲν οὖν Μαρούλης εἰπὼν, ὡς ποιήσει τὸ κελευσθὲν, ἀπῆλθεν. ὁ μέντοι Μαρκέσης Θεόδωρος υἱὸς βασιλέως ἦν τοῦ πρεσβυτέρου ἐκ βασιλίδος Εἰρήνης τῆς θυγατρὸς Μαρκέση Μούντης Φαράντες τοῦ Λουμπαρδίας ἄρχοντος μέρους γεγενημένος· κατὰ δὲ μητρῷον κλῆρον εἰς Λουμπαρδίαν ἀπελθὼν, ἦρχεν ἐκεῖ τὴν μητρόθεν αὐτῷ προσήκουσαν ἀρχήν. τότε δὲ εἰς Βυζάντιον ἔτυχεν ἐλθὼν, ἅμα μὲν ὀψόμενος τοὺς συγγενεῖς, ἅμα δ', ἵνα καὶ παρὰ βασιλέως τοῦ πατρὸς εὐεργετηθῇ· τοῦτο δ' ἦν αὐτῷ ποιεῖν ἐξ ἔθους κατά τινας περιόδους ἐτῶν. ὁ δὲ Μαρούλης μετὰ μικρὸν ἐκ βασιλέως ἐλθὼν, ἀπήγγειλε τῷ νέῳ βασιλεῖ ὡς εἴη μεμηνυκὼς αὐτῷ βασιλεὺς ὁ πάππος τῶν ἐνθένδε ἀναχωρεῖν, μηδ' ἱστάμενον αὐτοῦ, τὴν αὐτοῦ πόλιν περιποιεῖν ἑαυτῷ ἐξαπατῶντα καὶ παραπείθοντα τὸν προστυχόντα. [20]

1 257 οὔτε γὰρ αὐτὸν δυνατὸν ἐπὶ τὸ τεῖχος ἐλθεῖν, οὔτ' αὐτῷ τὴν εἴσοδον συγχωρῆσαι, ἀλλ' οὐδὲ μὴν τὸν θεῖον αὐτῷ τὸν Μαρκέσην ἀποστελεῖ πρὸς αὐτόν. πλησίον δὲ αὐτοῦ Μαρούλη καὶ Μάρκος τις Καβαλλάριος ὠνομασμένος ὁ Καβαλλαρίου τοῦ Βάρδα ἐστὼς, ἐκ τῶν οἰκετῶν τοῦ πρεσβυτέρου βασιλέως ὢν, σκαιῶς καὶ ἀπαιδεύτως πρὸς βασιλέα τὸν νέον εἶπεν, ἀποχωρεῖν τῶν ἐνθένδε πρὶν κατεδηδοκέναι τὴν κεφαλὴν τὴν ἑαυτοῦ. ἡδὺ δὲ γελάσας ὁ βασιλεὺς ἐπὶ τῷ λόγῳ, „ἀλλ' οὐκ ἂν εἴη δυνατὸν" εἶπεν „ὦ Μάρκε, τοῦτο. ζῶν τε γὰρ οὐκ ἂν καταφάγοιμι τὴν ἰδίαν κεφαλὴν, καὶ ἀποθανόντα ὁμοίως ἀδυνατώτερον τοῦτο πράττειν, ὥστε σε συμβαίνειν καὶ ἀμφοτέρωθεν ἐψεῦσθαι." πρὸς μὲν οὖν Μάρκον τοιαῦτα παίζων εἴρηκεν ὁ βασιλεὺς, τὸν Μαρούλην δὲ ἐκέλευεν ὡς ἐξ αὐτοῦ τοιαῦτα ἀπαγγέλλειν βασιλεῖ, ὡς „αὐτὸς ἂν εἰδείη θεὸς, οἶδα δὲ καὶ αὐτὸς, καὶ αὐτῶν ἐμοὶ συνεπιμαρτυρούντων τῶν πραγμάτων, ὡς οὐδὲν ἐνέλιπον προθυμίας οὐδὲ σπουδῆς εἰς τὸ πράττειν ἅ τε προσέταττες καὶ ἦν σοι κατὰ γνώμην· ἐλογιζόμην δ', ὅτι καὶ σὺ μᾶλλον ἂν εἰδείης αὐτὰ τῶν ἄλλων· ἐχρῆν γάρ. ἐπεὶ δ' οὕτω τὰ πράγματα φθονερός τις συνεσκεύασε δαίμων, καὶ ὧν μὲν ἐν τοῖς παρασχοῦσι καιροῖς εὐνοίας ἅμα καὶ εὐπειθείας τῆς πρὸς σὲ ἐπιδέδειγμαι ἔργῳ ἐπελάθου, ἀνθρώποις δὲ συκοφάνταις καὶ φθόροις πεισθεὶς, κεκίνηκας αὖθις τὸν πόλεμον τὸν πρὸς ἐμὲ, πολλὰ πρότερον καὶ βουλευσάμενος καὶ συσκευάσας κατ' ἐμοῦ, ὡς ἐγένετο καταφανὲς ἐμοὶ ἐκ τῶν ἑαλωκότων γραμμάτων, ἃ καὶ μετὰ τῶν πρὸς ἐμὲ ἐλθόντων ἀρχιερέων ἔπεμψά σοι· καὶ πολλὰ πολλάκις ἐμοῦ δεηθέντος, οὐ προσεδέξω τὴν εἰρήνην, καὶ νῦν ἐλθόντος ἐνταυθοῖ καὶ ἁπτομένου σου τῶν γονάτων καὶ πάντα πράττοντος ὥστε τὴν εἰρήνην εἶναι, οὐδὲν μᾶλλον ὑφῆκας τῆς ὀργῆς, ἀλλ' ἄπρακτον ἀπεπέμψω, ὥσπερ τι σκεῦος ἄχρηστον ἀποῤῥίψας· ἤλπικας δ' ἐπὶ τὴν δεδεμένην πάρδαλιν, ἣν ἔλυσας κατ' ἐμοῦ. [5]

1 258 ἰδοὺ τὴν μὲν εἰρήνην καὶ τοὺς δι' αὐτὴν γεγενημένους ὅρκους παραδίδωμι θεῷ, ὃν αὐτὸς εὐορκῶ· πάντα δὲ τῷ πάντα δικαίως κρίνοντι ἀναθεὶς τὰ κατ' ἐμὲ, ἀναγκαίως ἤδη πρὸς τὸν πόλεμον χωρῶ. πέποιθα δὲ ὡς, ὀλίγου παρελθόντος χρόνου, οὐδ' αὐτὸς ἀγνοήσεις τὴν ἀβουλίαν τὴν νυνὶ, ἀλλ' ἐκ τῶν πραγμάτων αὐτῶν μαθήσῃ σαφῶς, ὡς ὧν μὲν ἀποσχέσθαι ἔδει, ταῦτα προείλου, ἃ δὲ ἔκρινας καταλιπεῖν, τούτων ἦν βέλτιον ἔχεσθαι παντὶ σθένει." τοιαῦτα βασιλεὺς ὁ νέος εἰπὼν, καταβὰς τοῦ ἵππου, προσεκύνει καὶ ἀπόντα τὸν πάππον καὶ βασιλέα. καὶ ὁ Μαρούλης δὲ ὁμοίως ὥσπερ καὶ πρότερον ἀπὸ τοῦ τείχους σιγῇ τὴν προσκύνησιν παρεῖχε τῷ νέῳ βασιλεῖ. εἶτα καὶ τοὺς ἄλλους τοὺς ἀπὸ τοῦ τείχους ἀσπασάμενος ὁ βασιλεὺς, ἀνεχώρησεν ἐκεῖθεν, καὶ ἦλθεν εἰς Σηλυβρίαν. καὶ διοικήσας τὰ ἐκεῖ ᾗ αὐτῷ ἐδόκει ἄριστα ἔχειν, καὶ ἄρχοντα ἐπιστήσας Σηλυβριανοῖς, ἦλθεν εἰς Διδυμότειχον, καταλιπὼν ἐν Σηλυβρίᾳ παρακοιμώμενον τὸν Ἀπόκαυχον, ὡς ἂν εἴ τι ἀσφαλείας ἐνέδει Σηλυβρίας ἕνεκα καταστησάμενος, ἀφίκηται πάλιν πρὸς αὐτόν· ὃ καὶ ἐποίησεν ὀλίγων ἡμερῶν εἴσω. [20]

1 259 βασιλεὺς δ' ἐν Διδυμοτείχῳ προσέταξεν ἀθροίζεσθαι τὴν στρατιάν. καὶ οὐ πολλαῖς ὕστερον ἡμέραις οἱ κατὰ Θρᾴκην συνῆλθον πάντες πλὴν τῶν Κομάνων, οὓς ὀλίγῳ ἐλάσσους ὄντας δισχιλίους τὸν ἀριθμὸν, (ἦσαν δ' οὗτοι οἱ ἐκ Δαλματίας τῷ βασιλεῖ προσελθόντες Μιχαὴλ τῷ δευτέρῳ,) προστάξαντος τοῦ πρεσβυτέρου βασιλέως, ὁ Τορνίκης Ἀνδρόνικος καὶ ὁ Λάσκαρις Μανουὴλ ἀνέστησάν τε ἀπὸ Θρᾴκης καὶ ταῖς νήσοις Λήμνῳ καὶ Θάσῳ ἐγκατῴκισαν καὶ τῇ Λέσβῳ. αἰτία δὲ ἦν τῆς ἀναστάσεως αὐτῶν εὔδηλος μὲν οὐδεμία, ἐλέγετο δὲ ὡς βασιλεὺς πύθοιτο περὶ αὐτῶν, ὡς κρύφα διαλεχθεῖεν πρὸς τοὺς σατράπας τῶν Σκυθῶν, ἵνα στρατιὰν πέμψαντες, ἐκεῖθεν μετὰ τῆς ἄλλης λείας ἀπαγάγωσι καὶ αὐτοὺς πρὸς τὴν Σκυθικὴν προσχωρήσαντας ἅμα γυναιξὶ καὶ τέκνοις. ἀπόδειξις δὲ ἦν τῆς αἰτίας ταύτης οὐδεμία· διὸ καὶ βασιλεὺς ὁ νέος ἐδυσχέραινεν οὐ μετρίως αὐτῶν ἀνισταμένων, ἤνεγκε δὲ σιγῇ τῷ μὴ δοκεῖν ἐναντία βούλεσθαι τῇ βασιλέως γνώμῃ. νβ'. Ἐπεὶ δὲ συνήθροιστο ἡ στρατιὰ, τὸν μὲν πρωτοστράτορα βασιλεὺς τῆς Θρᾴκης ἀπέδειξεν ἐπίτροπον πάσης, καταλιπὼν αὐτῷ καὶ μέρος

τῆς στρατιᾶς, ὥστε δύνασθαι πρὸς τοὺς ἐκ Βυζαντίου ἀντέχειν· αὐτὸς δὲ ἅμα τῷ μεγάλῳ δομεστίκῳ τὴν ἐπίλοιπον παραλαβὼν, πρὸς Μακεδονίαν ἐχώρει, ὡς ἐκεῖ μαχούμενος τοῖς ἐκ τῆς ἑσπέρας τοῦ πρεσβυτέρου βασιλέως στρατηγοῖς. ἐπύθετο γὰρ, αὐτοὺς ἐκ τῶν ἑσπερίων πόλεων στρατιὰν οὐκ εὐκαταφρόνητον συνηθροικότας, ἅμα δὲ καὶ Τριβαλῶν οὐκ ὀλίγην συμμαχίαν ἐπαγομένους, χωρεῖν κατ' αὐτοῦ. [25]

1 260 βασιλίδα δὲ τὴν αὐτοῦ γαμετὴν ἐν Διδυμοτείχῳ καταλέλοιπεν ἅμα τῇ αὐτοῦ θείᾳ Θεοδώρᾳ τῇ Καντακουζηνῇ τῇ τοῦ μεγάλου δομεστίκου μητρί. γενόμενος δὲ ἐν Γρατζιάνου πόλει περὶ ἐκβολὰς τῆς Θρᾴκης κειμένῃ, Ξένην αὐτοῦ μητέρα τὴν βασιλίδα τὴν ἐκ Βυζαντίου ἐπάνοδον αὐτοῦ περιμένουσαν εὗρεν. αὕτη γὰρ ἔτι τῶν πρὸς ἀλλήλους τοῖς βασιλεῦσι σπονδῶν οὐσῶν, πρὸς βασιλέως ᾐτήσατο τοῦ κηδεστοῦ πρὸς Θεσσαλονίκην ἐν ᾧ φροντιστηρίῳ τὸ μοναχικὸν ἠμφιάσατο σχῆμα πάλιν ἐπανελθεῖν· καὶ ἐπετράπη. ὡς δὲ μεταξὺ τῆς ὁδοῦ ὁ πρὸς ἀλλήλους τῶν βασιλέων πόλεμος ἀνερρίπίσθη, ἔμεινεν ἐν Γρατζιάνου, δείσασα τὴν ἀταξίαν τῶν ἑσπερίων. ὡς γὰρ ἠγγέλθη αὐτοῖς, ὅτι διελέλυντο αἱ σπονδαὶ, τοὺς τῷ νέῳ βασιλεῖ προσκειμένους εἶρξάν τε πάντας καὶ εἶχον ἐν φρουρᾷ. ἡμέρας δὲ ὀλίγας ἅμα τῇ μητρὶ διατρίψας αὐτοῦ, ἐπεὶ ἡ ἐκ τῆς ἑσπέρας στρατιὰ ἠγγέλθη περὶ Δράμαν καὶ τὴν Φιλίππου, πόλεις Μακεδονικὰς, ἐστρατοπεδευκέναι, θεῷ καὶ τῇ πανάγνῳ αὐτοῦ μητρὶ εὐξάμενος καὶ θυσίαν αἰνέσεως αὐτοῖς θύσας, τοὺς ἐπὶ ταῖς σπονδαῖς γεγενημένους τοῦ πρεσβυτέρου βασιλέως ὅρκους, οὓς αὐτὸς ὤμοσε εὐορκεῖν, ἐκέλευσεν ἐπὶ τῆς σημαίας ἀναθέντας, εὐθὺ χωρεῖν τῶν πολεμίων. ἐστρατήγουν δὲ αὐτῶν ὅ,τε τοῦ πρεσβυτέρου βασιλέως ἀνεψιὸς Ἀσάνης Μιχαὴλ καὶ ὁ ὕπαρχος Μονομάχος καὶ ὁ πρωτοβεστιάριος Παλαιολόγος Ἀνδρόνικος, καὶ ἐπὶ τούτοις Δημήτριος ὁ δεσπότης ὁ τοῦ βασιλέως υἱός. [20]

1 261 τοῦ δὲ ἐκ τῶν Τριβαλῶν συμμαχικοῦ, δυοκαίδεκα ταγμάτων ὄντων, ὁ Χρέλης ἐστρατήγει, τῶν τε παρὰ Τριβαλοῖς εὐπατριδῶν καὶ ἀνδρίας καὶ ἐμπειρίας στρατηγικῆς τὰ πρῶτα φέρων παρ' αὐτοῖς. ἅμα δὲ τῷ ἅψασθαι τῆς ἐπ' ἐκείνους ὁδοῦ ὁ βασιλεὺς πρόσταγμα πέπομφε πρὸς αὐτοὺς, περιέχον τοιαῦτα· „θεῖέ μου δεσπότη καὶ ὑμεῖς θεῖοί μου καὶ οἱ λοιποὶ ἄρχοντες τῆς στρατιᾶς. ὁποίαν τινὰ εὐπείθειαν καὶ αἰδῶ καὶ φιλίαν πρὸς τὸν ἐμὸν πάππον καὶ βασιλέα ἐν παντὶ τῷ παρασχόντι ἐπεδεικνύμην, ὅπως τε οὐδεμίαν αὐτῷ παρέσχον ἀφορμὴν πολέμου, ἀλλὰ μᾶλλον πᾶσαν ἐπίνοιαν ἐκίνησα καὶ μηχανὴν, ὥστε μηδὲ τὴν ἀρχὴν κινηθῆναι τὸν πόλεμον τουτονὶ, θεός τε οἶδεν ὁ πάντα εἰδὼς καὶ αὐτὸς σύνοιδα ἐμαυτῷ. βασιλέα μὲν οὖν πεῖσαι ταῖς συνθήκαις ἐμμένειν οὐκ ἠδυνήθην, πολλὰ δεηθεὶς, ταῖς ἐπαγγελίαις πεποιθότα, ἃς αὐτῷ ἐπηγγείλασθε ὑμεῖς κατ' ἐμοῦ. πυθόμενος δὲ, καὶ ὑμᾶς τὰ κατὰ τὴν ἑσπέραν ὡς ἂν ὑμῖν ἄριστα εἶχεν οἰκονομησαμένους, νῦν ἥκειν ἄχρι Δράμας καὶ τῆς Φιλίππου, ὅπερ ἔστιν ὑπενόησα, ἐμὲ ζητοῦντας ἄχρι τούτου ἐλθεῖν. ἐπεὶ δὲ νεώτερος ὑμῶν ἐγὼ τὴν ἡλικίαν οὐ δέον ἐλογισάμην αἴτιος ὑμῖν πλειόνων γενέσθαι πόνων, ἐπὶ τῆς Θρᾴκης μένων, ἐπὶ τῆς σημαίας τῆς ἐμῆς τοὺς τοῦ βασιλέως ὅρκους ἀναθεὶς, οὓς ἐπὶ ταῖς συνθήκαις ὁμώμοκεν ἐμοὶ, τῆς πρὸς ὑμᾶς φερούσης ἠψάμην, ὡς ὅπου περ ἂν ἐντύχω μαχούμενος ὑμῖν· ὃ δὴ καὶ ὑμεῖς εἰδότες ἤδη, παρασκευάσασθε πρὸς μάχην." τοιαῦτα μὲν ἐδήλου τὰ γράμματα· οἱ δ' ἐπεὶ ἔγνωσαν ἀδύνατοι εἶναι ἀντιπαρατάξασθαι πρὸς μάχην, ἐπύθοντο δὲ, μέχρι Ξανθείας βασιλέα ἐφθακέναι, οὐκ ἐδόκει λυσιτελεῖν ἐπὶ τῆς αὐτῆς μένειν στρατοπεδείας, ἀλλ' ἅραντες ἐκεῖθεν, ἦλθον εἰς Φερὰς, ἅμα μὲν καὶ διὰ τὸ τὴν πόλιν ὀχυρὰν εἶναι καρτερωτάτων τειχῶν περιβολαῖς καὶ ἀφθονίαν τῶν ἐπιτηδείων δυναμένην χορηγεῖν τῇ στρατιᾷ τοσαύτῃ οὔσῃ, ἅμα δὲ ἐλπίσαντες, καὶ βασιλέα, ἂν αὐτοὺς πύθηται ὥσπερ στρατοπέδῳ τῇ Φεραίων χρωμένους καὶ ἀφθονίαν ἔχοντας σίτου, ὥσπερ ἀποδειλιάσαντα τὸ ἐξ ὀχυροῦ αὐτοὺς ὁρμᾶσθαι στρατοπέδου, πρὸς Χριστούπολιν μενεῖν. [10]

1 262

βασιλεὺς δὲ ὡς ἐγένετο ἐν Χριστουπόλει, ἐπεὶ ἐπύθετο αὐτοὺς ἀφιγμένους εἰς Φερὰς, ᾔει καὶ αὐτὸς αὐτῶν κατόπιν καὶ ἐστρατοπέδευσεν ἐν πολιχνίῳ τινὶ Ζίχνα προσαγορευομένῳ, ἐγγὺς Φερῶν. οἱ δὲ Ζίχνιοι καὶ πρότερον μὲν ἀφεστηκότες ἤδη ταῖς γνώμαις πρὸς βασιλέα τὸν νέον, Ἀλεξίου Τζαμπλάκωνος τοῦ μεγάλου παπίου ἐνάγοντος πρὸς τοῦτο, ἐκ Χριστουπόλεως κρύφα πρὸς αὐτὸν διαλεγομένου, τότε δὲ οὐκ ἐν ἐλπίσιν, ἀλλ᾽ ἐν βεβαίῳ ἤδη τὴν βοήθειαν ὁρῶντες, ἀπέστησαν ἀναφανδὸν, καὶ βασιλεῖ προσεχώρησαν τῷ νέῳ καὶ τὸ πόλισμα ἐνεχείρισαν. στρατοπεδεύσας δὲ ὁ βασιλεὺς ἐν Ζίχνα ἡμέρας δύο, ὡς ἂν ἔκ τε τῶν τῆς ὁδοιπορίας πόνων καὶ τῶν ὑετῶν καὶ τῶν χειμώνων ἡ στρατιὰ ἀνακτήσηται ἑαυτήν· (ἦν γὰρ δὴ κατὰ μῆνα Ἰανουάριον ἡ τοῦ χειμῶνος ὥρα·) τῇ τρίτῃ ἅμα ἕῳ ὁπλίζεσθαι τὴν στρατιὰν τῇ σάλπιγγι ἐκέλευσε σημῆναι. [20]

1 263 ἐπεὶ δὲ περιέθεντο τὰ ὅπλα, ταξάμενοι ὡς ἐς μάχην, ᾔεσαν εὐκόσμως ἅμα καὶ μετὰ σιγῆς. ὡς δὲ ἐγένοντο ἐγγὺς Φερῶν, διαβάντες ποτάμιόν τι λεγόμενον Λιβοβιστὸν, ἔστησαν παρατεταγμένοι ὡς τοῖς ἐναντίοις συμβαλοῦντες. καὶ διημερεύσαντες ἐκεῖ, ἐπεὶ οὐδεὶς αὐτοῖς ἀντεπεξῆλθεν, ἐστρατοπεδεύσαντό τε καὶ διενυκτέρευσαν ἐκεῖ. οἱ δὲ τῆς ἑσπερίου στρατιᾶς ἡγεμόνες ἐκκλησιάσαντες τῆς αὐτῆς νυκτὸς ἅμα Χρέλῃ, τῷ τῶν συμμάχων Τριβαλῶν στρατηγῷ, ἐβουλεύοντο, εἰ δέοι μάχεσθαι βασιλεῖ· καὶ ἔδοξεν ἀλυσιτελὲς καὶ Ῥωμαίοις καὶ τοῖς συμμάχοις. ἡ γὰρ εὐταξία καὶ ἡ σιωπὴ καὶ ἡ καρτερία τῆς βασιλέως στρατιᾶς δέος αὐτοῖς οὐ μετρίως ἐνεποίει, ὡς οὐκ ἂν αὐτοῖς οὕτως ὁρμὴ παρέστη δαιμονία πλείοσί τε μάχεσθαι ἑαυτῶν καὶ παρὰ πόλει τῇ σφετέρᾳ στρατοπεδευομένοις, εἰ μὴ πρότερον οὕτω παρεσκεύασαν ἑαυτοὺς, ὡς ἢ νικήσοντες μαχόμενοι ἢ πεσούμενοι παρὰ τὴν μάχην. ἔδοξε δὲ αὐτοῖς λυσιτελεῖν, τειχήρη κατέχοντας τὴν στρατιὰν, φρουρεῖν τὴν πόλιν καὶ ὑπομένειν τὴν πολιορκίαν, ὡς τοῦ βασιλέως οὐ περιμενοῦντος ἐνταυθοῖ, ἀλλ᾽ ἐπαναστρέψοντος ταχέως. ἅμα δὲ ἕῳ εἰς τὴν ὑστεραίαν ὁ βασιλεὺς τὴν στρατιὰν ὡπλισμένην παρατάξας ὡς ἐς μάχην, ἄχρι μεσεμβρίας ἔμεινε πρὸ τῶν τειχῶν, ἐλπίζων ἐς μάχην προκαλέσασθαι τοὺς ἔνδον. ὡς δὲ οὐδεὶς αὐτοῖς ἀντεπεξίοι, τὸν Λουκᾶν Γεώργιον πέπομφε πρὸς αὐτοὺς ὁ βασιλεὺς, ἐκ τῶν οἰκετῶν μὲν ὄντα τῶν αὐτοῦ, συνετὸν δὲ ἄλλως καὶ πρὸς πρεσβείας ἔχοντα ἐπιτηδείως. ὃν γενόμενον πρὸς ταῖς πύλαις οἱ μὲν δεῖν ἔφασαν δέχεσθαι εἰς τὴν πόλιν, οἱ δὲ ἀντέλεγον. [25]

1 264 ἐπεὶ δὲ καὶ ὁ τῶν Τριβαλῶν στρατηγὸς ὁ Χρέλης τῶν ἀξιούντων ἦν δέχεσθαι τὸν βασιλέως πρεσβευτὴν, εἰσεδέξαντο αὐτὸν, τοῦ μὴ δοκεῖν ἐξεπίτηδες τὸν σύμμαχον ἀνιᾶν. γενόμενος δὲ πρὸς αὐτοὺς ὁ Λουκᾶς, πάντας προσηγόρευεν ἐκ βασιλέως· ἔλεγέ τε πρὸς αὐτοὺς, ὡς „βασιλεὺς ὁ ἐμὸς δεσπότης πολλὴν ὑμῶν ἀναλγησίαν κατεγνωκὼς, ὅτι χειμῶνος ὥρᾳ ἐν ἡμέραις ἤδη δυσὶ πρὸς ταῖς πύλαις ἑστηκὼς ὑμῶν, καὶ πολλὴν, ὡς εἰκὸς ἐν ὥρᾳ τοιαύτῃ, ταλαιπορίαν ὑπὸ κρύους ὑπομένων, οὐδεμιᾶς ἠξίωται προνοίας παρ᾽ ὑμῶν, ἔπεμψεν ἐμὲ τὴν μικρολογίαν ὑμῖν ὀνειδιοῦντα καὶ ἅμα ἀξιώσοντα, ἢ βασιλέα τὸν ἐμὸν δεσπότην ἐντὸς τειχῶν αὐτοὺς φιλοφροσύνης ἕνεκα καλεῖν, ἢ αὐτοὺς ἔξω πρὸς αὐτὸν ἐλθεῖν τῆς αὐτῆς ἕνεκα αἰτίας. ἀλλὰ ταῦτα μὲν ἐμοὶ παίζοντι μᾶλλον, ἔφη, λέλεκται ῥᾳστώνης χάριν. βασιλεὺς δὲ ὑμῖν μηνύει, ὡς, ὁ ἐμὸς πάππος καὶ βασιλεὺς ὑπὸ τῶν ἐμὲ πρὸς αὐτὸν διαβαλλόντων ἐναχθεὶς, τὰς μὲν συνθήκας, ἃς πρὸς ἀλλήλους τῆς εἰρήνης ἕνεκα ἐθέμεθα, διαλύσας, τὸν πόλεμον τουτονὶ κεκίνηκε κατ᾽ ἐμοῦ μηδὲν μήτε ἀδικήσαντος, μήτε παραβεβηκότος τὰς συνθήκας. καὶ πολλὰ πολλάκις ἐμοῦ δεηθέντος καὶ πάντα κάλων κινήσαντος ὥστε μὴ λυθῆναι τὴν εἰρήνην, οὐκ ἠνέσχετο αὐτὸς, ἐμοὶ δοκεῖν, ἀποβλέπων πρὸς ὑμᾶς καὶ ἐλπίζων, ῥᾳδίως ἂν ἐμὲ κατεργάσεσθαι ἐν τῷ πολέμῳ δι᾽ ὑμῶν. ἐπεὶ δὲ, ὡς ὁρᾶτε, οὐχ ᾗ αὐτὸς προσεδόκα τὰ πράγματα ἀπέβη, ἀλλὰ καὶ ἣν εἶχε πρὸς ὑμᾶς ἤδη βεβαίως περιῄρηται ἐλπὶς, δέομαι ὑμῶν, τοῦ κοινοῦ παντὸς τῶν Ῥωμαίων ἔλεον λαβόντας, οὕτω δεινῶς ὑπ᾽ ἀλλήλων φθειρομένων διὰ τὸν πόλεμον ἡμῶν τὸν

πρὸς ἀλλήλους, πέμψαι πρὸς βασιλέα τινὰ διδάξοντα περὶ τῶν ἐνταυθοῖ πραγμάτων τἀληθές. [25]

1 265 οἴομαι γὰρ, ἂν πύθηται τὰ ἐνταῦθα πράγματα οἷ κεχώρηκε, μᾶλλον ὑφήσειν τῆς πρὸς ἐμὲ ὀργῆς καὶ τὸν πόλεμον ἐθελήσειν καταθέσθαι, οὐκέθ' ὁμοίως ὥσπερ καὶ πρότερον τὰς πρὸς τὸν πόλεμον ἐλπίδας ἔχων. ἐγὼ δὲ πρῶτον μὲν ἄπρακτος καθεδοῦμαι, μηδὲν κινῶν ὅσον ἂν συμβῶμεν χρόνον, ἕως ἂν ὁ πεμφθεὶς πρὸς βασιλέα ἐπανήξῃ. κἂν μὲν αὖθις ὁ βασιλεὺς μὴ προσδέξηται τὴν εἰρήνην, ἄπτεσθαι τοῦ πολέμου· ἂν δὲ, θεοῦ συνευδοκοῦντος, τὸν πόλεμον ἐθελήσῃ καταθέσθαι, παρέξομαι ὑμῖν ἐγὼ πίστεις ἰσχυρὰς δι' ὅρκον τοῦ μηδενὶ μνησικακήσειν, εἴ τις καὶ τοῦ παρόντος ἔδοξεν αἰτιώτατος γενέσθαι πολέμου, ἀλλὰ πᾶσιν εὐμενῶς διατεθεὶς, ἀσφάλειαν καὶ ἀμνηστίαν παρέξειν τῶν κακῶν." Τοιαῦτα μὲν πρὸς αὐτοὺς ὁ Λουκᾶς ἐκ βασιλέως εἶπε τοῦ νέου. οἱ δὲ μεταστήσαντες αὐτὸν ἐπὶ μικρὸν, ὥστε βουλεύσασθαι ἐφ' ἑαυτῶν, πάλιν μετακαλεσάμενοι, μὴ δύνασθαι μηδὲν εἶπον ὧν βασιλεὺς προκαλεῖται πρᾶξαι. τό,τε γὰρ ἐκεῖνον εἰς τὴν πόλιν δέξασθαι παντελῶς ἔξω καιροῦ· αὐτοί τε οὐκ ἐξελεύσονται μάχῃ διακριθῆναι πρὸς αὐτόν. εἰ γὰρ ἔμελλον, τῇ προτεραίᾳ ἂν ἅμα τῷ αὐτὸν ἐλθεῖν ἡ μάχη συνήφθη· ἂν δέ τις αὐτοῖς ἐπίῃ, ἀμυνοῦνται ἀναγκαίως ἀπὸ τῶν τειχῶν. τό γε μὴν εἰς Βυζάντιον πρὸς βασιλέα ἀποστεῖλαι τὸν ἀπαγγελοῦντα περὶ τῶν ἐνταυθοῖ πραγμάτων οὐ προσήκειν αὐτοῖς. [20]

1 266 ὑποχείριοι γὰρ ὄντες βασιλέως, νῦν τε ἃ προσετάχθησαν ποιεῖν καὶ εἰς τοὐπιὸν ἄττα ἂν τὰ πράγματα καὶ ὁ καιρὸς ὑφηγεῖται πράξειν· αὐτῷ δὲ ἐξεῖναι ἃ βούλοιτο καὶ νομίζοι λυσιτελοῦντα ἑαυτῷ ταῦτα καὶ ποιεῖν. τοιαῦτα μὲν οἱ τοῦ πρεσβυτέρου βασιλέως ἀπεκρίναντο στρατηγοί. ἐπεὶ δὲ ὁ Λουκᾶς ἐλθὼν ἀπήγγειλε ταῦτα τῷ νέῳ βασιλεῖ, συναγαγὼν τοὺς ἐν τέλει πάντας, ἐβουλεύετο ὅ,τι δέοι ποιεῖν αὐτούς. συνεβούλευε δὲ ὁ μέγας δομέστικος ἀναχωρεῖν, καὶ μὴ πονεῖν εἰκῇ καὶ μάτην, τῶν δεόντων πράττοντας οὐδέν. οὔτε γὰρ αὐτοὺς Φεραὰς δυνατὸν παραστήσασθαι τειχομαχίᾳ· ἥ τε ἔνδον ἅμα στρατηγοῖς πολιορκουμένη στρατιὰ οὐδ' ἂν αὐτοὶ ἀρνηθεῖεν τὸ μὴ οὐκ ἐκ παρατάξεως τολμῆσαι ἄν ποτε εἰς χεῖρας αὐτοῖς ἰέναι. καίτοι γε εἴποι τις ἄν, ὡς οὐ χρὴ πιστεύειν τοῖς τῶν πολεμίων λόγοις ἀεὶ τἀναντία λεγόντων ὧν διανοοῦνται πράττειν· ἐγὼ δὲ ἐκ τῶν πραγμάτων αὐτῶν, ἀλλ' οὐκ ἐξ ὧν ἐκεῖνοι λέγουσι, στοχάζομαι πολιορκεῖσθαι μᾶλλον ἢ μάχεσθαι ἡμῖν αἱρουμένους. ὅτε τοίνυν οὔτε βίᾳ ἑλεῖν αὐτοὺς ἐγχωρεῖ τειχήρεις ὄντας, οὔτε μηχανῇ τινι καὶ στρατηγίᾳ τῶν τειχῶν ἀποστήσαντας ἀναγκάσαι μάχεσθαι ἡμῖν, οὐκ ἀναγκαῖον ἐνταῦθα τόν τε χρόνον παραναλίσκειν ἐν ᾧ τῶν δεόντων ἐξέσται τι πρᾶξαι, καὶ τὴν στρατιὰν ἀνονήτοις κατατείνειν πόνοις. ἀλλ' ἀπαγαγόντας ἐντεῦθεν, ὅπου τῶν ἐπιτηδείων τὴν ἀποκομιδὴν ἕξουσι ῥᾳδίαν στρατοπεδεῦσαι· εἶθ' ἑξῆς ἃ δοκεῖ λυσιτελεῖν ἐκ τῶν παρόντων πράττειν. τοιαῦτα τοῦ μεγάλου δομεστίκου βουλευσαμένου, ὅ,τε βασιλεὺς τὴν βουλὴν ἐπῄνει καὶ οἱ ἐν τέλει συνεπεψηφίζοντο πάντες. [25]

1 267 καὶ ἀναστρέψαντες ἐκεῖθεν, ἐστρατοπεδεύσαντο πάλιν ἐν Ζίχνα ἐν ἡμέραις δυσίν. νγ'. Ἐν τούτοις δὲ τῶν πραγμάτων ὄντων, ἦκεν ἐκ Θεσσαλονίκης ὡς βασιλέα ὁ Φιλομμάτης ὑπὸ τῶν ἐκεῖ τὰ βασιλέως τοῦ νέου πραττόντων πεμφθεὶς, τά τε ἄλλα ἀπαγγέλλων ὡς ἔχει καλῶς, καὶ ὡς, εἰ νῦν ἀφίκοιτο, σὺν οὐδενὶ παραληψόμενος πόνῳ τὴν πόλιν. ἐπεὶ δὲ ἐπύθετο ὁ βασιλεὺς, τά τε ἀχθοφόρα τῶν ζώων καὶ τὰς ἀποσκευὰς καὶ στρατιωτῶν ὅσοι μὴ εὐπόρουν ἵππων εὐρώστων καὶ τὰ πολέμια ἀγαθῶν καταλέλοιπεν ἀπολεξάμενος ἐν Ζίχνα ἅμα Τζαμπλάκωνι τῷ μεγάλῳ παπίᾳ καί τισιν ἑτέροις ὀλίγοις· αὐτὸς δ' ἅμα δομεστίκῳ τῷ μεγάλῳ καὶ τοῖς λοιποῖς ἡγεμόσι τὴν ἀπολεχθεῖσαν στρατιὰν παραλαβὼν, ἔδοξεν ἐπὶ Δράμαν ὡς πολιορκήσων ἀπιέναι. ἐπεὶ δὲ ἐπεγένετο ἡ νὺξ, ἀναστρέψας ἀφ' ἧς ἐπορεύετο ὁδοῦ, ἤλαυνεν ἐπὶ Θεσσαλονίκην διὰ Στρυμόνος. καὶ διαβὰς τὸν ποταμὸν, κατὰ τὸ Μαρμάριον προσαγορευόμενον Μικρὸν ἐκέλευσε τὴν στρατιὰν τυχεῖν ἀναπαύλης καταβάντας ἀπὸ τῶν ἵππων. ἀναπαυσάμενοι δὲ εἶχοντο πάλιν

τῆς αὐτῆς ὁδοῦ, καὶ τήν τε ἐπιοῦσαν καὶ τὴν νύκτα τὴν μετ’ αὐτὴν ὁδεύσαντες, ἅμα ἕῳ κατὰ τὴν τρίτην ἦσαν ἐν Χορταίτου. τῇ προτεραίᾳ δὲ αὐτῆς φήμη τις διὰ Θεσσαλονίκης διῄει, ὡς βασιλεὺς ὁ νέος τό,τε Ζίχνα εἶλε προσχωρῆσαν, καὶ εἰς Φερὰς ἐλθὼν, τὴν ἐκ τῆς ἑσπέρας στρατιὰν ἅμα Τριβαλοῖς τοῖς συμμάχοις ἐγκατέκλεισεν ἐντὸς τειχῶν, μηδὲ ἀντοφθαλμῆσαι δυνηθέντας· ἀναζεύξας δὲ πάλιν εἰς Ζίχνα, τόν τε παρακοιμώμενον Ἀπόκαυχον καὶ Ἀλέξιον τὸν Παλαιολόγον πέπομφεν ἐνταῦθα, πρόφασιν μὲν, ὡς πρὸς τὸν ἐπιτροπεύοντα Θεσσαλονίκης μέγαν στρατοπεδάρχην τὸν Χοῦμνον καὶ τὸν μητροπολίτην διαπρεσβευσομένους· τῇ δ’ ἀληθείᾳ, τοῖς τὰ αὐτῶν πράττουσι κρύφα διαλεξομένους καὶ ἅμα κατασκοπεύσοντας, εἰ Θεσσαλονίκην ὑπαγαγέσθαι δυνατόν. [5]

1 268 παρὰ μὲν οὖν τῆς φήμης τοιαῦτα διεθρυλλεῖτο· πολλὰ δὲ ἀνερευνήσας ὁ Χοῦμνος ὥστε τὸν ἀπαγγείλαντα τὰ τοιαῦτα ἐξευρεῖν, οὐκ ἠδυνήθη. ὅμως δὲ ἐδόκει λυσιτελεῖν αὐτῷ τε καὶ μητροπολίτῃ, εἰς τὴν ὑστεραίαν εἰς Χορταίτου τὸν μητροπολίτην ἐλθόντα, τόν τε Παλαιολόγον Ἀλέξιον καὶ τὸν παρακοιμώμενον τὸν Ἀπόκαυχον, εἴγε ἀληθῆ τὰ περὶ αὐτῶν διαθρυλληθέντα εἴη, ὡς βασιλέα ἀναστρέφειν κελεύειν, ὡς οὐ συγχωρηθησομένης αὐτοῖς τῆς εἰς Θεσσαλονίκην εἰσόδου. εἰ δ’ ἀπειθοῖεν καὶ βιάζοιντο τὴν ἄφιξιν, προαναφωνεῖν αὐτοῖς, ὡς εἰρχθήσονται ἐπιβουλεύοντες αὐτοῖς καὶ βουλόμενοι Θεσσαλονίκην ἀποστῆσαι βασιλέως. τοιαῦτα οἱ μὲν περὶ τῶν ἀκουσθέντων ἐβουλεύσαντο πράττειν. ἅμα δὲ ἕῳ εἰς τὴν ἐπιοῦσαν ὁ μητροπολίτης μὲν κατὰ τὸ σύνθημα τὴν εἰς Χορταίτου ᾔει· ὁ δέ γε Χοῦμνος ἅμα τοῖς ἀμφ’ αὐτὸν τῆς προσαγορευομένης τῶν Ἀσωμάτων πύλης ἐξελθὼν, ὅ,τι ἂν ἀποβαίη ἵστατο ἀποσκοπῶν, καὶ ἡ πόλις πᾶσα μετέωρος πρὸς τὰς φήμας ἦν. τοῖς μέντοι δοκοῦσι τὰ βασιλέως τοῦ νέου πράττειν προείρητο μήτε ὅπλοις μήτε ἵπποις χρῆσθαι, ἀλλ’ ἢ οἴκοι διατρίβειν, ἢ πεζῇ καὶ ὅπλων προϊέναι χωρίς. [25]

1 269 τότε δὲ καὶ αὐτοὶ, ἐπεὶ πανταχόθεν τὰ βασιλέως διεθρυλλεῖτο, ἐπὶ τῶν τειχῶν τῆς αὐτῆς πύλης ἀνελθόντες ἄνοπλοι τὴν ἔκβασιν περιέμενον τῶν πραγμάτων. ὁ μέντοι μητροπολίτης ἐπεὶ ἐγγὺς ἐγένετο Χορταίτου, ἀπροσδοκήτως ἐντυχὼν τῷ νέῳ βασιλεῖ, ἐξεπέπληκτό τε καὶ τῆς ἀφίξεως κατεμέμφετο τὴν ἀκαιρίαν. προσαγορεύοντος δὲ αὐτὸν βασιλέως, αὐτὸς πρὸς τὸν ἐκ τοῦ αἰφνιδίου κίνδυνον θορυβηθεὶς, μηδὲ ἀντιπροσειπὼν, ἤλαυνεν ὡς εἶχε τάχους πρὸς τὴν πόλιν, τὴν ἔφοδον μηνύσων βασιλέως. εἴπετο δ’ αὐτῷ καὶ ὁ βασιλεὺς συντονώτερον βαδίζων. οἱ δὲ τὰ αὐτοῦ πράττοντες τοῖς τείχεσιν ἐφεστῶτες, ἐπεὶ ἀπὸ τῶν σημαιῶν ἔγνωσαν βασιλέα προσελαύνειν, ἀναθαρσήσαντες ἐπιτίθενται τοῖς ἔξω τῶν πυλῶν, λίθοις βάλλοντες ἀπὸ τῶν τειχῶν· οἱ δὲ, τῶν τε πολεμίων ἔξωθεν ἐπιόντων, τῶν τε ἔνδοθεν φανερῶς ἐκπολεμωθέντων, οὐκ ἔχοντες ὅ,τι χρήσωνται, ἔνδον μὲν εἰσῆλθον τῶν τειχῶν καὶ ἀπέκλεισαν τὰς πύλας· μὴ δυνάμενοι δὲ ἀντέχειν πρὸς τοὺς βάλλοντας ἀπὸ τοῦ τείχους, ἐτράπησαν εἰς φυγὴν καὶ τὴν ἀκρόπολιν κατέσχον ἐλθόντες ὡς ἀμυνούμενοι ἐκεῖθεν. ἦρχε δὲ αὐτῆς Λυζικὸς Γεώργιος ἐκ Βερροίας. οἱ δὲ ἀπὸ τοῦ τείχους κατελθόντες καὶ τὰς πύλας ἀνοίξαντες, εἰσεδέξαντο βασιλέα. ἅμα δὲ καὶ ἡ πόλις πᾶσα προσετίθετο τῷ νέῳ βασιλεῖ, καὶ ἠσπάζοντο ἐλθόντες πανδημεί. βασιλεὺς δὲ μὴ ἀπὸ Φερῶν εἰς τὴν ἀκρόπολιν στράτευμα ἐλθὸν δυσάλωτον ἀπεργάσηται δείσας, στρατιὰν ἀπολεξάμενος ὅσην ᾤετο ἀρκέσειν πρὸς τὸ ἔργον, τὴν ἀκρόπολιν προσέταξεν ἔξωθεν φρουρεῖν, ὅπως μηδεὶς εἰσέλθοι ἐς αὐτήν. [25]

1 270 οἱ δὲ ἐν Φεραῖς ὅτι εἰς Θεσσαλονίκην ἔρχεται πυθόμενοι ὁ βασιλεὺς, δείσαντες, ὅπερ ἐγένετο, μὴ αὐτῷ προσχωρήσῃ, τριακοσίους ἔπεμψαν λογάδας, ὥστε τήν τε ἀκρόπολιν κατασχεῖν καὶ τοῖς ἐν τῇ πόλει θάρσος παρασχεῖν ἀντιστῆναι βασιλεῖ. συμβαλόντες δὲ αὐτοῖς οἱ παρὰ βασιλέως προστεταγμένοι τὴν ἀκρόπολιν φρουρεῖν, ἐτρέψαντο κατὰ κράτος, καὶ τοὺς μὲν ἀπέκτειναν αὐτῶν, τοὺς δὲ εἶλον ζῶντας. βασιλεὺς δὲ ἐπεὶ τὰ πρὸς φυλακὴν τῆς ἀκροπόλεως ἐξηρτύσατο, ἦκεν εἰς τὴν ἁγίαν σορὸν Δημητρίου τοῦ μάρτυρος καὶ μυροβλύτου, ἅμα μὲν

προσκυνήσων αὐτὸν, (ἦν γὰρ ἐξ ἡλικίας πρώτης τιμὴν αὐτῷ καὶ πίστιν πλείω ἢ κατὰ τοὺς ἄλλους μάρτυρας παρέχων καὶ ὥσπερ ἐραστὴς αὐτοῦ ὢν,) ἅμα δὲ καὶ τῆς παρούσης ἕνεκα εὐτυχίας ἀμειψόμενος εὐχαριστίαις. προσκυνήσας δὲ καὶ εὐχαριστήσας, ἐπεὶ καὶ τὸν πόδα ἐκ τῆς πρὸς Πέρσας μάχης τραυματισθεὶς, (ἐν τέσσαρσι καὶ δέκα μησὶ θεραπευθῆναι οὐκ ἠδυνήθη, πολλὰ τῶν ἰατρῶν πραγματευσαμένων, ἀλλὰ σφακελίζων ἀεὶ οὐ φορητὰς παρεῖχε τὰς ὀδύνας,) τὸ ὑπόδημα λύσας, τῷ μύρῳ χρίειν ἔμελλε τοῦ ἁγίου, ἐνθυμηθεὶς, ὡς ἃ μὴ δύναιτο ἀνθρωπίνη τέχνη καὶ σπουδὴ, ταῦτα θεὸς τοῖς ἁγίοις μάρτυσι δύνασθαι παρέσχεν. ἐπεὶ δὲ τόν τε πόδα ἀπεγύμνου καὶ τὰς ὀθόνας, αἷς ἐδεσμεῖτο, περιῄρει, ὢ τῆς πολλῆς τοῦ θεοῦ περὶ τοὺς μάρτυρας φιλοτιμίας! ὁ μὲν μοτὸς ἔξω εὔρητο ἐῤῥιμμένος, ὑγιὴς δὲ ὁ ποὺς ἐς τοσοῦτον, ὡς μηδὲ ἴχνος οὐλῆς ἢ τραύματος ὑποφαίνειν, ἀλλ᾽ ἀγνοεῖσθαι εἴ ποτε καὶ ἐτρώθη. [5]

1 271 ὅπερ ἰδὼν ὁ βασιλεὺς μᾶλλόν τε ἥσθη διὰ τοῦτο, ἢ ὅτι Θεσσαλονίκην ὑπεποιήσατο ἑαυτῷ, καὶ θερμοτέρας τούτου ἕνεκα καὶ πλείους τὰς εὐχαριστίας ἀπεδίδου. καὶ ἡ πόλις δὲ πᾶσα τὴν εἰς τὸν βασιλέα πυθόμενοι θαυματουργίαν, πολλοὺς ὕμνους εἴς τε θεὸν ᾖδον καὶ Δημήτριον τὸν ἐκείνου θεραπευτήν. ἐκεῖθεν δὲ ἐξελθὼν ὁ βασιλεὺς, κλινούσης ἤδη τῆς ἡμέρας, εἰς τὰ βασίλεια ηὐλίσατο τὴν νύκτα ἐλθών. ἅμα δὲ ἕῳ εἰς τὴν ὑστεραίαν αὐτός τε ὁπλισάμενος καὶ ἡ στρατιὰ, καὶ τοῦ Θεσσαλονικέων δήμου προθύμως συστρατευομένου, ᾔεσαν εἰς τὴν ἀκρόπολιν, ὡς, εἰ μὴ προσχωροῖεν ἑκοντὶ οἱ κατασχόντες, βιάσαιντο τοῖς ὅπλοις. πρῶτα μὲν οὖν πέμψας ὁ βασιλεὺς, προσηγόρευέ τε τοὺς ἔνδον καὶ προὐκαλεῖτο αὐτοὺς ἀμαχεὶ τὴν ἀκρόπολιν παραδιδόναι, ἀμνηστίαν τε παρέχων καὶ ἐπαγγελλόμενος ποιήσειν εὖ. ὡς δ᾽ οὐκ ἐσήκουον, ἀλλὰ ἐσκληρύνοντο, καταστάντες ἐτειχομάχουν. καὶ μέχρι μὲν τριῶν ἢ τεττάρων ὡρῶν καὶ αὐτοὶ ἠμύνοντο καρτερῶς ἀπὸ τῶν τειχῶν· ἔπειτα οἵ τε τὴν ἀκρόπολιν κατοικοῦντες καὶ ὅσοι τῶν Θεσσαλονικέων ἦσαν μὴ πάνυ προσκείμενοι τῷ πρεσβυτέρῳ βασιλεῖ, διεστασίασάν τε ταῖς γνώμαις πρὸς τοὺς ἄλλους, καὶ ἀνακωχὴν αἰτήσαντες πρὸς βασιλέως τοῦ πολέμου, εἰς λόγους κατέστησαν τοῖς συμπολιορκουμένοις. [20]

1 272 καὶ Λυζικῷ μὲν τῷ τῆς ἀκροπόλεως ἄρχοντι οὐκ ἔφασαν περὶ τῆς σφετέρας πατρίδος βουλεύειν συγχωρήσειν, ἑτέρας ὄντα πόλεως πολίτην, ὃν, βασιλεῖ προσχωρησάσης Βερῥοίας, οἱ συγγενεῖς, ἄν τι καὶ προσκρούσῃ, ἐξαιτήσονται· τοῖς δ᾽ ἄλλοις οὐ δίκαιον εἶναι ἔλεγον οὐδὲ λυσιτελὲς, τῆς ἄλλης ἁπάσης πόλεως προσχωρησάσης βασιλεῖ, αὐτοὺς ἀντίστασθαι καὶ πολεμεῖν. οὔτε γὰρ δυνήσονται ἑαυτούς τε καὶ τὴν ἄκραν περισῶσαι μόνοι ἐναπειλημμένοι, τῶν τε ἐκ Φερῶν κατὰ συμμαχίαν ἀφιγμένων ἡττημένων, καὶ οὐκ ἂν ἑτέρων τολμησόντων ἐλθεῖν. „ἥ τε βασιλέως στρατιὰ πολλή τε καὶ ἀξιόμαχος, καὶ προσέτι πᾶσα ἡ πόλις πανδημεὶ προσκαθήμενοι ἐκπολιορκήσουσιν ἡμᾶς. εἰ δὲ καὶ ἀντισχεῖν δυνησόμεθα πρὸς ὀλίγον, ἀμφοτέρωθεν ζημιωσόμεθα. ἄν τε γὰρ νικῶμεν, φίλους καὶ τοὺς οἰκειοτάτους ἀποκτενοῦμεν, ἄν τε ἡττώμεθα, ἀνάγκη ἀποθνήσκειν. ἃ δὴ ἅπαντα οὐ πρὸς ἡμῶν. εἰ μὲν οὖν καὶ ὑμῖν ταῦτα συνδοκεῖ· εἰ δ᾽ οὖν, ἀλλ᾽ ἡμεῖς γε ἡμᾶς τε αὐτοὺς καὶ τὴν ἀκρόπολιν ἐγχειρίσομεν βασιλεῖ.“ οἱ μὲν οὖν τοιαῦτα εἶπον· Λυζικὸς δὲ καὶ ὅσοι ἦσαν τῷ πρεσβυτέρῳ προσκείμενοι βασιλεῖ, οὐκ ἔχοντες ὅ,τι δράσαιεν, ἅμα τοῖς ἄλλοις ἀμνηστίαν αἰτήσαντες εἴ τι προσκεκρούκασι πρὸς βασιλέα, καὶ τυχόντες, παρέδοσαν τὴν ἀκρόπολιν. νδ′. Καὶ παρελθὼν ὁ βασιλεὺς, καὶ ὅσοι ἦσαν τῶν τὰ τοῦ πρεσβυτέρου βασιλέως πραττόντων παραλαβὼν, ἐξῆλθεν εὐθύς. [20]

1 273 καὶ εἰς βασίλεια ἐλθὼν, ἐβουλεύετο μετὰ τῶν ἐν τέλει, τῶν τε ἀφιγμένων σὺν αὐτῷ καὶ οἳ ἦσαν ἐν Θεσσαλονίκῃ, ὅποι χρὴ τραπέσθαι, ἐπειδὴ τὰ πράγματα ἠνάγκαζον μὴ ἠρεμεῖν. οἱ μὲν οὖν ἄλλοι πάντες εἰς Βέῤῥοιαν ἐβουλεύοντο ἐλθεῖν, ὁ μέγας δὲ δομέστικος Βέῤῥοιαν μὲν ἔλεγεν ἐᾷν, εἰς Ἔδεσσαν δὲ ἐλθεῖν, κἀκεῖθεν εἰς Καστορίαν. προσετίθει δὲ καὶ τὰς αἰτίας, λέγων, ὡς „ὅ, τε δεσπότης Δημήτριος καὶ ἔπαρχος ὁ Μονομάχος καὶ ὁ Ῥαοὺλ Ἰσαάκιος τὰς γυναῖκας καὶ παῖδας ἔχοντες ἐν Ἐδεσσηνοῖς, εἰκὸς πάσῃ σπουδῇ χρήσασθαι καὶ μηχανῇ ὥστε

κατασχεῖν αὐτὰ, ἅμα μὲν καὶ τῶν γυναικῶν ἕνεκα καὶ τέκνων, ἅμα δ', ὅτι μικρόν τε ὂν τὸ πόλισμα καὶ καρτερὸν ἀπό τε τειχῶν καὶ τῆς τοῦ τόπου κατασκευῆς, ῥᾴδιόν ἐστιν εἰς φυλακήν. κἂν φθάσωσιν αὐτὸ προκατασχεῖν, διαφεύξεται μὲν οὐδ' οὕτω τὸ μὴ ἁλῶναι παρ' ἡμῶν, παρέξει δὲ πολλὴν τὴν δυσχέρειαν καὶ τὴν τριβὴν καὶ τὸν πόνον ἐν τῷ πολιορκεῖσθαι. ἐὰν δὲ νῦν παραγενώμεθα ἡμεῖς, οἱ αὐτόθι δυνατώτατοι καὶ τοὺς ἄλλους ἄγοντες καὶ φέροντες οἷ ἂν βούλωνται, ἐκ πολλοῦ προσκείμενοι ἐμοὶ, ῥᾷστα παραδώσουσι τὸ πόλισμα ἡμῖν· μᾶλλον δὲ καὶ πρὶν ἡμᾶς ἥκειν ἐκεῖ, ἂν βασιλέως τε προστάγματα καὶ γράμματα ἐμὰ πρὸς αὐτοὺς ἥξει, ἐκ παντὸς τρόπου σπουδάσουσι τὰ κελευόμενα ποιεῖν. κἄν τις καὶ τῶν εἰρημένων ἀφίκηται πρὸς αὐτοὺς, οὐκ ἂν εἰσδέξωνται. Καστορίας δὲ καὶ αὐτῆς ὀχυρωτάτης οὔσης διὰ τὸ πανταχόθεν περικλύζεσθαι τῇ λίμνῃ, ὁ τοῦ πρωτοβεστιαρίου γαμβρὸς ὁ Ἄγγελος ἄρχει, ὃς ἐμοί τε ἔγγιστα προσήκει κατὰ γένος καὶ πολλὴν ἐμοὶ τὴν εὔνοιαν καὶ τὴν εὐπείθειαν ὀφείλει, ἐκθρεψαμένῳ τε αὐτὸν καὶ τὰ πολέμια διδάξαντι· καὶ διὰ τὴν πρὸς ἐμὲ φιλίαν ῥᾷστα πρωτοβεστιάριον ἂν πρόηται τὸν κηδεστὴν, καὶ ἡμῖν τὴν πόλιν παραδοίη. [5]

1 274 ταῦτα δὲ ἡμῖν κατασχοῦσιν, αὐτόκλητοι προσχωρήσουσιν οἱ Βερῤοιῶται· δοκῶ μοι δὲ, αὐτοὺς καὶ πρὶν ταῦτα εἰς πέρας ἥκειν εἰς τὴν ὑστεραίαν ἢ καὶ τρίτην ἡμέραν ἂν ἐλθεῖν παραδώσοντας τὴν πόλιν." τοιαῦτα τοῦ μεγάλου δομεστίκου βουλευσαμένου, ὅ, τε βασιλεὺς συνέθετο εὐθὺς, καὶ οἱ ἄλλοι συνεπεψηφίζοντο ἐπαινέσαντες τὴν βουλὴν, καὶ ἐκεκύρωτο τὴν ἐπὶ Ἔδεσσαν ἰέναι. αὐτίκα τε προστάγματα βασιλέως καὶ τοῦ μεγάλου δομεστίκου γράμματα διὰ ταχυδρόμων ἱππέων πρός τε Ἔδεσσαν ἐπέμφθησαν καὶ Καστορίαν. καὶ Ἄγγελος μὲν ὁ Καστορίας ἐπίτροπος εὐθὺς τὴν πόλιν εἶχε διὰ φρουρᾶς, ὡς βασιλεῖ τῷ νέῳ, ὅταν ἀφίκηται, παραδώσων. οἱ δ' ἐν Ἐδέσσῃ δυνατοὶ, οἵ τε Ἄγγελοι Ῥαδίποροι ἐπικεκλημένοι, τρεῖς ὄντες ἀδελφοὶ, καὶ ὁ Λάσκαρις, ἐπεὶ τὰ προστάγματα ἐδέξαντο βασιλέως, μηδεμίαν ποιησάμενοι ἀναβολὴν, ἐπεὶ καὶ ὁ δῆμος Ἐδεσσηνῶν τῆς αὐτῶν ἐξήρτητο γνώμης, τήν τε βασίλισσαν τὴν Δημητρίου τοῦ δεσπότου γαμετὴν καὶ τὴν ἐπάρχου τοῦ Μονομάχου καὶ τὴν Ῥαοὺλ περιώρισαν ἐν οἰκίαις, καὶ ἐφύλαττον περιστήσαντες φρουράν. μετὰ μικρὸν δὲ οἱ ἄνδρες αὐτῶν ἐλθόντες, ἐπεὶ εὗρισκον Ἐδεσσηνούς τε αὐτῶν ἀφεστηκότας καὶ εἰρχθείσας τὰς γυναῖκας, τραπόμενοι ἔφευγον πρὸς τὸν ἄρχοντα τῶν Τριβαλῶν. [25]

1 275 ὡς γὰρ ἐπύθοντο ἔτι ἐν Φεραῖς ὄντες, ὡς βασιλεὺς τὴν πρὸς Θεσσαλονίκην φέρουσαν ἐτράπη, ἤλπισαν μὲν οὐδ' ἐπὶ μικρὸν αὐτῷ τὴν πόλιν προσχωρήσειν, ἀσφαλείας δὲ ἕνεκα τοὺς τριακοσίους ἔπεμψαν ὡς τὴν ἀκρόπολιν καθέξοντας· ἐπεὶ δὲ ἐπύθοντο ὡς ἥ τε Θεσσαλονίκη προσεχώρησε βασιλεῖ, καὶ οἱ τριακόσιοι, οἱ μὲν ἀπέθανον, οἱ δ' ἐζωγρήθησαν ὑπὸ τῶν βασιλικῶν, πᾶσαν ἐλπίδα σωτηρίας ἤδη περιαιρεθέντες, πρὶν ἔκπυστα τοῖς πᾶσι γενέσθαι τὰ συμβάντα, τὴν στρατιὰν ὅση ἦν ἀναλαβόντες, προσχήματι μὲν ᾔεσαν ὡς ἐπὶ Θεσσαλονίκην, ὡς οὔπω ἐαλωκυῖαν περιποιήσοντες, ἵνα μὴ δοκοῖεν ἐκλιπόντες Φερὰς καὶ τὰς ἄλλας τῆς Μακεδονίας πόλεις φεύγειν· τῇ δ' ἀληθείᾳ, ὡς ἕκαστος χωρήσοντες οἷ ἂν αἵ τε γυναῖκες καὶ τὰ τέκνα ᾖ. ἐπεὶ δὲ ἐξελθόντες ἀπὸ Φερῶν εἶχοντο ὁδοῦ ὅσοι τε ἐκ Θεσσαλονίκης συνεστρατεύοντο αὐτοῖς, ἐπεὶ ἐπύθοντο ἐαλωκυῖαν, ἀποστάντες αὐτῶν, ἐχώρησαν πρὸς βασιλέα· καὶ οἱ Βερῤοιῶται τὰ ἐν Βοδηνοῖς πυθόμενοι συμβάντα, ταὐτὰ τοῖς ἐκ Θεσσαλονίκης ἐποίουν· τό, τε συστρατευόμενον αὐτοῖς ὑπήκοον Ῥωμαίοις στράτευμα Μυσῶν ἤδη καὶ ἐνεωτέρισε φανερῶς. ἐντυχόντες γὰρ τοῦ πρωτοβεστιαρίου βοσκήμασι πολλοῖς, διήρπασαν αὐτὰ, αὐτοῦ παρόντος καὶ προσεποίησαν ἑαυτοῖς. ἐπιχειροῦντι δὲ ἀνασώζειν τὰ διαρπασθέντα, οὐ μόνον οὐκ ἐπείθοντο, ἀλλὰ καὶ τῶν σκευοφόρων αὐτοῦ τινα ἀφείλοντο τὸν ἵππον, ἔργῳ διδάσκοντες ὡς εἰ μὴ ἀγαπῴη, χωρήσοντες καὶ κατ' αὐτοῦ. [20]

1 276 ἥ τε λοιπὴ ἅπασα στρατιὰ καὶ οἱ ἐκ τῶν ἑσπερίων πόλεων παρόντες δυνατοὶ, τῶν βασιλέως πραγμάτων ἤδη φανερῶν γεγενημένων, ἐκλιπόντες τοὺς στρατηγοὺς, πάντες ἦλθον ὡς αὐτόν.

δείσας δὲ ὁ πρωτοβεστιάριος εἰς Ἀχρίδα ἐλθεῖν, (ἐκεῖ γὰρ ἦν καταθέμενος τὴν γυναῖκα καὶ τὰ τέκνα,) ὅτε κατὰ βασιλέως ἅμα τῷ στρατεύματι ἐχώρει, ἅμα δεσπότῃ καὶ τοῖς· λοιποῖς, εἰς πεντήκοντα καὶ ἑκατὸν ὄντες, ἐχώρησαν πρὸς Κράλην τὸν ἄρχοντα τῶν Τριβαλῶν. Φεραῖοι δὲ, ὅσοι ἦσαν ἐκ Βυζαντίου δεσπότῃ καὶ τοῖς ἄλλοις ἑπόμενοι στρατηγοῖς, ἐπεὶ ἐλείποντο ἐκεῖ ἀναχωρούντων, πάντα συσχόντες, τὰ ὄντα μὲν διήρπασαν αὐτοῖς, αὐτοὺς δὲ ὑπὸ δεσμοῖς ἤγαγον ὡς βασιλέα. βασιλεὺς δὲ ἐπεὶ ἐδέδοκτο τὴν ἐπὶ Ἔδεσσαν ἰέναι, ἐξελθὼν Θεσσαλονίκης, δευτεραῖος ἦλθεν εἰς αὐτά. οἱ Ἐδεσσηνοὶ δὲ ἐξελθόντες πανδημεὶ, προσεκύνησάν τε βασιλέα καὶ τὸ πόλισμα παρέδοσαν. τὰ μὲν οὖν ἄλλα ᾗ αὐτῷ ἐδόκει διῴκει ὁ βασιλεύς· ὅσα δὲ ἦν αὐτόθι χρήματα δεσπότῃ καὶ τοῖς ἄλλοις στρατηγοῖς, ἃ μὲν ἂν ᾖ ἴδια ταῖς γυναιξὶ, ταῦτ’ ἔχειν προσέταξεν αὐτὰς, καὶ μηδένα ἀδικεῖν, ἃ δ’ ἂν ᾖ τῶν ἀνδρῶν, αὐτῷ μηνυθῆναι, ὡς ἂν αὐτὸς διαγνῷ περὶ αὐτῶν. αἱ μὲν οὖν ἄλλαι τὰ ἴδια μεμηνύκεσαν καὶ τὰ τῶν ἀνδρῶν, βασίλισσα δὲ ἡ τοῦ δεσπότου γαμετὴ, δείσασα μὴ τὰ χρήματα ἀφαιρεθείη, ὀλίγα μὲν ἐκ τῶν ἐνόντων ἐποίησε φανερὰ, τὰ πλείω δὲ μοναχῷ τινι παρακατέθετο φυλάττειν. [25]

1 277 καὶ διέλαθόν γε ἄχρι καιροῦ· ἔπειτα φωραθέντος τοῦ μοναχοῦ μετὰ χρόνον τινὰ ὑπὸ τῶν ἐπιτροπευόντων ἐν ἐκείνοις τοῖς χωρίοις, ἄλλοτε ἄλλα διηρπάσθη. ἐπεὶ δὲ ἀνηνέχθη τῷ βασιλεῖ περὶ τῶν χρημάτων, τά τε ἴδια καὶ τὰ τῶν ἀνδρῶν προσέταξεν ὁ βασιλεὺς ἔχειν τὰς γυναῖκας, ὡς ἂν ἔχοιεν καὶ τοῖς ἀνδράσι χορηγεῖν ἐπὶ τῆς ξένης· αὐτὰς δὲ ἐκ Βοδηνῶν ἀχθῆναι εἰς Θεσσαλονίκην, κἀκεῖθεν εἰς Διδυμότειχον, ἵν’ ἐκεῖ συνδιάγοιεν τῇ βασιλίδι. καὶ ἐπληροῦτο τὰ κεκελευσμένα. νε′. Εἰς τὴν ὑστεραίαν δὲ ἀπάρας ἐξ Ἐδέσσης, ἦλθεν εἰς Καστορίαν· καὶ εἰσεδέξατο αὐτὸν ὁ ταύτης ἐπιτροπεύων Ἄγγελος χαίρων, καὶ παρέδωκε τὴν πόλιν. ἦν γὰρ δὴ καὶ πρότερον τὴν ἄφιξιν προσδεχόμενος αὐτοῦ, ἐξ ὅτου πρὸς αὐτὸν ἐκ Θεσσαλονίκης προστάγματά τε ἐκείνου καὶ τοῦ μεγάλου δομεστίκου γράμματα ἐπέμφθη, καὶ τὴν πόλιν εἶχεν ἐν φυλακῇ ἕνεκα αὐτοῦ. μεταξὺ δὲ τὴν πρὸς Καστορίαν ὁδεύων ὁδὸν, τόν τε Βοησίλαν τῶν Μυσῶν δεσπότην καὶ Βρυέννιον τὸν μέγαν δρουγγάριον καὶ Ἐξώτροχον τὸν μέγαν ἑταιρειάρχην ἅμα δισχιλίοις ἱππεῦσι στρατιώταις ἀπολεξάμενος, τὴν πρὸς Ἀχρίδα ἐκέλευσεν ἰέναι, εἴ πως δυνηθεῖεν τὸν πρωτοβεστιάριον φθάσαντες παρελθεῖν εἰς αὐτήν. καὶ βαδίσαντας συντόνως, ἐπεὶ προτεραίᾳ ἦλθον, εἰσεδέξαντο αὐτοὺς οἱ Ἀχριδηνοὶ ἀνοίξαντες τὰς πύλας· ἤδη γὰρ ἅπαντα ἀφίσταντο πρὸς βασιλέα τὸν νέον, καὶ ἀναγκάζοντος μηδενός· πρωτοβεστιάριος δὲ ἐπεὶ ὑστέρησε, πυθόμενος ἐαλωκυῖαν τὴν Ἀχρίδα, τὰς σωζούσας ἐλπίδας ἀπογνοὺς, ηὐτομόλησε μετὰ τῶν ἄλλων εἰς Κράλην. [25]

1 278 καὶ ἐπεχείρουν πείθειν αὐτὸν, πόλεμον ἄρασθαι πρὸς βασιλέα, εἴ πως δι’ αὐτοῦ δυνηθεῖεν ἀναμαχέσασθαι τὴν ἧτταν. καὶ πεισθεὶς αὐτοῖς, ἦλθεν ἄχρι μεθορίων τῆς αὐτοῦ καὶ Ῥωμαίων γῆς, στρατὸν ἐπαγόμενος πολύν. βασιλεὺς δὲ ἡμέραν μίαν αὐλισάμενος ἐν Καστορίᾳ, ἄρας ἐκεῖθεν, ἦλθεν εἰς Ἀχρίδα. καὶ ἐκέλευσε τὴν πρωτοβεστιαρίου γαμετὴν ὅσα ἔχει χρήματα λαβοῦσαν, εἰς Θεσσαλονίκην ἐλθεῖν, ὡς ἅμα ταῖς ἄλλαις ἀφιξομένην εἰς Διδυμότειχον. ἡ δὲ ὑποπτεύσασα, μὴ οὐκ ἀληθῆ τὰ λεγόμενα ᾖ, καὶ δείσασα περὶ τοῖς χρήμασι, τοῖς φίλοις παρακατέθετο φυλάττειν· αὐτὴ δὲ ἰσχυρίζετο μηδὲν ἔχειν. ἐκείνη μὲν οὖν ὡς εἶχεν ἅμα καὶ ἑτέραις γυναιξὶν ἦχθη εἰς Θεσσαλονίκην. καὶ μετὰ μικρὸν εὑρηνται αὐτῆς παρά τινι κεκρυμμένα κόσμοι τε γυναικεῖοι καὶ ἕτερ’ ἄττα, χρυσίων δισμυρίων ἄξια τιμῆς· ὀλίγαις δὲ ὕστερον ἡμέραις προσελθών τις τῷ μεγάλῳ δομεστίκῳ καὶ ἀναμνήσας παλαιᾶς τινος εὐεργεσίας, ἣν ὑπ’ αὐτοῦ ἦν πεπονθὼς, ἔλεγε δίκαιον εἶναι καὶ αὐτὸν ὅ, τι ἂν δύναιτο ἀντευποιεῖν, καὶ ἐμήνυεν αὐτῷ, ὡς εἰδείη τοῦ πρωτοβεστιαρίου χρήματα ὅπου κρύπτοιτο πολλά. πέμψας δὲ ὁ μέγας δομέστικος τῶν πιστοτάτων οἰκετῶν τινα, ὑφηγουμένου τοῦ μεμηνυκότος, τὰ χρήματα ἤχθη πρὸς αὐτὸν ἐν δυσὶ κιβωτίοις, ἐν οἷς ἦν ἀγγεῖόν τι ἐκ χαλκοῦ πεποιημένον, δισχιλίους καὶ μυρίους ἔχον χρυσοῦς, καὶ ζῶναι καὶ ἐκπώματα ἐκ χρυσοῦ

πεποιημένα καὶ ἄργυρος ἄσημος καὶ γυναικεῖοι κόσμοι καὶ ἕτερ’ ἄττα τετρακισμυρίων ἄξια χρυσίων. [20]

1 279 τῷ μὲν οὖν τὰ χρήματα μεμηνυκότι λόγοις τε ὁ μέγας δομέστικος ὡμολόγει χάριτας καὶ ἔργοις ἐποίει εὖ· βασιλεῖ δὲ προσελθὼν, τά τε χρήματα ἐμήνυεν ὡς εὑρηνται, καὶ ἐδήλου καὶ τὸν ἀριθμόν. βασιλέως δὲ „οὐκοῦν“ εἰπόντος „σὲ τὸν εὑρηκότα δίκαιον ἔχειν·“ „ἀλλ’ οὔτε πρότερον“ εἶπεν αὐτὸς „ἐν τοῖς τοῦ πολέμου καιροῖς οὔτε πλείω οὔτ’ ἐλάττω χρήματα ἀφειλόμην τινὸς, ὥσπερ οἶσθα καὶ αὐτός· οὔτε τούτων ἂν ὀφθείην ἥττων νῦν.“ „ἀλλ’ οὐδὲν“ ἔφη „θαυμαστὸν“ ὁ βασιλεὺς „εἰ πολλὰ ὑπ’ αὐτῶν ἀφῃρημένος καὶ μάλιστα πρωτοβεστιαρίου τουτουΐ, ὀλίγα ἄττα ἐκ τῶν αὐτοῦ ὠφεληθήσῃ.“ „αὐτὸ μὲν οὖν τοῦτο μᾶλλον“ εἶπε „θαυμαστὸν, εἰ πολλὰ ὑπ’ αὐτῶν καὶ μάλιστα κατὰ τὸν δεύτερον πόλεμον ζημιωθεὶς, καιροῦ παρασχόντος, οὐκ ἠθέλησα ἀμύνασθαι τοῖς ἴσοις, νυνὶ δὲ ὀλίγων ἕνεκα χρημάτων τό, τε ἐξ ἀρχῆς ἦθος διαφθερῶ καὶ ἥττων ἀδίκου λήμματος καὶ κέρδους ἂν φανῶ· ἀλλὰ μᾶλλον αὐτὰ στρατιώταις καὶ ἄλλοις οἷς ἂν ἐθέλῃς κέλευσον διανεμηθῆναι.“ βασιλεὺς μὲν οὖν ἐπείθετο εἰπόντι, καὶ τὸν χρυσὸν ὅσος ἦν ἐκέλευσε διανεμηθῆναι τῇ στρατιᾷ· ὅσα δὲ ἦν ἔπιπλα καί τινα ἐκ τῶν σκευῶν τῶν εὐπατριδῶν διεδόθη τισὶ, καὶ τὰ λειπόμενα τῷ βασιλικῷ προσήχθη ταμιείῳ. ὀκτὼ δὲ ἡμέραις τῇ Ἀχρίδι ἐνδιατρίψαντα βασιλέα οἵ τε τὰς Δεαβόλεις νεμόμενοι Ἀλβανοὶ νομάδες καὶ οἱ τὰς Κολωνείας, ἔτι δὲ καὶ οἱ Ἀχρίδος ἐγγὺς, προσεκύνησαν ἐλθόντες καὶ δουλεύειν ἐπηγγείλαντο προθύμως. [20]

1 280 τοὺς δὲ πόῤῥω κατῳκισμένους πρὸς ἐσχατιαῖς τῆς Ῥωμαίων ἡγεμονίας γράμματα ἐκάλει βασιλικὰ πρὸς Θεσσαλονίκην ἐλθεῖν, ὡς προσκυνήσοντας ἐκεῖ· καὶ οὐ πολλῷ ὕστερον ἦλθον. ὁ μέντοι Κράλης ἅμα στρατῷ παντὶ τῷ ὑπ’ αὐτὸν ἐν μεθορίοις τῆς αὐτοῦ καὶ Ῥωμαίων ἡγεμονίας ὢν, ὑπὸ μὲν τῶν φυγάδων Ῥωμαίων ὁσημέραι παρεκαλεῖτο κατὰ βασιλέως ἐλθεῖν καὶ μάχην συνάπτειν, ὑπήκουε δὲ οὐδαμῶς, δεδιὼς μὴ οὐ κατὰ γνώμην αὐτῷ τὰ πράγματα χωρήσῃ. περιέμενε δὲ τὸν Χρέλην, ὃς ἦν ἐν Φεραῖς, Ῥωμαίοις κατὰ τοῦ νέου βασιλέως συμμαχῶν, (ἔτι γὰρ ἀπῆν,) παρ’ αὐτοῦ περὶ βασιλέως καὶ τῆς ὑπ’ αὐτὸν στρατιᾶς βουλόμενος πυθέσθαι, εἰ ἐπιχειρητέα εἴη ἢ μή. ἐπεὶ δὲ ἀφῖκτο, ἐπυνθάνετο αὐτοῦ ὁ Κράλης, εἰ πρὸς βασιλέα πολεμητέον εἴη· ὁ δὲ συνεβούλευεν, εἰρήνην μᾶλλον ἄγειν καὶ μὴ τὸν οὐκ ὄντα πόλεμον ἑαυτῷ καὶ ὑπηκόοις ἐπάγειν. βασιλέα γὰρ αὐτὸς ἔλεγεν ἐν Φεραῖς ἑωρακέναι ἄγοντα μὲν στρατὸν οὐ πάνυ πολὺν, τοσοῦτον δὲ τὰ πολέμια ἐξησκημένον καὶ ἵπποις τε καὶ ὅπλοις διακεκοσμημένον ἐκπρεπῶς, ὡς ἔκπληξιν καὶ ἀπὸ μόνης ὄψεως παρέχειν· οὕτω δὲ ἀθορύβως καὶ εὐτάκτως ἑπόμενον τοῖς ἡγεμόσιν, ὡς δοκεῖν οὐ πολλοὺς, ἀλλ’ ἕνα ὄντα τῶν τε παραγγελμάτων ἀκούειν καὶ σπουδῇ τὰ κελευόμενα ποιεῖν. „ἀνδρίας δὲ τοσοῦτον αὐτοῖς περίεστι καὶ τόλμης, ὡς, καίτοι τῶν ἀντιτεταγμένων ὄντες ἐλάσσους πολλῷ, καὶ ἐπιόντες αὐτοῖς παρὰ πόλιν οἰκείαν στρατοπεδευομένοις, οὔτε ἔδεισαν οὔτε ἐθορυβήθησαν οὐδαμῶς· ἀλλὰ ἐγγὺς γενόμενοι Φερῶν ὅσον συναναμίγνυσθαι αὐτοῖς, ἔστησαν ἀνάπλεῳ ὁρμῆς διὰ πάσης τῆς ἡμέρας προκαλούμενοι ἐς μάχην. [25]

1 281 ἐπεὶ δὲ οὐδεὶς αὐτοῖς ἀντεπεξῄει, μικρὸν ἐκκλίναντες, ηὐλίσαντο τὴν νύκτα, καὶ ἐς τὴν ὑστεραίαν πάλιν φραξάμενοι ἅμα ἕῳ, ὡς ἐς μάχην ἔστησαν παρατεταγμένοι, καὶ πέμψαντες ἡμᾶς προὐκαλοῦντο ἐς τὴν μάχην· ἡμῶν δὲ οὐδὲ ἀντιβλέπειν ὑπομενόντων καὶ φανερῶς τὴν συμπλοκὴν ἀπειπαμένων, ἀναστρέψαντες μεθ’ ὅσης ἂν εἴποις τῆς εὐταξίας, ἐστρατοπεδεύσαντο ἐν Ζίχνα. τῇ δὴ οὕτω πανταχόθεν συγκεκροτημένῃ στρατιᾷ, καὶ ὑπὸ στρατηγοῖς ἀγομένῃ πολλοῖς τε καὶ ἀγαθοῖς, ἀνάγκης χωρὶς οὐκ ἂν συγχωρήσαιμι συμπλέκεσθαι ἐγώ. νυνὶ δὲ καὶ τῆς ἑσπερίου στρατιᾶς ἁπάσης, πολλῆς τε καὶ αὐτῆς καὶ ἀγαθῆς οὔσης, προσκεχωρηκυίας βασιλεῖ, ἔτι μᾶλλον ἀπορώτερα τὰ πρὸς τὸν πόλεμον αὐτῶν καθέστηκε.“ Τοιαῦτα εἰπόντος τοῦ Χρέλη, ὅ,τε Κράλης ἐπείθετο καὶ οἱ ἄλλοι ἡγεμόνες τῆς

στρατιᾶς, καὶ ἤδη ἀπέσχοντο ταῖς γνώμαις τοῦ πρὸς βασιλέα πολεμεῖν· ἔμενον δὲ ὅμως ἐπὶ τῆς αὐτῆς στρατοπεδείας. βασιλεὺς δὲ ἐκ τῆς Ἀχρίδος μετὰ ὀγδόην ἡμέραν ἄρας, ἦλθεν εἰς Πελαγονίαν, τὴν εἰς Καστορίαν ἐκλιπὼν ὁδὸν, ἅμα μὲν, ἵνα καὶ τὰ ἐκεῖ περιποιήσηται πολίχνια καὶ τὴν ἄλλην χώραν, ἅμα δ', ἐπεὶ καὶ τὸν Κράλην ἐν ὁρίοις πύθοιτο τῆς σφετέρας ἀρχῆς εἶναι, ἵνα μὴ δοκοίη φόβῳ τῷ πρὸς αὐτὸν ἀποσχέσθαι τῆς ὁδοῦ. [20]

1 282 οἱ μέντοι Ῥωμαίων φυγάδες ὡς ἐπύθοντο διὰ Πελαγονίας ἰέναι βασιλέα, τῷ Κράλῃ προσιόντες, ἠνάγκαζον συμπλέκεσθαι βασιλεῖ, ἤδη οὐ πολὺ ἀπέχοντι αὐτῶν. ὁ Κράλης δὲ ἀπεκρίνατο, μήτε νῦν μήτε εἰσαῦθις ἑκὼν πολεμήσειν βασιλεῖ, ἐὰν μὴ αὐτὸς ἐπίῃ· αὐτοῖς δὲ τὴν δυνατὴν βοήθειαν εἰσενηνέχθαι, δυοκαίδεκα τάγματα ἅμα στρατηγοῖς παρασχόμενος ἐν Φεραῖς αὐτοῖς ἐπικουρεῖν. νυνὶ δὲ αὐτῷ καὶ τούτου ἕνεκα μεταμέλειν, ὅτι πρὸς οὐδὲν ἠδικηκότα πόλεμον ἤρατο ἐξ αἰτίας οὐδεμιᾶς. βασιλέας δὲ Ῥωμαίων πρὸς ἀλλήλους διαφερομένους, αὐτοὺς ἂν εἰδέναι, ὅπως τε πολεμήσουσιν ἀλλήλοις καὶ καθότι ξυμβήσονται, ἐμὲ δὲ μηδὲν ὑπ' οὐδενὸς ἠδικημένον, οὐδ' αὐτὸν πολεμήσειν οὐδενὶ, ἕως ἂν μὴ ἀδικῶμαι. οἱ μὲν οὖν τοιαύτης τυχόντες τῆς ἀπολογίας, καὶ τῆς μόνης ὑπολειπομένης ἐλπίδος σβεννυμένης, ἐθορυβοῦντο σφοδρῶς. οὐ μὴν ἀπέσχοντο τοῦ μὴ σφόδρα μετὰ σπουδῆς πολλῆς πρὸς τὸν κατὰ βασιλέως πόλεμον τὸν Κράλην ἐξορμᾶν. πείθειν δὲ ἐπιχειροῦσι καὶ δεομένοις μὴ ἐᾶν αὐτοὺς ἀτιμωρήτους, ἐπεὶ καὶ τῶν Τριβαλῶν παρῆσαν οἱ ἐν τέλει, „οὐ δέον," εἶπον „ὦ οὗτοι, αὐτούς τε εἰκῆ καὶ μάτην κατατρίβεσθαι ἐπιχειροῦντας ἀνηνύτοις, καὶ ἡμᾶς ἀποκναίειν ἃ μὴ προσήκει δεομένους. πρότερον γὰρ ἐχρῆν, τοῦ πρὸς βασιλέας τοὺς ὑμῶν δεσπότας πολέμου κινουμένου, αὐτοὺς πᾶσαν πρόφασιν σκανδάλου περιαιρεῖν καὶ τὴν εἰρήνην ἐκ παντὸς τρόπου ἑαυτοῖς τε καὶ τοῖς ἄλλοις ἐκπορίζειν, εἰδότας, ὡς τοῦτο αὐτὸ βασιλεῦσί τε καὶ ὑμῖν καὶ τῷ κοινῷ λυσιτελεῖ Ῥωμαίων. [25]

1 283 ὑμεῖς δὲ τοὐναντίον ἅπαν αὐτοί τε ἐφαίνεσθε ποιοῦντες καὶ τοῖς ἄλλοις παραινοῦντες. τὰς γὰρ πόλεις ἁπάσας περιϊόντες, τοὺς μὲν τῷ πρεσβυτέρῳ βασιλεῖ τὸν πρὸς βασιλέα τὸν νέον πόλεμον συναιρομένους ἐπῃνεῖτέ τε καὶ ἐπηγγέλλεσθε θαυμάσι' ἄττα, τοὺς δὲ τὴν εἰρήνην ἄγειν αἱρουμένους καὶ τοὺς ἄλλους πείθοντας, ὡς τὰ τοῦ νέου βασιλέως πράττοντας ἐπίσης ἐχρῆσθε πολεμίοις, καὶ τὸν πόλεμον ἐγείρειν ἐσπουδάζετε τρόπῳ παντί. ἃ οὖν ἐσπουδάζετε τότε, στέργοιτ' ἂν παρόντα νῦν δικαίως. ἡμεῖς δὲ Κράλῃ τῷ ἡμετέρῳ παραγγέλλομεν δεσπότῃ, μὴ πρὸς βασιλέα πόλεμον κινεῖν, μηδὲ ἀδικεῖν ἐθέλειν προεπιχειροῦντα, λογιζόμενον, ὡς καὶ παρὰ θεῷ τίσις ἐστὶ τοῖς ἀδίκως πραττομένοις τοῖς ἀνθρώποις· ἐὰν δὲ αὐτὸς ἐπίῃ, ἀμύνεσθαι παντὶ σθένει. εἰ μὲν οὖν πείθοιτο ἡμῖν βουλευομένοις, καλῶς ἂν ἔχοι· εἰ δ' οὖν, ἀλλ' αὐτὸς ἀπελθὼν διαφερέτω τὸν πόλεμον μόνος, συμπαραλαβὼν ὑμᾶς· ἡμῶν γὰρ ἀφίξεται οὐδείς." Τοιαῦτα εἰπόντων τῶν Τριβαλῶν, ὁ Κράλης τε ἐπείθετο καὶ πρὸς τοὺς Ῥωμαίους φυγάδας εἶπε· „τὴν μὲν διάνοιαν τῶν παρ' ἐμοὶ δυνατῶν ὁρᾶτε οἵαν ἔχουσι περὶ τοῦ πολέμου. ἐγὼ δὲ καὶ εἰ διὰ σπουδῆς τὸν πόλεμον ἦγον ἰδίων τινῶν ἕνεκα πρὸς βασιλέα διαφορῶν, ἀπεσχόμην ἄν, ὁρῶν αὐτοὺς οὕτως, ὥσπερ νῦν, διακειμένους· νυνὶ δὲ καὶ αὐτὸς οὐδὲν ἧττον αὐτῶν τὴν ἴσην ἔχω γνώμην περὶ τῶν πραγμάτων. διὸ οὐδὲ ἑλοίμην ἄν, ἐξὸν ἔξω τε κινδύνων εἶναι καὶ βεβαίως ἄρχειν τῆς σφετέρας, ἀδικεῖν τε δοκεῖν καὶ ἐν ἀδήλῳ καθίστασθαι κινδύνῳ, ἄλλως τε οὐδὲ τοῦ στρατεύματος ἐμοὶ παντὸς συνηθροισμένου. [25]

1 284 ὑμῖν δὲ πρὸς τὴν σωτηρίαν βοήθειαν εἰσενέγκοιμι ἂν ὅση. δυνατὴ, καὶ, εἴγε βούλεσθε, πρὸς βασιλέα πρεσβείαν πέμψας, παραιτήσομαι ὑπὲρ ὑμῶν αὐτοῦ τὴν ὀργὴν ἐγώ. πρᾷος δὲ ὢν, ὡς ἀκούω, καὶ τοῖς προσκεκρουκόσιν ἕτοιμος πρὸς διαλλαγὰς, συγγνώμην τε ἂν παράσχοι καὶ τὰς συμφορὰς οὐ μετρίως κουφιεῖ. εἰ δὲ τοῦτο ὑμῖν οὐκ ἀνεκτὸν, ἀλλ' ἐγὼ πρὸς Μιχαὴλ τὸν βασιλέα Μυσῶν κηδεστὴν ὄντα ἐμὸν ὑμᾶς πέμψω, ὡς ἂν δι' αὐτοῦ πρὸς Βυζάντιον διασωθῆτε. καὶ τούτου δὲ ὑμῖν οὐ κατὰ γνώμην ὄντος, καὶ ἑτέραν ἔξεστι τραπέσθαι. εἰς Βενετίαν γὰρ

ἀφιγμένοις, ῥᾳδίως ἐξέσται τριήρεσιν ἢ ὁλκάσιν ἐπανόδου πρὸς Βυζάντιον τυχεῖν. καὶ ἑτέραν δὲ ἐπὶ τούτοις ὑποθήσομαι ὑμῖν ἐλπίδα σωτηρίας. ἐπεὶ γὰρ Πρόσεκόν τε καὶ Πρίλλαπον καὶ Στρίμβιτζαν κατέχετε φρουραῖς, διανειμάμενοι τὰς πόλεις ταύτας, δυσαλώτους οὔσας διὰ καρτερότητα τειχῶν, καρτερεῖτε ἐν αὐταῖς, ἄχρις ἂν ὁ πρὸς ἀλλήλους τῶν βασιλέων εἴς τι πέρας πόλεμος ἀφίκηται.“ ἐπὶ τούτοις ἀμηχανία τε εἶχε τοὺς φυγάδας, καὶ ἀπαλλαγὴ κακῶν ἐφαίνετο ἐκ τῶν πραγμάτων οὐδεμία. ὅμως δὲ σκεψάμενοι ἐκ τῶν παρόντων εἵλοντο μᾶλλον ταῖς προειρημέναις ἐγκατακλεισθῆναι πόλεσι καὶ τὴν πολιορκίαν ὑπομένειν. [20]

1 285 καὶ πρωτοβεστιάριος μὲν ἅμα τισὶ τὸν Πρίλλαπον κατέσχε, τὸν δὲ Πρόσεκον Ἀσάνης ὁ Μιχαὴλ, οἱ δὲ λοιποὶ Στριμβίτζης ἐκράτουν. καὶ Βασιλικὸς ὁ Νικηφόρος Μελενίκου ἐπιτροπεύων, ὑπὸ τοὺς αὐτοὺς χρόνους ἑαυτῷ περιεποίησεν εἰς ἀρχὴν, φάσκων, οὐδενὶ προσθήσεσθαι τῶν βασιλέων, ἄχρις ἂν ὁ πόλεμος καταλυθῇ. νς′. Πρωτοβεστιάριος μὲν οὖν τῷ ἀδοκήτῳ πληγεὶς, ὡς ἐλέγετο, τῆς συμφορᾶς, καὶ μὴ φέρων τὴν κακοπραγίαν, ἐτελεύτησε μετὰ μικρόν. καὶ ἀποθανόντος αὐτοῦ, οἱ περιλειφθέντες ἑαυτούς τε καὶ Πρίλλαπον ἐνεχείρισαν βασιλεῖ· Ἀσάνην δὲ τὸν Πρόσεκον ἀφείλοντο οἱ Τριβαλοὶ κλοπῇ. βασιλεὺς δὲ ἐκεῖθεν εἰς Θεσσαλονίκην ἐλθὼν, καὶ ἀναγκαίων τινῶν πέρι ἡμέρας τινὰς αὐτῇ ἐνδιατρίψας, ὡς ἐδόκει ἀναγκαῖον εἶναι πρὸς Στρίμβιτζαν ἐλθεῖν, ἐξεστράτευσε πάλιν. καὶ γενόμενος ἐν αὐτῇ, τοὺς κατασχόντας ἐπεχείρει πείθειν, (βιάζεσθαι γὰρ οὐκ ἦν πολέμῳ διὰ καρτερότητα τειχῶν,) ἑαυτοὺς παραδιδόναι καὶ τὴν πόλιν. μὴ πειθομένων δὲ, ἀλλ’ ἰσχυριζομένων τὴν πόλιν αὐτοὶ καθέξειν, ἄχρις ἂν ὁ πρὸς ἀλλήλους τῶν βασιλέων πόλεμος διαλυθῇ· ἐπεὶ οὐ προσεχώρει, ἄρας ἐκεῖθεν, ἦλθεν εἰς Μελένικον. τὰ ἴσα δὲ καὶ Νικηφόρου ἀποκριναμένου τοῦ Βασιλικοῦ, ἐπεὶ πρὸς πολιορκίαν τρέπεσθαι ἀδύνατος ἦν, ἄλλων ἀναγκαιοτέρων ἐπειγόντων, ἐπανέζευξεν εἰς Θεσσαλονίκην. γενομένῳ δὲ ἐκεῖ ἠγγέλθη ἐκ πρωτοστράτορος ἐπιτροπεύοντος τῆς Θρᾴκης, ὡς βασιλεὺς ὁ πρεσβύτερος ἥν τε εἶχε στρατιὰν ἐν Βυζαντίῳ καὶ ἑτέραν οὐκ ὀλίγην προσεκπορισάμενος, ἐκπέμψειε κατ’ αὐτοῦ, ὑπὸ στρατηγῷ Ἀσάνῃ τῷ Κωνσταντίνῳ, παρὰ τὸν Μέλανα ποταμὸν στρατοπεδευομένου. [20]

1 286 γενομένης δὲ ἐκεῖ τῆς συμβολῆς καὶ τῆς μάχης ἀγχωμάλου ἐπιπολὺ διαμεινάσης, οἱ τοῦ νέου βασιλέως ὅμως ὑπερσχόντες, ἐτρέψαντό τε τοὺς ἀντιτεταγμένους καὶ τὴν δίωξιν ἐποιήσαντο ἄχρι Βυζαντίου. καὶ τοὺς μὲν ἀπέκτειναν αὐτῶν, τοὺς δὲ καὶ εἷλον ζῶντας πλὴν ὀλίγων ὅσοι διεσώθησαν εἰς τὴν πόλιν· ἑάλω δὲ καὶ ὁ στρατηγός. καὶ νικήσαντες περιφανῶς, ἀνεχώρησαν ἐπ’ οἴκου. τούτων δὲ ἀγγελθέντων, τῆς μὲν νίκης ἕνεκα ὁ βασιλεὺς εὐχαριστηρίους εὐχὰς ἀπεδίδου θεῷ· ἐπιστραφεὶς δὲ πρὸς τοὺς παρόντας, (πολλοὶ δὲ ἦσαν,) οὐ μᾶλλον ἥδεσθαι ἔφη κρατησάντων τῶν σφετέρων, ἢ ὅσον ἀνιᾶται ἐπὶ τῇ τῶν ἀντιτεταγμένων ἥσσῃ. „οὐ γὰρ μόνον ὅτι Ῥωμαῖοι οἱ πεσόντες, οὓς ἐχρῆν οὐ πρὸς ἀλλήλους, ἀλλ’ ὑπὲρ ἀλλήλων βαρβάροις μαχομένους ἀποθνήσκειν, δίκαιον ἀλγεῖν, ἀλλ’ ὅτι δέος, μὴ καὶ τῶν οἰκειοτάτων τινὲς ἢ τῶν φίλων ἦσαν οἱ ἀποθανόντες· καὶ τρίτον, ὅτι οὐχ ὑπὸ βαρβάρων τῶν φύσει πολεμίων, ἀλλ’ ὑφ’ ἡμῶν ἀνάλωνται τῶν πάνυ φιλούντων. καὶ ἐοικέναι ἡμᾶς νομίζω τοῖς ὑπὸ μανίας τῶν ἰδίων σαρκῶν ἐμφορουμένοις, οἳ οὐκ ἐπαινεῖσθαι, ἀλλ’ ἐλεεῖσθαι δίκαιοι τῆς ἀτόπου τροφῆς. καὶ, τὸ δὴ μεῖζον, ὅτι οὐχ ὑπὸ Ἑλλήνων μόνον καὶ βαρβάρων τῶν ἀκουόντων δίκαιοι μισεῖσθαι τῆς εἰς ἀλλήλους παρανομίας, ἀλλ’ ἄδηλον, εἴ τι καὶ τῶν γινομένων ἀρέσκει θεῷ, καὶ μὴ ἐπίσης οἵ τε ἀμυνόμενοι καὶ οἱ ἐπιόντες ἄξιοι τιμωριῶν παρ’ αὐτῷ κριτῇ. [20]

1 287 ἐβουλόμην μὲν οὖν μὴ ἀπὸ Ῥωμαίων, ἀλλ’ ἀπὸ βαρβάρων ἑστηκέναι τὸ τρόπαιον τοῖς ἡμετέροις, ἵνα εἶχον τῆς νίκης καθαρὰν τὴν ἡδονήν. ἐπειδὴ δὲ οὕτω τὰ ἡμέτερα ὑπὸ φθονεροῦ τινος δαίμονος συνεσκευάσθη, ὡς καὶ τὴν νίκην ἀλγηδόνος αἰτίαν φαίνεσθαι ἡμῖν, χάριτας ὁμολογῶ τῷ κρείττονι πολλὰς, οὐ μόνον ὅτι τοῖς ἐμοῖς συνήρατο πρὸς τὴν νίκην, ἀλλ’ ὅτι καὶ μηδεμίαν αἰτίαν αὐτὸς ἐν τῷ νυνὶ πολέμῳ οὐ μόνον παρεσχόμην, ἀλλὰ καὶ κινουμένου τὴν

ἀρχὴν, πολλὰ καὶ ἔπραξα ἄξια καὶ εἶπον λόγου, δεόμενος τὸν πόλεμον καταθέσθαι τοὺς κινοῦντας, εἰ καὶ καθ' ὑδάτων, τὸ τῆς παροιμίας, ἐδόκουν γράφειν." Οἱ μὲν οὖν ἀκούσαντες, οὐ μόνον τῆς ἀγχινοίας ἐθαύμασαν τὸν βασιλέα, ἀλλὰ καὶ τοῦ μὴ φυσᾶσθαι μηδ' ἐπαίρεσθαι ἐν ταῖς εὐτυχίαις, ἀλλ' ἐν ταῖς τῶν πραγμάτων μεταβολαῖς ἴσον καὶ ὅμοιον παρέχειν ἑαυτόν. βασιλεὺς δὲ τόν τε πρωτοστράτορα γράμμασιν ἠμείβετο εὐχαριστηρίοις, καὶ τοὺς συνόντας αὐτῷ τῶν συγκλητικῶν τιμαῖς τε καὶ ἄλλαις εὐεργεσίαις, καὶ τοὺς στρατιώτας τοὺς μὲν ἐπιδόσει τῆς μισθοφορᾶς, τῶν ἐτησίων δὲ προσόδων τοὺς λοιποὺς μᾶλλον ἐπέῤῥωσε καὶ προθυμοτέρους πρὸς τὸ πολεμεῖν εἰργάσατο ὑπὲρ αὐτοῦ· αὐτὸς δὲ ἐν Θεσσαλονίκῃ ὑπογραφέας καταστήσας, δι' αὐτῶν διώκει καὶ ἐξίσαζε τὴν ἑσπέραν, καὶ καταλόγους ἔτασσεν ἑτέρους πρὸς τοῖς οὖσιν, ὅπως πλείων γίγνοιτο ἡ στρατιά. [20]

1 288 ἐν τούτοις δὲ αὐτοῦ ἀσχολουμένου, πάλιν ἦκε γράμματα ἐκ πρωτοστράτορος μηνύοντα, ὡς ὁ πρεσβύτερος βασιλεὺς τῷ τῶν Μυσῶν βασιλεῖ Μιχαὴλ διάφορος πρότερον ὢν, νῦν πρὸς αὐτὸν τίθεται εἰρηνικὰς σπονδὰς καὶ συμμαχίαν· ἀγνοεῖν μέντοι τὰς ξυμβάσεις ἐφ' οἷς γίνονται αὐτοῖς, καὶ διὰ τοῦτο δέον ἐγνωκέναι τὴν μήνυσιν αὐτῷ ποιήσασθαι τῶν πραττομένων. βασιλεὺς δ' ἐπεὶ ἐπύθετο, συνῆκε μὲν τοῦ πρὸς αὐτὸν ἕνεκα πολέμου τὴν συμμαχίαν τῷ πάππῳ γεγενῆσθαι πρὸς Μυσοὺς, ἔγνω δὲ μὴ ἐκ πρώτης ἀκοῆς ἐκ τῆς ἑσπέρας ἀπανίστασθαι, ἀλλὰ μένειν τε ἔτι καὶ τῶν πραγμάτων καὶ τῆς στρατιᾶς πρόνοιαν ποιεῖσθαι, ἄχρις ἄν τι βεβαιότερον διδαχθῇ. ἡμέραις δὲ ὕστερον ὀλίγαις πάλιν ἐκ πρωτοστράτορος ἀφικνεῖται γράμματα πρὸς βασιλέα μηνύοντα, ὡς αἱ πρὸς Μυσοὺς βασιλέως σπονδαὶ καὶ ἡ συμμαχία πέρας ἤδη ἔσχον, καὶ οἱ πράξαντες τὴν συμμαχίαν ἐκ τῶν πρὸς Μυσοὺς αὐτομόλων Ῥωμαῖοι ἐν Βυζαντίῳ εἰσὶν ἔτι. βουλευσαμένῳ δὲ μετὰ τῶν ἐν τέλει τῷ βασιλεῖ οὐκέτι διαμέλλειν ἐδόκει ἐν Θεσσαλονίκῃ, ἀλλὰ τάχιστα εἰς Βυζάντιον ἀπιέναι, πρίν τι νεωτερισθῇ. καὶ τῆς ἑσπέρας στρατηγὸν Συργὴν ντὲ Λεζιάνο τὸν Κύπριον, ὃς ὕστερον ῥὴξ Ἀρμενίας ἐγεγόνει, ἐξάδελφον αὐτῷ ὄντα μητρόθεν, καταστησάμενος, ἅρας ἐκ Θεσσαλονίκης αὐτὸς ἅμα τῇ στρατιᾷ, ἦλθεν εἰς Διδυμότειχον. [20]

1 289 ὀλίγας δὲ αὐτῷ ἐνδιατρίψας ἡμέρας, ἐξελθὼν ἐκεῖθεν, ἦκεν εἰς Βυζάντιον. γενόμενος δὲ πρὸς τὰς πύλας τῆς προσαγορευομένης Γυρολίμνης, καὶ Πεπανόν τινα τῶν ἐν Βλαχέρναις προκαθήμενον βασιλείων, τῶν τῇδε τειχῶν τὴν φυλακὴν πεπιστευμένον εὑρὼν, ἐπεὶ διὰ τὴν ἐκείνου ἔφοδον ἐν φυλακῇ εἶχεν ὁ πρεσβύτερος βασιλεὺς τὰ Βυζαντίου τείχη, ἐκέλευεν ὡς βασιλέα τὸν πάππον ἐλθόντα ἀπαγγέλλειν, ὅτι τε γένοιτο ἐγγὺς τειχῶν καὶ δέοιτο συγγνώμης τυχεῖν τῆς παρ' αὐτῷ. μὴ δὴ διὰ τὰ κατὰ τὴν ἑσπέραν συμβάντα ἀθεράπευτα λογίζεσθαι εἶναι τὰ κακά. ἔξεστι γὰρ, εἴπερ καὶ νῦν ἐθελήσεις, τόν τε πόλεμον καταθέσθαι καὶ ὅ, τι βούλει χρήσασθαι αὐτῷ· πάντως δὲ οὐκ ἐπιλελῆσθαι, ὀλίγου τοῦ παρῳχηκότος ὄντος χρόνου, ὅσα ἐλθὼν ἐδεῖτο περὶ τῆς εἰρήνης, ταύτην ἀντὶ τοῦ πολέμου μᾶλλον ἑλέσθαι συμβουλεύων, καὶ μὴ τοῖς ἐνάγουσι πείθεσθαι πολεμεῖν, ὡς οὐδὲν ὀνήσουσιν ἐπὶ τῶν ἔργων, ὧν αὐτὸς μὲν οὐκ ἐβούλετο προφήτης εὑρεθῆναι· ὅμως δὲ ἐξέβη ᾗ προείρηται αὐτῷ. ἐὰν δὲ νῦν καταθέσθαι τὸν πόλεμον πάλιν ἐθελήσῃς, ἐκεῖνά τε ὡς μηδὲ τὴν ἀρχὴν γεγενημένα λογιεῖται καὶ γνώμης οὕτως ἔχει καὶ παρασκευῆς, ὡς πάντα πράξων, ἅττα ἂν αὐτὸς κελεύῃς. Ὁ μὲν Πεπανὸς τῷ πρεσβυτέρῳ βασιλεῖ ἀπήγγελλεν ἐλθὼν ὅσα ἦν παρὰ τοῦ νέου προστεταγμένος βασιλέως. [20]

1 290 ὀλίγῳ δὲ ὕστερον ἐπανελθὼν, ἀπήγγελλε τῷ νέῳ βασιλεῖ, ὅτι βασιλεὺς κελεύει τῶν τῇδε ὅποι βούλοιτο ἀποχωρεῖν καὶ μὴ κατατρίβειν τὸν καιρὸν εἰκῇ καὶ μάτην, μέλλοντα οὐδὲν ἀνύειν ὧν διανοεῖται. ἐρομένου δὲ τοῦ νέου βασιλέως, εἰ μηδὲν αὐτῷ πλέον προστάξειε βασιλεὺς, „οὐδὲν" εἶπεν ὁ Πεπανός. „οὐκοῦν" ἔφη „τὸ βασιλέως πρόσταγμα πληρῶν, ὅποι ἂν ὁ θεὸς ἡγοῖτο βαδιοῦμαι." καὶ ἀναζεύξας ἐκεῖθεν, ἐν τοῖς λειμῶσι τοῖς παρὰ τὴν γέφυραν τῆς Καμήλου ηὐλίσατο τὴν νύκτα, καὶ ἐς τὴν ὑστεραίαν πάλιν παρὰ τὰς αὐτὰς πύλας ἐλθὼν, ἐδεῖτο βασιλέως προσδέξασθαι τὴν εἰρήνην καὶ τὸν πόλεμον καταλῦσαι. ὡς δ' ἐσήκουεν οὐδεὶς,

ἀναστρέψας ἤλαυνε πρὸς τὸν Μέλανα ποταμὸν, ἔνθα πρωτοστράτωρ ἦν μετὰ τῆς ὑπολοίπου στρατιᾶς ἐστρατοπεδευμένος. βασιλεὺς μὲν οὖν ᾔει ἡγούμενος τῆς στρατιᾶς, ὁ μέγας δὲ ὑπελείπετο δομέστικος χρείας τινὸς ἕνεκα ὀπίσω. προσελθὼν δὲ αὐτῷ τις ἐν ἐνδύμασι διερῥωγόσιν οἷα τὰ τῶν πενήτων, κρύφα τι ἔλεγεν ἔχειν αὐτῷ διαλεχθῆναι. προελθὼν δὲ ἐφ' ἱκανὸν ὅσον μὴ ὁρᾶσθαι ἀπὸ τῶν τειχῶν, ἐκέλευεν ὅ,τι ἂν βούλοιτο φράζειν. ὁ δὲ καὶ ἕτερόν τινα προσκαλεσάμενος τὸν κοινωνοῦντα αὐτῷ τῶν βουλευμάτων, οὐδενὸς αὐτοῖς ἑτέρου συμπαρόντος, φίλοι μὲν ἔφασαν αὐτοὶ ἐς τὰ μάλιστα ἀλλήλοις εἶναι ἐκ παλαιοῦ καὶ τὰς οἰκήσεις ἔχειν γειτονούσας· ὁρῶντες δὲ ὅσα ἀδικεῖται καὶ ἀπελαύνεται ὁ νέος βασιλεὺς ἐπὶ προφάσει οὐδεμιᾷ, ἀλγεῖν τε οὐκέτι ἀνεκτῶς καὶ προθυμεῖσθαι, ἂν ἐξῇ, ἀμύνειν τὰ δυνατὰ ἀδικουμένῳ, καὶ μάλιστα ἐξ ὅτου κατά τε Ῥήγιον ἀπολογούμενος ὁ βασιλεὺς πάσης ἀπέλυσεν αἰτίας ἑαυτὸν, (παρεῖναι γὰρ τότε καὶ αὐτοὺς,) καὶ ἐνταῦθα ἀφικόμενος πολλαῖς ἐχρήσατο δεήσεσι καὶ ἱκεσίαις πρὸς τὸν πάππον, μὴ τὸν πόλεμον κινεῖν. [5]

1 291 γνώμης μὲν οὖν οὕτως ἔφασαν ἔχειν καὶ παρασκευῆς· ἐνδεεστέρας δὲ οὔσης τῆς δυνάμεως αὐτῶν ἢ κατὰ τὴν προθυμίαν, καιρὸν ζητεῖν, καθ' ὃν ἂν αὐτοῖς ἐγγένοιτο καὶ ἔργῳ ἃ προείλοντο δρᾷν· ὃν δὴ καλῶς ποιοῦντα ἥκειν. μετὰ γὰρ τὸ βασιλέα τὸν νέον πρὸς τὴν ἑσπέραν ἐκστρατεῦσαι, τοὺς τὴν φυλακὴν τῆς πόλεως ἐπιτετραμμένους, οὕτω τοῦ θεοῦ πόῤῥωθεν τὰ λυσιτελοῦντα προκατασκευαζομένου, τοῖς ἐπὶ ταῖς πύλαις τοῦ ἁγίου Ῥωμανοῦ καλουμέναις τείχεσιν ἐπιστῆσαι, ὥστε νύκτωρ ἔχειν ἀγρυπνοῦντας φυλακὴν ἅμα καὶ ἑτέροις ὀκτὼ ἐκ διαδοχῆς. αὐτοῖς μὲν οὖν εὐθὺς, τούτου γενομένου, ἔννοιαν εἰσελθεῖν τοῦ δυνήσεσθαι ἄν ποτε βασιλεῖ χρησίμους εἶναι. ἐπεὶ δὲ καὶ ἐπύθοντο ὅσον οὐδέπω εἰς Βυζάντιον ἀφίξεσθαι αὐτὸν, τοῖς ἑταίροις, ὅ φασι, κύβον ῥίψαντες, διειλέχθαι περὶ τοῦ βασιλεῖ τῷ νέῳ τὴν πόλιν προδιδόναι, πεπεικέναι τε δίκαιά τε ἅμα δόξαντας λέγειν καὶ συμφέροντα πᾶσι Ῥωμαίοις· καὶ νῦν εἶναι ἐν ἑτοίμῳ, κλίμαξι τὸν βασιλέα ἀνάγειν εἰς τὸ τεῖχος, νύκτα φυλάξαντας καθ' ἣν αὐτοῖς ἡ διαδοχή ἐστι τῆς φυλακῆς. οἱ μὲν οὖν τοιαῦτα εἶπον· ὁ μέγας δὲ δομέστικος τὸν μὲν ἀπαγγελοῦντα βασιλεῖ περιμένειν ἔπεμψεν εὐθὺς, τοὺς δὲ διειλεγμένους ὅ,τι τε καλοῖντο ἠρώτα καὶ εἴ τι παρὰ βασιλέως αἰτοῖεν, ὡς δίκαιοι ὄντες εὖ παθεῖν τῆς εἰς βασιλέα ἕνεκα εὐνοίας. [25]

1 292 οἱ δ' ἔφασαν, Κάμαρις μὲν καλεῖσθαι καὶ Καστελιάνος, μηδὲν δὲ αἰτεῖν, ἀλλὰ προῖκα τοῦ καλοῦ ἕνεκα καὶ τοῦ κοινῇ λυσιτελοῦντος τὴν ἐπιχείρησιν ὑπελθεῖν. ἐπεὶ δὲ καὶ αὖθις ἐπιτρέψαντος ὃ βούλοιντο αἰτεῖν, ἰσχυρίσαντο αἰτεῖν μηδὲν, παραλαβὼν αὐτοὺς ἦγεν ὡς βασιλέα. συμμίξας δὲ αὐτῷ, „ὁ θεὸς" εἶπεν „ᾧ σὺ πρὸ μικροῦ παρέσχηκας ἃ εἶχες, ἃ βούλεται νῦν αὐτὸς εὐεργετεῖ." ἀνεμίμνησκε δὲ αὐτὸν ἔργου τινὸς, ὃ ἦν εἰργασμένος πρὸ μικροῦ. νζ'. Ἔτι γὰρ ἐνδιατρίβοντος Θεσσαλονίκῃ, τῶν ἐν Βυζαντίῳ βασιλεῖ τῷ πρεσβυτέρῳ συνόντων συγκλητικῶν ἓξ συμφωνήσαντες ταῖς γνώμαις, πέμψαντες εἰς Θεσσαλονίκην, διειλέγοντο κρύφα τῷ βασιλεῖ, ὡς, εἰ βούλοιτο Βυζάντιον κατασχεῖν, αὐτῶν παραδιδόντων, (ἦσαν γὰρ οὐκ ἀδύνατοι ποιεῖν,) πρῶτον μὲν αὐτοῖς πιστώσασθαι δι' ὅρκου, τῆς τε ὑπηρεσίας ἐφ' ἣν νῦν τελεῖ τὸν μέγαν ἀποστῆσαι λογοθέτην τὸν Μετοχίτην καὶ διὰ βίου παντὸς δι' ὀργῆς ἔχειν καὶ συγγνώμην μηδέποτε παρασχεῖν· ἔπειτα δὲ καὶ ἕτερ' ἄττα ὅσα αὐτοὶ ᾐτοῦντο, ἐκπληροῦν. κἂν ταῦτα αὐτοῖς πιστώσηται δι' ὅρκων, μηδὲν ἀναβαλλόμενον ἥκειν, ὡς ἅμα τῷ ἐλθεῖν παραληψόμενον τὴν πόλιν. ἐφ' οἷς ἀπεκρίνατο ὁ βασιλεὺς, τοῦ μὲν μήτε αὐτὸν ἐν τῷ νυνὶ πολέμῳ αἰτίαν παρεσχῆσθαι, μήθ' ὑφ' ἑτέρων μάλιστα ἐθέλειν κινηθῆναι τὴν ἀρχὴν, καὶ κινηθέντος δὲ, πάντα τρόπον ἐπινενοηκέναι καὶ μηχανὴν, δι' ὧν ᾤετο αὐτὸν δυνήσεσθαι καταλύειν, θεόν τε εἰδέναι, τὸν πάντα καὶ πρὶν γενέσθαι εἰδότα, καὶ αὐτὰ τὰ πράγματα μονονουχὶ φωνὴν ἀφιέντα μαρτυρίων, καὶ ὑμεῖς δ' αὐτοὶ συμμαρτυρήσετε ἂν ἐμοὶ, ἐὰν θέλητε λέγειν τἀληθῆ. [20]

1 293

ἐπεὶ δ’ οὕτω τὰ ἡμέτερα πράγματα συνεσκευάσθη, ὥστε ἀνάγκην εἶναι, μηδ’ ὅλως βασιλέως παραδεχομένου τὴν εἰρήνην, ἢ τὸν ἕτερον ἐκπεσεῖσθαι τῆς ἀρχῆς ἢ διαφθείρεσθαι τὸ ὑπήκοον διϊστάμενον πρὸς ἑκατέρους, βούλομαι ἀναγκαίως, ἢ ὑμῶν πραττόντων ἤ τινων ἑτέρων, ὑπ’ ἐμαυτὸν ποιήσασθαι Βυζάντιον, ὡς, ἂν μὴ τοῦτο γένηται, τῶν ἐμφυλίων οὐ παυσομένων πολέμων. ἐπὶ τοιούτοις μέντοι οἷα αὐτοὶ αἰτεῖσθε, οὐ Βυζάντιον μόνον, ἀλλ’ οὐδ’ εἰ τόσαι πόλεις ἦσαν ὅσοι πύργοι Βυζαντίου, ἠθέλησα ἂν κατασχεῖν. τὸ μὲν γὰρ τὸν μέγαν λογοθέτην ἀποστῆσαι τῆς ὑπηρεσίας, ἐφ’ ἣν νῦν τελεῖ, οὐ μόνον διὰ τὸ αἰτεῖν ὑμᾶς, ἀλλὰ καὶ ἄλλως πρὸς τὸ ἀπηλλάχθαι πραγμάτων, ἔπραξα ἄν, ὑπ’ ἐμοὶ γενομένων τῶν πραγμάτων· τὸ μέντοι γε αὐτοῦ καταψηφίσασθαι διὰ βίου ἀπαραίτητον ὀργὴν, ἀδυνατώτατον τῶν πάντων. μὴ γὰρ οὕτω μανείην ὥστε διὰ τῆς εἰς ἐκεῖνον ἀπαραιτήτου ὀργῆς ἐμαυτῷ ἀποκλεῖσαι τὰ φιλάνθρωπα σπλάγχνα τῆς ἀγαθότητος τοῦ θεοῦ· ἐπειδὴ ᾧ μέτρῳ μετρήσομεν τοῖς συνδούλοις, ἀντιμετρήσειν ἀπεφήνατο ἡμῖν· καὶ ταῦτα οὐκ ἐξίσης τῶν ἡμῖν ἡμαρτημένων ὄντων, ἀλλ’ ἀπειροπλασίῳ τινὶ ὑπεροχῇ τῶν ἐμοὶ πρὸς θεὸν ἡμαρτημένων διαφερόντων. τοιγαροῦν τὸ μὲν ὑπ’ ἐμαυτῷ ποιήσασθαι Βυζάντιον καὶ πάνυ βούλομαι τοῦ κοινῇ λυσιτελοῦντος ἕνεκα. [20]

1 294 τούτου δὲ τοῦ αἰτήματος ἀπόντος, καὶ εἴγε καὶ ὑμῖν συνδοκεῖ, τότ’ ἤδη καὶ περὶ τῶν ἐπιλοίπων ὑμῶν ἀκούσομαι αἰτημάτων.“ Τούτων μὲν οὖν ὁ μέγας τότε δομέστικος ἀνεμίμνησκε βασιλέα, καὶ ἕτερ’ ἄττα πρὸς αὐτὸν διαλεχθεὶς, προσῆγε τοὺς ἄνδρας. οἱ δὲ καὶ πρὸς βασιλέα διειλέχθησαν τὰ ἴσα καὶ ἧ μὴν διϊσχυρίζοντο αὐτοὶ δυνήσεσθαι τὴν πόλιν παραδώσειν. ἐπαινέσας δὲ αὐτοὺς ὁ βασιλεὺς καὶ εἴ τι ἐπυνθάνετο αἰτοῖεν· οἱ δ’ ἐπείθοντο αἰτεῖν οὐδὲν, πολλὰ δὲ πολλάκις παρὰ βασιλέως ἐκβιασθέντες, ᾐτήσαντο γῆς εἴκοσι πλέθρα. γελάσας δὲ πρὸς τὴν αἴτησιν ὁ βασιλεὺς, „ἀλλ’ ἐγὼ“ εἶπε „θεοῦ διδόντος, ἀξίαν ὑμῖν ἀποδώσω τῆς εὐγνωμοσύνης τὴν εὐεργεσίαν.“ ἔτι δὲ αὐτῶν περὶ τῶν τοιούτων διαλεγομένων, ἐκ Σκοπέλου παρὰ τοῦ ἄρχοντος ἄγγελος ἦκε μηνύων, ὡς ὁ τῶν Μυσῶν βασιλεὺς Μιχαὴλ ἐν μεθορίοις τῆς αὐτοῦ καὶ Ῥωμαίων ἡγεμονίας ἐλθὼν, παρὰ πόλιν αὐτῷ ὑπήκοον Διάμπολιν προσαγορευομένην ἐστρατοπέδευσε, καὶ συμμαχίαν ἐπαγόμενος ἐκ Σκυθῶν, οἳ παρὰ Ῥωσοκάστρῳ εἰσὶν ἐστρατοπεδευμένοι. ὧν ἀκούσας ὁ βασιλεὺς, ἐβουλεύετο ἅμα τῷ μεγάλῳ δομεστίκῳ ὅ, τι δέοι ποιεῖν, καὶ ἐδόκει χρῆναι ἐλθεῖν παρὰ τὴν Λόγους οὖσαν ὀρεινήν· ἅμα μὲν καὶ διὰ τὸ ἐγγὺς εἶναι Βυζαντίου, ὅπως τὰ πρὸς τὴν παράληψιν πράττηται αὐτοῖς, ἅμα δὲ καὶ διὰ τὸ μὴ κύκλωσιν παρέχειν τὸ χωρίον δυσπρόσοδον ὂν, ὥστε ἔχειν, ἄν τις ἐπίῃ, ἀμύνεσθαί τε, ἂν ἐξῇ, καὶ ἡσυχίαν ἄγειν πρὸς τὰ καρτερώτατα ἀποχωρήσαντας. [20]

1 295 οἱ μὲν οὖν οὕτω βουλευσάμενοι, τὸν Κάμαριν μὲν ἐκέλευον ἔπεσθαι αὐτοῖς, ὡς ἂν εἰδέναι ἔχῃ τὸ στρατόπεδον βασιλέως ὅπη εἴη· τὸν δ’ ἕτερον εἰς Βυζάντιον ὡς καὶ τοῖς ἑτέροις τὰ πεπραγμένα ἀπαγγελοῦντα ἀπιέναι. ἐλθόντες δὲ παρὰ τὸν Μέλανα ποταμὸν, ἔνθα καὶ ἡ λοιπὴ στρατιὰ ἅμα πρωτοστράτορι ἐστρατοπεδευμένη ἦν, τά τε περὶ τῶν πραττόντων τὴν ἅλωσιν αὐτῷ ἐκοινοῦντο Βυζαντίου, καὶ ὅσα πύθοιντο περὶ τῶν Μυσῶν καὶ περὶ τῆς εἰς Λόγους στρατοπεδείας, προστιθέντες καὶ τὰς αἰτίας. καὶ ἐπειδὴ καὶ αὐτῷ ἐδόκει καλῶς ἔχειν, ἅραντες ἐκεῖθεν, ἐστρατοπεδεύσαντο ἐν Λόγους. καὶ ἐς τὴν ὑστεραίαν ἠγγέλθη αὐτοῖς, ὡς στράτευμα Μυσῶν περὶ τρισχιλίους ἵππους ἦκεν εἰς Βυζάντιον κατὰ συμμαχίαν τῷ πρεσβυτέρῳ βασιλεῖ· ἡγεῖται δὲ αὐτῶν Ἰβάνης ὁ Ῥώς. ἐθορύβησε μὲν οὖν οὐ μετρίως τοῦτο τὸν νέον βασιλέα. ἐξετάζοντι δ’ αὐτῷ ἅμα τῷ μεγάλῳ δομεστίκῳ καὶ πρωτοστράτορι ὅ, τι τὸ πεῖσαν τὸν βασιλέα Μυσῶν τὰς μὲν πρὸς αὐτὸν σπονδὰς ἠθετηκέναι καὶ τοὺς ὅρκους, ἀδελφῆς ὄντα σύνοικον, τῷ πρεσβυτέρῳ δὲ βασιλεῖ συμμαχεῖν, ὑπενόουν μὴ ἀληθεῖς εἶναι τὰς γεγενημένας συνθήκας καὶ τὴν συμμαχίαν, ἀλλὰ συνιδόντα τὸν Μυσὸν, ὡς ὁ πρεσβύτερος βασιλεὺς ἅμα μὲν ἔχθει τῷ πρὸς τὸν ἔγγονον, ἅμα δὲ καὶ δέει τοῦ μὴ τοὺς συνόντας αὐτῷ Ῥωμαίων διεφθάρθαι ὑπ’ ἐκείνου καὶ ἐπιβουλεύειν αὐτῷ, ῥᾷον ἂν παραδέξαιτο ἐν βασιλείοις φρουρὰν Μυσῶν, οἰόμενος οἷα ξένους

καὶ συμμάχους αὐτῷ μᾶλλον εὐνοεῖν, πέμψαι τὸν στρατὸν, πρόφασιν μὲν, ὡς μαχουμένους ἡμῖν ὑπὲρ αὐτοῦ, τῇ δ' ἀληθείᾳ, εἰ δύναιντο τῶν βασιλείων κρατῆσαι κατ' ὀλίγους εἰσελθόντες· εἶτα καὶ αὐτὸς πανστρατιᾷ ἐλθὼν, Βυζαντίους τε ποιήσεσθαι ὑποχειρίους καὶ οὕτως ἤδη καὶ τῇ ἄλλῃ ἐπιθήσεσθαι Ῥωμαίων ἡγεμονίᾳ. [25]

1 296 καὶ τεκμήριον ἐποιοῦντο τὸ ἐπάγεσθαι καὶ Σκύθας συμμάχους δέει τοῦ μὴ βοηθεῖν αὐτοῖς ἐς Βυζάντιον, εἴ τι γένοιτο τοιοῦτον. τοιαῦτα μὲν αὐτοὶ ἐκ λογισμῶν περὶ τῆς συμμαχίας ὑπενόουν. ἦσαν δὲ καὶ ἀληθῆ, ὡς ὕστερον ἀκριβῶς ἐξεγένετο μαθεῖν. ὑπετίθει δὲ τὴν βουλὴν τῷ βασιλεῖ Μυσῶν ἐκ τῶν αὐτομόλων παρ' αὐτῷ Ῥωμαίων τις καὶ ἐπηγγέλλετο αὐτῷ καὶ τὸ ἔργον καταπράξεσθαι αὐτός. διὸ καὶ ᾑρέθη πρὸς τὴν συμμαχίαν πρεσβευτής. πείρας δὲ ἕνεκα ὁ βασιλεὺς πέμψας πρὸς Ἰβάνην, ἐκέλευεν ἀναχωρεῖν ἐκ τῆς Ῥωμαίων· σπονδῶν γὰρ οὐσῶν αὐτῷ πρὸς βασιλέα Μυσῶν τὸν γαμβρὸν, αὐτὸν εἰς τὴν Ῥωμαίων παρεληλυθέναι ἔχοντα στρατιάν. εἰ μὲν οὖν αὐτῷ βοηθήσων ἥκει, εἰς τὴν ἰδίαν ἀναχωρεῖν· μὴ δεῖσθαι γὰρ αὐτοῦ· εἰ δὲ πολεμήσων, ἐκδέχεσθαι αὐτὸν ὡς ἐπὶ μάχην. βασιλεὺς μὲν οὖν τοιαῦτα εἶπε πειρώμενος Ἰβάνη. ἐδόκει γὰρ οὐ λυσιτελεῖν ἐν τῷ τότε πόλεμον ἄρασθαι πρὸς Μυσούς. Ἰβάνης δὲ ὅρκοις ἐγγράφοις διεβεβαιοῦτο πρὸς βασιλέα, μήτε τὸν αὐτοῦ δεσπότην παρεσπονδηκέναι, ἀλλ' ἐμμένειν ταῖς σπονδαῖς ταῖς πρὸς αὐτὸν, μήτ' αὐτὸν καὶ τὴν στρατιὰν κατ' αὐτοῦ ἐνθάδε ἥκειν. ἀναγνοὺς δὲ τοὺς ὅρκους ὁ βασιλεὺς, μᾶλλον ἐπερῥώσθη πρὸς τὸ ἀληθῆ εἶναι ἃ αὐτὸς ὑπενόει περὶ τῆς συμμαχίας τῶν Μυσῶν. [20]

1 297 καὶ αὐτίκα τὸν Πεπαγωμένον Γεώργιον πέμψας πρὸς βασιλέα τὸν πάππον, ἐδεῖτο αὐτοῦ μὴ τοὺς λόγους ὑποπτεύειν ὡς πολεμίου, ἀλλὰ πείθεσθαι καὶ Ῥωμαίοις καὶ αὐτῷ συμβουλεύοντι λυσιτελοῦντα. καὶ τοῖς κατὰ συμμαχίαν ἥκουσι Μυσοῖς πρὸς μὲν τὸν κατ' αὐτοῦ πόλεμον ὅ, τι ἂν βούλοιτο χρῆσθαι, βασιλείων δὲ ἐντὸς μήτε ἅμα πλείους δέχεσθαι Μυσῶν, μήτε ὡπλισμένους· ἀλλ' εἴ ποτε καὶ ἐσίοιεν, ὀλίγους τε καὶ κατὰ διαδοχὰς, ἵνα μὴ δοκοῖεν προπηλακίζεσθαι σύμμαχοι ὄντες, καὶ ὅπλων χωρὶς, μάλιστα δὲ ἐν ἀρίστου τῇ ὥρᾳ πλείω ποιεῖσθαι φυλακήν. οὐ μὴν ἀλλὰ καὶ βασιλείων ἐντὸς στρατιὰν ἐγκαθιδρύσαι ἀξιόμαχον Ῥωμαίων, καὶ ἐν φυλακῇ πάσῃ ἑαυτόν τε καὶ τὴν πόλιν τηρεῖν. ὑπονοεῖν γὰρ ἐκ τῶν πραγμάτων, ὡς τῇ στρατιᾷ Μυσοῖς πρὸς τοῦ σφετέρου βασιλέως εἴη προστεταγμένον, τὰ βασίλεια, εἰ δύναιντο, δόλῳ κατασχεῖν, καὶ διὰ τοῦτο καὶ αὐτὸν πανστρατιᾷ καὶ συμμάχοις ἅμα Σκύθαις ἐν μεθορίοις τῆς αὐτοῦ καὶ Ῥωμαίων ἡγεμονίας ἐστρατοπεδεῦσθαι, ὡς εἰ κατορθοῖτο ἃ προσετέτακτο Ἰβάνῃ, ἐν ὀλίγῳ ἐπιβοηθοίη καὶ αὐτός. ἀκούσας δὲ ὁ βασιλεὺς ἃ μηνύοιτο παρὰ βασιλέως τοῦ ἐγγόνου, τῷ Πεπαγωμένῳ μὲν ἐκέλευεν ἀπαγγέλλειν αὐτῷ τὰ ἴδια εὖ τίθεσθαι, καὶ μὴ ἑτέροις ὑπὸ φιλοτιμίας εἶναι βούλεσθαι διδάσκαλον. οὐχ ἧσσον γὰρ αὐτὸς εἶναι ἔμπειρος πραγμάτων, ἢ ἑαυτὸν οἴεται αὐτός. [20]

1 298 αὐτίκα δὲ τοῖς βασιλείοις ἐπέστησε φρουρὰν καὶ εἶχε διὰ φυλακῆς ἀσφαλοῦς, καὶ πάντα ἔπραττεν ὅσα ὁ ἔγγονος παρῄνει. νη'. Βασιλεὺς δὲ ὁ νέος πρὸς Μιχαὴλ τὸν βασιλέα Μυσῶν τὸν Ῥουντζέριον Ἰωάννην πέμψας πρεσβευτὴν, ἀκηκοέναι ἔφασκεν, αὐτὸν ἐν ὁρίοις τῆς Ῥωμαίων ἡγεμονίας στρατοπεδεύειν· ἀγνοεῖν μέντοι τὴν ἄφιξιν αὐτοῦ ὅ, τι εἴη. εἰ μὲν οὖν λύσας τοὺς ὅρκους καὶ τὰς σπονδὰς τὰς πρὸς αὐτὸν, πόλεμον ἄρασθαι βούλεται, μαθεῖν ἐθέλειν, ὅπως καὶ αὐτὸς παρασκευάζοιτο ἐκ τοῦ ὁμοίου· εἰ δέ του ἑτέρου ἕνεκα ἡ ἐκστρατεία εἴη, μὴ ἀγνοεῖν. ὅμως μέντοι γε τό, τε ἄκλητον ἥκειν τεκμήριον ποιεῖσθαι τοῦ κατ' αὐτοῦ χωρεῖν, καὶ τὸ Βυζαντίοις συμμαχίαν ἅμα Ἰβάνῃ ἐς τρισχιλίους στρατιώτας πέμψαι οὖσι πολεμίοις, φανερῶς αὐτῷ πολεμοῦντος εἶναι. θαυμάζειν δὲ αὐτοῦ, εἰ πυθόμενος περὶ Βυζάντιον διατρίβοντος αὐτοῦ, τοσούτους πέμψειε στρατιώτας συμμαχήσοντας τοῖς πολεμίοις· ἢ ἀγνοεῖν ὡς οὐ στρατεύματι χρήσεται πρὸς αὐτοὺς εἰδόσι πολεμεῖν, ἀλλὰ τοῖς γεωργοῖς κελεύσας, ἀδυνατωτέραν θήσουσι τὴν ἐπάνοδον αὐτοῖς ἢ ἐξ ᾅδου πυλῶν. βασιλεὺς μὲν οὖν τοιαῦτα

ἐπρεσβεύετο. Μιχαὴλ δὲ ἐπεὶ τόν τε βασιλέα ἐπύθετο πρὸς τὸ Βυζάντιον ἀφιγμένον καὶ τῆς αὐτοῦ στρατιᾶς οὐ μακρὰν ἐστρατοπεδευμένον, ἐθορυβήθη τε σφοδρῶς τῶν σφετέρων ἕνεκα στρατιωτῶν, καὶ σωτηρίας αὐτοῖς ἐλπίδα οὐδεμίαν συνεώρα, εἰ μὴ τάχιστα πείσειε βασιλέα, ὅτι τε οὐ λύσειε τὰς σπονδὰς τὰς πρὸς αὐτὸν, καὶ τὴν στρατιὰν οὐκ αὐτῷ πολεμησείουσαν, ἀλλ᾽ ἑτέρου του ἕνεκα εἰς Βυζάντιον ἐλθεῖν. [25]

1 299 αὐτίκα τε ἃ εἶχεν ἐν τοῖς κόλποις ἅγια ἐξενεγκὼν ἐπὶ τοῦ πρεσβευτοῦ, καὶ ὃς ἦν ἐν αὐτοῖς σταυρὸν ἐγχειρίσας, „τοῦτ'“ ἔφη „κομίσας πρὸς βασιλέα, ὀμνύειν ἐμὲ εἰς τὸν ἐν αὐτῷ παγέντα σαρκὶ δι᾽ ἡμᾶς εἰπὲ, ὡς οὔτε λέλυκα τὰς σπονδὰς τὰς πρὸς αὐτὸν, οὔτε κατ᾽ αὐτοῦ πέπομφα τὴν στρατιάν. διὸ καὶ δέομαι μὴ κακῶς αὐτοὺς παθεῖν. ὅτι δὲ οὐ τῶν πολυτελῶν ἐγκολπίων, πολλῶν ἐμοὶ παρόντων ὡς ὁρᾷς, ἀλλὰ τουτονὶ τὸν σταυρὸν ἐξ εὐτελοῦς πεποιημένον ὕλης (ἦν γὰρ χαλκοῦς) πέπομφα, μὴ θαυμάσῃ· ἐπὶ θαύμασι γὰρ παρὰ πᾶσι διαβεβόηται Μυσοῖς, ἃ πολλὰ μὲν καὶ ἐπὶ τοῦ ἐμοῦ περιόντος ἔτι πατρὸς, πολλὰ δὲ καὶ ἐπ᾽ ἐμοῦ παρ᾽ αὐτοῦ τελεῖται νυνί· ὡς οὖν μᾶλλον ἀξιόχρεων εἰς πίστιν ἔπεμψα αὐτόν. κἄν με φωράσῃ ἀπατῶντα ἢ ψευδόμενον, ἐμοὶ τοῦτον λαβὼν ἐπιέτω, ὡς αὐτοῦ συμμαχοῦντος νικήσων καὶ διαφθερῶν. ὅτι δὲ οὐ σκῆψις ταῦτα οὐδὲ πρόφασις εὐπρεπὴς, τὸν ἀπάξοντα τὴν στρατιὰν ἐκ τῆς Ῥωμαίων ἐξαυτῆς ἀποστελῶ.“ καὶ αὐτίκα τῷ μὲν πρεσβευτῇ παρεῖχεν ἵππους τῶν τρεφομένων ταχυδρόμων παρ᾽ αὐτῷ, κελεύσας ὡς τάχιστα ἀνύειν τὴν ὁδὸν, πρὶν φθάσῃ κακώσας ὁ βασιλεὺς τὴν στρατιάν. καὶ τῶν οἰκετῶν αὐτοῦ συνεξέπεμψεν ἕνα τῷ πρεσβευτῇ γράμματα ἔχοντα, κελεύοντα Ἰβάνῃ ἀπάγειν τὴν στρατιὰν, καὶ πτερὸν πυρὶ περιπεφλεγμένον· τοῦτο γὰρ παρὰ Μυσοῖς ταχυτῆτος σημεῖον. ἐπεὶ δὲ ἀφίκοντο πρὸς βασιλέα τόν τε σταυρὸν φέροντες καὶ ἀπαγγέλλοντες ὅσα ἀπολογήσοιτο ὁ Μιχαὴλ, βασιλεὺς μὲν πρὸς Ἰβάνην καὶ τοὺς Μυσοὺς τὰ τοῦ σφετέρου βασιλέως γράμματα πέπομφε καὶ τὸ πτερόν. [20]

1 300 οἱ δὲ ἰδόντες ἀνεχώρησαν εὐθὺς ἐπ᾽ οἴκου. ἀλλὰ ταῦτα μὲν εἰς τοῦτο ἐτελεύτα· βασιλεὺς δὲ ἐν αἷς ἡμέραις αἱ πρεσβεῖαι ἐγίνοντο πρὸς τοὺς Μυσοὺς, κλίμακάς τε καὶ ὅσα ἄλλα ἐπιτήδεια ἦν πρὸς τὴν ἐπιχείρησιν παρεσκευάζετο Βυζαντίου. καὶ ἐπειδὴ πάντα ἐπεπόριστο, εἰς Βυζάντιον ὁ Κάμαρις ἐλθὼν, ἀπήγγελλε τοῖς ἑταίροις. καὶ νύκτα τηρήσαντες ἀπὸ συνθήματος, ἐν ᾗ τῶν τειχῶν αὐτοὶ ἔμελλον ἔσεσθαι ἐν φυλακῇ, ἡμέρᾳ πρώτῃ τῆς ἑβδομάδος, καθ᾽ ἣν ἡ τῆς τοῦ ἁγίου πνεύματος καθόδου τελεῖται ἑορτὴ, πρὸς βασιλέα αὖθις ὁ Κάμαρις ἐλθὼν ἐκάλει πρὸς τὸ ἔργον. τελεσθείσης δὲ τῆς θείας μυσταγωγίας, ἔτι δὲ καὶ τῶν ὕμνων τῶν ἑσπερινῶν, ἄραντες ἐκ τοῦ στρατοπέδου τοῦ ἐν Λόγους καὶ τό, τε ἐπίλοιπον βαδίσαντες τῆς ἡμέρας καὶ τὸ πλέον τῆς νυκτὸς, γενόμενοι ἐν χωρίῳ Κλέπτα ἐγχωρίως προσαγορευομένῳ, τό, τε ἐπίλοιπον τῆς νυκτὸς καὶ ἄχρι δήλης ἡμέρας ηὐλίσαντο ἐκεῖ. καὶ μετὰ τοῦτο ἄραντες ἐκεῖθεν, ἕως ἐπεγένετο ἡ νὺξ, ἦλθον εἴς τι χωρίον οὐ πολὺ ἀπέχον Βυζαντίου, τοῦ Ἀμβλυώπου προσαγορευόμενον. καὶ καρτερήσαντες ἐκεῖ, διεκόσμουν τὴν στρατιὰν, καὶ τὰς μὲν κλίμακας οὔσας δύο ἔκ τε κάλων καὶ ξυλίνων βαθμίδων πεποιημένας, ὧν τῆς μὲν ἦρχεν ὁ βασιλεὺς, ὁ μέγας δὲ δομέστικος τῆς ἑτέρας, δυοκαίδεκα στρατιώταις ἐπέθηκαν ἑκατέραν. [20]

1 301 ὧν ἦσαν ὀκτὼ Ῥωμαῖοι, οἱ λοιποὶ δὲ ἐξ Ἀλαμανίας Λατῖνοι. ἀκούσας δὲ ὁ βασιλεὺς, ὅτι καὶ Ἀλαμανοί εἰσιν ἐπὶ τῷ ἔργῳ τεταγμένοι, τὸν μέγαν δομέστικον προσκαλεσάμενος, τούς τε Ἀλαμανοὺς ἐκέλευεν ἀπὸ τῶν ἐν ταῖς κλίμαξι τεταγμένων ἐξαλλάττειν καὶ Ῥωμαίους εἰσάγειν ἀντ᾽ αὐτῶν· ἀπό τε τῶν εὐγενῶν μηδένα εἶναι ἐν τοῖς μέλλουσι πρώτως ἀναβήσεσθαι ἐπὶ τὰ τείχη, ὡς ἂν μήτε οὗτοι κατεπαίρωνται τῶν ταπεινοτέρων, μήθ᾽ ἡ εὐδοξία πρὸς Ἀλαμανοὺς διαβαίνῃ, ἀλλὰ μόνων ᾖ Ῥωμαίων τὸ ἔργον. ταῦτα μὲν οὖν ᾗ προσετέτακτο ἐτελεῖτο, καὶ Ῥωμαίοις τῶν μέσων δυοκαίδεκα ἑκατέρας ἐγχειρισθείσης τῶν κλιμάκων, προσετέτακτο αὐτοῖς, ἐπειδὰν ἐν χρῷ γένοιντο τοῦ τείχους, ὑπὸ τῶν ἔνδοθεν πρασσόντων καλωδίοις τῶν κλιμάκων ἀνελκυσθεισῶν, αὐτοὺς ἀναβαίνειν πρώτους καὶ ἀμύνεσθαι, ἄν τις ἐπίῃ, ὡς ἂν οἱ

μετ’ αὐτοὺς ἀναβαίνοιεν κατὰ σχολήν. μετ’ ἐκείνους δὲ οὐ πολὺ ἀπέχων ἑκατὸν λογάδας ἄγων ἐβάδιζεν ὁ βασιλεὺς πεζῇ, καὶ μετ’ αὐτὸν ὅσον μὴ συμμίγνυσθαι ἀλλήλοις, ἑτέρους τοσούτους ὁ μέγας δομέστικος εἶχε. τούς γε μὴν τῶν διακοσίων ἵππους ἕτεροι ἔφιπποι τοσοῦτοι ἄγοντες ἕκαστος ἕνα παρείποντο οὐκ ἐγγύθεν, ὡς ἂν μὴ τοῖς ἀπὸ τοῦ τείχους αἴσθησιν παράσχοιεν τοῦ ψόφου, ἀλλ’, ἤν τι ἀδόκητον συμβῇ, τούς τε ἵππους παράσχοιεν τοῖς διακοσίοις ἐπιδραμόντες καὶ ἐπιβοηθοῖεν αὐτοὶ τὰ δυνατά. ἕτεροί τε πεντακόσιοι ᾖεσαν ἀπέχοντες οὐ πολὺ αὐτῶν, τῆς αὐτῆς καὶ αὐτοὶ ἕνεκα αἰτίας. ἐπὶ δὲ τοῦ Ἀμβλυώπου ὁ πρωτοστράτωρ ἦν, τὴν ἄλλην ἅπασαν ἔχων στρατιὰν ἐν ὅπλοις παρατεταγμένην. [20]

1 302 οὕτω δὴ διακοσμήσαντες τὴν στρατιάν, ᾖεσαν ἡσυχῇ, ὅπως μὴ τοῖς φυλάττουσιν αἴσθησιν παράσχοιεν ἀπὸ τῶν τειχῶν. νθ′. Οἱ μὲν οὖν τὰς κλίμακας ἔχοντες τέτταρες καὶ εἴκοσι λαθόντες τοὺς φύλακας, ῥᾳδίως τοῖς τείχεσι προσέμιξαν τοῦ Καμάριδος ἡγουμένου κατὰ τοὺς πράσσοντας τὴν ἅλωσιν. καὶ ἐπεὶ αὐτοὺς προσδοκῶντας οὐκ ἦν λαθεῖν, τὰς κλίμακας ἀνείλκυσαν καλώδια καθιέντες, καὶ ἀπὸ τῶν ἐπάλξεων ἐξῆψαν. καὶ οἱ δυοκαίδεκα πρῶτον ἐφ’ ἑκατέρας κλίμακος ἀνῆλθον. βασιλεὺς δὲ καὶ ὁ μέγας δομέστικος ἅμα οἷς ἦγον, ἐπεὶ πανσέληνος ἦν καὶ ἡ σελήνη διέφαινε λαμπρῶς, ὅμως διὰ τὴν ἀπὸ τῆς πληρώσεως μεταβολὴν νεφελῶν οὐ κατὰ τὸ συνεχὲς, ἀλλὰ διεσπασμένως τὸν ἀέρα ὑποτρεχουσῶν, ὅτε μὲν ἦν ἡ νεφέλη κατ’ αὐτοὺς, ἐβάδιζον ὑπὸ τῇ σκιᾷ· ἐπειδὰν δὲ παρέλθοι, κατακλινόμενοι εἰς γῆν, ἑτέραν περιέμενον νεφέλην. καὶ οὕτω βαδίζοντες κατὰ μικρὸν, ἦλθον ἐγγὺς τειχῶν. ἐπεὶ δὲ ὅσον ἐφικέσθαι τόξῳ ἀπεῖχον, οἱ μὲν ἀπὸ τῶν τειχῶν αἰσθόμενοι βοῇ τε ἐχρῶντο καὶ ἀλαλαγμοῖς καὶ Βυζαντίους ἐκάλουν ἐπὶ τὰ τείχη, ὡς παρόντων πολεμίων· οἱ δὲ ἔξωθεν ἐπέδραμον ἐπὶ τὰς κλίμακας ἀφειδοῦντες ἤδη τῶν ψόφων, ὡς τῶν ἔνδον ᾐσθημένων, καὶ ἐπεὶ ἐγένοντο ἐν αὐταῖς, αὐτός τε ὁ βασιλεὺς προὐθυμεῖτο πρῶτος ἀναβαίνειν καὶ τὸν μέγαν δομέστικον ἕπεσθαί οἱ παρεκάλει, οἰόμενος ὡς, ἂν αὐτοὶ γένωνται ἐπὶ τὰ τείχη, κἄν τις ἐπίῃ τῶν πολεμίων, οὐκ ἄν ποτε τολμήσων εἰς χεῖρας αὐτοῖς ἐλθεῖν· ἀλλ’ ἀποσχήσεται γνωρίμων γενομένων, καὶ τοῦτον τὸν τρόπον τοῖς σφετέροις ἔσεσθαι ἀντὶ πολλῶν. [5]

1 303 ὁ μέγας δὲ δομέστικος οὐκ ἐπέτρεπεν, ἀλλ’ ἁμαρτάνειν αὐτοὺς ἔφασκε τοῦ δέοντος, ἂν ταῦτα ποιῶσι. „τῶν γὰρ ὑπολειφθέντων ἀναβήσεται οὐδεὶς, οὐκ ἀτολμίᾳ τῇ πρὸς τὰ δεινὰ, οὐδὲ κακονοίᾳ, ἀλλ’ ἕκαστος πρῶτος ἀναβαίνειν ἀξιῶν, ὑπὸ φιλονεικίας πάντες ὑπ’ ἀλλήλων κωλυθήσονται. καὶ οὐ μόνον ἀναβήσεται οὐδεὶς, ἀλλὰ καὶ αὐτοῦ συστραφέντες ἀλλήλοις συμπεσοῦνται καὶ διαφθεροῦσιν ἀλλήλους, ἀμελήσαντες τῶν πολεμίων. οὗ δὴ ἕνεκα ἡμᾶς κάτω μένειν δέον ἀναβιβάζοντας αὐτοὺς ἐν τάξει καὶ τὴν ἔριν διαλύοντας.“ τοιαῦτα τῷ μεγάλῳ εἰπόντι δομεστίκῳ ἐπείθετο ὁ βασιλεὺς καὶ τὴν ἄνοδον ἐπέτρεπε τοῖς περὶ αὐτόν. πολλῶν δὲ ἐν ταὐτῷ προσφύντων καὶ ἅμα ἀναβαίνειν πειρωμένων, ἡ τοῦ βασιλέως κλίμαξ τὸ βάρος οὐκ ἐνεγκοῦσα κατέπεσε, τῶν κάλων ῥαγέντων· καὶ μόνη καταλέλειπτο ἡ τοῦ μεγάλου δομεστίκου, καὶ δι’ αὐτῆς ἀνῄεσαν καθ’ ἕνα καὶ σχολῇ, πρὸς τὴν ἀνάβασιν ἀμφοτέρων ἐφεστώτων καὶ οὐκ ἀπειλαῖς μόνον, ἀλλὰ καὶ πληγαῖς ἐπεχόντων τὸν ἄγαν ὠθισμόν. ἐπεὶ δὲ ὀλίγῳ δέοντες ἀνῆλθον ἑκατὸν, ὁ τὴν τῶν φυλάκων ἐπιμέλειαν ἐπιτετραμμένος Συναδηνὸς ὁ τοῦ Μαρούλη πρὸς τὴν βοὴν ὀξέως ἅμα διακοσίοις ἐπιβοηθήσας, οὔπω νομίζων ἐπὶ τοῦ τείχους εἶναι τοὺς πολεμίους, ἀλλ’ ἔξωθεν ἐπιχειρεῖν, ἅμα ὀλίγοις ὧν ἦγεν ἀνέβαινεν ἐπὶ τὸ τεῖχος, ὅ, τι εἴη τὰ δρώμενα βουλόμενος μαθεῖν. [20]

1 304 καὶ αὐτός τε ἐάλω καὶ οἱ συναναβάντες ὑπὸ τῶν ἐφεστώτων. μαθόντες δὲ, ὅτι αὐτὸς ἄγοι τὴν στρατιὰν, τοῖς κάτω ἐπεφώνουν ὑπείκειν καὶ μὴ ἀνθίστασθαι τῷ νέῳ βασιλεῖ ἤδη ἐντὸς ὄντι τειχῶν, μάλιστα δ’ ὅτι, καὶ τοῦ στρατηγοῦ αὐτῶν ἑαλωκότος, οὐκ ἂν διαφύγοιεν τὸ δοῦναι δίκην ἐς τὴν ὑστεραίαν, ἐάν τι ἐπιχειρῶσι βλάπτειν. ὡς δὲ ἤκουσαν οἱ κάτωθεν, ὅτι αὐτῶν τε ὁ στρατηγὸς ἑάλω καὶ ὁ νέος βασιλεὺς ἐντὸς εἴη τειχῶν, μεταβαλόντες εὐθὺς εὐφήμουν τε τὸν

νέον βασιλέα καὶ ἕτοιμοι ἦσαν συναίρεσθαι τὰ δυνατά. καὶ κατὰ τὸ ἐπίλοιπον τοῦ τείχους ἠρέμα ἤδη διὰ πάντων ᾔει ἡ τοῦ νέου βασιλέως εὐφημία. ὃ δὴ βασιλεύς τε καὶ ὁ μέγας δομέστικος ἀκούοντες, οὐκέτι ἔφασαν δεῖν τῇ κλίμακι προσέχοντας ταλαιπωρεῖσθαι, ἀλλὰ τοῖς ἀναβᾶσι προσέταττόν σφισι τὰς πύλας ἀνοιγνύναι. καὶ ἐπεὶ ἀνεῴχθησαν, ἅμα τοῖς ἐπιλοίποις εἰσῄει καὶ ὁ βασιλεὺς, μετὰ μικρὸν δὲ καὶ ὁ πρωτοστράτωρ ἅμα σὺν παντὶ εἰσῆλθε τῷ στρατῷ. καὶ πρὸς τὰ βασίλεια ἐλθὼν ὁ νέος βασιλεὺς, τὸν βασιλέα καὶ πάππον προσεκύνησεν, ὥσπερ ἦν ἔθος αὐτῷ, καὶ καθεσθέντες μικρὸν, ὁ πρεσβύτερος βασιλεὺς ὥσπερ ἐπὶ τοῖς συμβᾶσι καταμεμφόμενος ἑαυτὸν, μεμνῆσθαι ἔλεγε καλῶς τῶν λόγων τῶν αὐτοῦ, αἰνιττόμενος ὡς τὰ λυσιτελῆ καὶ δέοντα συμβουλεύοντι οὐκ ἐπείθετο αὐτῷ. ἐξ ἀρχῆς μέντοι ἴσην καὶ ὁμοίαν τῷ διαβόλῳ εἶναι τὴν σπουδὴν περὶ τὸ βλάπτειν τοὺς ἀνθρώπους καὶ ἀεὶ κακῶς ποιεῖν ἐπιχειρεῖν. [20]

1 305 καὶ σφάλλεσθαι μὲν τὰ πλείω· ἔστι δὲ ἐν οἷς καὶ ἐπιτυγχάνειν ὥσπερ καὶ ἐπὶ τοῖς νυνὶ συμβεβηκόσι. καὶ ὁ νέος βασιλεὺς συνετίθετο οὕτως ἔχειν· παρὼν δ' αὐτοῖς διαλεγομένοις καὶ Μετοχίτης ὁ μέγας λογοθέτης, „ἀλλ' ἕως πότε“ ἔφησεν „ἔσονται τοιαῦτα; ἐὰν γὰρ μὴ αὐτοὶ ὁμονοήσητε, τῶν δεόντων γενήσεται οὐδέν.“ βασιλεὺς δὲ ὁ νέος ἀπεκρίνατο μὲν οὐδὲν, ἐθαύμαζε δὲ ὅ, τι ταῦτα βούλονται αὐτῷ, ὥσπερ ἂν εἰ μὴ παρῆν αὐτὸς τοῖς γινομένοις καὶ τὰ πραττόμενα σαφέστερον τῶν ἄλλων μᾶλλον ᾔδει. πρὸς μέντοι βασιλέα καὶ πάππον εἰς προσκύνησιν τῆς τοῦ θεοῦ μητρὸς τῆς Ὁδηγητρίας ἀπελθεῖν ἐπυνθάνετο εἰ κελεύοι. ἐπεὶ δὲ ἐπέτρεπεν, εἰς τὸ τῆς Ὁδηγητρίας τέμενος ἐλθὼν προσεκύνει τε καὶ τῶν εὐεργεσιῶν τῶν εἰς αὐτὸν πολλὰς εὐχαριστίας ἀπεδίδου. ἐκεῖθεν δὲ εἰς τὴν τῶν Μαγκάνων ἀφίκετο μονὴν, καὶ τά τε ἐν αὐτῇ τῶν τοῦ Χριστοῦ σωτηρίων παθῶν τεθησαυρισμένα σύμβολα προσκυνήσας, καὶ πατριάρχῃ τῷ Ἰσαΐᾳ δι' αὐτὸν ἐγκεκλεισμένῳ ὅσον τε ὁ καιρὸς ἐδίδου εὐχαριστήσας καὶ εἰς τὸ πατριαρχεῖον ἐφ' ἵππου βασιλικῶς κεκοσμημένου ἀγαγὼν, ἐπανῆκεν αὖθις εἰς τὰ βασίλεια καὶ ἐν τοῖς τοῦ Πορφυρογενήτου οἴκοις τῶν βασιλείων ηὐλίσατο ἐγγύς. ἡ μέντοι στρατιὰ, ἡ μὲν ἔνδον ἐσκήνωσε Βυζαντίου, ἡ πλείων δὲ, προστάξαντος βασιλέως, ἐν τοῖς παρὰ τὴν τῆς Καμήλου γέφυραν λειμῶσιν ἐστρατοπεδεύσατο ἐλθοῦσα. ἁρπαγὴ δὲ πραγμάτων ἐγένετο οὐδεμία, πλὴν εἰ μὴ τῆς μεγάλου λογοθέτου οἰκίας, καὶ τοῦτο παρὰ γνώμην βασιλέως. [25]

1 306 οὕτω μὲν ὁ πρὸς ἀλλήλους τῶν Ῥωμαίων βασιλέων πόλεμος συνέστη τὴν ἀρχὴν, καὶ τοσαύτας ἔσχε τὰς μεταβολὰς, καὶ τελευταῖον εἰς τοιαῦτα ἐξέβη· καὶ οὕτω συνεγράφησαν ὡς ἐγένοντο μετὰ ἀκριβείας ἁπάσης καὶ ἀληθείας, ὥσπερ ἐξ ἀρχῆς ἐπηγγειλάμεθα. ἐπολέμησαν δὲ ἐν ἑνὶ μηνὶ καὶ ἔτεσιν ἑπτὰ, ἀρξαμένων ἀπὸ τοῦ ἐννάτου καὶ εἰκοστοῦ ἔτους ἐπὶ τοῖς ὀκτακοσίοις καὶ ἑξακισχιλίοις ἐν τετάρτῃ Ἰνδικτιῶνι, ἐννεακαιδεκάτην ἄγοντος Ἀπριλλίου, ἄχρι τοῦ ἕκτου καὶ τριακοστοῦ ἔτους ἐπὶ τοῖς ω′ καὶ ˛ ς′ ἐν πρώτῃ ἐπὶ δέκα Ἰνδικτιῶνι Μαΐου ἐννάτῃ ἐπὶ δέκα. α′. [10]

1 310 Ἃ μὲν οὖν πολεμοῦσί τε ἀλλήλοις τοῖς βασιλεῦσι καὶ μεταξὺ διαλλαττομένοις ἐπράχθη μετ' ἀλλήλων, τοιαῦτά ἐστι· νῦν δὲ εἶναί μοι δοκεῖ λοιπὸν διηγητέον καὶ ἃ τῷ νέῳ Ἀνδρονίκῳ ἤδη τὴν πᾶσαν ἀρχὴν Ῥωμαίων ὑποποιησαμένῳ ἐπράχθη καθ' ἑαυτόν.

1 311 ἐς γὰρ τὴν ὑστεραίαν μετὰ τὴν τοῦ Βυζαντίου λῆψιν πρὶν ἄλλης τινὸς ἅψασθαι διοικήσεως πραγμάτων, ἐν ὁποίοις τισὶ χρὴ τὸν βασιλέα καὶ πάππον κατέστησε διάγειν. καὶ τὴν μὲν ἀρχὴν καὶ τὴν διοίκησιν τῶν πραγμάτων ἀπένειμεν ἑαυτῷ, τῶν ἄλλων δὲ οὐδὲν ὑφεῖλε βασιλέως. ἀλλὰ τούς τε Ῥωμαίους ὅσων ἦρχε προσέταξεν αὐτῷ ὡς βασιλεῖ προσέχειν καὶ τὴν ἴσην ἀποδιδόναι τιμὴν, καὶ ὁπότε βούλοιντο πρὸς αὐτὸν ὡς προσκυνήσοντες ἰέναι, κωλύεσθαι παρ' οὐδενός· καὶ παῖδας καὶ τοὺς ἄλλους συγγενεῖς βασιλέως εἰς τὰ βασίλεια εἰσιόντας αὐτῷ συνδιημερεύειν καὶ συνεῖναι καθόσον βούλοιντο· καὶ τὴν θεραπείαν πᾶσαν ἀκίνητον μένειν ὅση ἦν, καὶ ἐπ' αὐτῷ εἶναι ὅ, τι ἂν κελεύῃ ποιεῖν. καὶ ἀναλωμάτων ἕνεκα αὐτοῦ τε καὶ

οἰκετικοῦ ἀπό τε τῶν δημοσίων φόρων τὴν λεγομένην παρέσχετο τοπικὴν, φέρουσαν ἐπ᾽ ἐνιαυτὸν δισχιλίους ἐπὶ μυρίοις χρυσοῦς, καὶ ἕτερα χρήματα ἴσα ἐκ τοῦ βασιλικοῦ ἐκέλευσε χορηγεῖσθαι ταμιείου· καὶ ταῦτα εἶναι ἐπ᾽ ἐκείνῳ ᾗ ἂν ἐθέλοι χρῆσθαι. τῶν τε βασιλείων παρεχώρησεν αὐτῷ· αὐτὸς δὲ εἴποτε ἐπιδημοίη τῇ Κωνσταντίνου, ἕως ὁ πάππος περιῆν, ἐν τοῖς Δημητρίου τοῦ δεσπότου διέτριβεν οἴκοις. καὶ πρὸς βασιλέα ἐρχόμενος συχνῶς, ὠμίλει τε αὐτῷ γνησίως καὶ ἐβουλεύετο περὶ τῶν πραγμάτων καὶ οὐδὲν ἧττον ἢ πρότερον αἰδῶ καὶ τιμὴν παρεῖχε τὴν προσήκουσαν αὐτῷ. [20]

1 312 οἱ δ᾽ ἄλλοι Ῥωμαῖοι, καίτοι παρὰ τοῦ νέου βασιλέως οὐ πρὸς εἰρωνείαν, ἀλλ᾽ ἀληθῶς προστεταγμένον τὸ πάντα τὸν ἐθέλοντα πρὸς βασιλέα ἔρχεσθαι καὶ ἀκωλύτως προσκυνεῖν αὐτὸν, ὅμως οὐ προσῄεσαν, δεδοικότες μή τι διὰ ταῦτα ὑποπτευθῇ νεωτερίζειν. τὸν μέγαν δὲ λογοθέτην ἐκέλευσεν ὁ βασιλεὺς εἰς Διδυμότειχον ἐλθόντα, ἐν ἑνὶ τῶν αὐτόθι φροντιστηρίων διατρίβειν. καὶ ἦν ἄχρι τινός· ἔπειτα συγγνώμης καὶ αὐτὸς τυχὼν, εἰς Βυζάντιον ἐπανελθὼν διέτριβεν οἴκοι. τὴν Βυζαντίου δὲ ἀρχὴν τῷ πρωτοστράτορι παρέσχεν ὁ βασιλεύς. ἐπεὶ δὲ καθ᾽ ὃν ἐπολέμουν ἀλλήλοις χρόνον οἱ βασιλεῖς πολλὰ τῶν προσόντων τοῖς συνοῦσιν ἑκατέρῳ ὑπ᾽ ἀλλήλων διηρπάσθη, ἵνα μὴ διαφοραὶ γίγνοιντο μεταξὺ ἀμφοτέρων τῶν μερῶν τὰ οἰκεῖα ἐπανασώζειν πειρωμένων, προμηθούμενος ὁ βασιλεὺς περὶ μὲν τῶν κινουμένων ἐκέλευσε μηδένα ἐξεῖναι μηδενὶ ὀχλεῖν, ἀλλ᾽ ἐᾷν τοὺς ἔχοντας καρποῦσθαι· τὰ δ᾽ ἀκίνητα ἐπανασώζεσθαι τοῖς ἐξ ἀρχῆς κυρίοις. καὶ τούτου ἐπιμελητὴν τὸν πρωτοστράτορα τοῦ Βυζαντίου ἄρχοντα ἐκέλευσεν εἶναι. μετὰ τοῦτο ἀπῆλθεν εἰς πατριάρχην, ἅμα μὲν εὐχαριστήσων αὐτῷ καὶ οἰκείως καὶ φιλικῶς προσομιλήσων· (κατὰ γὰρ τὴν πρώτην συντυχίαν, τοῦ καιροῦ καὶ τῶν πραγμάτων οὐκ ἐώντων, ὅσον ἀφοσιώσασθαι μόνον ἐποιήσαντο τὴν ὁμιλίαν·) ἅμα δ᾽ ἵνα καὶ τοῖς ἀρχιερεῦσιν, οἳ αὐτοῦ ἐκβαλλομένου τοῦ πατριαρχείου καὶ εἰς δεσμωτήριον οἱονεὶ ἀπαγομένου, οὐ μόνον ἀντέστησαν οὐδὲν ὑπὲρ αὐτοῦ, ἀλλὰ καὶ συγκατειργάσαντο, τό γε εἰς αὐτοὺς ἦκον, τὴν κάθειρξιν ἐκείνου, δοῦναι συγγνώμην δεηθῇ αὐτοῦ. [20]

1 313 ἦν γὰρ κατ᾽ αὐτῶν πολὺς φερόμενος ὁ πατριάρχης καὶ δίκας ἀξιῶν λαβεῖν παρ᾽ ἐκείνων τῆς προδοσίας τῆς εἰς αὐτόν. καὶ δεηθεὶς αὐτοῦ πολλὰ περὶ αὐτῶν οὐκ ἠδυνήθη πεῖσαι συγγνώμην παρασχεῖν αὐτοῖς, τὰ ἔσχατα λέγων ἠδικῆσθαι ὑπ᾽ αὐτῶν, καὶ δεῖν αὐτοῖς δίκην λαχεῖν τῆς προδοσίας. ἐπεὶ δὲ ἐπανῆκεν εἰς βασίλεια ὁ βασιλεὺς, τὸν μητροπολίτην μετακαλεσάμενος Φερῶν καὶ χαρτοφύλακα τὸν Κουτάλην καὶ τὸν τῶν μοναστηρίων ἄρχοντα Κυβεριώτην, οἷα δι᾽ αὐτὸν δεσμωτήριον οἰκήσαντας ἐπὶ χρόνον τινὰ, τὰ τἆλλα ηὐχαρίστησε καὶ εὐεργεσίαις ἠμείψατο πολλαῖς, τὸν δὲ χαρτοφύλακα, ἐπεὶ μὴ ἠβούλετο ἀπὸ τῆς τοῦ χαρτοφύλακος ἀξίας εἰς ἑτέραν μείζονα μετενεχθῆναι, αὐτὴν ἑαυτῆς ἐποίησεν ἐντιμοτέραν, μέγαν χαρτοφύλακα προσαγορεύσας· καὶ ἀπ᾽ ἐκείνου εἰς δεῦρο τῷ χαρτοφύλακι διασώζεται τὸ μέγας. Μάρκον δὲ Καβαλλάριον τὸν τοῦ Βάρδα, ὃς ἦν ἀπὸ τῶν τειχῶν πρότερον πρὸς ὕβριν βασιλεῖ διειλεγμένος, ἐκέλευσεν ἀχθῆναι πρὸς αὐτὸν ὁ βασιλεύς. ὁ δὲ καὶ πρὶν ζητηθῆναι, οἷα ἐφθέγξατο εἰδὼς, ἅμα τῷ πυθέσθαι ἐντὸς εἶναι Βυζαντίου βασιλέα, ἐν ὑπονόμοις καὶ ἀδύτοις τισὶ κατέκρυψεν ἑαυτόν. πολλὴν δὲ τὴν περὶ τὴν αὐτοῦ ζήτησιν οἱ προστεταγμένοι εἰσενεγκόντες σπουδὴν, εὑρίσκουσί τε καὶ ἄγουσιν εἰς βασίλεια. φήμης δὲ διαδραμούσης, ὡς ὁ ὑβριστὴς ἐκεῖνος βασιλέως εἰς τὰ βασίλεια ἄγεται κολασθησόμενος, συνέδραμεν ἡ πόλις πανδημεὶ, ὁποίῳ τρόπῳ ὀψόμενοι ἀποθανεῖται. [25]

1 314 βασιλεὺς δὲ ἐκέλευσεν αὐτὸν ἀχθῆναι· καὶ ἐπειδὴ τῶν τοῦ οἴκου θυρῶν ἐγένετο εἴσω, εἰς βασιλέα ἰδὼν, τρόμῳ τε ἐλήφθη καὶ περιδινηθεὶς κατέπεσεν ἐπὶ τὴν γῆν. ἀναστήσαντες δὲ οἱ ἄγοντες, ἐγγὺς ἤγαγον βασιλέως δακρύων τε ὑπόπλεων καὶ πρὸς τὴν γῆν νενευκότα, καὶ μὴ δυνάμενον ὅλως εἰς βασιλέα ἰδεῖν, ἀλλ᾽ αὐτίκα προσδοκῶντα πείσεσθαι τὰ δεινότατα. σιωπὴ δὲ βαθεῖα κατέσχε τὸ πλῆθος πᾶν, καὶ πάντες ἦσαν μετέωροι πρὸς τὴν ἐπενεχθησομένην τῷ

Μάρκῳ καταδίκην. ὁρῶντες δὲ αὐτὸν οὕτως ἱστάμενον ὑπότρομον καὶ περιδεῆ, οἱ μὲν αὐτῶν καὶ ἀπὸ τῆς θέας μόνης περιαλγοῦντες, εἰς δάκρυα κατεφέροντο καὶ οἰμωγάς· ὅσοι δὲ καὶ συνετώτεροι τῶν πολλῶν ἦσαν, τῆς μελλούσης κρίσεως ἣν ἀκούομεν ἐλάμβανον ἀπὸ τῶν γινομένων εἰκόνα, καὶ ἀνεζωγράφουν ἐν ἑαυτοῖς τὴν ἄῤῥητον ἐκείνην τῶν ἁμαρτωλῶν αἰσχύνην ἐπὶ τοῦ φοβεροῦ καὶ ἀδεκάστου δικαστηρίου. εἰ γὰρ ἐπὶ θνητοῦ βασιλέως, ἔνθα καὶ αἱ τιμωρίαι ὀλιγοχρόνιοι, τοσαύτη τὸν κρινόμενον ἔκπληξις εἶχεν, ὥστ' ἤδη καὶ πρὸ τῆς ἀποφάσεως τῷ πλείστῳ μέρει ἀποτεθνηκέναι ὑπὸ δέους, ὅτι μηδεμίαν ἀπολογίαν εἶχεν ἐφ' οἷς κατηγορεῖτο ἐνεγκεῖν, τί οὐκ ἂν πάθωσι τότε οἱ πονηρὰ συνειδότες ἑαυτοῖς; καὶ βελτίους ἑαυτῶν ἐκ τοῦ παραδείγματος ἐγίνοντο καὶ πρὸς σωφρονέστερον μετερῥυθμίζοντο βίον. βασιλεὺς δὲ πρότερόν τε οὐκ ἐπὶ τῷ τιμωρήσασθαι τὸν Μάρκον ζητῶν, καὶ τότε πάντας ὁρῶν τῇ σκηνῇ ταύτῃ σωφρονισθέντας, μικρὸν ἐπισχὼν, „τί παθὼν, ὦ Καβαλλάριε" εἶπε „τοσαῦτα ὕβρικας καὶ πρὸς παρόντα; ἦν γὰρ ἄν τις πρὸς ἀπόντα γινομένων τῶν ὕβρεων συγγνώμη. [20]

1 315 " ὁ δὲ ὑπὸ τῆς τοῦ βασιλέως φωνῆς καταπλαγεὶς, εἰς γῆν τε κατέπεσεν εὐθὺς καὶ τῇ γῇ τὴν κεφαλὴν προσαράσσων, προσδόκιμος ἦν καὶ τὴν ψυχὴν ἀφεῖναι ὑπὸ δέους. πάλιν δὲ ὁ βασιλεὺς σιγήσας ἐφ' ἱκανὸν, τὸν Μάρκον ἐκέλευεν ἀναστῆναι. ὁ δὲ εἴτε καὶ τῶν λεγομένων οὐκ αἰσθανόμενος, εἴτε καὶ μὴ δυνάμενος ἀναστῆναι ὑπὸ τοῦ δέους ἐκλυθεὶς, τῇ γῇ προσεκυλινδεῖτο, μήθ' ὁρῶν μήτε φθεγγόμενος μηδέν. βασιλεὺς δ' ἐσήμαινε τῇ χειρὶ τοὺς κατέχοντας ἀνιστᾷν· ἐπειδὴ δὲ ἀνέστη, ἐπανέρχεσθαί τε ἐκέλευεν εἰς ἑαυτὸν καὶ προσέχειν τοῖς λεγομένοις. εἶπέ τε πρὸς αὐτὸν ὁ βασιλεύς· „τὸ μὲν δεδοικέναι καὶ τρέμειν καὶ τὰ δεινότατα πείσεσθαι προσδοκᾷν, δίκαιόν τε ὁμοῦ καὶ σοὶ προσῆκον· ἄξια γὰρ ἐφθέγξω πολλῶν τιμωριῶν. ἐγὼ δὲ ἐμαυτῷ πολλὰ συνειδὼς πρὸς τὸν ἁπάντων κύριον καὶ βασιλέα ἡμαρτημένα, καὶ δεόμενος συγγνώμης ὥσπερ καὶ σὺ νῦν, μᾶλλον δὲ καὶ πλείονος πολλῷ, ὅσῳ καὶ τὰ ἡμαρτημένα χείρω, καὶ οὐ πρὸς σύνδουλον ὥσπερ σὺ, ἀλλ' εἰς τὸν ἐκ μὴ ὄντων παραγαγόντα προσκεκρουκὼς καὶ δεόμενος καὶ αὐτὸς ἐλέου, ἀφίημί τε τὰ ἡμαρτημένα σοι καὶ συγγνώμην παρέχω. δυοῖν δὲ ἕνεκα τὸ σέ τε εὑρεῖν καὶ ἐνθάδε ἀγαγεῖν ἐποιησάμην περὶ πλείστου· ἑνὸς μὲν, ἵν' ἐκ τῶν γινομένων οἱ πολλοὶ σωφρονισθῶσι, μὴ ἀκρατεῖς εἶναι περὶ τὴν γλῶτταν μηδὲ ῥᾳδίως ἐκφέρεσθαι πρὸς ὕβρεις, καὶ ταῦτα, πρὸς ὑπερέχοντας καὶ τιμῆς ἀξίους γινομένας, καὶ τὸ κρεῖσσον ἀπὸ ὕψους ἢ ἀπὸ γλώσσης πεσεῖν, ὑπὸ τῶν σοφῶν τινος καλῶς εἰρημένον, ἔργῳ διδαχθῶσιν, ὁρῶντες εἰς οἷον βάραθρον ἐξ ἀκρασίας περιπέπτωκας αὐτός· δεύτερον δὲ, τοῦ σὲ διὰ βίου φόβων καὶ κινδύνων ἀπαλλαγῆναι. [5]

1 316 εἰ γὰρ μὴ νῦν ἐνθάδε ἀχθεὶς ἐτύγχανες συγγνώμης, κατ' οὐδὲν ἀνεκτότερον ἂν ἔζης τοῦ Κάϊν βίον, στένων καὶ τρέμων ἐπὶ τῆς γῆς καὶ παρὰ παντὸς τοῦ προστυχόντος οἰόμενος αὐτίκα ἀπολεῖσθαι. νυνὶ δὲ συγγνώμης τυχὼν, ἡδέως βιώσεις καὶ ἀδεῶς, οὐδενὸς ἔτι δυναμένου τῶν εἰς ἐμὲ ἡμαρτημένων εὐθύνας ἀπαιτεῖν." Τοιαῦτα μὲν ὁ βασιλεὺς πρὸς Μάρκον εἶπεν. οἱ παρόντες δὲ ἀλλόκοτον μέν τινα ὄψεσθαι ἰδέαν θανάτου προσδοκῶντες, ἔπειτα ἐξαίφνης παρὰ δόξαν τὸν εἰς τὸν Μάρκον τοῦ βασιλέως ἔλεον καὶ τὴν σώζουσαν ψῆφον ἰδόντες ἐξενηνεγμένην, ἐθαύμαζόν τε τῆς συμπαθείας τὸν βασιλέα καὶ τῷ Μάρκῳ συνέχαιρον τῆς σωτηρίας, καὶ οἰκείαν ἕκαστος οἰόμενοι τὴν εὐεργεσίαν, σοὶ προσήκειν ἔλεγον, βασιλεῦ, πατέρα τὸν θεὸν ἐπικαλεῖσθαι καὶ μετὰ παῤῥησίας τῶν ἡμαρτημένων τὴν συγγνώμην αἰτεῖν, ὡς ἀφιέντι τῷ προσκεκρουκότι τὰ ὀφειλόμενα. τούτων καί τινων ἑτέρων τοιούτων ὑπὸ τοῦ πλήθους εἰρημένων, σὺν ἐκπλήξει καὶ χαρᾷ ὁ σύλλογος διελύθη. β'. Βασιλεὺς δὲ τὸ καὶ τοὺς τῷ πατριάρχῃ προσκεκρουκότας ἀρχιερέας μὴ τυχεῖν συγγνώμης ἡγούμενος οὐκ ἀνεκτὸν, τὸν μέγαν δομέστικον ἔπεμψε πρὸς τὸν πατριάρχην διαλεξόμενον μὲν αὐτῷ καὶ ὡς ἐξ αὐτοῦ ὑπὲρ τῆς πρὸς τοὺς ἀρχιερέας διαλλαγῆς, καὶ ἀφ' ἑαυτοῦ δὲ καθ' ὅσον ἂν οἷόν τε ᾖ ἐπιμελησόμενον τῆς εἰρήνης. [20]

1 317 ὃς πρὸς πατριάρχην ἐλθὼν καὶ πολλὰ πολλάκις ὑπὲρ τῶν ἀρχιερέων δεηθεὶς, ἐπεὶ ἤνυε μηδὲν, ἀλλ᾽ ἀπαραιτήτως ὁ πατριάρχης εἶχετο τῆς ὀργῆς καὶ οὐδ᾽ ἂν εἴ τι γένοιτο συγγνώμην ἔλεγε παρασχεῖν, εἰ μὴ δίκην δοῖεν πρότερον τῶν τετολμημένων· καὶ οὐδὲ ἀδικεῖν ἔλεγεν εἰ ἐπὶ δίκην προκαλεῖται· ὑπολαβὼν ὁ μέγας δομέστικος, „ἀλλ᾽ οὐκ ἂν εἴη σοί τε κἀκείνοις ἐξ ἴσου τὰ τῆς δίκης“ ἔφη „εἰ σὺ μὲν καθεδῇ δικάζων τε ἅμα καὶ ἐγκαλῶν, αὐτοὶ δὲ τῷ αὐτῷ διαιτητῇ τε ἅμα ἀναγκάζοιντο χρῆσθαι καὶ κατηγόρῳ. εἰ δὲ μὴ παρόψεσθαι τὸ δίκαιον αὐτῶν, μήτε μὴν ὀργῇ μᾶλλον ἢ αὐτῇ τῇ δυνάμει τοῦ δικαίου τὰ πράγματα δικάσειν ἐπαγγέλλῃ, ἀπαντήσουσιν ἐπὶ τὸ δικαστήριον ἡμέρᾳ τακτῇ.“ ὁ πατριάρχης δὲ „τὸ μὲν ἐμοὶ τὴν δίκην προσήκειν τῶν τοιούτων καὶ τοῖς λοιποῖς ἀδελφοῖς τοῖς ἀρχιερεῦσιν, οὐκ ἂν οὐδ᾽ αὐτὸσ“ εἶπεν „ἀρνηθείης. ὅτι δὲ αὐτὸς ὡς ἠδικημένος εἰς δικαστήριον ἕλκω νῦν, οὐ δικαστὴς, ἀλλὰ κρινόμενος καθεδοῦμαι, τῶν ἄλλων δικαζόντων ἀρχιερέων. εἰ δ᾽ ἄρα δικάζοιμι καὶ αὐτὸς, μή ποτε τοσοῦτον μανείην, μηδ᾽ ἀτοπίας εἰς τοσοῦτον ἐξελάσαιμι, ὥστε ὀργῇ δικάζειν καὶ μὴ τοῖς ὀρθοῖς περὶ τῶν πραγμάτων λογισμοῖς, καὶ μάλιστα νυνὶ, ὅτ᾽ οὐχ ὑπὲρ ἑτέρου, (ἦν γὰρ ἄν τις συγγνώμη,) ἀλλ᾽ ὅτε περὶ ἐμαυτοῦ τὴν ψῆφον ἐξάγειν μέλλω.“ καὶ τάξαντες ἡμέραν ἐν ᾗ παρέσονται πάντες οἱ ἀρχιερεῖς, ὡς τῆς δίκης ἐσομένης, ὁ μέγας μὲν δομέστικος τῷ πατριάρχῃ συνταξάμενος, οἴκαδε ἀπεχώρει· ὁ πατριάρχης δὲ πρὸς τοὺς παρόντας ἀγνοεῖν ἔφη ὅ,τι τῷ μεγάλῳ δομεστίκῳ τὴν πρὸς τὴν δίκην ἐπαγγελίαν νοεῖν, ἢ τίνι θαῤῥοῦντα πρὸς τὴν δίκην ἀπαντήσεσθαι τοὺς ἀρχιερέας φάναι, οὕτως αὐτοκατακρίτους ὄντας, εἰ μή τι καινότερον ἐπινενόηται αὐτῷ. [5]

1 318 οἱ παρόντες δὲ, οἱ μὲν οὐδ᾽ αὐτοὶ ἔφασαν τί δύνασθαι συνεῖναι, οἱ δὲ ὑπώπτευον, μὴ οὐκ ἀληθῆ τὴν περὶ τῶν πραγμάτων ἔσχεν ἀπαγγελίαν, ἀλλ᾽ ὑπὸ πολλῶν καὶ συνεχῶν περιῤῥεόμενος φροντίδων, οὐκ ἀκριβῆ τὴν ἐξέτασιν ἐποιήσατο τῶν ἀκουσθέντων. οὐ γάρ ἐστιν εἰκὸς πυθόμενον περὶ αὐτῶν, ὡς ἐπ᾽ οὐδεμιᾷ προφάσει, ἀλλὰ μόνῃ τῇ προστάξει πειθόμενοι βασιλέως, αὐτόν τε ἐξήλασαν ἐλθόντες τῆς ποίμνης δι᾽ ἑαυτῶν παρὰ πάντα τὸν τοῦ δικαίου λόγον καὶ κατέκλεισαν ἐν φρουρᾷ ὥσπερ τινὰ τῶν ἐπὶ δεινοτάτοις ἑαλωκότων, αὐτοί τε ὑφ᾽ ἑαυτοῖς ἐποιήσαντο τὴν ἐκκλησίαν καὶ τὰ μέγιστα ἀδικοῦντες καὶ πλεονεκτοῦντες ἐδίδασκον τὸν λαὸν περὶ ἀρετῆς, μὴ δὲ ἐρυθριῶντες, ἀλλὰ καὶ σεμνυνόμενοι τῇ ἁρπαγῇ, ἐπαγγέλλεσθαι αὐτοὺς ἀπαντήσειν εἰς τὴν δίκην· αὐτὸς γὰρ ἂν αὐτῶν ἁπάσαις πρότερον κατέγνω. ὁ πατριάρχης δὲ νοῦν μὲν αὐτοὺς ἔφη λόγον ἔχοντα εἰρηκέναι, αὐτὸν δὲ μὴ πείθεσθαι οὕτως εἶναι, ἀλλά τι τὸν μέγαν δομέστικον ἐπινενοηκέναι, βαθείαις, καθάπερ ἴσμεν, κεχρημένον ταῖς φρεσὶν, ὃ νῦν ἡμᾶς μὴ δύνασθαι νοεῖν. [20]

1 319 ἐπεὶ δὲ ἐπηγγειλάμεθα τοὺς ἀρχιερέας πάντας εἰς τὴν τεταγμένην ἡμέραν συνελθεῖν, ὃ ἐπηγγειλάμεθα καὶ ἔργοις ἀναγκαῖον ἐκπληροῦν. Τῆς προθεσμίας δὲ ἐλθούσης, ἐν ᾗ τῶν ἀρχιερέων τὴν σύνοδον ἔδει εἶναι, οἱ μὲν ἐν πατριαρχείῳ παρῆσαν πάντες, ὁ μέγας δὲ δομέστικος τοὺς ὑπευθύνους τῶν ἀρχιερέων παραλαβὼν καὶ παραγγείλας αὐτοῖς σιωπᾷν καὶ φθέγγεσθαι μηδὲν, ὡς ὑπὲρ αὐτῶν αὐτοῦ τοὺς λόγους ποιησομένου, ἦλθε σὺν αὐτοῖς ὡς ὑπὲρ ὧν ἐνεκαλοῦντο ἀπολογησομένοις. πάντων δὲ γενομένων ἐν ταὐτῷ, τοὺς ἐγκαλουμένους ἀρχιερέας ὁ πατριάρχης ᾐτιᾶτο ὑπὲρ τοῦ τῶν θρόνων ἀπελασθῆναι ὑπ᾽ αὐτῶν, ἀδικήσαντα μηδὲν, καὶ προσέτι γε εἰρχθῆναι. οἱ μὲν οὖν ἐγκαλούμενοι ἀπεκρίναντο οὐδέν· σιωπῆς δὲ βαθείας γενομένης ἐπιπολὺ, ὁ μέγας δομέστικος εἶπεν· „ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τοῖς εὐαγγελίοις εἶπεν· „ἐὰν μὴ ἡ δικαιοσύνη ὑμῶν περισσεύσῃ πλέον τῶν γραμματέων καὶ Φαρισαίων, οὐ δύνασθε εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.“ τὸ δὲ „πλέον τῶν γραμματέων καὶ Φαρισαίων,“ ὡς ὑμῶν ἀκούω διδασκόντων ἐγὼ, οὐδὲν ἄλλο εἶναι ἢ τὸ μὴ μόνον τὸν ἀδικοῦντα μὴ ἀμύνεσθαι ἐκ τοῦ ἴσου, ἀλλὰ καὶ εὖ ποιεῖν καθ᾽ ὅσον ἂν οἷόν τε ᾖ. διὸ καὶ τοὺς σωτηρίους νόμους τιθεὶς, τὸν ἑλκόμενον εἰς δικαστήριον ὑπὲρ τοῦ τὸν χιτῶνα ἀφαιρεθῆναι καὶ τὸ ἱμάτιον προσέταξε προσαποδύσασθαι, καὶ τὸν πατάξαντα ἐπὶ κόῤῥης μὴ

μόνον εὐθύνας οὐκ ἀπαιτεῖν, ἀλλὰ καὶ τὴν ἑτέραν ἐμπαρέχειν, καὶ ἄλλα ὅσα τῆς αὐτῆς ἐξέχεται διανοίας. [20]

1 320 παραθήγων δὲ ἡμᾶς εἰς τὴν ἐργασίαν τῶν σωτηρίων νόμων, ποτὲ μὲν εἶπε· „μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου“ καὶ „εἰσελθὼν εἰς τὸ ταμιεῖόν σου, πρόσευξαι τῷ πατρί σου τῷ ἐν οὐρανῷ“ καὶ προσέτι „κλείσας τὴν θύραν,“ ποτὲ δὲ ὅτι „λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα.“ καίτοι γε τῷ δοκεῖν τὰ τοιαῦτα παραγγέλματα ἀντίκεινται ἀλλήλοις, ἐμοὶ δὲ δοκεῖν, τοῖς μὲν ἀτελέσιν ἡμῖν καὶ δυναμένοις ἐκ τῆς ἐπιδείξεως τῶν καμάτων τὰ ἔπαθλα ἀποστερεῖσθαι, τὸ ἐπικρύπτεσθαι αὐτὰ εἰρῆσθαι παντὶ σθένει· τοῖς διδασκάλοις δὲ ὑμῖν καὶ κοινὸν παράδειγμα ὀρθοῦ καὶ σώφρονος βίου προκειμένοις, τὸ λάμπειν ὑμῶν τὰ καλὰ ἔργα, ὅπως οἱ πολλοὶ ὁρῶντες, τὸν πατέρα ἡμῶν δοξάζωσι τὸν ἐν τοῖς οὐρανοῖς. ἐὰν τοίνυν ὑμεῖς, οἱ φῶς ἡμῶν τῶν μαθητευομένων καὶ ταῖς ἀπάταις τοῦ βίου καὶ μερίμναις καὶ ἡδοναῖς προσισχομένων δίκαιοι ὄντες εἶναι, δεινοὶ καὶ ἀπαραίτητοι καὶ μηδεμίαν παρέχοντες συγγνώμην τοῖς ἀδικήσασι καὶ κακῶς ὑμᾶς διαθεῖσι φανῆτε, οὐ θηρίων ἀνημέρων ἀγριωτέρους ἡμᾶς καὶ ὠμοτέρους παρασκευάσετε γενέσθαι; καὶ συμβήσεται ὑμῖν, ὥσπερ τοῦ καλοῦ παράδειγμα γινομένοις ὑπὲρ τῆς πάντων ὠφελείας παρὰ τοῦ φιλανθρώπου καὶ δικαίου βραβευτοῦ στεφάνων ἀξιοῦσθαι καὶ γερῶν, οὕτω νῦν ὄφλειν οὐ τὰς τυχούσας δίκας ὑπὲρ τοῦ πᾶσι βλάβης ἀφορμὴν παρεσχηκέναι. ἐγὼ δὲ παράδειγμα φιλανθρωπίας καὶ ἀπὸ τῶν τῷ βίῳ προσηλωμένων ἡμῶν παρέξομαι ὑμῖν οὔπω χθὲς καὶ πρώην γεγενημένον. [20]

1 321 ὁρᾶτε γὰρ τὸν βασιλέα, τοσοῦτο μὲν ἀρχῆς μέγεθος περιβεβλημένον, οὕτω δ’ ἐν αὐτῷ τῷ τῆς νεότητος ἄνθει, ὅτε μάλιστ’ ἄν τις, καὶ πολλὴν ποιούμενος ὀρθοῦ βίου φροντίδα, ῥᾷστα καὶ ὑπὸ ἡδονῶν κρατοῖτο καὶ πρὸς ἀμετρίαν ἐξάγοιτο θυμοῦ, πρὸς τὸν ὑβριστὴν καὶ τὰ δεινότατα τετολμηκότα Μάρκον ὁποίᾳ, μηδενὸς ἂν προσδοκήσαντος, ἡμερότητι ἐχρήσατο καὶ φιλανθρωπίᾳ. εἰ οὖν ἐκεῖνος νέος ὢν, ὥσπερ ἔφημεν, καὶ βασιλεὺς καὶ τοῖς τοῦ βίου πράγμασι προσέχων, οὕτω συνέγνω τῷ πταίσαντι ῥᾳδίως, οὐ καὶ σὺ διδάσκαλός τε ὢν κοινὸς καὶ οἱονεὶ παράδειγμα προκείμενος ἐναρέτου βίου, τοῖς ὑπὸ ῥᾳθυμίας προσκεκρουκόσι συγγνώμην παρέξεις ἀδελφοῖς; ἀλλ’ οὕτω διακαρτερήσεις ἀπαραιτήτως τῶν ἡμαρτημένων δίκας ἀπαιτῶν, μήτε πρὸς τὰς ἡμετέρας καμπτόμενος δεήσεις, μήτε οἶκτον μηδένα λαμβάνων ἀτυχούντων αὐτῶν καὶ τῆς παροινίας ἤδη δεδωκότων ἀξίας δίκας, ἐπὶ τοσοῦτον χρόνον εἰς δικαστήρια ἑλκομένων καὶ παρὰ πάντων περιορωμένων καὶ τὰ ἔσχατα πείσεσθαι προσδοκούντων; μὴ, παρακαλῶ. ἀναμνήσω δέ σε καί τινος ἐπαγγελίας ἧς ἐπηγγείλω πρὸς ἐμέ. καὶ γὰρ ὅτε πρῶτον πρὸς σὲ ἀφῖγμαι ὑπὲρ τουτωνὶ δεόμενος τῶν ἀρχιερέων, ἐπεὶ πολὺς αὐτὸς ἐνέκεισο ἐπὶ δίκην καλῶν, ἀλλ’ ὅρα, ἔφην, μὴ σὺ, καὶ δικαστὴς καὶ κατήγορος ὢν, τὸ τῶν δικαζομένων δικαίωμα παρίδῃς. τότε μὲν οὖν μὴ παρόψεσθαι ἐπηγγείλω· νῦν δ’ ἤδη καιρὸς καὶ ἐπὶ τῶν ἔργων τὴν ἐπαγγελίαν ἐκπληροῦν. [20]

1 322 τὸ γὰρ δικαίωμα αὐτῶν ἀφῖγμαι ἔχων ἐγώ.“ καὶ ἀναστὰς εὐθὺς, ἐπεὶ ὅ, τε πατριάρχης καὶ οἱ λοιποὶ συνανέστησαν πάντες, τοὺς ἐγκαλουμένους παραλαβὼν ἀρχιερέας, ἅμα δὲ καὶ τοῖς ἄλλοις παρακελευσάμενος τὰ ἴσα δρᾷν καὶ τῆς δεήσεως συνεφάπτεσθαι αὐτοῖς, πρὸς τοὺς πόδας ὁμοῦ πάντες τοῦ πατριάρχου κατακλιθέντες, „συγχώρησον ἡμῖν τοῖς ἐπταικόσιν“ ἔλεγον „πάτερ, ἄφες, ἵνα καὶ σοὶ παρὰ τοῦ πατρὸς τοῦ ἐν οὐρανοῖς τὰ ὀφειλήματα ἀφεθῇ.“ οἱ μὲν οὖν τοιαῦτα ἐποίουν· ὁ πατριάρχης δὲ „ἀφύκτοισ“ ἔφη „λίνοις ὑπὸ σοῦ, μέγα δομέστικε, περισχεθεὶς, ἐπεὶ μηδὲν ἔξεστιν ἔτι δρᾷν ἢ ὅπερ αὐτὸς ποιῇ διὰ σπουδῆς, τὸ ἀντιλέγειν ἀφεὶς, ὅπερ ἐθέλεις αὐτὸς ποιήσω.“ καὶ αὐτίκα συγγνώμην τε ἐδίδου καὶ τῆς αἰτίας ἠφίει τοὺς λελυπηκότας, καὶ παρὰ τοῦ θεοῦ συγχώρησιν αὐτοῖς τῶν ἡμαρτημένων ἐξῃτεῖτο, καὶ τῷ μεγάλῳ δομεστίκῳ πολλὰ ἐπηύχετο ἀγαθὰ τῶν λόγων ἕνεκα, ὧν διεξῆλθε πρὸς αὐτούς.

ἠσπάζετό τε τοὺς λελυπηκότας ἀρχιερέας καθ’ ἕνα καὶ εὐλογίας ἠξίου, δεῖγμα καθαρᾶς διαλλαγῆς. μετὰ δὲ τοῦτο πατριάρχης μὲν διέλυσε τὸν σύλλογον, βραχέα τινὰ διαλεχθείς· οἱ αἰτιαθέντες δὲ ἀρχιερεῖς εἰς βασιλέα ἐλθόντες, πολλὰς ὡμολόγουν χάριτας αὐτῷ τῆς ὑπὲρ αὐτῶν ἐπιμελείας καὶ σπουδῆς καὶ ἐπηύχοντο πολλὰ ἀγαθά. βασιλεῖ δὲ ἰδίᾳ τοῖς τε ἐν τέλει καὶ τοῖς στρατιώταις καὶ τοῖς ἄλλοις ἐπιτηδείοις πολλὰς παρεχομένῳ τὰς εὐεργεσίας, οὐκ ἐδόκει δεῖν μὴ καὶ δημοσίᾳ τῷ δήμῳ καὶ πάσῃ τῇ πόλει χάριν καταθέσθαι τινὰ, καὶ τάς τε βιαιοτέρας ἐκώλυσε συνεισφοράς, καὶ ὅσοι ἀμπέλους ἢ οἰκήματα ἐν δημοσίοις χωρίοις εἶχον, ἐφ’ οἷς συνετέλουν πρόσοδόν τινα τακτὴν εἰς τὸ κοινὸν, τούτους ἐκέλευσε μηδὲν παρέχειν, ἀλλ’ ἄνευ φόρων καρποῦσθαι, καὶ χρυσόβουλλον δικαίωμα ἐπὶ τῇ εὐεργεσίᾳ παρασχών. [5]

1 323 γ′. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους καὶ ὁ τῶν Μυσῶν βασιλεὺς Μιχαὴλ πανστρατιᾷ ἐσέβαλεν εἰς τὴν Ῥωμαίων, ἄγων καὶ Σκύθας συμμάχους, καὶ τὰς ἄνω τῆς Θρᾴκης ἐδῄωσε πόλεις ἐφ’ ἡμέραις ἱκαναῖς. ἐπεὶ δὲ ἐπύθετο ὁ βασιλεὺς τὴν εἰσβολὴν, ὅσην ἐξῆν ἀθροίσας στρατιὰν, ἦλθεν εἰς Βιζύην κατὰ τάχος, κἀκεῖ παρεσκευάζετο πρὸς μάχην. Μιχαὴλ δὲ ἐπεὶ πρὸς τῶν σφετέρων μάθοι κατασκόπων ἐν Βιζύῃ παρασκευάζεσθαι τὸν βασιλέα, (ἔτι γὰρ ἐν τῇ Ῥωμαίων καθήμενος ἐδῄου,) δείσας μὴ ἐπελθόντα οὐχ οἷός τε ἀμύνεσθαι ἦν, ἔγνω δεῖν ἐξαπατῆσαι. καὶ πέμψας πρεσβευτὴν, ἀκηκοέναι ἔφασκεν εἰς Βιζύην ἀφιγμένον, στοχάζεσθαί γε μὴν ἐκ τῶν εἰκότων μάχεσθαί οἱ ὡρμημένον ἐπιέναι. οὐ δεῖν οὖν κατατρίβειν τὴν στρατιὰν μακρὰν ἀνύοντα ὁδόν. αὐτὸν γὰρ ἐς τὴν ὑστεραίαν ἅμα ἕῳ ἀφίξεσθαι ἐς Βιζύην ὡς ἐς μάχην. ὁ μὲν οὖν πρεσβευτὴς τοιαῦτα εἰπὼν ἀπῆλθε. Μιχαὴλ δὲ ἄρας τῷ στρατῷ, τῆς τε ἡμέρας τὸ λοιπὸν καὶ τὴν ἐπιοῦσαν νύκτα βαδίσας συντόνως, ἐς τὴν ὑστεραίαν ἐν ὁρίοις τῆς ἰδίας ἡγεμονίας ἦν. βασιλεὺς δὲ ἅμα πρωῒ τήν τε στρατιὰν κελεύσας ἐν τοῖς ὅπλοις εἶναι καὶ τὴν ἔφοδον τῶν βαρβάρων περιμένειν, ἐξηρτύετο καὶ αὐτὸς τὰ πρὸς τὴν μάχην. [20]

1 324 καὶ στρατιώτας ἔπεμψέ τινας ὡς τὸ στρατόπεδον τῶν πολεμίων κατασκεψομένους. περὶ μεσημβρίαν δὲ οἱ κατάσκοποι ἦκον στρατιῶται, ἄγοντες καὶ Μυσοὺς δοριαλώτους ἕξ· οἳ ἀνερευνώμενοι, τὸν βασιλέα ἔφασαν σφῶν τῇ προτεραίᾳ ἅραντα τῇ στρατιᾷ οἴχεσθαι εἰς τὴν οἰκείαν, αὐτοὺς δὲ ἁρπαγῆς ἕνεκα περιλειφθέντας, ὑπὸ τῶν στρατιωτῶν ἁλῶναι. οὕτω μὲν Μιχαὴλ κατεστρατήγησε βασιλέα. οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις καὶ αὐτὸς εἰσέβαλεν εἰς τὴν Μυσίαν, καὶ τἄλλα τε ἐκάκωσεν αὐτὴν καὶ Διάμπολιν εἷλεν ἐξ ἐφόδου· καὶ πορθήσας αὐτὴν, ἐπανέζευξεν εἰς τὴν οἰκείαν. ὁ Μιχαὴλ δὲ μετὰ ἑξηκοστὴν ἡμέραν τῆς βασιλέως εἰσβολῆς πάλιν καὶ αὐτὸς εἰσέβαλεν εἰς τὴν Ῥωμαίων. καὶ γενόμενος ἐν Ὀδρυσοῖς, τὸ Βουκέλου προσαγορευόμενον πόλισμα εἶλε προδοσίᾳ, τῶν φυλάκων νυκτὸς καταπροδόντων· καὶ ἐστρατοπέδευσεν ἐν αὐτῷ ἀδικήσας μηδέν. βασιλεὺς δὲ Διδυμοτείχῳ ἐνδιατρίβων, ἐπεὶ ἐπύθετο τὴν εἰσβολὴν, εἰς Ἀδριανούπολιν ἦλθε κατὰ τάχος, κἀκεῖ συνήθροιζε τὴν στρατιὰν ὡς μαχούμενος Μυσοῖς. καὶ ὁ Μιχαὴλ ἐν Βουκέλου ἐστρατοπεδευμένος, παρεσκευάζετο καὶ αὐτὸς, ἐκ τῆς οἰκείας στρατιὰν μεταπεμπόμενος. καὶ ὕστερον ἡμέραις ὀλίγαις τὸ Προβάτου καὶ αὐτὸ πόλισμα ἐγγὺς ὂν περιστρατοπεδευσάμενος ἐπολιόρκει. οὕτω μὲν οὖν ἀλλήλοις ἀντεστρατοπεδεύοντο ἐπὶ τριάκοντα ἡμέραις ἐξαρτυόμενοι τὰ πρὸς τὴν μάχην. ἐπεὶ δὲ ἤδη πάντα ἐπεπόριστο καὶ ἔδει ἐπιέναι, πρεσβείαν πέμψας ὁ βασιλεὺς πρὸς Μιχαὴλ, οἴεσθαι ἔλεγεν ἐπιλελῆσθαι αὐτὸν τῶν τε ὅρκων καὶ τῶν συνθηκῶν, οἳ ἐγένοντο αὐτοῖς συγγενομένοις ἐν Τζερνομιάνου, καὶ διὰ τοῦτο τῇ τε Ῥωμαίων πρῶτον ἐσβεβληκέναι καὶ τὸν πόλεμον κεκινηκέναι, αὐτὸν δὲ μεμνῆσθαί τε τῶν συνθηκῶν καὶ ἐμμένειν ταῖς σπονδαῖς. [25]

1 325 ἀδικούμενον δὲ καὶ προεπιβουλευόμενον ἀμύνεσθαι, καὶ ἄκοντα ἐς τὸν πόλεμον καθίστασθαι, τοῦτο μὲν, ὅτι καὶ ἡ ἑκατέρωθεν στρατιὰ τῆς αὐτῆς εἰσι θρησκείας, οὓς οὐ πρὸς ἀλλήλους, ἀλλὰ μετ’ ἀλλήλων ἔδει τοῖς ἀσεβοῦσι περὶ τὸν θεὸν βαρβάροις ἐπιέναι· τοῦτο δ’, ὅτι καὶ αὐτὸν ἀδελφῆς ὄντα σύνοικον τῆς ἑαυτοῦ οὐ βούλοιτο πολέμιον, ἀλλὰ φίλον ἔχειν. πλὴν ἐὰν τὸ

πόλισμα ἀποδῷ, ὃ λαβὼν ἔχει προδοσίᾳ· ἐὰν δὲ μὴ ἀποδιδῷ, τὸν σταυρὸν, ὃν πρότερον πέπομφε πρὸς αὐτὸν, ἐπὶ τῆς σημαίας ἀναθεὶς, ἐλεύσεται ἐπ' αὐτόν. ὁ Μιχαὴλ δὲ καὶ αὐτὸς ἀντεπρεσβεύετο πρὸς βασιλέα, τὸν ἴσον τρόπον αὐτόν τε εἶναι τοῦ σφετέρου παῖδα πατρὸς καὶ τὴν αὐτοῦ ἀδελφήν. προσήκειν οὖν αὐτὸν τὴν πατρῴαν ἔχοντα πᾶσαν ἀρχὴν, καὶ τὴν ἀδελφὴν κατὰ τὸν τοῦ δικαίου λόγον μέρους τινὸς τῶν πατρῴων κληρονομεῖν. ὁ βασιλεὺς δὲ καὶ πάνυ βούλεσθαι τοῦτο ἔφη, καὶ μὴ μόνον τὸ Βουκέλου πόλισμα, ἀλλὰ καὶ πόλεις ἑτέρας ὡς τοῦ πατρῴου κλήρου καὶ αὐτῷ συμμετέχοντι παρασχεῖν· πλὴν κατὰ τὸν ἄνωθεν ἐπικρατήσαντα Ῥωμαίοις νόμον. οὗτος δέ ἐστι, τὸ τῶν παίδων βασιλέως τὸν μὲν προήκοντα τῷ χρόνῳ βασιλέα τε ἀναγορεύεσθαι καὶ τῶν ἄλλων ἄρχειν, τοὺς δ' ἄλλους ἀδελφοὺς ὑπείκειν τε τῷ πρώτῳ καὶ δουλεύειν ἀκριβῶς. εἰ οὖν ἀρεστὸν αὐτῷ κατὰ τὸν ἐπικρατήσαντα τουτονὶ Ῥωμαίων νόμον, δούλῳ καὶ εἶναι καὶ ὀνομάζεσθαι βασιλέως, καὶ αὐτὸς ἕτοιμος εἶναι ὡς ὑπὸ τὴν οἰκείαν ἀρχὴν τελοῦντι καὶ πόλεις καὶ χώρας παρασχεῖν. [20]

1 326 Μιχαὴλ δὲ ἐπεὶ ἐγγὺς ἐστρατοπεδεύετο καὶ αὐτὸς, δι' ὀλίγου τὰς ἀποκρίσεις ποιούμενος, οὐκ ἔφη προσήκειν καὶ αὐτῷ βασιλεῖ ὄντι, ὑφ' ἕτερον βασιλέα τελεῖν· ἀλλ' εἰ βούλοιτο τὸ Βουκέλου πόλισμα ἀπολαβεῖν, τὴν Σωζόπολιν κατὰ τὸν Εὔξεινον Πόντον πολυάνθρωπον οὖσαν καὶ μεγάλην πόλιν ἀντ' ἐκείνου δοῦναι. βασιλεὺς δὲ τότε μὲν ἀπεκρίνατο οὐδὲν, ἀλλ' ἐκέλευσε τοὺς πρέσβεις εἰς τὸ στρατόπεδον ἀναπαύλης τυχεῖν· εἰς τὴν ὑστεραίαν δὲ ἅμα ἕῳ τὴν στρατιὰν ἐκέλευσεν ὁπλίσασθαι πᾶσαν. καὶ ἦσαν ἐν τοῖς ὅπλοις πάντες, οὐ μόνον αὐτοὶ λαμπρῶς καὶ διαπρεπῶς κεκοσμημένοι, ἀλλὰ καὶ ἵπποι, οἱ μὲν θώραξιν ἐκ βύρσης πεποιημένοις, οἱ δὲ ἁλυσειδωτοῖς. καὶ ἦν ἰδεῖν οὐ μόνον ὅπλων καὶ ἵππων ἕνεκα πολυτελῶς μάλιστα παρεσκευασμένην τὴν Ῥωμαίων στρατιὰν, ἀλλὰ καὶ πλήθει, ἐκ πολλοῦ τοῦ χρόνου οὔπω ἄχρι καὶ τότε τοσαύτην συνελθοῦσαν εἰς ἕν. ἥ τε γὰρ ἐκ τῆς ἑσπέρας πᾶσα παρῆν καὶ Μακεδόνες καὶ Θρᾷκες, καὶ ὅσοι ἐκ τῶν κατὰ τὴν ἕω τοῖς Ῥωμαίοις ὑπηκόων πόλεων ἦσαν· καὶ ἐκ Βυζαντίου δὲ αὐτοῦ οὐ μόνον ἱππεῖς, ἀλλὰ καὶ πεζὸς πολὺς, ὁπλῖταί τε καὶ τοξόται ψιλοί. ἐπεὶ δὲ κατὰ φάλαγγας ὡς ἐς μάχην παρετάξαντο, τοὺς Μυσῶν μεταπεμψάμενος πρέσβεις ὁ βασιλεὺς, „τὴν μὲν στρατιὰν ὁρᾶτε τὴν ἐμὴν" ἔφη „ὡς παρεσκεύασται πρὸς μάχην· ἀπελθόντες δὲ ἀπαγγείλατε βασιλεῖ τῷ ὑμετέρῳ, ὡς, ἐγὼ μὲν ἀσπαζόμενος τὴν εἰρήνην πρότερον πολλάκις διεπρεσβευσάμην πρός σε περὶ αὐτῆς· σοῦ δὲ οὐδὲν ἐπιεικὲς ἀποκρινομένου, τῇ τοῦ σταυροῦ δυνάμει θαῤῥῶν, ὃν αὐτὸς ἐγγυητὴν ἐμοὶ παρέσχου τοῦ μηδέποτε παρασπονδῆσαι, βαδιοῦμαι ἐπὶ σέ. [5]

1 327 " βασιλεὺς μὲν οὖν τοιαῦτα εἶπεν. οἱ πρέσβεις δὲ ᾗ τάχους εἶχον, πρὸς βασιλέα ἀφιγμένοι τὸν ἑαυτῶν, τούς τε λόγους ἀπήγγελλον βασιλέως, καὶ ὡς ἡ στρατιὰ τοσαύτη τε οὖσα καὶ οὕτως ὡπλισμένη ἐν ὁδῷ εἰσιν ἤδη τῇ πρὸς αὐτούς. Μιχαὴλ δὲ πρότερον μὲν οὐκ ἂν οἰόμενος εἰς χεῖρας αὐτοῖς ἰέναι Ῥωμαίους ὑπομεῖναι, τότε δὲ ἤδη ὁρῶν αὐτοὺς ὡρμημένους πρὸς τὴν μάχην, τό, τε πλῆθος καὶ τὴν παρασκευὴν πυθόμενος ὅση ἦν, οὐκ ἔγνω δεῖν ἐν πολεμίᾳ εἰς προῦπτον κίνδυνον καθιστᾶν ἑαυτόν. καὶ πέμψας πάλιν τοὺς πρέσβεις ᾗ ἐδύναντο τάχιστα πρὸς βασιλέα, τό, τε πόλισμα Βουκέλου ἐπηγγέλλετο παραδώσειν καὶ εἰρήνην ἄξειν τοῦ λοιποῦ, καὶ ἐδεῖτο βασιλέως εἰς τὸ οἰκεῖον στρατόπεδον ἀπαγαγεῖν τὴν στρατιάν. βασιλεὺς δὲ ὁρῶν αὐτοῖς ἐν καλῷ τῷ σχήματι τὴν ἀναχώρησιν γινομένην καὶ τὴν νίκην ἀναιμωτὶ προσγινομένην, ἄσμενος ἀνεχώρησε πρὸς τὸ στρατόπεδον. τό, τε γὰρ πρότερον μὴ λόγοις καὶ τῇ τοῦ καλοῦ καὶ δικαίου κρίσει τὸν Μιχαὴλ πεισθῆναι τὸ Βουκέλου ἀποδοῦναι, ἀλλὰ νῦν καὶ τὸ, ἤδη πρὸς μάχην παρατεταγμένης τῆς Ῥωμαίων στρατιᾶς, τὴν ἔφοδον αὐτῶν οὐχ ὑπομεῖναι, ἀλλὰ καὶ πρὸ τῆς συμβολῆς ἡττῆσθαι ταῖς γνώμαις καὶ δείσαντας ἀπαγορεῦσαι τὴν μάχην, τὸ Ῥωμαίων ἡττῆσθαι φανερῶς ὁμολογούντων ἦν. [25]

1 328

καὶ διὰ τοῦτο καὶ βασιλεῖ ἐδόκει χρῆσθαι τῷ καιρῷ καὶ μὴ πέρα τοῦ προσήκοντος φιλονεικεῖν. ἐν γὰρ τοῖς προτέροις χρόνοις, Ἀνδρονίκου τοῦ πρεσβυτέρου βασιλέως ἄρχοντος, πολλὰς ἐς τὴν Ῥωμαίων ἐσβολὰς τῶν Μυσῶν ποιησαμένων, ἐπεὶ οὐδεὶς αὐτοῖς ἀντεπεξῆλθεν, ἀλλὰ πρεσβείαις καὶ λόγοις πιθανοῖς διελύετο τὰς πρὸς αὐτοὺς διαφορὰς ὁ βασιλεὺς, ᾤοντο ὥς τισιν ἀμάχοις μηδὲ προσβλέπειν ἔτι δυνήσεσθαι τοὺς Ῥωμαίων βασιλέας. τότε δὲ ὁ Μιχαὴλ ὁρῶν ἤδη βασιλέα ἐπιόντα πολλῇ τε καὶ ἀγαθῇ τῇ στρατιᾷ, οὐ τὰς αὐτὰς εἶχε γνώμας, ἀλλ' ἐδόκει δεῖν ὑποχωρεῖν. τοιοῦτον γὰρ τὸ βαρβαρικὸν ἅπαν, τοῖς τε οὐχ ὑπομένουσιν ἐπελαῦνον ἀκρατῶς καὶ μετὰ πολλῆς ἐπικείμενον ὁρμῆς, καὶ τοῖς μὴ ἐκπληττομένοις, ἀλλὰ μένουσιν ἐν τῷ πολεμεῖν, οὐκ αὐτοὶ ἀντεπιόντες. ἡ μέντοι στρατιὰ Ῥωμαίων μονονουχὶ τὰ ἀπὸ τῶν πολεμίων σκῦλα οἰόμενοι ἀποστερεῖσθαι, ἠνιῶντο, ὅτι μὴ συνέβαλον Μυσοῖς· τοσαύτη προθυμία κατέσχε πάντας πρὸς τὴν μάχην. ὅμως τῶν περὶ τῆς εἰρήνης συνθηκῶν γεγενημένων, τό, τε Βουκέλου ἀπέδωκεν ὁ Μιχαὴλ πρὸς βασιλέα, καὶ ἔφιπποι εἰς τὴν ὑστεραίαν ἐνωθέντες, τήν τε φιλίαν ἀνενεώσαντο, καὶ Ῥωμαίοις καὶ Μυσοῖς οὐκέτι πόλεμος ἐκινήθη, ἀλλ' εἰρήνην ἦγον τοῦ λοιποῦ. συνθέμενοι δὲ ἀλλήλοις ὡς εἰς τοὐπιὸν ἐν ταὐτῷ γενήσονται ὅποι ἂν δοκῇ, ὁ μὲν εἰς Μυσίαν, βασιλεὺς δὲ εἰς Βυζάντιον ἐπανῆκον, καὶ ἡ στρατιὰ διελύθησαν κατὰ πόλεις. [20]

1 329 δ'. Τοῦ Συργιάννη δὲ ὑπὸ τοῦ πρεσβυτέρου βασιλέως Ἀνδρονίκου, καθάπερ ἔφθημεν εἰπόντες, ἐν δεσμωτηρίῳ φρουρουμένου ὑπὸ κλοιοῖς, ἐπεὶ ὁ νέος βασιλεὺς Βυζάντιον ἑλὼν τῆς ἁπάσης ἀρχῆς ἤδη ἐγκρατὴς ἦν, ὁ μέγας δομέστικος Συργιάννη μνησθεὶς καὶ πρὸς αὐτὸν εἰς τὸ δεσμωτήριον ἐλθὼν, ἐπεὶ τήν τε ἄλλην ἀπὸ τοῦ δεσμωτηρίου κακοπάθειαν καὶ μάλιστα τὴν ἀπὸ τῶν κλοιῶν πιέζουσαν αὐτὸν ἑώρα, βασιλέως ἐδεήθη πρῶτα μὲν ἀφεθῆναι τῶν κλοιῶν· ἔπειτα δὲ καὶ ἀπὸ τοῦ δεσμωτηρίου, ἐν ᾧ ἐφρουρεῖτο, εἰς τὸν τοῦ Ἀνεμᾶ καλούμενον πύργον γυναικὶ καὶ τέκνοις συνδιάγειν· καὶ κατεπράξατο αἰτήσας. ἔτι μέντοι ἐφρουρεῖτο· κατὰ δὲ τὴν ἐκ Θρᾴκης πρὸς Βυζάντιον ἐπάνοδον αὐτῶν αὖθις βασιλέως ὁ μέγας δομέστικος ἐδεῖτο, τελέως τῆς εἱρκτῆς ἀπολυθῆναι Συργιάννην. μικρὸν δὲ ἐπισχὼν ὁ βασιλεὺς, λελυπῆσθαι ἔλεγε καὶ πάνυ παρ' αὐτοῦ νυνὶ, καὶ τὰς αἰτίας προσετίθει, ἀναξίας φάσκων τῆς πρὸς αὐτὸν φιλίας τὰς διανοίας ἔχειν αὐτόν. τοσοῦτον γὰρ αὐτῷ περιεῖναι τῆς πρὸς αὐτὸν φιλίας, ὥστ' εἰ καθ' ἡντιναοῦν αἰτίαν οἰκείους ἔδοξεν αὐτῷ καὶ φίλους καὶ περιουσίαν πᾶσαν, αὐτά τε τὰ τιμιώτατα καὶ τὰ φίλτατα καταλιπόντα, ἐπὶ ξένης οἰκεῖν ἑλέσθαι, αὐτὸν μὲν πείθειν ἀποσχέσθαι τοῦ πράγματος ἐπιχειρεῖν, τὴν ἀτοπίαν ὅση ἐκδιδάσκοντα· εἰ δὲ μὴ δύναιτο κωλύειν, μὴ ῥᾷστα τὴν διάζευξιν ἂν ὑπενεγκεῖν, ἀλλὰ καὶ αὐτὸν ἐκ τοῦ ὁμοίου πᾶσιν εἰπόντα χαίρειν, τὸ σὺν αὐτῷ πλανᾶσθαι μᾶλλον ἑλέσθαι. [20]

1 330 ἔτι δὲ εἰ αἵρεσις αὐτῷ προὐτέθη παρὰ τοῦ τὰ τοιαῦτα πάντα δυναμένου ὥστε τὸν ἕτερον αὐτῶν ἀπαλλάττεσθαι τοῦ ζῆν, ἁπάσαις ἂν εἵλετο τὸ πρὸ αὐτοῦ ἀποθανεῖν. ἀλλὰ μὴν εἴγε καὶ οἰκείοις ὄμμασιν ἑώρα ξίφος ἔχοντα αὐτῷ ὡς ἀποκτενοῦντα ἐπιέναι, εἶθ' ὑπ' ἄλλης τινὸς αἰτίας καὶ πάνυ μὴ βουλόμενον συμβέβηκε κεκωλύσθαι, μηδ' οὕτω δυνηθῆναι ἄν ποτε ἀπεχθῶς διακείσεσθαι αὐτῷ. καὶ ὅλως μηδὲν εἶναι ὃ καθ' ἡδονὴν ὂν αὐτῷ πραχθῆναι, μὴ αὐτὸν σὺν πάσῃ προθυμίᾳ παρασχεῖν, ὡς ἅττα ἂν αὐτῷ ἀρέσκῃ, καὶ αὐτῷ ἡδέων φαινομένων. τούτων οὖν οὕτως ἐχόντων, ὥσπερ καὶ αὐτὸν σαφῶς οἴεσθαι πεπεῖσθαι, θαυμάζειν ὅτι μὴ, κατὰ γνώμην ὂν αὐτῷ Συργιάννην ἀπολυθῆναι τῆς εἱρκτῆς, ἐλευθέρως καὶ ἀπεριέργως εἶπεν ἐξ ἀρχῆς, ἀλλ' ὥσπερ τινὰς τιθέμενον ἀναβασμοὺς, πρῶτα μὲν εἰπεῖν, τῶν κλοιῶν αὐτὸν ἀνεθῆναι, εἶτ' ἐκ τοῦ δεσμωτηρίου πρὸς ἕτερον ἐπιεικέστερον μετενεχθῆναι, ὥστε δύνασθαι αὐτῷ καὶ τὰ τέκνα συνεῖναι καὶ τὴν γυναῖκα, νυνὶ δὲ παντάπασιν ἀπολυθῆναι τῆς εἱρκτῆς. „δέον γὰρ μετὰ τῆς σοι προσηκούσης παῤῥησίας εὐθὺς ἐξ ἀρχῆς τὸ βούλημα ποιῆσαι φανερὸν, καὶ μὴ διατεμόντα εἰς πολλὰ κατὰ μέρος ποιεῖσθαι τὰς αἰτήσεις· σὺ δ' ὥσπερ ἢ ἐμοῦ πολλὴν μικρολογίαν καὶ

ἀφιλοτιμίαν κατεγνωκὼς περὶ τοὺς φίλους, ἢ σαυτῷ ἀδυναμίαν συνειδὼς, οὕτως ἐποιήσω τοὺς λόγους. [20]

1 331 οὗ δὴ ἕνεκα καὶ ἀχθεσθῆναι εἶπον. νυνὶ δ' ἐπεί σοι φίλον ἀπολυθῆναι Συργιάννην, τὸ κωλύον οὐδέν. ἅττα γὰρ ἂν αὐτῷ σοι καὶ βέλτιστα δοκῇ καὶ ἡδέα, οὐκ ἔσθ' ὅπως μὴ ἐκ τοῦ ἴσου ὅμοια κἀμοὶ δοκεῖν." Ὁ μέγας δὲ δομέστικος „ἀληθῆ γε εἴρηκας" εἶπεν „ὦ βασιλεῦ, οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν, ὃ θελήσαντος ἐμοῦ πραχθῆναι, ἐναντίαν οἴσεις ψῆφον αὐτός. καὶ τοῦτο οὐκ ἀπὸ τῶν πρὸς ἐμὲ εἰρημένων νυνὶ λόγων, ἀλλὰ πολὺ πρότερον ἐξ αὐτῶν τῶν ἔργων ἐμοί τε πρῶτον καὶ τοῖς ἄλλοις ἅπασίν ἐστι καταφανές. ὅτι δὲ τὸν ἴσον τρόπον ἔχω καὶ αὐτὸς πρὸς σὲ, οὐδ' ἀποδείξεως δεήσεσθαι δοκῶ· αὐτὸς γάρ μοι φθάσας πρότερον συνεμαρτύρησας καλῶς. ἐγὼ δὲ τὴν πρὸς ἀλλήλους ἡμῶν φιλίαν παραβάλλων, τῷ μὲν ὄγκῳ τῆς ἀρχῆς καὶ τῷ μεγέθει ἐλασσοῦσθαι νομίζω καὶ παρὰ πολύ· τοῖς λοιποῖς δὲ ἅπασι λείπεσθαι οὐδ' ὁπωσοῦν. οὐ μόνον γὰρ ἃ προείρηκας αὐτὸς, ἀλλ' εἴ τι καὶ τούτων μεῖζον, καὶ ποιεῖν καὶ ὑπομένειν ὑπὲρ τῆς πρὸς σὲ φιλίας ἕτοιμος εἶναι. καίτοι γε κατ' ἐμαυτὸν πολλάκις τοὺς παρὰ ποιηταῖς καὶ συγγραφεῦσι παρὰ πάντα τὸν χρόνον ἐπὶ φιλίᾳ ὑμνουμένους ἐξετάζων, καὶ παραβάλλων τοῖς ἡμετέροις τὰ ἐκείνων, καίτοι γε δοκούντων τῇ φιλοτιμίᾳ τῶν ποιητῶν καὶ πέρα τοῦ ἀληθοῦς καὶ προσήκοντος ηὐξῆσθαι, ὅμως κατ' οὐδὲν ἀποδέοντα, εἰ μὴ καὶ μείζω τὰ ἡμέτερα εὑρίσκω. εἰ δέ ποτε συμβαίη τοιούτοις λογισμοῖς περιπεσεῖν, ὥστε ἀμφιβάλλειν εἴ τις ἔστιν ἰδέα φιλίας ἢ τρόπος ἕτερος, ὃν ἡμεῖς οὐκ ἐπεδειξάμεθα ἀλλήλοις, ἢ εἰ μὴ πρὸς τὸ ἀκρότατον ἀφίγμεθα αὐτῆς, ἢ ἀποπνίγεσθαι ἀνάγκη καὶ πνευστιᾷν ὑπὸ τῆς ἀγωνίας καὶ μηδὲ ζῆν ἐθέλειν, εἰ περὶ τὸ οὕτω καλὸν δεύτερός τινος φαινοίμην, ἢ ἀποπηδᾷν τῶν τοιούτων λογισμῶν καὶ τὴν ψυχὴν πείθειν ἰσχυροτέραις ἢ, ὅ φασιν, ἀνάγκαις γεωμετρικαῖς, ὡς οὔτε ἔστιν, οὔτε γεγένηταί τις ἰδέα φιλίας, ἣν οὐ πρὸς ἀλλήλους αὐτοὶ ἐπεδειξάμεθα καὶ μεθ' ὑπερβολῆς. [5]

1 332 καὶ τοῦτο συνιδόντα καὶ τὸν εὐαγγελιστὴν Ἰωάννην ἐννοῶ τοῖς ἀνθρώποις παραγγέλλειν, τὴν ἴσην ὥσπερ πρὸς τοὺς φίλους, οὕτω δὴ καὶ πρὸς τὸν θεὸν ἐνδείκνυσθαι ἀγάπην. εἰ γὰρ ὥσπερ αὐτὸς ἐξήρτημαι τῆς σῆς γνώμης καὶ πάντα δεύτερα ἥγημαι τῆς θεραπείας τῆς σῆς, οὕτω διεκείμην καὶ πρὸς τὸν θεὸν, ποῦ οὐκ ἂν προῆλθον ἀρετῆς, ἢ ποίαν οὐκ ἂν εἰσήνεγκα σπουδὴν καὶ προθυμίαν ὑπὲρ τοῦ τὰς ἐντολὰς αὐτοῦ σὺν πάσῃ προθυμίᾳ ἐκπληροῦν; εἰ δὲ σὺ μὲν, ὥσπερ εἴρηκας, πάντα δεύτερα τῆς πρὸς ἐμὲ ἡγῇ φιλίας, ἐγώ τε τοῦ παντὸς τιμῶμαι τὰ σοὶ φίλα καὶ λογίζεσθαι καὶ πράττειν, πῶς ἂν ἔχοι χώραν, ἃ ἐνόμιζον ἀνιᾷν, ταῦτ' ἐξεπίτηδες λογίζεσθαι ποιεῖν; ὃν δὲ τρόπον ἔσχε τὰ περὶ Συργιάννην, αὐτὸς ἐρῶ. τὰς μὲν αἰτίας ἐφ' αἷς ἁλοὺς κατεκρίθη δεσμωτήριον οἰκεῖν ὑπὸ βασιλέως τοῦ πάππου τοῦ σοῦ, οἶσθα καὶ αὐτός. ἐγὼ δὲ μετὰ τὸ Βυζάντιον ἡμᾶς ποιήσασθαι ὑφ' ἑαυτοῖς, ἀσυμπαθὲς ἔκρινα καὶ δεινῶς ἄγνωμον, εἰ μή τινι ἄλλῳ, τῇ πρὸς αὐτὸν γοῦν ἐπιδημίᾳ τὴν συμφορὰν εἰς ὅσον οἷόν τε ἐπικουφίσαι καὶ παραμυθίαν παρασχεῖν τινα, μὴ παντελῶς ἀπερρίφθαι ἐλπίσαντα παρὰ τῶν φίλων. [20]

1 333 γενόμενος δὲ ἐν τῷ δεσμωτηρίῳ πρὸς αὐτὸν, καὶ τήν τε ἄλλην κάκωσιν τὴν ἀπὸ τοῦ δεσμωτηρίου καὶ μάλιστα τὴν ἀπὸ τῶν κλοιῶν ἑωρακὼς, δεινῶς τε ἤλγησα ὑπὲρ αὐτοῦ καὶ παραμυθίαν τινὰ εἰ οἷόν τε αὐτῷ προὐθυμήθην ἐξευρεῖν. καί σοι προσελθὼν, περὶ τῶν κλοιῶν ἐδεόμην μόνων, ἀρκοῦσαν ἡγούμενος εἶναι ὡς ἐν δεινοῖς παραμυθίαν. ἐπεὶ δὲ ἐγενόμην ἐν συνηθείᾳ καὶ συχνῶς ἐφοίτων πρὸς αὐτὸν, ἐκεῖνος μὲν οὐδ' οὕτω πρὸς ἐμὲ ἐμνήσθη τῶν κακῶν ἀπαλλαγῆς, οὐ μόνον τὴν σὴν περὶ τὸ συγγινώσκειν τοῖς προσκεκρουκόσι φιλοτιμίαν οὐκ εἰδὼς, ἀλλὰ καὶ ἑαυτῷ τὰ δεινότατα συνειδὼς καὶ διὰ τοῦτο τὴν παραίτησιν ἀπαγορεύων. ἐγὼ δ' ἔτι μᾶλλον ἐκ τῆς συνηθείας ἐπικαμπτόμενος πρὸς τὴν αὐτοῦ κακοπραγίαν, ᾠήθην δεῖν ἀπό τε τοῦ δεσμωτηρίου εἰς ἕτερον ἐπιεικέστερον μεταγαγεῖν καὶ τὴν τῆς μητρὸς καὶ γυναικὸς καὶ τῶν φιλτάτων συνδιαγωγὴν αὐτῷ ἐφεῖναι, νομίζων οὕτως ἂν ἡμῖν τε εἶναι ἀσφάλειαν τοῦ μή τι ἐπιβουλεύεσθαι παρ' αὐτοῦ, καὶ αὐτὸν οὐδὲν ἧττον ἢ εἰ παντάπασι τοῦ δεσμεῖσθαι

ἀπολέλυτο, ἡδέως βιώσεσθαι καὶ ἀνειμένως. τοῦτο μὲν οὖν αἰτήσας παρὰ σοῦ, ἔπραξα αὐτῷ· ἡ δὲ μήτηρ μὲν αὐτοῦ, θεία δὲ ἐμὴ, ὅπερ οὐδ' ἄν ποτε ἤλπισεν ὁρῶσα γεγενημένον, καὶ ταῦτα ὑπ' οὐδενὸς ἐμοῦ παρακεκλημένου, εὐέλπις καὶ πρὸς τὰ λείποντα γεγενημένη, προσῆλθέ τε καὶ ἐδεήθη περὶ τῆς τοῦ υἱοῦ ἐλευθερίας. [20]

1 334 ἐγὼ δὲ ὅτι τε συγγενής ἐστιν ἐμὸς ἐνθυμηθεὶς καὶ τὴν ἀρχαίαν φιλίαν καὶ τὴν ἐν ταῖς στρατείαις συνδιατριβὴν, (ὑφ' ἑνὶ γὰρ καθηγεμόνι τῷ ἡμετέρῳ θείῳ Ἀγγέλῳ τῷ μεγάλῳ στρατοπεδάρχῃ τὰ πολέμια ἐδιδασκόμεθα, ὃς οὐ μόνον τοὺς νῦν ἐν ταῖς στρατηγίαις παρήλασε πολλῷ τῷ μέτρῳ, ἀλλὰ καὶ τοῖς πάλαι ὑμνουμένοις ἐν ταῖς συγγραφαῖς Ῥωμαίων στρατηγοῖς ἤρισεν ἂν περὶ πρωτείων,) καὶ ὡς ἐν ἡμέρᾳ τῇ αὐτῇ πολεμίοις πρώτοις (Πέρσαι δὲ ἦσαν) συνήλθομεν εἰς χεῖρας· τὸ δέ με πάντων μάλιστα πεῖσαν, ὅτι εἰ τοσαῦτα ὅσα σύνοιδεν αὐτῷ προσκεκρουκότι συγγνώμην παράσχοις αὐτὸς, πάσης αἰτίας ἀπολύσας, μεταβαλεῖν ἂν ἐνόμισα καὶ αὐτὸν, ἐκ τῶν πραγμάτων αὐτῶν διδαχθέντα περὶ οἷον ἠγνωμόνει, καὶ τοῦ λοιποῦ μενεῖν εὔνουν καὶ φίλον πιστόν· ὡς ἐντεῦθεν δύο τὰ μέγιστα ἐξειργάσθαι, σοί τε φιλανθρωπίας καὶ ἡμερότητος παρασχόντα ἀφορμὴν καὶ προσέτι χρήσιμον ἐν πολλοῖς ἄνδρα προσαγαγόντα, ὃς δι' οἰκείαν ἀγνωμοσύνην ἀπολώλει, καὶ αὐτῷ μεγίστων ἀγαθῶν αἰτιώτατον ὀφθέντα, ἐπειθόμην τε αὐτοῖς δεομένοις, καὶ σοὶ προσελθὼν περὶ τῆς παντελοῦς αὐτοῦ ἐλευθερίας διειλέχθην. ἐπεὶ ἄλλως γε εἰ ἐπὶ τῆς αὐτῆς μοχθηρίας καὶ τοῦ λοιποῦ αὐτὸν ὑπενόουν μενεῖν, οὐχ ὅτι γε αὐτὸς, ἀλλὰ καὶ ἑτέρου πράττοντος ἐκώλυσα ἂν τὴν ἐλευθερίαν. τοῖς γὰρ εὐνοοῦσί σοι φίλος εἶναι οὐ μᾶλλον προῄρημαι ἐξ ἀρχῆς ἢ πολέμιος τοῖς ἐπιβουλεύουσι. [20]

1 335 " Τοιαῦτα μὲν πρὸς ἀλλήλους διειλέχθησαν αὐτοί· ἐπεὶ δὲ ἐκεκύρωτο τὸν Συργιάννην τοῦ δεσμωτηρίου ἀφεθῆναι, ἡ τοῦ βασιλέως μήτηρ βασιλὶς ἡ Ξένη πυθομένη, ὅτι βασιλεῖ τοιαῦτα ἔδοξε περὶ αὐτοῦ, ἐδυσχέραινέ τε οὐκέτι ἀνεκτῶς καὶ τὸν μέγαν δομέστικον εἶχεν ἐν αἰτίαις, οὐ μόνον ὅτι πολεμίῳ ὄντι βασιλέως καὶ διὰ τοῦτο δικαίῳ ὄντι δεσμοῖς ἀφύκτοις διὰ βίου ἔχεσθαι παντὸς αὐτὸς συνεῖπε πρὸς τὴν ἐλευθερίαν, ἀλλ' ὅτι μήτε πρότερον αὐτῇ μηδὲν μήτε προεῖπε, μήτε ἐβουλεύσατο περὶ αὐτοῦ. ὁ μέγας δὲ δομέστικος αἰτίας ἀπολύων ἑαυτὸν, ἀγνοεῖν τε ἔφασκεν ὅτι μὴ εἴη κατὰ γνώμην τὰ πραττόμενα αὐτῇ, καὶ διὰ τοῦτο μηδὲν περὶ τούτου πρότερον αὐτῇ διαλεχθῆναι. ὅμως ἐπεὶ ἔδοξεν, ἀπελύετό τε τῶν δεσμῶν ὁ Συργιάννης καὶ εὐμενείας ἀπέλαυε καὶ εὐποιΐας τῆς παρὰ βασιλέως. ε'. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους καὶ ἐξ Ἀλαμανῶν ἀφίκετο πρὸς βασιλέα τὸν πρεσβύτερον πρεσβεία χρήματα αἰτοῦντες, λέγοντες, κατὰ παλαιὰν συμμαχίαν καὶ φιλίαν τῆς σφετέρας τε καὶ τῆς Ῥωμαίων ἡγεμονίας, ὅταν του δέονται, προσήκειν ἑκατέροις κομίζεσθαι παρ' ἀλλήλων. Γεμπλίνοις γὰρ πᾶσι φιλίαν εἶναι πρὸς τοὺς Ῥωμαίων βασιλέας, καὶ σπουδάζεσθαι αὐτοῖς ὅσα ὠφέλειάν τε καὶ τιμὴν Ῥωμαίοις περιποιεῖ· νυνὶ δὲ χρημάτων δεομένους, ἀναγκαίως πρὸς βασιλέα ἥκειν, θαῤῥοῦντας ὡς λήψονται ὅτου ἂν δέωνται. [20]

1 336 ἐπεὶ δὲ Ἀνδρόνικον τὸν πρεσβύτερον βασιλέα εὗρον τῆς ἀρχῆς ἐκβεβλημένον, πρὸς τὸν νέον ἐποιοῦντο τὴν πρεσβείαν. βασιλεὺς δ' ἐπεὶ ἐπύθετο περὶ ὧν ἥκοιεν, ἐπέτρεπε τῷ μεγάλῳ δομεστίκῳ πρὸς αὐτοὺς ποιήσασθαι ἀπολογίαν ᾗ ἂν δόξειε μάλιστα τὸ εὔλογον ἔχειν. ὁ δὲ μετακαλεσάμενος τοὺς πρέσβεις, βασιλέα τε ἔφασκεν ἀκηκοέναι περὶ ὧν ἥκουσι πρεσβεύοντες καὶ αὐτὸν, καὶ τὴν μὲν παλαιὰν συμμαχίαν καὶ φιλίαν αὐτῶν πρὸς τοὺς Ῥωμαίων βασιλέας καὶ αὐτὸν εἰδέναι, καὶ ὡσπερεὶ μίαν ἡγεμονίαν ἀμφοτέρας τὰς βασιλείας νομίζειν, καὶ δίκαιον ἅμα καὶ προσῆκον ἡγεῖσθαι, ὅτου ἂν δέωνται ἑκάτεροι, ὠφελεῖσθαι παρ' ἀλλήλων. χρήματα δὲ ἃ αἰτοῦσι νῦν, εἰ πρὶν τὸν πρὸς ἀλλήλους τῶν Ῥωμαίων βασιλέων πόλεμον κεκινῆσθαι ἦκον, ἐκομίσαντο ἂν ᾗ ἐβούλοντο ἀρκοῦντα πρὸς τὴν χρείαν. νυνὶ δὲ ἀναλωθέντων εἰς τὸν πρὸς ἀλλήλους πόλεμον, χρημάτων μὲν τὸ νῦν εἶναι οὐκ εὐπορεῖν· ἕτερον δὲ τρόπον δύνασθαι ἰάσασθαι τὴν ἀπορίαν τῶν χρημάτων. στρατιὰν γὰρ ἂν παρασχεῖν πολλήν τε καὶ ἀγαθὴν,

συμμαχήσουσαν ἐπὶ τοὺς πολεμίους. οἴεσθαι δὲ μηδὲ αὐτοὺς ἑτέρου του ἕνεκα ἢ τῆς στρατιᾶς δεῖσθαι τῶν χρημάτων, καὶ εἰ τούτου τύχοιεν, τὸ σπουδαζόμενον αὐτοῖς ἡνύσθαι. οἱ πρέσβεις δὲ χρημάτων ἕνεκα ἥκειν ἔλεγον, οὐ στρατιᾶς. τὴν γὰρ αὐτῶν πολλούς τε καὶ ἀγαθοὺς τρέφειν οἷς ἔξεστι χρῆσθαι τῷ σφετέρῳ βασιλεῖ, ἀναλωμάτων εὐποροῦντι. τοὺς μὲν οὖν πρέσβεις οὕτως εὐφυῶς ὁ βασιλεὺς ἀπεπέμψατο, δώροις φιλοφρονησάμενος εἰς ὅσον ἐξῆν μεγαλοπρεπῶς· τὴν δὲ πρὸς τοὺς πρέσβεις τοῦ μεγάλου δομεστίκου πυθόμενος ἀπολογίαν, νῦν μὲν ἔλεγε πρὸς αὐτὸν ἁρμόζουσαν φαίνεσθαι τὴν πρὸς τοὺς Λατίνους ἀπολογίαν πεποιῆσθαι δοκοῦσαν φίλοις αὐτοῖς οὖσιν ἐπαγγέλλεσθαί τινα ὠφέλειαν παρέξειν, ἐὰν δὲ αὐτοῖς ἐδόκει τὴν ἐπηγγελμένην στρατιὰν ζητεῖν, ἀπορεῖν ἧς ἂν εὐπόρησεν ἀπολογίας. [5]

1 337 ὁ μέγας δὲ δομέστικος καὶ αὐτὸς μὲν εἶπεν ἐπὶ νοῦν ταύτην ἐσχηκέναι ἀπορίαν πρὸς ἐκείνους ποιούμενος τοὺς λόγους, πλὴν τὸ μὲν ἀπορεῖν χρημάτων εἰπεῖν οὐδεμίαν αὐτοῖς ἂν φέρειν αἰσχύνην, ἅτε δὴ καὶ αὐτῶν ἀπορούντων καὶ δεομένων παρ' αὐτῶν. στρατιὰν δὲ παρέχεσθαι ἐπηγγέλθαι, μάλιστα μὲν ὅπερ ἦν καὶ αὐτὸν οἰόμενον, οὐ στρατιᾶς ἐρεῖν, ἀλλὰ χρημάτων δεῖσθαι. εἰ δ' ἄρα καὶ πρὸς τὰ δεύτερα χωροῖεν, νῦν μὲν εἰπεῖν οὐ ῥᾴδιον παρασχεῖν, καιροῦ δεομένην πρὸς παρασκευὴν, ἄλλως τε οὐδ' ἀκριβῶς εἰδότας, εἰ κατὰ γνώμην εἴη τῷ σφετέρῳ βασιλεῖ· εἰ δ' ἀπελθόντες πρὸς τὴν οἰκείαν ἀπαγγείλωσι περὶ τῆς στρατιᾶς καὶ δέοιτο αὐτῆς, τότ' ἤδη τοὺς παραληψομένους ἥκειν. χρονίου γὰρ οὔσης καὶ ὑπερορίου τῆς στρατείας, καὶ χρόνου δεῖσθαι συχνοῦ πρὸς τὴν παρασκευήν. Ἀλλὰ ταῦτα μὲν τοιαῦτα. ἐξ ἐκείνου δὲ τοῦ χρόνου, ἐξ ὅτου βασιλεὺς ὁ νέος τοῦ πάππου καὶ βασιλέως διαστὰς, εἰς Ἀδριανούπολιν ἦκεν ἄχρι καὶ τότε, τοῖς τε ἄλλοις ἅπασι τοῖς πραττομένοις καὶ δὴ καὶ τοῖς βασιλικοῖς γράμμασιν, ἃ ἐπὶ βεβαιώσει ἐγίνετό τινος, δι' ἑαυτοῦ τοῦ μεγάλου δομεστίκου ἐπιστατοῦντος δέει τοῦ μή τι τῶν μὴ προσηκόντων γενέσθαι ἢ διὰ ῥᾳθυμίαν ἢ διὰ κακόνοιαν τῶν ἐπιτετραμμένων, καὶ οὐ μικρόν τινα διὰ ταῦτα τὸν πόνον ὑφισταμένου, ὅμως ἀναγκαίαν τὴν πρόνοιαν καὶ τὴν ἐπὶ πᾶσι φροντίδα λογιζομένου καὶ φέροντος τὸν κάματον σιγῇ, τότε δὲ τῶν ἐμφυλίων πολέμων λυθέντων καὶ πεπαυμένων τῶν ἐπιβουλῶν καὶ ὑπονοιῶν, ἔγνω δεῖν καὶ αὐτὸς τῶν πόνων ἑαυτὸν ἀνεῖναι μικρόν. [5]

1 338 καὶ βασιλεῖ προσελθὼν, τόν τε ἐπὶ τοῦ προτέρου χρόνου πρὸς τὴν διοίκησιν τῶν πραγμάτων διηγεῖτο πόνον καὶ ὡς, τῶν ἐμφυλίων κακῶν ἤδη πεπαυμένων καὶ ὑποψίας οὔσης οὐδεμιᾶς, δέον πρόνοιάν τινα ποιήσασθαι ὥστε τά τε πράγματα ὥσπερ πρότερον καλῶς καὶ ὡς δέον διοικεῖσθαι, καὶ αὐτὸν ἀναπαύλης τινὸς τυγχάνειν. τοῦτο δὲ γένοιτ' ἄν, εἰ τήν τε τῶν βασιλικῶν γραμμάτων ἐπιστασίαν καὶ τὴν ἐπὶ τοῦ τῶν βασιλικῶν χρημάτων ταμιείου, ἔτι δὲ καὶ τὴν ἐπὶ τῶν εἰσπραττόντων τοὺς δημοσίους φόρους ἀναθείη ἑτέρῳ τινὶ, ὃν ἂν ἐκλέξηται αὐτός. βασιλεὺς δὲ οὐδὲ αὐτὸς ἔφασκεν ἀγνοεῖν, ὅσον ἐπὶ τοῦ προτέρου χρόνου ὑφίστατο τὸν πόνον, πᾶσιν αὐτὸς ἐφεστηκὼς, ἀλλὰ εἰδέναι τε καλῶς, καὶ οὐχ ἥκιστα θαυμάζειν, εἰ πρὸς τοσαύτην διοίκησιν πραγμάτων εἷς ὢν αὐτὸς ἐξαρκεῖ, ἔτι δὲ καὶ ἀλγεῖν ὑπὲρ αὐτοῦ, τὸν κάματον ὃν ὑπέμενεν ἐννοῶν. ὅπερ δὲ αὐτὸς ἔφης λογιζόμενος καὶ αὐτὸς, ὡς τῶν ἐμφυλίων ἕνεκα πολέμων καὶ τῶν ἐπιβουλῶν ἀναγκαῖον ἐφ' ἅπασί σε παρεῖναι καὶ πάντα πράττεσθαι διὰ σοῦ, καὶ ἄκων παρῄειν σιγῇ τὸν χρόνον. [20]

1 339 νυνὶ δὲ ᾗ ἐβούλετο τοῦ θεοῦ τὰ πράγματα καταστήσαντος, ὃν ἂν αὐτὸς ἐθέλῃς μᾶλλον πρὸς τὴν διοίκησιν ὧν ἔφης πραγμάτων ἑλοῦ· οὐ μὴν ἐκείνῳ παντάπασιν ἐπιτρέψαι τὰ πράγματα χρὴ, ἀλλὰ καὶ αὖθις αὐτὸν ἐφίστασθαι τοῖς ἀναγκαίοις, καὶ πάντα πράττεσθαί σοι κατὰ γνώμην. οὕτω γὰρ ἂν τά τε πράγματα διοικηθήσεσθαι καλῶς, καὶ αὐτὸν ἀναπαύλης τυγχάνειν οὐ μικρᾶς τινος. Ὁ δὲ μέγας δομέστικος τοῖς τε λεγομένοις ἐπείθετο πρὸς βασιλέως, καὶ παρακοιμώμενον τὸν Ἀπόκαυχον ἐπὶ τῇ διοικήσει τῶν εἰρημένων ᾑρεῖτο πραγμάτων· καὶ βασιλεὺς συνεπεψηφίζετο αὐτός· ἀποδειχθεὶς δὲ τῶν κοινῶν πραγμάτων ὁ παρακοιμώμενος

διοικητὴς, ὅσα μὲν ἦν ἀναγκαῖα καὶ τῆς τοῦ μεγάλου δομεστίκου κρίσεως ἐδεῖτο, ταῦτα πρὸς αὐτὸν ἀνάγων, ᾗ αὐτὸς ἐπέτρεπεν ἐπράττετο, ἢ μόνος ἢ καὶ μετὰ βασιλέως ἔνια ἐξετάζων· ἃ δὲ οὐ τοιαῦτα, παρακοιμωμένῳ ἐφεῖτο πράττειν. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον ὁ βασιλεὺς εἰς Κύζικον ἐπεραιώθη, ἅμα μὲν τὴν τῆς θεομήτορος ἀχειροποίητον εἰκόνα, ἣ πρὸς τὸν ἐν Ὑρτακίῳ ναὸν ἦν, προσκυνήσων, ἅμα δὲ κατοψόμενος καὶ τὴν χώραν, οὕπω πρότερον ἰδών. τὸ δ' ἔτι τούτων αἰτιώτερον, ἵνα τὸν Φρυγίας ἄρχοντα Ταμηρχάνην τὸν τοῦ Γιαξῆ ταῖς κατὰ τὸν Ἑλλήσποντον ἑῴαις πόλεσιν ἐπικείμενον οὖσαις ὑπηκόοις βασιλεῖ, πρὸς συμβάσεις πείσῃ χωρῆσαι· ὃ καὶ κατὰ γνώμην ἐτελεῖτο βασιλεῖ· ἀπὸ γὰρ Κυζίκου εἰς Πηγὰς πόλιν τὴν κατὰ τὸν Ἑλλήσποντον ἐλθὼν, μετεκαλεῖτο τὸν Ταμηρχάνην, καὶ ὃς ἀφῖκτό τε κατὰ τάχος καὶ μετὰ πολλῆς τῆς μετριότητος καὶ, οἷον εἰπεῖν, δουλείας συνεγένετο τῷ βασιλεῖ. [25]

1 340 ὡς γὰρ ἐγγὺς ἐγένετο ὅσον ὁρᾷν τε τὸν βασιλέα καὶ ὁρᾶσθαι παρ' αὐτοῦ, αὐτός τε καὶ ἄλλοι Πέρσαι τῶν ἵππων καταβάντες καὶ προελθόντες ἐπὶ μικρὸν, οἱ μὲν ἄλλοι πάντες ἄπωθεν τὸν βασιλέα προσεκύνουν, τὰς κεφαλὰς ἐρείσαντες ἐπὶ τὴν γῆν· αὐτὸς δ' ἄχρι βασιλέως ἐλθὼν πεζῇ, προσεκύνει τε καὶ ἠσπάζετο τὸν βασιλέως πόδα, ἔπειτα ἔφιππος γενόμενος, μόνος μόνῳ συνεγένετο τῷ βασιλεῖ. πολλὰ δὲ πρὸς αὐτὸν περὶ εἰρήνης διαλεχθέντος βασιλέως καὶ εὖ ποιήσειν ἐπαγγειλαμένου, αὐτὸς μὲν εἰς τὸ οἰκεῖον στρατόπεδον, βασιλεὺς δ' εἰς Πηγὰς τὴν πόλιν ἐπανῆλθε. καὶ ἐς τὴν ὑστεραίαν πάλιν ἐλθὼν ὁ Ταμηρχάνης καὶ προσκυνήσας βασιλέα καὶ ἐπαγγειλάμενος εἰρήνην ἄξειν τοῦ λοιποῦ καὶ τοῖς κατὰ τὴν ἕω Ῥωμαίοις μηδέποτε ἐπιστρατεύσειν, δώροις τε ἀμειψαμένου βασιλέως ἀξίως ἑαυτοῦ, ὁ μὲν ἐπανέζευξεν εἰς τὴν οἰκείαν, ἅπερ ἐπηγγείλατο ἀληθῆ ἐπὶ τῶν ἔργων ἀποδεικνύς· οὐκέτι γὰρ οὐδὲν ἠδίκησε Ῥωμαίους· βασιλεὺς δὲ εἰς Βυζάντιον ἐπανῆκεν. ἔνθα διατρίβοντι ὁ τῶν Μυσῶν βασιλεὺς Μιχαὴλ μεμήνυκεν, εἰ ἀρεστὸν αὐτῷ εἴη, συνελθεῖν τε αὐτῷ καὶ τὰς σπονδὰς ἀνανεώσασθαι καὶ τὴν εἰρήνην. τὴν γὰρ πρότερον ἐν Ἀδριανουπόλει γενομένην συντυχίαν, τοῦ καιροῦ καὶ τῶν πραγμάτων οὐκ ἐώντων διὰ τὸν συμβεβηκότα τότε πόλεμον, ἐπ' ὀλίγον τε γεγενῆσθαι καὶ τεταραγμένως. καὶ ἐπεὶ κατὰ γνώμην ἦν καὶ βασιλεῖ, μεταξὺ Σωζοπόλεως καὶ Ἀγχιάλου ἐν τοῖς λεγομένοις Κρημνοῖς ἐποιήσαντο τὴν συντυχίαν καὶ σπονδὰς ἔθεντο βεβαίας διὰ βίου καὶ συμμαχίαν, καὶ διαλυθέντες ἀνεχώρησαν ἐπ' οἴκου. [20]

1 341 ς'. Βασιλεὺς δὲ ἐν δεινῷ τιθέμενος τὸ Πέρσας μὲν ἀεὶ Ῥωμαίοις ἐπιστρατεύειν, αὐτοὺς δὲ ἐκείνοις μηδαμῶς, ἔγνω δεῖν πρὸς τὴν ἕω περαιωθεὶς, τοῖς κατὰ Βιθυνίαν βαρβάροις ἐπιθέσθαι· ἔτι γὰρ ἐσκήνουν ἐν τοῖς πεδίοις, ἔαρος ἤδη μεσοῦντος κατὰ μῆνα Μάϊον· καὶ μετακαλεσάμενος τὸν τῆς Μεσοθηνίας ἄρχοντα τὸν πρωτοκυνηγὸν Κοντοφρὲ, ἐβουλεύετο περὶ τῆς κατὰ τῶν βαρβάρων εἰσβολῆς. ἦν γὰρ δὴ ὁ Κοντοφρὲ οὐ διὰ τὸ Μεσοθηνίας ἐπιτροπεύειν μόνον πεῖραν ἔχων τῶν κατὰ τοὺς βαρβάρους πραγμάτων, ἀλλὰ καὶ ἄλλως ἀνὴρ ἀγαθὸς καὶ πολλῶν πολέμων ἔμπειρος καὶ μάλιστα τῶν Περσικῶν, οἷα δὴ ἐκ πρώτης ἡλικίας τοῖς ἤθεσί τε καὶ ταῖς διατριβαῖς αὐτῶν ἐντραφείς. Κοντοφρὲ δὲ ἐπέῤῥωσέ τε τὸν βασιλέα πρὸς τὸν κατὰ τῶν βαρβάρων πόλεμον, καὶ ἡδέως ἔλεγεν ἐκείνην τὴν ἡμέραν ἂν ἰδεῖν, ἐν ᾗ ἀπὸ τῶν βαρβάρων ἐξέσται Ῥωμαίοις, ὧν εἰς αὐτοὺς ὑπῆρξαν, πολλῶν ἀδικιῶν δίκας λαβεῖν. ὑπετίθει τε μὴ μέλλειν, ὡς ὅσον οὔπω τῶν βαρβάρων ἀπὸ τῶν πεδινῶν ἐπὶ τὰ ὀρεινότερα ἀναχωρησόντων, τὴν ἀλέαν ἐκκλινόντων τὴν ἀπὸ τοῦ θέρους· οὕτω γὰρ εἶναι αὐτοῖς ἔθος οὖσι νομάσιν. [20]

1 342 ἐπεὶ δὲ ἐδέδοκτο ἐπιστρατεύειν τοῖς βαρβάροις καὶ μὴ μέλλειν, τὴν ἐκ Βυζαντίου καὶ Διδυμοτείχου καὶ Ἀδριανουπόλεως καὶ Θρᾴκης συναθροίσας στρατιὰν, (οὐ γὰρ ἐξῆν τήν τε ἐκ Μακεδονίας καὶ τῆς ἄλλης ἑσπέρας μετακαλεῖσθαι· κατήπειγε γὰρ ὁ καιρὸς καὶ ὁ Κοντοφρὲ πάλιν ἐκ Μεσοθηνίας ἐλθὼν καὶ φάσκων νῦν εἶναι καιρὸν ἐπιθέσθαι τοῖς βαρβάροις, ὡς ὅσον οὔπω πρὸς τὰς δυσχωρίας ἀποχωρήσουσι τῆς ὀρεινῆς,) τὴν ἠθροισμένην στρατιὰν λαβὼν ὁ βασιλεὺς, ἐπεραιώθη πρὸς τὴν ἕω, λήγοντος ἤδη ἔαρος, κατὰ τὸ Σκουτάριον

προσαγορευόμενον. ἐπεὶ δὲ ἠγγέλθη τοῖς βαρβάροις ἡ τοῦ βασιλέως ἔφοδος, ὅσοι μὲν ἦσαν νομάδες κατὰ τὴν Βιθυνίαν διεσκεδασμένοι σκηνάς τε ἀναλαβόντες καὶ βοσκήματα καὶ τὴν ἄλλην ἀποσκευὴν, ἐπὶ τὰ ὑψηλότερα ἀνῆλθον τῶν ὀρῶν, καὶ ποῤῥωτέρω ἢ ἐξ ἔθους ἦν αὐτοῖς. Ὀρχάνης δὲ ὁ τῶν αὐτόθι Περσῶν σατράπης, ὅση ἦν αὐτῷ πεζὴ καὶ ἱππικὴ δύναμις ἀναλαβὼν, ἐπεὶ ἐπύθετο, τὸν βασιλέα διὰ Μεσοθηνίας μέλλοντα ἰέναι, πολλὰς ἐχούσης δυσχωρίας καὶ ὀχυρότητας αὐτοφυεῖς, οὐ τῇ σφετέρᾳ δυνάμει μᾶλλον ἢ τῇ θέσει θαῤῥήσας τοῦ τόπου, εἰς Μεσοθηνίαν ἐλθὼν, ὑψηλοῖς χωρίοις καὶ δυσπροσόδοις ἐγκαθίδρυσε τὴν στρατιάν. βασιλεὺς δὲ ἀπὸ Σκουταρίου δυεῖν ἡμερῶν ὁδὸν ἀνύσας, τῇ τρίτῃ ἅμα ἕῳ, ἐπεὶ πάλιν τῆς αὐτῆς εἴχοντο ὁδοῦ, καὶ ἡ Περσικὴ στρατιὰ ἐφάνη ἄπωθεν ἐν χωρίοις ὑψηλοῖς ἐγκαθιδρυμένη. ὀλίγον δὲ προελθὼν ὁ βασιλεὺς, ἐστρατοπέδευσε καὶ αὐτὸς ἐν χωρίῳ Πελεκάνῳ προσαγορευομένῳ, καὶ τοὺς ἐν τέλει συναγαγὼν, ἐβουλεύοντο ὅ, τι δέοι ποιεῖν. [25]

1 343 ἐδόκει δὴ περαιτέρω μὴ προβαίνειν, ἅμα μὲν καὶ διὰ τὸ τοὺς νομάδας Πέρσας οἷς ἐπῄεσαν ὡς ἐξανδραποδισόμενοι, τὴν ἔφοδον αἰσθομένους διαδρᾶναι, ἅμα δ’ ὅτι, τῶν τε χωρίων δυσβάτων καὶ στενῶν ὄντων, δι’ ὧν ἔμελλον διϊέναι, καὶ στρατιᾶς ἀντιστρατοπεδευομένης πεζῆς τε καὶ ἱππικῆς, οὐκ ἀναγκαῖον διακινδυνεύειν ἐπὶ κέρδει οὐδενί. ἵνα δὲ μὴ δοκοῖεν τῷ δέει τῶν βαρβάρων ἀναστρέφειν, εἰς τὴν ὑστεραίαν ἅμα ἕῳ ὁπλισαμένους ἐπὶ τοῦ πεδίου κατέναντι τῶν βαρβάρων παρατάξασθαι ὡς εἰς μάχην. κἂν μὲν αὐτοὶ τῆς δυσχωρίας ἀποστάντες, ἐπὶ τοῦ ὁμαλοῦ θελήσωσι διαγωνίσασθαι αὐτοῖς, καὶ αὐτοὶ ἐπιδείξεσθαι τὴν οἰκείαν ἀρετήν· ἐὰν δὲ μὴ αὐτοὶ τῆς δυσχωρίας ἀφιστῶνται, τῆς εἰς Βυζάντιον ἔχεσθαι φερούσης τεταγμένως, ἔργῳ δείξαντας, ὡς οὐ διὰ δειλίαν, ἀλλὰ τὸ μὴ ἔχειν οἵστισι συμβαλοῦσιν, ἀνέζευξαν εἰς τὴν οἰκίαν. οὕτω μὲν δὴ ἐδέδοκτο· καὶ ηὐλίσαντο τὴν νύκτα ἐκείνην κατὰ τὸν Πελεκάνον, ἅμα δὲ ἕῳ μετὰ τοὺς εἰωθότας ὕμνους πρὸς θεὸν τῇ σάλπιγγι ἐκέλευεν ὁ βασιλεὺς τῇ στρατιᾷ τὴν ἐφόπλισιν σημαίνειν. ἐπεὶ δὲ ὡπλίσαντο, κατέναντι τῶν βαρβάρων ἦλθον, παρατεταγμένοι ὡς ἐς μάχην, ᾗ ἐδέδοκτο τῇ προτεραίᾳ. Ὀρχάνης δὲ καὶ αὐτὸς ἰδὼν τὸν βασιλέα ἐπιόντα, ἀντιπαρέταττε καὶ αὐτὸς τὴν στρατιάν. καὶ μέρος μέν τι κατέκρυψεν ἐν λόχοις, ὡς ἂν, εἰ οἱ Ῥωμαῖοι ὑπερσχόντες ἐπίωσιν αὐτοῖς, οἱ ἐν ταῖς ἐνέδραις ἐκ τοῦ αἰφνιδίου ἐπελθόντες, ἐκπλήξωσί τε διὰ τὸ ἀπροσδόκητον καὶ τρέψωνται αὐτούς· τὴν δ’ ἄλλην ἅπασαν δύναμιν ἀναλαβὼν, ἔστη ἐπὶ μετεώρου. [25]

1 344 τριακοσίους δὲ ἀπολεξάμενος τοὺς παρ’ αὐτῷ μαχιμωτάτους ἱπποτοξότας, ἵππους ἔχοντας τῶν μάλιστα θέειν ἀγαθῶν, ἐκέλευσεν αὐτοῖς οὐ κατὰ συστάδην, ἀλλ’ ἐξ ἐφόδων συμπλέκεσθαι τῇ βασιλέως στρατιᾷ, καὶ ἐπιόντας μὲν μὴ ὑπομένειν, ἀλλὰ φεύγοντας τοξείαις χρῆσθαι, ἀναχωροῦσι δὲ αὖθις ἐπιτίθεσθαι. συμβέβηκε δὲ τὸ μεταξὺ τῶν στρατευμάτων ἀμφοτέρων ὅσον μὲν ἦν κατὰ τοὺς Ῥωμαίους ὁμαλόν τε εἶναι καὶ ῥᾴδιον πρὸς τὰς ἱππηλασίας, τὸ δὲ κατὰ τοὺς Πέρσας οὐ μόνον ἄναντες καὶ δυσπρόσοδον, ἀλλὰ καὶ τάφροις αὐτοφυέσι πανταχόσε διατετμημένον· ᾧ καὶ μᾶλλον οἱ βάρβαροι πεποιθότες ἐπῄεσαν Ῥωμαίοις. τούτοις μὲν οὖν τοῖς τριακοσίοις προσετέτακτο τὸν τρόπον τοῦτον συμπλέκεσθαι Ῥωμαίοις. ἑτέρους δὲ χιλίους ὄπισθεν αὐτῶν ἐπέστησε κατὰ τὰς τάφρους καὶ τὰς δυσχωρίας, ὡς ἂν, εἰ διώκοιντο οἱ τριακόσιοι πρὸς τῶν Ῥωμαίων, αὐτοὶ πρὸς τὰ στενὰ ἑστῶτες ἀμύνωσιν αὐτοῖς· ἑκατέρωθέν τε αὐτῶν χιλίους ἐφ’ ἑκάστῳ μέρει τῆς αὐτῆς ἕνεκα αἰτίας. βασιλεὺς δὲ ἐπεὶ ἑώρα τοὺς Πέρσας ἀπὸ τοῦ λόφου κατιόντας, τριακοσίους καὶ αὐτὸς ἐπιλεξάμενος ἐκ τῶν ἰδίων καὶ περιστησάμενος ἑαυτῷ, τοιαύτην τινὰ παραίνεσιν ἐποιήσατο πρὸς αὐτούς· „ἄνδρες στρατιῶται, τὴν μὲν εὔκλειαν τῶν Ῥωμαίων καὶ τὴν δόξαν, ἣν ἀπὸ τοῦ φοβεροὶ τοῖς πολεμίοις εἶναι ἐκτήσαντο ἐξ ἀρχῆς, οὐδ’ αὐτοὶ ἀγνοεῖτε· οὗτοι γάρ εἰσιν οἱ μικροῦ δεῖν πᾶσαν παραστησάμενοι τὴν οἰκουμένην, καὶ πάντα γένη καὶ Εὐρωπαῖα καὶ τὰ ἐπὶ τῆς Ἀσίας ἀναγκάσαντες αὐτοῖς δουλεύειν. [25]

1 345 ὅτι δὲ ἡμᾶς οὐκ ἐπὶ πολύν τινα χρόνον οὐκ ὀλίγα τινὰ τῶν βαρβάρων συμβέβηκεν ἐλαττωθῆναι, οὐ χρὴ διὰ ταῦτα καὶ πρὸς τὰ ὑπόλοιπα ἀπαγορεύειν. οὐδὲ γὰρ κατὰ τὴν ἡμετέραν κακίαν τὸ ἡσσῆσθαι προσεγένετο, ἀλλὰ τοῦ θεοῦ πρὸς ἔκτισιν ὧν προσκεκρούκαμεν αὐτῷ, διὰ τῶν βαρβάρων τιμωρουμένου. οὐ δὴ δίκαιον τοὺς τὴν γνώμην μὴ κατὰ κράτος νικηθέντας, ἔχοντας δέ τινα αὖθις κρείττονα ἐλπίδα τῆς συμφορᾶς τῇ ἀποβάσει ἀμβλύνεσθαι· νομίσαι δὲ ἐν μὲν ταῖς πράξεσιν ἐνδέχεσθαι σφάλλεσθαι τοὺς ἀνθρώπους, ταῖς δὲ γνώμαις ἀεὶ τοὺς αὐτοὺς ἀνδρείους ὀρθῶς εἶναι, καὶ μὴ διὰ τὴν προτέραν ἧτταν, τοῦ ἀνδρείου παρόντος, εἰκότως ἂν ἔν τινι κακοὺς ὀφθῆναι. ὑμεῖς δὲ οὔτε ἐμπειρίᾳ τῇ πρὸς τὰς μάχας λείπεσθε τῶν βαρβάρων, ἀλλὰ καὶ τῇ τόλμῃ πολὺ προέχετε αὐτῶν. ὁρᾶτε γὰρ αὐτοὺς κατεπτηχότας καὶ καταδυομένους πρὸς τὰ κοῖλα τῶν ὀρῶν καὶ μηδαμοῦ τῆς δυσχωρίας ἀποστῆναι βουλομένους, μηδὲ ἐκ τοῦ ἴσου διαγωνίσασθαι ἡμῖν τολμῶντας. γίνεσθε δὴ ἄνδρες ἀγαθοὶ καὶ τὴν καταπεσοῦσαν ἤδη δόξαν τῶν προγόνων ἀνορθώσατε αὐτοί, καὶ μὴ νομίσητε ὑπὲρ μηδὲν προσηκούσης γῆς ὑμῖν διαγωνίζεσθαι πρὸς τοὺς βαρβάρους, ἀλλ᾽ ὑπὲρ ἐλευθερίας μάλιστα καὶ τῆς οἰκείας ἕκαστος πατρίδος. ἐὰν γὰρ ἐνταῦθα ἀξίως ἑαυτῶν ἀγωνιζόμενοι νικήσωμεν αὐτούς, πρὸς οἷς ἀφῃρήμεθα πρότερον ὑπ᾽ αὐτῶν καὶ τὴν οὖσαν καρπωσόμεθα ἀδεῶς. πρὸς τούτοις δὲ εἰ μὲν καὶ αὐτὸς συνηγωνιζόμην ὑμῖν ἐν τῷ παρόντι, πρόφασις ἂν ἦν τινι κακῷ γενέσθαι λήσειν οἰομένῳ· ἐπεὶ δὲ αὐτὸς ἔξω ἕστηκα τῶν ἄλλων βραβευτὴς, ἔξεστι σκοπεῖν ἑκάστῳ ὡς, εἰ μὲν κακὸς ὀφθείη, κολασθήσεται τῇ πρεπούσῃ ζημίᾳ· οἱ δὲ ἀγαθοὶ τιμηθήσονται τοῖς προσήκουσιν ἄθλοις τῆς ἀρετῆς. [5]

1 346 τὴν δὲ συμπλοκὴν ὁποίαν τινὰ χρὴ ποιεῖσθαι πρὸς τοὺς βαρβάρους, καὶ αὐτοὶ μὲν ἴστε ἐκ παιδὸς πολεμίοις ἔργοις ἐντεθραμμένοι· παραινέσω δὲ καὶ αὐτός. εἰ μὲν γὰρ τεταγμένοι κατὰ φάλαγγας ἐκ τοῦ ὁμοίου καὶ αὐτοὶ ἐμάχοντο ἡμῖν, ἦν ἀναγκαῖον καὶ ἡμᾶς τὴν τάξιν φυλάττοντας αὐτοῖς ἐπιέναι· ἐπεὶ δὲ, ὅσον ἀπὸ τῶν γινομένων ἐστὶν εἰκάζειν, οὐκ εἰς χεῖρας ὑμῖν ἰέναι διανοοῦνται, ἀλλ᾽ ἄπωθέν τε βάλλειν καὶ ἐπιόντας οὐχ ὑφίστασθαι, ἀλλ᾽ ὑπαναχωρεῖν πρὸς τὰς δυσχωρίας καὶ τοὺς τεταγμένους ἐν αὐταῖς, δέον καὶ ὑμᾶς μέχρι μὲν τοῦ ἐν ἐφικτῷ τῶν τοξευμάτων γίνεσθαι σχολῇ βαδίζειν καὶ τεταγμένως, ἐπειδὰν δὲ γένησθε ἐγγὺς, ὀξύτητι πάσῃ χρῆσθαι καὶ εὐψυχίᾳ, ἅμα μὲν τὸ μεταίχμιον συναιροῦντας ὡς ἂν μὴ κατὰ σχολὴν βάλλησθε τοῖς βέλεσι συχνοῖς, ἅμα δ᾽, ἵνα καὶ τὴν ἀναχώρησιν τῶν βαρβάρων φθάνοντες αὐτοὺς κακῶς ποιῆτε· τὴν δίωξιν δὲ μὴ ἐπιπολὺ ποιεῖσθαι, μηδὲ θρασύτητι ἐπαιρομένους, ἑαυτοὺς εἰς τοὺς κινδύνους εἰσωθεῖν· ἀλλ᾽ ἐπειδὰν ἐν τοῖς ἐπιτάκτοις γένησθε ἐκείνοις, πάλιν ὑπαναχωρεῖν πρὸς τὸ πεδίον, τὴν τάξιν τε φυλάττειν καὶ ἐπιόντας ἀμύνεσθαι τοὺς βαρβάρους.“ Τοιαῦτα μὲν ὁ βασιλεὺς παρεκελεύσατο τοῖς στρατιώταις, ἅμα καὶ βοήθειαν τὴν ἐκ τοῦ κρείττονος καὶ νίκην ἐπευξάμενος αὐτοῖς. [20]

1 347 οἱ δὲ προσκυνήσαντές τε βασιλέα καὶ ἢ καλῶς νικήσειν ἢ εὐκλεῶς τεθνήξεσθαι εἰπόντες, σταυρῷ τε καθοπλίσαντες ἑαυτοὺς, ἐχώρουν κατὰ τῶν βαρβάρων τεταγμένως καὶ κατὰ σχολήν. ἐστρατήγει δὲ αὐτῶν Ἐξώτροχος ὁ μέγας ἑταιρειάρχης. ἀντεπῄεσαν δὲ καὶ οἱ βάρβαροι αὐτοῖς ὁμοίως. ἐπειδὴ δὲ ἦσαν ἐγγὺς ἀλλήλων ὅσον ἐφικνεῖσθαι τοῖς τοξεύμασιν, οἱ Ῥωμαῖοι μὲν, ᾗ αὐτοῖς προσετέτακτο πρὸς βασιλέως, ὅλους ἀνέντες χαλινοὺς, ὅσον ἐνῆν ὀξέως ἐπεφέροντο τοῖς Πέρσαις· οἱ βάρβαροι δὲ καρτερήσαντες μὲν ἐπὶ μικρὸν καὶ βέλη κατὰ τῶν Ῥωμαίων ἀφέντες, οἰόμενοι οὕτως ἂν ἀποτρέψαι τῆς ὁρμῆς, ἐπεὶ ἑώρων αὐτοὺς ἀτρέπτως ἐπιόντας καὶ οὐδὲ ὀλίγα φροντίζοντας τῶν οἰστῶν, εἰς φυγὴν ἐτράποντο εὐθύς. ἐν δὲ τῇ φυγῇ ἀπέθανον περὶ τεσσαράκοντα αὐτῶν, οἱ λοιποὶ δὲ διεσώθησαν πρὸς τὰς δυσχωρίας καὶ τοὺς τεταγμένους ὄπισθεν καταφυγόντες. Ῥωμαίων δὲ ἀπέθανεν οὐδεὶς οὔτε ἐτρώθη· ἵπποι δὲ ἐγένοντο ὀλίγοι τραυματίαι. ἀναχωρήσαντες δὲ ἀπὸ τῆς διώξεως, ἔστησαν ἐπὶ τοῦ πεδινοῦ πάλιν ὡς ἐπὶ βαλβίδος, τὴν ἔφοδον τῶν βαρβάρων περιμένοντες· οἱ Πέρσαι δὲ μικρὸν

ἐνδιατρίψαντες τοῖς οἰκείοις καὶ πλείους τῶν πεσόντων προσλαβόμενοι ἑτέρους, ἦεσαν ἐπὶ τοὺς Ῥωμαίους. καὶ ἐπεὶ πάλιν ὥσπερ καὶ πρότερον ἐγένοντο ἐγγύς, τῇ ἴσῃ καὶ ὀξύτητι καὶ προθυμίᾳ τῶν Ῥωμαίων χρησαμένων, ἐτράπησάν τε αὖθις εἰς φυγὴν οἱ βάρβαροι καὶ περὶ τριάκοντα αὐτῶν ἀπέθανον ἐν τῇ διώξει· Ῥωμαίων δὲ οὐδείς, οὔτε ἐτρώθη, εἰ μὴ ἔνιοι τῶν ἵππων. [25]

1 348 Ὀρχάνης δὲ ὁρῶν ἀπὸ τοῦ λόφου τοὺς ἰδίους ἤδη ἡσσημένους δὶς, παρεθάῤῥυνέ τε τοὺς βαρβάρους καὶ ἐπεβοήθει πέμψας στρατιάν. βασιλεὺς δὲ ἐπῄνει τε τοὺς ἰδίους καὶ αὐτὸς τῆς εὐψυχίας ἕνεκα καὶ τῆς ἀνδρίας καὶ παρεκάλει μὴ ὑφίεσθαι τῆς τόλμης, ὡς ἀεὶ κρείττους τῶν βαρβάρων ἐσομένους, ἔπεμπέ τε καὶ στρατιὰν ἀξιόμαχον πρὸς τοὺς βαρβάρους. καὶ γενομένων ἐγγὺς τῶν στρατευμάτων, πάλιν ἀντέσχον μὲν οἱ Πέρσαι ἐπὶ πλέον· ἐκβιασθέντες δ' ὅμως ὑπὸ τῶν Ῥωμαίων, ἐτράπησαν εἰς φυγὴν πρὸς τοὺς οἰκείους καὶ ἔπεσον ὀλίγοι ἐξ αὐτῶν. τοιαύτας μὲν δὴ τὰς συμπλοκὰς καὶ τὰς ἀναχωρήσεις οἱ Πέρσαι πρὸς τοὺς Ῥωμαίους ἐποιοῦντο ἄχρι δείλης τῆς ἡμέρας ἐν ἀρχαῖς μάλιστα τοῦ θέρους, Ἰουνίου μηνὸς ἐνισταμένου. καὶ κατὰ πάσας μὲν τὰς συμβολὰς ἐνίκων οἱ Ῥωμαῖοι· κατὰ κράτος δὲ αὐτῶν περιγενέσθαι οὐκ ἠδύναντο, ἅμα μὲν διὰ τὸ φάραγγας βαθείας περιβεβλῆσθαι τὴν Περσῶν στρατιὰν καὶ μηδεμίαν κύκλωσιν παρέχειν τοῖς Ῥωμαίοις, ἅμα δ', ὅτι καὶ τὸ πεδίον, ἐν ᾧ κατιόντες διηγωνίζοντο οἱ Πέρσαι, τάφροις αὐτοφυέσι καὶ αὐτὸ διατετμημένον ἦν πανταχοῦ, ἐν οἷς τοξόται ἱστάμενοι πολλοὶ τὴν τελείαν νίκην ἀφῃροῦντο Ῥωμαίους, βάλλοντες ἐκ τῶν ὀχυρωμάτων· τήν τε στρατιὰν αὐτοῖς πᾶσαν βασιλέα οὐκ ἐξῆν ἐπαγαγεῖν διὰ τοῦ τόπου τὴν ἀνωμαλίαν. ἐξ ἐκείνου δὲ ὁ Ὀρχάνης νομίσας καιρὸν εἶναι καὶ σφοδροτέρας προσβολῆς, χιλίους ἑτέρους ἀπολεξάμενος τῶν Περσῶν, ἐκέλευσεν εἰς τὸ πεδίον καταβάντας ἅμα τοῖς τριακοσίοις προσβαλεῖν Ῥωμαίοις. [25]

1 349 βασιλεύς τε ἐπεὶ ἐκείνους ἑώρα κατιόντας, τοῖς τε πρότερον μαχομένοις στρατιώταις τῆς ἀνδρίας ἕνεκα εὐχαριστήσας τὰ εἰκότα καὶ τὸν στρατηγὸν αὐτῶν Ἐξώτροχον ἐπαινέσας καὶ τῆς ἐμπειρίας καὶ τῆς τόλμης, ἔπεμπε καὶ στρατιὰν ἑτέραν, ἧς ἦρχε Τάγαρις Μανουὴλ ὁ μέγας στρατοπεδάρχης, ὡς σὺν αὐτοῖς ἀντιστησομένην τοῖς βαρβάροις. καὶ γενομένης ἐπιπολὺ μάχης ἰσχυρᾶς ἐξ ἑκατέρων τῶν μερῶν, τῶν μὲν Ῥωμαίων ἵππων ἐτρώθησαν πολλοὶ, στρατιῶται δὲ ἐγένοντο ὀλίγοι τραυματίαι, τέθνηκε δὲ εἷς· Περσῶν δὲ ἔπεσον πεντήκοντα παρὰ τὴν μάχην. Ὀρχάνης δὲ ἐν ᾧ ἡ μάχη συνεκροτεῖτο, τὴν στρατιὰν, ἣν εἶχε, πᾶσαν ἔστησεν ἐπὶ μετώπου, (πρότερον γὰρ μέρος τι αὐτῆς πολὺ ἐν ταῖς ἐνέδραις κεκρυμμένον ἦν,) ὡς εἶναι καταφανῆ καὶ Ῥωμαίοις καὶ βαρβάροις, οἰόμενος ἐκείνοις τε προθυμίαν καὶ Ῥωμαίοις ἔκπληξιν τὸ τοιοῦτον ἐμποιήσειν. ὡς δὲ ἑώρα τῆς ἐπινοίας ἀπονάμενος οὐδὲν, (οἱ Ῥωμαῖοι γὰρ οὐδὲν ἧττον ἐμάχοντο εὐψύχως καὶ ἤδη περιεγίνοντο τῶν πολεμίων,) Παζαρλοῦν τὸν ἀδελφὸν πανστρατιᾷ ἐκέλευσε τοῖς Ῥωμαίοις συμβαλεῖν· μικρὸν δὲ καὶ αὐτὸς ἀπὸ τοῦ λόφου καταβὰς, πάλιν ἔστη μετ' ὀλίγων ὅ, τι ἂν ἀποβαίη σκοπῶν. βασιλεὺς δ' ἐπεὶ ἑώρα πανστρατιᾷ πρὸς τὴν μάχην τοὺς βαρβάρους ὡρμημένους, τὰς μὲν ἄλλας ἐκέλευε τάξεις μένειν πάσας ἀτρεμούσας, αὐτὸς δὲ τρία τέλη ἀναλαβὼν, ἐχώρει πρὸς τὴν μάχην. ἐτέτακτο δὲ ἐπὶ μὲν τοῦ δεξιοῦ κέρως ὁ μέγας δομέστικος, τὸ ἀριστερὸν δὲ εἶχεν ὁ Ἄγγελος Ἰωάννης ἐξάδελφος αὐτῷ, βασιλεὺς δὲ ἐπεῖχε τὸ μέσον. [25]

1 350 καὶ συμβαλόντες τοῖς βαρβάροις, ἐτρέψαντό τε κατὰ κράτος, μηδὲ ἀντισχεῖν τὴν πρώτην δυνηθέντας ὁρμὴν καὶ τὰς δυσχωρίας πάσας ὑπερβάντες, ἄχρι τῶν ἄκρων κατεδίωξαν τοῦ λόφου, ἔνθα καὶ Ὀρχάνης ἦν ἑστώς. ἔπεσον δὲ παρὰ τὴν μάχην Περσῶν μὲν πεντήκοντα καὶ ἑκατὸν, Ῥωμαίων δὲ οὐδεὶς, ἀλλ' οὔτε ἐτρώθη, οὔτε στρατιώτης οὔτε ἵππος. βασιλεὺς δὲ ἀνεχώρησεν ἐκεῖθεν, τὸ βιάζεσθαι πρὸς τὸν λόφον οὐχ ἡγούμενος λυσιτελεῖν, καὶ πρὸς τὸ πεδίον ἐλθὼν, ἐκέλευεν ἕκαστον τὴν ἣν εἶχεν ἐξ ἀρχῆς τάξιν φυλάττειν. οἱ βάρβαροί τε ἐπὶ τοὺς πρόποδας ἔστησαν τοῦ ὄρους, τὸ περαιτέρω προβαίνειν οὐχ ἡγούμενοι λυσιτελεῖν. ζ'.

Βασιλεὺς δὲ ὁρῶν τοὺς βαρβάρους οὐκέτι διανοουμένους εἰς χεῖρας αὐτοῖς ἰέναι, ἐβουλεύετο μετὰ τῶν ἐν τέλει ὅ, τι δέοι ποιεῖν αὐτούς. παρελθὼν δὲ ὁ μέγας δομέστικος, ἐβουλεύετο τοιάδε· „τὰ μὲν πράγματα ἡμῖν ᾗ αὐτοί τε ἐβουλευσάμεθα ἐξ ἀρχῆς, καὶ πρὸς πέρας ἐχώρησεν ἀγαθόν. παρεταξάμεθά τε γὰρ αὐτοὶ ἐλθόντες ὡς πρὸς μάχην πρῶτοι, ὡς ἂν μὴ δοκοίημεν τῷ δέει τῶν βαρβάρων ἀναχωρεῖν, οἵ τε πολέμιοι φανερῶς μὲν ἀντιτάξασθαι οὐκ ἐτόλμησαν ἡμῖν, μαρτυρήσαντες ἐναργῶς, ὡς οὐκ ἀξιομάχους ἑαυτοὺς ἐνόμισαν ἡμῖν, οὐκέτι δὲ ἀπέσχοντο τοῦ μὴ καὶ πεῖραν λαβεῖν συμπάσης τῆς δυνάμεως αὐτῶν. εἰ γὰρ μὴ καὶ Ὀρχάνης αὐτὸς παρεγένετο πρὸς τὴν μάχην ὅπως τινὰ ἡμῖν ἔτι ὑπολίποιτο ἐλπίδα τοῦ δυνήσεσθαί τι πλέον αὐτὸς παρὼν, ἀλλ᾽ ἡμῖν γε δῆλον ἐξ αὐτῶν κατέστη τῶν πραγμάτων, ὡς οὐδὲν ἂν ἔσοιτο πλέον αὐτοῦ παρόντος. [20]

1 351 ὅτε τοίνυν τὸ μὲν εἰς χεῖρας ἡμῖν ἰέναι φανερῶς ἐξέκλινεν αὐτὸς, ἐν δὲ ταῖς κατὰ μέρος συμπλοκαῖς ἀεὶ τὸ πλέον ἔσχομεν ἡμεῖς, (ὑπὲρ τετρακοσίους γὰρ πεσόντων βαρβάρων, Ῥωμαίων τέθνηκε μόνος εἷς,) ποίαν ἄν τις ἀπόδειξιν ζητοίη μείζονα καὶ περιφανεστέραν τοῦ καὶ ταῖς γνώμαις τοὺς βαρβάρους καὶ τοῖς σώμασιν ἡμῶν ἡσσῆσθαι; κἀκεῖνο δέ τις μέγιστον ἂν τεκμήριον τιθείη τοῦ οἴεσθαι ἡμᾶς τοὺς βαρβάρους δυνατωτέρους ἑαυτῶν· τοῦ γὰρ ὑπηρετικοῦ τῆς στρατιᾶς διὰ πάσης τῆς ἡμέρας ἐγγὺς αὐτῶν τροφὴν τοῖς ἵπποις συλλεγόντων, οὐδὲ ἐπεχείρησαν οἱ βάρβαροι κωλῦσαι, καίτοι γε τὰ ἄλλα ὄντες τοῦ δέοντος μᾶλλον φιλοπόλεμοι καὶ φιλοκερδεῖς· ἐπειδὴ δὲ ὅσον οὔπω καὶ ὁ ἥλιός ἐστι πρὸς δυσμὰς, ἄριστον εἶναί μοι δοκεῖ, εἰς τὸ στρατόπεδον ἐλθόντας αὐλίσασθαι τὴν νύκτα, καὶ ἐς τὴν ὑστεραίαν ἅμα πρωῒ τὰ ὅπλα ἔχοντας, τεταγμένως τὴν ἐς Βυζάντιον ἰέναι. κἂν μὲν οἱ βάρβαροι τῆς δυσχωρίας ἀποστάντες ἐπὶ τοῦ πεδίου ἐθελήσωσι διαγωνίσασθαι πρὸς ἡμᾶς, θεῷ μελήσει τὴν νίκην ὁποτέροις ἂν παράσχοι. ἂν δ᾽ ἐπὶ τοῦ λόφου μένοντες, ἀπόσχωνται τῆς μάχης, ᾧ καί μοι μᾶλλον ἔπεισι πείθεσθαι, ὡς διὰ πεδίου μέλλομεν ἰέναι ἐνθυμουμένῳ, μετὰ βελτίστου τοῦ σχήματος ἡ ἐπάνοδος κείσεται ἡμῖν, ἀμφοτέρωθεν ἔχουσι τὴν νίκην, ἔκ τε ὧν τῇ προτεραίᾳ ἀγωνισάμενοι τὸ πλέον ἔσχομεν αὐτῶν καὶ ἐξ ὧν εἰς τὴν ὑστεραίαν αὐτοὶ μὲν ἔργῳ προὐκαλούμεθα εἰς μάχην· ἐκεῖνοι δ᾽ οὐκ ἀξιόχρεως αὐτοὺς νομίζοντες, ἔμειναν ἑστῶτες ἐπὶ τῶν ὀχυρωμάτων. [20]

1 352 “ Τοιαῦτα τοῦ μεγάλου δομεστίκου βουλευσαμένου, ὅ, τε βασιλεὺς ἐπείθετο αὐτίκα καὶ τοῖς ἄλλοις ἄριστα ἐδόκει. καὶ τῶν σημείων ἀρθέντων ἅμα καὶ τῆς σάλπιγγος ἀνάζευξιν σημηνάσης, πρὸς τὸ στρατόπεδον ἐχώρουν, παιωνίσαντες ὡς ἐπὶ νίκῃ. Ὀρχάνης δὲ αὐτὸς μὲν ἔμεινεν ἐπὶ τοῦ λόφου τὸ πολὺ τῆς στρατιᾶς ἔχων, μέρος δέ τι πέμψας παρέπεσθαι ἐκέλευσε Ῥωμαίοις ἄχρι στρατοπέδου. ἐκ δὲ τῆς Ῥωμαίων στρατιᾶς οἱ μάλιστα ἠβῶντες, οὐ τῶν εὐγενεστέρων μόνον, ἀλλὰ καὶ τῆς ἄλλης στρατιᾶς, τοὺς Πέρσας αὐτοῖς ὁρῶντες ἑπομένους, οἷα νέοι καὶ δυσκάθεκτοι ταῖς ὁρμαῖς, τῶν τάξεων ἐξιόντες τῶν σφετέρων, ὑπελείποντο ὀπίσω καὶ τοῖς βαρβάροις συνεπλέκοντο ἐξ ἐφόδων. ὁ μέγας δὲ δομέστικος τήν τε ἀκαιρίαν ὑποπτεύων, (ἤδη γὰρ ὀψὲ ἦν,) καὶ δεδιὼς περὶ τοῖς στρατιώταις μή τι τοῖς βαρβάροις κακουργηθῇ περὶ αὐτοὺς, ἄλλως τε καὶ δι᾽ ὀργῆς αὐτοὺς ποιούμενος ὅ,τι μήτε βασιλέως προστεταχότος, μήτ᾽ αὐτοῦ τῆς Ῥωμαίων συμπάσης στρατηγοῦντος στρατιᾶς, ἀτάκτως καὶ συνθήματος χωρὶς τοῖς βαρβάροις συμπλέκονται λειπόμενοι ὀπίσω, τὴν μὲν σημαίαν καὶ τὸ τάγμα τὸ ὑπ᾽ αὐτὸν ἑνὶ τῶν ὑποστρατηγούντων αὐτῷ παραδοὺς, εἰς τὸ στρατόπεδον ἐκέλευε χωρεῖν· αὐτὸς δὲ ὀλίγους λογάδας παραλαβὼν, ἐχώρει πρὸς τοὺς μαχομένους τοῖς βαρβάροις, ἅμα μὲν τῆς μάχης ἀποστήσων καὶ ἄξων μεθ᾽ ἑαυτοῦ πρὸς τὴν στρατιὰν, ἅμα δὲ καὶ δίκην ἐπιθήσων τὴν προσήκουσαν τοῖς ἀτάκτοις. [25]

1 353 τοῖς ἴσοις δὲ λογισμοῖς χρησάμενος καὶ βασιλεὺς, τὸ ἴδιον τάγμα καὶ αὐτὸς καὶ τὴν σημαίαν τὴν βασιλικὴν Ἀσάνῃ Μανουὴλ τῷ Ἀνδρονίκου υἱῷ ἐξαδέλφῳ ὄντι αὐτοῦ παραδοὺς καὶ

χωρεῖν πρὸς τὸ στρατόπεδον κελεύσας, λογάδας καὶ αὐτὸς παραλαβών τινας, ἐβάδιζεν ὀπίσω. οὕτω δὲ συμβὰν, γενόμενοι ἀλλήλοις ἐν ταὐτῷ καὶ τὴν αἰτίαν τῆς ὑποστροφῆς πυθόμενοι εἶναι τὴν αὐτὴν, ἐπεὶ ἐδόκουν καιρίως πεποιῆσθαι, ἄχρι τῶν μαχομένων ἦλθον καὶ τῆς συμβολῆς μὲν ἀπέστησαν ἐκείνους, αὐτοὶ δὲ καὶ ἄκοντες τοῖς βαρβάροις συνεπλέκοντο. οἱ γὰρ βάρβαροι τὴν μὲν στρατιὰν ὁρῶντες ἤδη οὐκ ὀλίγον αὐτῶν ἀφεστηκυῖαν, τοὺς ὑπολειπομένους δὲ ὀλίγους, καὶ νομίσαντες καιρὸν εἶναι αὐτοῖς ἐπιθεμένους διαφθεῖραι, λογάδες καὶ ἐξ αὐτῶν καὶ πολλάκις τόσοι ἐπιθέμενοι, ἐν χρῷ κατέστησαν αὐτοὺς κινδύνου. δομέστικός τε γὰρ ὁ μέγας, τοῦ ἵππου αὐτῷ ἐν ταῖς ἐκδρομαῖς καὶ ἀναστροφαῖς πεσόντος, μικροῦ ἐδέησεν ἀποθανεῖν, εἰ μὴ βασιλέως καὶ τῶν ἄλλων περιστάντων, ἐφ' ἕτερον ἀνηνέχθη. καὶ τὸν βασιλέως ἵππον ἔτρωσαν μὲν τραύμασι καιρίοις, ἐπέσησε δὲ ὅσον ἀπαλλάξαι τῶν βαρβάρων. ἐτρώθη δὲ καὶ ὁ βασιλεὺς βέλει τὸν μηρὸν, ἄγαν εὐψύχως μαχόμενος τοῖς βαρβάροις, καὶ διῆλθε τὸ βέλος ἀμφοτέρας τὰς ἐπιφανείας. κίνδυνον δὲ τὸ τραῦμα οὐδένα ὑπενόει, ἀλλὰ μετὰ δεκάτην τῆς πληγῆς ἡμέραν αὖθις ὑγιὴς ἦν, ὡς ἂν εἰ μηδὲ τὴν ἀρχὴν ἐτρώθη. πλὴν εὐψύχως καὶ γενναίως ἀγωνισάμενοι καὶ βαρβάρους ὀλίγους μὲν, τῶν ἐπιφανῶν δὲ ἀνελόντες καὶ διαλυθέντες ἀπ' ἀλλήλων, οἱ μὲν ἀπελείποντο ὀπίσω, ὥσπερ πυρὸς τῆς Ῥωμαίων ἀπεχόμενοι στρατιᾶς, καὶ μηδ' ἐγγὺς ὑπομένοντες γενέσθαι. [25]

1 354 βασιλεὺς δὲ καὶ οἱ ἀμφ' αὐτὸν, ἐνοχλοῦντος μηδενὸς, πρὸς τὸ στράτευμα γενόμενοι, τὴν ἐπὶ τὸ στρατόπεδον ἐχώρουν· Σεβαστόπουλος δέ τις τῶν ὑποτεταγμένων βασιλεῖ, τὸ γένος μὲν Μυσὸς, τριακοσίων δὲ ἄρχων στρατιωτῶν οὐ πάνυ ὡπλισμένων, οὐδὲ ἵπποις χρωμένων ἀγαθοῖς, ἀλλὰ τὴν ἐσχάτην χώραν ἐπεχόντων ἐν τῇ στρατιᾷ, τούς τε ἰδίους ὅσοι ἦσαν παραλαβὼν καὶ πεζοὺς προσεταιρισάμενός τινας, τὴν ἄλλην στρατιὰν ἀπολιπὼν, δρόμῳ κατὰ Περσῶν ἐχώρει. συνιδόντες δὲ οἱ Πέρσαι, ὡς ἐπὶ κακῷ τῷ σφετέρῳ τὴν ἔφοδον ποιοῦνται ταυτηνὶ καὶ ἀποστῆσαι τῆς στρατιᾶς βουλόμενοι ἐπιπολὺ, τὴν ἧττάν τε προσεποιοῦντο καὶ φεύγειν ἐδόκουν· οἱ δ' ἐφείποντο ἀνοήτως. εἶτ' αἰφνίδιον οἱ βάρβαροι συστραφέντες, βοῇ τε ἐχρῶντο καὶ ἀλαλαγμοῖς καὶ τοῖς Ῥωμαίοις ἐπεφέροντο ὀξέως· οἱ δὲ μὴ ἐνεγκόντες τῶν βαρβάρων τὴν ὁρμὴν, ἐτράποντό τε καὶ κατέστησαν εἰς φυγήν. καὶ εἴκοσι μὲν ἀπέθανον ἐκ τῶν ἱππέων, πέντε δὲ καὶ ἕτεροι τοσοῦτοι πεζοί· οἱ δ' ἄλλοι διεσώθησαν, ἐκ τῆς στρατιᾶς πολλῶν ὀξέως ἐπιβοηθησάντων. βασιλεὺς δ' ἐπεὶ ἐστρατοπεδεύσατο πάλιν κατὰ τὸν Πελεκάνον, εἰς Βυζάντιον εὐθὺς τοὺς μηνύσοντας ἔπεμπε πρωτοστράτορι τὰ γεγενημένα, ἐκέλευέ τε ναῦς ἔχειν παρεσκευασμένας πρὸς τὸν πόρον, ὡς τῆς στρατιᾶς μετὰ μίαν ἡμέραν ἢ δευτέραν περαιωθησομένης. δείσας δὲ μὴ, ὅπερ ἐγένετο, περὶ τοῦ τραύματος αὐτοῦ ἑτέρως ἢ ὡς ἔχει φημισθῇ, ἐδήλου καὶ περὶ αὐτοῦ, ὡς τρωθείη μὲν τὸν μηρὸν, οὐδεμίαν δὲ τὸ τραῦμα ἔχειν ὑποψίαν, οὐδὲ διὰ τοῦτο τὴν ἐπάνοδον ποιεῖσθαι, ἀλλ' οὕτω δόξαν λυσιτελεῖν καὶ πρὶν τρωθῆναι. [5]

1 355 ὁ μέγας δὲ δομέστικος, ἐπεὶ τὰ περὶ τὴν στρατοπεδείαν κατεστήσατο καλῶς, ὅσους ἔδοξεν αὐτῷ τῆς στρατιᾶς παραλαβὼν, κατὰ τὴν εἰσβολὴν τοῦ στρατοπέδου, ἐπεὶ ἐπεφύκει καλῶς καθάπερ ἰσθμὸς οὖσα στενὴ, τοῦ ἔνδοθεν ἐπιπολὺ πλατυνομένου, ηὐλίσατο τὴν νύκτα φυλακῆς ἕνεκεν τῆς στρατιᾶς. η′. Ὀρχάνης δὲ, ἐπεὶ ἐπελάβετο ἡ νὺξ, τοὺς ὑπ' αὐτὸν σατράπας πάντας συναγαγὼν, „τὴν μὲν ἐμπειρίαν" εἶπε „καὶ τὴν τόλμαν τῶν Ῥωμαίων τὴν κατὰ τὰς μάχας οὐδένα σήμερον ὑμῶν οἴομαι ἠγνοηκέναι. δοκῶ δέ μοι καὶ αὐτοὺς ἂν ἐμοὶ συνομολογῆσαι, ὡς οὔτ' ἐφ' ἡμῶν, οὔτ' ἐπὶ τῶν ἡμετέρων προγόνων ἕτεροί τινες Ῥωμαίων οὕτως εὐκλεῶς ἄγαν ἠγωνίσαντο καὶ μετὰ πάσης ἐμπειρίας. διὰ πάσης γὰρ ἡμέρας ἡμῶν ἢ ἀπάτῃ ἢ ἐκπλήξει ἢ ὁρμῇ καὶ θρασύτητι παραβόλῳ ἢ ἑνί γέ τῳ τρόπῳ εἰς ἀταξίαν αὐτοὺς πειρωμένων ἐμβαλεῖν, οἱ δ' οὐδὲν μᾶλλον ἐκινήθησαν τοῦ προσήκοντος φρονήματος αὐτοῖς, ἀλλ' ἐμπειρίᾳ μὲν ἐφύλαξαν τὴν τάξιν, ἀνδρίᾳ δὲ καὶ εὐψυχίᾳ κρείττους ἀεὶ φαινόμενοι ἡμῶν, ἀπέκτειναν μὲν πολλοὺς

ἡμῶν, ἐκείνων δὲ ἀπέθανον οὐδὲ ὀλίγοι. καὶ τὸ δὴ θαυμαστότερον, ὅτι καὶ μετὰ τὴν ἀνάζευξιν τῆς στρατιᾶς ὀλίγων τινῶν ὀπίσω ὑπολιπομένων, πολλαπλασίους ἐκ τῶν ἡμετέρων ἐπιθέμενοι αὐτοῖς, οὐ μόνον οὐ περιεγένοντο αὐτῶν, ἀλλὰ καὶ τῶν οἰκείων ἀπέβαλον τοὺς ἀνδρίᾳ μάλιστα προέχοντας καὶ τόλμῃ. [20]

1 356 καὶ μετ' αὐτοὺς πάλιν ἑτέρων καίτοι γε ἀνοήτως προσβαλόντων καὶ φαύλως ἀγωνισαμένων τὸ δοκεῖν, ὡς ἐμὲ οἰηθῆναι πάντας αὐτοὺς διαφθερεῖν ἡμᾶς, ὅμως πλὴν ὀλίγων τῶν πεσόντων, οἱ ἄλλοι πάντες παρὰ δόξαν διεσώθησαν· ὧν μοι καὶ δοκεῖ τὸν στρατηγὸν ὁ βασιλεὺς τῆς ἀταξίας ἕνεκα εἰς τὴν σωτηρίαν ζημιώσειν. ἐκ τοίνυν τούτων πάντων εἰκὸς τὸν βασιλέα οἴεσθαι εἰς τὴν ὑστεραίαν μᾶλλον ἢ πρότερον θαῤῥοῦντα ἡμῖν ἐπιστρατεύσειν, ἡμᾶς δὲ μὴ δυναμένους πρὸς τὴν μάχην ἀντισχεῖν, φεύγειν ἀνάγκῃ ἡττηθέντας αἰσχρῶς καὶ ἀγεννῶς. εἰ δὲ παρὸν ἀκινδύνως σώζεσθαι καὶ προσέτι καὶ τὴν ἐκ τῆς ἥττης ἀδοξίαν διαφυγεῖν, (οὐδεὶς γὰρ ἂν ἡμῖν μέμψαιτο τῶν νοῦν ἐχόντων τὸν προῦπτον παραιτησαμένοις κίνδυνον,) ἔπειθ' ὑπὸ φιλονεικίας εἰς τοὺς ἐσχάτους ἑαυτοὺς καταστήσομεν κινδύνους, οὐκ ἄρα δόξομεν ἀνοηταίνειν καὶ ἐπιβουλεύειν ἑαυτοῖς; διὸ δή μοι καὶ δοκεῖ, τουτὶ μὲν τὸ στρατόπεδον καταλιπεῖν, ἑτέρας δὲ πολλὰς ἀναχωρήσεις ὀχυρωτάτας καὶ δυσπροσόδους ἔχοντος τοῦ τόπου, εἴς τινα αὐτῶν ἐλθεῖν κἀκεῖ τὸ ἀποβησόμενον περιμένειν. βέλτιον γὰρ μετὰ ἀδείας ἀναχωρεῖν, ἢ φεύγειν, τῶν Ῥωμαίων διωκόντων." Τοιαῦτα μὲν Ὀρχάνης μετὰ τῶν ἐν τέλει ἐβουλεύετο Περσῶν, καὶ ἐδόκει ἄριστα εἶναι καὶ λυσιτελοῦντα ἑαυτοῖς καὶ ἐπεψηφίζοντο πάντες. Κολαούζης δὲ Σαλιγγαρὶ καὶ Καταιγίαλος Πατατούρης, ἔξωροι μὲν ἤδη τὰς ἡλικίας ὄντες καὶ Ἀτουμάνῳ τῷ Ὀρχάνῃ πατρὶ ἡλικιῶται, πολλῶν δὲ ἔμπειροι πολέμων καὶ κινδύνων, οὐκ ἔφασαν αὐτοῖς ἀρέσκειν τὰ βεβουλευμένα, οὐδὲ, ἐξὸν ἀκινδύνως ἀποπειρᾶσθαι Ῥωμαίων, ἔτι ὑπὸ κακοβουλίας ἀναιμωτὶ τὴν νίκην αὐτοῖς παραδιδόναι. [5]

1 357 τὸ γὰρ τὸ στρατόπεδον ἐκλιπεῖν οὐδὲν ἄλλο ἐστὶν ἢ ἡττῆσθαι προφανῶς. τὸ μὲν οὖν μὴ ἀντιστῆναι δύνασθαι πρὸς βασιλέα, οὐδ' αὐτοὶ ἀρνηθείημεν, εἶπον, ἄν, καὶ πάντα μᾶλλον διανοητέον ἢ κατὰ στόμα προσυπαντᾷν Ῥωμαίοις. τὸ δὲ φεύγειν, ἀνάγκης μὴ παρούσης, μηδ' ἐπὶ μικρὸν λυσιτελεῖν. ἀλλ' ὅσα μὲν περιττὰ καὶ τὴν ἄλλην τῶν στρατιωτῶν ἀποσκευὴν ἐν ἀσφαλείᾳ καθιστᾷν ὅποι ἂν δοκῇ, αὐτὸν δὲ εὐσταλῆ καὶ κούφην ἔχοντα τὴν στρατιὰν, ἐπὶ τῶν αὐτῶν τόπων μένειν. ἐμφανῆ μέντοι μηδαμῶς ποιεῖν τὴν στρατιὰν, ἀλλ' ἐν νάπαις καὶ ταῖς κοιλάσι κατακρύπτειν, ἐπιεικῶς πρὸς τοῦτο ἔχοντος τοῦ τόπου εὐφυῶς. ὥσπερ δέ τινας σκοποὺς ἑκατὸν ἀπολεξάμενον στρατιώτας, ἐπὶ τῶν αὐτῶν ἑστάναι τόπων κελεύειν, οὗ αὐτὸς παρετάττετο τῇ προτεραίᾳ, καὶ εἰ μὲν βασιλεὺς ἐν τῷ στρατοπέδῳ ἡσυχάζοι, καὶ αὐτοὺς ἐνταῦθα κρύπτεσθαι ἄχρις ἂν ἡμῖν ἐμφανὲς καταστῇ πρὸς ὅ, τι τράπηται κἀκεῖνος. ἐὰν δὲ ἡμῖν ἐπίῃ, πρῶτον μὲν οὐ δυνατὸν αὐτοὺς κατὰ πρόσωπον ἐλθεῖν, τὰς δυσχωρίας παραιτουμένους καὶ τὰς ὀχυρότητας τὰς ἐκ τῶν τόπων. ἐμπειρίας γὰρ ἴδιον στρατηγικῆς οὐ μόνον τὴν στρατιὰν διατάττειν κοσμίως, ἀλλὰ καὶ καιρῶν στοχάζεσθαι καὶ τόπων, ἐξ ὧν πλεῖστα τούς τε πολεμίους δυνήσονται βλάψαι καὶ τοὺς φίλους ὠφελῆσαι. [20]

1 358 εἰ δ' ἄρα τοσοῦτον ἐκστήσονται τῶν ὀρθῶς ἐχόντων λογισμῶν, ὥσθ' ἑαυτοὺς θρασέως οὑτωσὶ καὶ παραβόλως ἐπὶ τὰ κρημνὰ τῶν ὀρῶν καὶ τὰς χαράδρας εἰσωθεῖν, τοῦτ' ἂν μάλιστα βουλοίμεθα ἡμεῖς καὶ εὐχῆς ἂν ἔργον ἰδεῖν γεγενημένον εἴη. τὴν νίκην γὰρ ἡμῖν παραδώσουσιν ἀπονητὶ διαφθαρέντες. τοῦτο μὲν οὖν τοιοῦτον ὂν οὐδὲ αὐτοὺς οἰόμεθα ἀγνοῆσαι, πεῖραν ὡς ὁρῶμεν πολεμίων ἔργων ἔχοντας. λείπεται δὴ περιελθόντας τὴν ἄκραν τῶν ὀρῶν, ἐκ θατέρου μέρους προσβαλεῖν ἡμῖν, πεδινοῦ τε ὄντος καὶ ῥᾳδίαν παρέχοντος τὴν ἐπιχείρησιν αὐτοῖς. στοχάζεσθαι δὲ ἔξεστι παντὶ τῷ βουλομένῳ, ὡς ἄχρις ἂν αὐτοῖς ἡ ὁδὸς διανυσθῇ, δυνατὸν ἡμῖν ἔξω τε κινδύνων καὶ φόβου παντὸς ἑαυτοὺς καθιστᾷν πρὸς τὰ καρτερώτατα ἀναχωρήσαντας, καὶ προσέτι προσέσται τὸ μὴ διὰ τὴν ἐκείνων ὀῤῥωδίαν φεύγειν

δοκεῖν, ἐν ᾧ μάλιστά ἐστι τὸ αἰσχρὸν, ἀλλ᾽ ἐμπειρίᾳ στρατηγῶν χρωμένους, τὴν ἀσφάλειαν τοῖς οἰκείοις ἐκπορίζειν. οὓς μέντοι ἔφημεν ὥσπερ σκοποὺς ἑστάναι ἑκατὸν, τὸν βασιλέα περιμείναντας ἄχρις ἂν ἐγγὺς γένηται αὐτῶν, τότ᾽ ἤδη καὶ αὐτοὺς ἀσφαλῶς ἀποχωρεῖν, οὐδενὸς ἂν ἐπιθησομένου διὰ τὸ εὐσταλεῖς εἶναι καὶ κούφους καὶ ἵπποις χρῆσθαι ἀγαθοῖς. Τοιαῦτα τῶν βαρβάρων βουλευσαμένων, Ὀρχάνης τε ἐπείθετο καὶ οἱ ἄλλοι, καὶ ἐδέδοκτο μένειν ὡς ἐς τὴν ὑστεραίαν τὰ βεβουλευμένα ἐκτελέσοντας. εἰς δὲ τὸ Ῥωμαίων στρατόπεδον διῄει φήμη, ὡς βασιλεὺς ἀπὸ τοῦ τραύματος πονήρως ἔχει, καιρίως πληγείς. [20]

1 359 ὅσοι δὲ ἦσαν ἔτι καὶ τῷ πρεσβυτέρῳ βασιλεῖ προσκείμενοι τὰς γνώμας, διεφήμισαν ὡς τεθνηξόμενον ὅσον οὐδέπω βασιλέα· εἴτε δὲ καὶ ἀληθῶς οὕτως ἔχειν οἰηθέντες, εἴτε καὶ πρὸς ἔχθραν τὰ τοιαῦτα διεθρύλλησαν, ἐν ἀδήλῳ κατελείφθη, τοῦ βασιλέως ὕστερον διὰ τὸ μὴ δοκεῖν τῆς εἰς τὸν πάππον ἕνεκα εὐνοίας ἀμύνεσθαι αὐτοὺς ἀβασάνιστον καταλιπόντος τὸ τοιοῦτον. τέως οὖν διεθρυλλήθη παρ᾽ αὐτῶν, καὶ τοῖς ἐκ Βυζαντίου στρατιώταις συνεβούλευον, τοῦ στρατοπέδου πρὸς τὰς παρακειμένας τῆς Βιθυνίας ἀναχωρεῖν πόλεις, ὡς εἴ τι συμβαίη περὶ βασιλέα πάντων αὐτῶν ὑπὸ Περσῶν διαφθαρησομένων. ἔνιοι δὲ αὐτῶν καὶ πρὸς τὸν μέγαν δομέστικον ἐλθόντες, οἷα δὴ εὖνοι, συνεβούλευον ἀπαγαγεῖν τὴν στρατιὰν πρὸς τὰς πλησίον πόλεις ὡς ἤδη τεταραγμένην ὑπὸ τῆς φήμης καὶ ὅσον οὔπω καὶ ἀταξίᾳ χρησομένην. ὁ δὲ ἀνένευέ τε πρὸς τὸν λόγον καὶ μὴ λυσιτελοῦντα ἔφασκε βουλεύεσθαι αὐτούς· ὡς δὲ οὐκ ἔπειθον πολλὰ δεόμενοι, καὶ βασιλεῖ κοινοῦσθαι τὴν γνώμην ὑπετίθεντο, ὡς ὅ, τι ἂν αὐτῷ δοκοίη πραχθησομένου. τοῦτο μὲν δὴ ἔπειθον οἰόμενον καὶ αὐτὸν ἀναγκαῖον τὰ γινόμενα γνωρίσαι βασιλεῖ. καὶ δὴ πρὸς βασιλέα ἀπελθὼν, ἀπήγγειλεν ὅσα οἱ ἐν τέλει εἶπον περὶ τοῦ λυσιτελεῖν δοκοῦντος. βασιλεὺς δὲ ἀσυμφορώτατόν τε ἡγεῖτο καὶ ἐδυσχέραινεν οὐ μετρίως, ἐκέλευέ τε ὅτι τάχιστα πρὸς τοῦ στρατοπέδου τὴν εἰσβολὴν ἐλθόντα, κατέχειν τὴν στρατιὰν καὶ μηδαμῶς ἀτακτεῖν ἐᾷν, ὡς ἄνευ πολεμίων αὐτοὺς ἐφ᾽ ἑαυτοὺς διαφθαρησομένους. [25]

1 360 τοῦτο μὲν οὖν ᾗ προσετέτακτο ἐποίει κατὰ τάχος. ἐλθὼν δὲ παρὰ τὴν εἰσβολὴν, τὴν στρατιὰν εὗρε πᾶσαν ἤδη ὡρμημένην πρὸς τὰς πόλεις φεύγειν. οἱ γὰρ ἐκ Βυζαντίου μηδὲ τὴν ἐκ βασιλέως ἐπάνοδον περιμείναντες αὐτοῦ, ἀλλὰ νομίσαντες τεθνηκέναι βασιλέα, σκηνάς τε καὶ ἄλλα ὅσα ἐπεφέροντο ἁράμενοι, ἐχώρουν πρὸς τὰς εἰρημένας πόλεις. ὁρῶντες δὲ καὶ οἱ λοιποὶ, οὐκέτι μένειν οὐδὲ αὐτοὶ ἐδύναντο ἐπὶ τοῦ στρατοπέδου, ἀλλὰ κεκίνητο ἤδη πᾶσα πρὸς φυγὴν ἡ στρατιά. ὁ μέγας δὲ δομέστικος ἐν δεινῷ μὲν τὰ γινόμενα ἐποιεῖτο καὶ ὥρμητο τοὺς πρώτους τῆς φυγῆς ἀρξαμένους ἀναστρέφειν. ὡς δὲ οὐδὲν τῶν προσηκόντων ἴσχυε πράττειν, (πᾶσα γὰρ ἤδη κεκίνητο ἡ στρατιὰ,) τῶν ἄλλων ἀμελήσας, διὰ σπουδῆς ἐποιεῖτο πάσης καὶ φροντίδος τὴν βασιλέως σωτηρίαν, καὶ ᾗ τάχιστα εἶχε, πρὸς τὴν βασιλέως σκηνὴν ἐλθὼν, τοῦτον μὲν οὐχ εὗρεν. ἡ γὰρ θεραπεία ἡ περὶ αὐτὸν τὴν μὲν στρατιὰν ἤδη πᾶσαν ὁρῶντες ὡρμημένην πρὸς φυγὴν καὶ τὸ στρατόπεδον ἔρημον καταλειφθὲν, τόν τε βασιλέα ἀδυνάτως ἔχοντα διὰ τὸ τραῦμα ἵππῳ χρῆσθαι, δείσαντες περὶ αὐτῷ, ἄραντες ἐπὶ τάπητος, ἐνὶ τῶν παρατυχόντων ἐνέβαλον λέμβῳ καὶ ἐκέλευον τοῖς ναύταις εἰς Βυζάντιον ἐλαύνειν. ἀναστρέψας δὲ ἐχώρει καὶ αὐτὸς εἰς Φιλοκρήνην. εἰς τέτταρα δὲ ἡ στρατιὰ διαιρεθεῖσα, τὸ μὲν αὐτῆς ἐχώρησεν εἰς Φιλοκρήνην, εἰς Νικητιάτου δὲ τὸ λοιπὸν, εἰς Δακίβιζαν δὲ τὸ τρίτον, καὶ τὸ τέταρτον εἰς τὸ Ῥιτζίου. Ὀρχάνης δὲ τῶν γινομένων μηδὲν εἰδὼς, ὅμως Παρζαλοῦν τὸν ἀδελφὸν μετά τινων Περσῶν ὀλίγων ἐκέλευσεν ἐλθόντα κατασκέψασθαι τὴν βασιλέως στρατιάν. [20]

1 361 ᾤετο γὰρ αὐτοὺς οὐδὲ τὴν νύκτα καθευδήσειν ἀμερίμνως, ἀλλ᾽ ἐπιχειρήσειν τι πρὸς κάκωσιν αὐτῶν. ὁ δ᾽ ὑπὸ τὸ σκότος ὡς ἐνῆν μάλιστα λαθὼν καὶ γενόμενος ἐγγὺς τοῦ στρατοπέδου, ἐπεὶ ᾐσθάνετο τὴν στρατιὰν κεκινημένην, ταχέως Ὀρχάνῃ τῷ ἀδελφῷ ἐδήλου. τῷ δ᾽ ἐδόκει μὲν εὐθὺς οὐκ ἐπ᾽ ἀγαθῷ τῷ σφετέρῳ κίνησις τῆς στρατιᾶς καὶ διεσέσειστο τοὺς λογισμούς· μετὰ

μικρὸν δὲ Παρζαλοῦς καὶ δεύτερον πέμψας ἄγγελον, ἐδήλου τὴν Ῥωμαίων στρατιὰν ἀτάκτως καὶ πεφυρμένως ἀναστᾶσαν ἐκ τοῦ στρατοπέδου, μὴ τὴν εἰς Βυζάντιον τραπέσθαι, ἀλλὰ τὴν πρὸς τὰς εἰρημένας τῆς Βιθυνίας πόλεις. ὁ δ' ἐπεὶ ἐπύθετο, ἐπεὶ καὶ περὶ ὄρθρον ἦν ἡ νὺξ, ἄρας καὶ αὐτὸς πανστρατιᾷ, ἦλθεν εἰς Φιλοκρήνην περὶ ὥραν τῆς ἡμέρας μάλιστα δευτέραν. Ῥωμαῖοι δὲ οἱ εἰς αὐτὴν ἐλθόντες, ἐπεὶ συνέβη τὸ κλεῖθρον τῆς πύλης ἀπολέσθαι, ἀναμὶξ ἑστῶτες μετὰ τῶν σκευοφόρων, ὡς οἱ Πέρσαι ἤδη κατάδηλοι ἦσαν ἐπιόντες, πρῶτα μὲν οὐκ ἠδυνήθησαν εἰς τάξιν καταστῆναι καὶ ἀμύνασθαι τοὺς βαρβάρους, κωλυόμενοι ὑπό τε τῶν ἀχθοφόρων καὶ τοῦ ἄλλου οἰκετικοῦ ἀναπεφυρμένου αὐτοῖς. ἐπεὶ δὲ τῶν κλείθρων εὑρημένων, ἀνεῴχθησαν αἱ πύλαι, οἱ πλείους ἀθρόοι ὥρμησαν ἐντὸς ἐλθεῖν. γενομένου δὲ ὠθισμοῦ πολλοῦ κατὰ τὴν εἴσοδον καὶ συνθλιβομένων ὑπ' ἀλλήλων καὶ συμπατουμένων, ἀπέθανον μὲν τρεῖς κατὰ τὰς πύλας, τῶν ἄλλων εἰσελθόντων, ἔξω δὲ ὑπὸ τῶν βαρβάρων δύο μὲν ἀπέθανον καὶ τριάκοντα· ἐξ ὧν ἦσαν δύο τῶν ἐπιφανῶν, Μανουὴλ ὁ Ταρχανειώτης καὶ ὁ Καντακουζηνὸς Νικηφόρος, τοῦ μεγάλου δομεστίκου καὶ ἀμφότεροι τυγχάνοντες ἀνεψιοί. [25]

1 362 ἑάλωσαν δὲ καὶ ζῶντες πεντήκοντα καὶ ἑκατὸν, ὧν οἱ πλείους ἐκ τῶν ὑπηρετούντων τοῖς στρατιώταις ἦσαν. ἵπποι δὲ οἱ ἀφαιρεθέντες ἐγένοντο ὡς τετρακόσιοι. ἔπειτα οἱ ἄλλοι συστραφέντες, συνεπλάκησάν τε τοῖς βαρβάροις καὶ ἀπέκτειναν ἐξ αὐτῶν ὀλίγῳ δέοντας διακοσίων. Ὀρχάνης δὲ ὁρῶν ἤδη τοὺς Ῥωμαίους ἀμυνομένους, μὴ δυνάμενός τι δράσαι πλέον, ἀπήγαγέ τε τὴν στρατιὰν τῆς Φιλοκρήνης καὶ ἐστρατοπέδευσεν ἐκεῖ. τοσοῦτοι μὲν ἀπέθανον κατὰ τὴν Φιλοκρήνην καὶ ἑάλωσαν ζῶντες. τῇ προτεραίᾳ δὲ κατὰ τὰς μάχας οἱ σύμπαντες ἀπέθανον ἱππεῖς τε καὶ πεζοὶ ἑπτὰ καὶ τεσσαράκοντα, καὶ ὁ μέγας ἑταιρειάρχης Ἐξώτροχος κατὰ τὴν τελευταίαν συμπλοκὴν, ὃς καὶ ἐλέγετο οὐχ ὑπὸ βαρβάρου, ἀλλ' ὑπὸ Ῥωμαίου τινὸς πληγῆναι, εἴτε ἀγνοήσαντος αὐτὸν, (ἤδη γὰρ ἐπελάβετο ἡ νὺξ,) εἴτε καὶ κατά τινα διαφορὰν ἀμυνομένου, τοῦ σκότους συνεπικρύπτοντος τὴν κακουργίαν. ὑπωπτεύθη δὲ ὑπὸ Ῥωμαίου πληγῆναι, ὅτι ἀνακεχωρηκότες ἤδη οἱ Πέρσαι ἦσαν, ὅτε ἐκεῖνος τὴν κεφαλὴν εὑρέθη πεπληγμένος ξίφει, ἔφιππος ἔτι ὢν, ἀφωνίᾳ δὲ κατεσχέθη, τοῦ ἐγκεφάλου ἁψαμένης τῆς πληγῆς, καὶ ἐτελεύτησε μετὰ μικρόν. ἡ μέντοι κατὰ τὰς ἄλλας πόλεις διεσκεδασμένη στρατιὰ Ῥωμαίων τῆς αὐτῆς ἡμέρας ὥσπερ ἐκ συνθήματος εἰς Φιλοκρήνην συνελθόντες, ἐκεῖθέν τε οὐ πολὺ ἄπωθεν τοῦ στρατοπέδου Ὀρχάνη παριόντες, ἦλθον εἰς Σκουτάριον καὶ ἐπεραιώθησαν εἰς Βυζάντιον ἀδεῶς ἐκεῖθέν τε ἀνεχώρησαν ἕκαστος ἐπ' οἴκου. [20]

1 363 βασιλεὺς δὲ τοὺς εἰς τὸ στρατόπεδον διαθρυλλήσαντας ὡς ἐτεθνήκει, ἐν αἰτίαις μὲν ἐποιήσατο καὶ κατηγόρησε πολλὰ, οὐκέτι δὲ καὶ ἐτιμωρήσατο ἀξίως τῆς κακουργίας ἑαυτῶν, δέει τοῦ μὴ δοκεῖν τῷ πρὸς τὸν πάππον καὶ βασιλέα ἔχθει ἀμύνεσθαι αὐτούς. θ'. Ὀλίγας δὲ ἐνδιατρίψας ἡμέρας Βυζαντίῳ, ἐπεὶ καὶ ὁ μηρὸς αὐτῷ ἀπὸ τοῦ τραύματος εἶχεν ὑγιῶς, ἐξελθὼν ἦλθεν εἰς Διδυμότειχον καὶ τὰ περὶ τὴν Ἀδριανοῦ. διατρίβων δὲ ἐκεῖ, καὶ πάντοτε μὲν ἡδέως εἶχε τῷ μεγάλῳ δομεστίκῳ συνεῖναι καὶ ὁμιλεῖν, ὡς καὶ διημερεύειν αὐτοὺς πολλάκις καὶ διανυκτερεύειν ἐν ταῖς ὁμιλίαις· καὶ τότε δὲ ὁμιλῶν αὐτῷ, τῆς ἀρχαίας τε ἀνεμίμνησκεν αὐτὸν πρὸς ἀλλήλους φιλίας καὶ τῆς κατάκρας συναφείας οὐκ ἐν παρέργῳ, ἀλλὰ μετά τινος φροντίδος καὶ σπουδῆς, καὶ ὧν μικρῷ πρόσθεν εἰρήκει πρὸς αὐτὸν, ὅτε περὶ Συργιάννη ἐδεῖτο τῆς εἱρκτῆς ἀπολυθῆναι, ὡς, οὔτ' ἂν εἴη τι τῶν πάντων ὃ κατὰ γνώμην αὐτῷ πραχθῆναι ὃν αὐτὸν ἐθελῆσαι ἄν ποτε κωλῦσαι, ἀλλὰ συγκατεργάσεσθαι πάσῃ σπουδῇ, οὔτε εἰ κατὰ δή τινα τρόπον δόξειεν αὐτῷ τῆς οἰκίας ἀποστάντα καὶ φιλτάτων καὶ γυναικὸς καὶ συμπάντων εἰπεῖν χρημάτων, ἐπ' ἀλλοτρίας διατρίβειν, δυνήσεσθαι ἄν ποτε ἀποστήσεσθαι αὐτοῦ, ἀλλὰ τὴν μὲν ἀκαιρίαν τοῦ πράγματος καὶ τὴν ἀτοπίαν ὅση ἐκδιδάξειν. [20]

1 364 ἐὰν δὲ μὴ δύναιτο τῆς ὁρμῆς ἀφιστᾷν, καὶ αὐτὸν εἰπόντα πᾶσι χαίρειν, αἱρήσεσθαι τὴν ἐπὶ ξένης πλάνην· ἔτι τε εἰ αἵρεσις αὐτῷ δοθείη, πάντως δὲ παρὰ τοῦ τὰ τοιαῦτα δυναμένου θεοῦ

τὸν ἕτερον αὐτῶν παρὰ τοῖς πλείοσι γενέσθαι, ἁπάσαις ψήφοις αὐτὸν ἂν ἐλέσθαι τὴν ἐν ᾅδου διατριβὴν, ὑπὲρ τοῦ αὐτὸν μακροῦ βίου ἀπολαύειν· καὶ πρὸς ἐπὶ τούτοις, εἰ καθ' ἡντιναοῦν αἰτίαν ξίφος αὐτὸν γυμνώσαντα συνέβη κατ' αὐτοῦ χωρῆσαι ὡς ἀποκτενοῦντα πάντως, ἔπειτα ἄκοντα εἰς τέλος ἀγαγεῖν τὴν ἐπιχείρησιν κωλυθῆναι, μέμψασθαι μὲν ἂν τὴν πρᾶξιν, ὡς οὐκ ἀγαθὴν, αὐτὸν δὲ δυνήσεσθαι μηδέποτε μισῆσαι. Μεταξὺ δὲ τῶν τοιούτων λόγων ἐπικόπτων τὴν ὁρμὴν, πάντων μὲν ἔλεγε τούτων ὁ μέγας δομέστικος μεμνῆσθαι, καὶ μᾶλλον ἤ τινων ἄλλων· οἴεσθαι δὲ καὶ ψυχαῖς εἴ τις αἴσθησις καὶ μνήμη τῶν κατὰ τὸν βίον μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν, πάντων μᾶλλον αὐτὸν ἐπιλήσεσθαι τῶν ἄλλων ἢ τῶν λόγων τουτωνὶ ἀνεξάλειπτα τῇ διανοίᾳ ἐγκεκολαμμένων. ὅ,τι δὲ αὐτῷ τὰ τοιαῦτα δύνασθαι νοεῖν, νῦν ἀγνοεῖν. Εἰκότως, εἴρηκεν ὁ βασιλεύς· ἔτι γὰρ ἑαυτῷ τῶν τοιούτων τὴν δύναμιν ἄδηλον παρακατέχειν, νυνὶ δὲ ποιήσειν φανεράν. τὴν γὰρ ἔνδοθεν πρὸς αὐτὸν ἀκραιφνῆ καὶ καθαρὰν φιλίαν αὐτῷ μὲν εἶναι καὶ πάλαι δήλην ἐκ πολλῶν· βούλεσθαι δὲ νῦν καὶ τοῖς ἄλλοις ἅπασιν οὐ Ῥωμαίοις μόνον, ἀλλὰ καὶ τοῖς ἐν ἐσχατιαῖς γῆς βαρβάροις ἔνδηλον καὶ φανερὰν ποιῆσαι. τοῦτο δὲ γένοιτ' ἂν, εἴγε καὶ αὐτὸς πορφύραν ἐνδὺς καὶ παρασήμοις κοσμηθεὶς βασιλικοῖς, συμβασιλεύσει Ῥωμαίων καὶ συνεδριάζων αὐτῷ φανεῖται καὶ χρηματίζων βασιλικῶς. [20]

1 365 καίτοι τοῦτο δόξαι μὲν ἂν τοῖς ἔξωθεν ὑπερφυὲς, ὥσπερ δῆτα καί ἐστι, τῇ δὲ ἔνδοθεν πρός σέ μου διαθέσει παραβάλλων τις, ἡττώμενον εὑρήσει παραπολύ. τὸ μὲν γὰρ κοινωνὸν ἐλέσθαι τῆς ἀρχῆς καὶ τῆς εὐδοξίας μεταδοῦναι, καὶ ἄλλοις ἄν τισιν εὕροι τις εἰργασμένον πρὸ ἡμῶν· τῇ δὲ φιλίᾳ καὶ τῇ συμπνοίᾳ, ἣν ἐν ἀλλήλοις ἐκτησάμεθα ἡμεῖς, καὶ τοὺς παρὰ ποιηταῖς καὶ συγγραφεῦσιν ἐπὶ φιλίαις ὑμνουμένους οὐκ ἐπ' ὀλίγον νομίζω παρηκοντικέναι. ὅθεν εἴ τι καὶ τῶν θαυμασίων δοκεῖ εἶναι τοῖς ἄλλοις πᾶσι, τῶν μετρίων ἔμοιγε φαίνεται καὶ ὀλίγων, οὐ διὰ τὸ μάλιστα βούλεσθαι μόνον καὶ ὥσπερ τι δεῖγμα οἴεσθαι μικρὸν τῆς ἔνδοθεν στοργῆς τῆς περὶ σὲ, ἀλλ' ὅτι καὶ Ῥωμαίοις οὐ μικρὸν εἰς τὰ πράγματα λυσιτελήσει. Βασιλεὺς μὲν οὖν ἐκ τούτων ἐπεχείρει τὸν μέγαν δομέστικον πείθειν αὐτῷ συμβασιλεύειν καὶ συνδιέπειν τὴν ἀρχήν· ὁ δὲ καὶ αὐτὸς μὲν ἔλεγε τὴν ἴσην καὶ ὁμοίαν ἔχειν περὶ τὸ πρᾶγμα δόξαν, καὶ μέγα μὲν οἴεσθαι καὶ θαυμαστὸν καθ' ἑαυτό τε εἶναι καὶ δοκεῖν τοῖς ἄλλοις ὥσπερ τις κορωνὶς τῶν ἐν ἀνθρώποις εὐτυχημάτων ὂν, τῇ φιλίᾳ δὲ αὐτῶν παραβαλλόμενον τῇ πρὸς ἀλλήλους, οὐδὲν τῶν θαυμασίων εἶναι, οὐδὲ τῶν εἰκότως ἂν ἐκπλῆξαι δυναμένων. ὁ γὰρ τὴν αὐτοῦ ζωὴν τῆς οἰκείας προτιθεὶς καὶ μεθ' ὅσης ἂν ἡδονῆς τὸ ὑπὲρ αὐτοῦ ἀνθελόμενος ἀποθανεῖν, τί θαυμαστὸν, εἰ καὶ βασιλείας μεταδοίη, ἢ εἴ τινος καὶ τούτου θαυμασιωτέρου; τῆς δὲ εὐεργεσίας ἕνεκα ταυτησὶ πολλὰς μὲν ὀφείλειν χάριτας ὁμολογεῖν, καὶ λόγοις τε καθόσον οἷόν τε τὴν ὑπὲρ αὐτῆς χάριν ἀφοσιοῦν, ἔργοις τε ἀμείβεσθαι τοῖς ἴσοις, τὴν ὁμοίαν καὶ αὐτὸν ἐκ τῆς καρδίας αὐτῷ προσάγοντα καὶ φιλίαν καὶ στοργήν. [5]

1 366 Ὃ δὲ αὐτῷ προστάττει νῦν δέχεσθαί τε καὶ ὡς τετελεσμένον νομίζειν ἤδη. τὸ γὰρ εἰς αὐτὸν ἦκον, οὐδὲν ἐλλείπειν τοῦ πεπρᾶχθαι, ἔργῳ δὲ τελεῖν μήτε δύνασθαι, μήτε κατὰ γνώμην αὐτῷ εἶναι μήτε καθ' ἡδονήν. διὸ αὐτόν τε παύεσθαι πείθειν ἐπιχειροῦντα περὶ τούτου καὶ αὐτῷ παραιτουμένῳ συγγινώσκειν. Βασιλεὺς δὲ οὐχ οὕτως ἔφασκεν ἀπροφασίστως παραιτεῖσθαι χρῆναι, ἀλλὰ τὰς αἰτίας διδάξαντα πρῶτον καὶ τὴν ἀξίωσιν πείσαντα ὡς παράλογον, οὕτως ἤδη ἀπολύεσθαι αἰτίας· πρὶν δὲ ταῦτα ποιεῖν οὐ συνετὸν, οὐδ' ἄγαν φιλοῦντος οὕτως ἐξ οὐδεμιᾶς αἰτίας ἰσχυρίζεσθαι τὸ μὴ πεισθῆναι ἄν ποτε. καίτοι γε εἰ μή τι ἄλλο, τὸ γοῦν ἀεὶ διαβεβαιοῦσθαι μηδὲν εἶναι μήτε μεῖζον μήτε ἔλαττον ὃ, θελήσαντος ἐκείνου, μὴ ἂν εἰς πέρας ἀγαγεῖν, αὐτὸν ἄξιον καταναγκάζειν πείθεσθαι αὐτῷ. εἰ δ' οὐχ οὕτως ἔχεις, δίκαιον διδάσκειν, ὡς ἂν εἰδείην τὸν πρότερον ἠπατημένος χρόνον. Οὕτως ἔφασκεν ὁ μέγας δομέστικος ἔχειν, καὶ ἀεί τε διϊσχυρίζεσθαι πάντα πράττειν ἐθέλειν, ἅττα ἂν βούλοιτο αὐτὸς, καὶ νῦν οὐδὲν ἧττον πρὸς τοῦτο παρεσκευασμένος εἶναι. [20]

1 367 ἐφ’ οὗ δὲ πείθειν νῦν ἐπιχειρεῖς, οὐ σώζειν τὴν ἀκολουθίαν τὸν λόγον. πᾶν γὰρ ἐθέλειν ποιεῖν φαίην ἄν, ὃ οὐ δι’ ἐμὲ ἂν γίγνοιτο, διὰ σὲ δέ· περὶ οὗ δὲ νῦν ὁ λόγος δι’ ἐμὲ ὄντος, οὐ δίκαιον οὐδ’ ἀναγκαῖον εἰς πειθὼ τῷ λόγῳ χρῆσθαι, ἄλλως τε καὶ αὐτὸν ὡσαύτως διακείμενον περὶ ἐμὲ καὶ τοῖς ὁμοίοις καὶ αὐτὸν χρώμενον λόγοις, οὐκ εὔλογον πρὸς ἐμὲ μὲν ἰσχυρὸν τὸν λόγον ἡγεῖσθαι, πρὸς σὲ δὲ μὴ δύνασθαι τὰ ἴσα. εἰ δ’ ἐν ἀμφοτέροις ὁμοίαν ἔχει τὴν ἴσχυν, δίκαιον καὶ σὲ ὃ μᾶλλον ἐγὼ βούλομαι ποιῆσαι, ἄλλως τε καὶ περὶ ἐμοῦ τοῦ ζητουμένου ὄντος. Τοιούτων δή τινων καὶ πλειόνων ἑτέρων πρὸς ἀλλήλους εἰρημένων, βασιλέως μὲν ἐπιχειροῦντος πείθειν δέχεσθαι τὴν βασιλείαν, τοῦ μεγάλου δομεστίκου δὲ μήτε βουλομένου μήτε πειθομένου, τὸ νῦν μὲν ἔχον διελύθησαν, οὔτ’ ἀπαγορεύσαντος εἰς τέλος βασιλέως, οὔτε τοῦ μεγάλου δομεστίκου ἀποσχέσθαι τοῦ πράγματος πεῖσαι δυνηθέντος βασιλέα. βασιλεὺς δὲ αὐτὸν οὕτως ἀνθιστάμενον ὁρῶν, δεῖν ἔγνω καὶ ἑτέρους πρὸς πειθὼ παραλαβεῖν, εἴ πως δυνηθείη δι’ αὐτῶν πεῖσαι δέξασθαι τὴν βασιλείαν, καὶ παραλαβὼν Ἀνδρόνικον τὸν Ἀσάνην, ὄντα τοῦ μεγάλου δομεστίκου πενθερὸν, καὶ τὸν πρωτοστράτορα Συναδηνὸν, καὶ αὐτοῦ μεγάλου δομεστίκου παρόντος, μετὰ τὸ διαλεχθῆναι περί τινων ἑτέρων πρὸς αὐτοὺς, ἤδη καὶ περὶ τοῦ προκειμένου προοιμιαζομένου, ὁ μέγας δομέστικος περὶ ὧν ἔσοιντο οἱ λόγοι συμβαλὼν, ἀνίστη τε τὸν βασιλέα τοῦ συνεδρίου, ὡς περί τινος ἀναγκαίου μέλλων διαλέξεσθαι, καὶ μόνον παραλαβὼν, ὥρκιζε τὸν θεὸν, μηδὲν πρὸς τοὺς εἰρημένους περὶ ὧν βούλοιτο εἰπεῖν, ὡς ὠφελείας οὐδεμιᾶς ἐκ τῶν λόγων ἐσομένης. [5]

1 368 εἰ γὰρ ἐνῆν ὑπό τινων πεισθῆναι, μᾶλλον ἂν τῶν ἄλλων πάντων ἐπείθετο αὐτῷ· αὐτοῦ δὲ ἐκ πολλῶν καὶ συνεχῶν ὁμιλιῶν πλέον ἢ νυκτός οὐδὲν, θαυμάζειν εἰ ἑτέροις τισὶν ἤλπισε τοῦτο γενέσθαι δυνατόν. βασιλεὺς δὲ ἤλγησε μὲν οὐκ ἐπ’ ὀλίγον, ὁρῶν ἤδη τὴν ἐπιχείρησιν οὐκ ἐσομένην ἀνυσθῆναι δυνατήν. καὶ διετέλεσεν ἡμέρας οὐκ ὀλίγας ἀλγῶν τε καὶ πολλὰ τὸν μέγαν δομέστικον καταμεμφόμενος τῆς ἀπειθείας καὶ τῆς οὐ καλῆς φιλονεικίας. ὅμως μέντοι τοῖς ἐκείνου πειθόμενος λόγοις ἀπέσχετο τοῦ λέγειν περὶ ὧν ὥρμητο πρὸς τοὺς εἰρημένους. καὶ αὐτοὶ δὲ ὅ, τι μὲν ἔμελλεν ἐρεῖν οὐκ ᾔδεισαν ἀκριβῶς ὁ βασιλεὺς, ὅμως δὲ ἐκ τῶν εἰκότων στοχαζόμενοι ὡς, περί τινων μεγάλων διαλέξεσθαι μέλλοντος αὐτοῖς, ὑπὸ τοῦ μεγάλου δομεστίκου κωλυθείη· ἐν αἰτίαις τε αὐτὸν ἐποιοῦντο καὶ τὰ ἔσχατα ἠδικῆσθαι διετείνοντο ὑπ’ αὐτοῦ. μηδεὶς δὲ ταῦτ’ ἀκούων, ἀνεξέλεγκτα οἰέσθω ψεύδεσθαι ἡμᾶς διὰ τὸ μὴ πᾶσι μέχρι νῦν τὰ τοιαῦτα κατάδηλα γενέσθαι. ἴστω γὰρ θεὸς ὁ πάντα ἐφορῶν καὶ πᾶσι τοῖς γινομένοις ἀεὶ παρὼν καὶ τῶν ἀδήλων καὶ κεκρυμμένων ἀγνοῶν μηδὲν, ὡς οὔτ’ ἐπὶ τοῖς ἄλλοις τοῖς συγγεγραμμένοις ἅπασιν οὔτ’ ἔχθραν οὔτε φιλίαν οὔτ’ ἄλλο τῶν πάντων οὐδὲν τῆς ἀληθείας προεθέμεθα, νῦν τε οὕτως ὡς ἐγένετο περὶ τοῦ πράγματος τὴν διήγησιν ἀποδιδόαμεν ὑμῖν, ὡς οὐχ ἅπαξ οὐδὲ δὶς καὶ τετράκις, ἀλλὰ καὶ πολλάκις βασιλεὺς Ἀνδρόνικος ὁ νέος Καντακουζηνὸν τὸν μέγαν δομέστικον ὅλῃ γνώμῃ καὶ πάσῃ σπουδῇ τοῖς βασιλικοῖς ἠθέλησε κοσμῆσαι παρασήμοις καὶ συγκάθεδρον αὐτῷ καὶ συμβασιλεύοντα ἀποδεῖξαι. [5]

1 369 αὐτοῦ δὲ παραιτουμένου ἰσχυρῶς καὶ μήδ’ ἂν εἴτι γένοιτο, πεισθήσεσθαι ἰσχυριζομένου, ἤλγησέ τε σφοδρῶς ὁ βασιλεὺς ἐπιπολὺ καὶ τῆς ἀκαίρου κατεμέμψατο φιλονεικίας. τῷ μὲν δὴ ἔξωθεν σχήματι καὶ τῇ περιβολῇ οὐχ ᾗ ἠξίου ἐγεγόνει ὁ βασιλεύς· ἔργοις δὲ οὐδὲν ἦν σχεδὸν διαφέρων βασιλέως. ἥ τε γὰρ διοίκησις τῶν πραγμάτων πᾶσα ὑπ’ αὐτῷ ἦν, καὶ τὰ βασιλέως προστάγματα οὐχ ἧττον ἢ αὐτὸς βασιλεὺς ἐρυθραῖς ὑπεσημαίνετο ὑπογραφαῖς, καὶ ἃ ἐξεφέρετο παρ’ ἑαυτοῦ, τὴν ἴσην καὶ ὁμοίαν δύναμιν τοῖς βασιλέως εἶχεν, καὶ τἆλλα ὅσα βασιλέως ἔργα ἦν, καὶ αὐτῷ ἐξῆν. στρώμασί τε γὰρ ἐφύπνωττε βασιλέως, εἴποτε στρατευομένῳ συνέβαινε τοῖς αὐτοῦ σκευοφόροις μὴ παρεῖναι, καὶ τῇ βασιλέως κλίνῃ, ᾗ μηδὲ υἱῷ καὶ βασιλεῖ, εἰ μὴ ἐπιτραπείη, ἔξεστιν, αὐτὸς ἀνεκλίνετο ἀκωλύτως ὁμοίως τε ἀπόντος καὶ παρόντος βασιλέως, ἐμβάσι τε ἐχρῆτο ταῖς βασιλικαῖς ἀδεέστερον ἢ ταῖς ἰδίαις, ὁπότε συνδιανυκτερεύσειε βασιλεῖ,

καὶ πάντα ἔπραττε βασιλικῶς, ὡς καὶ βασιλέα ὁρῶντα τὰ τοιαῦτα ἥδεσθαί τε ἄγαν ὑπερφυῶς καὶ τοῖς ἄλλοις ἐνδείκνυσθαι ὡς εἴη αὐτῷ καθ' ἡδονήν. [20]

1 370 τὰ τοιαῦτα δὲ οὐδὲ τῇ βασιλίδι Ἄννῃ ἄγνωστα ἦν, ἀλλὰ παρούσης καὶ αὐτῆς, ἐπράττετο πολλάκις, ὡς καὶ βασιλέα πρὸς τὸν μέγαν δομέστικον λέγειν, ὅτι „τί δ' ἂν εἴη δεινὸν, εἰ ἃ ἰδίᾳ, ταῦτα καὶ δημοσίᾳ πραχθείη καὶ τοῖς πᾶσι γένοιτο καταφανῆ"; ὁ δ' οὐδὲν ἧττον ἢ πρότερον ἀπεωθεῖτο, ἀρκεῖσθαι τοῖς παροῦσι φάσκων. ἀλλὰ περὶ μὲν τούτων τῆς ἀληθείας ἕνεκα τοσαῦτα εἴρηται ἡμῖν. ι'. Οὐ πολλοῖς δὲ ἔτεσι πρότερον Ζαχαρίας Μπενέτος ὁ ἐκ Γεννούας τῇ Χίῳ ἐπιθέμενος ἐκράτησεν αὐτῆς. βασιλεῖ δὲ Ῥωμαίων τῷ πρεσβυτέρῳ Ἀνδρονίκῳ διὰ τὰς συχνὰς ἐφόδους τῶν Περσῶν κατὰ τῶν πρὸς ἕω τοῖς Ῥωμαίοις ὑπηκόων πόλεων οὐ ῥᾳδίως ἔχοντι πολέμῳ τὴν νῆσον Ῥωμαίοις ἀνακτᾶσθαι, ἔδοξε λυσιτελεῖν εἰρηνικὰς πρὸς Ζαχαρίαν σπονδὰς θέσθαι, ὥστε Χίον μὲν ἐπὶ δέκα ἔτεσι κατέχεσθαι παρ' αὐτοῦ καὶ μηδένα βασιλεῖ παρέχειν φόρον, ὀνομάζεσθαι δὲ μόνον βασιλέως καὶ σημαίας ἐπὶ τῶν τειχῶν ἀνάγεσθαι βασιλικὰς, μετὰ δὲ τὴν δεκαετίαν πάλιν Ῥωμαίοις τὴν νῆσον ἀποδιδόναι. τοιαύτας μὲν βασιλεὺς τὰς πρώτας σπονδὰς ἔθετο πρὸς Ζαχαρίαν· ἐν τοῖς αὐτοῖς δὲ ἔτεσιν αὐτὸς περιεποίει τε τὴν νῆσον ἑαυτῷ ὑποποιούμενος τοὺς Χίους, καὶ Ὠχύρου τὴν πόλιν τά τε πεπονηκότα ἀνοικοδομῶν, καὶ εἴπου δέοι, τοῖς τείχεσιν ὕψος προστιθεὶς, καὶ τάφρους τε καὶ τἄλλα ἐξαρτυόμενος ἃ ἔμελλε λυσιτελήσειν, εἰ κατασταίη πρὸς τὸν πόλεμον. [20]

1 371 μετὰ δὲ ταύτας τὰς δεκαετεῖς οὐ ῥᾳδίαν ὁρῶν ὁ βασιλεὺς τὴν παράληψιν τῆς Χίου διὰ τὸ ὠχυρῶσθαι, ἄλλως τε καὶ Ζαχαρίου πρεσβείαν πέμψαντος καὶ βασιλέως δεομένου μὴ περὶ τῆς νήσου ἐνοχλεῖν, ἑτέρας ἔθετο πενταετεῖς ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις, καὶ μετ' αὐτὰς ἑτέρας πάλιν. καὶ τετελευτηκότος Ζαχαρίου, τῆς τε Χίου καὶ τῆς πανουργίας οἱ παῖδες καταλειφθέντες κληρονόμοι, οὕτω διεπαιδαγώγουν βασιλέα, πρὶν τὰς οὔσας ἐξικέσθαι ἑτέρας τιθέμενοι· καὶ ἔργῳ μὲν αὐτοὶ καρπούμενοι τὴν Χίον, ψιλῇ δὲ προσηγορίᾳ βασιλεῖ παρέχοντες αὐτῆς κυρίῳ εἶναι. τῶν σπονδῶν δὲ αὐτοῖς τότε πρὸς ἔξοδον ἤδη οὐσῶν, Καλόθετος τῶν παρὰ Χίοις δυνατῶν ὁ μάλιστα διαφορώτατος, τῷ μεγάλου δομεστίκου οἴκῳ προσῳκειωμένος ἐκ πολλῶν ἐτῶν, (πατέρες τε γὰρ ἐκείνου τοῖς μεγάλου δομεστίκου πατράσιν ἐς τὰ μάλιστα ἦσαν φίλοι καὶ οἰκεῖοι, καὶ αὐτὸς αὐτῷ,) οὗτος δὴ ὁ Καλόθετος τῇ τοῦ μεγάλου δομεστίκου μητρὶ τότε προσελθὼν Διδυμοτείχῳ ἐνδιατριβούσῃ καὶ τήν τε κακουργίαν τῶν Λατίνων ἀπαγγείλας, ᾗ χρώμενοι ἀπεστέρησάν τε Ῥωμαίους τῆς Χίου τὴν ἀρχὴν καὶ νῦν ἐπὶ τοσοῦτον κατέχουσιν ἐξαπατῶντες, πρᾶγμα οὐκ εὐκαταφρόνητον, οὐδ' οἷον ῥᾳδίως τινὰ αὐτὸ καταπροέσθαι· (δύο γὰρ πρὸς ταῖς δέκα μυριάσι χρυσίου ἐτησίους τελεῖ φόρους,) τήν τε εὔνοιαν αὐτοῦ τὴν ἀρχαίαν καὶ τὴν συνήθειαν τήν τε πρὸς αὐτὴν καὶ τὸν υἱόν· τελευταῖον συνεβούλευεν ὡς εἰ εἴη δυνατὸν βασιλέα στόλῳ εἰς τὴν Χίον βοηθῆσαι, αὐτὸν τὰ μέγιστα ἂν συνάρασθαι πρὸς τὸ ἀνακτήσασθαι τὴν νῆσον, τὰ πρῶτά τε δυνάμενον παρὰ Χίοις καὶ πολλοὺς ἑτέρους προσεταιρισάμενον καὶ τῶν φίλων καὶ τῶν συγγενῶν. [5]

1 372 εἶναι δὲ καὶ ἀφορμὰς οὐκ ἀγεννεῖς τοῦ πρὸς Μαρτῖνον πολέμου τό, τε πρὸς ἔξοδον ἤδη εἶναι τὰς σπονδὰς, καὶ τὸ, βασιλέως ἀγνοοῦντος, ἀκρόπολιν ἐπὶ τῷ Χίον βίᾳ κατασχεῖν οἰκοδομεῖν. ἐδεῖτό τε αὐτῆς σκέψασθαι περὶ αὐτοῦ πρότερον καλῶς, ὅπως μὴ αὐτῷ ἐς κίνδυνον τὰ πράγματα χωρήσει, βασιλέως οὐ μετὰ τῆς προσηκούσης δυνάμεως ἐκεῖ ἐλθόντος. περὶ πλείστου μὲν γὰρ ποιεῖσθαι καὶ τὸ Χίον Ῥωμαίοις προσχωρῆσαι, ὠφέλειαν παρέξουσαν οὐ τὴν τυχοῦσαν· οὐδὲν δὲ ἧττον καὶ ἑαυτοῦ καὶ τῶν οἰκείων προνοεῖσθαι, ὡς εἰ μὴ κατὰ γνώμην αὐτῷ τὰ πράγματα χωρήσει, πανοικεσίᾳ διαφθαρησομένου, εἰ κατάδηλον γένοιτο Λατίνοις, ὅτι αὐτοῦ πράττοντος ἐπεστράτευσεν αὐτοῖς ὁ βασιλεύς. οὗ δὴ ἕνεκα αὐτῇ τὴν γνώμην ἀναθεῖναι πρώτῃ, ὡς ἅττα ἂν αὐτῇ δοκοίη ἐκείνου διαπραξομένου. Τοιαῦτα μὲν ὁ Καλόθετος τῇ μητρὶ τοῦ μεγάλου δομεστίκου κρύφα περὶ Χίου διειλέχθη· ἡ δὲ ἐπέῤῥωσέ τε μᾶλλον πρὸς τὸ ἔργον αὐτὸν

καὶ καλῶς ἔφασκε καὶ λυσιτελούντως βεβουλεῦσθαι καὶ Ῥωμαίοις καὶ ἑαυτῷ. ἐπεὶ δὲ αὐτῇ τὴν πρᾶξιν ἀναθείη πρώτη διὰ τὴν ἀρχαίαν οἰκειότητα καὶ τὴν εὔνοιαν ἣν ἔσχηκεν ἐκ παλαιοῦ πρὸς αὐτὴν καὶ τὸν υἱόν, αὐτὴ καὶ διαπράξεται ὅπως ἄριστα αὐτῷ ἕξει. [20]

1 373 Ἐκείνη μὲν οὖν τοιαῦτα εἶπε· πέμψασα δὲ ἐκ Βυζαντίου βασιλέα καὶ τὸν υἱὸν εἰς Διδυμότειχον ἐκάλει, ὡς ἀναγκαίων πέρι διαλεξομένη. οἱ δ' εὐθὺς, τῶν ἄλλων ἀμελήσαντες, εἴχοντο ὁδοῦ· γενόμενοι δὲ ἐν Διδυμοτείχῳ, ἐπεὶ ἐπύθοντο περὶ ὧν καλοῖντο, ἡδέως τε ἐδέξαντο τοὺς λόγους καὶ ἐδόκει δεῖν ὡς περὶ ἀναγκαίου τῆς Χίου παρασκευάζεσθαι τὰ πρὸς τὸν πόλεμον προθύμως. τόν τε Καλόθετον ἰδίᾳ μετακαλεσάμενοι, ἑκάτερος αὐτῶν λόγοις τε ἐπέῤῥωσαν πρὸς τὸ ἔργον ἐπαγωγοῖς καὶ δώροις φιλοφρονησάμενοι ἀξίως ἑαυτῶν, ἔτι δὲ καὶ ἐπαγγειλάμενοι αὐτόν τε καὶ γένος εὖ ποιήσειν, ἐξέπεμψαν πρὸς Χίον, ὡς ὧν ἂν δέοιτο παρασκευασόμενον πρὸς τὸ Λατίνοις, ἢν δέῃ, ἐπιθέσθαι. αὐτοὶ δὲ εἰς Βυζάντιον ἐπαναστρέψαντες, τριήρεις τε ἐναυπηγοῦντο, καὶ τἆλλα παρεσκευάζοντο ὡς πλευσούμενοι ἐς Χίον. σκεπτομένοις δὲ αὐτοῖς ἥντινα ἐξέσται τοῦ πολέμου εὐπρόσωπον ἀρχὴν λαβεῖν, ὁ μέγας δομέστικος συνεβούλευε τὰς μὲν τριήρεις ναυπηγεῖσθαι καὶ τὰ ὅπλα ὧν δέονται παρασκευάζεσθαι καὶ ναυτικὸν συλλέγειν, οἳ ἐπιβήσονται, καὶ ὁπλίτας. ἐπεὶ δὲ αἵ τε σπονδαὶ τῷ Μαρτίνῳ ἐν ἐξόδῳ εἰσὶν ἤδη, καὶ ἄκραν, βασιλέως μὴ ἐπιτρέψαντος, οἰκοδομεῖ ἐπὶ τῷ καταδουλώσασθαι τὴν νῆσον, πρόσταγμα πρὸς ἐκεῖνον αὐτοῦ πεμφθῆναι, ἅμα μὲν αὐτὸν αἰτιωμένου ὡς τὴν ἄκραν, αὐτοῦ μὴ συνειδότος, οἰκοδομοίη, κελεύοντός τε τὸ οἰκοδομεῖν ἐᾷν καὶ περαιτέρω μὴ προβαίνειν· ἅμα δὲ καὶ τὰς σπονδὰς ὡς εἰ βούλοιτο ἑτέρας θέσθαι, τῶν οὐσῶν ἤδη ἐξηκουσῶν, εἰς Βυζάντιον ἐλθεῖν. [20]

1 374 κἂν μὲν παύσηταί τε οἰκοδομεῖν καὶ γενόμενος ἐν Βυζαντίῳ περὶ ἑτέρων δέοιτο σπονδῶν, ὅ, τι ἂν εἴη σκεψαμένοις βέλτιον ποιεῖν. ἢ γὰρ μηκέτι Χίου Μαρτῖνον ἄρχειν δίκαιον ἐᾷν, ἀλλ' ἕτερον τρόπον εὖ ποιεῖν, τὴν νῆσον δὲ τελεῖν ὑπὸ Ῥωμαίους· ἢ σπονδὰς οὐ κατὰ τὰς προτέρας, ἀλλ' ἐφ' οἷς ἂν αὐτοῖς βέλτιον δοκοίη τίθεσθαι, ὥστε αὖθις Μαρτῖνον Χίου ἄρχειν ἐπὶ χρόνον τινὰ ῥητόν. ἐὰν δὲ μήτε παύηται οἰκοδομῶν, σπονδῶν τε μὴ δέοιτο ἑτέρων, ὡς ἤδη βεβαίως τῆς νήσου ἐχομένης, τότε παρεσκευασμένων τῶν τριήρεων οὐσῶν, τὴν ταχίστην ἐπιπλεῖν· πέμπειν δὲ καὶ ἕτερα γράμματα Χίοις, κελεύοντα καὶ αὐτοῖς ἀποσχέσθαι τοῦ οἰκοδομεῖν, ὡς ἢ παύοιτο καὶ ἄκων, οὐκ ἔχων τοὺς συναιρομένους, ἢ εἰ βιάζοιτο καὶ ἄκοντας, μᾶλλον ἐκπολεμωθεῖεν πρὸς αὐτόν. Οὕτω βουλευσαμένοις ἐδόκει δεῖν τά τε γράμματα εἰς Χίον πέμπειν, καὶ τριήρεις τάς τε οὔσας ἐπισκευάζειν καὶ ἑτέρας ἐπιναυπηγεῖν. τὰ μὲν οὖν γράμματα βασιλέως ἀφιγμένα πρὸς Μαρτῖνον, πλέον ἤνυσαν οὐδὲν, ἀλλ' ἀναγνοὺς, μᾶλλον ἔργου εἴχετο καὶ πᾶσαν ἐπεδείκνυτο σπουδὴν, ὥστε τὴν ἀκρόπολιν ἀπαρτίσαι ὧν ἂν δέοιτο τὴν βασιλέως φθάσας ἔφοδον. ἤδη γὰρ ὑπώπτευε καὶ αὐτός. Μπενέτος δὲ ὁ Μαρτίνου ἀδελφὸς ἐν διαφορᾷ πρὸς ἐκεῖνον καταστὰς, ὅτι χρυσίων ἑξακισχιλίων ἀποστεροῖτο παρ' αὐτοῦ, ἃ ἐχρῆν αὐτὸν ἐκ τῶν δημοσίων τῆς Χίου φόρων λαμβάνειν ἐτησίως, προσήκοντα ἐκ πατρῴου κλήρου, ἦκεν ὡς βασιλέα τὴν ἀδικίαν ἐγκαλῶν τῷ ἀδελφῷ καὶ τυχεῖν δεόμενος ἐπικουρίας. [20]

1 375 γραμματεῖά τε ἐδείκνυ ἃ σαφῶς πολλὴν τοῦ ἀδελφοῦ καὶ τὴν ἀδικίαν κατηγόρει καὶ τὴν ἀγνωμοσύνην. βασιλεὺς δὲ ἐπηγγέλλετό τε τιμωρήσειν αὐτῷ ἐφ' οἷς ἀδικεῖται ἀφικόμενος ἐκεῖ, καὶ αὐτὸς οὐδὲν ἧττον ἃ παρὰ Μαρτίνου ἀδικεῖται ἀπολήψεσθαι. ια'. Παρεσκευάζετο μὲν οὖν στόλος πέντε καὶ ἑκατὸν νεῶν, ὧν ἦσαν ὀλίγῳ ἐλάσσους εἰς τὰς δύο μοίρας διήρεις καὶ τριήρεις, ἐξ ὧν ἦσαν ἱππαγωγοὶ ὀκτὼ ἄγουσαι τριακοσίαν ἵππον· αἱ λοιπαὶ δὲ μονήρεις ἦσαν. ἐπεὶ δὲ παρεσκευασμέναι ἦσαν, τήν τε ἵππον ἐσεκόμιζον καὶ τὰ ἄλλα ἐπιτήδεια. ἦν τε ἄμιλλα πολλὴ τοῖς τριηράρχαις, ἑκάστου φιλονεικοῦντος πολυτελείᾳ καὶ λαμπρότητι παρασκευῆς τοὺς ἄλλους ὑπερβαλέσθαι· καὶ τά τε ἄλλα ἐξηρτύοντο πρὸς τὸ μεγαλοπρεπέστερον καὶ τὰ πληρώματα ἐκόσμουν ἰδίοις παρασήμοις ἔν τε ὅπλοις καὶ ἀσπίσιν. ἦσαν γὰρ οὐ τῶν τυχόντων, ἀλλὰ τῶν τε εὐγενῶν καὶ μεγάλα δυναμένων. συνέπλεον δὲ τῷ βασιλεῖ οὐ μόνον ὁπλῖται καὶ

ψιλὸς πολὺς, ἀλλὰ τῶν τε συγκλητικῶν οὐκ ὀλίγοι, καὶ στρατιωτῶν οὐ μόνον οἱ χρησόμενοι τοῖς ἵπποις, ἀλλὰ καὶ ἄλλος ὅμιλος πολύς. ἐπεὶ δὲ πάντα ἤδη ἐπεπόριστο καὶ οὐδὲν ἐνέδει ἔτι, ἄραντες ἐκ Βυζαντίου ἔπλεον ἐπὶ Χίον. γνώμην δὲ εἶχεν ὁ βασιλεὺς, ὡς ἦν ὁ Μαρτῖνος τὸν ἐπίπλουν πυθόμενος, πρὶν εἰς τὴν νῆσον κατᾶραι, ἀφίκηται πρὸς αὐτὸν καὶ δεηθῇ περὶ αὐτῆς, τὴν μὲν ἀκρόπολιν, ἣν αὐτὸς ᾠκοδόμει, τὰ ἐλλείποντα ἐπισκευάσας, κατασχεῖν φρουρᾷ τῆς εἰσέπειτα ἀσφαλείας ἕνεκα· Μαρτίνῳ δὲ τῆς ἄλλης νήσου ἐπιτρέψαι ἄρχειν, ἀποδιδόντι ἐτησίως Μπενέτῳ ἃ πρότερον χρήματα ἀπεστέρει. [5]

1 376 ὁ δ’ οὐ μόνον ἐποίει τῶν δεόντων οὐδὲν, ἀλλ’ ἐπεὶ ἐπύθετο ὅσον οὐδέπω ἐπιπλέοντα τὸν στόλον, τὰς μὲν τριήρεις ἃς εἶχε (τρεῖς δὲ ἦσαν,) εἰς τὴν θάλασσαν κατέδυσε κενάς· Ῥωμαίων τε τοῖς τὴν νῆσον κατοικοῦσι μηδενὶ ἐκέλευσεν ἐξεῖναι ὅπλοις χρῆσθαι, θάνατον δὲ εἶναι τὴν ζημίαν τῷ χρωμένῳ. αὐτὸς δὲ τάς τε πύλας τῆς πόλεως ἀσφαλισάμενος καὶ τὰ ἄλλα καταστήσας ᾗ αὐτῷ ἄριστα ἐδόκει ἔχειν, ἅμα ὀκτακοσίοις οὓς εἶχε, φραξάμενοι ἀνῆλθον εἰς τὰ τείχη ὡς ἀμυνούμενοι ἐπιόντα βασιλέα. ἤδη γὰρ ἀνθίσταντο ἀναφανδὸν, καὶ οὐδὲ σημαίας τὰς βασιλικὰς ἠξίωσαν ἀναγαγεῖν ἐπὶ τὰ τείχη, ὥσπερ ἦν ἔθος, ἀλλὰ τὰς Μαρτίνου μόνας, ὡς βεβαίως ἤδη τῆς νήσου ἐχομένης. Καλόθετος δ’ ἅμα τοῖς περὶ αὐτὸν, ὅπλοις μὲν οὐκ ἐτόλμων χρῆσθαι τῷ δέει τῶν Λατίνων· παρεσκευασμένοι δὲ ἦσαν ὡς ἐπιθησόμενοι αὐτοῖς, ἐπειδὰν ὁ βασιλεὺς εἰς τειχομαχίαν καταστῇ. Μαρτῖνος μὲν οὖν οὕτω τοῖς ὀκτακοσίοις πεποιθὼς, ἀντικατέστη πρὸς τὴν μάχην. βασιλεὺς δὲ τῇ νήσῳ ὡς προσέσχεν, ἀπόβασίν τε ἐποιεῖτο τῆς γῆς εὐθὺς κρατῶν, καὶ τὴν ἵππον ἐξάγων παρεσκευάζετο πρὸς τὴν τειχομαχίαν. Μπενέτος δὲ ὁ Μαρτίνου ἀδελφὸς φρούριόν τι καὶ αὐτὸς κατέχων οὐ μακρὰν τῆς ἄλλης πόλεως ᾠκοδομημένον, ἀλλ’ ὅσον ἀφ’ ἑκατέρου πρὸς τὸ ἕτερον λίθῳ σχεδὸν ἐξικνεῖσθαι, ἐνεχείρισεν ἐλθὼν τῷ βασιλεῖ, πολλὰ τοῦ ἀδελφοῦ κατηγορῶν ὡς καὶ ἀνόητα καὶ ἄδικα πράττειν ἐγνωκότος· τοῦτο μὲν, εἰ πρὸς τοσαύτην δύναμιν ἀντισχήσειν ἤλπισε, μὴ αὐτὸς ἐξ ἴσης ὁρμώμενος παρασκευῆς· ἀδικίαν δὲ κατεγίνωσκεν αὐτοῦ, εἰ πολλὰ πρὸς βασιλέως εὐεργετηθεὶς, Χίον διενοήθη αὐτοῦ ἀποστερῆσαι. [5]

1 377 βασιλεὺς μὲν οὖν εἰς τὸ φρούριον εἰσῆλθε, Μπενέτον τῆς εἰς αὐτὸν εὐνοίας ἐπαινέσας, καὶ μετὰ μικρὸν ἐξελθὼν διεκόσμει τὴν στρατιὰν ὡς ἐς τειχομαχίαν. Μαρτῖνος δὲ πρός τε τὴν βασιλέως στρατιὰν ἤδη ἑαυτὸν οὐκ ἀξιόμαχον ὁρῶν, ἔκ τε τῶν Χίων ἐπικουρίαν οὐδεμίαν προσδοκῶν διὰ τὸ οὐχ ἧσσον αὐτοῦ ἀφεστηκέναι ταῖς γνώμαις ἢ καθ’ ὅσον εὖνοι ἦσαν βασιλεῖ ὑπωπτευκέναι, ἄλλως τε καὶ Μπενέτου προσχωρήσαντος καὶ τὸ φρούριον παραδόντος, ὃ οὐκ ἔλαττον ἠδύνατο ἀποτειχισμοῦ οὕτω πλησίον ᾠκοδομημένον, σφοδρῶς τε ἐθορυβεῖτο καὶ τὰς σωζούσας ἀπεγίνωσκεν ἐλπίδας. ἐπεὶ δὲ τά τε σημεῖα ἤδη ᾔρετο καὶ ἦρχον μάχης οἱ Ῥωμαῖοι, πρεσβείαν πέμψας ὁ Μαρτῖνος, ἐδεῖτο βασιλέως συγγνώμης τυχεῖν καὶ πρὸς συμβάσεις χωρῆσαι οἵας ἂν δοκῇ βασιλεῖ. βασιλεὺς δὲ ἀπεώσατό τε τὴν πρεσβείαν καὶ οὐκ ἔφασκε δεῖν, τῆς στρατιᾶς πρὸς τὴν μάχην παρατεταγμένης, διαλέγεσθαι περὶ συμβάσεων. πρότερον γὰρ αὐτῷ ἐξῆν πρὶν ἐνθάδε ἥκειν συγγνώμην τε αἰτεῖν καὶ σπονδὰς τίθεσθαι εἰρηνικὰς, νῦν δὲ ὅπως ἂν αὐτῷ δοκῇ ποιεῖν, ἐπεὶ τῇ σφετέρᾳ πεποιθὼς δυνάμει ὅπλα αὐτῷ ἀντῆρε. [25]

1 378 Βασιλεὺς μὲν οὖν τοιαῦτα εἶπε· Μαρτῖνος δὲ ἤδη πᾶσαν ἐλπίδα περιῃρημένος σωτηρίας, δείσας μὴ καὶ τὸ ζῆν ἀφαιρεθείη, ἑαυτὸν ἐνεχείρισε βασιλεῖ καὶ τὴν στρατιὰν, τῆς πόλεως ἐξελθών. οἱ Χῖοι δὲ αὐτὸν ὁρῶντες ἤδη πρὸς αἰχμαλώτου τύχην καταστάντα, ὥρμησαν ὡς ἐπὶ τοῦ βασιλέως ἀποκτενοῦντες. ὁ μέγας δὲ δομέστικος ἀπειλήσας αὐτοὺς τὰ δεινότατα διαθήσειν, εἴ τι νεωτερίζοιεν περὶ αὐτὸν, ἀπαθῆ διετήρησε κακῶν. βασιλεὺς δὲ αὐτὸν πολλὰ καταμεμψάμενος τῆς ἀβουλίας, ὅμως οὐ διέθηκεν αὐτὸν κακῶς, ἀλλὰ τὴν μὲν γυναῖκα αὐτοῦ ἐκέλευσε καὶ παῖδας, ἔτι δὲ καὶ θεραπαινίδας ὅσαι ἦσαν, αὐτὰς μὲν ἐπιφορτίσασθαι ὅσον ἀνύσαι δυνατὸν ἐκ τῶν ἐκείνῳ προσόντων χρημάτων τε καὶ ἄλλων ἐπίπλων καὶ σκευῶν πολυτελῶν, τοὺς δὲ

δούλους στρώματά τε καὶ τάπητας ἆραι καὶ ἄλλα ὅσα ἐπιτήδεια πρὸς τὸ καθεύδειν τῆς νυκτὸς, καὶ ἐξελθόντας Χίου πορεύεσθαι ὅποι ἂν δοκῇ· Μαρτῖνον δὲ ἐκέλευσεν εἰρχθῆναι. καὶ τοῦτο μὲν τοῦτον ἐπράχθη τὸν τρόπον, καὶ σχεδὸν ὅσα Μαρτίνῳ ἦσαν αἱ θεραπαινίδες ἅμα γυναικὶ ἐπεφορτίσαντο· τοὺς συνόντας δὲ αὐτῷ ὀκτακοσίους συγγνώμης τε ἠξίωσεν ὁ βασιλεὺς, ἀδικήσας μηδὲν, καὶ προὔθηκεν αἵρεσιν αὐτοῖς τοιαύτην, ὥστε τοῖς τε βουλομένοις τὰ ὄντα λαβόντας ἐξεῖναι ἀναχωρεῖν, τοῖς τε μένειν ἐθέλουσι μηδένα ἐνοχλεῖν, ἀλλὰ τὴν μισθοφορὰν λαμβάνοντας, δουλεύειν βασιλεῖ. ὀλίγοι μὲν οὖν ἐκείνων ἀπῆραν ἐκ τῆς Χίου, οἱ λοιποὶ δὲ, οἱ μὲν ἔμειναν ἐν Χίῳ αὖθις μισθοφοροῦντες, οἱ δὲ τοῖς βασιλέως συνηριθμήθησαν οἰκέταις. [25]

1 379 Χίος μὲν οὖν οὕτως αὖθις γέγονεν ὑπὸ Ῥωμαίοις. βασιλεὺς δὲ Μπενέτον τε δίκαιον ἔκρινεν ἀμείβεσθαι τῆς εὐνοίας καὶ τῆς προθυμίας τῆς εἰς αὐτὸν, καὶ τῶν Χίων τοὺς δυνατοὺς καὶ τὸν δῆμον. εἰ γὰρ καὶ μηδὲν εἰς τὸν πρὸς Μαρτῖνον πόλεμον εἰσήνεγκαν αὐτοὶ, ἀλλὰ ταῖς γνώμαις οὕτως ἦσαν παρεσκευασμένοι, ὡς ἦν δέῃ, πᾶσαν ἐπιδειξόμενοι σπουδὴν καὶ προθυμίαν ὑπὲρ βασιλέως. διὸ καὶ Καλόθετον μὲν καὶ γένος τά τε ἐν Διδυμοτείχῳ προεπηγγελμένα, ὅτε περὶ Χίου κρύφα διειλέχθη, καὶ προσέτι πλείω εὐηργέτει, καὶ τοὺς ἄλλους καὶ τιμαῖς ἠμείβετο καὶ δωρεαῖς· τὸν δῆμον δὲ τῶν δημοσίων ἀνῆκεν εἰσφορῶν, ὅσαι μάλιστα ἐπίεζον. ιβ′. Μπενέτον δὲ μετακαλεσάμενος τὸν Μαρτίνου ἀδελφὸν ἀνεμίμνησκέ τε ὧν πρὸς Βυζάντιον ἐλθὼν τοῦ ἀδελφοῦ κατηγόρει, ὡς ἀποστεροίη μὲν τῶν ἑξακισχιλίων χρυσίων, ἃ προσῆκεν αὐτῷ ἀπὸ τῶν δημοσίων προσόδων τῆς Χίου λαμβάνειν, αὐτὸς δὲ τὴν νῆσον σφετεριζόμενος ἀποστεροίη τοῦ πατρῴου κλήρου, καὶ ὡς ἐδεῖτο τῆς δυνατῆς τυχεῖν ἐπικουρίας· ὧν τε αὐτὸς ἐπηγγείλατο, ὡς ὅσον ἤδη γενόμενος ἐν Χίῳ τῆς τε εἰς αὐτὸν καὶ τὸν ἀδελφὸν ἀδικίας εἰσπράξεται Μαρτῖνον δίκας. ὧν δὴ νῦν καλῶς καὶ ὡς προσῆκεν ἀποβάντων καὶ Μαρτίνου Χίου ἐξεληλαμένου, δίκαιον ἡγεῖσθαι εἶναι τάς τε ἐπαγγελίας ἐκπληροῦν τὰς εἰς αὐτὸν, καὶ τῆς εὐνοίας ἀμείβεσθαι ἧς πρὸς ἐλθόντα ἐνεδείξατο, τὸ φρούριον παραδούς. οὗ δὴ ἕνεκα τῆς τε Χίου ἐπιτρέπειν τὴν ἀρχὴν, καὶ τῶν προσόδων αὐτῆς τῶν δημοσίων οὐκ ἔλαττον χρυσίου μυριάδων δυοκαίδεκα οὐσῶν, εἰς μὲν ἐπιμέλειαν τῆς νήσου καὶ φυλακὴν, ἔτι τε λοιπὴν ἀναγκαίων ἀναλωμάτων χρείαν ὅσα ἂν αὐτῷ σκεψαμένῳ βέλτιον δοκοίη ἔχειν ἀναλοῦν· τὰ δὲ ὑπολειφθέντα χρήματα, τὰ ἡμίση μὲν τῷ βασιλικῷ ταμιείῳ εἰσκομίζειν, αὐτὸν δὲ τὰ ἐπίλοιπα καρποῦσθαι. [5]

1 380 ἄδηλον δὲ ὂν ἀνθρώπῳ παντὶ ὁπότε ἀπροσδόκητον ἥξει τὸ τέλος τῆς ζωῆς, δίκαιον ἅμα καὶ λυσιτελὲς ἡγεῖσθαι εἶναι, τὴν ἀκρόπολιν, ἣ πρὸς Μαρτίνου ᾠκοδομεῖτο, ἐπισκευασθεῖσαν ὧν δέοιτο, φρουρᾷ κατασχεθῆναι παρ’ αὐτοῦ, ὡς εἴ τι περὶ αὐτοῦ, οἷα τὰ ἀνθρώπινα, συμβαίη καὶ γένοιτο ἐξ ἀνθρώπων, μὴ τὴν Χίον Ῥωμαίους ἀποστερηθῆναι, πολλοὺς ἔχουσαν οὐ πόῤῥωθεν μόνον, ἀλλὰ καὶ ἐγγύθεν ἐπιβούλους καὶ μάλιστα τοὺς ἐκ Δήλου Σπιταλιώτας. Τοιαῦτα πρὸς Μπενέτον διεξιόντος βασιλέως καὶ μικρᾶς εὐνοίας χάριν μεγάλην κατατιθεμένου, οἱ μὲν ἄλλοι πάντες κατεπλήττοντο τὴν περὶ τὰς εὐεργεσίας τοῦ βασιλέως φιλοτιμίαν, ὅτι μικρᾶς ἕνεκα εὐνοίας τοσαύτην ἀντιπαρέσχε χάριν, μήτε ὧν ἀνάλωσε χρημάτων πρὸς τὴν παρασκευὴν τοῦ στόλου καὶ τῆς συνεπομένης ἄλλης στρατιᾶς ὑπολογισάμενος τὸ πλῆθος, μήτε ὧν ἐκ Χίου ἔμελλεν ἐτησίως ὁ Μπενέτος ἀποφέρεσθαι, καὶ ταῦτα, ὀλίγα ἢ οὐδὲν πρὸς τὸν ὑπὲρ τῆς Χίου πόλεμον εἰσενεγκών. Μπενέτῳ δὲ οὐδὲν ἄρα ἤρκει, ἀλλ’ ἀδικεῖσθαι ἡγεῖτο καὶ ἀποστερεῖσθαι, μὴ μειζόνων ἀξιούμενος. [20]

1 381 διὸ καὶ τὴν βασιλέως δωρεὰν ἀπεωθεῖτο μὴ δεῖσθαι φάσκων μήτ’ ἐπιτροπεύειν Χίου, μήτ’ ἐφ’ οἷς ὁ πατὴρ αὐτῷ, μήθ’ ὁ ἀδελφὸς Μαρτῖνος καὶ αὐτὸν κατέχειν· ἀλλ’ εἰ μὲν αὐτῷ παντάπασι τῆς Χίου βασιλεὺς παραχωροίη, ὥστ’ ἰδίαν αὐτῷ ἀρχὴν εἶναι καὶ μηδαμῶς τελεῖν ὑπὸ Ῥωμαίους, πολλὴν ἂν εἰδείη τῆς εὐεργεσίας χάριν. εἰ δὲ μὴ τοῦτον βούλοιτο τὸν τρόπον, μηδεμιᾶς ἑτέρας εὐεργεσίας μεμνῆσθαι, ὡς πρὸς ἡδονὴν αὐτῷ οὐκ ἐσομένης, ἀλλ’ αὐτὸν ὅ, τι ἂν δοκῇ δεσπότην ὄντα περὶ τῆς νήσου πράττειν. Βασιλεὺς δὲ οὐ δίκαια αἰτεῖν ἔφασκε

Μπενέτον, οὐδ’ οἷα τυχεῖν. ἐχρῆν μὲν γὰρ εἰ καὶ τοὺς ἑξακισχιλίους ἐλάμβανε χρυσοῦς, ὧν παρὰ Μαρτίνου ἠδικεῖτο, ἀγαπᾷν καὶ πολυπραγμονεῖν μηδέν. εἰ δὲ οὐ τοσαῦτα μόνον, ἀλλὰ καὶ πολλαπλασίω τούτων καὶ προσέτι τὴν ἀρχὴν ἔχειν ἔξεστι τῆς νήσου, πῶς ἂν εἴη δίκαιον ἐνδεᾶ τὴν χάριν τοῦ προσήκοντος νομίζειν; ἔτι δὲ οὐδὲ ἑαυτῷ τὸ παντάπασιν αὐτῷ παραχωρῆσαι Χίου ἐν καλῷ τοῦ σχήματος ἔφη κείσεσθαι ὁ βασιλεὺς, οὐδὲ φιλοτιμίαν καὶ μεγαλοψυχίαν, ἀλλὰ παραπληξίαν καὶ ἀκρισίαν περιάψειν ἑαυτῷ. εἰ γὰρ ἔδει τοσοῦτον πόνον αὐτόν τε καὶ Ῥωμαίους ὑπομείναντα καὶ τοσαῦτα κατὰ τὴν παρασκευὴν τοῦ στόλου χρήματα οὐκ αὐτὸν μόνον ἐκ τῶν βασιλικῶν, ἀλλὰ καὶ ἐκ τῶν ἰδίων τῶν ἐπιφανῶν πολλὰ ἀναλωκότων ὥστε κρατῆσαι Χίου, ἔπειτα αὐτῷ παραχωρῆσαι ἐς τοσοῦτον, ὥστε μήτε νῦν μήθ’ ὕστερον μὴ μόνον μὴ μετεῖναι Ῥωμαίοις τῆς ὠφελείας τῆς αὐτῆς, ἀλλὰ μηδὲ προσρήματι ψιλῷ κυρίους ὀνομάζεσθαι αὐτῆς, πολλῷ τῷ μέτρῳ βέλτιον καὶ λυσιτελέστερον ἦν, τὴν ἀπραγμοσύνην καὶ τὴν ἡσυχίαν αἱρεῖσθαι, Μαρτῖνόν τε ἐᾷν κατέχειν καὶ μὴ παρενοχλεῖν. [25]

1 382 ἐκείνως μὲν γὰρ πρὸς τῷ μὴ κόπτεσθαι καὶ ταλαιπωρεῖν ἐν στρατείαις, καὶ ταῦτα διαποντίοις, καὶ τὰ ἀναλωθέντα χρήματα ἐξῆν κερδαίνειν· καὶ προσέτι γε εἰ μὴ νῦν, ἀλλ’ ὕστερόν ποτε δύναμιν κτησαμένοις τοῖς Ῥωμαίοις τὴν νῆσον ἂν ἐξῆν ἀνακαλεῖσθαι ὡς ἀδικουμένοις, καὶ ἢ αὐτῆς τῶν ἀδικούντων κρατήσασι τυγχάνειν, ἢ ἐλάσσοσι τῶν ἀντιπάλων γενομένοις μὴ ἀδικεῖν νομίζεσθαι, μηδὲ παρασπονδεῖν. εἰ δ’, ὥσπερ νῦν ἀξιοῖς αὐτὸς, σοὶ παραχωρήσομεν τῆς νήσου, οὐ μόνον εἰκῇ καὶ μάτην τόν τε πόνον ἐσόμεθα πεπονηκότες καὶ τὰ χρήματα ἀναλωκότες, ἀλλ’ οὐδ’ ἐλπίδα ὑπολειψόμεθα Ῥωμαίοις τοῦ ἀνασώσασθαι ἄν ποτε τὴν νῆσον· ἢ δοκεῖν ἀδικεῖν καὶ παρασπονδεῖν ἐάν τε κρατήσωσιν, ἐάν τε μή. δι’ ἃ δὴ πάντα μήτ’ αὐτὸν μήτε δίκαια μήτε δυνατὰ αἰτεῖσθαι, μήτ’ αὐτὸν δύνασθαι παρέχεσθαι· ἀλλ’ ἃ ὑπ’ αὐτοῦ πρότερον ἐκρίθη, δυνατά τε εἶναι καὶ Ῥωμαίοις καὶ αὐτῷ λυσιτελῆ. Μπενέτου δὲ πάντων μὲν φάσκοντος ἀκηκοέναι τῶν βασιλέως λόγων καὶ προσεσχηκέναι αὐτοῖς, μηδενὶ δὲ πείθεσθαι αὐτῶν, ἀλλὰ τοῖς ἐξ ἀρχῆς ἐμμένειν δεδογμένοις, καὶ μηδεμίαν ἡγεῖσθαι χάριν προσήκουσαν αὐτῷ ἢ τὴν παντελῆ παραχώρησιν τῆς νήσου, Οὐδὲν, ἔφη, θαυμαστὸν, ὁ βασιλεὺς, εἴ τινι περὶ πράγματός τινος βουλευομένῳ νῦν μὲν τοιάδε τινὰ λογίζεσθαι παρασταίη, μικρὸν δὲ ὕστερον τἀναντία ἢ βελτίω ἢ χείρω σκεπτομένῳ φαίνοιτο ἐκ τῶν πραγμάτων. [20]

1 383 διόπερ οὐδ’ αὐτὸν δίκαιον νῦν πρῶτον τῶν πρὸς αὐτὸν ἀκηκοότα λόγων, ἀπερισκέπτως οὕτως ἀπαγορεύειν, ἀλλὰ δέον εἰς δευτέραν καὶ τρίτην μετὰ τῶν φίλων σκεψάμενον ἡμέραν, οὕτως ἥκειν ἀπαγγέλλοντα ὅσα ἔδοξεν. ἴσως γάρ τι τῶν δεόντων ἡ μετὰ τῶν φίλων καὶ οἰκείων συνδιάσκεψις εὑρήσει. Ἐπιχειροῦντος δὲ αὖθις ἀντιλέγειν τοῦ Μπενέτου, ἐπέσχεν ὁ βασιλεὺς, τῆς καθέδρας τε ἐξαναστὰς καὶ πρὸς αὐτὸν εἰπὼν, ὡς οὐκ ἀκούσεται πρὶν μετὰ τῶν φίλων βουλευσάμενον ἥκειν. Μπενέτος μὲν οὖν οὕτως οἴκαδε ἀπῆλθεν, ἀνάπλεως ταραχῆς· εἰς τρίτην δὲ ἡμέραν μεταπεμψάμενος αὐτὸν ὁ βασιλεὺς, τῶν τε πρότερον ἀνεμίμνησκεν εἰρημένων καὶ ἕτερ’ ἄττα προσετίθει, τήν τε εὐμένειαν τὴν πρὸς αὐτὸν ἔνδηλον ποιῶν καὶ ὅσην ἔχει περὶ τὸ εὖ ποιεῖν αὐτὸν τὴν προθυμίαν. συνεβούλευέ τε πείθεσθαι αὐτῷ ὡς λυσιτελοῦντα βουλευομένῳ. ὁ δὲ τῆς τε ἐξ ἀρχῆς εἴχετο γνώμης καὶ βασιλεῖ παρῄνει μὴ εἰκῇ πονεῖν, μήδ’ ἄλλο τι πείθειν ἐπιχειρεῖν. ἀλλ’ εἰ μὲν αὐτῷ τῆς νήσου πᾶσαν παραδοίη τὴν ἀρχὴν, εἰ δὲ μὴ, ἀλλὰ τόγε δεύτερον, τῶν τριήρεων ὅσων δέοιτο ἐδεῖτο παρασχεῖν, ὡς ἂν εἰς Γαλατᾶν ἀφίκηται, ἐνθέμενος τὰ ὄντα. βασιλεῖ δὲ ἐδόκει δεινὸν, εἰ μήπω πᾶσι φανερᾶς τῆς εἰς αὐτὸν εὐεργεσίας καθεστηκυίας, ἢ τἀληθὲς αὐτὸς ἐθέλων ἀποκρύπτειν, ἢ ἕτεροί τινες τῶν γενομένων πέρι μηδὲν εἰδότες, οἰήσονται τὸν βασιλέα βούλεσθαι μὲν ἀπελαύνειν Μπενέτον Χίου, εὐπροσώπου δὲ προφάσεως οὐκ εὐπορεῖν, καὶ διὰ τοῦτο ἀσμένως λαβόμενον τοῦ λόγου, τάς τε τριήρεις παρέχειν καὶ τὴν ἔξοδον ἐπιτρέπειν. [5]

1 384

διὸ καὶ αὖθις ἐφ’ ἑτέραις τρισὶν ἡμέραις περὶ τοῦ πράγματος ἐκέλευε διασκέψασθαι, δίκαιον δὲ εἶναι μὴ πρὸς τὴν ἐκείνου μικροψυχίαν ἀπιδεῖν, ἀλλὰ τὴν αὐτῷ προσήκουσαν ἐνδείξασθαι μεγαλοψυχίαν καὶ καρτερίαν. ἴσως γὰρ ἐν αὐταῖς τῶν δεόντων τι βουλεύσασθαι δυνήσῃ. Μπενέτος δὲ μηδὲν ἔτι προσθεὶς, θυμοῦ γέμων, οἴκαδε ἀπεχώρει ὡς τὰ ἔσχατα ἠδικημένος. βασιλεὺς δὲ ἐπὶ τοῖς γινομένοις δυσχεραίνων, τῶν παρόντων ἐπυνθάνετο Ῥωμαίων, εἰ μὴ τὴν προσήκουσαν εὐεργεσίαν κατατίθεται Μπενέτῳ, μικρὰ ἢ οὐδὲν πρὸς τὸν ὑπὲρ τῆς Χίου πόλεμον συναραμένῳ, ἢ εἰ δικαία ἡ ἀξίωσις αὐτοῦ καὶ σὺν λόγῳ γινομένη. αὐτὸν γὰρ μὴ δύνασθαι συνεῖναι, ὅ, τι ταῦτα αὐτῷ τὰ ῥήματα νοεῖ. οἱ μὲν οὖν ἄλλοι Μπενέτον τε κατῃτιῶντο καὶ πολλὴν κατεγίνωσκον αὐτοῦ ἀβελτηρίαν· ὁ μέγας δὲ δομέστικος „τὴν μὲν ἀλογίαν“ εἶπεν „ὦ βασιλεῦ, καὶ τὴν παράνοιαν τῶν Μπενέτου ζητημάτων πάντες τε ἴσασι σαφῶς καὶ τὴν ὁμοίαν ψῆφον φέρουσι περὶ αὐτοῦ. διὸ οὐδὲ πολυπραγμονεῖν ἐξετάζοντας χρὴ, ὅ, τι βουλόμενος ἀνενδότως ἔχει περὶ αὐτά· οἴεσθαι δὲ αὐτὸν τοῖς μαινομένοις προσεοικέναι, οἱ μήτε περὶ ὧν λέγουσι, μήτε πρὸς οὓς ποιοῦνται ἴσασι τοὺς λόγους, ἀλλ’ ᾗ ἂν τὸ δαιμόνιον κινοίη, φθέγγονται ἀδιανόητα τοῖς πᾶσιν. [20]

1 385 ὡς ἂν δὲ μήθ’ ὕστερον αὐτός ποτε μήδ’ ἕτερός τις τὴν ἀλήθειαν ἐθέλων ἀφανίζειν δύναιτο τῷ ψεύδει χρῆσθαι καὶ τὰ οὐκ ὄντα λογοποιεῖν, κακίαν δῆθεν προστριβόμενος ἡμῖν τινα, ἅ μοι δοκῶ ποιητέα, εἴγε καὶ αὐτῷ σοι συνδόξειεν εἶναι, ἐρῶ. τῇ Χίῳ νυνὶ πολλῶν ἐπιδημούντων, οὐ Ῥωμαίων μόνον, ἀλλὰ καὶ ἐκ Γεννούας καὶ Βενετίας κατ’ ἐμπορίαν, καὶ Νικολάου Σανούτου τοῦ τῶν Κυκλάδων ἄρχοντος, ὃς ἦκε κατὰ φιλίαν σὲ προσκυνήσων, ἔτι δὲ καὶ ἐκ Λατίνων ἀρχιερέως, ὃς τὴν τῆς Χίου παρὰ τοῦ πάπα ἐπιτέτραπτο ἐπισκοπὴν, καὶ Φρερίων τινῶν καθ’ ἱστορίαν, κέλευσον ἐκ πάντων ἐκκλησίαν ἀθροισθῆναι· πάντων δὲ παρόντων γενέσθαι τοὺς λόγους πρὸς Μπενέτον. κἂν δέξηται πεισθεὶς τὴν εὐεργεσίαν, πανταχόθεν ἂν ἔχοι καλῶς· ἐὰν δὲ τῇ προτέρᾳ παρανοίᾳ χρώμενος, τῶν μὲν ἐν χερσὶν ἀπόσχηται ἀγαθῶν, τῶν δὲ μήτε ὄντων μήτε ἐσομένων ἐπιθυμοίη, εἰ μὴ αὐτὸν ὡς ἀδύνατα ἀξιοίη πεῖσαι δυνησόμεθα, ἀλλὰ τούς γε παρόντας οὐ μάρτυρας μόνον ἕξομεν, ἀλλὰ καὶ κήρυκας καὶ τῆς σῆς καλοκαγαθίας καὶ φιλοτιμίας περὶ τὰς εὐεργεσίας, βασιλεῦ, καὶ τῆς ἐκείνου παραπληξίας, καὶ δύο τὰ μέγιστα ἐντεῦθεν κερδανοῦμεν, ἡμᾶς τε αὐτοὺς ἀπαλλάττοντες ἀδοξίας οὐ προσηκούσης καὶ τοὺς ἄλλους τῆς ἐκ τοῦ ψεύδους ἐλευθεροῦντες προσγενησομένης βλάβης. [20]

1 386 “ Τοιαῦτα μὲν ὁ μέγας δομέστικος εἶπε· βασιλεὺς δὲ ἐπείθετό τε εὐθὺς τοῖς εἰρημένοις ὡς καλῶς ἔχουσι, καὶ αὐτῷ ἐπέτρεπε τὴν πρᾶξιν, προσθεὶς, ὡς εἰ μὴ βούλοιτο κατὰ τὰ διατεταγμένα πρότερον ἄρχειν ὁ Μπενέτος Χίου, καὶ δευτέραν αἵρεσιν εὐεργεσίας αὐτῷ προθεῖναι, ἐλάττονος ἢ κατὰ τὴν προτέραν οὐδαμῶς. τακτῇ δὲ ἡμέρᾳ ἐκκλησίαν ὁ μέγας δομέστικος ἔκ τε Ῥωμαίων καὶ τῶν ἐπιχωριαζόντων Λατίνων συναγαγὼν, παρόντος καὶ αὐτοῦ Μπενέτου καὶ τῶν Μαρτίνῳ τῷ ἀδελφῷ πρότερον συνόντων οὐκ ὀλίγων, εἰς λόγους τε καθίσταντο καὶ διηγεῖτο ἄνωθεν ἀπ’ ἀρχῆς, ὅπως τε εἰς Βυζάντιον ἀφίκοιτο πρὸς βασιλέα ὁ Μπενέτος κατηγορῶν τοῦ ἀδελφοῦ ἐφ’ οἷς ἠδικεῖτο παρ’ αὐτοῦ, ὅσα τε αὐτῷ λεχθείη πρὸς βασιλέως, καὶ τὴν εὔνοιαν, ἣν ἐνεδείξατο πρὸς αὐτὸν ἀφικόμενον πρὸς Χίον, καὶ ὡς τῆς εἰς αὐτὸν εὐνοίας ἕνεκα ὁ βασιλεὺς ἀμείβεται τοιαύταις εὐεργεσίαις. Μπενέτος δὲ αὖθις τήν τε δωρεὰν ἀπεωθεῖτο τὴν βασιλέως, ἀναξίαν κρίνων ἑαυτοῦ, καὶ εἰ μὴ παντάπασιν αὐτῷ· παραχωρήσει Χίου, τῆς Ῥωμαίων ἀφελόμενος ἡγεμονίας, μηδεμιᾶς ἑτέρας εὐεργεσίας φάσκων δεῖσθαι παρ’ αὐτοῦ, καὶ μηδὲ τρίβεσθαι εἰκῇ καὶ μάτην ἀδύνατα ἐπιχειροῦντας πείθειν. οἱ μὲν οὖν παρόντες καὶ μάλιστα οἱ ἐκ Λατίνων, πολλὴν ἀκρισίαν κατεγίνωσκον Μπενέτου καὶ ἠτιῶντο φανερῶς, καὶ τὴν βασιλέως θαυμάζοντες φιλοτιμίαν καὶ τὴν αὐτοῦ κακοβουλίαν, καὶ συνεβούλευον πείθεσθαι βασιλεῖ, ὡς, εἰ μὴ πεισθείη νῦν, πολλὰ πολλάκις ὕστερον μεταμελήσοντος αὐτῷ. [20]

1 387 ὁ δ’ οὐδὲν μᾶλλον ἐπείθετο αὐτοῖς, ἀλλὰ τοῖς προτέροις ἐνέμενε λογισμοῖς. ὁρῶν δὲ αὐτὸν ὁ μέγας δομέστικος οὕτως ἔχοντα ἐφ’ οἷς ἠξίου ἀμεταμελήτως „οὐκοῦν“ εἶπεν „εἰ μή σοι ταῦτα ἀρεστὰ δοκοίη, ἀλλ’ εἰ μὴ τύχοις ὧν αὐτὸς ἀξιοῖς, καὶ τῆς Χίου παντάπασι κέκρικας ἀποστῆναι δεῖν, καὶ δευτέραν αἵρεσίν σοι προθήσομαι εὐεργεσίας, ἣν αὐτὸς ἐκέλευσε βασιλεύς. οἰκίας γάρ σοι λαμπρὰς καὶ πολυτελεῖς χαρίζεται ἐν Βυζαντίῳ, καὶ τῶν συγκλητικῶν Ῥωμαίων ἕνα κελεύει εἶναι, καὶ ἀξιώματι τῷ προσήκοντι τιμήσει καὶ ἀρχὴν ἐγχειρίσει τῶν παρὰ Ῥωμαίοις νενομισμένων, καὶ τἆλλα ὅσα τοῖς εὐγενεστέροις Ῥωμαίων καὶ αὐτῷ προσήκοντα ἔσται· καὶ τούτων πάντων χωρὶς προσόδων ἐτησίων ἕνεκα ἐκ τῶν τῆς Χίου φόρων μυριάδας χρυσίου λαμβάνειν δύο. Τούτων ἀκούσας ὁ Μπενέτος, οὐκέτι οὐδὲ καθεκτὸς ἐδόκει εἶναι, ἀλλ’ ὥσπερ τὰ μέγιστα ἀδικούμενος, ἀχθόμενος καὶ δυσανασχετῶν, καὶ ὅρκοις ἑαυτὸν κατελάμβανε καὶ ἀραῖς ταῖς παλαμναιοτάταις, εἴτι παραδέξαιτο τῶν λεγομένων, εἰ μὴ ἅπερ ἐξ ἀρχῆς ᾐτήσατο παράσχοι βασιλεύς. τρεῖς δὲ ᾐτεῖτο τριήρεις ἐκ τῶν βασιλικῶν ὡς πανοικεσίᾳ πλευσούμενος ἐς Γαλατᾶν. ὁ μὲν οὖν τοιούτους παραπληξίας γέμοντας προῄει λόγους· οἱ δ’ ἀκροώμενοι τῶν εἰρημένων βασιλέα μὲν ἐθαύμαζον καὶ ἐπῄνουν καὶ τῆς μεγαλοψυχίας καὶ τῆς φιλοτιμίας, Μπενέτου δὲ πολλὴν κατεγίνωσκον ἀγνωμοσύνην. [20]

1 388 καὶ ὁ σύλλογος διελέλυτο ἐπὶ τούτοις. πυθόμενος δὲ ὁ βασιλεὺς ὅσα τε εἴποι καὶ ὧν ἀκούσειε Μπενέτος, ἐπεὶ μηδὲν ἔτι συνεώρα λειπόμενον τῶν προσηκόντων, ἐκείνῳ μὲν τρεῖς παρέσχετο τριήρεις, ὥσπερ ᾐτεῖτο, αἷς ἐνθέμενος ὅση ἦν αὐτῷ περιουσία, ἦλθεν εἰς Γαλατᾶν. ιγ′. Αὐτὸς δὲ ὅσα ἐξῆν πρὸς φυλακὴν ἐξαρτυσάμενος τῆς νήσου, ἅρας ἐκεῖθεν ταῖς λοιπαῖς ναυσὶν, ἦλθεν εἰς Φώκαιαν τὴν παλαιὰν, οὖσαν ὑπήκοον Ῥωμαίοις· καὶ ἀπόβασιν ποιησάμενος ἐφ’ ἡμέρας τινὰς συνεγένετο Σαρχάνῃ, τῶν κατὰ τὴν Ἰωνίαν ἄρχοντι Περσῶν ἐκεῖσε γενομένῳ καὶ μετὰ τῆς προσηκούσης αὐτῷ προσελθόντι μετριότητος καὶ, οἷον εἰπεῖν, δουλείας. ὃν καὶ δώροις φιλοφρονησάμενος ὁ βασιλεὺς μεγαλοπρεπῶς, ἀπέστειλεν ἔνσπονδον Ῥωμαίοις. Αἰτίνης δὲ καὶ αὐτὸς Καρίας ὢν σατράπης, πρὸς βασιλέα μὲν οὐ παρεγένετο ὑπὸ νόσου χρονίου κωλυθείς· τῶν ὑπ’ αὐτὸν δὲ Περσῶν οὐκ ὀλίγους πέμψας ἅμα δώροις πρὸς βασιλέα, τὴν νόσον, ὡς ὑπ’ αὐτῆς κεκωλυμένος, ᾐτιᾶτο, προσκυνῆσαι βασιλέα. βασιλεὺς δὲ λόγοις τε εὐχαριστήσας καὶ δώροις ἀμειψάμενος αὐτὸν, ἀπέστειλε τοὺς ἐλθόντας. ἐκεῖθεν δὲ ἐξελθὼν, εἰς Φώκαιαν τὴν νέαν ἦλθεν. αὕτη δὲ Ῥωμαίους μὲν οἰκοῦντας εἶχεν· ἐξ αἰτίας δέ τινος ὥσπερ Ζαχαρίας Χίου, οὕτω δὴ καὶ αὐτῆς Ἀνδρέας Κατανίας ἐκ Γεννούας κρατήσας, ἀκρόπολίν τε οἰκοδομησάμενος καὶ κατασχὼν φρουρᾷ, τῆς ἄλλης πόλεως ἦρχεν ἀσφαλῶς. [20]

1 389 τότε μὲν οὖν Ἀνδρέας οὐ παρῆν, ἀλλ’ εἰς Γέννουαν κατά τινα χρείαν ἀπεδήμει. Ἀρῆγος δὲ Ταρταρὼ, ὃς ἦν Ἀνδρέου θεῖος, Φωκαίας ἦρχεν ἀντ’ αὐτοῦ· ὃς ἰδὼν τὸν βασιλέα προσιόντα, Φωκαίας τε ἐπέσπευδεν εἰς ὑπάντησιν βασιλέως ἐξελθεῖν, ἀνοίξας τὰς πύλας, καὶ αὐτὸς ἅμα σὺν αὐτοῖς ἐξῆλθε καὶ προσεκύνει βασιλέα. ἐπεὶ δὲ γένοιτο ἐντὸς τειχῶν, τοὺς τὴν ἀκρόπολιν φρουροῦντας (ἦσαν δὲ ἐκ Γεννούας Λατῖνοι,) ἐξελθόντας ἐκέλευε βασιλεῖ παραδιδόναι. οἱ δὲ ἐξήρχοντό τε προσκυνοῦντες, καὶ παρεδίδοσαν τὴν ἄκραν. βασιλεὺς δ’ ἐν αὐτῇ δύο αὐλισάμενος ἡμέρας, εἰς τὴν τρίτην ἅμα ἕῳ τὸν Ἀρῆγον μεταπεμψάμενος, καὶ τὰ κλεῖθρα τῆς πόλεως τοὺς τοὺς πελέκυς ἔχοντας βαράγκους κελεύσας ἀγαγεῖν (τούτους γὰρ ἔθος τὰ κλεῖθρα τῶν πόλεων ἔνθα ἂν ἐπιδημοίη βασιλεὺς, κατέχειν,) Ἀρήγῳ ἐκέλευε παραδιδόναι, πρὸς αὐτὸν εἰπὼν, ὡς „νῦν μὲν εἰς Φώκαιαν ἐμοὶ ὑπήκοον οὖσαν ἐλθὼν, ἔμεινα ἐφ’ ὅσον ἠβουλόμην. αὖθις δὲ ἐξερχόμενος, τὴν πόλιν παραδίδωμί σοι, καὶ διὰ σοῦ τῷ Ἀνδρέᾳ, ὥστε ἄρχειν αὐτῆς ὥσπερ καὶ πρότερον ἐπιτροπεύοντα καθ’ ὅσον ἂν χρόνον ἐμοὶ βουλομένῳ ᾖ.“ δώροις τε αὐτὸν καὶ τοὺς τὴν ἄκραν φρουροῦντας φιλοφρονησάμενος, καταλιπὼν ἐκεῖ πολλὰς αὐτῷ τῆς εὐεργεσίας χάριτας ὁμολογοῦντας, ἅρας σὺν ἅμα παντὶ τῷ στόλῳ ἦλθεν εἰς Βυζάντιον καὶ διέλυσε τὴν στρατιάν. [20]

1 390 ὀλίγον δὲ ἐνδιατρίψας Βυζαντίῳ χρόνον, ἐξελθὼν ἐκεῖθεν, ἦλθεν εἰς Διδυμότειχον. ἔνθα διατρίβοντι ἠγγέλθη ὡς ἐκ τῆς ἕω στρατιὰ Περσῶν πεζὴ περαιωθεῖσα ἑβδομήκοντα ναυσὶ, τὰ περὶ Τραϊανούπολιν ληΐζεται καὶ Βήραν. συμβέβηκε δὲ διὰ τὸν εἰς Χίον ἀπόπλουν πάντων οἴκαδε διαλυθέντων ἀναπαύλης χάριν, βασιλέα ἅμα δομεστίκῳ τῷ μεγάλῳ σὺν ὀλίγοις τισὶν εἶναι στρατιώταις· ὅσους δὲ ἐνῆν ὡς τάχιστα συναγαγόντες ἐκ τῶν πέριξ πόλεων, ἀπροσδοκήτως ἐπέθεντο τοῖς Πέρσαις, καὶ μάχῃ κρατήσαντες παρὰ πολὺ, τοὺς μὲν ἀπέκτειναν αὐτῶν, τοὺς δὲ καὶ εἷλον ζῶντας. ὅσοι δὲ ἠδυνήθησαν διαφυγεῖν, ἐμβάντες εἰς τὰς ναῦς, (ἐπεὶ τοτηνικάδε ναυτικὴ δύναμις οὐκ ἦν Ῥωμαίοις παρεσκευασμένη) ἐπεραιώθησαν πρὸς ἕω· καὶ ὁ βασιλεὺς μετὰ τὴν νίκην εἰς Ἀδριανούπολιν ἐπανῆλθεν. Μπενέτος δὲ ὁ Μαρτίνου ἀδελφὸς ἐκ Χίου κατασχὼν εἰς Γαλατᾶν, γνώμην ἔχων ὡς ἢν δύνηται ἀμυνούμενος βασιλέα, τριήρεις ἐκ Γεννούας εὑρὼν ἐφορμούσας ὀκτὼ, τὰ ὄντα πάντα διαθέμενος, πείθει μισθῷ τοὺς τριηράρχας, αὐτῷ κατὰ Χίου συνεκπλεῦσαι, ἐλπίσας αἱρήσειν ῥᾳδίως, ὡς βασιλέως οὐ ταχέως βοηθήσοντος, τῆς ναυτικῆς αὐτῷ δυνάμεως διεσκεδασμένης. ἐπεὶ δὲ προσέσχον τῇ Χίῳ, ἀπέβαινόν τε τῶν νεῶν καὶ ὁπλισάμενοι ἐχώρουν πρὸς τὴν πόλιν ὡς τῶν τειχῶν ἀποπειράσοντες. Χῖοι δὲ ἐξελθόντες πανδημεὶ ἐκράτησάν τε μάχῃ τῶν Λατίνων, καὶ φεύγοντας αἰσχρῶς ἐνέβαλον εἰς τὰς ναῦς· ἀπέκτειναν δὲ αὐτῶν ὀλίγῳ πλείους τριακοσίων. [20]

1 391 οἱ δὲ λοιποὶ ἀναχθέντες, ὡρμίσαντο ἐπ’ ἀγκυρῶν, καὶ ἐς τὴν ὑστεραίαν, οὐκέτι ἀγαθὰς ἔχοντες τὰς ἐλπίδας περὶ Χίου, ἐπ’ οἴκου ἀνεχώρουν. Μπενέτῳ δὲ ὡς πᾶσα ἐλπὶς περιῃρεῖτο, ἐπιληψίᾳ κατεσχέθη καὶ πρὶν ἑβδόμην ἥκειν ἐτελεύτησεν. ιδ′. Ὀλίγου δὲ παρῳχηκότος χρόνου, συμβέβηκε βασιλέα Διδυμοτείχῳ ἐνδιατρίβοντα ὀξεῖ νοσήματι περιπεσεῖν, ὃ παῖδες ἰατρῶν κεφαλικὸν σύμπτωμα καλοῦσιν. ἰατροὶ μὲν οὖν ἐκ πρώτης προσβολῆς τὴν ὀξύτητα δείσαντες τῆς νόσου, οὐκ ἀγαθὰς εἶχον τὰς ἐλπίδας· καὶ βασιλεὺς δὲ αὐτὸς τὴν ἀθρόαν καταβολὴν ὑπώπτευε μὴ οὐκ ἄνευ κινδύνου τελευτήσειν. δευτέρᾳ δὲ ἡμέρᾳ μετὰ τὴν προσβολὴν τὸν μέγαν δομέστικον μετακαλεσάμενος „σὺ μὲν“ εἶπεν „οἶσθα, ὁσάκις ἐμοῦ πείθειν ἐπιχειρήσαντος παρασήμοις σε κοσμηθῆναι βασιλικοῖς, ὥς τι πλέον αὐτὸς εἰδὼς, τοὺς μὲν ἐμοὺς διεκρούσω λόγους, καίτοι λυσιτελοῦντα πᾶσιν ἀξιοῦντος· ἃ δὲ αὐτὸς ᾧου βελτίω εἶναι, ταῦτ’ ἔθου διὰ σπουδῆς ἀκατάλυτα τηρεῖν. νῦν δὲ αὐτὸς ἔοικα μᾶλλον ἢ σὺ στοχάζεσθαι τῶν συμφερόντων. εἰ γὰρ ὅσα αὐτὸς ἠξίουν ἐτελεῖτο, νῦν οὐκ ἂν ἐν θορύβῳ πολλῷ καὶ ταραχῇ αὐτός τε ἦν καὶ τὰ Ῥωμαίων πράγματα τοὺς ἐσχάτους ὑπώπτευε κινδύνους. εἰ γάρ με συμβαίη νῦν ὑπὸ τῆς νόσου κατεργασθέντα τελευτῆσαι, ὅπερ οὐδὲ πόῤῥω προσδοκίας, ἄδηλον εἰ μὴ εἰς πράγματα ὑμῖν καὶ ταραχὰς ἡ ἐμὴ τελευτὴ χωρήσει. [20]

1 392 διὸ καὶ δεῖν οἶομαι, αὐτῶν νυνὶ σαφῶς τὰ δέοντα τῶν πραγμάτων διδασκόντων, τὴν μὲν ἄκαιρον φιλονεικίαν καὶ τὴν οὐ προσήκουσαν ἔνστασιν καταλιπεῖν· αὐτὸν δὲ ὑπ’ ὀφθαλμοῖς ὅσοι πάρεισι Ῥωμαίων ὑποδήμασί τε βασιλικοῖς καὶ πίλῳ τῷ ἐμῷ, ἃ δοκεῖ βασιλείας σύμβολα εἶναι, κοσμηθῆναι ἐπ’ ἐμοῦ. κἂν μὲν καὶ αὐτὸς περιγένωμαι τῆς νόσου, καινὸν οὐδὲν ἂν εἴη εἰργασμένον. ἃ γὰρ προὐθέμην ἐξ ἀρχῆς καὶ διὰ σπουδῆς εἶχον ἐλθεῖν εἰς πέρας, ταῦτα ἔσται εἰργασμένα· εἰ δ’ ἐξ ἀνθρώπων γένωμαι, τὴν ἡγεμονίαν πᾶσαν ἀναδέξασθαι Ῥωμαίων σὲ, καὶ μὴ διὰ τὴν ἀναρχίαν εἰς στάσεις καὶ πολέμους χωρῆσαι, ἐξ ὧν διαφθαρήσονται.“ Βασιλεὺς μὲν οὖν τοιαῦτα συνεβούλευε καὶ προσετίθει, ὡς, εἰ μὴ ἀνιᾷν βούλοιτο αὐτὸν, καὶ ταῦτα νοσοῦντα νῦν, τὸ κελευόμενον ποιεῖν. ὁ δ’ οὐδὲν ἔλαττον τῶν ἐξ ἀρχῆς εἴχετο λογισμῶν καὶ γνώμην εἶχεν, ὡς οὐδ’ ἂν εἴ τι γένοιτο εἰς βασιλέως σχῆμα κατασταίη. συνιδὼν δὲ ὁ βασιλεὺς ὡς οὐκ ἂν δύναιτο πείθειν αὐτὸν ἀμείβειν τὸ σχῆμα, ἔγνω δεῖν μὴ πέρα τοῦ δέοντος φιλονεικεῖν, ἐν οὕτω στενῷ κομιδῇ τῶν πραγμάτων καθεστώτων, ἀλλ’ αὐτοῖς πράγμασι διάδοχον αὐτὸν τῆς βασιλείας καταλιπεῖν, καὶ τοῖς παρεστῶσιν ἐκέλευε τούς τε προὔχοντας τῆς συγκλήτου πρῶτον καὶ τοὺς ἄλλους εὐγενείᾳ διαφέροντας, ἔπειτ’ ἐφεξῆς καὶ τοὺς ἄλλους ὅσοι παρῆσαν Ῥωμαίων

συγκαλεῖν. ἐπεὶ δὲ συνῆλθον καὶ περιέστησαν αὐτὸν, καὶ Ἄνναν τὴν βασιλίδα ἐκέλευε παρεῖναι. [20]

1 393 ὡς δὲ καὶ αὐτὴ παρῆν, ὡς μάλιστα εἶχεν ἐπιῤῥώσας ἑαυτὸν, ὀλίγα ἄττα διειλέχθη πρὸς αὐτούς. ἔφη γάρ· „Τὴν μὲν εὔνοιαν, ὦ φίλοι, τὴν περὶ ὑμᾶς καὶ ὡς τοῦ παντὸς ἂν ἐτιμησάμην, οὐ μόνον κοινῇ πάντας, ἀλλὰ καὶ ἕκαστον ὑμῶν ἰδίᾳ τὰ μέγιστα εὐεργετῆσαι, καὶ ὡς οὐκ ἐν παρέργῳ, ἀλλὰ πάσῃ σπουδῇ τῷ κοινῷ Ῥωμαίων τι λυσιτελήσειν ὑμῖν χρώμενος συνεργοῖς προὐθέμην, νομίζων εἰ ἀποθανοῦμαι τοῖς βαρβάροις μαχόμενος ὑπὲρ αὐτῶν, πάσης ἥδιον καὶ μακαριώτερον ζωῆς, αὐτὸς ἂν εἰδείη θεὸς, ὁ τὰ ἄδηλα καὶ τὰ κεκρυμμένα τῶν ἀνθρώπων εἰδὼς καὶ καρδιῶν καὶ φρενῶν ἐταστής. ἐπεὶ δὲ οἷς οἶδε κρίμασιν αὐτὸς τοῦτο μὲν οὐ κέκρικε δεῖν, ἀλλ’ ὡς ὁρᾶτε περιέστησεν ἡμῖν τὴν τελευτὴν, πάντας πείθων ἔργοις αὐτοῖς, ὡς οὔτε χρήμασιν οὔτε δόξῃ οὔτε τοῖς λοιποῖς ὅσα τῶν ῥεόντων καὶ φθειρομένων, χρεὼν προσέχειν, ἀλλ’ ἑνὸς μόνου γίνεσθαι τοῦ διὰ βίου παντὸς προσέχειν θεῷ καὶ πρὸς τὸν ἐκεῖθεν βίον ἑαυτὸν ἕκαστον μεταῤῥυθμίζειν καὶ μεθαρμόζειν, πρῶτον μὲν ὑμᾶς ἀσπάζομαι τὰ τελευταῖα δὴ ταῦτα, ἄδηλον ὂν εἰ ἔτι προσφθέγξομαι ὑμῖν, καὶ δέομαι ὑμῶν, εἴ τις ὑμῖν κεῖται χάρις ἐμοῦ, ἱκεσίαις ἱλεώσασθαι τὸ κρεῖττον ἐμοὶ, τῷ πολλὰ πολλάκις αὐτῷ προσκεκρουκότι, μάλιστα νυνὶ δεομένῳ τῆς ἐπικουρίας ταυτησί· ἔπειτα δὲ ἡγεμόνα καὶ προστάτην ἀντ’ ἐμοῦ τὸν μέγαν δομέστικον ἀφίημι ὑμῖν.“ Μετὰ δὲ τοῦτο τῶν αὐτοῦ λαβόμενος χειρῶν καὶ ταῖς χερσὶ τῆς βασιλίδος περιαγαγὼν, ἐχούσης ἐν γαστρὶ Μαρίαν τὴν θυγατέρα, ἣ καὶ ὕστερον Μιχαὴλ πρὸς γάμον ἐξεδόθη τῷ Μυσῶν βασιλέως Ἀλεξάνδρου, καὶ τῆς εἰκόνος ἐφεστηκυίας τῆς ὑπερφυῶς διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν τετοκυίας θεὸν τὸν κύριον Ἰησοῦν Χριστὸν „σοὶ ταύτην“ ἔφη „παραδίδωμι καὶ πάντας Ῥωμαίους, καὶ τοαποτοῦδέ σοι μελήσει περὶ αὐτῶν. [5]

1 394 “ θρῆνος μὲν οὖν εὐθὺς ὑπὸ πάντων ᾔρτο λαμπρὸς καὶ πάντες ἐτράποντο πρὸς οἰμωγὰς, καὶ οὐδὲν ἦν ὁρᾷν εἰ μὴ κοπτομένους καὶ κατατιλλομένους, καὶ ὁ διὰ πάντων ὀλοφυρμὸς ἐπιπολὺ τοῦ ἀέρος ἐχώρει καὶ πάντα ἐξηκούετο συμμιγῆ· καὶ οὐδεὶς εἰ μὴ αὐτολιθίνην εἶχε ψυχὴν, ἴσχυσεν ἂν ἐγκρατὴς ἑαυτοῦ γενέσθαι καὶ μὴ ἐπιδακρῦσαι τοῖς γινομένοις. ἐφ’ ἱκανὸν μὲν οὖν πάντες ἐνέμειναν τοῖς ὀλοφυρμοῖς, οὐδενὸς ἰσχύσαντος ἀπολογίαν πρὸς τὰ εἰρημένα παρασχεῖν· ὀψὲ δὲ ἀναλαβόντες ἑαυτοὺς, συνέθεντο τὰ διατεταγμένα ἐκπληροῦν, καὶ προσαγορεύοντες τὰ τελευταῖα ἕκαστος βασιλέα, δάκρυσι περιῤῥεόμενοι ἀνεχώρουν. διὰ πάσης δὲ τῆς ἡμέρας ταυτησὶν, οὕτω προστεταγμένον ὑπὸ βασιλέως, τῶν ἐν τοῖς βασιλείοις θυρῶν ἀναπετασθεισῶν, πάντες εἰσιόντες ἀκωλύτως προσηγόρευον βασιλέα καὶ ἠσπάζοντο τὰ τελευταῖα, καὶ αὐτὸς ἀντασπαζόμενος αὐτοὺς, τὰ διατεταγμένα ὑπ’ αὐτοῦ παρηγγύα στέργειν. οὕτω μὲν οὖν διὰ πάσης τῆς ἡμέρας τοῖς πᾶσι συνταττόμενος διετέλεσεν ὁ βασιλεύς. μετὰ δὲ τοῦτο προσκαλεσάμενος τοὺς ἰατροὺς, ὥρκιζεν αὐτοὺς θεὸν τὸν ζῶντας κρινοῦντα καὶ νεκροὺς, μὴ ἀποστερῆσαι τοῦ σχήματος τῶν μοναχῶν, ἀλλ’ ἐπιτρέψαι οἱ τούτου ἀξιωθῆναι. [20]

1 395 ἔφασκε δὲ μὴ ὡς ἤδη τελευτῶν ἐφίεσθαι τοῦ τοιούτου βίου, μηδ’ αὐτοὺς πρὸς ἐκεῖνο ἀποβλέπειν, ὡς εἰ μὲν μηδεμία εἴη τοῦ περιγενήσεσθαι αὐτὸν ἐλπὶς, ἐπιτρέπειν, τοὐναντίον δὲ κωλύειν, ἀλλ’ ἤδη πράττειν μηδὲν ἀναβαλλομένους· τοῦτο γὰρ αὐτῷ μᾶλλον εἶναι πρὸς ἡδονήν· καὶ ὅρκοις ἰσχυρίζετο, ἢ μὴν αἱρεῖσθαι μᾶλλον ἐν τούτῳ τῷ σχήματι ὅσα δήποτε ἔτη ἐπιβιοὺς ὑπὲρ τῶν πρότερον πεπλημμεληκότων εὐθύνειν ἑαυτὸν καὶ διὰ μετανοίας θεῷ προσοικειοῦν, ἢ ἅμα τῷ περιβαλέσθαι ἀπελθόντα μὴ προσεπεργάσασθαι τῷ χαρίσματι. Ἀσκληπιάδαι δὲ πρῶτα μὲν παρεμυθοῦντο, ὡς μηδενὸς δεινοῦ συμβησομένου, ἔπειτα ὡς ἐπέκειτο σφοδρῶς, καὶ ἃ ἐδεῖτο ὑπισχνοῦντο πράττειν· ὁ δ’ οὐδὲν μᾶλλον ἐπείθετο, εἰ μὴ καὶ ὅρκοις αὐτοὺς καταλάβοι, ἢ μὴν αὐτὸν τῆς καλῆς ἐπιθυμίας μὴ ἀποστερήσειν. ιε′. Ἡ νόσος δὲ ἐπετείνετο μᾶλλον καὶ προέκοπτεν ἐπὶ τὸ χεῖρον· ἡ θεία δὲ αὐτῷ Παλαιολογίνα παροῦσα ἡ

Καντακουζηνὴ ἤρετο περὶ τῆς μητρὸς τῆς βασιλίδος Ξένης, εἴ τι διατάττοιτο περὶ αὐτῆς. ἀποκριναμένου δὲ „μηδὲν“, νομίσασα ὑπὸ τῆς νόσου μὴ ἐπαισθάνεσθαι τῶν λεγομένων, αὖθις περὶ τῶν αὐτῶν ἐπανήρετο, καὶ τρίτον· ὁ δ’ ἀπεκρίνατο, μὴ δύνασθαι δύο τοῖς πράγμασιν ἐφιστάναι, καὶ ταῦτα γυναῖκας οὔσας. ὁ μέγας δὲ δομέστικος ἐξελθὼν, ὅρκους προσέταξε γίνεσθαι κατὰ τὸ ἐπικρατῆσαν ἐξ ἀρχῆς ἔθος ἐπὶ τῇ βασιλέως τελευτῇ. [20]

1 396 καὶ ἐγίνοντο ἐπὶ τοῖσδε· στέργειν Ἄνναν τὴν βασιλίδα, κυρίαν καὶ δεσπόζουσαν τῶν πραγμάτων, καὶ τὴν πίστιν αὐτῇ καθαρὰν καὶ ἄδολον τηρεῖν· πείθεσθαι δὲ πάντα καὶ μεγάλῳ δομεστίκῳ καὶ τὰ κελευόμενα ὑπ’ αὐτοῦ μηδὲν ἀντιλέγοντας ποιεῖν. οὕτω μὲν οὖν ἐγίνοντο οἱ ὅρκοι, πάντων ὀμνυόντων ἐφεξῆς. αὐτὸς δὲ τὰ πράγματα διῴκει ᾗ αὐτῷ ἄριστα ἐδόκει ἔχειν καὶ τὰς ἀρχὰς ἐπέτρεπε τῶν πόλεων, οἷς ἔκρινε δεῖν· τῶν δὲ ἀφῃρεῖτο. ὅσοι δὲ Ῥωμαίων εἰς Διδυμότειχον ἔτυχον τότε παρόντες, οὐ τῆς συγκλήτου μόνον, ἀλλὰ καὶ τῆς στρατιᾶς, τὸν μέγαν δομέστικον ἠνάγκαζον συνελθόντες τὰ βασιλικὰ σύμβολα περιθέσθαι· τά τε ἄλλα ἰσχυριζόμενοι δίκαιον εἶναι καὶ ὅτι οὕτω διατάξαιτο βασιλεύς. ὁ δ’ ἀνένευέ τε καὶ ἐκέλευε μὴ παρενοχλεῖν ὡς ἀδύνατα ἀξιοῦσι. Κωνσταντῖνος δὲ ὁ δεσπότης, ὃν ἐν ἀρχαῖς τῆς ἱστορίας μάλιστα ἐκ Θεσσαλονίκης ἔφημεν ἀχθῆναι δεσμώτην, σχῆμά τε ἠμφιεσμένον μοναχῶν καὶ Κάλλιστον ὠνομασμένον, ἔτι μὲν ἐν δεσμωτηρίῳ κατὰ τὸ Διδυμότειχον ἐφρουρεῖτο. δείσαντες δὲ οἱ παρόντες τῶν συγκλητικῶν καὶ τῆς στρατιᾶς, μὴ, τοῦ βασιλέως τελευτήσαντος, ὁ δεσπότης τοῦ δεσμωτηρίου διαδρὰς, στάσιν πάλιν τοῖς Ῥωμαίοις ἐγερεῖ καὶ τὰ πράγματα διαφθερεῖ, πόλεμον ἐμφύλιον κινήσας, τὴν βασιλείαν ἑαυτῷ περιποιούμενος, πρὸς τὸν μέγαν δομέστικον ἐλθόντες ἐδέοντο αὐτὸν ἀποκτιννύναι. τοῦτο γὰρ μάλιστα τοῖς πράγμασι λυσιτελεῖν. [20]

1 397 ὁ μέγας δὲ δομέστικος δεινῶς τε ἀπάνθρωπον ᾤετο τὸ πρᾶγμα καὶ ὠμὸν, καὶ τοὺς ἄλλους ἐπεχείρει πείθειν, μηδέποτε λέγων παραστῆναι ἂν αὐτῷ περὶ αὐτῶν τοιαῦτα καὶ βουλεύσασθαι καὶ εἰπεῖν περὶ δεσπότου. εἰ γὰρ μὴ καὶ ἀφ’ ἑαυτῶν αὐτοὶ συνεῖναι τὰ δέοντα ἦσαν ἱκανοὶ, ἀλλὰ τῷ γε βασιλεῖ ἐξῆν χρῆσθαι διδασκάλῳ αὐτοῖς πράγμασι παιδεύοντι ἄχρι νῦν, θεῷ δὲ θαῤῥεῖν ὡς καὶ εἰς τοὐπιὸν συνεσομένῳ καὶ παιδεύσοντι ἄχρι πολλοῦ, μὴ ὠμοὺς μηδὲ φονικοὺς εἶναι, καὶ ταῦτα πρὸς ὁμοφύλους. τίνος γὰρ κατεψηφίσατο θάνατον ὁ βασιλεὺς, καὶ ταῦτα οὐκ ὀλίγους αὐτῷ ἐπιβουλεύοντας εὑρὼν καὶ αὐτόχειρας μονονουχί; εἰ δὲ αὐτὸς ὑπὲρ ἑαυτοῦ τοσαύτῃ ἐχρήσατο φιλανθρωπίᾳ, οὐδ’ ἡμᾶς ὑπὲρ αὐτοῦ δίκαιον θηρίων ἀγριωτέρους ὀφθῆναι, ἀλλ’ ἀποστάντας τῶν τοιούτων λογισμῶν, ἡμερώτερα καὶ μετριώτερα βουλεύσασθαι περὶ τ’ ἀνθρώπου. οἱ δ’ ἔφασαν οὐ περιόψεσθαι ἑκόντες εἶναι εἰς πολέμους ἐμφυλίους καὶ στάσεις καὶ ταραχὰς τὰ πράγματα χωρήσοντα Ῥωμαίοις. αὐτοὶ γὰρ εἰδέναι ὁπόσα ἐλυμήνατο τοῖς πράγμασιν ὁ τῶν βασιλέων πρὸς ἀλλήλους πόλεμος. διὸ μάλιστα μὲν αὐτοῦ δεῖσθαι τὰ ὑφορμοῦντα κακὰ ἐκποδὼν ποιεῖν, καὶ μὴ τοὺς περὶ βασιλείας ἐρίζοντας ζῆν ἐᾷν. εἰ δὲ μὴ, τά τε δεύτερα, ἐκτυφλοῦν· ὡς ἂν μήτ’ αὐτοὶ στερίσκωνται τοῦ ζῆν, μήτ’ αὐτοῖς αἴτιοι γίνωνται πολλῶν κακῶν. Οἱ μὲν οὖν τοιαῦτα εἶπον· καὶ παρεσκευασμένοι ἦσαν ὡς, εἰ μὴ πείθοιτο ὁ μέγας δομέστικος αὐτοῖς, καὶ ἄκοντος ἐν δεσμωτηρίῳ τὸν δεσπότην ἀποκτενοῦντες. [20]

1 398 Ὁ δὴ καὶ αὐτὸς ἐκ τῶν λόγων συνορῶν καὶ βουλόμενος αὐτοὺς ἀποτρέψαι τῆς ὁρμῆς Τὸ μὲν ἀποκτιννύναι, εἶπεν, οὐδενὶ ἐξέσται τρόπῳ, οὐδὲ περιϊδεῖν ἂν αὐτὸς τὴν βασιλέως ψυχὴν φόνῳ συγγενικῷ δι’ αὐτὸν καταχρανθεῖσαν. τὸ δὲ ἀποστερεῖν τῶν ὀφθαλμῶν, μάλιστα μὲν οὐδὲ αὐτῷ βούλεσθαι ἑκὼν εἶναι· ὡς ἂν δὲ μὴ ὑποψίαν παρέχῃ στάσεως καὶ ταραχῆς, σκεψαμένῳ τῆς νυκτὸς, ὅ, τι ἂν λυσιτελοίη τοῖς πράγμασι ποιήσειν εἰς τὴν ὑστεραίαν. Οἱ μὲν οὖν ἐπείθοντο τοῖς λόγοις, οἰόμενοι ἀπαλλάξεσθαι πραγμάτων, ἐὰν τῶν ὄψεων ὁ δεσπότης ἀποστερηθῇ. αὐτὸς δὲ νυκτὸς τρισὶ τῶν πιστοτάτων οἰκετῶν, τὸν δεσπότην ἐκέλευεν ἐκ τοῦ δεσμωτηρίου λαβόντας, ἐν μυχοῖς κατακρύψαι γῆς ἀσφαλέστατα εἰς ὅσον μάλιστα ἂν ἐξῇ· κατὰ

δὲ τὸν παραῤῥέοντα ποταμὸν, ὃς Ἄδρα καλεῖται, ἀκάτιον ἀνατρέψαι, φήμην δὲ κρύφα διαδοῦναι, πρῶτα μὲν ὡς διαδράσειε τοῦ δεσμωτηρίου ὁ δεσπότης, ἔπειτα δὲ ὡς ἀποπνιγείη κατὰ τὸν ποταμόν. οἱ μὲν οὖν ἐποίουν κατὰ τὰ κεκελευσμένα· καὶ ὁ δεσπότης ἐκέκρυπτο ἐν ἀδύτοις γῆς. ἅμα δὲ πρωΐ τοῦ ὄρθρου φήμη διεδόθη, ὡς διαδράσειε τοῦ δεσμωτηρίου ὁ δεσπότης· καὶ πάντες ἦσαν ἐν θορύβῳ καὶ ταραχῇ, οἰόμενοι ἤδη τὰ πράγματα εἰς στάσιν χωρεῖν. ἐπεὶ δὲ ἐπύθοντο περὶ τοῦ ἀνατετραμμένου ἀκατίου κατὰ τὸν ποταμὸν, λογισάμενοι αὐτὸν ἐκ προνοίας ἀποπεπνῖχθαι, κατεστέλλοντό τε θορυβοῦντες καὶ οὐκέτι περὶ στάσεως προσδοκίαν οὐδεμίαν εἶχον. [20]

1 399 ὁ δεσπότης μὲν οὖν οὕτω διέφυγε τὸ ἀποθανεῖν πρὸς τῷ μηδὲ τῶν ὄψεων ἀποστερηθῆναι· Λάσκαριν δὲ τὸν Καλαμάνον ὁ μέγας δομέστικος εἰς Βυζάντιον πέμψας πρωτοστράτορι ἐπιτροπεύοντι αὐτοῦ τὰ περὶ βασιλέως ἐδήλου· ἐκέλευέ τε αὐτόν τε ὀμνύειν τὸν προειρημένον ὅρκον, καὶ τοῖς ἄλλοις ἐπιτρέπειν τῶν συγκλητικῶν καὶ τοῖς δυνατοῖς τῶν Βυζαντίων· καὶ ὃς μελλήσας μηδὲν, ἐποίει τὰ προστεταγμένα. ις′. Ἀνδρόνικος δὲ ὁ πρεσβύτερος βασιλεὺς πυθόμενος περὶ βασιλέως τοῦ ἐγγόνου, ὡς νοσήματι ὀξεῖ κατασχεθεὶς προσδόκιμός ἐστιν ἀποθανεῖν, ὁρῶν δὲ καὶ τοὺς τελουμένους ὅρκους, οὓς ἐπὶ βασιλέως ᾔδει γινομένους τελευτῇ, δείσας μὴ τελευτήσαντος αὐτοῦ νεωτερισθῇ τι περὶ αὐτὸν καὶ ὑπό τινων ἀποστερηθῇ τὸ ζῆν οἰησομένων ἐπιθήσεσθαι πάλιν τῇ ἀρχῇ Ῥωμαίων, ᾐτήσατο γενέσθαι μοναχὸς, οἰόμενος οὕτως ἂν διαφυγεῖν τὸ ἀποθανεῖν, ἂν ὁ ἔγγονος τελευτήσῃ· ἐνδόντος δὲ καὶ πρωτοστράτορος, ῥάκη τε ἐνέδυ καὶ Ἀντώνιος ἐξ Ἀνδρονίκου μετωνομάσθη. Ἀνδρόνικος δὲ ὁ βασιλεὺς τῇ νόσῳ συνεχόμενος δεινῶς καὶ ὅσον οὔπω νομίζων αὐτὸν ἀπολείψειν καὶ τὸ ζῆν, τοὺς ἰατροὺς προσκαλεσάμενος „ὑμεῖσ“ εἶπεν „ἴστε σαφῶς ὅσα τε διειλέχθην πρὸς ὑμᾶς αὐτὸς τοῦ τῶν μοναχῶν ἐφιέμενος σχήματος ἐπιτυχεῖν, οὐχ ὡς ἤδη παντάπασιν ἀπηγορευκὼς τὸ ζῆν, ἀλλ᾽ εἰ καὶ βεβαίας ἔχοιμι τοῦ περιέσεσθαι τὰς ἐλπίδας, οἰόμενος ἔχειν ἀμφοτέρωθεν καλῶς. [20]

1 400 ἄν τε γὰρ ἀπέλθω πρὸς τοὺς πλείους, ἐν καλῷ μοι κείσεται τῷ ἀδεκάστῳ κριτῇ τὸ τῆς μετανοίας ἔχοντα σχῆμα ὀφθῆναι ἐπὶ τῆς δίκης ἐκείνης τῆς φοβερᾶς· ἄν τε περιγένωμαι τῆς νόσου, μᾶλλον βέλτιον, ὅσῳ καὶ καιρὸν εὑρήσω μετανοίας ἀπολύσασθαι τὰ πεπλημμεληκένα. ὅσα τε ἐπηγγείλασθε αὐτοὶ, καὶ ὅρκοις ἐπιβεβαιώσαντες τοὺς λόγους μὴ τοῦ τοιούτου καλοῦ ἀποστερήσειν, νυνὶ δὲ τοὐναντίον ἅπαν ὁρῶ γινόμενον. αὐτός τε γὰρ ἤδη ὀλίγον ἀποδέω τοῦ ἀψύχοις ἐοικέναι, καὶ ὑμᾶς πάντα μᾶλλον ἢ τὸ τὰ συμφέροντα καὶ φίλα ἐμοὶ διανοουμένους πράττειν ὁρῶ. διὸ δὴ καὶ δέομαι ὑμῶν, μὴ ἐπὶ πλεῖον καταχρήσασθαι τῇ ἀμελείᾳ, οὐ μέτριά τινα, ἀλλ᾽ εἰς αὐτὰ τὰ καιριώτατα βλαπτούσῃ· ἀλλ᾽ ὃ μὴ πρότερον, νυνὶ σπουδάσαι καταπράξασθαι πρινὴ τὸ τέλος ἐπιστῇ.“ Βασιλεὺς μὲν οὖν τοιαῦτα εἶπεν· οἱ δὲ ἰατροὶ μέγα ἀνοιμώξαντες καὶ πολλὰ πολλάκις ἐπευξάμενοι, εἰ μηδὲ τὴν ἀρχὴν ἐν ἐπιστήμῃ τῆς θεραπευτικῆς ἐγένοντο, ὥστε τοιαῦτα ἐπιδεῖν, ἐπέτρεπον ὅ, τι ἂν βούλοιτο βασιλέα πράττειν περὶ ἑαυτοῦ. ὁ δὲ ἀκούσας, ἔνθους τε ἐγένετο ὑφ᾽ ἡδονῆς, καὶ ὡς ἤδη λαμπρά τινα εὐτυχηκὼς, τὸν μέγαν δομέστικον μετεκαλεῖτο καὶ μετὰ σπουδῆς ἐκέλευε πατέρα τὸν πνευματικὸν καλεῖν τὸν ἑαυτοῦ· ὁ δὲ τῶν γεγενημένων εἰδὼς μηδὲν, ἐπυνθάνετο τὴν αἰτίαν τῆς κλήσεως ἥτις εἴη. [20]

1 401 ἐπεὶ δὲ μάθοι, βασιλεῖ μὲν ὑπισχνεῖτο τὰ κελευόμενα ποιεῖν, τοῖς ἰατροῖς δὲ ἐπετίμα τε οὐ μετρίως καὶ αὐτὸς ἤνεγκεν οὐκ ἀνεκτῶς. τριβομένης δὲ ἐπιπολὺ τῆς ὥρας καὶ τοῦ πνευματικοῦ πατρὸς οὐ παραγινομένου, αὐτός τε ἐπέσπευδε τὴν ἄφιξιν καὶ τοὺς ἰατροὺς τὴν αἰτίαν τῆς μελλήσεως ἠρώτα· συνεὶς δὲ ἀπὸ τῶν λεγομένων ὑγιὲς μηδὲν αὐτοὺς λέγειν, ἐστοχάζετο παρὰ τοῦ μεγάλου δομεστίκου κωλύεσθαι τὴν πρᾶξιν, καὶ μετακαλεσάμενος αὐτὸν, τῆς τε ἐκ πρώτης ἡλικίας πρὸς ἀλλήλους αὐτὸν ἀνεμίμνησκε φιλίας καὶ τοῦ μηδέπω μηδαμῶς παρὰ πάντα τὸν βίον οὐδέτερον ἑτέρῳ ταραχῆς καὶ σκανδάλου ἀφορμὴν παρεσχηκέναι. νυνὶ δὲ ἀπορεῖν ὅθεν

ὁρμώμενος οὕτως ἐξεπίτηδες ἐβουλήθη ἀχθόμενον αὐτῷ εἰς ᾅδην παραπέμψαι. „μὴ δὴ τοιαῦτά με ἐργάσῃ κακὰ, ὦ φίλων“ ἔλεγεν „ἄριστε, μηδὲ καταπρόῃ μοι τὴν ἐλπίδα τῆς σωτηρίας, ἀλλ᾽ ὥσπερ πολλάκις ὑπὲρ τοῦ δυστήνου σώματος τουτουῒ πάσῃ σπουδῇ καὶ προθυμίᾳ σεαυτὸν ἐνέβαλες εἰς τοὺς κινδύνους, οὕτω νῦν πολλῷ πλέον κινδυνεύοντος κατὰ ψυχὴν, πρόστηθι πάσῃ προθυμίᾳ, οὐ μόνον διὰ τὴν φιλίαν, ἀλλ᾽ ἵνα μὴ καὶ δίκας ὑπόσχῃς τῷ πάντων κριτῇ, τό γε εἰς σὲ ἦκον ἀποστερήσας αὐτὸν ψυχῆς, ὑπὲρ ἧς αὐτὸς θάνατον εἵλετο καὶ σταυρόν. μηδὲ κατάτριβε τὸν καιρὸν, οὕτως ἀναγκαῖον ὄντα, ὃν αὖθις εὑρεῖν οὐκ ἐξέσται διαφυγόντα νῦν, ἀλλ᾽ εὐχῶν τε πολλῶν δεόμενον καὶ σπουδῆς οὐ τῆς τυχούσης. ἐγὼ γὰρ καὶ ὃν ἀναλίσκω σοὶ διαλεγόμενος χρόνον, ζημίαν ἥγημαι τὴν ἐσχάτην. [20]

1 402 “ Ὁ μέγας δὲ δομέστικος ἀποκρίνασθαι μὲν ἴσχυσεν οὐδὲν, τῆς ψυχῆς ἤδη τῇ λύπῃ καταβεβαπτισμένης· ἔξω δὲ ἐλθὼν ἀνώμωξέ τε πικρῶς καὶ τὸν φίλον ἀνεκαλεῖτο, καὶ μικροῦ μὲν ἐδέησεν ἀφεῖναι καὶ τὴν ψυχὴν ἐπὶ τοῖς θρήνοις· ὅμως δ᾽ ἀνελάμβανέ τε πάλιν ἑαυτὸν καὶ τὰς ὄψεις ὕδατι τῶν δακρύων ἀποκαθαίρων, ὥσπερ ἄλλου πάσχοντος ἀδάκρυτος ὡρᾶτο βασιλεῖ. ὡς δὲ ὁ βασιλεὺς συχνοὺς ἀγγέλους ἐπιπέμπων, τὴν τοῦ πνευματικοῦ πατρὸς ἄφιξιν ἐπέσπευδεν, ὁ μέγας δομέστικος πέμψας τὸν μὲν πνευματικὸν ἐκέλευεν ἔξω Διδυμοτείχου χωρεῖν καὶ διατρίβειν ἐν προαστείοις ἄχρις ἂν αὐτὸς τὴν εἴσοδον ἐνδῷ, πρότερον δὲ μὴ εἰσιέναι, μήδ᾽ εἰ πάντες ἄνθρωποι ἐπιτρέποιεν· ἕτερον δὲ ἀντ᾽ ἐκείνου παραλαβὼν, εἰσήγαγεν ὡς βασιλέα. ἔφασκέ τε τὸν μὲν εἰωθότα τῆς πόλεως ἀποδημεῖν, καὶ ὅρκους προστιθεὶς ὡς ἀληθεύοι, τουτονὶ δὲ εἰσαγαγεῖν οὐδαμῶς ὄντα σοι ἐν συνηθείᾳ, καὶ πάνυ ἄκοντα διὰ τὸ βιάζεσθαι ὑπὸ σοῦ. Βασιλεὺς δὲ αὐτὸν προσαγορεύσας „ὥρα σοι, πάτερ,“ ἔλεγε „τοῖς πνευματικοῖς χρῆσθαι φαρμάκοις καὶ τὴν ἐπιστήμην ἐπιδείκνυσθαι τὴν πασῶν φιλανθρωποτάτην, καὶ ψυχὴν ὀδυνωμένην καὶ κακῶς πάσχουσαν ὑπὸ πολλῶν τραυμάτων καὶ πταισμάτων ἀνακαλεῖσθαι καὶ πρὸς σωτηρίους τρίβους καθοδηγεῖν, καὶ μετανοίας ἐνδύμασι καὶ πράγμασι τὸν κριτὴν ἵλεων αὐτῇ προκατασκευάζειν.“ ὁ δ᾽ ἀντησπάζετο μὲν βασιλέα καὶ αὐτὸς, μὴ ἐξεῖναι δὲ αὐτῷ ἔλεγεν, ἔτι ζῶντος τοῦ πατρὸς, ᾧ φέρων ἑαυτὸν ὑπέταξας πνευματικῶς, ἕτερον ἀνθαιρεῖσθαι, καὶ ταῦτα ἐν καιροῖς μάλιστα τοιούτοις, ὅτε βούλει μεταλλάξασθαι τὸν βίον καὶ πρὸς ἀγγελικὴν μετατάξασθαι πολιτείαν, ἐπεὶ καὶ διὰ βίου παντὸς τούτῳ χρῆσθαι δίκαιον διδασκάλῳ καὶ ὡς τῶν κρειττόνων τινὶ προσέχειν, ἀλλὰ μὴ ἁπλῶς οὕτω καὶ ἀπερισκέπτως ὑπὸ τοῦ τυχόντος τὰ τοιαῦτα μυσταγωγεῖσθαι. [5]

1 403 Τοιαῦτα γὰρ ἦν δεδιδαγμένος λέγειν. βασιλεὺς δὲ ἐδυσχέραινε μὲν οὐ μετρίως πρὸς τοὺς λόγους καὶ τὸν μέγαν δομέστικον ἐν αἰτίαις ἐποιεῖτο, ὑπ᾽ αὐτοῦ φάσκων κωλύεσθαι σωτηρίας τυχεῖν. συνηγοροῦντος δὲ αὐτοῦ τοῖς εἰρημένοις ὑπὸ τοῦ πνευματικοῦ καὶ διαβεβαιουμένου μὴ παρεῖναι ἐκεῖνον, ᾧ δίκαιον τὰ τοιαῦτα ἐπιτρέπειν, ἔτι τε ἐπαγγελλομένου ὡς, εἴ ποτε ἐπανήξει, μηδὲν ἀναβαλλόμενος παρέσται, ἡσύχασε πεισθεὶς ὁ βασιλεύς. Βαρὺς δὲ, τῶν ἰατρῶν ὁ μάλιστα ἐμπειρότατος, δεινὰ ἐποιεῖτο καὶ οὐδὲ ἀνέξεσθαι ἐδόκει, εἰ βασιλεὺς ἀποστερήσοιτο τῆς σωτηρίας ἐν χρῷ κινδύνου καθεστὼς, ὑπὸ τοῦ μεγάλου δομεστίκου παραχθεὶς, ὥρμητό τε δῆλα βασιλεῖ ποιεῖν ὅσα τε περὶ τὸν πνευματικὸν πατέρα συσκευασθείη καὶ ὡς οὐδὲν ἂν εἴη κώλυμα, εἰ μὴ παρείη ὁ πνευματικὸς ἐκεῖνος, ἕτερον τὰ ὅμοια ποιεῖν, τῆς αὐτῆς ἐξουσίας ὑπὸ τοῦ παντουργοῦ πνεύματος πᾶσι πνευματικοῖς πατράσιν ἐξίσης κεχορηγημένης. συνιδὼν δὲ ὁ μέγας δομέστικος ὅ, τι βούλεται ὁ Βαρὺς, εἰς τὸ ἐξώτερον οἴκημα παραλαβὼν, „στοχάζομαί σε“ εἶπε „βούλεσθαι βασιλέα παρακινεῖν τὸ μοναχῶν ἐνδῦναι σχῆμα ὑφ᾽ ὅτου ἂν τύχοι πατρὸς πνευματικοῦ. [20]

1 404 σὺ δ᾽ αὐτὸς καὶ τὴν ἀρχὴν εἰς τοῦτο παρώρμησας βασιλέα. τότε μὲν οὖν ἡ ἀπειρία καὶ ἡ ἄγνοια παρῃτήσατό σε μὴ κακῶς παθεῖν· ἂν δ᾽ αὖθις τοῖς αὐτοῖς ἢ καὶ χείροσιν ἐπιχειρῇς, ἴσθι μὴ ἄνευ τιμωρίας ἀπαλλάξων. πρῶτον μὲν γὰρ οὐκ ἐξ ἀγορᾶς ἐστιν ὠνήσασθαι βασιλέα, ἂν τοῦ ὄντος

ἀποστερηθῶμεν, ἔπειτα εἰ καὶ τοῦτ' ἐξῆν, ἀλλ' οὐκ ἂν τοιούτῳ γε ἐνετύχομεν τὰ πάντα βελτίστῳ. τοὺς γὰρ μέλλοντας τοσαύτην προστασίαν ἐγχειρισθήσεσθαι πραγμάτων ὁ τὰ πάντα προορώμενος θεὸς ἀναλόγους πρὸς τὸ τῆς ἀρχῆς μέγεθος δημιουργεῖ. ἄλλως τε, πόσοις τῶν νοσήμασι δεινοῖς παλαιόντων, ὑπὸ μὲν τῶν ἰατρῶν συμβέβηκεν ἀπαγορευθῆναι καὶ εἰς αὐτὸ τὸ ἔσχατον δοκοῦν κατηντηκέναι τῆς ζωῆς, ὑπὸ δὲ τοῦ τὰ πάντα οἰκονομοῦντος καὶ μετασκευάζοντος ᾗ βούλεται, ἀνεβίωσάν τε αὖθις καὶ ῥαΐσαντες οὐκ ἐλάσσω τῶν προτέρων ἔτη ἐπεβίωσαν; τί οὖν θαυμαστὸν, εἰ θεοῦ βουλομένου, τοιαῦτα παραπλήσια καὶ ἐπὶ τοῦ ἡμετέρου συμβήσεται βασιλέως; οὗ δὴ ἕνεκα σοὶ λέγω, ἠρεμεῖν καὶ μὴ βασιλέα παρενοχλεῖν, ἀλλ' ἐᾷν οὕτως ὅπως ἔχει σχήματος. κἂν μὲν θεὸς Ῥωμαίοις ἵλεων ἐπιβλέψας, τὸν σφέτερον χαρίσηται βασιλέα, αὐτῷ τε τὰς δυνατὰς ἀποδώσομεν εὐχαριστίας καὶ ἡμῖν αὐτοῖς ἀντὶ μεγίστης εὐτυχίας τὴν ὑγείαν λογιούμεθα βασιλέως· ἂν δ', ὃ μὴ γένοιτο, κρίμασιν οἷς οἶδεν αὐτὸς, ἐκ τῶν προσκαίρων καὶ ἐπιγείων πρὸς τὰ βελτίω καὶ μονιμώτερα βασίλεια καταστήσῃ, δίκαιος ὢν κριτὴς καὶ καρδιῶν καὶ λογισμῶν ἐταστὴς, τήν τε πρόθεσιν κρινεῖ καὶ τῶν ἴσων ἀξιώσει γερῶν τοῖς μοναχοῖς, ὅτι μὴ προθέσει τῇ σφετέρᾳ, ἀλλ' ἀπατηθεὶς ἀπεστέρηται τοῦ τοιούτου καλοῦ. [5]

1 405 " Τοιαῦτα τοῦ μεγάλου δομεστίκου εἰρηκότος, ὁ Βαρὺς οὐ καθεκτὸς ἦν, ἀλλ' οὐ περιόψεσθαι ἔφασκε βασιλεῖ οὕτως ἐν ἐσχάτοις κινδύνοις ὄντι μὴ τὴν δυνατὴν βοήθειαν εἰσενεγκεῖν· οὐ μόνον ὡς ἰατρὸς ὢν, εἰ μὴ τὰ δέοντα παραινέσει, τὰς ἐσχάτας τίσων δίκας, ἀλλ' ὅτι καὶ ὅρκοις πρὸς βασιλέως κατελήφθη ἔνδηλα αὐτῷ ποιῆσαι τἀληθῆ περὶ ἑαυτοῦ. νυνὶ δὲ ἤδη οὐδενὶ τρόπῳ βασιλέως ἐν τοῖς ζῶσιν ἐσομένου, τί χρὴ τῆς ψυχῆς τῆς σωτηρίας ἀμελεῖν ἐλπίσι κεναῖς αἰωρουμένους; Τοιαῦτα λέγοντι Βαρεῖ καὶ ἤδη ὡρμημένῳ βασιλεῖ δῆλα ποιεῖν ὁ μέγας δομέστικος ἠπείλησεν ἀποκτενεῖν, εἰ μὴ παύοιτο τοιαῦτα δρῶν. εἰδώς τε αὐτὸν δειλότατον ὄντα καὶ θορυβῆσαι διανοηθεὶς, ἐξαγαγὼν ἔξω, τοῖς παροῦσι Ῥωμαίων εἶπεν· „Ἄνδρες Ῥωμαῖοι, ἰατρὸς οὑτοσὶ ἐμοὶ μὲν πείθεσθαι βούλεται οὐδαμῶς, ἑαυτῷ δὲ πεποιθὼς ὡς δή τις ὢν τῶν τε τὰ ὄντα καὶ τὰ ἐσόμενα εἰδότων, ὥρμηται ἡμῖν τὸν βασιλέα μονάζοντα ἐκ βασιλέως ἀποδεῖξαι. εἰ δὴ τὰ πραττόμενα ὑμῖν κατὰ γνώμην, εἰδείητε ἂν αὐτοί." οἱ δ' αὐτίκα περιστάντες τὸν ἰατρὸν, ἐθορύβησάν τε οὐ μετρίως καὶ καινήν τινα αὐτῷ ἠπείλησαν ἰδέαν ἐξευρήσειν θανάτου, εἰ μὴ παύοιτο τοιούτοις ἐγχειρῶν. [20]

1 406 ὁ δὲ ἔδεισέ τε καὶ ἐπείθετο τοῖς ἀπειλοῦσι. βασιλεὺς δὲ, καίτοι τοῦ νοσήματος αὐξανομένου καὶ προσθήκην οὐ μικρὰν ὁσημέραι δεχομένου, ὅμως εἶχεν ὑγιῶς τὰς φρένας καὶ οὐδὲν ὑπὸ τοῦ νοσήματος, καίτοι περὶ τὴν κεφαλὴν ὄντος, παρεβλάπτετο· καὶ τὸν πνευματικὸν πατέρα συνεχῶς ἀνεκαλεῖτο καὶ ἐρωτικῶς εἶχεν ἀτόπως περὶ τὸ Ναζιραίων σχῆμα, τῷ τε παρόντι ἐπέτρεπε πνευματικῷ τὸ ἔργον· οὐδὲν εἶναι λέγων θαυμαστὸν, εἰ ἀπόντος ἐκείνου τοῦ συνήθους, αὐτὸς τὰ ἴσα δρῴη. ὁ δὲ ἀνεβάλλετό τε ἰσχυρῶς καὶ ἔφασκεν οὐκ ἐγχειρήσειν, εἰ μὴ βούλοιτο καὶ αὐτῆς ἱερωσύνης ἐκπεσεῖσθαι, ὡς ἐκθέσμως καὶ παρανόμως ἐγχειρῶν τοῖς ἱεροῖς. οὕτω γὰρ εἶναι τοῖς θείοις πατράσι νενομοθετημένον. ὁ δ' ἐπείθετο μὲν, βαρέως δὲ ἤνεγκε τοῦ σχήματος τὴν ἀποτυχίαν. σιωπήσας δὲ ἐπὶ μικρὸν καὶ τῶν τε πεπλημμεληκότων εἰς ἔννοιαν ἐλθὼν καὶ ὡς πάντων ἐκείνων ὑφέξει δίκας ἐπὶ τοῦ ἀδεκάστου καὶ φρικτοῦ δικαστηρίου, δάκρυά τε ἠφίει τῶν ὀφθαλμῶν καὶ ἐθρήνησεν αὐτὸν ἐφ' ἱκανόν. εἶτα τῇ περὶ αὐτὸν ἐπέσκηπτε θεραπείᾳ τελευταίας ἐντολὰς, καὶ ὥρκιζεν αὐτοῖς τὸν θεὸν, ὡς ἐπειδὰν ἀναλύσαντα τοῦ σώματος ἐπὶ τῷ ὁσίας ἀπάγωσιν ἀξιῶσαι, ἐπὶ τὴν μεγάλου δομεστίκου οἰκίαν ἀγαγόντας πρῶτον, καὶ καταθέντας χρόνον τινὰ, οὕτως ἐκεῖθεν ἀραμένους, ὑπὸ λίθον κατακρύψαι, ὡς ἂν γένοιτο πᾶσι καταφανὲς, ὡς οὐδ' αὐτὸς ὁ τῶν τῇδε πάντων θάνατος ἐπιλανθάνεσθαι ποιῶν, ἴσχυσεν αὐτοῦ τὴν πρὸς ἐκεῖνον φιλίαν ἀμβλῦναι. [20]

1 407

οἱ μὲν οὖν παρόντες ἐθρήνησάν τε ἐπὶ τοῖς λεγομένοις καὶ τὴν ὑπερβολὴν ἐθαύμασαν τῆς πρὸς ἀλλήλους αὐτῶν φιλίας, ὅτι καὶ ἄχρι τελευτῆς οὕτως ἐν ἀκμῇ διετηρήθη. ιζ′. Μετὰ τοῦτο δὲ ὁ βασιλεὺς τὸν μέγαν δομέστικον μετακαλεσάμενος „οἶδα μὲν“ εἶπεν „ὦ φίλων ἄριστε, σαφῶς, ὡς ἡ νῦν ἡμέρα οὐ μόνον ἀποφράδος πάσης ἐχθίων σοι φανεῖται, ἀλλὰ καὶ μεγάλας οἴσει τὰς δυσχερείας καὶ περιστάσεις. ἀνάγκη γὰρ πρός τε τὴν πρόνοιαν τῆς ἀρχῆς μερίζεσθαι Ῥωμαίων, δεδοικότι μὴ διὰ τὴν ἐμὴν τελευτὴν τῶν καθεστηκότων τι κινηθῇ, καὶ πρὸς τὴν ἐμὴν ἀποστέρησιν οὐδεμίαν ὑπερβολὴν ἀθυμίας ἀπολείπειν, λογιζόμενον εἰκότως ὅτι τὸν πάνυ φίλτατον καὶ ὃν οὔτε χρόνος ὁ πάντ’ ἀποῤῥέειν καὶ ἀπανθεῖν ποιῶν, οὔθ’ ἡ τῶν πραγμάτων ἄστατος καὶ ἀβέβαιος φύσις, οὔτ’ ἀνάγκη τις οὐδεμία τῆς σῆς ἴσχυσε φιλίας ἀποστῆσαι κἂν πρὸς βραχὺ, νῦν ὁ καὶ αὐτῆς φύσεως ἰσχυρότερος θάνατος ἐπελθὼν ἀποτέμνει τε καὶ διαζεύγνυσιν ἀνημέρως· καὶ σὲ μὲν ἀπολείπει σῶμα χωρὶς ψυχῆς, ἐμὲ δὲ ἀνενέργητον ψυχὴν παραλαμβάνει πικρῶς ὀδυνωμένην τὴν διάζευξιν. ἀλλὰ τί ἄν τις πάθοι; στέργειν γὰρ ἀνάγκη τοὺς παρὰ τοῦ δημιουργοῦ τῆς φύσεως κειμένους θεσμούς. οὐ μὴν ἀλλ’ ἐπειδὴ τὸ λειπόμενον ὀλίγον τῆς ζωῆς, τοῖς ἄλλοις πᾶσι χαίρειν εἰπὼν, ἐπὶ τῆς κλίνης ἀνακλίθητι τῆς ἐμῆς καὶ τὴν σοὶ φιλτάτην κεφαλὴν τοῖς γόνασιν ἐπίθες καὶ χεῖρας ἐπίβαλε τοῖς ὀφθαλμοῖς. [20]

1 408 ἴσως τοῦτο παραμυθίαν τινὰ προξενήσει τῇ ψυχῇ τοῦ σώματος χωριζομένῃ, πολλὰς, ὡς λέγουσιν, ὑφισταμένῃ τὰς ὀδύνας· μᾶλλον δ’ ἵν’ αἰσθάνηται διπλῶν τῶν ὀδυνῶν, σοῦ τε καὶ σώματος χωριζομένη, καὶ μήδ’ ἐν ᾅδου σοῦ δύνηται ἐπιλαθέσθαι, εἴ τις αἴσθησις τῶν τῇδε ψυχαῖς μετὰ τὴν ἐνθένδε ἀπαλλαγήν.“ Τούτων ὁ μέγας δομέστικος ἀκούσας, ἀνώμωξέ τε πικρὸν, οὔπω πρότερον ἄχρι τότε τοῦτο παθὼν ἐπὶ τοῦ βασιλέως, ἀλλ’ ἀεὶ μὲν ἔξω κοπτόμενος καὶ θρηνῶν, ἔνδον δὲ μάλιστα σπουδάζων ἐγκρατὴς εἶναι ἑαυτοῦ· τότε δὲ ὑπὸ τοῦ πάθους ἤδη λαμπρῶς νενικημένος, ἔστενέ τε βύθιον ἐκ καρδίας καὶ τὸν ἑταῖρον ἀνεκλαίετο, ὡς καὶ τοὺς ἔξωθεν αἰσθομένους τῆς ὀλωλυγῆς, τετελευτηκέναι νομίσαι βασιλέα. ἐπιπολὺ μὲν οὖν ὁ θρῆνος παρετάθη, καὶ τῶν ἄλλων τῶν παρόντων πάντων συνθρηνούντων· ἐπεὶ δὲ ἱκανῶς εἶχεν, αὐτῷ ὁ βασιλεὺς αὖθις, τὸ μὲν θρηνεῖν, εἶπεν, ἐᾷν οὐκ ἂν κατὰ καιρὸν, ἐπὶ τῆς κλίνης δὲ ἀνελθόντα, τὸ προστεταγμένον ποιεῖν. ἐπειδὰν δὲ ὁ τοῦ θρηνεῖν ἀφίκηται καιρὸς, σύ τε κλαύσῃ πολλὰ πολλάκις καὶ αὐτὸς ὡς νεκρὸς ἀπὸ καρδίας ἐπιλησθήσομαι τῶν ἄλλων ἀνθρώπων· εἴθε δὲ καὶ τῆς σῆς μέρος τι μικρὸν τῆς μνήμης τῆς ἐμῆς ἠδυνήθην ἐκβαλεῖν! Ἀνῆλθε μὲν οὖν ὁ μέγας δομέστικος ἐπὶ τῆς βασιλέως κλίνης· καὶ τῆς κεφαλῆς ἡμμένος, τὸ μέλλον ἀπεσκόπει, δάκρυα προχέων ἀψοφητί. [20]

1 409 ἤδη δὲ ἠργμένης τῆς νυκτὸς, τό, τε σφύζειν παντελῶς ἀπέλιπε βασιλέα καὶ οὐκέτι ἀμφιβάλλειν ἦν περὶ τῆς τελευτῆς. περὶ δὲ ὥραν αὐτῆς τετάρτην ἐπυνθάνετο τῶν ἰατρῶν ὁ βασιλεὺς τὸν χρόνον ὁπόσον ἂν αὐτῷ νομίζοιεν διαρκέσειν τὴν ζωὴν, καὶ ἐκέλευε σὺν ἀληθείᾳ ἀπαγγέλλειν. οἱ δ’ ἅμα καὶ θρηνοῦντες ἄχρι νύκτα ἔλεγον οἴεσθαι ἐξήκειν. οὐ πολλοῦ δὲ χρόνου διαλιπόντος, τά τε ἄκρα ψύχεσθαι ἤρχετο, ἀπολείποντος τοῦ ζωτικοῦ, καὶ αὐτὸς ἤδη καὶ τὰ μέλη παρεῖτο καὶ τὴν φωνήν. καὶ κνῆμαι μὲν ἐμελαίνοντο ἄχρι γονάτων, πήχυς δὲ χειρῶν οὐδὲν ἦσαν ἀψύχων ἀπεοικυῖαι, βλέφαρά τε τῶν φυσικῶν ἐκλυθέντα τόνων, καθίεντο τοῦ μέτρου πλέον, καὶ ῥὶς ἀπωξύνετο ἐπιπολὺ καὶ κρόταφοι συνεπεπτώκεσαν, καὶ πάνθ’ ὅσα τελευτῆς τεκμήρια παῖδες ἴσασιν ἰατρῶν γινόμενα ἦν ὁρᾷν, ὡς καὶ αὐτοὺς καὶ τῆς προθεσμίας οἰηθῆναι πρότερον τελευτήσειν. ὅσα μὲν οὖν ἦν ἀναγκαῖα πρὸς ταφὴν, πάντα ἤδη ἐπεπόριστο, καὶ οὐδὲν ἦν ἕτερον οὐδένα προσδοκᾷν πλὴν ταφῆς. βασιλεὺς δ’ ἀμυδρᾷ φωνῇ καὶ οἷον ἤδη ἐκλειπούσῃ, εἰ τῶν ἱερῶν ὑδάτων τῶν ἐκ τῆς ἀεννάου καὶ σωτηρίου πηγῆς τῆς θεομήτορος ἐκβλυζόντων εὑρεθῆναι ἠρώτα δυνατόν. Φακρασίνα δὲ τῶν τῇ βασιλίδι συνουσῶν μία γυναικῶν εὐγενῶν τῆς ἑσπέρας ἔφασκεν ἥκοντα ἐκ Βυζαντίου τῶν αὐτῆς τινα οἰκετῶν, τῶν ἱερῶν ὑδάτων κεκομικέναι· ἅμα δὲ καὶ φέρουσα παρείχετο σὺν σπουδῇ. [20]

1 410 προσαχθέντων τε τῷ στόματι βασιλέως ἐδόκει μὲν καταβροχθίσαι, καὶ ἐθαυμάζετο παρὰ πάντων, ὅτι καίτοι τὰ τελευταῖα πνέων, οὐκ ἀπέσχετο τῆς περὶ τὰ σεβάσμια καὶ πίστεως καὶ τιμῆς. ὅμως δὲ οὐδὲν ἧττον ἐγγίζειν ἐδόκει ταῖς ᾅδου πύλαις· χρισθείσης δὲ αὐτῷ καὶ τῆς σαρκὸς ἐξ ἐκείνων τῶν ὑδάτων, ἡσύχασέ τε παντελῶς καὶ ἀπ' ἐκείνης τῆς ὥρας ἄφωνός τε καὶ ἀκίνητος ἔμεινεν ὄρθρου ἄχρι παντελῶς, ζῆν μόνῳ πιστευόμενος τῷ ἀναπνεῖν. περὶ ὄρθρον δὲ ὥσπερ ἐκ τεθνεώτων ἀναβιοὺς „δόξα σοι, ὦ θεὸς," εἶπεν. ἐρομένου δὲ ὅπως ἔχει τοῦ μεγάλου δομεστίκου, αὐτὸς μὲν εἶπεν οὐκ εἰδέναι, εἰδείη δ' ἂν ὁ πάντα γινώσκων θεός. προσελθὼν δ' ὁ τῶν ἰατρῶν προέχων καὶ τῆς χειρὸς ἁψάμενος τῆς βασιλέως, ἐδόκει μὲν σφύζειν ἀμυδρῶς· τῷ παραλόγῳ δὲ τοῦ πράγματος οἰόμενος ἠπατῆσθαι (οὐδεμία γὰρ ὑπελείπετο ἐλπὶς τοῦ ζήσεσθαι αὐτὸν) ἀνηρεύνα τε αὖθις ἐπιμελῶς καὶ περιειργάζετο τοὺς σφυγμοὺς καὶ τὰς χεῖρας περιέψα. ὡς δὲ ἐπείθετο οὐκ ἠπατημένος ὤν, ἐξεπέπληκτό τε τοῦ πράγματος τῷ παραδόξῳ καὶ „μέγας ὁ θεὸς" ἀνεβόησεν „ὁ μόνος δυνάμενος εἰς ᾅδου κατάγειν πύλας καὶ ἀνάγειν αὖθις ἐκεῖθεν." περιστησάμενος δὲ καὶ τὸν ἄλλον ὅμιλον τῶν ἰατρῶν ὥσπερ ὑπ' ἐκπλήξεως οὐδ' ἑαυτῷ θαῤῥῶν, εἰ καὶ αὐτοῖς τὰ ἴσα περὶ βασιλέως ἐπυνθάνετο δοκεῖ. συνθεμένων δὲ καὶ αὐτῶν, ἔκπληξις μὲν πάντας εἶχε καὶ χαρὰ οὐδεμίας δευτέρα· ἀναλαμβάνειν δὲ ἤρξατο αὐτὸν ὁ βασιλεὺς καὶ ὥσπερ ἀναστρέφειν ἐξ ᾅδου πυλῶν. [20]

1 411 καὶ μέχρι τρίτης τῆς ἡμέρας ὥρας οἵ τε σφυγμοὶ διεφαίνοντο ἤδη καθαρῶς, ἐξίτηλοι μὲν καὶ ἀτονοῦντες, ἴσοι δὲ ὅμως καὶ ὁμαλοί. καὶ αὐτὸς ῥᾴων ἦν καὶ πάνθ' ὁμοῦ διελέλυτο τὰ δεινά. καὶ ἀπ' ἐκείνης τῆς ἡμέρας ἀνακτώμενος ἑαυτὸν κατὰ μικρὸν, εἰς τελεωτάτην καὶ καθαρὰν ἦλθεν ὑγείαν. τοσαύτη δὲ παρὰ πᾶσιν ἦν ἡ τῆς ἐκπλήξεως ὑπερβολὴ, ὥστ' οὐ μόνον ἀκούοντες ἠπίστουν τοῖς λεγομένοις, οἰόμενοι τεθνάναι βασιλέα, ἀλλὰ καὶ σχεδὸν ὁρῶντες οὐ ῥᾳδίως ἑαυτοῖς πιστεύειν εἶχον. ὅσοις μέντοι Ῥωμαίων εὔνοια πρὸς βασιλέα καθαρὰ καὶ ἄδολος ἦν, οὐδ' ἡ χαλεπὴ νόσος ἐκείνη καὶ ἡ παρὰ δόξαν ὑγεία ἀκερδὴς διέμεινε παντελῶς, ἀλλ' οἰκείαν ἕκαστος λογιζόμενοι τὴν εἰς βασιλέα παραδοξοποιΐαν, ἔργοις ἀγαθοῖς ἠμείβοντο τὸν θεόν· οἱ μὲν ἀφιστάμενοι οἷς συνείχοντο κακοῖς, οἱ δ' ἐλεημοσύναις καὶ λύτροις αἰχμαλώτων καὶ ἐγκρατείᾳ βρωμάτων ἐπὶ καιρὸν τὴν εὐγνωμοσύνην ἐνδεικνύμενοι καὶ τὴν εὐχαριστίαν. οὕτω μὲν ὁ βασιλεὺς εἰς αὐτὸ τὸ ἀκμαιότατον ἔφθασε τοῦ κινδύνου, οὕτω δ' αὖθις παραδόξως διεσώθη. ιη′. Ἐπεὶ δ' ἐῤῥάϊσεν, ἕκαστα καθ' ὅ, τι πραχθείη παρὰ τοῦ μεγάλου διεπυνθάνετο δομεστίκου, καὶ αὐτοῦ διηγουμένου κατὰ μέρος, πᾶσιν ὡς λυσιτελῶς καὶ προσηκόντως εἰργασμένοις ἐπεψηφίζετο ὁ βασιλεύς. ἐπεὶ δὲ ἀπαγγείλαι ὡς καὶ Συργιάννην τῆς ἑσπέρας ἐκπέμψειε στρατηγὸν, οὐκέτι εἶχεν ἐπαινεῖν, ἀλλ' ἠτιᾶτο τοῦτο μόνον ὡς οὐ διαπεπραγμένον συνετῶς. [20]

1 412 βέλτιον γὰρ εἶναι Συργιάννην ἐπὶ τοῦ προτέρου μένειν σχήματος καὶ μὴ πρὸς κακίαν ἐναγούσης ὕλης εὐπορεῖν. ὁ δ' „οὐκοῦν" ἔφασκεν „εἴ σοι βέλτιον δοκοίη, γράμμασι μὲν αὐτὸν τῆς ἑσπέρας παραλύσω τῆς ἀρχῆς· ἐπὶ δὲ τῶν προτέρων πάλιν καταστήσω." ἐπαινέσαντος δὲ τοῦ βασιλέως, ὁ μὲν ἐχώρει πρὸς τὸ τὰ κεκελευσμένα ἐκπληροῦν. μεταμεληθεὶς δὲ ὁ βασιλεὺς ἐκέλευέ τε ἀναστρέφειν καὶ Συργιάννην ἐᾷν ἐφ' ἧς ἐτέτακτο ἀρχῆς, ὡς οὐ δίκαιον ὂν οὐδὲ καθ' ἡδονὴν αὐτῷ τῶν ἄλλων πάντων ἃ αὐτῷ πέπρακται στεργομένων, ταύτην μόνην τὴν πρᾶξιν ἄκυρον ὀφθῆναι. ὁ δ' ἐπείθετο εὐθύς· τῶν παρόντων δὲ ἐκεῖ τινες κρύφα Συργιάννῃ ἐδήλουν γραφῇ ὡς βουληθείη μὲν ὁ μέγας δομέστικος παραλῦσαι τῆς ἀρχῆς, μεταγνοὺς ὅτι ἐνεχείρισε καὶ τὴν ἀρχὴν, κωλυθείη δὲ ὑπὸ βασιλέως· καὶ, τὸ μὲν εἰς ἐκεῖνον ἦκον, ἤδη τῆς ἀρχῆς ἐκβεβλημένον εἶναι, βασιλεῖ δὲ ὀφείλειν χάριτας κεκωλυκότι. τοιαῦτα πυθόμενος ὁ Συργιάννης, τῶν μὲν ὑπηργμένων αὐτῷ παρὰ τοῦ μεγάλου δομεστίκου ἠμνημόνησεν ἀγαθῶν, διὰ ταῦτα δὲ, καίτοι γε οὐκ ὄντα ἀληθῆ, ὀργῇ φερόμενος εἰργάσατο ἃ δηλώσει προϊὼν ὁ λόγος. τότε δὲ πάντα ἀπαγγέλλων ὁ μέγας δομέστικος βασιλεῖ, καὶ περὶ δεσπότου τοῦ Καλλίστου

διηγεῖτο, ὡς κινηθείη μὲν ἡ στρατιὰ κατ' αὐτοῦ, δείσαντες μὴ τοῦ δεσμωτηρίου διαδρὰς μετὰ τὴν σὴν τελευτήν τι νεωτερίσῃ, καὶ ὡς βουληθεῖεν ἀποκτεῖναι, αὐτὸς δὲ μηχαναῖς χρησάμενος καὶ ἀπάταις διασώσειέ τε αὐτὸν καὶ νῦν ἐν ζῶσιν εἶναι. [20]

1 413 ἡδέως δὲ ἄγαν ἐπὶ τούτοις διατεθεὶς ὁ βασιλεὺς καὶ τὸν μέγαν δομέστικον ἐπαινέσας καὶ συγγνώμης ἠξίωσεν ἐκεῖνον ἀπολύσας τῆς εἱρκτῆς. καίτοι γε καὶ πρότερον πολλάκις ἠβουλήθη τοῦ δεσμωτηρίου ἀπολύειν ὅρκοις πιστωσάμενον ὡς τοὺς ἐν Θεσσαλονίκῃ κακῶς διαθέντας καὶ δεσμώτην ἀποδείξαντας οὐκ ἀμυνεῖται καιροῦ τυχών· ὁ δὲ οὐκ ἐπείθετο, ἀλλ' ἰσχυρίζετο φανερῶς, ὡς ἀμυνούμενος αὐτοὺς ἀξίως, ἂν τὴν δύναμιν προσλάβηται τοῦ ἀντιδρᾶν. διὰ ταῦτα δὲ ἔτι ἐφρουρεῖτο· τότε δὲ βασιλέως παραινέσαντος ὅσα ἐχρῆν, καὶ συνθεμένου καὶ αὐτοῦ ἀμνηστήσειν τοῖς προσκεκρουκόσι, τοῦ δεσμωτηρίου ἀπηλλάττετο. Περί γε μὴν Ἀνδρονίκου τοῦ πρεσβυτέρου βασιλέως βασιλεὺς ὁ ἔγγονος ἐνθυμηθείς, ἐπυνθάνετο τοῦ μεγάλου δομεστίκου ὅπως περὶ τὴν αὐτοῦ διατεθείη νόσον. ὁ δ' ἔφασκε μοναχῶν τε ὑποδῦναι σχῆμα καὶ Ἀντώνιον ἐξ Ἀνδρονίκου προσαγορευθῆναι. ἐκπλαγεὶς δὲ ὁ βασιλεύς, τὴν αἰτίαν τε ἠρώτα τῆς μεταβολῆς καὶ εἰ ἑκὼν εἶναι μεταλλάττοιτο τὸν βίον ἢ παρά του βιασθείς. ὁ δ' ἔφασκεν εἰδέναι μὲν τἀληθὲς οὐκέτι ἔχειν. μήτε γὰρ ἀξιόλογόν τινα ἀπαγγελοῦντα ἐκεῖθεν ἀφῖχθαι, μήτε πρωτοστράτορα γράμμασι δεδηλωκέναι. τοῦτο δὲ μόνον τῶν ἐκεῖθεν ἀφικνουμένων ἀγγελιαφόρων ἀκηκοέναι, ὡς πύθοιτο μὲν ὁ βασιλεὺς περὶ τῆς νόσου τῆς σῆς ὡς εἴη τῶν πρὸς θάνατον ἀγουσῶν· δείσας δὲ μὴ μετὰ σὴν τελευτὴν τῶν ἀνηκέστων τι τολμηθῇ περὶ αὐτὸν, ὑποδύσαιτο τὸ σχῆμα τῶν μοναχῶν. [20]

1 414 βασιλεὺς δὲ ἤχθετό τε πρὸς τὴν ἀγγελίαν καὶ ἐδυσχέραινεν οὐ μετρίως, οὐ κατὰ γνώμην αὐτῷ λέγων εἶναι τὰ γεγενημένα. ὁ μέγας δὲ δομέστικος ὁρῶν αὐτὸν ἀλγοῦντα ἐπὶ τοῖς συμβεβηκόσι καὶ δείσας μή τι πρὸς τὴν νόσον ὑπὸ τοῦ ἀλγεῖν παραβλαβῇ, ἀνελάμβανέ τε αὐτὸν καὶ παρεμυθεῖτο, τὴν μὲν αἰδῶ καὶ τιμὴν ἣν αὐτὸς ἔχων περὶ βασιλέα διατελεῖ, καὶ ὡς πολλοῦ ἂν ἐτιμήσατο μὴ τοιαῦτα περὶ αὐτὸν συμβεβηκέναι, ἀλλ' ἐπὶ τοῦ προτέρου διαμένειν σχήματος πάντων μᾶλλον αὐτὸς εἰδέναι καὶ συνεπιμαρτυρεῖν εἰπών. εἰ δὲ ἀδύνατον τὰ γεγενημένα ἀναλῦσαι, τί χρὴ περὶ αὐτῶν πολλὴν ποιούμενον φροντίδα, ἐκείνοις μὲν οὐδεμίαν ἐξευρίσκειν ὄνησιν, ἡμῖν δὲ αὐτοῖς οὐ τὴν τυχοῦσαν βλάβην προξενεῖν; ἐγὼ δὲ, εἴγε ἐξῆν, ἐμαυτῷ δίκας οὐ μικρὰς ἐτιμησάμην, ὅτι οὕτως ἀπερισκέπτως ἢ ἀνοήτως μᾶλλον εἰπεῖν, ἐπ' οὐδενὶ κέρδει ταραχήν σοι προσήγαγον καὶ λύπην οὐδαμῶς ἐν τῷ νυνὶ προσήκουσαν καιρῷ. κἂν γὰρ τῶν πρὸς θάνατον ἀπηλλάγημεν φόβων καὶ ὑπονοιῶν, ἀλλ' οὔπω καθαρᾶς ὑγείας οὐδ' ἀσφαλείας ἀπολαύειν ἔξεστι. βασιλεὺς δὲ ἃ μικρῷ πρόσθεν περὶ βασιλέα τὸν πάππον διενοεῖτο δρᾶν ἀνεμίμνησκεν αὐτὸν, ὡς „εἴ γε ἐκεῖνα" λέγων „εἰς ἔργον προὔβη, νῦν οὐκ ἂν συνέβαινε τοιαῦτα." ὁ δ' ἔφασκε καὶ αὐτὸς, ὡς „τοιαῦτα μὲν οὐκ ἂν ἐδρᾶτο· ἕτερα δὲ πολλῷ χείρονα καὶ ἀλυσιτελέστερα ἴσως ἂν συνέβη." ιθ'. [20]

1 415 Ἐπεὶ δ' ὧν περὶ βασιλέα τὸν πάππον ὁ νέος διενοεῖτο, ἐμνήσθημεν, βασιλεὺς, ἀναγκαῖον βραχέα καὶ περὶ αὐτῶν διαλαβεῖν, ὡς ἂν μὴ λυμαίνοιτο τῷ σώματι τῆς ἱστορίας ἡ τῶν δοκούντων τινῶν παράλειψις ἀναγκαίων. ὡς γὰρ ὁ βασιλεὺς Ἀνδρόνικος ὁ νέος, καθάπερ ἔφθημεν εἰπόντες, τῆς βασιλείας διενοήθη κοινωνὸν τὸν μέγαν δομέστικον παραλαβεῖν καὶ τῷ τῆς ἁλουργίδος ἄνθει καὶ βασιλικοῖς κοσμῆσαι παρασήμοις, καὶ πολλὰ πολλάκις περὶ τούτου γε αὐτῷ διαλεχθεὶς, οὐδὲν ἠδυνήθη πλέον, ἀλλ' ἀμετάθετον τὴν γνώμην ἔχοντα ἑώρα πρὸς τὸ μηδέποτε αὐτῷ πεισθέντα πράττειν ἃ ἠξίου, ἐκείνου μὲν ἀπέσχετο καὶ αὐτὸς, ἀνηνύτοις οἰόμενος ἐπιχειρεῖν· ὕστερον δὲ οὐ πολλῷ τῷ πάππῳ καὶ βασιλεῖ πᾶσαν τὴν ἀρχὴν καὶ τὴν διοίκησιν τῆς Ῥωμαίων ἡγεμονίας ὥσπερ καὶ πρότερον παρέστη ἐγχειρίσαι. οὕτω δὴ διανοηθέντι ἐδόκει δεῖν προάγειν καὶ εἰς ἔργον, καὶ τῷ μεγάλῳ δομεστίκῳ ἐκοινοῦτο τὰ τῆς γνώμης, ὡς εἰ λυσιτελοίη καταπραξόμενος. τῷ δ' εὐθὺς μὲν ἐδόκει πεῖραν αὐτοῦ ποιεῖσθαι

βασιλέα, οἰόμενον ὡς ἂν τοιαῦτα περὶ βασιλέως τοῦ πάππου πύθηται βουλόμενον, ῥᾳδίως ὑπείξει πρὸς τὸ ὑπ' αὐτοῦ γενέσθαι βασιλεὺς, ὅπερ ἀνεβάλλετο πρὶν, καὶ ἐδήλου ἃ ὑπενόει βασιλεῖ. ὡς δὲ ἐκεῖνος τοιοῦτον μὲν ἔφασκε διανενοῆσθαι μηδὲν, ἁπλῶς δ' οὑτωσὶ καὶ πανουργίας τινὸς χωρὶς καλόν τε οἴεσθαι καὶ βούλεσθαι προάγειν καὶ εἰς ἔργον, ὁ μέγας δομέστικος ὑπολαβών· „ἀλλ' ἔμοιγε" εἶπεν „οὐκ ἀγαθὸν εἶναι δοκεῖ, οὐδὲ, τόγε εἰς ἐμὲ ἧκον, ὡς λυσιτελοῦν βουλεύσασθαι πραχθῆναι ἄν. [20]

1 416 εἰ δὲ σοί γε ἔδοξε τοιαῦτα περὶ βασιλέως καὶ παντὶ τρόπῳ βούλει ἐκτελέσαι, βέλτιον ὃ παρά σοι κέκριται καλὸν τοῦ παρ' ἐμοὶ μὴ τοιούτου φαινομένου τὸ πλέον ἔχειν. εἰ μὲν γὰρ σαυτῷ τε καὶ Ῥωμαίοις καὶ προσήκοντα καὶ λυσιτελοῦντα ἐβουλεύσω, θεὸς ὁ πᾶσιν ἀγαθοῖς ἔργοις ἐνηδόμενος καὶ τὴν σὴν ἂν ἐπιῤῥώσειε πρὸς τοῦτο ψυχὴν, καὶ οὐδ' εἰ πάντες ἄνθρωποι κωλύειν ἐπιχειροῖεν πεῖσαι δύναιντ' ἄν σε ἀποσχέσθαι· εἰ δ' ἄρα ταῦτα μὲν ἀσύμφορα πάντη καὶ Ῥωμαίοις καὶ σαυτῷ, θεῷ δ' ἔδοξε τοιαῦτα πεῖσαι ὥστε πρόφασιν πολέμων ἐμφυλίων καὶ στάσεως καὶ ταραχῆς Ῥωμαίοις εὑρεθῆναι, τίς οὕτως ἂν εἴη παντάπασιν ἔρημος φρενῶν, ὥσθ' ἃ ἔδοξε θεῷ, ταῦτ' αὐτὸν ἄν ποτε δυνηθῆναι ἀναλῦσαι νομίσαι; σκέψαι τοίνυν παρὰ σαυτῷ, κἂν ἴδῃς ἁπάσαις ψήφοις πρὸς τοῦτο ῥέπουσαν τὴν σὴν ψυχὴν, τί χρὴ καὶ βουλεύεσθαι περὶ αὐτοῦ; εἰ δ' ἄρα τοιοῦτον μὲν οὐδὲν κέκριται παρά σοι, σαυτῷ δὲ καὶ τοῖς ἄλλοις ὑπηκόοις λυσιτελῆ τε ὁμοῦ καὶ δίκαια ποιεῖν ἐθέλων τὸ πάλιν ἀνακαλεῖσθαι βασιλέα καὶ τὴν ἀρχὴν Ῥωμαίων ἐγχειρίζειν διεσκέψω, οὐχ ἁπλῶς οὕτω καὶ ἀπερισκέπτως ὥς τι τῶν μηδενὸς ἀξίων πράττειν χρή· ἀλλὰ πρότερον πολλὰ πολλάκις σκεψάμενον περὶ αὐτοῦ καὶ διακωδωνίσαντα ἀκριβῶς, οὕτω χωρεῖν ἐπὶ τὸ πράττειν, μή πώς τι τῶν ἀδοκήτων ὕστερον συμβὰν (πολλὰ δ' ἂν γένοιτο τοιαῦτα) τοῖς τε ἄλλοις καὶ πρό γε αὐτῶν ἡμῖν ἀβουλίαν καὶ ἀπραγμοσύνην καταγινώσκειν ἑαυτῶν πρόφασιν παράσχῃ. [20]

1 417 " Τούτων οὕτως εἰρημένων, ἐπείθετο ὁ βασιλεὺς καὶ ὡς καλῶς ἔχοντα ἐπῄνει, ἐπέτρεπέ τε βουλεύεσθαι περὶ αὐτοῦ. ὁ μέγας δὲ δομέστικος τὰς αἰτίας πρότερον ἔφασκε μαθεῖν ἐθέλειν, ἐξ ὧν εἰς τοῦτο ἐναχθείη. κἂν μὲν καὶ αὐτῷ λόγον ἔχουσαι δοκοῖεν καὶ πείθειν ἰσχυραὶ, τί χρὴ περαιτέρω πονεῖν εἰκῇ βουλευομένους; τὸ κωλύον γὰρ οὐδὲν τὰ καλῶς δοκοῦντα ἔχειν ποιεῖν. ἂν δ' ἄρα μὴ τοιαῦτα φαίνοιντο, πάλιν αὐτὸν ἐξ ἀντιστρόφου δι' ἃ μὴ λογίζοιτο αὐτὸς λυσιτελεῖν τὴν πρᾶξιν, προτιθέναι. κἂν μὲν τοῦ ὀρθῶς καὶ δικαίως ἔχοντος φαίνηται ἡμμένα, πείθεσθαί τε αὐτὸν καὶ ἀφίστασθαι τοῦ μὴ τὰ δέοντα ποιεῖν· ἐὰν δὲ ἐνδεῶς ἢ ὥστε δύνασθαι πείθειν ἔχωσι καὶ ἀγχώμαλος ἡ μάχη καταστῇ, τότ' αὐτὸν τῆς νίκης αὐτῷ προχωρεῖν, ὥσπερ τοὺς Ἀθηναίους, τῆς Ἀθηνᾶς προστιθεμένης ψήφου, λόγος ποιεῖν. τριῶν δὲ ὄντων ἃ ἄν σε μάλιστα δύναιτο πρὸς μεταμέλειαν τῶν γεγενημένων ἐνάγειν, τοῦ τε μὴ δικαίως δοκεῖν πεπρᾶχθαι, καὶ τοῦ μὴ τοῖς πράγμασι λυσιτελούντως, καὶ τρίτου, τοῦ τινα τῶν δεόντων γίνεσθαι ἀμελεῖσθαι διὰ τὸ μὴ βασιλέα τοῖς πράγμασιν ἐφεστάναι, σκεψώμεθα ἕκαστον αὐτῶν. καὶ πρῶτόν γε πάντες ἂν ἐμοὶ συμφαῖεν ὡς μάλιστα πέπρακται δικαίως. πρότερόν τε γὰρ αὐτὸς οὐκ ἦρξας πολέμου, ἀλλ' ὑπὸ τῶν πραγμάτων αὐτῶν ἐκβιασθείς. [20]

1 418 καὶ τότε μὲν ἄκων, ἀνεχώρησας δ' οὖν ὅμως, βασιλέως τὸν κίνδυνον ἀποδιδράσκων· καὶ ὕστερον ἀμυνόμενος ἀναγκαίως καὶ, τοῦ θεοῦ συναιρομένου, ἐπεὶ τὰ πράγματα γεγένηται ὑπό σοι, καίτοι γε ἐξὸν τὴν σύμπασαν ἀρχὴν ἔχειν καὶ προσεῖναι τὸ δικαίως διὰ τὸ ἐκεῖνον πολέμου ἄρξαι, (οὐδεὶς γὰρ ὁ κωλύων νόμος τὰ τῶν πολεμίων τοὺς νενικηκότας ἆθλα τῆς ἀρετῆς κεκτῆσθαι,) οὐκ ἔφθασε μνησθεὶς εἰρήνης, καὶ σὺ τὰ δίκαια ποιῶν ἀπεδίδους τὴν ἀρχήν. ὥστε καὶ ἐξ ὧν πρότερον ἀπεστεροῦ μηδὲν ἀδικῶν, καὶ ἐξ ὧν ὕστερον κρατῶν τῶν ἀντιπάλων οὐκ ἀπεστέρεις τῶν δικαίων, ὁμοίως σοὶ τὸ δικαίῳ εἶναι περιέσται. ὅτι δὲ καὶ τοῖς πράγμασι λυσιτελῶς, οὐδ' ἀποδείξεως δεήσεσθαι οἶμαι. τίς γὰρ οὐκ οἶδε, τῶν ἁπάντων εἰ μὴ τῶν πραγμάτων ἔξω κατοικεῖ, τὸν πρὸς τοὺς ὁμοφύλους πόλεμον λύμην οὖσαν τοῖς χρωμένοις καὶ

φθορὰν, ὥσπερ τὴν εἰρήνην καὶ τὴν ὁμόνοιαν τοὐναντίον ἅπαν, ὠφέλειαν καὶ πρὸς τὸ βέλτιον ἐπίδοσιν τῶν κοινῶν; ἀλλὰ μὴν ὅτι γε οὐδὲ τῶν δεόντων οὐδὲν παραλείπομεν ἡμεῖς διὰ τὸ μὴ ἐκεῖνον τῶν πραγμάτων ἐξηγεῖσθαι, πειράσομαι ἀποδεικνύναι. δύο γὰρ ὄντων ἃ προσήκει βασιλεῦσιν ἔργων, τοῦ τε περὶ τὰ πολέμια διατρίβειν, ἀμυνόμενον μὲν τοὺς ἐπιόντας πολεμίους καὶ τὴν οἴκησιν παρέχοντα τοῖς ὑπηκόοις ἀσφαλῆ, εἰ δέ που δέοι, καὶ ἐπιστρατεύοντα τοῖς πρότερον ἐπελθοῦσι, καὶ τοῦ περὶ δίκας ἀσχολεῖσθαι καὶ θεσμοὺς ἐν τῆς εἰρήνης τοῖς καιροῖς καὶ τὰ οἰκεῖα εὖ τίθεσθαι, ἐν οὐδετέρῳ τὸ πλέον ἔχων ἡμῶν ἐκεῖνος ἂν φανείη, μᾶλλον δὲ τῷ μὲν οὐδαμῶς λείπεσθαι βασιλέως, τῷ ἑτέρῳ δέ σοι συμβέβηκε νικᾶν παραπολύ. [20]

1 419 τῆς γὰρ ἄλλης τῶν πραγμάτων διοικήσεως οὐδὲν ἔλαττον ἢ πρότερον ὡς προσῆκον γινομένης, ἐν τοῖς πολέμοις καὶ ταῖς στρατείαις πολὺ προέχεις, αὐτὸς ἐφ' ἅπασι παρὼν καὶ στρατηγοῖς χρώμενος βελτίοσιν ἢ ἐκεῖνος, ὡς ἐξ αὐτῶν τῶν ἔργων ἐγένετο καταφανὲς, αὐτοῦ ταπολλὰ καὶ πρότερον οἰκουροῦντος ὥσπερ νῦν.“ Ἔτι δὲ τὸν λόγον βουλομένου τοῦ μεγάλου συνείρειν δομεστίκου καὶ διὰ πολλῶν ἀποδεικνύναι μὴ ὂν λυσιτελὲς πρὸς τῶν πραγμάτων τὴν ἀρχὴν αὖθις ἐπανάγειν τὸν πρεσβύτερον Ἀνδρόνικον, ὁ νέος ἐπικόπτων βασιλεὺς, ταῦτα μὲν ἔφη καὶ αὐτὸς οἴεσθαι ὀρθῶς ἔχειν, καὶ τούτων ἕνεκα οὐδενὸς τῷ πάππῳ ἐθέλειν ἐγχειρίζειν τὴν ἀρχήν· ἀλλὰ πρώτου μὲν, τοῦ μὴ τοὺς πάντα εὐχερεῖς καὶ φαύλους καὶ διεφθορότας ὡς ἐκ προνοίας αὐτὸς καὶ σκέψεως ἐπιβούλου τὴν ἀρχὴν παρειλόμην, βασιλέως μηδεμίαν πρόφασιν πρὸς τὸν πόλεμον παρεσχημένου, δύνασθαι λογοποιεῖν καὶ πείθειν τοὺς πολλούς· δευτέρου δὲ, τοῦ μάλιστα βούλεσθαι καὶ διὰ σπουδῆς ἔχειν, ἅττα ἂν ᾖ μάλιστα πρὸς ἡδονὴν καὶ τιμὴν τῷ βασιλεῖ, ταῦτα καταπράξασθαι ἐμέ. οἴομαι δὲ μηδὲ βασιλέα πρὸ τοῦ ἄρχειν τῶν πραγμάτων ἕτερόν τι μήτε βούλεσθαι μήτε ἄγειν. κ′. Αὖθις δὲ ὁ μέγας δομέστικος τὸν λόγον ἀναλαβὼν „Τὴν μὲν ἐμὴν“ εἶπεν „εὔνοιαν πρὸς βασιλέα καὶ σπουδὴν, καὶ ὡς ἐποιούμην περὶ πλείστου μὴ μόνον ἀνήκεστον οὐδὲν εἰς αὐτὸν ἰδεῖν ἐλθὸν, ἀλλὰ καὶ τῆς ἀρχῆς κρατεῖν καὶ παρὰ πᾶσι καὶ θαυμάζεσθαι καὶ ἐπαινεῖσθαι, οὐδένα μοι μᾶλλον ἢ σὲ οἴομαι συνειδέναι. [20]

1 420 καὶ ὅτε γὰρ τοῦ πρὸς ἀλλήλους ὑμῶν μάλιστα φυομένου πολέμου ἐβουλευόμεθα περὶ τοῦ ᾗ χρὴ τὸν πόλεμον διαθέσθαι, τῶν ἄλλων παραινούντων εἴργειν, ἢ καὶ ἀποκτιννύναι, καὶ ὀλίγῳ χρόνῳ πολλῶν ἀπαλλάττεσθαι πραγμάτων, οἶσθα ὁπόσα φιλάνθρωπα αὐτός τε ἐβουλεύσω περὶ αὐτοῦ, κἀγὼ συνεῖπον προθύμως καὶ τὸ μέρος συγκατειργασάμην. καὶ ἐπειδὴ πρὸς τὸν πόλεμον καταστάντες περιεγενόμεθα αὐτοῦ καὶ ἅπαξ καὶ δὶς, οἶσθα ὅσην ἐπεδειξάμεθα περὶ αὐτὸν καὶ τὴν εὔνοιαν καὶ τὴν αἰδῶ ἐκ μέσων ἐξαρπάσαντες τῶν κινδύνων· καὶ οὐ μόνον ἐν ἀσφαλείᾳ καταστήσαντες, ἀλλὰ καὶ τὴν πρὶν εὐδαιμονίαν, ὅσα γε ἐξῆν, φυλάξαντες αὐτῷ, τῶν ἄλλων ἁπάντων βουλευομένων τἀναντία καὶ δεομένων πείθεσθαι αὐτοῖς. διό με οὐδὲ οἴεσθαι χρή τινα ἀπεχθείᾳ τῇ πρὸς αὐτὸν τοὺς λόγους ποιεῖσθαι τουτουσὶ, ἀλλὰ τῷ κοινῷ προσέχοντα λυσιτελεῖ· ἄλλως τ' οὐδὲ τῷ μάλιστα τοὺς τρόπους συκοφαντικῷ διαβολὰς ἐξέσται ῥάπτειν, ὡς ἐμαυτῷ περιποιούμενος τὴν βασιλείαν κωλύω τοῦ μὴ ἐγχειρίζειν ἐκείνῳ τῶν πραγμάτων τὴν ἀρχήν. πρότερόν τε γὰρ ἐξῆν, εἴπερ ἐβουλόμην, καὶ νῦν ἔτι κεῖται ἐπ' ἐμοὶ, σοῦ παρασχόντος ἂν προθύμως εἰ βουληθείην· ὥστ' οὐδὲ τοῦ ξυνοίσοντος ἰδίᾳ τι ἐμοὶ τοιαῦτα συμβουλεύω. [20]

1 421 ὅτε τοίνυν ἐξ αὐτῶν ἀποδείκνυται τῶν πραγμάτων, μήτε πρὸς χάριν ἐμαυτῷ μήτε πρὸς ἀπέχθειαν ἐκείνῳ λέγειν, δέον ἤν τι τῶν δεόντων πείθεσθαι φαίνομαι συμβουλεύων. ἔφης τοιγαροῦν δυοῖν ἕνεκα μάλιστα ἐνάγεσθαι πρὸς τοῦτο· τοῦ τε μὴ κακῶς ἀκούειν παρὰ φαύλων ἀνθρώπων καὶ διεφθορότων, καὶ τοῦ μάλιστα βούλεσθαι τῶν πρὸς αἰδῶ καὶ τιμὴν καὶ ἡδονὴν ἐσομένων βασιλεῖ, ὅ,τι ἂν ἐξῇ ποιεῖν· τὸ μὲν οὖν θεραπεύειν βασιλέα, δίκαιόν τε φαίην ἂν καὶ αὐτὸς καὶ σοὶ προσῆκον. ἔξεστι δὲ πολλοῖς τρόποις ἐπιδείκνυσθαι τὴν θεραπείαν. τό, τε γὰρ τιμᾷν ὡς πατέρα ἀναγκαῖον καὶ τὸ πρόνοιαν αὐτοῦ τὴν δυνατὴν ποιεῖσθαι ὥστ' αὐτόν τε καὶ

οἰκετικὸν διάγειν ἐν ἀφθόνοις. εἰ δὴ τὰ ἀποτεταγμένα χρήματα αὐτῷ τῆς χρείας δοκεῖ ἐλάσσω εἶναι, φθόνος οὐδεὶς καὶ ἕτερα τοσαῦτα ἢ καὶ διπλασίω προστιθέναι· καὶ ἕτερ᾽ ἄττα ἃ αὐτῷ μὲν ἂν εἴη καθ᾽ ἡδονὴν, βλάβην δὲ ἑτέροις μὴ παρέχῃ. ἄρχοντα δὲ ἀποδεικνύναι τῶν πραγμάτων, οὔτ᾽ ἂν αὐτὸς πεισθείην τῶν κοινῇ λυσιτελούντων εἶναι, οὔθ᾽ ἑτέρῳ συμβουλεύσαιμι. τῶν κακῶν δὲ οὐδένα λόγον οἴομαι ποιεῖσθαι δεῖν. ἢ σχέτλιον ἂν εἴη, εἰ τῶν μὲν ἀγαθῶν οὐδένα ποιησόμεθα λόγον, τοῖς δὲ κακοῖς τοσοῦτον χαριούμεθα, ὥστε καὶ ἃ λυσιτελῆ καὶ δίκαια δοκοῦμεν εἶναι, ταῦθ᾽ ἑκόντες ὄντες προησόμεθα αὐτοῖς. φέρε γὰρ πρὸς θεοῦ, εἴ γε πάντες οἱ τοὺς τρόπους ἀγαθοὶ ἐκκλησίαν συναθροίσαντες, ἡμᾶς ἐπὶ δίκῃ προκαλοῖντο, λέγοντες, ὡς, ἄδικα καὶ βίαια ποιεῖτε, πολέμους ἡμῖν ὁμοφύλοις ἐπεγείροντες. [20]

1 422 εὐθύς τε γὰρ ἐξ ἀρχῆς, ἅμα τῷ βασιλεῖ καθ᾽ ὑμῶν τὸν πόλεμον κεκινηκέναι, ὁρῶντες ὡς ἄδικα πάσχετε ὑμεῖς, συνηλγήσαμέν τε μάλιστα ὑμῖν καὶ συνηγωνισάμεθα προθύμως. καὶ ἐπειδὴ θεοῦ συναιρομένου, ῥᾷστα κεκρατήκαμεν τῶν πολεμίων, δέον ἀπελαύνειν καὶ κακῶς ποιεῖν τοὺς προτέρους ἄρξαντας τῆς ἀδικίας καὶ ἡμᾶς πραγμάτων ἀπαλλάττειν, οὐκ ἠθελήσατε ὑμεῖς, ἀλλ᾽ ὥσπερ κακῶν ἐπιθυμοῦντες, βασιλέως μέτρια αἰτοῦντος καὶ σώζεσθαι μόνον δεομένου, ὑμεῖς ἐπὶ κακῷ τῶν ὑπηκόων καὶ ὑμῶν αὐτῶν ἄτοπα φιλοτιμούμενοι, τῆς ἀρχῆς ὀλίγου δεῖν ἁπάσης παρεχωρήσατε αὐτῷ, ἡμῶν ἀπαναινομένων καὶ τὴν ἀβουλίαν ἐπιμαρτυρομένων. ὁ δ᾽ οὐ πολλοῦ χρόνου παρεῤῥυηκότος, αὖθις ἐπεχείρησε τοῖς ἴσοις, ὥσπερ ἐπιλελησμένος εἰς ὅσον ἥλασε κινδύνου, καὶ πόλεμον ἀκήρυκτον ἐπήνεγκεν ἡμῖν. ὁρῶντες δὲ ἡμεῖς οἷ κακῶν τὰ πράγματα χωρήσει καὶ ὡς ἄρδην ἀπολεῖται τὸ Ῥωμαϊκὸν, πρεσβείαν οὐκ ἰδίᾳ μόνον, ἀλλὰ καὶ κοινὴν ὑμῖν ἐποιησάμεθα πρὸς βασιλέα, δεόμενοι, μὴ περιϊδεῖν ἡμᾶς ὑπὸ τοῦ πρὸς ἀλλήλους πολέμου διαφθαρησομένους· ἀλλ᾽ εἴ τι καὶ ἐγκαλεῖν ὑμῖν ἔχει, δίκῃ διαλύεσθαι. ὁ δ᾽ οὐδ᾽ ἄκροις ἠνέσχετο ὠσὶ τῶν περὶ τὴς εἰρήνης λόγων. πάντοθεν δὲ ἡμεῖς ἀπορίᾳ συσχεθέντες, αὖθις ἐνεβάλλομεν ἑαυτοὺς εἰς τοὺς κινδύνους καὶ πόλεμον ἀράμενοι δεύτερον πρὸς αὐτὸν νενικήκαμεν αὖθις καὶ πρὸς τὴν προτέραν ἢ καὶ μείζω συνηλάσαμεν ἀπορίαν. [20]

1 423 ὁρῶν δὲ ἐκεῖνος ὡς οὐκ ἄνευ κινδύνων ὁ πόλεμος αὐτῷ τελευτήσει, αὖθις ἐπρεσβεύετο ὑμῖν περὶ εἰρήνης, ὁ μηδὲ ἴχνος πρότερον ἀνεχόμενος αὐτῆς. ὑμεῖς δὲ οὐκ οἶδ᾽ ὅ,τι παθόντες, δέον ἐκ τῶν προτέρων διδαχθέντας σωφρονεῖν, ὑμεῖς δὲ τἀναντία τῶν δεόντων ἐποιεῖτε, καὶ τὴν ἀρχὴν παρεδίδοτε αὐτῷ πᾶσαν καὶ τὴν ἡγεμονίαν τῶν πραγμάτων καὶ προσέτι φέροντες ὑμᾶς αὐτοὺς, (ἐῶ γὰρ λέγειν καὶ ἡμᾶς τοὺς ὑπηκόους, πολλὰ δυσανασχετοῦντας καὶ μονονοὺ τὴν ἀδικίαν ὀδυρομένους,) ἄδικοι καὶ προδόται σχεδὸν περὶ ἡμᾶς γεγενημένοι, οἰόμενοι κἂν οὕτω πᾶσαν πολέμου πρόφασιν περιαιρήσειν. ὁ δ᾽ ὥσπερ στενὴν αὐτῷ τῆς γῆς τὴν οἴκησιν παρεχούσης εἰ ταύτην οἰκείη μεθ᾽ ὑμῶν, αὖθις ἐπολέμησε, καὶ τρίτον μηδὲν ἔχων ἐγκαλεῖν, οὐκέθ᾽ ὥσπερ πρότερον ἀπαρασκεύως καὶ ἐξ ἐφόδου, ἀλλὰ πολλὰ πρότερον συνεσκευασμένος περὶ τὴν ἑσπέραν, καὶ στρατιὰν ἐπαγαγὼν ἡμῖν πλήθει οὐκ ὀλίγον ὑπερέχουσαν ἡμῶν οὐκ ἐξ Ἑλλήνων μόνον τῶν αὐτόθι κατοικούντων, ἀλλὰ καὶ τῶν προσοίκων βαρβάρων συμμαχίδα. ὁρῶντες δὲ ταῦθ᾽ ὑμεῖς, ἐλθόντες εἰς Βυζάντιον, ἐδεῖσθε βασιλέως περὶ εἰρήνης. ὁ δ᾽ οὐδὲν ἧττον ἢ πρότερον ἦν ἀδύνατος πεισθῆναι, καὶ διὰ τοῦτο ἀναγκαίως πρὸς τὸν πόλεμον καὶ τρίτον ἐχωρήσατε ὑμεῖς. καὶ ἡμεῖς τὴν ὑπερβολὴν βδελυξάμενοι τῆς ἀδικίας, προθύμως συνηράμεθα ὑμῖν καὶ πολλοὺς κινδύνους ὑπεμείναμεν καὶ πόνους. [20]

1 424 εἶτ᾽ αὖθις μετὰ τὴν μακρὰν ἐκείνην πλάνην καὶ τοὺς περιδρόμους τοὺς πολλοὺς καὶ τὴν ἐκ τῆς χρονίου κακοπάθειαν στρατείας, καὶ τῆς κρείττονος δυνάμεως ἡμῖν τὸν πόλεμον συγκατεργαζομένης, τῶν τε πολεμίων κεκρατήκαμεν ἤδη καθαρῶς καὶ τὴν Ῥωμαίων ἡγεμονίαν συγκατεκτησάμεθα ὑμῖν. νυνὶ δ᾽ αὖθις τῶν πολέμων πεπαυμένων καὶ εἰρήνης τὰ Ῥωμαίων κατεχούσης πράγματα, ὁρῶντες ὑμᾶς τῶν προτέρων μείζοσι κακοῖς ἐπιχειροῦντας ἡμᾶς ἐμβάλλειν, παραγγέλλομεν ὑμῖν μὴ αὖθις καινὰ διανοεῖσθαι, μηδ᾽ ἀφορμὰς παρέχειν τῷ

κάκιστ’ ἀπολουμένῳ πολέμῳ πρὸς τοὺς ὁμοφύλους. Εἰ ταῦτ’ ἔλεγον καὶ ὥσπερ κορωνίδα προσετίθεσαν, ὅτι, εἰ μὲν δέχεσθε ἐπὶ τούτοις, εἰ δὲ μή, σκοπεῖτε μὴ οὐχ ἡμῖν μᾶλλον ἢ ὑμῖν αὐτοῖς αἴτιοι μειζόνων γενήσεσθε κακῶν· Εἰ δὲ δὴ καὶ προσέθηκαν, ἐῶ γὰρ εἰπεῖν, ὅτι, εἰ μὲν βασιλεὺς οὕτως ἔχοι γνώμης ὥστ’ ἐφ’ ἑκάτερα ῥᾳδίως μεταβάλλεσθαι καὶ μικρᾶς ἕνεκα ἢ καὶ οὐδεμιᾶς αἰτίας πολέμου ἄρχειν, τί δεῖ τῷ τοιούτῳ ἀφορμὰς ταραχῆς καὶ στάσεως ἐπὶ λύμῃ καὶ φθορᾷ τοῦ κοινοῦ παρέχειν. εἰ δ’ ἑτέροις πείθεται συκοφάνταις καὶ διεφθορόσι καὶ οὐδὲν ἀμείνοσιν ἀνθρώποις ἀνδραπόδων, οὐδ’ οὕτω δίκαιον οὐδὲ λυσιτελὲς τοῖς οὕτως ἔχουσιν, ἐν μοίρᾳ Καρὸς ἡμᾶς ὑποτάττειν ἑαυτούς· Ἀλλ’ εἰ προσέθηκαν τοῖς λόγοις ἐκεῖνο μόνον, ὅτι, εἰ νῦν τοιαῦτα περὶ βασιλέως ἐγνώκατε ὑμεῖς, ἀλλ’ ἡμῖν οὐ δίκαια οὐδὲ λυσιτελῆ βουλεύεσθαι δοκεῖτε, κἄν τι συμβαίη τῶν ἀδοκήτων, ἡμεῖς ἔξω κινδύνων καὶ πραγμάτων καταστήσαντες ἑαυτοὺς ὥσπερ θεαταὶ καθεδούμεθα τῶν γινομένων. [20]

1 425 Ἆρ’ ἢ πρὸς τὴν ἀξίωσιν ὡς οὐ δικαίᾳ δυνησόμεθα ἀντειπεῖν, ἢ ἐν οὐδενὶ θησόμεθα τοὺς λόγους ὡς ἀκαίρως εἰρημένους; μὴ γὰρ ὅτι πάσης μὲν προφάσεως πολέμων ἐκ βασιλέως ἐξ ἀρχῆς κεκινημένης, ῥᾳδίου δὲ ὄντος φύσει πρὸς μεταβολὰς, τῆς Ῥωμαίων δὲ ἡγεμονίας πολλὰ τοῖς ἐμφυλίοις τετρυχωμένης πολέμοις, ἁπάντων δὲ οὐκ ἂν οἰσόντων ῥᾳδίως τὴν μεταβολὴν, ἀλλ’ εἰ πάντων μὲν ἀμφοτέροις μετῆν ἐπίσης, ἐν μηδενὶ δὲ διενήνοχεν ἄτερος ἑτέρου, ἔδει δὲ ἐκ τῶν ὑπαρχόντων σκεψαμένους τὸν προσήκοντα ἑλέσθαι μᾶλλον ἄρχειν, οὐ σοὶ προστίθεσθαι προσῆκον πάντα ὀντινοῦν· οὐ μόνον διὰ τὴν πρᾳότητα καὶ μεγαλοψυχίαν, ἣν παρὰ πάντα ἐπεδείξω τὸν τοῦ πολέμου χρόνον, ἀλλὰ καὶ τὴν εὐψυχίαν καὶ τὴν τόλμαν τὴν ἐν τοῖς πολέμοις, καὶ τὸ μάλιστα δεῖσθαι τὰ Ῥωμαίων πράγματα νυνὶ, οὐκ ἐμπείρου καὶ δεινοῦ μόνον στρατηγοῦ, ἀλλὰ καὶ σπουδαίου καὶ τὰ πολέμια ἐξησκημένου; ἐμοὶ μὲν οὖν πανταχόθεν ἐξετάζοντι, οὐδεμία τις αἰτία φαίνεται ἀρκοῦσα πείθειν ὡς λυσιτελὲς αὐτὸν ἀποστάντα τῆς ἀρχῆς τῷ πάππῳ ἐγχειρίζειν. διὸ καὶ συμβεβούλευκα προθύμως τοῦ κοινῇ λυσιτελοῦντος ἕνεκα. σὲ δὲ εἰ μὴ τὰ λελεγμένα πείθειν ἱκανὰ, ἔξεστι καὶ ἑτέροις ἅμα καὶ συνετωτέροις καὶ ἐμπειροτέροις συμβούλοις χρησαμένῳ, μὴ τοῦ δέοντος ἁμαρτεῖν. [20]

1 426 “ Τοιαῦτα μὲν ὁ μέγας δομέστικος εἶπε· βασιλεὺς δ’ ὥσπερ εἴωθε μικρὸν ἐπισχὼν „συνετῶς μὲν εἰρῆσθαι τοὺς λόγους,“ εἶπεν „οὐκ ἂν ἔξαρνος γενοίμην· ἔτι δέ μοι δοκεῖ καὶ κατὰ σχολὴν εἶναι βουλευτέον περὶ αὐτῶν, εἴπως τι βέλτιον ὁ μεταξὺ χρόνος ἐξευρήσει.“ ἐπαινέσαντος δὲ καὶ τοῦ μεγάλου δομεστίκου, τὸ νῦν μὲν ἔχον διελύθησαν. ἐς τρίτην δὲ ἡμέραν πάλιν συνελθόντες, ἐπυνθάνοντο ἀλλήλων εἴτι πλέον ἐν τῷ μεταξὺ ἐξευρηκότες εἶεν χρόνῳ· μηδὲν δὲ ἀμφοτέρων εἰρηκότων ἐπεψηφίσαντο τὴν βουλὴν, καὶ οὕτω παρ’ ὀλίγον ἐλθὸν τὸ βασιλέα τὸν πρεσβύτερον αὖθις ἄρχοντα γενέσθαι τῶν πραγμάτων, ὑπὸ τοῦ μεγάλου δομεστίκου ἐκωλύθη. ὧν ὕστερον εἰς μνήμην ἐλθὼν ὁ βασιλεὺς, ἐπεὶ ἐπύθετο αὐτὸν τὸν μονήρη βίον ἀνῃρημένον ᾐνίττετο τῷ μεγάλῳ δομεστίκῳ, ὡς „εἰ ἃ πρότερον ἐβουλευόμεθα εἰς ἔργον ἦκον, νῦν οὐκ ἂν συνέβαινε τοιαῦτα.“ πρὸς ἃ ἐκεῖνος ἀπεκρίνατο, ὡς „τοιαῦτα μὲν οὐκ ἂν συνέβη, ἴσως δ’ ἕτερα χείρω καὶ ἀλυσιτελέστερα πολλῷ.“ βασιλεὺς δ’ ἐπεὶ τῆς νόσου ἤδη ἀπηλλάγη καθαρῶς, ἐκ Διδυμοτείχου εἰς Βυζάντιον ἦκεν ἀποδώσων τὰς εὐχαριστίας τῇ πανάγνῳ μητρὶ τοῦ θεοῦ τῇ ζωοδόχῳ πηγῇ τῇ μᾶλλον ἰάματα ἢ νάματα βρυούσῃ· ἧς τυχὼν ἀπήλλακτο καὶ αὐτὸς τῆς χαλεπῆς ἐκείνης νόσου. Βυζάντιοι δὲ πανδημεὶ πρὸς ὑπάντησιν τοῦ βασιλέως ἐξελθόντες, ἔτι δὲ καὶ οἱ τῶν πέριξ χωρῶν τε καὶ πόλεων κατὰ θέαν βασιλέως (πᾶσι γὰρ οὐκ ἐπέραστος μόνον, ἀλλὰ καὶ θαύματος ἀξία ὄψις ἦν, ὥσπερ ἐκ νεκρῶν ἐγηγερμένος,) ἄχρι μὲν Ῥηγίου προῆκον ὑπ’ ἀλλήλων συνωθούμενοι καὶ ἠσπάζοντο βασιλέα προσκυνοῦντες. [20]

1 427 ἐκεῖθεν δὲ δι’ αὐτῶν ἰὼν ὁ βασιλεὺς ἄχρι τοῦ πρὸ τῆς πόλεως τεμένους τῆς ἀεννάου πηγῆς ἦλθε συνωθούμενος ὑπὸ τοῦ πλήθους· ἀποδοὺς δὲ τὰς εὐχαριστίας θεῷ, ἦλθεν εἰς τὰ βασίλεια ἐκεῖθεν καὶ διέτριψεν ἐν Βυζαντίῳ ἐξ ἐκείνης εἰς ἑξηκοστὴν ἡμέραν. αὖθις δὲ ἐξελθὼν, περιῄει

τὰς τῆς Θρᾴκης πόλεις. κα′. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους καὶ στρατιὰ Περσῶν ἱππικὴ τὸν Ἑλλήσποντον περαιωθεῖσα, ἐληΐζετο τὴν Θρᾴκην. πυθόμενος δὲ ὁ βασιλεὺς συνήθροιζε τὴν στρατιὰν ὡς ἀμυνούμενος αὐτούς. ἐν ᾧ δὲ ταῦτα ἐτελεῖτο, οἱ μὲν πολλοὶ τῶν Περσῶν, ἀναστρέψαντες ἐπεραιώθησαν πρὸς ἕω. πεντακόσιοι δὲ αὐτῶν καὶ χίλιοι λογάδες ἔμειναν ἐπὶ τῆς Θρᾴκης· βασιλέως δὲ αὐτοῖς ἐπιστρατεύσαντος, ἔπεσον πάντες μάχῃ νικηθέντες. οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις ἐκ τῆς ἑσπέρας ἠγγέλθη βασιλεῖ ὡς παρασκευάζοιτο στρατιὰ Τριβαλῶν τῇ Ἀχρίδι ἐπιθέσθαι πόλει ἑσπερίῳ ὑπὸ τὴν Πιερίαν τὸ ὄρος κειμένῃ, καὶ μετὰ μικρὸν οἱ Τριβαλοὶ δηώσαντες τὰ περὶ αὐτὴν, περικαθήμενοι ἐπολιόρκουν· βασιλεὺς δὲ ἐβοήθει κατὰ τάχος. αἰσθόμενοι δὲ οἱ Τριβαλοὶ, τὴν πολιορκίαν ἐκλιπόντες, ἀνεχώρησαν εἰς τὴν οἰκείαν, καὶ ὁ βασιλεὺς εἰς Ἀχρίδα παρελθὼν πρόνοιάν τε ἐποιήσατο τῆς πόλεως ὅση δυνατὴ καὶ ἐκ τῶν παρακειμένων αὐτῇ φρουρίων τινὰ ὄντων ὑπηκόων Τριβαλοῖς, εἷλεν ἐξ ἐφόδου· τῶν τε ἑσπερίων ἑτέρων πόλεων προνοησάμενος, αὖθις εἰς Διδυμότειχον ἐπανῆκε. [20]

1 428 Μιχαὴλ δ’ ὁ τῶν Μυσῶν βασιλεὺς ἔκ τινων διαφορῶν πρὸς Κράληνα τὸν Τριβαλῶν ἄρχοντα ἐκπολεμωθεὶς, παρεσκευάζετο ὡς αὐτῷ ἐπιστρατεύσων. εἰδὼς δὲ καὶ βασιλέα πολέμιον αὐτῷ ὄντα, πέμψας πρεσβείαν πρὸς αὐτὸν, ἐδεῖτο αὐτοῦ ἐπιθέσθαι Κράλῃ, ὡς ὑπ’ ἀμφοτέρων ῥᾳδίως ἐκτριβησομένῳ. ἐπεὶ δὲ ἐδόκει καὶ βασιλεῖ καιρὸν εἶναι δίκας παρὰ Τριβαλῶν λαβεῖν ὧν ἠδίκησαν Ῥωμαίους, Μιχαὴλ μὲν ὑπέσχετο τὴν ἐκστρατείαν, προσθεὶς ὡς εἰ μὴ παρεκάλει καὶ αὐτὸς, ἀλλ’ αὐτὸς διενοεῖτο στρατιᾷ ἐπὶ Τριβαλοὺς ἐλθεῖν ὡς τὰ μέγιστα ἠδικημένος ὑπ’ αὐτῶν· αὐτὸς δὲ ἀθροίσας τὴν στρατιὰν καὶ πάντα ἐκπορισάμενος ὧν ἐδεῖτο, διὰ Πελαγονίας ἐσέβαλεν ἐς τὴν γῆν τῶν Τριβαλῶν καὶ ἔτεμέ τινα αὐτῆς. καὶ Βουτζοῦνιν μέν τι φρούριον προσαγορευόμενον εἷλεν ἐξ ἐφόδου, Δεύριτζαν δὲ καὶ Δουβροῦνιν καὶ Καβαλλάριον καὶ Σιδηρόκαστρον, φρούρια καὶ αὐτὰ, παρεστήσατο ὁμολογίᾳ. Μιχαὴλ δὲ καὶ αὐτὸς διὰ Παιονίας πανστρατιᾷ ἐπιστρατεύσας Τριβαλοῖς, ἐστρατοπέδευσεν ἐν τόπῳ Βελμάσδιν ἐγχωρίως προσαγορευομένῳ, περιορώμενος τοὺς πολεμίους, ὡς οὐκ ἂν τολμήσοντας προσβαλεῖν αὐτῷ. Στέφανος δὲ Κράλης ὁ τῶν Τριβαλῶν ἄρχων, ἐπεὶ ἑκατέρωθεν συνεώρα τῷ πολεμίῳ πυρὶ περισχεθεὶς, ἑκατέροις μὲν ἀντιτάξασθαι τοῖς βασιλεῦσι, διελόμενος τὴν στρατιὰν, οὐκ ᾤετο εἶναι δυνατός· εἵλετο δὲ μᾶλλον τὸν Μυσῶν βασιλέα ἀνταγωνιστὴν καὶ πανστρατιᾷ καὶ αὐτὸς ἐλθὼν παρεστρατοπέδευσε μὲν αὐτῷ, ἐν ἐπικαίρῳ δὲ χωρίῳ, στενὴν ἔχοντι τὴν δίοδον καὶ σκληρὰν, ᾗ ἐπέστησε στρατιὰν πεζὴν φρουρεῖν, ὡς μή τις δύναιτο δι’ αὐτῆς ἰέναι ἐπ’ αὐτόν. [5]

1 429 ἐπικηρυκευσάμενοι δὲ ἀλλήλοις, ἐπεὶ ἀσυμβάτως εἶχον καὶ ἐδόκει πολεμητέα εἶναι, ἐκεχειρίαν ἄγειν συνέθεντο ἐκείνην τὴν ἡμέραν ὡς μαχούμενοι ἐς τὴν ὑστεραίαν. ἐπιλελοιπότος δὲ ἤδη σίτου τῷ στρατοπέδῳ τῶν Μυσῶν, ὁ βασιλεὺς Μιχαὴλ ἔγνω δεῖν καθ’ ἣν τὴν ἐκεχειρίαν ἦγον, στρατιὰν ἀπολεξάμενος, πέμψαι ἐπὶ σῖτον· καὶ διεσκέδαστο τὸ πλεῖον τῆς στρατιᾶς ἐπὶ τὰ παρακείμενα χωρία ἐφ’ ἁρπαγήν. ὁρῶν δὲ ὁ Κράλης τὴν Μυσῶν διεσκεδασμένην στρατιὰν καὶ νομίσας καιρὸν εἶναι ἐπιθέσθαι Μιχαὴλ καταστρατηγηθέντι ὑπ’ αὐτοῦ, ὡς εἶχε τάχους, ὡπλισμένην τὴν στρατιὰν ἀναλαβὼν καὶ τριακοσίους ἐξ Ἀλαμανῶν ἐπαγόμενος καταφράκτους, ὀλίγα τῶν συνθηκῶν φροντίσας, ἐπὶ Μυσοὺς ἐχώρει. Μιχαὴλ δὲ ὁρῶν τὴν Τριβαλῶν στρατιὰν ἐπαγομένην, ἔγνω μὲν ἠπατημένος, πλὴν ὡς εἶχε τάχους καὶ αὐτὸς τὴν στρατιὰν ὁπλίσας, ἐξῆγεν ὡς ἐς μάχην· καὶ πρὶν εἰς τάξιν καταστῆναι, οἱ Τριβαλοὶ ἐπιπεσόντες, ἐτρέψαντό τε τοὺς Μυσοὺς καὶ ἐνίκων κατὰ κράτος. καὶ τοὺς μὲν ἀπέκτειναν αὐτῶν παρὰ τὴν μάχην, ὅσοι δὲ ἑάλωσαν ζῶντες, γυμνούμενοι τῶν ὅπλων, ἀπελύοντο. [20]

1 430 οὐ γὰρ ἔξεστιν αὐτοῖς ἀλλήλους ἀνδραποδίζειν ὄντας ὁμοφύλους. βασιλεὺς δὲ ὁ Μιχαὴλ τραυματίας γενόμενος καιρίως ἑάλω μὲν ἔτι ζῶν καὶ ἀπήχθη παρὰ τὸ στρατόπεδον τῶν πολεμίων. ἐτελεύτησε δὲ μικρὸν ἐπιβιούς. τὸ δὲ στρατόπεδον τῶν Μυσῶν ἐπόρθησαν οἱ Τριβαλοί. ἡ δ’ ἐπὶ τὸν σῖτον διεσκεδασμένη στρατιὰ, τοῦ σφετέρου βασιλέως πυθόμενοι τὴν

ἦτταν, οἱ μὲν αὐτῶν ἄλλοι ἄλλοσε καταλαμβανόμενοι διεφθείροντο, οἱ πλείους δὲ αὐτῶν φυγῇ ἐπορίσαντο τὴν σωτηρίαν. ὁ Κράλης δὲ μετὰ τὴν νίκην βασιλεῖ μὲν οὐκ ἐπεστράτευσε Ῥωμαίων ἐπικειμένῳ ὁμοίως καὶ πολιορκοῦντι τὰς ἐν τοῖς μεθορίοις αὐτοῦ τε καὶ τῆς Ῥωμαίων ἡγεμονίας πόλεις, ἀλλ᾽ ἔμεινεν ἐστρατοπεδευμένος οὐκ ἐγγύς· εἴτε δὲ μείζονα συναθροίζων στρατιὰν, ὡς τῆς οὔσης οὐκ ἀξιομάχου Ῥωμαίοις δοκούσης εἶναι, εἴθ᾽ ἕτερόν τι διανοούμενος, ἔμεινεν ἐν ἀδήλῳ. μετὰ μικρὸν δὲ ἠγγέλλετο τῷ βασιλεῖ, ὡς οἱ δυνατοὶ παρὰ Μυσοῖς, τοῦ σφετέρου βασιλέως Μιχαὴλ ἀποθανόντος, εἴτε Στέφανον θεραπεύοντες τὸν Κράλην, εἴθ᾽ ὅ, τι ἕτερον διανοούμενοι, τὴν μὲν βασιλέως ἀδελφὴν ἀπήλασαν μετὰ τῶν τέκνων, τῇ δὲ ἀδελφῇ Στεφάνου, ἣ πρότερον συνῴκει Μιχαὴλ, ἅμα τέκνοις τά τε βασίλεια παρέδοσαν τῶν Μυσῶν καὶ τὴν ἀρχήν. βασιλεὺς δὲ ἐκκλησίαν συναθροίσας μετὰ τῶν ἐν τέλει, ὅ,τι δέοι ἐβουλεύετο ποιεῖν. καὶ ἐδόκει δεῖν τὰ ἐνταῦθα μὲν καταλιπεῖν, ὡς ὀλίγα ἢ οὐδὲν δυνησομένους ἑαυτοῖς περιποιήσασθαι, τοῦ Κράλη ἤδη τοῦ πρὸς Μυσοὺς πολέμου ἀπηλλαγμένου καὶ δυνηθέντος ἂν ῥᾳδίως ἀμύνεσθαι αὐτοὺς κακοῦντας τὴν αὐτοῦ· πρὸς δὲ τὴν Μυσίαν ἀπαίρειν τὴν ταχίστην, ὡς ἐλπίδων ἐκεῖ μεγάλων ὑποφαινομένων. [5]

1 431 πρόφασιν δὲ πολέμου εἶναι οὐ μικρὰν, τὸ τὴν βασιλέως ἀδελφὴν ἀπελαθῆναι τῆς ἀρχῆς, δικαιοτέραν οὖσαν ἄρχειν, ἅτε τῆς Κράλη ἀδελφῆς ὑπὸ περιόντος ἔτι ἐκβληθείσης Μιχαήλ. ἐπεὶ δὲ ἐδέδοκτο ἀναχωρεῖν τοῖς τε προσχωρήσασιν ἀρτίως πολιχνίοις φρουρὰς ἐγκαταστησάμενος ὁ βασιλεὺς, τῶν τε λοιπῶν πέρι τὴν ἄκραν πόλεων ὅσης ἐδέοντο πρόνοιαν ποιησάμενος, καὶ στρατιὰν ἅμα στρατηγῷ Συργιάννῃ καὶ τῆς ἄλλης ἑσπέρας ὄντι καταλιπὼν, ὥστε ἀμύνεσθαι ὑπὲρ αὐτῶν ἂν ἐπίωσιν οἱ Τριβαλοὶ, τὴν ἄλλην στρατιὰν ἀναλαβὼν, εἰς Ἀδριανούπολιν ἐπανῆλθεν· οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις καὶ τὴν ἐπίλοιπον Ῥωμαίων στρατιὰν ὅση ἦν συναγαγὼν, ἐσέβαλεν εἰς τὴν Μυσίαν, καὶ τά τε ἄλλα μάλιστα τὴν χώραν δῃώσας καὶ ἐκ τῶν ὑπηκόων πόλεων Μυσοῖς τὴν Ἀγχίαλον καὶ Μεσημβρίαν καὶ Ἀετὸν Κτένιά τε καὶ Ῥωσόκαστρον καὶ Διάμπολιν παραστησάμενος ὁμολογίᾳ, εἰς Βυζάντιον ἐπανῆκε. διατρίβοντι δὲ ἐκεῖ, ἐπεὶ καὶ ἡ Βυζαντίων ἐκκλησία χηρεύουσα ἦν ἀρχιερέως, τοῦ πατριάρχου Ἠσαΐου οὐ πολλῷ πρότερον χρόνῳ τετελευτηκότος, ἐδόκει τῶν ἀναγκαίων τοῖς πατριαρχικοῖς θρόνοις τινὰ ἐγκαθιδρύσαι. πολλῆς δὲ ζητήσεως περὶ τούτου γινομένης καὶ ἄλλων ἄλλους προβαλλομένων, ὁ μέγας δομέστικος συνεβούλευε βασιλεῖ, τὸν πρεσβύτερον Ἰωάννην ἀποδεῖξαι πατριάρχην, ὃν τῆς Ἀπρίων μὲν ὄντα πόλεως πολίτην καὶ ἐξ ἀσήμων, περὶ δὲ τὴν ἱερατικὴν λειτουργίαν μάλιστα δοκοῦντα ἔχειν εὐφυῶς, ὁ μέγας δομέστικος ἐνέγραψε τοῖς οἰκείοις καὶ περὶ τὴν ἱερὰν ἐχρῆτο ταύτην λειτουργίαν. [5]

1 432 ὕστερον δὲ οὐ πολλῷ χρείας γενομένης, τῷ βασιλικῷ ἐνέγραψε κλήρῳ, μηδὲν τῶν παρ᾽ αὐτοῦ χορηγουμένων προσόδων ἀποστερήσας, ἀλλ᾽ ἐκείναις τὰς βασιλικὰς προσθείς. καὶ διετέλεσέ γε κἀκεῖ περὶ τὰ τοιαῦτα μάλιστα εὐδοκιμῶν καὶ διὰ τοῦτ᾽ ἀπέλαυε τῆς βασιλέως εὐμενείας. βασιλεὺς δὲ ἐπῄνει τε τὸν λόγον καὶ ἐπιχειρητέα ἔλεγεν εἶναι, εἴγε ἀνυσθῆναι δυνατόν. ὡς δὲ τοῖς λοιποῖς ἀρχιερεῦσι τὸν περὶ τούτου προσῆγον λόγον, οἱ μὲν εὐθὺς ὥσπερ ἀπὸ συνθήματος πάντες ἀπωθοῦντο καὶ οὐδὲ ἠνείχοντο τῶν περὶ τούτου λόγων· βασιλεὺς δὲ αὐτοὺς οὕτως ἄγαν ὁρῶν ἐνισταμένους, τῷ μεγάλῳ δομεστίκῳ τὴν περὶ τούτου ἐπιχείρησιν ἐπέτρεπεν. ὁ δὲ οὐδὲν μελλήσας ἐκκλησίαν συνήθροιζεν ἐκ τῶν ἀρχιερέων ἐν τῷ τῶν θείων ἀποστόλων Χριστοῦ νεῷ, καὶ καταστὰς εἰς λόγους, ἐπεχείρει πείθειν, ὡς δεῖ τὸν πρεσβύτερον Ἰωάννην ἐπὶ τὸ πατριάρχην δέχεσθαι ψηφίζεσθαι· οἱ δ᾽ ἀντεπεχείρουν, ὡς οὔτε δίκαιον, οὔτε λυσιτελὲς ἂν τῇ ἐκκλησίᾳ εἴη τοῦ θεοῦ. πολλῶν δὲ ἐξ ἑκατέρου μέρους λόγων εἰρημένων, τέλος ἀνέστησαν ἀσύμφωνοι ταῖς γνώμαις, τῶν μὲν οὐδαμῶς οἰομένων εἶναι ἀνεκτὸν, τὸν ἔτι τοῖς τοῦ βίου πράγμασι συνισχημένον καὶ γυναικὶ καὶ τέκνοις συνοικοῦντα, εἰς τὸν ὑψηλότατον τῆς

διδασκαλίας ἀνάγειν θρόνον· τοῦ δ’ ἀντεπιχειροῦντος, ὡς οὐδὲν ἂν εἴη τοῦτο κώλυμα, καθάπαξ ἀποστησομένου, ἂν τἄλλα ἱκανός τε καὶ ἁρμόζων πρὸς τὸ ἔργον ᾖ. [5]

1 433 τέλος δὲ ὁ μέγας δομέστικος τὴν ἐκκλησίαν διαλύων, νῦν μὲν ἕκαστον ἐκέλευεν οἴκαδε ἀπελθόντα, ἀναπαύλης τυχεῖν οὐκ ὀλίγον πόνον ὑπομείναντας· αὖθις δὲ συνελθόντας περὶ τῶν αὐτῶν ποιήσεσθαι τοὺς λόγους. οἱ μὲν οὖν ἕκαστος ἐπ’ οἴκου διελύοντο, ὁ μέγας δὲ δομέστικος ἀπήγγελλε τῷ βασιλεῖ ἐλθὼν, ὅσα τε λέξαι τοὺς ἀρχιερέας πείθειν ἐπιχειρῶν καὶ ὧν παρ’ αὐτῶν ἀκούσειεν ἀντιλεγόντων, καὶ τέλος, ὡς συντεθείη καὶ δευτέραν ἐκκλησίαν συναθροῖσαι τούτου ἕνεκα. μετὰ δεκάτην δὲ ἡμέραν αὖθις ἐκέλευεν ἀθροίζεσθαι ἐν τῷ αὐτῷ ναῷ· καὶ ἐπειδὴ πάντες ἠθροισμένοι ἦσαν, οὐκέτι μὲν ἐκ τῶν ὁμοίων ἐπεχείρει πείθειν, (ᾔδει γὰρ οὐ πείσων,) ἀλλ’ ἐξ ὧν μάλιστα ᾤετο ὑποκλέψειν τὴν πειθὼ αὐτοῖς. ἔφη γὰρ τὸ μὲν περὶ Ἰωάννου τοῦ πρεσβυτέρου πείθειν εἰς τὸν πατριαρχικὸν ἀνάγειν θρόνον, οὐδ’ αὐτῷ δοκεῖν εἶναι δεῖν, μάλιστα βουλομένῳ τὰ κατὰ γνώμην αὐτοῖς ποιεῖν καὶ μηδὲν ἀηδὲς μήτ’ ἀβούλητον προσαναγκάζειν· ἑτέρας δὲ ἐκκλησίας σκέψασθαι εἴγε δίκαιον προστάτην ἀποδεῖξαι. πάντως δὲ οὐδ’ ἂν εἴη τοῦ τοιούτου κώλυμα, ἕως ἂν μηδεὶς αὐτῷ ἔχῃ περὶ τῆς ἱερωσύνης ἔγκλημα ἐπενεγκεῖν. οἱ δὲ μηδὲν τῶν μελλόντων ὑποπτεύσαντες, μηδὲ τοῦτο ἐννοήσαντες, ὡς τοῖς σφετέροις αὐτῶν ἁλώσονται βρόχοις, αὐτοὶ ἡδέως τε ἐδέξαντο τοὺς λόγους οἰόμενοι κεκρατηκέναι καὶ ἐπεψηφίζοντο προθύμως, Θεσσαλονίκης ἱεράρχην ἀποδεῖξαι τὸν Ἰωάννην. [25]

1 434 ἐπεὶ δὲ εἰς ἓν συνῆλθον ἅπαντες ταῖς γνώμαις, ἐκέλευε γράμμασι τὰ ἐψηφισμένα ἐπιβεβαιοῦν· οἱ δ’ ἔγραφον τὸ ψήφισμα αὐτίκα. ἐπεὶ δ’ ἐν χερσὶ τοῦτο εἶχεν ὁ μέγας δομέστικος λαβὼν, „τοῦτο μὲν“ εἶπε „καλῶς καὶ ᾗ προσῆκεν ἐγεγόνει, καὶ χάριν ἂν ὑμῖν εἰδείην καὶ αὐτὸς τούτου ἕνεκα πολλήν. πυθέσθαι δὲ ὑμῶν βούλομαι ἐκεῖνο· ἂν ἔρηται ὁ βασιλεὺς, ὅτι, εἰ τοῖς ἀρχιερεῦσι πολλὰ σκεψαμένοις καὶ τὰ δίκαια ποιοῦσιν ἔδοξε τὸν πρεσβύτερον Ἰωάννην ψηφίσασθαι ἀρχιερέα καὶ οὐδεμία τις ἐφάνη αἰτία κωλῦσαι δυνατὴ, ἀλλὰ πᾶσιν ἔδοξεν ὁμοῦ ψήφῳ κοινῇ τῆς ἱερᾶς ἄξιος λειτουργίας ταυτησὶν, ἀνθ’ ὅτου μὴ καὶ πρὸς τὸν πατριαρχικὸν, ἐμοῦ βουλομένου, ἀναχθείη θρόνον; ἂν ταῦτα λέγῃ, τί ἐροῦμεν ἢ τίνα εὐπρόσωπον ἀπολογίαν ἀποδῶμεν ἄν; διδάξατε αὐτοί.“ Τῶν δὲ φαμένων, ὅτι „ἐπειδὴ τὸ ψήφισμα ἐπὶ τούτοις ἐποιησάμεθα, ὅτι Θεσσαλονίκης μὲν ἤ τινος ἄλλης ἐκκλησίας ἡγεμόνα δέχεσθαι τὸν Ἰωάννην, πατριάρχην δὲ μή“· „οὐκοῦν ἔδει“ εἶπε „καὶ ἀνάγκην τινὰ προσεῖναι τῷ λόγῳ. εἰ μὲν γὰρ ἄλλην τινὰ χάριν ἢ δύναμιν ἄνωθεν ἐκ ταμίου δωρεῶν δέχεται ὁ πατριάρχης, ἣν οὐκ ἔξεστι λαμβάνειν καὶ τοῖς ἄλλοις ἱεράρχαις, ἔχοι ἄν τινα πρόφασιν ὁ λόγος· εἰ δὲ τοῦτο μὲν οὐκ ἔστι, πᾶσι δὲ ἐπίσης καὶ τῆς μείζονος καὶ τῆς ἐλάσσονος πόλεως ἐπισκόποις μέτεστι δωρεᾶς, αἱ τιμαὶ δὲ καὶ αἱ λαμπρότητες τῶν θρόνων κεῖνται παρὰ βασιλεῖ καὶ ἔξεστιν αὐτῷ καὶ τὸν μικρᾶς πόλεως ἐπισκοπεῖν ἄξιον κριθέντα ἐπὶ τὴν μείζονα ἀνάγειν, τί δεῖ ἀπέραντα πονοῦντας, ἀπολογίας οὕτω σαθρὰς καὶ εὐκαταλύτους συναγείρειν καὶ προσκρούειν εἰκῇ δοκεῖν τῷ βασιλεῖ; ἐφ’ ἃ μὴ δέον ἀντιλέγοντας, ἀλλὰ μὴ μικρὸν τῆς φιλονεικίας ὑπενδόντας, ψηφίσασθαι τὰ κατὰ γνώμην βασιλεῖ, καίτοι γε τοῦ δικαίου καὶ εὐλόγου οὐ μακρὰν ἀφεστηκότα. [5]

1 435 τὸ γὰρ ἡμέτερον ἐῶ, εἰ δή τις χάρις καὶ ἐμοῦ κεῖται παρ’ ὑμῖν.“ Τοιαῦτα εἰρηκότος πρὸς αὐτοὺς, μόλις μὲν, νοῦν δὲ ὅμως ἔσχον, ὡς τοῖς οἰκείοις ἑάλωσαν πτεροῖς καὶ ἀναλῦσαι οὐκ ἔστι τὰ ἐψηφισμένα. καὶ πρὸς ἀλλήλους μὲν ἑώρων ὡς ἠπατημένοι, ὅμως δὲ καὶ ἄκοντες ἐπεψηφίζοντο τὸν Ἰωάννην πατριάρχην, πολλὰ τοῦ μεγάλου δομεστίκου πρότερον καὶ πρὸς ἕκαστον ἰδίᾳ καὶ πᾶσι κοινῇ διειλεγμένου καὶ πείθοντος, τοὺς μὲν, ὅτι ἦσαν εὖνοι πρότερον αὐτῷ, τοὺς δ’, ὅτι καὶ αὐτοὶ ἐδέοντο αὐτοῦ τοῖς πράγμασιν ἐφεστηκότος τὴν εἰς τὸ μέλλον οἰκείωσιν προμνωμένους αὐτοῖς. οὕτω μὲν δὴ ὁ Ἰωάννης σπουδῇ πολλῇ τοῦ μεγάλου δομεστίκου πατριάρχης ἐψηφίσθη, οὐδενὸς ἂν ἑτέρου πείσαντος, εἰ μὴ αὐτὸς παρῆν, καὶ

ἐχειροτονήθη μετὰ μικρόν. κβ′. Βασιλεὺς δὲ ἐπεὶ ἡ κατὰ Βυζάντιον αὐτῷ διατριβὴ εἶχεν ἱκανῶς, ἐξῄει πρὸς τὰς κατὰ Θρᾴκην πόλεις. ἔνθα διατρίβοντι ἠγγέλθη ὡς τὸν Ἑλλήσποντον διαβᾶσα στρατιὰ Περσῶν ἱππικὴ καὶ εἰς δύο διαιρεθεῖσα, οἱ μὲν αὐτῶν περὶ Κισσὸν καὶ Πολύβοτον καὶ Ἀκονίτην, πόλεις Θρᾳκικὰς, ἐπερχόμενοι δῃοῦσιν· ἡ δ’ ἐχώρησε πρὸς Ῥαιδεστόν. [20]

1 436 συναθροίσας δὲ στρατιὰν ὅσην μάλιστα ἐνῆν ἐπὶ Ῥαιδεστὸν ὀξέως ἐβοήθει. καὶ συμβαλὼν τοῖς τὰ ταύτῃ χωρία ληϊζομένοις, ἐκράτησε μάχῃ, καὶ τοὺς μὲν ἀπέκτεινεν αὐτῶν, τοὺς δὲ ἠνδραποδίσατο, διαδράντων τινῶν εὐαριθμήτων. ἡ δὲ κατὰ τὸ Πολύβοτον ἑτέρα μοῖρα τῶν Περσῶν πυθόμενοι ὡς βασιλεὺς τοὺς ἑτέρους ἀνδραποδισάμενος χωρεῖ καὶ κατ’ αὐτῶν, τὴν λείαν τάχιστα καὶ ὅσοι ἦσαν αἰχμάλωτοι λαβόντες, ἐπεραιώθησαν πρὸς ἕω. βασιλεὺς δὲ ἐλθὼν ὑστέρησεν αὐτῶν. Συργιάννης δὲ ἑσπέρας στρατηγὸς ὑπὸ τοῦ μεγάλου δομεστίκου ἐπιτραπεὶς, ἡνίκα ὁ βασιλεὺς ἐνόσησε τὴν νόσον ἐκείνην τὴν σφοδρὰν, πρῶτα μὲν ἐδόκει εὔνους εἶναι καὶ χάριτας ὡμολόγει· ἔπειτα ὡς ἐπύθετο ὡς, ῥαΐσαντος ἀπὸ τῆς νόσου βασιλέως, ὥρμητο μὲν ὁ μέγας δομέστικος αὐτὸν παραλύειν τῆς ἀρχῆς, ἐπέσχε δὲ ὁ βασιλεὺς, ψευδῶς οὕτως εἰρημένου, τῶν μὲν προτέρων ἀγαθῶν, ὧν ἦν παρ’ αὐτοῦ τετυχηκὼς, οὐδενὸς μεμνημένος ἦν. ὀργῇ δὲ φερόμενος πρὸς αὐτὸν διὰ τὰ εἰρημένα, ἑταιρείαν ἤρξατο συναθροίζειν καὶ ἑαυτῷ περιποιεῖν, οἰόμενος, ὡς ἐὰν δύναμιν ἑαυτῷ ἐκ φίλων μάλιστα πολλῶν καὶ οἰκετῶν συστήσηται ἀρκοῦσαν, οὐ δυνησομένου τοῦ μεγάλου δομεστίκου κακῶς αὐτὸν ὅταν βούληται ποιεῖν. τοῦτο μὲν οὖν ὡς μάλιστα ἐνῆν ἐσπουδάζετο αὐτῷ, ἐν ἀποῤῥήτῳ δὲ καὶ τῶν μάλιστα οἰκειοτάτων συνειδότων. καὶ διέλαθέ γε ἀγνοούμενος ἐπὶ καιρόν· ἔπειτα ὑπ’ αὐτῶν τινος τῶν συνειδότων τῷ μεγάλῳ δομεστίκῳ ἐμηνύθη. [25]

1 437 καὶ κατέγνω μὲν πολλὴν αὐτοῦ ἀχαριστίαν καὶ ἀμνημοσύνην τῶν καλῶν, ὅμως δὲ σπουδάζων ἴσος εἶναι ἑαυτῷ καὶ ὅμοιος ἐπὶ τῷ ἄτρεπτος μένειν ἐν τοῖς ἀγαθοῖς, οὔτε ἐβουλεύσατο αὐτῷ τι δυσχερὲς, οὔτε εἴργαστο. ἀλλὰ τά τε ἄλλα ἦν προσκεκρουκὼς αὐτῷ οὐδὲν, καὶ τῆς ἑσπέρας τὴν ἀρχὴν ἐφ’ ἱκανὸν παρεῖχε χρόνον ἄρχειν. ὁ δ’ ἔτι μᾶλλον βουλόμενος βεβαίους αὐτῷ τοὺς φίλους εἶναι, καὶ ὅρκοις κατελάμβανε καὶ αὐτὸς ἐκ τοῦ ὁμοίου παρεῖχεν. ἐγίνοντο δὲ οἱ ὅρκοι ἐπὶ τούτοις· Συργιάννην καὶ αὐτόν τινα φίλους εἶναι βεβαίους καὶ μηδένα ὑπ’ οὐδεμιᾶς ἀνάγκης τὸν ἕτερον προδιδόναι· ἂν δ’ ἑνί γέ τῳ τελευτήσῃ τρόπῳ ὁ βασιλεὺς, μὴ ἕκαστον ὅ,τι ἂν οἴηται δίκαιον καὶ λυσιτελὲς ποιεῖν, ἀλλὰ κοινῇ βουλευσαμένους ὅ,τι ἂν δοκῇ Συργιάννῃ πράττειν καὶ μηδένα ἀντιλέγειν, ἀλλὰ πείθεσθαι αὐτῷ ὡς τὰ κοινῇ συμφέροντα βουλευσομένῳ. ἀλλὰ ταῦτα μὲν πρότερον, ὕστερον δὲ οὐκ ὀλίγῳ χρόνῳ διατρίβοντι βασιλεῖ κατὰ τὴν Χαλκιδικὴν τὴν ἐν τῇ Θρᾴκῃ, συνῆσαν μὲν τῶν ἐν τέλει πολλοί· παρῆν δὲ καὶ Συργιάννης. Ἀρσένιος δὲ Τζαμπλάκων ὁ μέγας παπίας παρελθὼν ἐπὶ τοῦ βασιλέως, ἐδίωκε τὸν Συργιάννην ἀπιστίας, διϊσχυριζόμενος ὡς ἀπελέγξειν ἐπὶ τῆς δίκης. Συργιάννης δὲ εὐθὺς πρὶν βασιλέα φθέγξασθαί τι, καταψεύδεσθαί τε ἔφασκεν αὐτοῦ Τζαμπλάκωνα καὶ ἀποδείξεις παρέξειν τοῦ ψεύδους ἰσχυράς. [20]

1 438 ὁ δ’ οὐ δεῖν ἔφασκεν εἰκῇ λογομαχεῖν ἀλλήλοις ἀντεπάγοντας τὸ ψεύδεσθαι, ἀλλ’ ἐπὶ τῆς δίκης καταστάντας ἑκάτερον ὧν ἀξιοῖ παρέχεσθαι τὰς ἀποδείξεις. βασιλεὺς δὲ πρότερον μὲν ἡσύχασεν ἐπὶ μικρὸν πρὸς τὰ εἰρημένα· οὐδὲ γὰρ ἦν πω πρότερον οὐδὲν ἀκηκοὼς περὶ Συργιάννη· ἔπειτα ἄχθεσθαι μὲν εἶπε καὶ πάνυ πρὸς τοὺς τοιούτους λόγους. οὐ γὰρ βούλεσθαι αὐτῷ τοὺς ὑπηκόους, τοὺς μὲν ἀπιστίας φεύγειν, τοὺς δὲ διώκειν, ἀλλὰ πάντας τε αὐτῷ εὔνους εἶναι καὶ μηδένα μηδ’ ὑφ’ ἑνὸς κατηγορεῖσθαι· ἐπεὶ δὲ εἴρηται τοιαῦτα, οὔθ’ οὕτως ἔχειν ὥστε πάνυ πιστεύειν δεῖ, οὔθ’ ὥστε ἀπιστεῖν, ἀλλὰ βασάνῳ τὸ πρᾶγμα δόντας, τἀληθὲς ἀνερευνᾷν. εὔχομαι δὲ Τζαμπλάκωνα παραχθέντα μᾶλλον τὰ μὴ ὄντα λέγειν ἢ σὲ τοιούτοις οἵοις αὐτός φησιν ἐνέχεσθαι κακοῖς. Συργιάννης δὲ ἐδεῖτο βασιλέως μόνον τῶν δικαίων τυχεῖν καὶ μὴ διὰ

συκοφαντίαν ἐρήμην ἁλῶναι· τοὺς δὲ ψευδεῖς τουτουσὶ καὶ πεπλασμένους λόγους ἡγεῖσθαί τε μηδὲν καὶ σὺν οὐδενὶ πόνῳ ὅπερ εἰσι ῥᾳδίως ἀποδείξειν. βασιλεὺς δὲ καὶ αὐτὸς ἔφασκε κατὰ γνώμην αὐτῷ εἶναι μᾶλλον ἀπολύσασθαι τὰς κατηγορίας καὶ μηδ' ἐπὶ μιᾷ αὐτῶν ἁλῶναι ἀληθῶς· ἄδικον δὲ ψῆφον οὐκ ἄν ποτε αὐτῷ ἐπενεγκεῖν, οὐ μόνον ὥσπερ νῦν περὶ ψυχῆς ἀγωνιζομένῳ, ἀλλ' οὐδ' εἰ περὶ τῶν φαυλοτάτων τινὸς ἐλάγχανε τὴν δίκην. Τζαμπλάκωνι δὲ ἐκέλευσεν ἃ Συργιάννῃ ἐγκαλοίη εἰς μέσον ἄγειν· οὐδὲ γάρ πω ᾔδει περὶ αὐτῶν οὐδέν. Τζαμπλάκων δὲ ἄνωθεν ἀρξάμενος, οὕτως ἐποιεῖτο τὴν κατηγορίαν· „Συργιάννης οὑτοσὶ" λέγων „ὦ βασιλεῦ, τὴν τῆς ἑσπέρας ἀρχὴν ἐπιτετραμμένος, πρῶτα μὲν ἐποιεῖτο διὰ σπουδῆς καὶ ἔργον ἦν αὐτῷ τῶν πάντων περισπουδαστότατον ἑταιρείαν συστήσασθαι περὶ αὐτὸν καὶ πάντας, εἰ δύναιτο, αὐτῷ πεῖσαι προσέχειν καὶ ἐν τοῖς μάλιστα τῶν φίλων ἄγειν. [5]

1 439 ἡμεῖς δὲ τὰ τοιαῦτα ὁρῶντες μάλιστα ἐν ταῖς ἀρχαῖς, οἰόμενοι αὐτὸν δόξης ἐπιθυμοῦντα καὶ ἐπαίνων, εἰς ἃ μάλιστα ἐπτόηνται οἱ δοκοῦντες εὐτυχεῖν, τοῖς τοιούτοις ἠσχολῆσθαι, ἐποιούμεθα τὰ πραττόμενα οὐκ ἐν δεινῷ· ὡς δὲ τοῦ χρόνου τριβομένου, τὴν ἐν τοῖς τοιούτοις σπουδὴν μείζω τοῦ προσήκοντος γινομένην ἐωρῶμεν, ὑποπτεύειν ἐπῄει, μὴ οὐχὶ εὐδοξίας ἕνεκα τὰ τοιαῦτα αὐτὸν ἐπιτηδεύειν, ἀλλά τινος ἑτέρου χάριν ἀπορρήτοτέρου, καὶ περιεργότερον προσείχομεν τοῖς γινομένοις. ὡς δὲ τὰ τοιαῦτα ἐρευνῶσιν ἐμηνύετο, ὡς οὐδὲ ἁπλῶς καὶ ἀπεριέργως αἱ φιλίαι γίνωνται τῶν συνισταμένων πρὸς αὐτὸν, ἀλλ' ὅρκοις διδόντων πίστεις ἰσχυρὰς καὶ λαμβανόντων παρ' αὐτοῦ, τότ' ἤδη ἐν πλείονι ἦμεν ὑποψίᾳ τοῦ μεγάλα τινὰ κακουργεῖν αὐτὸν, καὶ τοὺς ὅρκους ἐφ' ὁποίοις γίνονται ἀκριβῶς διηρευνῶμεν. ἐμηνύετο δ' ὑπ' αὐτῶν τῶν τὰ τοιαῦτα συνειδότων, ὡς πρῶτον μὲν γίνοιντο οἱ ὅρκοι ἐπὶ τῷ αὐτοὺς φίλους εἶναι Συργιάννῃ καὶ αὐτὸν αὐτοῖς, καὶ τὰ συνοίσοντα ἀλλήλοις ἐκ παντὸς τρόπου πράττειν ἑκατέρους· ἔπειτα ἂν συμβῇ βασιλέα τρόπῳ δή τινι τελευτῆσαι, μὴ ἕκαστον ἐφ' ἑαυτοῦ ὅ,τι ἂν δοκῇ συνοῖσον πράττειν, ἀλλὰ κοινῇ σκεψαμένους, τὰ δοκοῦντα Συργιάννῃ λυσιτελεῖν ποιεῖν. [20]

1 440 ὅτι δὲ ἀληθῆ, μάρτυρας παρέξομαι τῶν λεγομένων. σὺ μὲν οὖν ἂν εἰδείης, ὦ βασιλεῦ, ὅ,τι χρὴ ἀποφαίνεσθαι περὶ αὐτῶν· ἐμοὶ δὲ ἐδόκει τῶν ἀτοπωτάτων, ὑπὸ βασιλέα τινὰ τελοῦντα καὶ δουλείαν ὁμολογοῦντα ὀφείλειν, τοιούτοις ἐγχειρεῖν. ἐπυθόμην δὲ καὶ τῶν πρώτων τῶν ἐμῶν ἐγὼ, ὡς τὰ τοιαῦτα τολμώμενα παρὰ τῶν ὑπηκόων ἀποστασίαν καὶ ἀπιστίαν πάντων μάλιστα ἂν αὐτῶν κατηγοροίη. διὸ οὐδὲ ἠνεσχόμην σιγῇ φέρειν, ἀλλ' ἐπὶ σοῦ τὰ τοιαῦτα κατηγόρηκα αὐτοῦ, νομίζων οὐκ ἔλαττον εἶναι τοῦ συμπράττειν πρὸς τὰ φαῦλα τὸ συνειδότα μὴ ἐλέγχειν εἰς κατηγορίας λόγον." Τοιαῦτα Τζαμπλάκωνος διεξιόντος, ἀδικεῖσθαι καὶ συκοφαντεῖσθαι διετείνετο ὁ Συργιάννης καὶ καταψεύδεσθαι Τζαμπλάκωνα αὐτοῦ, πλασάμενον διαβολὰς ἔχθει παλαιῷ τῷ πρὸς αὐτὸν, ὅτι τοὺς υἱοὺς, βασιλέως ἀποστάντας, στρατηγὸς κατ' αὐτῶν ἐκπεμφθεὶς χειρώσαιτό τε καὶ δεσμώτας πρὸς βασιλέα ἀπαγάγοι. Τζαμπλάκων δὲ τῶν μὲν υἱῶν αὐτῷ μέλειν ἔλεγεν ὀλίγα ἢ οὐδὲν, ὡς οὔτε ὀνησόντων οὐδὲν, ἂν βελτίους ὦσιν, οὔτε προστριψομένων τινὰ αἰσχύνην, ἂν φαίνωνται κακοί· βασιλεῖ γὰρ μελήσειν ὅπη ἂν διάθηται τὰ κατ' αὐτοὺς, ὄντας ὑπηκόους. ἔχθει δὲ τῷ πρὸς ἐκεῖνον κατηγορηκέναι, οὐκ ἂν ἔξαρνος γενέσθαι. οὐ γὰρ ἂν δύναιτο κακῷ γενομένῳ περὶ βασιλέα μὴ ἐχθραίνειν. ἐδεῖτό τε βασιλέως μηδένα αὐτῶν ἐᾷν οἴκαδε ἀναχωρεῖν, ἀλλ' αὐτῷ συνδιατρίβειν, ἄχρις ἂν μεταπεμψάμενος τοὺς μαρτυρήσοντας τοῖς εἰρημένοις, ἀπελέγξῃ διαῤῥήδην, ὡς οὐδὲν ἂν εἴη ὧν κατηγόρηκε πλάσμα καὶ συκοφαντία, ἀλλ' αὐτὰ τὰ γεγενημένα ὑπ' αὐτοῦ. [20]

1 441 βασιλεὺς δὲ δίκαιά τε Τζαμπλάκωνα ἐπεψηφίζετο ἀξιοῦν καὶ προσέταττεν οὕτω πράττειν. ἀξιοῦντος δὲ καὶ Συργιάννη προσκαλεῖσθαί τινας, οἳ ἀδικούμενον αὐτὸν καὶ συκοφαντούμενον ἀποφανοῦσιν, ἐπέτρεπε καὶ αὐτῷ πᾶν ὅπερ ἂν ᾖ πρὸς ἀπόδειξιν τῆς ἀληθείας ἐξεῖναι πράττειν. τοὺς μὲν οὖν συμμαρτυρήσοντας αὐτοῖς ἐπὶ τῆς δίκης αὐτίκα

ἔπεμψαν τοὺς κομιοῦντας· αὐτοὶ δὲ συνόντες βασιλεῖ, παρεσκευάζοντο ὡς ἐπὶ δίκην. κγ′. Τῆς ἡμέρας δὲ ἐκείνης παρελθούσης, ἐπεὶ ἐπεγένετο ἡ νὺξ περὶ μέσην, ὁ Συργιάννης εἰς τὴν οἰκίαν τὴν μεγάλου δομεστίκου ἀπελθὼν, ἐδεῖτο μὴ περιϊδεῖν ὑπὸ συκοφαντίας τὰ ἔσχατα προσδοκῶντα πείσεσθαι δεινὰ, ἀλλὰ χεῖρα σώζουσαν παρασχεῖν καὶ μὴ διὰ τὸ προσκεκρουκέναι ἀφειδῆσαι κινδυνεύοντος, ἀλλὰ πρόνοιάν τινα ποιήσασθαι αὐτοῦ. αὐτῷ μὲν γὰρ ὁμολογεῖν προσκεκρουκέναι, πεισθέντα φαύλοις ἀνθρώποις καὶ διεφθορόσι καὶ ψευδομένοις ὡς τὰ πολλὰ, καὶ διὰ τοῦτο αὐτόν τε ἑαυτοῦ κατηγορεῖν πολλὴν ἀγνωμοσύνην καὶ αὐτῷ ἐφιέναι ἣν ἂν ἐθέλοι δίκην λαμβάνειν παρ’ αὐτοῦ. περὶ βασιλέα δὲ μηδὲν ἑαυτῷ κακῷ γενομένῳ συνειδέναι, ἀλλ’ ἄκρατον εἶναι τὴν διαβολήν. οὗ δὴ ἕνεκα αὐτοῦ δεῖσθαι συγγνῶναί τε αὐτῷ τῆς περὶ αὐτὸν ἀδικίας καὶ ἀγνωμοσύνης καὶ τὴν προσδοκωμένην λύειν συμφοράν· αὐτὸν δὲ ὅρκοις οἷς ἂν ἐθέλοι τὸ μὴ διὰ βίου παντὸς κακὸν ὀφθῆναι περὶ αὐτὸν, ἀλλὰ πάντα αὐτῷ πιστώσασθαι ὑπείκειν. [20]

1 442 Συργιάννης μὲν οὖν τοιαῦτα ἐδεῖτο· ὁ μέγας δὲ δομέστικος αὐτῷ ὑπετίθετο θαῤῥεῖν, ὡς οὐκ ἀποστερήσοιτο τῶν δικαίων· οὐδὲ διὰ συκοφαντίαν αὐτῷ ἀπαντήσει δυσχερὲς οὐδέν. οὔτε γὰρ βασιλέα ἀνασχέσθαι ἄν ποτε καταψηφίσασθαι συκοφαντουμένου, μήτ’ αὐτὸν περιϊδεῖν. τὸ δ’ ὅρκους παρασχέσθαι ἐπηγγέλθαι, ἄν σοι νῦν περὶ τὰς προσδοκωμένας τύχας χρήσιμος ὀφθῶ, ὥστε διὰ βίου παντὸς ἐμοὶ ὑπείκειν καὶ μηδέποτε ἀγνωμονῆσαι, μηδὲ εἰς λήθην τῶν εὐεργεσιῶν ἐλθεῖν, ἐν ἴσῳ μοι δοκεῖς καὶ ἀδύνατα ἀξιοῦν. ὁ γὰρ μήτε πρότερον μήθ’ ὕστερον ἀγαθὸς γενόμενος περὶ τοὺς φίλους, ἀλλὰ μικρᾶς καὶ φαύλης τινὸς ἕνεκα αἰτίας ἢ οὐδὲ μικρᾶς, Εὐρίπου δίκην μεταφερόμενος καὶ ἀστατῶν, πῶς ἂν εἴης δίκαιος πιστεύεσθαι περὶ τοῦ μέλλοντος παρεχόμενος τὰς πίστεις; οἶσθα γὰρ ὡς φιλίας ἡμῖν ἄνωθεν ἐκ παίδων προσγεγενημένης, ἐγὼ μὲν ἐσπούδασα ἀεὶ μηδεμίαν πρόφασιν δικαίαν σοι διαστάσεως παρασχεῖν καὶ ταραχῆς, καὶ διετήρησά γε ἐμαυτὸν ἄχρι νῦν ἐπὶ τῆς ὁμοίας προαιρέσεως καὶ τοῦ θεοῦ συναιρομένου· σὺ δὲ καὶ ἅπαξ καὶ δὶς μηδὲν ἔχων ἐγκαλεῖν, ἀντὶ φίλου καὶ συνήθους πολέμιος ἐξαίφνης ἀνεφάνης καὶ οὐδενὸς, τό γε εἰς σὲ ἧκον, τῶν λυπεῖν ἀπέσχου δυναμένων. ἃ νῦν ἔμοιγε ὀνειδίζειν οὐ κατὰ καιρὸν δοκεῖ, περὶ αὐτῶν ἅπαξ συνεγνωκότι· τὰ τελευταῖα δὲ νῦν ταῦτα ὑπὸ κλοιοῖς ἐν δεσμωτηρίῳ ὑπὸ τοῦ πρεσβυτέρου βασιλέως κατεχομένῳ καὶ μηδεμίαν ἐλπίδα ἔχοντι τῆς τῶν δεινῶν ἀπαλλαγῆς, τῆς μὲν σῆς ἀγνωμοσύνης οὐδὲ ἐπεμνήσθην, τῆς δὲ ἐμῆς πρὸς σὲ φιλίας καὶ συνηθείας ὥσπερ εἴωθα μεμνημένος, ἅπερ οὐδ’ ἄν ποτε αὐτὸς ἤλπισας, οὐδ’ ἂν ἑτέρου λέγοντος ἐπείθου ὡς εἴη ἀληθῆ, τοιαῦτα καὶ διενοήθην καὶ εἰργασάμην ὑπὲρ σοῦ καὶ οὐ μόνον τοῦ δεσμωτηρίου ἀπήλλαξα καὶ τῶν κλοιῶν, καίτοι γε πολλὰ καὶ βασιλίδος τῆς βασιλέως μητρὸς τῆς εἰς σὲ προνοίας ἕνεκα αἰτιωμένης, καὶ βασιλέως αὐτοῦ δι’ οὐδὲν ἕτερον ἢ διὰ τὸ ἐμὲ βούλεσθαι μόνον τὴν ἄδειαν παρεσχημένου, ἀλλὰ καὶ ἔκ τε τῶν κοινῶν ὠφέλησα πολλὰ, προσόδους τε παρέχων ἐτησίους ἐκ χωρίων καὶ ἄρχοντα πόλεων καθιστὰς, καὶ ἐκ τῶν ἰδίων οὐδὲν ἔλαττον· ἃ νῦν ἕκαστα ἀπαριθμεῖν, ἀγεννὲς ἂν εἴη καὶ οὐδαμῶς ἐγγὺς τοῦ ἡμετέρου τρόπου· ἐκεῖνο ἐννοῶν, ὡς αὐτὰ τὰ πράγματα διδάξαι δυνατὰ οἷον φίλον ἰδίᾳ φαυλότητι τρόπων ἀπολωλεκότι, τῇ σφετέρ’ αὐτοῦ καλοκαγαθίᾳ πάλιν ὑπῆρξεν ἀνασώσασθαι· καὶ τελευταῖον ἀπὸ μικρᾶς τινος καὶ εὐτελοῦς ἀρχῆς ἐπὶ πᾶσαν τῆς ἑσπέρας ἀνῆγον τὴν ἡγεμονίαν. [15]

1 443 σὺ δ’ ἀντὶ πάντων τούτων θαυμασίαν τινὰ καὶ μάλιστα σοὶ προσήκουσαν ἀπεδίδους τὴν ἀντιμισθίαν. δέον γὰρ ἔργοις τε καὶ λόγοις εὐεργέτην ἀναγράφεσθαι καὶ σωτῆρα καὶ κηδεμόνα, πᾶν ἐποίεις τοὐναντίον, ὡς ἐπὶ πολέμιον καὶ πολλὰ δεινὰ εἰργασμένον παρασκευαζόμενος καὶ προσεταιριζόμενος πολλοὺς, ὡς ἂν εἰ βουληθείην ὥσπερ δὴ καὶ πρότερον ἀδικεῖν καὶ κακῶς ποιεῖν, αὐτὸς εἴης δυνατὸς ἀμύνεσθαι τῇ προπαρεσκευασμένῃ χρώμενος δυνάμει. [20]

1 444

ἐξ ὧν ὥσπερ αὐτοὶ λέγουσιν οἱ κατηγοροῦντες, εἰς πολλῷ χαλεπώτερον καὶ χεῖρον βάραθρον κατεκρημνίσθης· σὺ δὲ ἤδη συνορῶν οἷ κακῶν ὑπ' ἀβουλίας συνηλάθης, ἅ σοι ἔδοξε μόνα δυνατὰ πρὸς τὴν παροῦσαν ἀνάγκην ἀποχρήσειν, ταῦτα ἥκεις ἐσκεμμένος λέγειν. ἐγὼ δὲ μηδὲν ἀποκρυψάμενος, ὅπως τε διάκειμαι πρὸς σὲ, καὶ οἷα ποιήσω, ἐρῶ. οὔθ' οὕτως ἔχω ὥστε ποτὲ τοῖς φίλοις σε συντάττειν τοῖς ἐμοῖς καὶ ὑπὲρ σοῦ τῶν προσηκόντων τοῖς φιλοῦσι πράττειν τι, οὔθ' ὡς πολεμίῳ χρῆσθαι βλάπτων ὅσα δυνατά· ἀλλ' ἐπὶ τῆς δίκης γενομένου καὶ ὑπὲρ ὧν κατηγορῇ τὰς ἀπολογίας ποιουμένου, αὐτὸς μακρὰν ἐξασκήσω σιωπὴν, φθεγγόμενος μηδέν. κἂν μὲν τῶν κατηγόρων περιγένῃ καὶ τὴν δίκην διαφύγῃς, ἀγαπήσω καὶ αὐτὸς καὶ οὐ φθονήσω τυχόντι τῶν δικαίων· ἂν δ' ἥττων φαίνῃ παραπολὺ καὶ ἁλίσκῃ ἀδικῶν, ἂν μὲν ἀπειρίᾳ λόγων ἢ ἀδικίᾳ τῶν συκοφαντῶν, ἢ τρόπῳ δή τινι ἑτέρῳ ἀποστερεῖσθαι συμβαίη τῶν δικαίων, προστήσομαι προθύμως, καὶ οὐ περιόψομαι ἄδικον ψῆφον ἐνεχθεῖσαν κατὰ σοῦ, οὐ σοῦ γε ἕνεκα μᾶλλον, ἢ αὐτοῦ δικαίου· ἂν δὲ προσῇ τὸ δικαίως τῇ κατὰ σοῦ ἐξαγομένῃ ψήφῳ, μηδεμίαν ἐπικουρίαν προσδόκα παρ' ἐμοῦ. ἐξ ὅτου γὰρ αὐτὸς ἀπώσω τὴν φιλίαν τὴν ἐμὴν καὶ πολεμίου ἔργα εἵλου πράττειν, καὶ αὐτὸς τοῦ νομίζειν φίλον ἀπεσχόμην· ἐμαυτῷ δ' ὥσπερ πολιτείαν ἀρχαίαν τὸ μηδενὶ πολέμιος εἶναι συντηρῶν, οὔτε σοι μέχρι νῦν, οὔθ' ὕστερον γενήσομαι· ἀλλ' οὔτ' ἀδικούμενον περιόψομαι ὥσπερ ἔφην, οὔτ' ἀδικοῦντα ἐξαρπάσω τῶν κινδύνων. [20]

1 445 πρὸς δὴ ταῦτα ὅπη ἄν σοι δοκῇ τοῖς πράγμασι χρῆσθαι, συνετός τε ὢν καὶ πεῖραν ἔχων καὶ λόγων καὶ πραγμάτων." Συργιάννην μὲν οὖν εὐθὺς οὐκ ὀλίγον ἐθορύβησαν οἱ λόγοι, νομίσαντα ἤδη ἐν χρῷ κινδύνου καθεστάναι. ὅμως δὲ ἔτι πειρώμενος αὐτοῦ εἰ δύναιτο ἀποθέμενος τὴν πρὸς αὐτὸν ὀργὴν στῆσαι τὴν προσδοκωμένην συμφοράν „Ἐγὼ μὲν ᾤμην" εἶπε „μέχρι λόγων μοί σε τὴν τιμωρίαν τῶν ἡμαρτημένων στήσειν, καὶ μὴ διὰ μικροψυχίαν, ἐφ' ᾗ μοι καὶ πρότερον πολλὰ πολλάκις συνέγνως, προήσεσθαι τοῖς συκοφαντοῦσι νῦν. ὁρῶ δὲ ἤδη τὸν ὄλεθρον κατ' οὐδὲν ἐλλείποντα ἐμοί. ἐὰν γὰρ πεισθῶ σαφῶς, ὅτι σε οὐ πείσω δυνατὸν δεηθεὶς ὑφεῖναί μοι τὴν ὀργὴν καὶ ὁμοίας ὥσπερ πρότερον κηδεμονίας ἀξιοῦν, οὐδὲν λοιπὸν ἢ κακοῖς τοῖς ἐσχάτοις περιπεσεῖσθαι προσδοκᾷν." ὁ δ' ἔφασκεν „οὐ χρείαν εἶναι λόγων περιττῶν· αὐτὸς δὲ πρότερόν τε λόγοις ὀλίγοις τὴν διάνοιαν δεδηλωκέναι, καὶ νῦν οὐδὲν ἧττον τὸ αὐτὸ ποιήσειν· ἀνεπίφθονον δὲ εἶναι, εἰ διὰ παραδειγμάτων τὴν ἀπόδειξιν ποιήσομαι τοῦ λόγου. ἐοικέναι γὰρ νομίζειν, ἐμὲ μὲν γαληνῷ τινι λιμένι προσερηρεισμένῃ πέτρᾳ, σὲ δὴ νηῒ κάλων ἐξ αὐτῆς ἀναψαμένῃ καὶ πολλῆς ἀπολαυούσῃ τῆς εὐδίας· νομίσαντα δὲ, ἂν αὐτῆς ἀπολυθήσῃ, πλέον τι καὶ κερδαλεώτερον εὑρήσειν, ἀφεῖναι ἐπὶ τοῦ πελάγους ἀποστάντα, κλυδωνίῳ δὲ περιπεσόντα καὶ σαφῶς τὴν ἀβουλίαν ἐγνωκότα, τῆς πέτρας δεῖσθαι τοῦ κλύδωνος ἐπὶ τοῦ πελάγους ἐλθοῦσαν ἐξαρπάσαι· τὴν δὲ ἀποκρίνασθαι, οὐ δυνατὰ αἰτεῖσθαι· ἀλλ' εἴτι δέοιτο τῆς παρ' αὐτῆς γαλήνης, αὐτὸν μᾶλλον ἐλθόντα πρὸς αὐτὴν, τὰ πρυμνήσια ἀνάψαι. [5]

1 446 τοῦτο δὲ οὐ λόγοις, ἀλλὰ μᾶλλον ἔργοις ἐπιδείκνυσθαι· οὐδεμία γὰρ ἔσται τις ὠφέλεια ἀπὸ τῶν λόγων, ἐὰν μὴ αὐτὸς ἔργῳ προσορμήσῃ τῷ λιμένι. τὸ νῦν μὲν οὖν ἔχον, μηδένα παρ' αὐτοῦ μήτε κίνδυνον ὑφορᾶσθαι, μήτ' ἐπικουρίας τυχεῖν ἐλπίζειν. ἐὰν δὲ ἔργοις εἰς τὸ ἐπιὸν ἐπιδείξηται τὴν πρὸς αὐτὸν στοργὴν, (λόγοις γὰρ οὐ πιστεύειν, ἤδη δὶς καὶ τρὶς ἀποδεδειγμένοις ἔχειν ὑγιὲς οὐδὲν,) τότ' ἤδη τὰ παρ' ἑαυτοῦ καὶ αὐτὸν προσθήσειν. Συργιάννης μὲν οὖν τοσαῦτα εἰπὼν καὶ ἀκούσας, ἀνεχώρησεν ἐκεῖθεν, οὐκ ὀλίγα ἀνιώμενος ὅτι μὴ δυνηθείη πεῖσαι τὸν μέγαν αὐτῷ δομέστικον προσέχειν. κδ'. Βασιλεὺς δὲ ἐκ τῆς Χαλκιδικῆς ἄρας, ἦλθεν εἰς Βυζάντιον· συνείποντο δὲ καὶ Συργιάννης καὶ Τζαμπλάκων, ὡς ἐκεῖ γενησομένης δίκης. οὐ πολλῷ δὲ ὕστερον καὶ οἱ παρ' ἑκατέρου προσκεκλημένοι μάρτυρες παρῆσαν. ἐπεὶ δὲ ἐπύθετο ὁ βασιλεὺς, ἐκέλευεν εἰς τὸ δικαστήριον ἀπαντᾷν. μελλόντων δὲ

ἤδη, ἠγγέλλετο ἐκ Βιθυνίας ὡς Ὀρχάνης ὁ τῶν αὐτόθι Περσῶν σατράπης τὴν κατὰ τὸν Ἀστακηνὸν κόλπον Νικομήδειαν, πόλιν μεγάλην καὶ πολυάνθρωπον, στρατιὰν πολλὴν περικαθίσας, καὶ μηχανήματ' ἐπιστήσας, πολιορκεῖ. [20]

1 447 ἐδόκει δὴ βασιλεῖ βοηθητέον εἶναι κατὰ τάχος. καὶ στρατιὰν ἐνθέμενος, οὐ μόνον τριήρεσιν, ἀλλὰ καὶ φορτηγοῖς ναυσὶ πεζήν τε καὶ ἱππικὴν, ἔπλει πρὸς τὴν Νικομήδους, ὡς ἐξαιρησόμενος τῶν κινδύνων. ἔτι δὲ ὄντος μετεώρου τοῦ στόλου, καὶ μέλλοντος εἰς Νικομήδειαν καταίρειν, Ὀρχάνης πρεσβείαν πέμψας, πρῶτα μὲν ἠσπάζετο βασιλέα· ἔπειτα ἐμήνυεν ὡς βούλοιτο τὸν πόλεμον καταθέσθαι, ἐὰν καὶ αὐτῷ κατὰ γνώμην ᾖ· ἐὰν δὲ μάχην συνάπτειν προθυμοῖτο, μαχεῖσθαι καὶ αὐτόν. ὁ δ' ἀντησπάζετο μὲν καὶ αὐτὸς αὐτὸν, ἐδήλου τε ὡς τοῦ μὲν ἥκειν παρεσκευασμένος ὡς ἐς μάχην, οὐκ ἂν δύναιτο ἔξαρνος γενέσθαι, ἐξ αὐτῶν τῶν πραγμάτων ὄντος φανεροῦ. ἐὰν δὲ αὐτὸς βούλοιτο τὸν πόλεμον καταθέμενος εἰρήνην ἄγειν, οὐδ' αὐτὸν ἀπώσασθαι αὐτήν. καὶ λόγων γενομένων περὶ σπονδῶν διὰ τῶν πρέσβεων, (οὐ γὰρ αὐτοὶ συνῆλθόν γε ἀλλήλοις,) συνέβησάν τε καὶ ἔθεντο σπονδὰς εἰρηνικὰς, ὥστε Ὀρχάνην βασιλέως εἶναι φίλον καὶ τὰς κατὰ τὴν ἕω πόλεις, ὅσαι ἔτι ἦσαν ὑπήκοοι Ῥωμαίοις, ἀδικεῖν μηδέν· ἔπειτα ἀλλήλους ἠμείβοντο δώροις, Ὀρχάνης μὲν ἵππους πέμψας καὶ κύνας θηρευτικὰς τάπητάς τε καὶ παρδάλεων δοράς· βασιλεὺς δὲ ἐκπώματά τε ἀργυρᾶ καὶ ὑφάσματα οὐκ ἐξ ἐρίων μόνον, ἀλλὰ καὶ Σηρικὰ, καὶ τῶν βασιλικῶν ἐπιβλημάτων ἓν, ὃ περὶ πλείστου παρὰ τοῖς βαρβάρων σατράπαις ἄγεται ἀεὶ καὶ τιμῆς εἶναι δοκεῖ τεκμήριον καὶ εὐμενείας· ἐφ' ᾧ τότε καὶ αὐτὸς ὑπερήσθη τε τῶν ἄλλων μᾶλλον καὶ χάριτας ὡμολόγει βασιλεῖ. μετὰ τοῦτο Ὀρχάνης μὲν ἐπανέζευξεν εἰς τὴν οἰκείαν, βασιλεὺς δὲ ἀπόβασιν ποιησάμενος καὶ ἐφ' ἡμέραις ἑπτὰ περὶ τὰ ἐκεῖσε χωρία διατρίψας, (οὔπω γὰρ ἄχρι τότε ταῦτα ἦν ἑωρακὼς,) καὶ τὸν σῖτον ὅσος ταῖς ναυσὶν ἐνῆν, Νικομηδεῦσι παρασχὼν, ἅμα παντὶ τῷ στόλῳ εἰς Βυζάντιον ἐπανῆκε· καὶ μηδὲν ἀναβαλλόμενος εὐθὺς τὴν περὶ τοῦ Συργιάννη δίκην ἐποιεῖτο. [5]

1 448 καὶ Τζαμπλάκων μὲν ὅσα καὶ πρότερον αὖθις κατηγόρει καὶ μάρτυρας παρείχετο τῶν λεγομένων· Συργιάννης δὲ καὶ αὐτὸ μὲν ἐκ τοῦ ὁμοίου παρεισῆγε τοὺς συνεροῦντας αὐτῷ περὶ ὧν ἀπελογεῖτο· ἐδόκει δὲ οὐδὲν προφέρειν ἰσχυρὸν, ἀλλ' ἐπλανᾶτο περὶ τὰς ἀποδείξεις καὶ ἀδύνατος ἐδόκει εἶναι. βασιλεὺς μὲν οὖν καὶ οἱ ἄλλοι παρόντες τῶν συγκλητικῶν ἐβασάνιζόν τε τὰ λεγόμενα παρ' ἑκατέρων καὶ ἐπειρῶντο ἀπὸ τῆς συζητήσεως τἀληθῆ ἀνερευνᾶν· ὁ μέγας δομέστικος ἐφθέγγετο οὐδὲν, ἀλλὰ καθῆστο μόνον ἀκροώμενος τῶν λεγομένων. τρὶς δὲ καὶ τετράκις γενομένου συλλόγου περὶ τῶν αὐτῶν, ἐπεὶ ὁ Συργιάννης συνεώρα τὴν νίκην πρὸς Τζαμπλάκωνα χωροῦσαν, ἐδόκει δεῖν διακρούσασθαι τὴν δίκην καὶ ἐδεῖτο βασιλέως προθεσμίαν αὐτῷ ἔτι παρασχεῖν ἐπὶ τῷ μάρτυρας ἑτέρους ἀγαγεῖν, οἳ δυνήσονται αὐτῷ συνάρασθαι πρὸς τὸ διαφυγεῖν τὴν καταδίκην. βασιλεὺς δὲ παρέσχετο προθύμως καὶ ὅ,τι ἂν ἕτερον δοκοίη δυνάμενον αὐτῷ ἐπικουρίαν παρασχεῖν τινα μηδὲν ἀναβαλλόμενον κελεύσας ἐκπορίζειν ἑαυτῷ. Τζαμπλάκων δὲ κατεβόα τοῦ δικαστηρίου καὶ δεινὰ ἐποιεῖτο, εἰ προφάσει χρώμενος τοῖς μάρτυσι Συργιάννης διαφύγοι τὴν ἐπὶ τῇ δίκῃ τιμωρίαν διαδράς. [20]

1 449 οὐ γὰρ ἄλλο τι δύνασθαι αὐτῷ τὴν προθεσμίαν· μάρτυρας γὰρ αὐτῷ οὔτε πλείους οὔτε βελτίους εἶναι τῶν παρηνεγμένων. ἐδεῖτό τε βασιλέως, εἰ μὴ πλεῖστα βούλοιτο χαρίζεσθαι Συργιάννῃ, δεσμωτηρίῳ ἀμφοτέρους ἐμβληθέντας φρουρεῖσθαι τὴν ἄφιξιν τῶν μαρτύρων περιμένοντας. δίκαια δὲ φάσκοντος βασιλέως τὸν Τζαμπλάκωνα ἀξιοῦν, „Ἀλλ' οὐ καλὸν" εἶπεν ὁ Συργιάννης „εἰκῇ καὶ μάτην εἰργομένους ταλαιπωρεῖσθαι, ἐξὸν ἐγγυητὰς παρασχομένους ἀμφοτέρους τοῦ μὴ ἀποδρᾶναι ἀναπαύλης ἀπολαύειν, οἴκοι διατρίβοντας." ὡς δὲ καὶ τοῦτο ἀσφαλείας ἐνέχυρον ἄξιον ἐδόκει εἶναι, τὸν σύλλογον μὲν διέλυσεν ὁ βασιλεὺς, τοὺς ἐγγυητὰς δὲ ἐκέλευε παρέχειν τοῖς δικαζομένοις. ἐς τὴν ὑστεραίαν δὲ ὁ Συργιάννης γενόμενος ἐν τῇ τοῦ μεγάλου δομεστίκου οἰκίᾳ „Τὰ μὲν ἐν τῇ Χαλκιδικῇ" ἔφη „εἰρημένα πρὸς ἐμὲ πέρας ἤδη ἔσχεν· ἃ καὶ

πρότερον πιστευόμενα, νῦν μᾶλλον ἢ πρότερον ἐπὶ τῶν ἔργων βέβαια ἐφάνη. πρὸς οὐδὲν γὰρ ἐπὶ τῆς δίκης ἐναντία πράττων ἢ φθεγγόμενος ἐμοὶ ἐφάνης· ἔδει δὲ μηδ' οὕτω παντάπασι κινδυνεύοντα ἀβοήθητον καταλιπεῖν. νυνὶ δὲ μάλιστα ἀναγκαίως ἐπικουρίας δεομένῳ μὴ περιϊδεῖν παρακαλῶ· ἀλλ' ἐπὶ τοῖς πρότερον ἡμαρτημένοις συγγνώμην παρασχόντα, βοηθεῖν τὰ δυνατά. ᾐτεῖτο τε ἐγγύας παρασχεῖν ὑπὲρ αὐτοῦ, ἄχρις ἂν πέμψας ὧν δέοιτο μάρτυρας ἀγάγοι. ἐπαγγειλαμένου δὲ προθύμως ἃ ᾐτεῖτο ἐκπληρώσειν, ἐκεῖθεν μὲν πολλὰς αὐτῷ χάριτας ἀνεχώρησεν ὁμολογῶν. ἐπιγενομένης δὲ νυκτὸς, ἐκ Βυζαντίου ὡς μάλιστα ἐνῆν λαθὼν πρὶν ἐγγύας παρασχεῖν, εἰς Γαλατᾶν ἐπεραιώθη καὶ κατέκρυψεν ἑαυτὸν ἐν ἀσφαλεῖ. [25]

1 450 ἐπεὶ δὲ διεθρυλλήθη ἀποδεδρακέναι Συργιάννην, πάντα χρήματα ἐξηρευνᾶτο καὶ ἐζητεῖτο πανταχοῦ· ἀπόρου δὲ ἤδη τῆς εὑρέσεως γινομένης, οἰηθεὶς ὁ βασιλεὺς ἀμελείᾳ τῶν ζητούντων αὐτὸν διαδιδράσκειν, ἑαυτοῦ αὐτὸς τὴν ζήτησιν ἐποιεῖτο. καὶ παρελθὼν εἰς Γαλατᾶν ἅμα ὅσοις ἔτυχε Ῥωμαίων, ἐπεὶ μηδὲν εἶχον οἱ Λατῖνοι ἀντιλέγειν, τὰς οἰκίας πέμπων διηρευνᾶτο καθ' ἑκάστην· ὁ δ' ἴσα καὶ ᾅδου ὑποδύντι κυνῆν, ἀνεύρητος ἦν. ὅμως δὲ ἐκέκρυπτο ἐν Γαλατᾷ ὑπὸ φαύλου τινὰ οἰκίαν, ἣ διὰ φαυλότητα οὐδὲ ἀνηρευνήθη, καίτοι γε βασιλέως ἐπ' αὐτῆς ἑστῶτος καθ' ὅσον χρόνον αἱ λοιπαὶ διηρευνῶντο. ἐπεὶ δὲ ἀνεχώρησεν ἐκεῖθεν ὁ βασιλεὺς ὡς ἀδύνατον ἀπαγορεύσας τὸ ζητεῖν, ὁ Συργιάννης ἐπιβὰς νεὼς ἐπ' Εὔβοιαν πλεούσης, ἐκεῖ ἀπεκομίσθη πρῶτον· ἔπειτα ἐκεῖθεν διὰ Λοκρῶν καὶ Ἀκαρνάνων εἰς Ἀλβανοὺς, οἳ περὶ Θετταλίαν οἰκοῦσιν αὐτόνομοι νομάδες, διεσώθη κατὰ φιλίαν παλαιὰν, ἣν πρὸς αὐτοὺς ἦν πεποιημένος, ὅτε τῆς ἑσπέρας ἐστρατήγει· κἀκεῖθεν ἀγωγῶν παρ' αὐτῶν τυχὼν, ἦλθεν εἰς Κράλην ἄρχοντα τῶν Τριβαλῶν φυγάς. καὶ ἐπηγγέλλετο πολλὰ τοῖς Ῥωμαίοις ὑπήκοα αὐτῷ ὑποποιήσειν· Κράλης δὲ ὑπεδέξατο αὐτὸν ἀσμένως, ἅμα μὲν ἱκέτην γεγενημένον, ἅμα δὲ ἐλπίσας δι' αὐτοῦ τὰ Ῥωμαίων πράγματα ὡς μάλιστα κακώσειν. καὶ τά τε ἄλλα φιλοτίμως μάλιστα προσεφέρετο αὐτῷ, καὶ στρατιὰν ὅσης ἐδέετο παρεῖχεν ἐπὶ τῷ τὰς ὑπηκόους τοῖς Ῥωμαίοις πόλεις καταδουλοῦσθαι. καὶ ἄλλα τε μάλιστα πολίσματα προσεποιήσατο, καὶ Καστορίαν πόλιν μεγάλην κατὰ τὴν Βοτιαίαν ᾠκισμένην. [25]

1 451 πυθομένῳ δὲ βασιλεῖ ὅσα κατὰ τὴν ἑσπέραν Συργιάννῃ νεωτερισθείη, ἠρεμεῖν οὐκ ἦν, ἀλλ' ἐκ Βυζαντίου εἰς Διδυμότειχον ἐλθὼν, συνέλεγε τὴν στρατιὰν, ὡς εἰς τὴν ἑσπέραν ἐκστρατεύσων. κε'. Ἀσχολουμένου δὲ αὐτοῦ περὶ τοῦ στρατεύματος τὴν συλλογὴν, Σφραντζὴς ὁ Παλαιολόγος τῶν συγκλητικῶν εἷς, οὐ πάνυ δὲ τῶν ἐπ' εὐγενείᾳ λαμπρυνομένων, βασιλεῖ νυκτὸς προσελθὼν, προσκεκρουκέναι τε ὡμολόγει πολλὰ καὶ δίκης ἄξια, συγγνώμης τε καὶ εὐεργεσίας ἀνθ' ὧν ἔδει τυχεῖν τιμωριῶν. ἀνθ' ὧν βούλεσθαι μὲν καὶ αὐτὸν καὶ προθυμεῖσθαι ἄξιον φανῆναι τῆς εὐεργεσίας καὶ εὐγνώμονα περὶ τὸν οὕτως ἀγαθὸν δεσπότην· καιροῦ δὲ μὴ παρασχόντος, ἀτελῆ μέχρι νῦν καταλείπεσθαι τὴν προθυμίαν· νυνὶ δὲ μάλιστα τῶν πραγμάτων ἐνδιδόντων καὶ δεομένων εὔνων οἰκετῶν καὶ πιστῶν, ἥκειν καὶ αὐτὸν πρὸς τὸν κατὰ Συργιάννη πόλεμον διδόντα ὅ,τι βούλοιτο χρῆσθαι βασιλεῖ. ἕτοιμον δὲ εἶναι μὴ μόνον πόνοις πολλοῖς καὶ προθυμίᾳ καὶ σπουδῇ, ἀλλὰ καὶ αἵματι τῷ σφετέρῳ ἀλλαττόμενον, καταπράττεσθαι τὰ κατὰ γνώμην βασιλεῖ. βασιλεὺς δὲ „Τῶν μὲν προτέρων ἕνεκα ἁμαρτημάτων" ἔφη „καίτοι γε μεγάλων ὄντων, μηδεμίαν εἶναι δίκαιον παραίτησιν ποιεῖσθαι νῦν, ἐκ πολλοῦ συνεγνωσμένων· εὐνοίας δὲ ἕνεκεν τῆς πρὸς αὐτὸν πράττειν τῶν δεόντων τι καὶ μάλιστα βούλεσθαι οὐ μόνον ὅτι δίκαιον εὔνουν εἶναι καὶ πρόθυμον περὶ αὐτὸν, ἀλλ' ἵνα καὶ μᾶλλον ἐπισπάσηται τιμάς τε παρέχειν καὶ προσηκούσας τὰς εὐεργεσίας· ἃ δὲ νῦν ἔφης εἰς τὸν κατὰ Συργιάννη πόλεμον χρήσιμος ὀφθήσεσθαι ἡμῖν, βούλεσθαι μαθεῖν ὁποῖ' ἄττα, ὡς ἂν ἐκ τῶν λεγομένων ᾖ διαγινώσκειν, ἄν τε λυσιτελοῦντα τὰ βεβουλευμένα εἴη, ἄν τε μή. [5]

1 452 " Σφραντζὴς δὲ οὐδὲν μὲν ἥκειν ἔφασκεν οἴκοθεν αὐτὸς βεβουλευμένος πλὴν τοῦ προθυμότατον ἑαυτὸν ἐφ' οἷς ἂν κελευσθείη παρασχέσθαι· ἐπ' αὐτῷ δὲ εἶναι ἐφ' ὅ,τι ἂν δοκοίη

λυσιτελεῖν σκεψαμένῳ χρῆσθαι. βασιλεὺς δὲ ἐπήνει τε αὐτὸν τοῦ βουλεύματος καὶ οἴκαδε ἐκέλευεν ἀναχωρεῖν, ὡς ἐς τὴν ὑστεραίαν ἅττα ἂν δοκοίη βέλτιστα ὑποθησόμενος. τὸν μέγαν δὲ δομέστικον παραλαβὼν, ἐβουλεύοντο ὅπως δέοι τὸν κατὰ τοῦ Συργιάννη πόλεμον διαθέσθαι· ᾤοντο δὲ πρὶν παρασκευασαμένους ἥκειν ἀντιπάλῳ στρατιᾷ οὐ μέμψιν τινὰ δικαίαν εἶναι, εἴγε χωρὶς ὅπλων καὶ κινδύνων ἀπάτῃ τὸν πολέμιον συσχόντες δυνήσονται τὸν πόλεμον πρὶν συστῆναι καταλῦσαι. τὰ γὰρ τοιαῦτα κλέμματα καλλίστην δόξαν ἔχειν, ἃ μάλιστ' ἄν τις τὸν πολέμιον ἐξαπατήσας, ἑαυτόν τε καὶ τοὺς ὑπηκόους ὠφελήσειε. διὰ ταῦτα δὴ ἐδόκει Σφραντζῇ τῶν παρακειμένων τῇ Καστορίᾳ πολιχνίων ἐγχειρίζειν τὴν ἀρχὴν, καὶ ἐπειδὰν γένηται ἐκεῖ, Συργιάννην μὲν οὐκ ἀνέξεσθαι εὐθὺς μὴ προσπέμψαι πρὸς αὐτὸν καὶ παρακαλεῖν αὐτῷ προσθέσθαι ἀποστάντα βασιλέως· τὸν δὲ ὑπακούσαντα προθύμως, φιλίαν θέσθαι πρὸς αὐτὸν καὶ συμμαχίαν· καὶ ἐπειδὰν γένωνται ἐν συνηθείᾳ καὶ φοιτῶσι παρ' ἀλλήλους ἀδεῶς, τότ' ἤδη φυλάξαντα καιρὸν ἐν ᾧ μὴ μεθ' ἑτέρων ἂν εἴη πολλῶν ὁ Συργιάννης, (πάντως δὲ τοιούτους πολλοὺς εὑρήσειν,) εἰς ἓν τῶν φρουρίων κατασχόντα δῆσαι· φρουρεῖν τε ἀσφαλῶς ἄχρις ἂν ἐλθόντι ἐγχειρίσῃ βασιλεῖ· οἴεσθαι δὲ ἔσεσθαι αὐτοῦ ῥᾳδίαν καὶ τὴν φυλακὴν ἅτε τῆς ἑπομένης στρατιᾶς οὐκ οἰκείας, ἀλλ' ἐξ Ἀλβανῶν καὶ Τριβαλῶν οὔσης συμμαχίδος, οἳ οὐ βουλήσονται ὑπὲρ Συργιάννη διακινδυνεύειν, τὸ φρούριον πολιορκοῦντες, ἀλλὰ διαλυθήσονται ἐπ' οἶκου, ἄσμενοι τῶν ἐκ τῶν πολέμων κακῶν ἀπηλλαγμένοι. [10]

1 453 τοιαῦτα μὲν ἐδόκει ἀμφοτέροις ἐπιχειρητέα εἶναι· καὶ ἐς τὴν ὑστεραίαν τὸν Σφραντζὴν μεταπεμψάμενος ὁ βασιλεὺς, τὰ βεβουλευμένα τε διηγεῖτο, καὶ ἐπυνθάνετο αὐτοῦ, εἰ καὶ αὐτὸς λυσιτελῇ τε καὶ δυνατὰ ἡγοῖτο· ὁ δ' ἔφασκε τοιαῦτα μὲν αὐτὸς οὐδὲ ἐνθυμηθῆναι τὴν ἀρχὴν, ἀλλ' ἕτερ' ἅττα πολλῷ ἀποδέοντα αὐτῶν· ἃ δὲ ἐβουλεύσαντο αὐτοὶ οὐ λυσιτελοῦντα μόνον, ἀλλὰ καὶ ῥᾷστα καὶ αὐτὸς νομίζειν· διὸ μηδὲ μέλλειν, ἀλλ' ἔργου ἅπτεσθαι ἤδη ἀναγκαῖον. ἐπεὶ τοίνυν ἐκεκύρωτο ἡ βουλὴ, Δρομορᾶν μέν τινα ἐς τὰ μάλιστα φίλον τῷ Σφραντζῇ, αὐτοῦ δεηθέντος, προσέταξεν ὁ βασιλεὺς, ὡς ἐπειδὰν ἐμφανῶς ὁ Σφραντζὴς εἰς Συργιάννην ἀποστῇ, κτήματά τε ὅσα πρόσεστι καὶ βοσκήματα καὶ τὴν ἄλλην περιουσίαν δημοσιώσαντα φυλάττειν, ἵνα μὴ ὑπό τινων ἁρπασθέντα διαφθαρῇ· λόγῳ μὲν ὡς διαφέροντα βασιλεῖ, τῇ δ' ἀληθείᾳ τῷ φίλῳ Σφραντζῇ τὴν χάριν κατατιθέμενον τῆς φυλακῆς· αὐτῷ δὲ γράμματα παρασχόμενος βασιλικὰ, ἃ τῶν φρουρίων Σωσκοῦ τε καὶ Δεύρης καὶ Σταριδόλων καὶ Χλερηνοῦ ἐπέτρεπε τὴν ἀρχὴν, ἐξέπεμπεν ἐκ Διδυμοτείχου κατὰ τάχος· αὐτὸς δὲ περιμείνας οὐ πολλὰς ἡμέρας, ἀλλ' ὅσας ᾤετο Σφραντζῇ ἀνακωχὴν πρὸς τὴν ἐπιχείρησιν παρέξειν, ἅρας καὶ αὐτὸς τὴν πρὸς Θεσσαλονίκην ᾖει σχολῇ βαδίζων. [5]

1 454 Σφραντζῇ δὲ ἐπεὶ τῆς ἐγκεχειρισμένης ἀρχῆς ἐγκρατὴς ἦν, προσέπεμπεν εὐθὺς τοὺς ἀποστήσοντας ὁ Συργιάννης· ὁ δὲ ὀργῇ τε φέρεσθαι δοκῶν πρὸς βασιλέα καὶ αὐτῷ εὔνους εἶναι ἐκ πολλοῦ συνθήκας θέμενος καὶ ὅρκους πρὸς αὐτὸν, προσεχώρησεν εὐθέως. Συργιάννης δὲ ὑπερήσθη τε τῇ πρὸς αὐτὸν ἀποστασίᾳ τοῦ Σφραντζῆ, καὶ μηδὲν μελλήσας, παραλαβὼν αὐτὸν, ἀφίκετο πρὸς Κράλην, ἅμα μὲν ἐνδεικνύμενος ὡς τὰ πράγματα αὐτῷ ἐπὶ τὸ βέλτιον χωροίη, ὡς καὶ τῶν συγκλητικῶν ἤδη βασιλέως πρὸς αὐτὸν ἀφισταμένων· ἅμα δ' ἵν' ἐφελκύσηται καὶ δι' αὐτοῦ πρὸς τὸ παρεῖναι καὶ αὐτὸν πανστρατιᾷ καὶ συμμαχεῖν. ἐδεδίει γὰρ μὴ, βασιλέως ἐπελθόντος, ἀδύνατος ὢν ἀνθίστασθαι αὐτὸς, διαφθαρῇ καὶ ἀπόληται καταπολεμηθείς· καὶ ἔπεισέ γε ὑποτιθέμενος· ὡς ἂν ἐλθόντες αὐτοὶ στρατοπεδεύσωνται ἐν Θεσσαλονίκῃ, αἱ μήπω προσκεχωρηκυῖαι τῶν ἑσπερίων πόλεων ἀπογνοῦσαι τὴν ἐκ βασιλέως ἐπικουρίαν, ὁρῶσαί τε ἤδη αὐτοὺς τὰ ἔμπροσθεν αὐτῶν πολέμῳ κτωμένους, αὐτοὶ ἐναπειλημμένοι μέσοι προσχωρήσουσιν εὐθέως. [20]

1 455 καὶ παραλαβόντες αὐτὸν πανστρατιᾷ ἐλθόντες, ἐστρατοπεδεύσαντο παρὰ τὸν Ἄξιον ποταμόν. καὶ ὁ βασιλεὺς διὰ Μακεδονίας μέρος τῆς Ῥωμαίων ἐπαγόμενος στρατιᾶς, (οἱ πλείους γὰρ ἔτι

ἐν παρασκευαῖς ἦσαν διὰ τὸ ταχεῖαν γεγενῆσθαι τὴν στρατείαν,) μεταξὺ Θεσσαλονίκης καὶ Ῥεντίνης φρουρίου τινός, ὃ παρὰ τῇ Βόλβῃ λίμνῃ κεῖται ἐπὶ λόφου ἱδρυμένον, ἐστρατοπέδευσεν ἐν χωρίῳ τινὶ τῶν Κρητῶν προσαγορευομένῳ, ὅτι στρατιὰ ἐκ Κρήτης αὐτὸ κατῴκουν δι' αἰτίαν τινὰ ἐκ τῆς νήσου ἀναστάντες. ἐκεῖσε δὲ ἐστρατοπεδευμένῳ ἠγγέλλετο ὑπό τινος δρόμῳ πρὸς τὴν ἀγγελίαν ὡρμημένου, ὡς περὶ τὴν Σερμυλίων πόλιν, πάλαι μὲν ᾠκισμένην, νυνὶ δὲ ὑπό τινος ὡς ἔοικε πολέμου κατεσκαμμένην, μεταξὺ Παλλήνης καὶ Ἄθω, ἑξήκοντα προσέσχον νῆες Περσικαὶ, καὶ τὰ ἐκεῖσε χωρία πορθοῦσιν ἀποβάντες. τὸν μέγαν δὲ δομέστικον μετακαλεσάμενος ὁ βασιλεὺς, περὶ τῆς στρατιᾶς ἐπυνθάνετο τῆς ἐκεῖ ἐστρατοπεδευμένης, εἰ ἀρκοῦσα πρὸς τὴν τῶν βαρβάρων δοκοίη συμπλοκήν. ὁ δ' ἔφασκεν, ἀκριβῶς μὲν οὐδὲ αὐτὸς τὸν ἀριθμὸν εἰδέναι. διὰ γὰρ τὸ ἐγγὺς Θεσσαλονίκης ἤδη γεγενῆσθαι πολὺ προσερῥυηκέναι αὐτῇ στρατιᾶς πορισμοῦ τῶν ἐπιτηδείων ἕνεκα· παρῄνει δὲ εἰ καὶ αὐτῷ βέλτιον δοκοίη, τὴν οὖσαν παραλαβόντα στρατιὰν, τῆς πρὸς Πέρσας φερούσης ἔχεσθαι ὁδοῦ· ὡς αὐτοῦ τάχιστα ἐκ τῶν παρακειμένων χωρίων συλλέξοντος καὶ ἑτέραν ἀρκοῦσαν πρὸς τὸ ἔργον. [20]

1 456 ἐπείθετο μὲν οὖν ὁ βασιλεὺς εὐθὺς, καὶ τῆς πρὸς Πέρσας εἴχετο ὁδοῦ. ὁ δὲ ὡς μάλιστα ἐνῆν, ὀξέως ἀθροίσας στρατιὰν, συνέμιξε τῷ βασιλεῖ· καὶ μετὰ μέσην ἡμέραν καθ' ἃ οἱ Πέρσαι ἐληΐζοντο ἐγένοντο χωρία. καὶ γενομένης αὐτόθι συμβολῆς, ἐπιπολὺ μὲν ἀντέσχον οἱ Πέρσαι διὰ τὸ δυσπρόσοδα εἶναι τὰ χωρία καὶ ὑλώδη ἐφ' ἃ ἐγεγένητο ἡ μάχη· ὅπερ οὐκ ὀλίγον συνεβάλλετο στρατιᾷ τῇ Περσικῇ οὔσῃ πεζῇ. τέλος δὲ κατὰ κράτος νικηθέντες διεφθάρησαν, οἱ μὲν ἁλόντες ζῶντες, οἱ δὲ πεσόντες παρὰ τὴν μάχην· ὅσοι δὲ εἰς τὴν ὕλην ἠδυνήθησαν διαφυγεῖν, ἐς τὴν ὑστεραίαν γενόμενοι παρὰ τὰς ναῦς τὰς ἑαυτῶν, τὰς μὲν λοιπὰς ἁπάσας ἐνέπρησαν πυρί· δύο δὲ πληρώσαντες (μόνοι γὰρ τοσοῦτοι ὑπελείποντο) ἀνεχώρησαν ἐπ' οἴκου. Ῥωμαίων δὲ κατὰ τὴν μάχην ἔπεσον μὲν ὀλίγοι, τραυματίαι δὲ ἐγένοντο καὶ ἄνθρωποι καὶ ἵπποι πλεῖστοι. ἐκεῖθεν δὲ ὁ βασιλεὺς εἰσελθὼν εἰς Θεσσαλονίκην, ηὐλίσατο ἐκεῖ ἐφ' ἱκαναῖς ἡμέραις. Συργιάννης δὲ ἀπὸ τοῦ στρατοπέδου τῶν οἰκείων ἓξ παραλαβὼν καὶ Σφραντζὴν, τριάκοντα καὶ αὐτὸν ἐπαγόμενον τῶν οἰκετῶν, εἰς ποταμόν τινα οὐ τῶν ἀεννάων Γαλυκὸν ὠνομασμένον οὐ μακρὰν Θεσσαλονίκης ῥέοντα, ῥᾳστώνης ἦλθε χάριν καὶ παραψυχῆς. Σφραντζὴς δὲ αὐτὸν μόνον ἤδη ἀναπειλημμένον, καὶ τὸ μὲν συλλαμβάνειν οὐ μάλιστα ὂν εὐχερὲς, (ἐδεδίει γὰρ μὴ αἰσθήσεως γενομένης ἐν τῷ στρατοπέδῳ ἀπόλλωνται διαφθαρέντες) ῥᾷστον δὲ τὸ ἀποκτείνειν, τῶν βασιλέως παραινέσεων ἀμνημονήσας, τοῖς τε αὐτῷ συνοῦσι περὶ τοῦ ἀποκτείνειν Συργιάννην κρύφα διαλεχθεὶς καὶ πείσας, (πρότερον γὰρ οὐδέπω οὐδενὶ τὴν βουλὴν κατάδηλον ἦν πεποιηκὼς,) ἀποκτείνουσί τε αὐτὸν ἀγνοήσαντα τὴν ἐπιβουλὴν, καὶ φεύγοντες ἦκον εἰς Θεσσαλονίκην. [5]

1 457 βασιλεὺς δὲ ἐμέμψατο μὲν Σφραντζὴν τῆς μικροψυχίας· μᾶλλον γὰρ ἠβούλετο δεσμώτην ἀγαγεῖν ζῶντα Συργιάννην ἢ ἀποκτεῖναι· ἐπεὶ δὲ ἀναλῦσαι τὰ γεγενημένα οὐκ ἐνῆν, τὸν μὲν φόνον ἐλογίζετο τῇ ἀνάγκῃ τῇ ἀπὸ τῶν πραγμάτων, αὐτὸν δὲ ἠμείβετο καὶ τοὺς συνόντας τῆς τε εὐψυχίας ἕνεκα καὶ τόλμης, καὶ τοῦ σφᾶς αὐτοὺς προδήλοις κινδύνοις ἐμβαλεῖν ὑπὲρ αὐτοῦ· καὶ Σφραντζὴν μὲν τῇ τοῦ μεγάλου στρατοπεδάρχου τετίμηκεν ἀξίᾳ· προσόδους τε παρέσχεν ἐτησίους ἐκ χωρίων ἀναλόγως, καὶ τοὺς ἄλλους ἅπαντας ὡς ἕκαστοι. Κράλης δὲ ἐπεὶ ἐπύθετο πεσόντα Συργιάννην, πέμψας μὲν ἤγαγεν αὐτὸν εἰς τὸ στρατόπεδον ἐμπνέοντα ἔτι· ἀποθανόντα δὲ μετὰ μικρὸν ἐθρήνησέ τε ἐφ' ἱκανὸν ὡς ἄνδρα φίλον, καὶ ἔθαψε μεγαλοπρεπῶς. πρεσβείαν δὲ εἰς βασιλέα πέμψας, σπονδὰς ἔθετο πρὸς αὐτὸν εἰρηνικὰς καὶ συμμαχίαν, καὶ ἐς τὴν ὑστεραίαν οὐ μακρὰν Θεσσαλονίκης παρὰ τὸν Γαλυκὸν ποταμὸν συγγενόμενοι τῷ βασιλεῖ, ἀνεχώρησαν εἰς τὴν οἰκείαν. πόλεις δὲ ὅσαι πρότερον ἐγένοντο ὑπὸ Συργιάννην, πεσόντος αὐτοῦ, συγγνώμην παρασχομένου βασιλέως καὶ ἀμνηστίαν τῆς

ἀποστασίας, προσεχώρησαν ἑκοῦσαι πάλιν. ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους καὶ ὁ τῶν Οὔγκρων ἄρχων, ὃν ῥῆγα καλεῖν οἶδεν ἡ Λατίνων φωνὴ, στρατιᾷ μεγάλῃ ἐστράτευσεν ἐπὶ Κράληνν, περὶ γῆς ὅρων πρὸς αὐτὸν διενεχθείς· δείσας δὲ ὁ Κράλης μὴ ἀδύνατος εἴη ἀμύνεσθαι αὐτὸν, πρεσβείαν ὡς βασιλέα πέμψας, ᾐτεῖτο συμμαχίαν. [5]

1 458 ἡσθεὶς δὲ ὁ βασιλεὺς πρὸς τὴν πρεσβείαν, στρατιὰν ἀπολεξάμενος πολλήν τε καὶ ἀγαθὴν, ἔπεμψεν εἰς Κράληνν συμμαχίαν. ὁ ῥὴξ δὲ Οὐγκρίας, ἐπεὶ ἐγένετο ἐν μεθορίοις τῆς αὐτοῦ καὶ Τριβαλῶν ἀρχῆς, πρὶν ἐς τὴν πολεμίαν ἐσβαλεῖν, ἀνεχώρησεν εἰς τὴν οἰκείαν. λόγος δὲ ἦν ὡς πυθόμενος ἐκ βασιλέως ἥκειν συμμαχίαν ἀνεχώρησεν· εἴτε δὲ τούτου ἕνεκα εἴτε καὶ ἑτέρου τινὸς, ἔμεινεν ἐν ἀδήλῳ. καὶ ὁ Κράλης δὲ τῆς αὐτῆς ἕνεκα αἰτίας οἰόμενος ἀνακεχωρηκέναι ῥῆγα, βασιλεῖ τε ὡμολόγει χάριτας πολλὰς, καὶ τοὺς στρατηγοὺς ἅμα καὶ τὴν στρατιὰν δώροις φιλοφρονησάμενος ἀξίως, χαίροντας ἀπέστειλεν εἰς τὴν οἰκείαν. καὶ ὁ βασιλεὺς τὸ ἔτος ἐκεῖνο διεχείμασεν ἐν Θεσσαλονίκῃ. κς′. Ἅμα δὲ ἦρι ἀρχομένῳ γράμματα ἦκε βασιλεῖ ἐκ Βυζαντίου ἀγγέλλοντα, ὡς δύο τῶν παρὰ Μυσοῖς δυνατῶν, Ῥαξίνας ὁ πρωτοβεστιάριος καὶ Φίλιππος ὁ λογοθέτης, πρὸς τὴν βασιλεύουσαν αὐτῶν τοῦ Μιχαὴλ γαμετὴν, θείαν οὖσαν Κράλη τοῦ Στεφάνου, διαστασιάσαντες ἐξήλασαν τῆς ἀρχῆς· καὶ αὐτὴ μὲν φεύγουσα ἅμα τέκνοις, πρὸς Κράληνν τὸν ἀδελφιδοῦν ἥκει. [20]

1 459 ἐκεῖνοι δὲ ἅμα καὶ τοὺς ἄλλους πείσαντες δυνατοὺς τῶν Μυσῶν, τὸν ἀδελφιδοῦν τοῦ προβεβασιλευκότος Μιχαὴλ, Ἀλέξανδρον τὸν Στρεαντζιμήρου ἀπέδειξαν βασιλέα ἑαυτῶν· ὃς ἅμα τῷ ἐγκρατὴς γενέσθαι τῆς ἀρχῆς τήν τε στρατιὰν ὅση ἦν Μυσοῖς παραλαβὼν, καὶ ἐκ Σκυθῶν κατασυμμαχίαν οὐκ ὀλίγην, ταῖς πρότερον ἐπεστράτευσε πόλεσι προσχωρησάσαις βασιλεῖ· καὶ πλὴν Μεσημβρίας τὰ μὲν τῶν ἄλλων τοῖς ὅπλοις, τὰ δὲ παρεστήσατο ὁμολογίᾳ. τοιαῦτα δὲ πυθομένῳ βασιλεῖ, οὐκέτι ἀνεκτὸν ἐδόκει μένειν ἐν Θεσσαλονίκῃ· ἀλλ᾽ ἅρας ἐκεῖθεν, εἰς Βυζάντιον ἀφικνεῖται. καὶ πρῶτα μὲν Συναδηνὸν τὸν πρωτοστράτορα εἰς Μεσημβρίαν ἄρχοντα ἐκπέμπει· δείσας μὴ καὶ Μεσημβριανοὶ ἄχρις ἂν ἡ στρατιὰ ἀποσταῖεν παρασκευασθῇ. ἐκέλευέ τε εἰς Βυζάντιον ἀθροίζεσθαι τὴν στρατιάν· καὶ αὐτὸς παρεσκευάζετο ὡς τοῖς Μυσοῖς πολεμησείων. μεταξὺ δὲ παρασκευαζομένου, ἠγγέλλετο ἐκ τῆς ἕω, ὡς στρατιὰ Περσῶν εἴη παρεσκευασμένη ἐπιθέσθαι Νικομηδεῦσι. Νικομήδεια δὲ ὅπλοις μὲν ἀνάλωτος ἦν καὶ βίᾳ χειρῶν, τειχῶν τε καρτερωτάτων περιβολῇ καὶ τῇ ἄλλῃ τοῦ τόπου φύσει εὐφυῶς πρὸς ὀχυρότητα ἐχούσῃ· ἐδεδίει δὲ τὴν ἔνδειαν τὴν ἐκ τοῦ σίτου. ὃ δὴ καὶ οἱ βάρβαροι συνιδόντες, τῶν τειχῶν μὲν ἠμέλουν ὡς ἀναλώτων ἐσομένων ἐκ τειχομαχίας, τῆς παρόδου δὲ ἐσπούδαζον κρατῆσαι, δι᾽ ἧς ἐτρέφετο ἡ πόλις. καὶ ὁ βασιλεὺς δὲ ὁμοίως ὅ,τι διανοοῦνται οἱ βάρβαροι σαφῶς εἰδὼς, διὰ σπουδῆς ἁπάσης τροφὴν παρέχειν Νικομηδεῦσιν ἐπιόντων τῶν βαρβάρων ἐποιεῖτο· ὡς εἰ τοῦτο παρείη, ῥᾷστα τὴν λοιπὴν οἰσόντων πολιορκίαν. [20]

1 460 καὶ τότε οὖν πυθόμενος ἐστρατοπεδεῦσθαι τοὺς βαρβάρους παρ᾽ αὐτὴν, τῆς μὲν κατὰ τῶν Μυσῶν ἠμέλει εἰσβολῆς· στόλον δὲ ἐξαρτυσάμενος ἔκ τε τριήρεων καὶ φορτίδων νεῶν ἑτέρων, στρατιάν τε ἐνθέμενος καὶ σῖτον, ἔπλει ἐπὶ Νικομήδειαν. πρὶν δὲ κατᾶραι, οἱ βάρβαροι αἰσθόμενοι, σκηνὰς ἀναλαβόντες καὶ τὴν ἄλλην ἀποσκευὴν, ἀνεχώρουν εἰς τὴν οἰκείαν, δείσαντες τὴν βασιλέως ἔφοδον. Ὀρχάνης γὰρ αὐτῶν ὁ σατράπης ἔτι οὐ παρῆν. ἀπόβασιν δὲ ποιησάμενος ὁ βασιλεὺς καὶ Νικομηδέας λόγοις τε καὶ ἄλλαις φιλοφροσύναις ἐπιῤῥώσας, τόν τε σῖτον παρασχὼν, ηὐλίσατο ἐκεῖ ἐπὶ δυσὶν ἡμέραις. ἅμα δὲ ἕῳ εἰς τὴν τρίτην παντὶ τῷ στόλῳ ἐπανέπλεεν εἰς Κωνσταντίνου. καὶ διατρίψας ἐν αὐτῇ ἡμέρας οὐ πολλὰς, ἐπεὶ καὶ ἡ στρατιὰ πᾶσα ἤδη παρῆν, καὶ ὅσα ἔδει ἐπεπόριστο, ἅρας ἐκ Βυζαντίου, οὐ πολλαῖς ὕστερον ἡμέραις ἐσέβαλεν εἰς τὴν Μυσίαν καὶ ἐδῄωσέ τινα αὐτῆς· ὑπερβάς τε τὸν Αἶμον, τὰ μὲν ἄλλα πολίσματα ὅσα ἦν καὶ πρότερον ἔχων, παρεστήσατο ὁμολογίᾳ πάλιν· Ἀγχίαλος δὲ ἔτι ἐφρουρεῖτο παρὰ τῶν Μυσῶν. Ἀλέξανδρος γὰρ ὁ τῶν Μυσῶν βασιλεὺς, αἰσθόμενος τὴν βασιλέως εἰσβολὴν,

ἐβοήθει κατὰ τάχος πανστρατιᾷ ἄγων τοὺς Μυσούς. καὶ ἐλθὼν ἐστρατοπεδεύσατο παρὰ τὸ Ἀετὸν, οὐ πολὺ ἀπέχων βασιλέως παρὰ τὸ Ῥωσόκαστρον ἐστρατοπεδευμένου· πλὴν ὅτι στενή τις καὶ ἀπόκροτος δίοδος τὰ στρατεύματα ἀμφότερα διεῖργεν· ἣν φθάσας ὁ Ἀλέξανδρος, ἐφρούρει πεζὴν ἐπιστήσας στρατιάν. [25]

1 461 βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο Ἀλέξανδρον ἐγγὺς ἐστρατοπεδευκέναι, ἐς τὴν ὑστεραίαν ἅμα ἕῳ ἐκέλευεν ὁπλίζεσθαι τὴν στρατιάν· καὶ ἐπειδὴ ἦσαν ὡπλισμένοι, παραλαβὼν αὐτοὺς ὡς μάχην παρατεταγμένους, ἐγγὺς τῆς διόδου ἦλθεν, ἣ παρὰ Ἀλεξάνδρου ἐφρουρεῖτο, καὶ προὐκαλεῖτο ὡς ἐς μάχην τοὺς Μυσούς. προσβάλλειν γὰρ αὐτῶν τῷ στρατοπέδῳ οὐκ ἐνῆν διὰ τὴν δίοδον οὖσαν τραχεῖαν καὶ στενὴν καὶ φρουρουμένην ὑπ' αὐτῶν. διημερεύσας δὲ ἐκεῖ ἐν ὅπλοις, ἐπεὶ οὐδεὶς ἀντεπεξῄει, εἰς τὸ οἰκεῖον στρατόπεδον πάλιν ἐπανῆλθε. καὶ ὕστερον ἡμέραις οὐ πολλαῖς πάλιν ἦκεν ἄγων ὡπλισμένην τὴν στρατιὰν ἐπὶ τὴν μάχην, καὶ διημέρευσεν ὥσπερ καὶ πρότερον πρὸς τῶν στενῶν τὰς εἰσβολάς. Μυσοὶ δὲ οὐδ' οὕτως ἐτόλμησαν εἰς τὴν εὐρυχωρίαν ἐξελθόντες ἐκ τοῦ ἴσου διαγωνίσασθαι πρὸς βασιλέα. ὁ δὲ εἰς τὸ στρατόπεδον τὸ οἰκεῖον πάλιν ἐπανέζευξε καταπλήξας τῇ τόλμῃ τοὺς βαρβάρους. Ἀλέξανδρος δὲ ὁρῶν ἤδη ἀδύνατος ὢν ἐκ παρατάξεως ἀντιστῆναι βασιλεῖ, πρεσβείαν πέμψας διελέγετο περὶ εἰρήνης. ἠξίου τε ἔχοντας ἑκάτερον ἃ ἔχουσι, πολέμου ἀποσχέσθαι. βασιλεὺς δὲ οὔτε πολέμου ἔφασκεν αὐτὸς ἄρξαι, οὔτε ἀποστερῆσαί τινα τῶν Μυσοῖς διαφερόντων· ἀλλ' ἀδικούμενος ὑπ' αὐτῶν πολέμου ὑπαρχόντων, ἀμύνεσθαί τε ἀναγκαίως, καὶ τὰ ὑπ' αὐτῶν ἀφῃρημένα ἀνασώζεσθαι. ἀποστερεῖσθαι δὲ ἔτι Ἀγχιάλου, ἣν εἰ ἀπολήψεται, σπονδὰς θέσθαι ἕτοιμος εἶναι πρὸς αὐτοὺς εἰρηνικάς. καίτοι γε ἐχρῆν εἰ φιλόνεικος ἦν καὶ ἀπαραίτητος πρὸς τὰς ἀντιδόσεις, πᾶσαν ἐπιδείξασθαι σπουδὴν, ὥστε καὶ αὐτὸν ἐκ τῶν αὐτοῖς διαφερόντων τινὰ κτήσασθαι πολέμῳ. [25]

1 462 διὰ δὲ τὸ τὰ στρατεύματα ἀμφότερα τῆς αὐτῆς ἔχεσθαι θρησκείας· ἄλλως θ' ὅτι καὶ ἡ εἰρήνη παντὸς πολέμου εἶναι δοκεῖ αἱρετωτέρα, μᾶλλον αὐτὴν αἱρεῖσθαι, εἰ τὰ οἰκεῖα μόνον ἀπολήψεται. Ἀλέξανδρος δὲ ἰσχυρίζετο ἀδικεῖν οὐδὲ αὐτός· Ἀγχίαλόν τε γὰρ καὶ τὰ ἄλλα πολίσματα, ἃ ἦν ἀφῃρημένος, οὐ Ῥωμαίοις προσήκειν μᾶλλον ἢ Μυσοῖς. τοῖς γὰρ πρὸ αὐτοῦ βεβασιλευκόσιν ἐξ ἱκανοῦ εἶναι ὑποχείρια τοῦ χρόνου. διὸ καὶ μᾶλλον βασιλέα ἀδικεῖν πρὸς οἷς ἀφῄρηται ἀπαιτοῦντα καὶ Ἀγχίαλον. βασιλέως δὲ ἀποκριναμένου μὴ δεῖν τὴν ἀδικίαν ἐν δικαιώματος ποιεῖσθαι λόγῳ, μηδὲ ὅτι ἐπὶ χρόνον ἀπεστέρησαν, οἴεσθαι διὰ τοῦτο δίκαιον εἶναι καὶ διηνεκῶς ἀποστερεῖν. τὰς γὰρ τοιαύτας πόλεις οὐ μόνον ἄνωθεν ἐκ παλαιοῦ ὑπηκόους Ῥωμαίοις εἶναι, ἀλλὰ καὶ αὐτῶν τὰς πλείους ὑπ' αὐτῶν τε ἐκτίσθαι καὶ κατῳκίσθαι ἀποικίας πεπομφότων· οὔπω δὲ χθὲς καὶ πρώην ὑφ' ἑαυτοὺς πεποιῆσθαι Μυσοὺς ἐκ τῶν Σφεντισθλάβου τοῦ βασιλέως χρόνων, ὃς ἦν τὴν αὐτοῦ ἀδελφὴν γεγαμηκὼς, τοῦ πρὸς Κατελάνους καὶ Πέρσας τοῖς Ῥωμαίοις πολέμου κεκινημένου· ὃς πλεῖστα δὴ ἐκάκωσε τὰ πράγματα αὐτοῖς, δι' ὃν οὐδὲ ταῦτα ἀνασώσεσθαι ἠδυνήθησαν ἐξ αὐτῶν. νυνί τε αὐτὸν ἀδικεῖν οὐδὲν, ἀλλὰ τά τε ὄντα ἔχειν καὶ τὰ ἐλλείποντα ἀπαιτεῖν, ἃ εἰ μὲν εἰρήνης ἐπιθυμοίη ἀποδιδόναι· εἰ δὲ μὴ, ἀλλ' αὐτόν γε μὴ δύνασθαι προΐεσθαι, τρόπῳ δὲ παντὶ πειράσεσθαι διασώζειν τὴν ἀρχὴν, ὁ Ἀλέξανδρος, (ἐπεὶ ἐγγὺς ἐστρατοπεδεύοντο ἀλλήλων καὶ δι' ἐλαχίστου τὰς ἀποκρίσεις ἐποιοῦντο,) οὐκ ἔφασκε δεῖν περὶ ἀρχῆς τινα διαλεγόμενον ἀποδείξεσι χρῆσθαι καὶ λόγοις πιθανοῖς, ἀλλ' ὅπλοις καὶ χειρὶ βιαιοτέρᾳ τὰ δίκαια βραβεύειν. [5]

1 463 οἷς καὶ αὐτὸν ἐκ τοῦ ὑπερέχοντος χρώμενον νυνὶ, περὶ γῆς ὅρων διαλέγεσθαι ἀσφαλῶς· ἐγὼ δὲ παρεχώρησα ἂν καὶ Ἀγχιάλου ἐκ τοῦ ῥᾴστου, εἰ μὴ πολλὴν ἐμοί τε καὶ στρατιᾷ τὴν ἀτολμίαν καὶ τὴν μέμψιν ἐπῆγε. πρὸς γὰρ τῷ μὴ ἀντιστῆναι τολμῆσαι, μηδὲ ἐκ παρατάξεως διαγωνίσασθαι ὑμῖν, καίτοι γε ἅπαξ καὶ δὶς πρώτοις ἐπελθοῦσιν, εἰ καὶ Ἀγχιάλου ἐπ' οὐδεμιᾷ παραχωρήσομεν ἀντιδόσει, σαφέστατα δὴ ἐν πᾶσιν ἀνθρώποις ὁμολογήσομεν τὴν ἧτταν. ἀλλά

τινος ἕνεκα αἰσχύνης προκαλύμματος εἰ βούλοιτο Διάμπολιν ἀποδόντα, τὴν Ἀγχίαλον ἀπολαμβάνειν. πάντως δὲ εἰδέναι ἀκριβῶς, ὡς, ὅ φασι, χάλκεα χρυσείων ἀνταλλάττεται. τούτου δὲ γενομένου, αὐτόν τε ἔχειν ἃ συμβήσεται αἰτεῖ καὶ αὐτὸν αἰσχύνης ἀπηλλάχθαι, ἵς' ἀντ' ἴσων δοκοῦντα ἔχειν. βασιλεὺς δ' ἐπεὶ ἐδόκουν οἱ λόγοι προσηνεῖς τε εἶναι καὶ ἄξιοι παραδέχεσθαι, τοῦτο μὲν Ἀγχιάλου, Διαμπόλεως οὐδ' ὅσον εἰπεῖν διαφερούσης, τοῦτο δ' εἴτι καὶ πρόοιτο τῆς εἰρήνης ἕνεκα, οὐδεμίαν αὐτῷ μέμψιν ἂν οἰηθεὶς ἐπαγαγεῖν· ἄλλως τε καὶ σιτίων τῇ στρατιᾷ ἐπιλιπόντων, καὶ ἐνδείας οὔσης ἤδη λαμπρᾶς τῷ στρατοπέδῳ καὶ δεομένων ἢ διαγωνίζεσθαι πρὸς τοὺς πολεμίους, ἢ ἀναχωρεῖν, ὥστε καὶ αὐτὸν τὴν ἔνδειαν συνορῶντα πολλοῖς τὴν ἐς τὰ οἰκεῖα ἐπιτρέψαι ἀναχώρησιν, προσεδέξατό τε τὴν πρεσβείαν, καὶ ἐγένοντο αἱ συνθῆκαι ἐπὶ τούτοις, ὥστε Ῥωμαίους καὶ Μυσοὺς ποιήσασθαι σπονδὰς, καὶ μηδὲν ἀλλήλους ἀδικεῖν· ἀλλ' Ἀγχίαλον μὲν ἀπολαβεῖν Ῥωμαίους, ἀποδοῦναι δὲ Διάμπολιν, καὶ τοῦ λοιποῦ εἰρήνην ἄγειν ἔχοντας ἃ ἔχουσιν ἑκατέρους. [5]

1 464 τοιαῦτα μὲν ἀμφοτέροις τοῖς βασιλεῦσιν ἐγεγένηντο αἱ σπονδαὶ ἑβδόμῃ καὶ δεκάτῃ μηνὸς Ἰουλίου ἱσταμένου· καὶ οἱ ἀποληψόμενοι τὰς πόλεις καὶ τοὺς ὅρκους παρῆσαν ἑκατέροις παρ' ἀλλήλων. κζ'. Τῆς αὐτῆς δὲ νυκτὸς καθ' ἣν ἔμελλον εἰς τὴν ὑστεραίαν τελεσθήσεσθαι οἱ ὅρκοι, ἦκον πρὸς τὸν Ἀλέξανδρον κατὰ συμμαχίαν στρατιὰ ἀπὸ Σκυθῶν. ἦν γὰρ δὴ αὐτοὺς προσκεκλημένος ἐπὶ Μπελαοῦρον τὸν θεῖον, ὃς διαστασιάσας πρὸς αὐτὸν καὶ μέρος τῆς ἀρχῆς παρασπασάμενος, λυπηρὸς ἦν καὶ κακῶς ποιῶν τὴν χώραν. νομίσας δὲ εἰς δέον χρήσεσθαι τῷ καιρῷ, εἰ τούτους ἐξαπατήσας ἐπαγάγοι βασιλεῖ, τὸν θεῖον ἔλεγεν αὐτοῖς ἐγγὺς παρεῖναι, ᾧ δέον πρὶν αἰσθέσθαι ἐπελθεῖν· ἐκεῖνον δὲ μηδὲν εἰδότα τῶν γεγενημένων προθύμως καταστῆναι εἰς τὸν πόλεμον εἰκός· τούτου δὲ γενομένου, ἐκεῖνον τε διαφθαρήσεσθαι ῥᾷστα κρατηθέντα ὑφ' ἡμῶν ὄντων πολλαπλασιόνων καὶ ἡμᾶς πόνων ἀπαλλάξεσθαι μακρὰν ἀνύειν μέλλοντας ὁδόν. [20]

1 465 καὶ ἔπεισέ γε τοὺς βαρβάρους μὴ συνιδόντας τὴν ἀπάτην· βασιλεῖ γὰρ οὐκ ἂν ἐπῆλθον, εἴπερ ἔγνωσαν, διὰ τοὺς ὅρκους καὶ τὰς σπονδὰς, οὓς ἦσαν νεωστὶ πρὸς αὐτὸν πεποιημένοι. ἅμα δὲ ὄρθρῳ ὁπλισάμενοι, ἐχώρουν διὰ τῶν στενῶν ἐπὶ Ῥωμαίους. αἰσθόμενοι δὲ οἱ βασιλέως σκοποὶ, (αὐτόθι γὰρ ἦσαν τεταγμένοι,) ἀπήγγελλον τὴν ἔφοδον κατὰ τάχος· καὶ ὁ βασιλεὺς ἐκέλευεν ὁπλίζεσθαι τὴν στρατιάν. ἐπεὶ δὲ ὡπλίσαντο, ἐξῄεσαν τεταγμένοι κατὰ φάλαγγας ἓξ οὔσας πρὸς ταῖς δέκα. ἦρχε δὲ τοῦ μὲν δεξιοῦ κέρως ὁ πρωτοστράτωρ, τοῦ δὲ ἀριστεροῦ Τζαμπλάκων ὁ μέγας παπίας, τὸ μέσον δὲ αὐτὸς ἐπεῖχεν ὁ βασιλεύς. ἓξ δὲ φάλαγγες τὸ μέτωπον ἐπλήρουν ἅπαν· καὶ μετ' αὐτοὺς ἦσαν αἱ δέκα τεταγμέναι ὡς ἕκαστοι μετὰ τῶν στρατηγῶν. βασιλεὺς δὲ ἡνιᾶτο μὲν ἡπατημένος ὡς πολὺ τῆς στρατιᾶς διὰ τὴν τῶν συνθηκῶν ἐλπίδα ἐπιτρέψας. οἴκαδε ἀναχωρεῖν. ὅμως δὲ πρὸς μόνους τοὺς Μυσοὺς τὸν ἀγῶνα ἔσεσθαι νομίζων, ἐπῄει θαῤῥῶν αὐτοῖς. ἀπιοῦσι δὲ ἠκούετο σάλπιγξ ἠχοῦσα Σκυθική. ἠχεῖ γὰρ οὐ κατὰ τὰς ἄλλας, ἀλλ' ἄγριόν τι καὶ ἀπηχὲς, ὁποῖον ἱκανὸν εἶναι τοὺς βαρβάρους ἐρεθίζειν πρὸς θυμόν. διὸ καὶ γνώριμός ἐστι καὶ πόῤῥωθεν ἀκουομένη. νομίσας δὲ ὁ βασιλεὺς οὐ Σκύθας εἶναι, (οὐδὲ γὰρ ἂν ἠθετηκέναι τὰς σπονδὰς τὰς πρὸς αὐτὸν,) ἀλλὰ τοὺς πέραν Ἴστρου Γέτας, οἳ ὁμόσκευοι τοῖς Σκύθαις ὡς τὰ πολλά εἰσιν ἱπποτοξόται, κατὰ συμμαχίαν παρόντας πρὸς ἔκπληξιν τῇ Σκυθικῇ σάλπιγγι χρῆσθαι, οἷς θαῤῥοῦντα καὶ Ἀλέξανδρον προθύμως πρὸς τὸν πόλεμον χωρεῖν, ἀντεπῄει καὶ αὐτὸς θαῤῥῶν. [20]

1 466 ἐπεὶ δὲ ἐγγὺς ἀλλήλων ἦσαν ὅσον ὁρᾶσθαι, ὅ,τε ἥλιος τὸν ὁρίζοντα ὑπερβὰς, ἐνεργεστέραν ταῖς ὄψεσι τὴν δύναμιν παρεῖχε, τότ' ἤδη καθαρῶς ἐφαίνετο Σκυθικὴ εἶναι ἡ ἐπιοῦσα στρατιά· οὐ γὰρ ἦσαν τεταγμένοι μετὰ τῶν Μυσῶν, ἀλλ' ἰδίαν αὐτοὶ ἐπεῖχον τάξιν. ἐπεὶ δὲ ἐγγὺς ἦσαν ὅσον ἐμβαλεῖν, οἱ Σκύθαι τὸν μὲν βασιλέα μετὰ τῶν προτάκτων παρεξέκλιναν· ἐπὶ δὲ τοὺς ἐπιτάκτους ἐχώρουν καὶ ἐτρέψαντο ἀντισχόντας ἐπ' ὀλίγον καὶ τὴν δίωξιν ἐποιήσαντο ἄχρι

Ῥωσοκάστρου. ἐκεῖ δὲ συστραφέντες οἱ Ῥωμαῖοι, ἠμύνοντο τοὺς βαρβάρους ἔξω τῶν τειχῶν. βασιλεὺς δὲ ἅμα ταῖς προτεταγμέναις ἓξ φάλαγξι, καίτοι τῶν ὀπίσω τετραμμένων εἰς φυγὴν, οὐδὲν μᾶλλον ὑπεχώρησεν, ἀλλ' ἴη κατευθὺ Μυσῶν, καὶ συνέβαλον ὀλίγοι πρὸς πολλαπλασίους. μάχης δὲ καρτερωτάτης ἐφ' ἱκανὸν γεγενημένης, καὶ χειρὸς ἔργα καὶ τόλμης ἄξια πολλὰ τῶν Ῥωμαίων ἐπιδειξαμένων, τέλος ὑπὸ τοῦ πλήθους τῶν Μυσῶν ἐκβιαζόμενοι καὶ ἐν κινδύνῳ ἤδη καθεστῶτες, ὑπεχώρησαν ὀπίσω. βασιλεὺς δ' ἅμα τῷ μεγάλῳ δομεστίκῳ καὶ Ἀσάνῃ τῷ Μανουὴλ τῷ τῆς μεγάλου δομεστίκου γυναικὸς ἀδελφῷ, ὃς τῆς βασιλικῆς τάξεως ἦρχε, καὶ ἑτέρους ἄγων πεντήκοντα ἐκ τῶν ἐπιφανῶν λογάδας, πρῶτα μὲν ἐτρέψαντο τοὺς κατ' αὐτούς. ἔπειτα σφοδροῦ προσερῥυηκότος τοῦ πολέμου καὶ πολλῶν περιχυθέντων, οὐκ ἠδυνήθησαν τηρῆσαι τὸν συνασπισμὸν, ἀλλὰ διαλυθέντες ὡς ἠδύναντο ἕκαστος, ἀνεχώρουν, τῶν δύο μόνων ὑπολελειμμένων βασιλέως καὶ μεγάλου δομεστίκου ἐν ταὐτῷ· κἀκεῖνοι δὲ διαιρεθέντες ἐπ' ὀλίγου, πάλιν τάχιστα εἰς ἓν συνῆλθον, ὡς καὶ τὸν μέγαν δομέστικον εἰπεῖν πρὸς βασιλέα· „καιρὸς εὐψυχίας καὶ τόλμης, ὦ βασιλεῦ· χρῶ τοίνυν τῇ χειρὶ, καὶ ἄξια ἔργα ἐπιδείκνυσο σαυτοῦ. [5]

1 467 " τὸν δ' ἀποκρίνασθαι, μηδὲν ὄφελος εἶναι τῆς ἀνδρίας καὶ τῆς τόλμης τῆς αὐτοῦ, τῶν ἄλλων ἁπάντων τετραμμένων εἰς φυγήν. ὅμως βασιλεύς τε καὶ ὅσοι εἰς χεῖρας ἦλθον τοῖς Μυσοῖς, καίτοι καὶ γενομένης τῆς τροπῆς, οὐ νῶτα βάλλεσθαι παρέσχον φεύγοντες ἀμεταστρεπτί· ἀλλ' ἀμυνόμενοι καὶ περισώζοντες ἑαυτοὺς, ἦλθον ἄχρι Ῥωσοκάστρου· ἐκεῖ δὲ τῇ λοιπῇ στρατιᾷ γενόμενοι εἰς ἓν, ἠμύνοντο ὁμοῦ προθύμως πρός τε Σκύθας καὶ Μυσοὺς ἄχρι τρίτης τῆς ἡμέρας ὥρας· μηδὲν δὲ πλέον οἱ βάρβαροι δυνάμενοι ἀνύσαι, (οὐδὲ γὰρ αὐτὸς Ῥωσοκάστρου ἴσχυσαν βιάσασθαι ἐλθεῖν,) διαλυθέντες, εἰς στρατόπεδον τὸ οἰκεῖον ἐπανῆλθον. ἔπεσον δὲ παρὰ τὴν μάχην καὶ ἐζωγρήθησαν Ῥωμαίων ἀπὸ μὲν τῶν ἱππέων ἑπτὰ καὶ τριάκοντα· ὧν ἦσαν ἐξ τῆς τάξεως τῆς βασιλικῆς· πεζοὶ δὲ πέντε πρὸς τοῖς ἑξήκοντα· καὶ τούτων οἱ πλείους ἢ σύμπαντες σχεδὸν ὑπὸ τῶν Σκυθῶν ἑάλωσαν ἢ ἀπέθανον. ἀπέθανον δὲ καὶ ἀπὸ τῶν Μυσῶν ὀλίγῳ πλείους τῶν Ῥωμαίων. πλὴν ἡ νίκη φανερῶς προσεγένετο τοῖς Μυσοῖς διὰ τὸ μὴ τοὺς Ῥωμαίους ἀντισχεῖν, ἀλλὰ τραπέντας ἀτάκτως εἰς Ῥωσόκαστρον ἐλθεῖν. [25]

1 468 περὶ δὲ μεσημβρίαν τῆς αὐτῆς ἡμέρας Ἀλέξανδρος ὁ τῶν Μυσῶν βασιλεὺς τῶν παρ' αὐτῷ ἐπιφανῶν τὸν Ἰβάνην πέμψας πρὸς βασιλέα πρεσβευτὴν, ἠξίου τὰς γεγενημένας τῇ προτεραίᾳ συνθήκας ἀλύτους μένειν, καὶ πλείονος ἕνεκα φιλίας καὶ ἀσφαλείας τῆς πρὸς τὰς σπονδὰς τὴν θυγατέρα τὴν αὐτοῦ τῷ υἱῷ ἐκείνου κατεγγυῆσαι. βασιλεὺς δὲ τὸ μὲν τελεσθῆναι τὰς γεγενημένας σπονδὰς, καὶ αὐτῷ εἶναι ἀπεκρίνατο κατὰ γνώμην, ἐπεὶ καὶ πρότερον οὐ πρὸς ἀνάγκην, ἀλλὰ διὰ τὸ λυσιτελεῖν νομίζειν τὴν εἰρήνην γεγενῆσθαι· τὴν δὲ συγγένειαν μὴ βούλεσθαι· δόξαι γὰρ ἂν πᾶσι δι' ἀνάγκην ἢ φόβον τοιαῦτα πράττειν οἷα δὴ νενικημένον ὑπὸ σοῦ· καίτοι τὸ μὲν τραπῆναι συμβέβηκεν ἡμῖν μόνοις ὑπὸ πλειόνων βιασθεῖσιν. ἀποστερήσει δὲ τῶν οἰκείων οὐδὲν διενηνόχαμεν ἀλλήλων. πλείους γὰρ ἀπεβάλετε ὑμεῖς· ὅμως αὐτοῦ γε ἕνεκα τοῦ ἡσσῆσθαι δοκεῖν ἡμᾶς οὐ βούλομαι τὴν συγγένειαν ποιήσασθαι νυνὶ, ἀλλ' εἰρήνην μόνον καὶ σπονδάς· ἀναστρέψαντι δὲ εἰς τὴν οἰκείαν, πρεσβείαν περὶ τῆς ἐπιγαμίας ποιεῖσθαι καὶ σκεψαμένῳ ὅ,τι ἂν λυσιτελεῖν δοκοίη καθ' ἡσυχίαν πράττειν. Ἰβάνης μὲν οὖν ἐπανῆλθεν ὡς βασιλέα τὸν οἰκεῖον, τὰς ἀποκρίσεις τοῦ Ῥωμαίων βασιλέως ἄγων· καὶ μετὰ μικρὸν ἐπανῆλθε πάλιν ἄγων καὶ συμπρεσβευτὴν τὸν Ἀλεξάνδρου τοῦ βασιλέως θεῖον Συναδηνὸν, τὰ ἴσα πρεσβεύοντα καὶ αὖθις. περί τε τοῦ κήδους πολλὰ διαλεγόμενοι ἐπαγωγὰ, ἐξ ὧν ᾤοντο τὸν βασιλέα πεῖσαι· ὁ βασιλεὺς δὲ τοῖς προτέροις καὶ αὖθις ἐχρῆτο λόγοις· καὶ τὴν μὲν εἰρήνην ἔφασκεν αἱρεῖσθαι, καὶ θέσθαι βούλεσθαι περὶ αὐτῆς σπονδάς· τὴν συγγένειαν δὲ οὐ νυνὶ ποιήσειν, ἀλλ' ἐς ὕστερον ἢν αὐτῷ δοκῇ. [25]

1 469

ἂν μὲν οὖν καὶ αὐτοῖς τὰ τοιαῦτα κατὰ γνώμην ᾖ, διαλέγεσθαι περὶ τῶν συνθηκῶν· ἂν δ' ἕτερά τινα διανοῶνται, ἀπελθόντας παρασκευάζεσθαι καθ' ὅ,τι ἂν δοκῇ. οἱ δ' ἐπεὶ ἑώρων βασιλέα ἀμεταστρεπτὶ τῶν ἐξ ἀρχῆς ἐχόμενον λογισμῶν, τὴν μὲν συγγένειαν τὸν αὐτῶν ἔφασαν βασιλέα περὶ πλείστου ποιεῖσθαι· καὶ αὐτοῖς προστεταχέναι περὶ ἐκείνης πᾶσαν ἐπιδείξασθαι σπουδήν· ἂν δὲ μὴ προσχωροίη μηδὲ πείθοιτο ὁ βασιλεὺς, τότ' ἤδη τοὺς μὲν περὶ ἐκείνης λόγους εἰς τὸ μέλλον ὑπερθέσθαι ὡς καιρῷ τῷ προσήκοντι γενησομένους· αὐτοὺς δὲ περὶ τῆς εἰρήνης ποιεῖσθαι τὰς συνθήκας. καὶ γενομένων παρ' ἀμφοτέρων λόγων οὐ πολλῶν, συνέβησάν τε καὶ τὰς σπονδὰς ἐποιήσαντο αὐθήμερον· καὶ ὅρκους ἐποιήσαντο ἐπ' αὐταῖς οἱ βασιλεῖς κατὰ τὸ ἔθος· καὶ τοὺς περιόντας τῶν Ῥωμαίων δοριαλώτους ἔλυσαν ἄνευ λύτρων· οὕτω γὰρ ἦν ἐν ταῖς συνθήκαις εἰρημένον· εἰς τὴν ὑστεραίαν τε γενόμενοι ἐν ταὐτῷ, συνηρίστησάν τε ἀλλήλοις καὶ συνδιέτριψαν διὰ πάσης τῆς ἡμέρας περὶ τῶν γεγενημένων τῇ προτεραίᾳ κατὰ τὴν μάχην ὁμιλοῦντες. ἔκπληξις γὰρ εἶχεν Ἀλέξανδρόν τε καὶ Μυσοὺς τῆς Ῥωμαίων τόλμης καὶ τῆς εὐψυχίας, ὅτι ὀλίγοι πρὸς πολλαπλασίους ἀγωνιζόμενοι, καὶ τῶν μετ' αὐτοὺς τεταγμένων ἡττημένων ἤδη λαμπρῶς, οὐδὲν μᾶλλον ὑφῆκαν τῆς ἀνδρίας καὶ τῆς τόλμης, ἀλλ' ὥσπερ μηδενὸς καινοῦ γεγονότος, ἀτρέπτῳ φρονήματι συνέβαλον τοῖς πολεμίοις· καὶ βιασθέντες ὑπὸ τοῦ πλήθους μετὰ ταῦτα ἐπεὶ ἀνεχώρουν, οὐ πρὸς φυγὴν παντάπασιν ἀπεῖδον, ἀλλ' ἠμύνοντο ἀπιόντες, ὅπερ καὶ μάλιστα διέσωσεν αὐτούς. [5]

1 470 διεβεβαιοῦτό τε Ἀλέξανδρος καὶ ὅρκους προστιθεὶς, ὡς εἰ χρόνον τινὰ ἔτι ἐνέμειναν μικρὸν ἐπὶ τοῦ σχήματος, καὶ μὴ ἐγένετο ἡ τροπὴ, οὐκ ἂν ὑπέμειναν αὐτοὶ, ἀλλ' ᾤχοντο φεύγοντες, ἐκπεπληγμένοι τὴν τόλμαν αὐτῶν καὶ τὴν καρτερίαν καὶ μάλιστα βασιλέως. τοιαῦτα καὶ ἕτερ' ἄττα διὰ πάσης τῆς ἡμέρας ὁμιλήσαντες, πρὸς ἑσπέραν συνταξάμενοι ἀλλήλοις, Ἀλέξανδρος μὲν ἐπανέζευξεν εἰς τὴν οἰκείαν, βασιλεὺς δὲ Ῥωσοκάστρῳ ἡμέρας ἐνδιατρίψας οὐ πολλὰς, ἄρας ἐκεῖθεν ἦλθεν εἰς Διδυμότειχον, καὶ διέλυσε τὴν στρατιάν. κη'. Καὶ μετὰ πεντεκαιδεκάτην ἡμέραν ἠγγέλλετο αὐτῷ ὡς ὁ Σμύρνης καὶ Ἐφέσου καὶ ἄλλων τῶν κατὰ τὴν Ἰωνίαν πόλεων σατράπης Ἀμοὺρ, πέντε ἄγων καὶ ἑβδομήκοντα στόλον νεῶν, τὸν Αἰγαῖον διαβαλὼν Σαμοθράκῃ προσέσχε πρῶτον· κἀκεῖθεν πρὸς τὴν ἀντιπέρας ἤπειρον περαιωθεὶς, τὰ ἐκεῖ παράλια τῆς Θρᾴκης παραπλεῖ, ἄδηλος ὢν ὅποι ἀποβήσεται. αὐτίκα τε ἐκ τῶν παρόντων ὅσους ἐνῆν συναγαγὼν, πρὸς τὰ παράλια ἐχώρει τῆς Θρᾴκης ὡς τῷ Περσικῷ στόλῳ κώλυμα ἐσόμενος τοῦ μὴ ἀποβάντας κακοῦν τὴν χώραν. συμβέβηκε δὲ βασιλέα τε κατὰ τὰ Κουμουτζηνὰ πόλισμα τῆς Θρᾴκης οὐ πολὺ ἀπῳκισμένον τῆς θαλάσσης αὐλίσασθαι τὴν νύκτα, καὶ Ἀμοὺρ κατὰ τὴν Πορορῦν παράλιον τῆς Θρᾴκης χώραν καταντικρὺ Κουμουτζηνῶν τὴν ἀπόβασιν ποιήσασθαι· ἐξελθόντα τε αὐτὸν πανστρατιᾷ ὡς ἐπὶ λείαν, καὶ βασιλέα ἐπὶ τὸ κωλῦσαι προελθεῖν, συντυχεῖν ἀλλήλοις κατά τι χωρίον ὠνομασμένον Παναγίαν. [25]

1 471 Ὃ ὕπτιον μὲν ἦν καὶ ὁμαλὸν, καὶ μάλιστα ἐπικαιρότατον ἱππεῦσι πρὸς πεζοὺς διαγωνίζεσθαι, καὶ διὰ τοῦτο βασιλεῖ παρεῖχε προθυμίαν συμπλέκεσθαι τοῖς βαρβάροις. ἀπέτρεπε δὲ αὖθις τὸ πλῆθος τῶν Περσῶν, οὐ τρὶς καὶ τετράκις, οὐδὲ δεκάκις, ἀλλὰ καὶ πλεονάκις τοσούτων ὄντων ἢ ὅσους ἦγεν αὐτὸς, καὶ διὰ τοῦτο οὔτε ἀφίστασθαι αὐτῶν ἠδύνατο ὁρῶν οὐκ ἀνέλπιστον τὴν ἐπιχείρησιν αὐτῶν· τό, τε συμπλέκεσθαι ἐποιεῖτο ἐν δεινῷ, εἰ ὀλίγους ἄγων πρὸς τοσούτους διακινδυνεύσοι. ἐλπίζων δὲ ἀφίξεσθαι καὶ ἄλλην στρατιὰν, ἣ ἦν προστεταγμένη πρὸς αὐτὸν ἐλθεῖν, περιέμενεν ἐκεῖ, ὡς εἰ ἀφίξοιτο τοῖς βαρβάροις συμβαλών. οὕτω γὰρ ὅ,τε μέγας δομέστικος καὶ ὁ τούτου πενθερὸς Ἀσάνης συνεβούλευεν ἐκεῖ παρών. οἵ τε βάρβαροι τῇ φύσει μὲν τοῦ τόπου οὐκ ἐθάῤῥουν διὰ τὸ μηδεμίαν εἶναι ἀναχώρησιν πρός τι καρτερὸν, εἰ βιάζοιντο ὑπὸ τῶν ἱππέων· τῷ πλήθει δὲ ὁρῶντες ἑαυτοὺς ὑπερέχοντας πολὺ τῶν πολεμίων, ἐκαρτέρουν, μήτε ἄρχοντες αὐτοὶ πολέμου, μήτε ἀναχωροῦντες, ἵνα μὴ θάρσος παρέχωσι Ῥωμαίοις ἐπιφέρεσθαι αὐτοῖς. οὕτω μὲν οὖν ἀμφότερα τὰ στρατεύματα εἱστήκει ἀλλήλοις

ἀντιπαρατεταγμένοι, γνώμην ἔχοντες ἑκάτεροι μὴ προεπιχειρεῖν, ἀλλ᾽ ἀμύνεσθαι τοὺς ἐπιόντας. ἐπεὶ δὲ ἤδη περὶ δείλην ἡ ἡμέρα ἦν, οἱ βάρβαροι πρότερον Ἑλληνιστὶ πρὸς Ῥωμαίους εἶπον, ὡς οὐ δέον ἀργοὺς οὕτω διὰ πάσης ἑστάναι τῆς ἡμέρας· ἀλλ᾽ ἢ μάχην συνάπτειν, ἢ ἀναχωρεῖν σπονδὰς θεμένους. [25]

1 472 μηδὲν δὲ ἀποκριναμένων τῶν Ῥωμαίων, οἱ βάρβαροι μικρὸν διαλιπόντες, ἐπυνθάνοντο πάλιν, ὅθεν εἴη τε ἡ στρατιὰ καὶ τίς ὁ ἐξηγούμενος αὐτῆς. κελεύσαντος δὲ βασιλέως, ἀπεκρίναντο, τὴν μὲν στρατιὰν ἐκ τῶν παρακειμένων πόλεων ἐγχωρίων εἶναι συνειλεγμένην· στρατηγεῖν δὲ αὐτῆς τὸν ἐκ βασιλέως ἐπιτετραμμένον τὴν τῶν πόλεων ἡγεμονίαν. αὐτοὶ δὲ τὸν μὲν στρατηγὸν ἀπεκρίναντο οὐκ ἀγνοεῖν, ἀλλὰ σαφῶς εἰδέναι ὅστις εἴη· μηνύειν τε αὐτῷ τὸν αὐτῶν σατράπην Ἀμοὺρ, ὡς αὐτοὶ μὲν ἥκοιεν κέρδους ἕνεκα ἐνταῦθα, οἰόμενοι κώλυμα οὐδὲν ἔσεσθαι αὐτοῖς πρὸς τὴν ὁρμήν. ὑμῶν δὲ ἐμποδὼν γεγενημένων, διὰ πάσης μὲν ἡμέρας ἑστάναι ἐνταυθοῖ, ἔργῳ δεικνύντας, ὡς οὐκ ὀρρωδοῦμεν τὴν μάχην τὴν πρὸς ὑμᾶς, ἀλλ᾽ οὕτω παρεσκευάσμεθα, ὡς διαγωνιούμενοι ὑμῖν, ἂν πρῶτοι ἄρχητε πολέμου· κλινούσης δὲ ἤδη τῆς ἡμέρας, καιρὸν εἶναι πρὸς τὰς ναῦς καὶ τὸ στρατόπεδον ἀναχωρεῖν· κἂν μὲν καὶ ὑμῖν δοκοίη βέλτιον ἀποσχέσθαι μάχης, ἀγαπήσειν καὶ αὐτοὺς, ἂν δ᾽ ἐθέλητε συμπλέκεσθαι, ἀμυνεῖσθαι καὶ αὐτοὺς τὰ δυνατά. τοιαῦτα εἰπόντες, ἀναστρέψαντες ᾖεσαν τεταγμένοι πρὸς τὰς ναῦς· βασιλεῖ δὲ καὶ τοῖς συνοῦσιν ἀρκεῖν ἐδόκει τὸ φθορᾶς τοσαύτης τὴν χώραν ἀπαλλάττειν καὶ μὴ διὰ φιλονεικίαν ἑαυτοὺς εἰς κίνδυνον ἐμβάλλειν, ὀλίγους συμπλεκομένους πρὸς πολλούς. ἀλλ᾽ ἐπεὶ κεναῖς χερσὶν οἱ βάρβαροι ἀπήλλαξαν καὶ τῶν ἰδίων τινὰς ἀποβαλόντες, (τινὰς γὰρ αὐτῶν ἀπέκτειναν οἱ Ῥωμαῖοι, περί τι χωρίον ἐσκεδασμένοις ἐντυχόντες,) ἀγαπᾷν καὶ αὐτοὺς ἀναιμωτὶ τὴν νίκην καρπουμένους. [25]

1 473 διὸ καὶ ὥσπερ ἀπὸ συνθήκης ἀπέσχοντο τῆς μάχης. καὶ Ἀμούρπεκις μὲν ταῖς ναυσὶν ἐμβὰς, ἀπέπλει πρὸς Ἀσίαν· βασιλεὺς δὲ εἰς Διδυμότειχον ἐπανῆκε, καὶ διήγαγεν ἐνιαυτὸν, μήτε ἀπὸ τῶν ἑσπερίων μήτε τῶν ἑῴων βαρβάρων πόλεμον μηδένα ἔχων. μετὰ δὲ τοῦτο μηνὶ Φεβρουαρίῳ ἰνδικτιῶνι πέμπτῃ ἐπὶ δέκα, ἔτει τεσσαρακοστῷ ἐπὶ ὀκτακοσίοις καὶ ἑξακισχιλίοις, Ἀντώνιος ἐτελεύτησεν ὁ βασιλεὺς, δύο καὶ ἑβδομήκοντα ἔτη γεγονώς. καὶ μετὰ ἥμισυν καὶ ἕνα ἐνιαυτὸν ἀπὸ τῆς βασιλέως τελευτῆς ἡ Ἀνδρονίκου τοῦ βασιλέως μήτηρ βασιλὶς ἡ Ξένη ἐτελεύτησεν. ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους μετὰ μικρὸν καὶ ὁ Θετταλίας δεσπόζων τῆς ὁμόρου τῇ Βοτιαίᾳ Γαβριηλόπουλος Στέφανος ὁ σεβαστοκράτωρ ἐτεθνήκει. Θεσσαλονίκης δὲ ἐπιτροπεύων ἐν τῷ τότε ὕπαρχος ὁ Μονομάχος, συνέσει τε ἀγαθὸς καὶ πράγμασιν εἰδὼς χρῆσθαι, τά τε κατὰ τὰς στρατείας ἐξησκημένος καὶ στρατηγεῖν ἱκανὸς, συνιδὼν καιρὸν εἶναι ἐπιθέσθαι Θετταλίᾳ, ὡς ἂν ὑπαγάγοι βασιλεῖ, στρατιὰν ὅσην ἐνῆν ἀθροίσας ἐκ Θεσσαλονίκης, ἐσέβαλεν εἰς αὐτὴν, οὖσαν τεταραγμένην διὰ τὴν τοῦ δεσπόζοντος τελευτήν. καὶ εἶλε τόν τε Γόλον καὶ Καστρὶν καὶ Λυκόστομον πολίσματα αὐτῆς. [20]

1 474 Σταγοὺς δὲ καὶ Τρίκαλα καὶ Φανάριον καὶ Δαμάσιν καὶ Ἐλασῶνα, ἃ ὑπὸ Γαβριηλόπουλον ἐτέλουν, καὶ ἕτερα φρούριά τινα ὁ τῆς Ἀκαρνανίας ἄρχων ὁ δεσπότης Ἰωάννης ὁ δοὺξ φθάσας παρεστήσατο ὁμολογίᾳ. καὶ κατασχὼν φρουραῖς, ἐπανῆλθεν εἰς Ἀκαρνανίαν. βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο τὰ κατὰ Θετταλίαν, ἔγνω δεῖν ἐκεῖ παραγενέσθαι. καὶ ὀλίγῳ ὕστερον ἐλθὼν, εἶλε πάντα ὅσα ὑπεποιήσατο ὁ δούξ. καὶ τοὺς φρουροὺς ἐκβαλὼν, ἠδίκησεν οὐδέν· ἀλλ᾽ εὖ ποιήσας, ἀπέπεμψεν εἰς τὴν οἰκείαν. διατρίβοντα δὲ ἐν Θετταλίᾳ βασιλέα οἱ τὰ ὀρεινὰ τῆς Θετταλίας νεμόμενοι Ἀλβανοὶ ἀβασίλευτοι Μαλακάσιοι καὶ Μπούϊοι καὶ Μεσαρίται ἀπὸ τῶν φυλάρχων προσαγορευόμενοι, περὶ δισχιλίους καὶ μυρίους ὄντες, προσεκύνησαν ἐλθόντες καὶ ὑπέσχοντο δουλεύσειν. ἐδεδοίκεσαν γὰρ μὴ, χειμῶνος ἐπελθόντος, διαφθαρῶσιν ὑπὸ τῶν Ῥωμαίων, ἅτε πόλιν οἰκοῦντες οὐδεμίαν, ἀλλ᾽ ὄρεσιν ἐνδιατρίβοντες καὶ χωρίοις δυσπροσόδοις, ὧν ἀναχωροῦντες τοῦ χειμῶνος διὰ τὸ κρύος καὶ τὴν χιόνα, ἄπιστόν τινα ἐν τοῖς ὄρεσιν ἐκείνοις

νιφομένην, εὐεπιχείρητοι ἔσεσθαι ἐδόκουν. βασιλεὺς δὲ ἐκεῖθεν ἀναζεύξας ἦλθεν εἰς Θεσσαλονίκην. καὶ μετ᾽ οὐ πολλὰς ἡμέρας πρεσβείαν πρὸς αὐτὸν ὁ Κράλης πεπομφὼς, ἠξίου καθ᾽ ὃν ἂν δοκοίη τόπον γενομένους ἐν ταὐτῷ φιλίας ἕνεκα, ἀλλήλοις τε συνησθῆναι καὶ ὁμιλίας τῆς ἀλλήλων καὶ συντυχίας ἀπολαῦσαι. ἐπεὶ δὲ καὶ βασιλεῖ τοῦτο ἐδόκει κατὰ γνώμην καὶ ἐπένευε πρὸς τὴν ἀξίωσιν, συνέθεντο μετὰ τῶν πρέσβεων ἐν Βαϊμὶ τὴν ἕνωσιν γενέσθαι χωρίῳ Μακεδονικῷ. [20]

1 475 ὁ Κράλης μὲν οὖν, ἐπεὶ ἐπύθετο τὸ σύνθημα, ἐκ τῆς οἰκείας ὁρμηθεὶς πρὸς τὸ συντεθειμένον χωρίον ᾔει· βασιλεὺς δ᾽ ὥσπερ ἔκπληξίν τινα βουληθεὶς τῷ Κράλῃ ἐμποιῆσαι ἢ μᾶλλον ἀδόλου καὶ καθαρᾶς φιλίας πίστεις παρασχεῖν, τὸ μετὰ παρασκευῆς καὶ ἀντιῤῥόπου στρατιᾶς εἰς τὸν ὡρισμένον τόπον ἐλθεῖν καταλιπὼν, τριακοσίους τῶν ἰδίων ἀπολεξάμενος, καὶ ἐκ τῶν ἐπιφανῶν τινας ὀλίγους χωρὶς τῶν πρὸς ὑπηρεσίας τεταγμένων, ἔτι περὶ μέσην τὴν οἰκείαν διατρίβοντι τῷ Κράλῃ κατὰ τὸ Ῥαδοβόσδιον προσαγορευόμενον, ἠγγέλλετο ὁ βασιλεὺς ἐξαίφνης προσιών. πρῶτα μὲν οὖν ἐθορυβήθη δείσας τὴν βασιλέως ἔφοδον, μὴ οὐ κατὰ φιλίαν εἴη. ὡς δὲ ἐπύθετο τὸν ἀριθμὸν τῶν ἑπομένων καὶ τὴν γνώμην βασιλέως ἣν ἔχων μετὰ τοσούτων ἥκει, ὑπερηγάσθη τε τὸν βασιλέα τῆς ἀδόλου γνώμης καὶ τῆς πρὸς τοὺς φίλους ἐλευθερίας, καὶ συνήδετο ἑαυτῷ τοιοῦτον κτησαμένῳ φίλον. εἰστίασέ τε αὐτὸν φιλοτίμως μάλα καὶ βασιλικῶς, καὶ παρακατέσχεν ἑαυτῷ ἐφ᾽ ἡμέραις ἑπτά. πολλήν τε ἐπιδειξάμενος φιλοφροσύνην καὶ μετρίως ἐς τὰ μάλιστα καὶ οἷα δεσπότῃ προσενεχθεὶς τῷ βασιλεῖ, μετὰ τὴν ἑβδόμην αὐτὸς μὲν ὑπελείπετο εἰς τὴν οἰκείαν, βασιλέα δὲ χαίρων χαίροντα οἴκαδε ἀπέπεμπε. κατὰ ταύτην δὲ τὴν συντυχίαν καὶ μεγάλῳ δομεστίκῳ ἐγένετο πρὸς Κράλην φιλία ἰσχυρὰ πεῖραν ἑαυτοῦ παρασχομένῳ. κθ′. [25]

1 476 Βασιλεὺς δὲ ἐκεῖθεν εἰς Θεσσαλονίκην ἐλθὼν καὶ οὐ πολὺ ἐνδιατρίψας, ἦκεν εἰς Βυζάντιον. καὶ οὐ πολλαῖς ἡμέραις ὕστερον ἠγγέλλετο, ὡς Δομένικος ὁ Ἀνδρέου τοῦ Κατάνια, ὃς τῆς νέας Φωκαίας ἦρχε, βασιλέως παραδόντος κατὰ χάριν, τοῦ πατρὸς αὐτῷ ἀποθανόντος, κληρονόμος τῆς οὐσίας καταστὰς, (πλούσιος δὲ ἦν,) τοῖς χρήμασι φυσηθεὶς, Λέσβον διανοηθείη Ῥωμαίων ἀφελόμενος, ἰδίαν ἑαυτῷ περιποιήσασθαι ἡγεμονίαν, μίαν καὶ δέκα ἐκ Γενούας οἰκείοις χρήμασι πληρώσας τριήρεις καὶ ἐκ Σικελίας μίαν προσεταιρισάμενος Δηλίους τε πείσας πέντε παρασχεῖν, ἀκηρύκτως ἐπέπλευσε Λεσβίοις. καὶ Μιτυληναίους μὲν εἶλε τειχομαχίᾳ, ἀπαρασκεύοις προσπεσὼν καὶ καταπλήξας τῷ ἀπροσδοκήτῳ· ἐκράτησε δὲ καὶ τῶν ἄλλων φρουρίων συμπάντων ὅσα ἦν κατὰ τὴν νῆσον· Ἐρεσσοῦ δὲ καὶ Μηθίμνης ἀπεπείρασαν μὲν, ἥττους δὲ ὀφθέντες τῶν τειχῶν ἀπέσχοντο, καὶ νῦν ταῦτα μόνα τὴν πρὸς βασιλέα εὔνοιαν καὶ δουλείαν ἀποσώζει. τοιαῦτα περὶ Λέσβου πυθόμενος ὁ βασιλεὺς, Λατίνοις μὲν τοῖς κατὰ Γαλατᾶν ἀποίκοις οὖσι Γενουϊτῶν πολλὴν ὠνείδισε τὴν πονηρίαν καὶ τὴν νεωτεροποιΐαν, καὶ διεμαρτύρατο ὅτι παρὰ τὰ συγκείμενα Ῥωμαίοις καὶ αὐτῶν τῇ βουλῇ καὶ τῷ δήμῳ οἰκείᾳ χρώμενοι μοχθηρίᾳ καὶ πανουργίᾳ πράττουσιν, ἐξ ὧν οὐ ζημίας μόνον, ἀλλὰ καὶ πόνους καὶ κινδύνους τοῖς Ῥωμαίων βασιλεῦσι προξενοῦσιν. οἷς οὐδὲ αὐτοὶ εἶχον ἀντειπεῖν ὡς δικαίως οὐ κατηγοροῦνται. αὐτὸς δὲ ἐν ἡμέραις εἴκοσι ταῖς πάσαις τεττάρων καὶ ὀγδοήκοντα νεῶν στόλον ἐξηρτύετο, ὧν ἦσαν αἱ τέτταρες καὶ τετταράκοντα διήρεις καὶ τριήρεις· αἱ λοιπαὶ δὲ μονήρεις ἦσαν. [20]

1 477 εἵποντο δὲ καὶ νῆες φορτηγοὶ ἄγουσαί τε στρατιώτας πεζομάχους καὶ σῖτον καὶ τὰ ἄλλα ἐπιτήδεια τῇ στρατιᾷ. καὶ ἐπεὶ πάντα παρεσκευασμένα ἦν καὶ οὐδὲν ἐνέδει ἔτι, ἅπαντες ἐκ Βυζαντίου ἔπλεον ἐπὶ Λέσβον. γενομένοις δὲ αὐτοῖς κατὰ τὴν Καλλιούπολιν τὴν πρὸς Ἑλλήσποντον, οἱ ἀπὸ τῆς Λέσβου τῶν Λατίνων σκοποὶ οἳ παρῆσαν αὐτόθι μακρᾷ νηΐ ταχυναυτούσῃ, φυλάσσοντες τὴν βασιλέως ἔφοδον, πρότεροι ἐλθόντες διά τε ταχυτῆτα τῆς νηὸς καὶ τὸ μάλιστα ἐπισπεύδειν τὸν πλοῦν, ἐμήνυον βασιλέως τὸν ἐπίπλουν ὡς οὐ πολὺ

ὕστερον ἐσόμενον. ἐκείνοις δὲ τὸ πλῆθος μὴ εἰδόσι τῶν βασιλικῶν νεῶν, ἐδόκει μαχητέα πρὸς βασιλέα εἶναι· καὶ παρεσκευάζοντο ὡς ναυμαχήσοντες. οἱ Δήλιοι δὲ ὁρῶντες αὐτοὺς παρασκευαζομένους, ναυάρχῳ τῷ σφετέρῳ τὴν γνώμην κατάδηλον ἐποίουν, φάσκοντες ὡς πᾶσι μᾶλλον ἀνθρώποις ἢ βασιλεῖ τῷ Ῥωμαίων ὅπλα ἀνταίρειν εἶεν δυνατοί. οὗ δὴ ἕνεκα καὶ πρὶν καταστῆναι ἐς τὴν μάχην, φανερὰν αὐτῷ τὴν βουλὴν ποιεῖν, ὅπως τάχιστα τὰ δέοντα βουλεύσηται καὶ μὴ ἀναγκασθῇ φεύγειν αἰσχρῶς καὶ ἀγεννῶς, μήτε ὅπλα ἀνταιρόντων αὐτῶν μήτε ἀμυνομένων. ὁ δὲ αὐτοὺς μὲν τῆς ἀληθείας ἕνεκα ἐπῄνεσε καὶ χάριν ὡμολόγησε πολλήν. Δομενίκῳ δὲ τῷ παντὸς ἄρχοντι τοῦ στόλου, καὶ τοῖς ἄλλοις ναυάρχοις τῶν Λατίνων προσελθὼν, οὐκ ἔφασκε δεόντως βεβουλεῦσθαι πρὶν ἀκριβῶς ἐκμαθεῖν ὁπόσας ἄγοι τριήρεις ὁ βασιλεὺς, ἀπερισκέπτως πρὸς τὴν ναυμαχίαν οὕτω καὶ θρασέως χωρεῖν. [20]

1 478 ἐὰν γὰρ συμβαίη ἡττηθῆναι, οὐδὲν ἄλλο λείπεται ἢ παντάπασι διαφθαρῆναι, πάντων τῶν ἐνθάδε πολεμίων ὄντων καὶ συνεπιθησομένων. οὗ δὴ ἕνεκα ἐχρῆν πρότερον τὴν δύναμιν βασιλέως ἐρευνᾷν ὁπόσην ἄγει. κἂν μὲν οἷοί τε ἦτε διαναυμαχεῖν, ἂν δὲ μὴ, καταφυγήν τινα ὅπη σωθήσεσθε ζητεῖν. ἐγὼ δὲ προθύμως μὲν ἂν πρὸς τὴν ναυμαχίαν συνηγωνισάμην παρὼν ὑμῖν· Δηλίους δὲ οὐδέν ἐστι τὸ πεῖσον ὅπλα ἀνταίρειν βασιλεῖ, ἀλλὰ πάντα μᾶλλον αἱρετέα, ἢ πρὸς βασιλέα αὐτοῖς πολεμητέα εἶναι λέγουσι. βιάζεσθαι μὲν οὖν οὐκ ἔξεστιν αὐτοὺς πάντας ἐπίσης τὴν ὁμοίαν γνώμην ἔχοντας. ἔδοξε δέ μοι βέλτιον σκεψαμένῳ, πρὶν βασιλέα ἥκειν, ἀναχωρεῖν. ἐὰν γὰρ ὀφθέντος φεύγωμεν, αἰσχύνην οὐ τὴν τυχοῦσαν προστριψόμεθα Σπιταλιώταις. μελήσει δὲ ὑμῖν ὅπως ἂν βέλτιστα διάθησθε τὰ καθ’ αὑτούς. ὁ μὲν οὖν τῶν Δηλίων ναύαρχος τοιαῦτα εἰπὼν καὶ συνταξάμενος αὐτοῖς, ἀπέπλευσεν εἰς Δῆλον. Δομενίκῳ δὲ καὶ τοῖς ἄλλοις τοῖς ὑπολειφθεῖσιν οὐκέτι ἐδόκει ναυμαχεῖν· ἀλλὰ πέντε μὲν τῶν τριήρεων ἔπεμψαν εἰς Καλλονὴν φρούριόν τι κατὰ τὴν Λέσβον ἐπὶ τῷ σῖτόν τε εἰσαγαγεῖν καὶ φρουράν· ἐδεδίεσαν γὰρ περὶ αὐτοῦ μὴ ὑπὸ βασιλέως ἐξ ἐπιδρομῆς ἁλῷ· αὐτοὶ δὲ ταῖς λοιπαῖς ἐφρούρουν Μιτυλήνην. [20]

1 479 βασιλεὺς δὲ ἅμα παντὶ τῷ στόλῳ ἦλθεν εἰς Ἐρεσσόν· ἐπαινέσας δὲ Ἐρεσσίους τῆς εἰς αὐτὸν εὐνοίας ἕνεκα, καὶ προνοίας ὅσης ἐδέοντο ἀξιώσας, ἄρας ἐκεῖθεν ἔπλει ἐπὶ Χίον. ἀπὸ σκοπιᾶς δέ τις μεγαβοῶν ἐπυνθάνετο περὶ στόλου ὅτων εἴη. ἀποκριναμένων δὲ, ὡς εἴη βασιλέως, αὐτός τε πάρεστιν ὁ βασιλεύς. „αἱ δὲ ἐν τῷ κόλπῳ τῆς Καλλονῆσ“ ἔφη „τριήρεις τίνος;“ ἐκ τοῦ λόγου δὲ συνεὶς ὁ βασιλεὺς ἐκ τῶν εἰς Μιτυλήνην οὐσῶν εἶναι φρουρούσας Καλλονὴν, ἀναστρέψας ἤλαυνεν ἐπ’ ἐκείνους. ἤδη δὲ ἐπελάβετο ἡ νύξ. Λατῖνοι δὲ ὡς εἶδον βασιλέα προσελαύνοντα, τό,τε φεύγειν ἄπορον ὁρῶντες, καὶ τὸ διαγωνίζεσθαι ἀδύνατον, ἐξῶσαν εἰς τὴν γῆν τὰς ναῦς, καὶ αὐτοὶ κατεκρύβησαν ὑπὸ τὴν ὕλην, συνηρεφοῦς τοῦ τόπου πεφυκότος, ἅμα δὲ συνεργοῦντος καὶ τοῦ σκότους. καὶ τὰς μὲν τριήρεις εἵλκυσαν κενὰς οἱ βασιλικοί. ἀποβάντες τε καὶ διερευνησάμενοι τὴν λόχμην, ὑπὲρ ἡμίσεις αὐτῶν τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ καὶ εἷλον ζῶντας. ὅσοι δὲ ὑπὸ σκότος ἠδυνήθησαν διαφυγεῖν, εἰς Μιτυλήνην διεσώθησαν πρὸς τοὺς οἰκείους. βασιλεὺς δὲ ἐκεῖ πιγκέρνην τὸν Φιλανθρωπηνὸν καταλιπὼν ἅμα στρατιᾷ πεζῇ τε καὶ ἱππικῇ τὴν Μιτυλήνην πολιορκεῖν, ἀπέπλευσεν εἰς Φώκαιαν, ἧς ἦρχε τῷ τότε Ντουνάρδος. οἱ μὲν οὖν εἰς Λέσβον καταλειφθέντες τὰ μὲν λοιπὰ φρούρια πάντα παρεστήσαντο ὁμολογίᾳ, Μιτυλήνην δὲ ναυσί τε καὶ πεζῷ περικαθήμενοι ἐπολιόρκουν. βασιλεὺς δὲ πρεσβείαν πρὸς Σαρχάνην πέμψας, ὃς ἦρχε τῆς ἔω τῆς κατὰ τὴν Φώκαιαν, σπονδὰς ἔθετο πρὸς αὐτὸν καὶ συμμαχίαν, ὥστε Σαρχάνην μὲν ἐπικουρίαν βασιλεῖ παρασχεῖν πεζήν τε καὶ ναυτικὴν πρὸς τὴν τῆς Φωκαίας καὶ Μιτυλήνης πολιορκίαν, βασιλέα δὲ τὸν παῖδα Σαρχάνη Σουλιμὰν καὶ τοὺς λοιποὺς παῖδας τῶν Περσῶν, οἳ κατὰ Φώκαιαν ἐν προσχήματι ὁμήρων ἐφρουροῦντο, ἐλευθεροῦν. [5]

1 480

οἱ γὰρ εἰς Φώκαιαν ἐκ Γεννούας Λατῖνοι δόλῳ Σουλιμὰν τὸν παῖδα Σαρχάνη καὶ τέτταρας καὶ εἴκοσιν ἑτέρους τῶν παρὰ Πέρσαις εὐγενῶν κρατήσαντες παῖδας, ἔφασαν οὐκ ἐπὶ δουλείᾳ κεκρατηκέναι, ἀλλ᾽ ὥστε ὁμήρους ἔχειν βεβαίας ἕνεκα εἰρήνης. Σαρχάνης δὲ μὴ ἔχων ὅ,τι δρᾷν, ἠσπάζετο καὶ ἄκων τὴν εἰρήνην διὰ τὸ πρὸς τοὺς παῖδας φίλτρον. τότε δὲ ἐπαγγειλαμένου βασιλέως ἐλευθεροῦν, ἂν συναγωνίσηται προθύμως πρὸς τὸν πόλεμον τὸν κατὰ τῶν Λατίνων, ἐλπίδι τῆς τῶν παίδων ἐλευθερίας συνήρατο πρὸς τὸν πόλεμον τῷ βασιλεῖ, καὶ εἰς Φώκαιαν καὶ αὐτὸς ἐλθὼν ἅμα στρατιᾷ πεζῇ τε καὶ ἱππικῇ, προσεκύνησέ τε καὶ ἠσπάσατο βασιλέα, καὶ συνδιῆγεν αὐτῷ Φώκαιαν πολιορκῶν. παρεῖχέ τε ἄφθονον ἀγορὰν τῇ βασιλέως στρατιᾷ, ταῖς ὑπ᾽ αὐτὸν κελεύσας πόλεσι καὶ χώραις τὰ ἐπιτήδεια εἰς Φώκαιαν κομίζειν. πέμπτος μὲν οὖν ἠνύετο μὴν Φωκαέων καὶ Μιτυληναίων πολιορκουμένων, μάλιστα δὲ κατὰ τὴν Φώκαιαν συχναί τε καὶ καρτεραὶ ἐγίνοντο τειχομαχίαι καὶ ἑλεπόλεις προσήγοντο καὶ ἄλλαι μηχαναὶ πρὸς ἅλωσιν πόλεων ἐξευρημέναι. [20]

1 481 ἐκπολιορκῆσαι δὲ οὐκ ἠδύναντο αὐτοὺς διά τε καρτερότητα τειχῶν καὶ τὸ εὐρώστως ἀμύνεσθαι Λατίνους καὶ μὴ ἐνδιδόναι. μηκυνομένης δὲ τῆς πολιορκίας ἐπὶ πλέον, ἐπεὶ ὅ,τε σῖτος αὐτοῖς ἐνέδει ἤδη, καὶ τὴν πολιορκίαν ὑπώπτευον οὐ ταχέως λύσειν βασιλέα πρὶν ἢ λιμῷ ἢ τειχομαχίᾳ παραστήσεται αὐτοὺς, μηχανώμενοι τὸ ἐπὶ πλείονα χρόνον ἀντισχήσειν, τοὺς μὲν Ῥωμαίους ὅσοι Φώκαιαν κατῴκουν ἐξήλασαν πανοικεσίᾳ, αὐτοὶ δὲ τὸν σῖτον καὶ ὅσα ἕτερα ἦν ἐπιτήδεια συναγαγόντες, εἰσήγαγον εἰς τὴν ἀκρόπολιν, ἣν αὐτοὶ ἐφρούρουν, καὶ χρώμενοι αὐτοῖς ὑπέμενον τὴν πολιορκίαν. διατρίβοντί τε κατὰ τὴν Φώκαιαν βασιλεῖ οἱ τοῦ Ἀϊτίνη παῖδες, ὃς ἦν σατράπης Ἰωνίας, Χετὴρ καὶ Ἀμοὺρ, ὃν φθάσαντες πρότερον εἰρήκαμεν στόλῳ καταπεπλευκέναι εἰς Θρᾴκην, καὶ τρίτος Σουλαϊμάσας ὠνομασμένος, προσῆλθόν τε κατὰ φιλίαν καὶ προσεκύνησαν καὶ ἐπηγγείλαντο εὖνοι ἔσεσθαι καὶ φίλοι βασιλεῖ, βασιλεύς τε αὐτοὺς τῆς εὐνοίας ἕνεκα δώροις ἀμειψάμενος καὶ εὐεργεσίαις, οἴκαδε ἀπέστειλεν. ἐν τούτοις δὲ ὄντων τῶν πραγμάτων, ἠγγέλλετο ἐκ Βυζαντίου βασιλεῖ ὡς ἐκ Γεννούας κατά τινα ἑτέραν χρείαν τριήρεις ἑκκαίδεκα προσέσχον Γαλατᾷ, ὧν τῷ ναυάρχῳ καὶ τοῖς τριηράρχαις τινὲς τῶν παρὰ Ῥωμαίοις ἐπιφανῶν κρύφα διαλεχθέντες, ἔπεισαν δώροις καὶ ὑποσχέσεσι πολλαῖς προσεταιρισαμένους καὶ τὰς λοιπὰς ἓξ αἵ εἰσιν ἐγχώριοι, ἔπειτα καὶ τὰς κατὰ τὴν Μιτυλήνην ἓξ παραλαβόντας, ἐπιθέσθαι αὐτῷ κατὰ τὴν Φώκαιαν. [20]

1 482 ταῦτα δὲ τοὺς Ῥωμαίους συνεσκευακέναι οὐ τῆς τῶν Γεννουϊτῶν προνοίας ἕνεκα, ἀλλ᾽ ἐπίβουλοι καὶ προδόται βασιλέως γεγενημένοι, καὶ τῆς ἀρχῆς κρατῆσαι βουληθέντες ἐξ ὧν ᾤοντο δυνήσεσθαι διαφθεῖραι ἔπραττον. λ′. Βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο τοιαῦτα, τήν τε οὖσαν παρεσκεύαζε δύναμιν ὡς ἦν δέῃ ναυμαχήσων, καὶ ἑτέραν ἀπὸ τῶν κατὰ τὴν Ἰωνίαν βαρβάρων προσεπορίζετο ὅση δυνατή. καὶ Σαρχάνης μὲν τέτταρας καὶ εἴκοσι παρέσχετο ναῦς καὶ στρατιὰν πολλὴν πεζήν τε καὶ ἱππικὴν, ἣ ἐλθοῦσα ἐστρατοπεδεύετο παρὰ τὴν Φώκαιαν· Ἀμοὺρ δὲ ὁ τοῦ Ἀϊτίνη, τοῦ μεγάλου δομεστίκου πείσαντος, τριάκοντα ναυσὶ συνεμάχει βασιλεῖ. ὁ γὰρ μέγας δομέστικος καὶ πρότερον μὲν εἶχε πρὸς Ἀμοὺρ φιλίως καὶ γράμμασιν αὐτῷ ὡμίλει καὶ τὴν εὔνοιαν ἐπεδείκνυτο, συνεγένετό τε καὶ ἐπὶ μικρὸν ὀλίγῳ πρότερον, ὅτε κατὰ Φώκαιαν πρὸς βασιλέα ἦκε· τότε δὲ τῆς χρείας καλούσης, πρεσβείαν πέμψας πρὸς αὐτὸν, οὐ δίκαιον ἔφασκεν εἶναι οὐδὲ καθ᾽ ἡδονὴν αὐτῷ γράμμασι καὶ ἀγγελίαις ὥσπερ πρότερον καὶ αὖθις ὁμιλεῖν. πρότερον γὰρ αἰτίαν εἶναι τῆς τοιαύτης συντυχίας τὸ πολὺ ἀλλήλων διεστάναι· νυνὶ δὲ ἐγγὺς διατριβόντων, δίκαιον εἶναι, εἴγε καὶ αὐτῷ κατὰ γνώμην εἴη, ἐν ὡρισμένῳ τινὶ τόπῳ συγγενέσθαι καὶ τῆς ἀλλήλων ὁμιλίας ἀπολαῦσαι καὶ τὴν οὖσαν ἐπιβεβαιώσασθαι φιλίαν. [20]

1 483 ὁ μέγας μὲν οὖν δομέστικος τοιαῦτα ἐπρεσβεύετο· Ἀμοὺρ δὲ, ὡς ἤκουσεν, εὐτυχίας οὐδεμιᾶς ἐνόμισε δευτέραν τὴν περὶ τῶν τοιούτων ἀγγελίαν, ἀλλὰ τὰ μέγιστα οἰόμενος εὐεργετεῖσθαι, τῶν ἄλλων πάντων ἀμελήσας, κατὰ τὰς Κλαζομενὰς γενόμενος συνεγένετο αὐτῷ, καὶ

ἀποβάντα τῶν νεῶν εἱστίασέ τε φιλοτίμως καὶ πολλὴν ἐπεδείξατο φιλοφροσύνην. ἐπὶ τέσσαρσι δὲ ἡμέραις ὁ μέγας δομέστικος αὐτῷ συνδιατρίψας, βασιλεῖ τε ἔπεισε προσέχειν ὡς δεσπότῃ καὶ τῶν ὑπ' ἐκείνῳ τελούντων ἐπιφανῶν Ῥωμαίων νομίζειν ἕνα, καὶ ἑαυτῷ συνέδησεν ἀῤῥήκτοις φιλίας δεσμοῖς. τάς τε ναῦς παρῆνει πέμπειν ὡς τάχιστα βασιλεῖ δεομένῳ συμμαχίας, αἳ καὶ ἐπέμφθησαν μετ' οὐ πολύ. καὶ Φιλαδελφεινοῖς ἐκέλευσε φίλον εἶναι καὶ σύμμαχον ἀντὶ πολεμίου, καὶ μηδένα φόρον λαμβάνειν ὃν παρείχοντο αὐτῷ ὅτε ἦσαν ἐν σπονδαῖς, καὶ οὐδὲν ἦν ὃ, κελεύσαντος τοῦ μεγάλου δομεστίκου, μὴ καθ' ἡδονὴν αὐτῷ πράττειν ἦν πρὸς τῷ καὶ χάριν εἰδέναι καὶ τὰ μέγιστα οἴεσθαι εὐεργετεῖσθαι. ἐκεῖθεν δὲ ὁ μέγας δομέστικος συνταξάμενος Ἀμοὺρ, ἦκεν ὡς βασιλέα. καὶ ἐπεὶ καὶ αἱ παρὰ τοῦ Σαρχάνη παρῆσαν νῆες, παρεσκευάσαντό τε πρὸς τὴν ναυμαχίαν καὶ ἠνιῶντο ὅτι οὐ παρῆσαν οἷς ναυμαχοῦνται. Λατῖνοι δὲ, εἴτε τὴν παρασκευὴν βασιλέως δείσαντες, εἴτε καὶ διὰ τὸ τοὺς ἐνάγοντας Ῥωμαίους καταφώρους γενομένους ὑποπτῆξαι, (ἡ γὰρ τοῦ μεγάλου δομεστίκου μήτηρ ἅμα βασιλίδι αἰσθόμεναι τὴν ἐπιβουλὴν, ὡς μάλιστα ἐνῆν ἠσφαλίσαντο τά τε βασίλεια καὶ τὴν ἄλλην ἀρχὴν,) ἀποσχόμενοι ὧν διενοοῦντο, διελύθησαν. [20]

1 484 βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο διαλυθέντας, τοὺς μὲν παρὰ τοῦ Ἀμοὺρ παρόντας κατὰ συμμαχίαν, ἀπέστειλεν εὐεργετήσας· αὐτὸς δὲ συντονώτερον εἶχετο τῆς πολιορκίας· ἤδη γὰρ καὶ ὁ καιρὸς ἤπειγε περὶ φθινόπωρον ὤν. τριβομένου δὲ τοῦ χρόνου κατὰ τὴν πολιορκίαν συμβέβηκε τὸν μέγαν δομέστικον παρὰ τὴν τῆς Φωκαίας πύλην ἰδεῖν ἑστῶτα Ντζουὰν ντὲ Σπίνιά τινα ὠνομασμένον, ὃς ἦν αὐτῷ γνώριμος πρότερον καὶ συνήθης, ἔκ τε τῶν παρὰ Λατίνοις ἐπιφανῶν ὄντα καὶ παιδείας τῆς παρὰ Ῥωμαίοις ἱκανῶς μετεσχηκότα. καὶ πέμψας αὐτὸν μετεκαλεῖτο, κελεύων ἥκειν πρὸς αὐτὸν μηδὲν ὑποπτεύοντα δεινόν. ὁ δ' ἦκεν εὐθὺς πεισθείς. προσαγορεύσας δὲ ὁ μέγας δομέστικος αὐτὸν καὶ ἀγνωμοσύνην ἐγκαλέσας, ὅτι φίλον ἀρχαῖον ὄντα καὶ συνήθη καὶ τοσοῦτον ἤδη χρόνον διατρίβοντα πρὸς ταῖς πύλαις ταῖς αὐτῶν, οὐδὲ ἅπαξ πρὸς αὐτὸν ἠθέλησεν ἐλθεῖν οὐδὲ ἀσπάσασθαι οἷα φίλον, καὶ ἕτερ' ἄττα ὅσα ἦν ἁρμόζοντα προσθεὶς τῷ χρόνῳ, (ἤδη γὰρ ὀψὲ τῆς ἡμέρας ἦν,) τὸ νῦν μὲν ἔχον οἴκαδε ἀπέπεμπεν, εἰς τὴν ὑστεραίαν δὲ ἐκέλευσεν, εἴγε καὶ αὐτῷ καθ' ἡδονὴν εἴη, πρὸς αὐτὸν πάλιν ἐλθεῖν, ὡς ἂν κατὰ σχολὴν καὶ περὶ τοῦ παρόντος πολέμου διαλεχθῶσιν ἄττα ἂν ἑκάστῳ δοκοίη δίκαια ἔχειν πρὸς αὐτόν. Ντζουὰν μὲν οὖν ἀποδεξάμενος τοὺς λόγους οἴκαδε ἀπῆλθεν· εἰς τὴν ὑστεραίαν δὲ ἅμα πρωῒ εἰς τὴν μεγάλου δομεστίκου ἥκει σκηνὴν καὶ προσηγόρευεν αὐτόν. [20]

1 485 ἀντιπροσειπὼν δὲ καὶ αὐτὸς αὐτὸν καὶ μόνον παραλαβὼν, λόγου ἦρχε πρὸς αὐτὸν τοιοῦδε· „οὔτε τὸ ἐπὶ προφάσει πάσῃ πολεμεῖν τῶν ἐπαινετῶν ἄν τις τιθείη σωφρονῶν, οὔτε τὸ εἰρήνην ἄγειν· ἀλλ' ἑκάτερα βελτίω ἢ χείρω παρὰ τὰς αἰτίας νομίζοιτ' ἂν δικαίως. ἐὰν δέ τις πολέμου ἄρχων, μείζοσιν ἢ καθ' ἑαυτὸν πράγμασιν ἐπιχειροίη, πρὸς τῷ ἀδικεῖν καὶ ἄνοιαν προσοφλήσειεν ἂν παρ' εὖ φρονοῦσι κριταῖς. σκεψώμεθα δὴ καὶ περὶ τοῦ νυνὶ παρόντος πολέμου, ὃν ἤρασθε πρὸς μηδὲν ἀδικοῦντα βασιλέα, εἰ μετὰ βελτίονος τοῦ σχήματος προσγενήσεται ὑμῖν. πρῶτον μὲν γὰρ μηδὲν ὑπὸ βασιλέως ἀδικούμενοι, πρῶτοι ἐπήλθετε τῇ Λέσβῳ οὔσῃ ὑπηκόῳ βασιλεῖ ἀδικοῦντες καὶ πλεονεκτοῦντες, οὗπερ οὐδὲ αὐτοὺς οἶμαι ἐξάρνους δυνήσεσθαι γενέσθαι· ἔπειτα δὲ οὐδὲ ἀνοίας καὶ ἀβουλίας κατελίπετε ὑπερβολήν. τὸν γὰρ ἄρχοντα πολέμου οὐ χρὴ τοῦτο μόνον σκοπεῖν ὅπως ἀδικήσῃ, ἀλλὰ πρῶτον μὲν εἴγε μάλιστα αὐτῷ τοῦτο δυνατὸν, ἔπειτα δὲ εἰ καὶ ἀρκοῦσαν δύναμιν ἔχει πρὸς τὸ τὰ ἀδικηθέντα διασώζειν. ὑμῖν δὲ πρός τε τὸ τὰ ἀλλότρια ἁρπάζειν ἡ δύναμις ἐνδεὴς καὶ πρὸς τὸ τὰ ἡρπασμένα διασώζειν ἐλαχίστη. Λέσβῳ μὲν γὰρ ἐπιόντες, Δηλίους ἐπείσατε καὶ Σικελιώτας συμμαχεῖν. βασιλέως δὲ ἐπιστρατεύσαντος ὑμῖν, οἱ σύμμαχοι ᾤχοντο ὑμᾶς ἀπολιπόντες, οὐδὲ ὅπλα ἀνταίρειν δυνηθέντες. ὑμῶν δὲ μόνων ὑπολελειμμένων, οἱ μὲν ἀπώλοντο κατὰ τὴν

Καλλονὴν ἐν πέντε τριήρεσι διαφθαρέντες, οἱ δὲ κατὰ τὴν Μιτυλήνην καὶ Φώκαιαν ἀποκεκλεισμένοι πολιορκεῖσθε, οὐδεμίαν ἔχοντες ἐλπίδα βεβαίαν σωτηρίας. [25]

1 486 μὴ θαυμάσῃς δὲ, εἰ μηδεμίαν εἶπον ἐλπίδα βεβαίαν σωτηρίας ὑμᾶς ἔχειν, καίτοι καρτερώτατα ἀμυνομένους ἀπὸ τῶν τειχῶν καὶ μηδεμίαν ἢ ὀλίγην βλάβην ὑπομένοντας ἀπό τε τῶν ἐκπιπτόντων τῆς μηχανῆς λίθων καὶ τῶν κλιμάκων καὶ τῶν ἄλλων μηχανῶν τῶν κατὰ τὰς συχνὰς τειχομαχίας προσαγομένων. ἀποδείξω γὰρ σαφέστατα ὑμᾶς οὐ πολὺ ἀπέχοντας τοῦ ἐν ἐσχάτοις κινδύνοις εἶναι. τριῶν γὰρ ὄντων, ἃ ἂν μάλιστα διασώζειν δύναιτο τοὺς πολιορκουμένους, τοῦ τέ ποθεν ἔξωθεν ἐπελθοῦσαν δύναμιν τοὺς πολιορκοῦντας ἀνιστᾷν, καὶ τοῦ ἀφθονίαν σίτου καὶ τῶν ἄλλων ἐπιτηδείων ἔχοντας μετὰ ῥᾳστώνης τὴν πολιορκίαν διαφέρειν, καὶ τρίτου, τοῦ τὸν πολιορκοῦντα ἀδύνατον εἶναι προσκαθέζεσθαι ἢ δι' ἀπορίαν ἀναλωμάτων ἢ διὰ μικροψυχίαν ἤ τινα αἰτίαν ἄλλην, ἐγὼ ὑμῖν προσὸν ἀποδείξω τούτων οὐδὲ ἕν. τὴν μὲν οὖν ἴσως ἂν ἐπελθοῦσαν ἔξωθεν βοήθειαν ὑμῖν οὐδαμόθεν ἄλλοθεν ἄν τις οἰηθείη ἢ ἐκ Γεννούας, οἷα δὴ ὁμοφύλων ὄντων ὑμῖν καὶ συγγενῶν· τοῦτο δὲ τοσοῦτον ἀπέχει τοῦ εἶναι ἀληθὲς ἢ ὑμᾶς οἴεσθαι ἐλπίζειν, ὥστε τοὐναντίον μᾶλλον ἐφ' ὑμᾶς ἐλεύσονται ἐκεῖνοι ἐκπολιορκήσοντες ὡς πολεμίους τῷ κοινῷ, ἂν κελεύῃ βασιλεύς. ἴστε γὰρ δὴ σαφέστατα ὑμεῖς ὡς ἐν ταῖς συνθήκαις καὶ τοῖς ὅρκοις, οὓς πρὸς τὴν βασιλείαν Ῥωμαίων ἡ βουλὴ καὶ ὁ δῆμος ἔθετο Γεννούας ἐπὶ τῇ εἰρήνῃ, πρὸς τοῖς ἄλλοις περιείληπται καὶ τοῦτο, τὸ μὴ μόνον τὸ κοινὸν αὐτῶν μηδεμίαν βλάβην ἢ ζημίαν ἐπάγειν τῇ Ῥωμαίων βασιλείᾳ πρόφασιν πολέμου οὐ παρεχομένῃ, ἀλλὰ καὶ ἐάν τις ἰδιώτης Ῥωμαῖον ἀδικήσῃ, ἀπὸ τῶν προσόντων αὐτῷ κτημάτων ἢ πραγμάτων τὴν ζημίαν ἀπολαμβάνειν τὸν Ῥωμαῖον. [25]

1 487 ἂν δὲ καὶ τῇ βασιλείᾳ Ῥωμαίων τὴν ζημίαν προξενῇ ἢ νῆσον διαρπάζων ἢ πόλιν τινὰ παράλιον ἤ τι ἕτερον, τὸν ἴσον τρόπον ἀπὸ τῶν ἐκείνων κτημάτων καὶ πραγμάτων, εἰ πολλοὶ εἶεν ἢ εἷς, τὴν ζημίαν ἀποτίννυσθαι βασιλεῖ, αὐτὸν δὲ ψηφίζεσθαι πολέμιον τῷ δήμῳ καὶ τῇ βουλῇ, καὶ στρατεύειν ἐπ' ἐκεῖνον ὡς ἄπιστον καὶ προδότην τοῦ κοινοῦ. οὗ δὴ ἕνεκα καὶ βασιλέα πρεσβείαν πρὸς Γέννουαν ἀπεσταλκέναι, ὥστε μὴ μόνον τὰ κτήματα ὑμῶν τῶν χρημάτων ἕνεκα ὧν ἀνάλωσε πολεμῶν ὑμῖν παραλαβεῖν, ἀλλὰ καὶ τριήρεις κελεῦσαι πέμψαι καθ' ὑμῶν κατὰ τὰ συγκείμενα καὶ τοὺς ὅρκους. ὥστε ἐκ Γεννούας οὐ μόνον ἐπικουρίαν οὐδεμίαν, ἀλλὰ καὶ πόλεμον καὶ ἐπίπλουν προσδοκᾷν χρή. ὅτι δὲ καὶ τῶν ἐπιτηδείων νῦν τε ἐνδεεῖς ἐστε καὶ μετ' ὀλίγον ἐπιλείψει παντελῶς ὑμᾶς, ἐξ αὐτῶν ἄν τις τῶν πραγμάτων ἀληθέστατα τεκμήραιτο. οἱ γὰρ ἐξελαθέντες τοῦ ἄστεος ὑφ' ὑμῶν Ῥωμαῖοι, ὧν αὐτοὶ τὰ ἐπιτήδεια λαβόντες χρῆσθε, τὸ μέτρον τῆς τροφῆς πρὸς τὸ τῶν πολιορκουμένων πλῆθος λογιζόμενοι, ἐντὸς ὀλίγου χρόνου παντάπασί φασιν ὑμᾶς τὰ σιτία ἐπιλείψειν. λείπεται δὴ μίαν ὑπολείπεσθαι ἐλπίδα σωτηρίας, τὸ βασιλέα ῥᾳθυμήσαντα ἢ διὰ τὸ τῶν ἀναλισκομένων πλῆθος χρημάτων ἢ διὰ τὴν κατὰ τὴν στρατείαν κακοπάθειαν λύσειν τὴν πολιορκίαν ἢ διὰ τὸ χειμῶνα ἐπιγίνεσθαι ἤδη προσδοκᾷν. [20]

1 488 ἐγὼ δὲ καὶ περὶ τούτου προδότης γενήσομαι ἡμῶν αὐτῶν καὶ μηνύσω προῖκα ἅπαν τἀληθές. καίτοι γε πολλοῦ ἂν ἐπρίασθε αὐτοὶ, εὖ οἶδα, εἰ ἃ διανοούμεθα περὶ ὑμῶν, ἀληθῶς ἐξεγένετο μαθεῖν· ἐγὼ δὲ ὑμῖν καὶ τοῦτο χαριοῦμαι. βασιλεὺς μὲν γὰρ καὶ ἡμεῖς καὶ τὸ πολὺ τῆς στρατιᾶς οἴκαδε ἀπελευσόμεθα, ἵνα μὴ εἰκῇ καὶ μάτην κατατριβώμεθα ἐνταῦθα, ἄλλως τε καὶ τῶν ἐκεῖσε πραγμάτων ἐπιμελείας δεομένων, ἣν οὐκ ἐξὸν ποιεῖσθαι μὴ ἐκεῖ ἐπιδημοῦντας. ἐνταυθοῖ δὲ πρὸς τὴν πολιορκίαν δέκα καταλείψομεν τριήρεις καὶ μονήρεις εἴκοσι καὶ ἑτέρας τέτταρας καὶ εἴκοσι τὰς τοῦ Σαρχάνη ναῦς, μισθὸν παρασχόντες διαρκέσοντα ἄχρι ἦρος. οἳ ὑμᾶς τε καὶ Μιτυληναίους ἀσφαλῶς πολιορκήσουσιν ἐφορμοῦντες ἐκ θαλάσσης, ἐκ δὲ ἠπείρου ὑμῖν μὲν ἀρκέσουσιν ἡ τοῦ Σαρχάνη παρακειμένη στρατιά· Μιτυληναίοις δὲ οἱ Ῥωμαίων μισθοφόροι τὴν εἰς τὴν Λέσβον ἔξοδον ἀπείρξουσιν, ὥστε καὶ ἀμφοτέρους ἑκατέρωθεν ἀπείργεσθαι ἔκ τε

γῆς καὶ θαλάττης τοῦ μηδὲν εἰσάγειν τῶν ἐπιτηδείων. ἅμα δὲ ἦρι ἀρχομένῳ στόλῳ μεγάλῳ αὖθις ἐφ' ὑμᾶς πλευσούμεθα, γνώμην ἔχοντες μέχρι παντὸς διακαρτερεῖν, ἄχρις ἂν ἢ λιμῷ ἢ ὅπλοις παραστησάμενοι, ἐξανδραποδισώμεθα ὑμᾶς. πρὸς τούτοις δὲ καὶ ἑτέραν βασιλέως ἐπίνοιαν οὐκ ἀποκρύψω. βούλεται γὰρ τοῖς συμπολιορκουμένοις ὑμῖν πᾶσι δι' ὅρκων αἵρεσιν προθεῖναι, ἢ μένοντας ἐντὸς τειχῶν πολεμίους αὐτῷ τε εἶναι καὶ τῷ κοινῷ Γεννούας, ἢ ἔξω γενομένους καὶ καταλιπόντας ὑμᾶς, μὴ μόνον παρὰ βασιλέως τυχεῖν συγγνώμης καὶ ἀμνηστίας ὧν ἐξημαρτήκασιν, ἀλλὰ καὶ παρὰ τῷ κοινῷ Γεννούας ἀζημίους εἶναι, βασιλέως τὴν ἄδειαν παρασχομένου. [5]

1 489 ὅπερ ὅτι πολλοὺς τῶν ὑμῖν συμπολιορκουμένων πείσει ἀποστῆναι, οὐδ' αὐτὸς ἀγνοεῖς. ὅτε τοίνυν ἐξ ἀρχῆς τε οὐ δίκαια ποιοῦντες τὸν πόλεμον κεκινήκατε τουτονὶ, νῦν τε τῶν πραγμάτων ἐναντίως ἢ αὐτοὶ προσεδοκᾶτε χωρησάντων, οὐ μόνον ἀβουλίας καὶ ἀσυνεσίας ὄφλετε κατηγορίαν, ἀλλὰ καὶ ἐν ἐσχάτοις κατέστητε κινδύνοις, ποῦ λυσιτελὲς ἢ σωφρονούντων ὅλως ἀνθρώπων, μὴ μεταβουλεύεσθαι περὶ τῶν κακῶς βεβουλευμένων καὶ σωτηρίαν τινὰ αὐτοῖς ἐκ τῶν ἐνόντων ἐκπορίζειν, ἀλλὰ διὰ φιλονεικίαν καὶ ἀλαζονείαν νοῦν οὐκ ἔχουσαν αὐτούς τε ἀπόλλυσθαι κακῶς καὶ τοῖς οἰκείοις οὐ πενίαν μόνον καὶ ἀποστέρησιν τῶν ὄντων, ἀλλὰ καὶ ἀδοξίαν προστρίβεσθαι διὰ βίου; ἐγὼ δὲ καὶ τούτων ἁπάντων χωρὶς οὐδαμῶς λυσιτελοῦντα τὸν πρὸς βασιλέα πόλεμον ὑμῖν ἀποφανῶ. εἰ γὰρ καὶ μήτε ὅπλοις, μήτε λιμῷ, μήθ' ἑτέρᾳ μηχανῇ τινι παραστήσασθαι δυνησόμεθα ὑμᾶς, οὐδ' οὕτω τὸ πολιορκεῖσθαι λυσιτελήσειεν ἂν ὑμῖν. πρῶτον μὲν γὰρ οὐκ ἐπὶ τῷ διηνεκῶς πολιορκεῖσθαι καὶ ἐνδείᾳ καὶ τοῖς ἄλλοις τοῖς ἐκ τοῦ πολέμου κακοῖς πιέζεσθαι Λέσβου κρατῆσαι ὑμῖν ἐπῆλθε τοσαῦτα χρήματα ἀναλωκόσιν, ἀλλ' ἐπὶ τῷ πολλαπλασίῳ τῶν ἀναλωμένων κτησαμένους, καὶ τῆς νήσου ἔχειν τὴν ἀρχήν. [20]

1 490 τοῦτο δ' ἐναντίως ἢ αὐτοὶ συμβέβηκε προσδοκᾶτε. τά τε γὰρ χρήματα ἀνάλωνται εἰς τὰς τριήρεις καὶ ἡ νῆσος ὑπὸ βασιλέα αὖθις τελεῖ πλὴν Μιτυλήνης, ἣν δεῖ καὶ Φώκαιαν φρουρεῖν μισθοφόρους τρέφοντας χιλίων οὐκ ἐλάσσους. πόθεν οὖν ποριεῖσθε τὴν τροφὴν αὐτοῖς; οὔτε γὰρ χρήματα εἴχετε ἐν ταῖς ναυσὶν ἃ διαρκέσει πρὸς τὴν πολιορκίαν, οὔτε ἐκ Γεννούας ἐλπὶς ἐλθεῖν. τὰ γὰρ ἐκεῖσε κτήματα ὑμῶν, ἃ παρεῖχε τὰς προσόδους, ὑπὸ βασιλέα ἔσται· αἵ τε ἐκ Φωκαίας προσγινόμεναι πρότερον πρόσοδοι ὑμῖν ἀφῄρηνται διὰ τὸν πόλεμον. ἐμπορία τε γὰρ ἐκλέλοιπε πᾶσα, θαλασσοκρατούντων ἡμῶν, καὶ γεωργίας ἀπείργομεν, οὐδὲ τὸ πυλῶν προβαίνειν ἀκίνδυνον ὂν ὑμῖν. ὥστε πάντοθεν συμβαίνει περιΐστασθαι τὸν κίνδυνον, ἄν τε κρατῆσθε τοῖς ὅπλοις, ἄν τε μή· ὡς οὖν περὶ σωτηρίας ὑμῖν βουλευσομένοις οὐκ ἐν παρέργῳ χρὴ ποιεῖσθαι τὴν βουλὴν, ἀλλὰ μετὰ τῶν φίλων σκεψαμένους τὰ δέοντα ἐλέσθαι.“ λα′. Τοιαῦτα τοῦ μεγάλου δομεστίκου εἰρηκότος, Ντζιουὰν ἐπιπολὺ μὲν ἦν σιωπῶν, ἐκπεπληγμένος ὅτι δὴ σαφέστατα περὶ τῶν κατ' αὐτοὺς πραγμάτων διειλέχθη. συνεώρα τε ἤδη καὶ αὐτὸς τὸν κίνδυνον ὡς ἐν χρῷ. ἔπειτα ἀνενεγκὼν „ὡς μὲν ἀδικοῦμεν πολέμου ἄρχοντες“ ἔφη „οὐδὲ αὐτοὶ δυνάμεθα ἀντειπεῖν. [20]

1 491 πλὴν ἐλπίδι ἐπαρθέντες τοῦ τε ἐγκρατεῖς γενήσεσθαι τῆς Λέσβου τοῦ τε ἀμυνεῖσθαι βασιλέα ἂν ἐπίῃ, (οὐ γὰρ τοσαύτην γε ᾠόμεθα δύναμιν ἀθροίσειν ναυτικὴν,) ἠράμεθα· νυνὶ δὲ ἤδη τά τε χρήματα ἀνάλωται ἡμῖν καὶ αὐτοὶ πολιορκούμεθα, οὐκ ἀγαθὰς ἔχοντες ἐλπίδας περὶ τῶν μελλόντων. ἐπεὶ δὲ ὡς ὁρῶ, τοῦ θεοῦ κεκινηκότος, εἰς τοὺς περὶ τούτων προήχθης λόγους, δέομαι ἃ λυσιτελῆ δοκεῖ καὶ δέοντα βουλεύσασθαι περὶ τοῦ μέλλοντος. τὰ γὰρ παρελθόντα οὐκ ἔστιν ἄλλως διαθέσθαι ἢ ὡς ἔτυχε γεγενημένα.“ ὁ μέγας δὲ δομέστικος „εἰ μὲν καθ' ἑαυτοὺς αὐτοὶ περὶ τῶν ὑμετέρων“ ἔφη „ἐβουλεύεσθε πραγμάτων, οὐδὲν ἂν ἐκώλυεν εἰρήνην ἢ τὸν πόλεμον ἑλέσθαι. ἐπεὶ δὲ ἐμοὶ περὶ τῶν ὑμετέρων ἐπιτρέπετε βουλεύεσθαι πραγμάτων, ἅ μοι δοκῶ ὑμῖν συμφέροντα ἐρῶ. ὑμῖν δὲ ἐξέσται ἢ αἱρεῖσθαι τὰ βεβουλευμένα ἢ διωθεῖσθαι. οἶμαι

δὲ οὐδὲ πολλῶν δεήσεσθαι λόγων περὶ τῶν ὑμῖν πείθοντα δοκούντων λυσιτελεῖν. ἃ γὰρ διειλέχθην πρότερον, πολλῶν κακῶν ὑμῖν τὸν πόλεμον αἰτιώτατον γεγενημένον ἀποφαίνων καὶ ἔτι μέλλοντα, τούτοις ἔξεστι κατασκευάζειν ὡς αἱρετέα ἡ εἰρήνη. τὸν τρόπον δὲ ὃν ἂν ὑμῖν μάλιστα λυσιτελήσειεν ὑφηγήσομαι ἐγώ. πρὶν εἰς τοσοῦτον κινδύνου ἥκειν ὥστε δοκεῖν καὶ ἄκοντας προσιέναι βασιλεῖ, ἐνδείξασθε εὔνοιάν τινα ἀντίῤῥοπον πρὸς τὴν προτέραν ἀδικίαν, καὶ πρεσβείαν πέμψαντες πρὸς βασιλέα, συγγνώμην αἰτήσατε ἐφ’ οἷς προσκεκρούκατε κατὰ τὸν πόλεμον. φύσει δὲ ὢν ἐκεῖνος πρᾶος καὶ τοῖς ἀδικοῦσιν ἕτοιμος παρέχειν συγγνώμην, ἂν παραιτῶνται τὴν ὀργὴν, καὶ ὑμῖν συγγνώσεται ῥᾳδίως, καὶ ἐμοῦ πρὸς τοῦτο μάλιστα ἐνάγοντος. [20]

1 492 ἐπειδὰν δὲ τὴν βασιλέως ἐκμειλίξησθε ὀργὴν, τὸν παῖδα Σαρχάνη καὶ τῶν ἄλλων Περσῶν, οἳ ἐν ὁμήρων προσχήματι φρουροῦνται παρ’ ὑμῖν, λαβόντες ὥσπερ δῶρα προσκομίσατε τῷ βασιλεῖ καὶ Μιτυλήνην καὶ Φώκαιαν παράδοτε. κἀκεῖνος ἀμειβόμενος ὑμᾶς τῆς εὐνοίας ἕνεκα τῆς πρὸς αὐτὸν, μετὰ τῆς συγγνώμης, ἣν παρέξεται, καὶ τά τε ἀναλωθέντα χρήματα εἰς τὸν πόλεμον τὸν καθ’ ὑμῶν καὶ ἃ ἐζημιώσατε Λεσβίους, ἃ τὸ κοινὸν Γεννούας ἐκ τῶν ὑμετέρων κτημάτων κατὰ τὰς συνθήκας ὀφείλει ἀποτίνειν, χαριεῖται. οὐ μὴν ἀλλὰ καὶ πολεμίους ἀναγεγραμμένους τῷ κοινῷ καὶ δίκας ὀφείλοντας τῆς ἀπιστίας, ἀπάθειαν κακῶν καταπράξεται ὑμῖν, τῇ βουλῇ συγγνώμην κελεύσας παρασχεῖν, ὥστε ἀδεῶς πάλιν ἐμπολιτεύεσθαι αὐτοῖς ἀποστερηθέντας τῶν οἰκείων μηδενός. πρὸς τούτοις δὲ καὶ Φωκαίας ὥσπερ πρότερον καὶ αὖθις ἄρχειν ἐπιτρέψει, ὡς ὑπηκόου μὲν Ῥωμαίοις οὔσης, ὑμῖν δὲ παρέχοντος βασιλέως τὴν ἀρχὴν, ἄχρις ἂν αὐτὸς ἐθέλῃ. καὶ σπονδὰς ὑμῖν πρὸς Σαρχάνην θήσει, ὥστε καὶ αὖθις τὰς προσόδους, ἃς καὶ πρότερον εἴχετε, ἐκ τῆς χώρας τῆς αὐτοῦ καρποῦσθαι. καὶ κατὰ πάσας νήσους καὶ τὰς πόλεις, αἳ ὑπήκοοί εἰσι Ῥωμαίοις, ἀκώλυτον ὑμῖν τὴν ἐμπορίαν κελεύσει εἶναι. σκοπεῖτε οὖν ὁπόσα μὲν ὑμῖν ὁ πόλεμος ἐπήνεγκε κακὰ, ἴσως δὲ καὶ χείρονα ἐπάξει· ὁπόσων δὲ ἀγαθῶν ἡ εἰρήνη γενήσεται ἀξία, ἂν πείθησθε ἐμοί. [20]

1 493 ταῦτα δὲ ὑμῖν ἢ σήμερον πράττειν ἢ εἰς τὴν ὑστεραίαν ἐξέσται. ἐὰν γὰρ οὐκ ἀναγκαῖα λογιζόμενοι ὑπέρθησθε, οὐκέθ’ ὁμοίως εὑρήσετε βασιλέα ῥᾴδιον πρὸς τὰς καταλλαγάς. ἐὰν γὰρ τὰ χρήματα διαδοθῇ τοῖς τριηρίταις καὶ τοῖς ἄλλοις μισθοφόροις, οἳ μέλλουσι τοῦ χειμῶνος ὑμᾶς πολιορκεῖν, ἃ νυνὶ βασιλεὺς μὲν ἐκέλευσε διαδιδόναι τοῖς ταμίαις, ἐγὼ δὲ ἐκώλυσα τουτωνὶ τῶν λόγων ἕνεκα, δέδοικα μὴ οὐ προσδέξηται τὴν πρεσβείαν μετὰ ταῦτα, λογιζόμενος ὥσπερ εἰκὸς, ὡς παραστήσεται ὑμᾶς ἐν ἀνδραπόδων μοίρᾳ, ἄχρις ἂν ὁ χρόνος τῆς μισθοφορᾶς ἀναλωθῇ, καὶ τὰ χρήματα ἀπολήψεται πρὸς τοῖς νῦν καὶ τὰ πρότερον ἀναλωμένα. ὡς οὖν ἀναγκαίων πέρι ἐσομένης τῆς βουλῆς καὶ τριβὴν τοῦ χρόνου οὐκ ἐνδεχομένου, ταχέως τε αὐτοὶ βουλεύεσθε καὶ ἡμῖν τὰ βεβουλευμένα γνώριμα ποιεῖτε.“ Τοιαῦτα μὲν Λατίνοις ὁ μέγας δομέστικος ὑπετίθετο ποιεῖν. Ντζιωὰν δὲ ὡς ἤκουσε περὶ τοῦ παρελθόντος ἠνιᾶτο χρόνου, ὅτι μὴ πρότερον μεγάλῳ δομεστίκῳ συνεγένετο· ἦ γὰρ ἂν αὐτός τε πολλῶν ἀπήλλακτο κακῶν καὶ τοῖς ἄλλοις αἴτιος κατέστη. ὅμως μέντοι ἔφασκε, τὰ μὲν γεγενημένα ἀναλῦσαι οὐκ εἶναι δυνατόν. δεῖν δὲ οἴεσθαι εἰς Φώκαιαν ἐλθόντα καὶ τοῖς ἄλλοις δήλην τὴν βουλὴν ποιεῖν, καὶ ἐς τὴν ὑστεραίαν ἐλθόντα, ἃ πᾶσιν ἂν κοινῇ δόξειεν ἀπαγγέλλειν. καὶ ἐπεὶ ἐπετέτραπτο, εἰς Φώκαιαν ἐλθὼν, Ντεάρδῳ τε καὶ τοῖς λοιποῖς ὅσα ὑπόθοιτο ὁ μέγας δομέστικος ἀπαγγείλας, ἐπειδὴ κἀκείνοις ἄριστα καὶ λυσιτελοῦντα ἑαυτοῖς ἐδόκει τὰ βεβουλευμένα καὶ ἕτοιμοι ἦσαν πράττειν, αὖθις πρὸς τὸν μέγαν δομέστικον ἐλθὼν, Ντεάρδῳ μὲν καὶ τοῖς λοιποῖς ὅσοι κατὰ Φώκαιαν πολιορκοῦνται, ἀρέσκειν ἔφασκε τὰ βεβουλευμένα καὶ μάλιστα ἐθέλειν ὡς βασιλέα ἐλθόντας, ὑπὲρ τῶν ἡμαρτημένων δεῖσθαι συγγνώμην παρασχεῖν. [5]

1 494 δεῖν δὲ καὶ Δομενίκῳ τῷ κατὰ τὴν Μιτυλήνην πολιορκουμένῳ τὰ πρῶτα μάλιστα φερομένῳ παρ’ αὐτοῖς, κοινὴν ποιήσασθαι τὴν γνώμην. μηδὲ γὰρ ἂν δύνασθαι πράττειν μηδὲν, ἐκείνου

μὴ συνεπιψηφιζομένου. καὶ παρασχεθείσης αὐτῷ νεὼς, εἰς Μιτυλήνην ἦλθε· συγγενόμενός τε Δομενίκῳ καὶ περὶ τῆς εἰρήνης διαλεχθεὶς, ἐπεὶ κἀκείνῳ ἀσμένως ἐγίνοντο οἱ λόγοι καὶ πολλὰς χάριτας ὡμολόγει βασιλεῖ τῆς ἀνεξικακίας, ἀναστρέψας ἐκεῖθεν, εἰς Φώκαιαν ἐπεραιώθη, ἄγων καὶ ἕτερόν τινα, ὃς ἔμελλεν ἐκ προσώπου Δομενίκου βασιλέα προσκυνήσειν. ὅσοι δὲ τῶν ἐπιφανεστέρων ἦσαν ἐν Φωκαίᾳ πολιορκούμενοι, καὶ τὸν υἱὸν Σαρχάνη καὶ τοὺς ἄλλους, ὅσοι ἦσαν σὺν αὐτῷ, ὥσπερ δῶρον ἐπαγόμενοι, ἥκουσιν εἰς βασιλέα. προσκυνήσαντάς τε καὶ περὶ ὧν κατὰ τὸν πόλεμον ἐξήμαρτον τυχεῖν συγγνώμης δεηθέντας βασιλεὺς μὲν ἡμέρως προσεδέξατο καὶ προσηνῶς, συγγνώμην τε παρέσχετο εὐθὺς καὶ ὅσα πρότερον ἐπηγγείλατο αὐτοῖς ὁ μέγας δομέστικος ἔργῳ ἐπληροῦτο, καὶ αὐτῶν Μιτυλήνην παραδόντων βασιλεῖ, ἐκβληθέντων τῶν φρουρῶν· Σαρχάνῃ τε ὁ βασιλεὺς τὸν παῖδα ἀποδοὺς καὶ τοῖς ἄλλοις Πέρσαις, χάριτας αὐτῷ πολλὰς τῆς ἐλευθερίας τῶν παίδων ἕνεκα ὁμολογοῦσιν, αὐτὸς εἰς Βυζάντιον ἀπέπλευσε, Λέσβον ὑπὸ Λατίνοις ἤδη γεγενημένην Ῥωμαίοις ἀνασώσας. [25]

1 495 λβ′. Ὀλίγου δὲ παρελθόντος χρόνου, ἠγγέλλετο ἐκ τῆς ἑσπέρας παρὰ τῶν ἐπιτροπευόντων ἐκεῖ, ὅτι οἱ περὶ Βαλάγριτα καὶ Κάνινα νεμόμενοι Ἀλβανοὶ, εὐχερεῖς ὄντες πρὸς μεταβολὰς καὶ φύσει νεωτεροποιοὶ, ἃς πρὸς βασιλέα ἐποιήσαντο συνθήκας παραβαίνοντες, ταῖς ἐκεῖσε πόλεσιν ἐξ ἐφόδου ἐπιόντες, κακῶς διατιθέασι καὶ λεηλατοῦσιν. οἳ καὶ πρότερον τοιαῦτά τινα ἐτόλμων καὶ συνιστάμενοι πολλοὶ καὶ ἄποροι, τὰς πόλεις κακῶς ἐποίουν ἄχρις ἂν στρατιὰν ἐπ᾽ ἐκείνους πέμψας βασιλεὺς, ἀναγκάσειεν εἰρήνην ἄγειν καὶ τοὺς ἑσπερίους ἀδικεῖν μηδέν. ἐπειδὰν δὲ ἡ στρατιὰ ἐπ᾽ οἴκου διαλυθείη καὶ τὸ θέρος ἐπιγένοιτο, οὐκέτι οἷοί τε ἦσαν ἠρεμεῖν, ἀλλὰ λῃστείαις καὶ φανεραῖς ἐπιδρομαῖς ἐπίεζον τὰς πόλεις τὰς ἐκεῖ. τότε δὲ πολλοί τε καὶ ὁμοίας περὶ τὸ ἀδικεῖν τὰς γνώμας ἔχοντες συστάντες, Βαλάγριτά τε καὶ Κάνινα ἐκακούργουν πάνυ. καὶ φρούριόν τι Σκρεπάριον ὠνομασμένον καὶ τὴν Κλεισοῦραν, Τίμωρον δὲ φρούριόν τι καὶ αὐτὸ ἑσπέριον περὶ Βαλάγριτα ᾠκισμένον παρεστήσαντο ἤδη καὶ βεβαίως εἶχον πρός τε τὰς λῃστείας καὶ τὰς συχνὰς ἀπειρηκὸς ἐπιδρομάς. διὰ ταῦτα οὖν ἐδόκει βασιλεῖ αὐτοῖς ἐπιστρατεύειν. προσεπιγενομένη δὲ ὑπὸ τοῖς αὐτοῖς χρόνοις καὶ ἡ Ἰωάννου τοῦ Δούκα τῆς Ἀκαρνανίας ἄρχοντος τελευτὴ μᾶλλον ἐξώρμησε τὸν βασιλέα πρὸς τὴν ἑσπέραν, ἐλπίσαντα Ἀκαρνανίαν ὑποποιήσειν ἑαυτῷ. [20]

1 496 τοιαῦτα δὲ βουλευομένῳ καὶ συμμαχίαν ἐδόκει δεῖν ἐξ Ἰωνίας μεταπέμπεσθαι Περσικὴν ἕνεκα τῶν Ἀλβανῶν πεζήν. ὄρη γὰρ δυσπρόσοδα νεμόμενοι καὶ μεγάλα καὶ πολλὰς ἔχοντα ἀποφυγὰς καὶ καταδύσεις, οὐ ῥᾳδίως ὑπὸ τῶν ἱππέων βλάπτεσθαι ἐδύναντο, καὶ μάλιστα ἐν θέρει εἰς τὰ ἀκρότατα ἀνιόντες τῶν ὀρῶν, ὅπου καὶ πεζοῖς ἀντιτάξασθαι οὐκ εὐχερὲς διὰ τὴν ὀχυρότητα τοῦ τόπου καὶ τὸ ὑπὲρ κεφαλῆς τοὺς ἐπιόντας τοὺς ἀμυνομένους βάλλειν. καὶ πέμψας πρὸς Ἀμοὺρ, ᾐτεῖτο συμμαχίαν πεζήν. ὁ δὲ ἄσμενός τε προσεδέξατο τὴν πρεσβείαν βασιλέως, (ἦν γὰρ ἄγων περὶ πλείστου τὸ κατὰ γνώμην τι βασιλέως πράττειν,) καὶ τὴν στρατιὰν εὐθὺς ἔπεμπεν εἰς Θεσσαλονίκην. ἐπεὶ δὲ καὶ ὁ βασιλεὺς τὴν Ῥωμαίων ἄγων στρατιὰν ἀφίκετο ἐκεῖ, καὶ τὴν Περσικὴν παραλαβὼν διὰ Θετταλίας ἐπὶ Ἀλβανοὺς ἐχώρει. καὶ μέχρι Ἐπιδάμνου ἦλθε λῃϊζόμενος αὐτούς. διεφθάρησάν τε ἐξ αὐτῶν πολλοί. πυθόμενοι γὰρ τὴν βασιλέως ἔφοδον καὶ νομίσαντες μόνην ἐκ Ῥωμαίων ἱππικὴν εἶναι στρατιὰν, πρὸς τὰ ὄρη κατέφυγον καὶ τὰς δυσχωρίας, οἰόμενοι διαφεύξεσθαι τὸν ὄλεθρον. ἐπελθόντες δὲ οἱ Πέρσαι ψιλοί τε ὄντες καὶ τοξόται, οἷς μάλιστά ἐστι ῥᾳδία ἡ πρὸς τὰς δυσχωρίας μάχη, ῥᾷστά τε ἐκράτησαν αὐτῶν οὐ μόνον διὰ τὸ ἀόπλους ὄντας πόρρωθεν βαλλομένους πίπτειν, ἀλλὰ καὶ διὰ τὸ ἄηθες καταπλαγέντας τῶν βαρβάρων. [20]

1 497 καὶ πλείστους τε ἀπέκτειναν αὐτῶν καὶ εἷλον αἰχμαλώτους. ὅσοι δὲ ἠδυνήθησαν διαφυγεῖν τέκνα καὶ γυναῖκας καὶ τὴν ἄλλην κτῆσιν ἐκλιπόντες, ὅπη γῆς ἐκρύπτοντο ἦσαν ἀφανεῖς. γυναῖκας δὲ καὶ παῖδας ἠνδραπόδισαν οἱ Πέρσαι, ὧν μέρος μέν τι οἱ ὁμόφυλοι ἐλύσαντο, ὅσοι

μὴ προσκεκρουκότες ἦσαν βασιλεῖ, λύτρα παρασχόμενοι τοῖς Πέρσαις. ἔλυσε δὲ οὐκ ὀλίγους καὶ ὁ βασιλεὺς λύτροις, τῶν οἰκείων προσελθόντων καὶ δεηθέντων· ἔλυσε δ' ἂν καὶ πλείους ἢ σύμπαντας, εἰ πρότερον προσῆλθον, ἕως ἔτι οἱ Πέρσαι συνείποντο μετὰ τῆς ἄλλης στρατιᾶς. ἐπεὶ δὲ μετὰ τὴν ἐκείνων ἀναχώρησιν προσῆλθον, ἔλυσεν ὁ βασιλεὺς πέμψας ὅσους μάλιστα ἐνῆν· τοὺς πλείους δὲ εἰς ἔω ἤγαγον ἐπὶ δουλείᾳ. Ῥωμαῖοι δὲ ἀνθρώπους μὲν οὐκ ἐξηνδραποδίζοντο. οὐδὲ γὰρ ἔξεστιν αὐτοῖς, εἰ μὴ ἀπὸ βαρβάρων εἶεν τῶν τῇ σωτῆρος Χριστοῦ ὑπὲρ ἡμῶν οἰκονομίᾳ μὴ πεπιστευκότων. βοσκημάτων δὲ ἐκράτησαν σχεδὸν ἀριθμὸν ὑπερβαινόντων, ἐπίπλων τε καὶ ἄλλων τινῶν χρημάτων οὐκ ὀλίγων. ἐλέγετο δὲ, καὶ ἦν ἀληθὲς, ὡς ὕστερον ἐξ αὐτῶν τῶν κακῶς παθόντων βασιλεῖ προσελθόντων, μετὰ τὴν συμφορὰν ἐκείνην τὴν μεγάλην ἀριθμούντων τὰ αὑτῶν, ἐγένετο καταφανὲς ὡς κρατήσειαν οἱ Ῥωμαῖοι κατὰ τὴν λείαν βοῶν μὲν τριάκοντα μυριάδων, πεντακισχιλίων δὲ ἵππων, προβάτων δὲ μυριάδων εἴκοσι καὶ ἑκατόν. τοσαῦτα δὲ ὄντα τὸ πλῆθος ἄγειν μὲν οὐκ ἠδύνατο ἡ στρατιὰ, ἀλλὰ τοὺς ἔχοντας μόνον ἀπελάσαντες, κατέλιπον φέρεσθαι ἀνόμευτα ὡς ἔτυχεν. [20]

1 498 αἵ τε πόλεις ὅσαι πρότερον κακῶς πάσχουσαι ἦσαν ὑπὸ Ἀλβανῶν, ἐξερχόμενοι ἦγον ὅσα ἕκαστος ἐβούλετο, κωλύοντος οὐδενὸς, αὐτοί τε οἱ ἔχοντες μετὰ τὸ ὑπὸ βασιλέα γενέσθαι καὶ ἐπαγγείλασθαι δουλείαν πολλῶν ἐγένοντο αὖθις κύριοι κατὰ νάπας καὶ τὰς φάραγγας εὑρόντες διεσκεδασμένα, ὠνήσαντό τε καὶ ἀπὸ τῆς στρατιᾶς πολλὰ, ὑπὲρ πεντακοσίων ἕνα παρέχοντες χρυσοῦν προβάτων, ὑπὲρ βοῶν δὲ ἑκατόν. ἔθους δὲ ὄντος πρότερον τῇ στρατιᾷ ἐπειδάν τινος κρατήσωσι λείας ἢ πλείονος ἢ ἐλάσσονος, τὴν πέμπτην μοῖραν παρέχειν ἀριστεῖον βασιλεῖ, καὶ μετ' ἐκεῖνον τῷ μεγάλῳ δομεστίκῳ ἴσην οἵα δὴ τῆς συμπάσης ἡγουμένῳ στρατιᾶς, τότε οὐδὲν ἐποίουν τῶν εἰωθότων. οὐδέ τις ἠνώχλει αὐτοῖς περὶ τῆς πέμπτης, ἀλλ' ὥσπερ ἐξ ἀεννάων ποταμῶν ἐξῆν ἑκάστῳ ὅσων ἂν βούλοιτο κύριος γενέσθαι. τοιαῦτα μὲν Ἀλβανοὶ πρότερον τοὺς ἑσπερίους ἠδίκουν, τοιαύτην δὲ ἔδοσαν τὴν δίκην ὑπὲρ ὧν ἠδίκουν ὕστερον. πόλεις δὲ αἱ πρότερον πάσχουσαι κακῶς διπλῆς ἀπήλαυσαν εὐεργεσίας, ἐπηρείας τε τῆς παρὰ Ἀλβανῶν ἀπηλλαγμένοι καὶ τῆς βασιλέως ἀπολαύσαντες ἐπιδημίας καὶ προνοίας· ὃ μείζω καὶ λαμπροτέραν αὐτοῖς τὴν ἡδονὴν ἐποίει καὶ ἑορτὴν ἦγον τὴν πασῶν χαριεστάτην. ἀπὸ γὰρ τῶν Κομνηνοῦ τοῦ Μανουὴλ βασιλέως χρόνων ἄχρις Ἀνδρονίκου τῶν Παλαιολόγων τοῦ δευτέρου βασιλέως ἕτερος βασιλεὺς οὐκ ἐπεδήμησεν αὐτοῖς οὐδὲ προνοίας ἠξίωσε τοσαύτης. [20]

1 499 διὸ καὶ τὴν ἐπιδημίαν αὐτοῦ οὐχ ὡς τῶν ἐπιγείων τινὸς, τῶν κρειττόνων δὲ ἦγον. τοὺς μὲν οὖν Πέρσας μετὰ τὸ καταδουλώσασθαι Ἀλβανοὺς ἀπέπεμπεν ὁ βασιλεὺς εἰς τὴν οἰκείαν, οἳ καὶ διὰ Θετταλίας καὶ Βοττιαίας εἰς Θεσσαλονίκην καταντήσαντες, ἐκεῖθεν ταῖς ναυσὶν ἐπεραιώθησαν πρὸς Ἰωνίαν. αὐτὸς δὲ διενοεῖτο ὡς εἰς Ἀκαρνανίαν ἐμβαλῶν. ἔτι δὲ κατὰ τὰ Βαλάγριτα διατρίβοντι λόγος Ἀκαρνάσι πολὺς ἐγίνετο περὶ αὐτοῦ. φήμη γὰρ διῄει ὡς αὐτοῖς ἐπιστρατεύσει. οἱ μὲν οὖν μὴ δέχεσθαι ταῖς πόλεσιν ἠξίουν, μηδὲ τῆς παλαιᾶς εὐνοίας τῆς πρὸς τοὺς Ἀγγέλους ἀποστάντας, πολὺν ἤδη χρόνον ἄρξαντας αὐτῶν, ὑπὸ βασιλεῖ ὑποχειρίους γίνεσθαι, ἀλλὰ τῇ δεσπότου Ἰωάννου γυναικὶ τῇ βασιλίσσῃ Ἄννῃ, ἣ πρωτοβεστιαρίου θυγάτηρ ἦν Ἀνδρονίκου τοῦ Παλαιολόγου, ὃν ἱστορήκαμεν τοῦ πρὸς ἀλλήλους τελευταίου τῶν βασιλέων πολέμου μάλιστα αἰτιώτατον γεγενημένον, καὶ Νικηφόρῳ τῷ ἐκείνου παιδὶ τὴν πίστιν τηρεῖν βεβαίαν. οἱ δὲ ἀντέλεγον, καὶ δεῖν ἐβουλεύοντο δέχεσθαι βασιλέα καὶ μὴ πόλεμον κινεῖν. προσχωρήσαντας γὰρ νῦν τῷ βασιλεῖ, τήν τε χώραν διατηρήσειν καὶ σφᾶς αὐτοὺς τῶν ἐκ τοῦ πολέμου ἀπειράτους κακῶν, καὶ βασιλίσσῃ καὶ Νικηφόρῳ τῷ ἐκείνης παιδὶ παρὰ βασιλέως τὰ συμφέροντα αἰτήσειν· ἐὰν δὲ καταστῶσι πρὸς τὸν πόλεμον, πρῶτον μὲν οὐ δυνήσεσθαι πρὸς βασιλέα ἀντισχήσειν, οὐ μόνον διὰ τὸ πολλὴν ἄγειν στρατιὰν, ἀλλ' ὅτι καὶ ὁ

ἀντιστρατηγήσων αὐτῷ καὶ πρὸς τὸν πόλεμον ἀντικαταστησόμενος οὐκ ἔστι, Νικηφόρου τοῦ δεσπότου παιδὸς οὔπω ἔτη ἑπτὰ γεγενημένου. [20]

1 500 εἰ δὲ καὶ ἀντιστῆναι δυνήσονται πρὸς χρόνον, οὐδὲν λυσιτελήσειν πλέον, ἢ ὅσον τῆς τε χώρας ἀναστάτου γινομένης καὶ τῆς στρατιᾶς διεφθαρμένης, τελευταῖον βασιλεῖ καὶ αὐτοὺς ὑπ' ἀνάγκης προσχωρεῖν οὐκ ἐπὶ τοῖς αὐτοῖς ὥσπερ νῦν, ἀλλὰ χείροσι πολλῷ, ὀργῇ φερομένου βασιλέως πρὸς αὐτοὺς διὰ τὸν πόλεμον. τοιαῦτα δὲ αὐτοῖς ἐπῄει λέγειν, οὐ μόνον οἰομένοις ἑαυτοῖς τε καὶ τοῖς ἄλλοις τὴν βουλὴν λυσιτελεῖν, ἀλλὰ καὶ τὰ βασιλέως πράττουσιν ἀφανῶς, κρύφα διὰ γραμμάτων πρὸς αὐτοὺς διειλεγμένου καθ' ὅσον χρόνον ἐληΐζετο καὶ ἐπόρθει Ἀλβανούς. οὕτω δ' ἑκατέροις αὐτοῖς βουλευομένοις ἀλλήλοις ἐναντία ἐδόκει δεῖν καὶ βασιλίσσῃ τὴν βουλὴν ἀνατιθέναι ὡς ἄττα ἂν ἔλοιτο αὐτὴ, διαπραξομένων καὶ αὐτῶν. ἡ δὲ πρῶτα μὲν ὡμολόγει χάριτας αὐτοῖς πολλὰς, ὡς οὐχ ὑπὲρ ἑαυτῶν μόνον, ἀλλὰ καὶ αὐτῆς καὶ τοῦ παιδὸς πρόνοιαν ποιουμένοις. συνεβούλευέ τε μὴ πρὸς βασιλέα πόλεμον κινεῖν ὡς οὐκ ἀπαλλάξοντας καλῶς, οἷα δὴ αὐτῆς μὲν οὔσης γυναικὸς, τοῦ παιδὸς δὲ νηπίου, αὐτῶν δὲ διὰ τὴν ἀναρχίαν στασιασόντων πρὸς ἀλλήλους καὶ διαφθαρησομένων· ἀλλὰ πρεσβείαν πρὸς βασιλέα πέμπειν, τοὺς συνετωτάτους ἑαυτῶν καὶ μάλιστα εἰδότας πράγμασι χρῆσθαι ἀπολεξαμένους, καὶ πρῶτα μὲν αἰτεῖν τὴν μεγάλου δομεστίκου θυγατέρα Νικηφόρῳ τῷ ἐκείνης παιδὶ κατεγγυᾶν· ἔπειτα, εἰ μὲν οἷόν τε ᾖ, αὐτονόμους ἐᾶν, τὴν ἰδίαν ἀρχὴν ᾗ βούλονται διοικεῖν αὐτοί· στρατιὰν δὲ παρέχειν ὅση πάρεστι πολεμησείουσαν οἷς ἂν κελεύοι βασιλεὺς, καὶ αὐτὸν ὁμοίως ἄν τις αὐτοῖς ἐπίῃ, συμμαχίαν πέμπειν. [5]

1 501 ἂν δὲ μὴ βούλοιτο ἐπὶ τούτοις βασιλεὺς, ἀλλ' ὑφ' ἑαυτῷ παντάπασι τὴν ἡμετέραν ποιεῖσθαι ἀρχὴν φιλονεικοίη, ὅσαπερ ἂν δοκοίη ἐμοί τε καὶ υἱῷ καὶ ὑμῖν λυσιτελεῖν αἰτησαμένους, τῆς ἀρχῆς καὶ τῶν πόλεων παραχωρεῖν καὶ μὴ διὰ φιλονεικίαν ἑαυτούς τε καὶ τὴν χώραν τοῖς ἐκ τοῦ πολέμου κακοῖς ἐσχάτοις περιβάλλειν. λγ'. Τοιαῦτα μὲν βασίλισσα παρῄνει Ἀκαρνάσιν. ἐπεὶ δὲ πλείους ἦσαν οἱ βουλόμενοι τὰ ἴσα, (ὀλίγοι γὰρ ἦσαν οἷς πρὸς βασιλέα πολεμητέα ἐδόκει εἶναι,) ἐπεψηφίζετο ἡ βουλὴ, καὶ πρεσβείαν ἀπελέξαντο ἑαυτῶν τοὺς μάλιστα συνετωτάτους, οἷς ἐπετέτραπτο πρὸς βασιλέα ἀπελθοῦσιν ἄττα ἂν μάλιστα συμφέρειν πᾶσι κοινῇ καὶ ᾗ δυνατὰ πράττειν. οἳ καὶ εἰς Βαλάγριτα ἐλθόντες προσεκύνησάν τε βασιλέα καὶ διειλέχθησαν περὶ ὧν ἧκον. βασιλεὺς δὲ τὸ μὲν Νικηφόρῳ τῷ δεσπότου παιδὶ τὴν μεγάλου δομεστίκου θυγατέρα πρὸς γάμον συνάπτειν, καὶ αὐτῷ εἶναι κατὰ γνώμην εἶπε, καὶ τὸν γάμον ἐπιτρέπειν· καὶ περιόντος γὰρ ἔτι δεσπότου τοῦ Νικηφόρου πατρὸς πρεσβείαν τούτου ἕνεκα πεπομφότος πρὸς αὐτὸν ἐπιτετραφέναι. βασιλίσσης τε τῆς ἐκείνου μητρὸς καὶ θυγατέρων πρόνοιαν τὴν προσήκουσαν ποιήσεσθαι, ἀποστάσης τῆς ἀρχῆς, ὥστε διάγειν ὅποι ἂν αὐτῷ βέλτιον δοκῇ. [25]

1 502 αὐτούς τε εὐεργετήσειν τιμαῖς τε καὶ προσόδοις ἐτησίοις ὧν ἂν ἕκαστος ἄξιος κριθῇ. αὐτονόμους δὲ αὐτοὺς ἔχοντας Ἀκαρνανίας τὴν ἀρχὴν, οὐκ ἂν παρόψεσθαι, ἀλλ' ἐπιχειρήσειν παντὶ τῷ τρόπῳ καταδουλοῦν καὶ ὑπάγειν ἑαυτῷ. καὶ βασιλέας γὰρ τοὺς αὐτοῦ προγόνους πολλὴν φροντίδα πεποιῆσθαι τοῦ Ἀκαρνανίαν ὑφ' ἑαυτοὺς ποιεῖσθαι, ἀδίκως ἀποτετμημένην τῆς Ῥωμαίων ἡγεμονίας, τῶν πρώτως αὐτὴν ἀποστησάντων αὐθαδείᾳ καὶ ἀγνωμοσύνῃ τῇ πρὸς βασιλέα εἰς ἰδίαν ἑαυτοῖς ἀρχὴν περιποιησαμένων καὶ κρατυναμένων ἐπὶ χρόνον ἤδη συχνόν τινα διὰ τὸ βασιλέας εἰς ἐθνῶν τινων πολέμους ἑτέρους ἠσχολῆσθαι. νυνὶ δὲ αὐτὸν ἀμελήσαντα τῶν ἄλλων, ἐνθάδε ἥκειν. εἰ μὲν οὖν ἐθέλωσιν ἄνευ πόνων καὶ κινδύνων τὰς πόλεις αὐτῷ παραδιδόναι, αὐτόν τε πραγμάτων ἀπαλλάξειν καὶ σφίσιν αὐτοῖς αἰτίους γενήσεσθαι μεγάλων ἀγαθῶν· ἐὰν δὲ μὴ, ὡς πολεμήσοντας αὐτῷ παρασκευάζεσθαι ἀπελθόντας. βασιλεὺς μὲν οὖν τοιαῦτα εἶπεν· οἱ πρέσβεις δὲ ὁρῶντες, ὡς εἰ μὴ πείθοιντο τοῖς βασιλέως λόγοις, οὐδενὸς ἑτέρου λειπομένου ἢ διαφθειρομένην ὑπὸ τοῦ πολέμου τὴν γῆν αὐτῶν ὁρᾷν, παρεσκευασμένης ἐσβαλεῖν οὔσης τῆς Ῥωμαίων στρατιᾶς, σφᾶς τε αὐτοὺς καὶ τὰς

πόλεις συνέβησαν παραδιδόναι· καὶ μετ’ οὐ πολὺ βασιλέως ἐκεῖ γενομένου, αἵ τε πόλεις πᾶσαι προσεχώρησαν ἑκοῦσαι καὶ ἡ στρατιὰ ἅμα τοῖς δυνατοῖς τῶν Ἀκαρνάνων. βασιλεύς τε ἐπιδεικνύμενος πρὸς αὐτοὺς πολλὴν τὴν πρᾳότητα καὶ φιλοτιμίαν, οὐ μόνον τοὺς τῶν πόλεων δήμους κοιναῖς εὐεργεσίαις ἐθεράπευσεν, ἀλλὰ καὶ τοὺς δυναμένους παρ’ αὐταῖς τιμαῖς τε καὶ προσόδοις ἐτησίοις καὶ ἄλλαις ἠμείψατο εὐεργεσίαις. [5]

1 503 Νικηφόρῳ τε τῷ δεσπότου παιδὶ τὴν μεγάλου δομεστίκου κατηγγύησε θυγατέρα, πάντα τε διαθέμενος ὡς ἂν αὐτῷ ἔχειν ἄριστα ἐδόκει, τὰς πόλεις πάσας τῆς Ἀκαρνανίας περιῄει οὐ μόνον ἱστορίας ἕνεκα, οὕπω πρότερον ἑωρακὼς, ἀλλὰ καὶ προνοίας ἀξιώσων τῆς δεούσης. οἱ μὲν οὖν ἄλλοι πάντες ἠγάπων ὑπὸ βασιλέα τεταγμένοι. οἷς δὲ καὶ πρότερον ἐδόκει μᾶλλον ὁ πόλεμος αἱρετέος, οὐκ ἠνείχοντο εἰ μὴ νεωτερίζοιεν· οἰόμενοι δὲ αὐτοῖς δύναμιν πρὸς τὸν πόλεμον παρέξειν τὸ Νικηφόρον τὸν δεσπότου παῖδα πρότερον ἐκθέσθαι, ὡς ἂν αὐτοί τε ὑπὲρ τοῦ παιδὸς δοκοῖεν πολεμεῖν, καὶ τοὺς ἄλλους πείθοιεν συναίρεσθαι, ὅταν καταστῶσιν εἰς τὸν πόλεμον, τὸν τοῦ παιδὸς ἔπεισαν παιδαγωγὸν Ῥιτζάρδον ἅμα καί τισιν ἑτέροις, Νικηφόρον τὸν δούκαν ὑπεκθέσθαι, καὶ παραλαβόντες νυκτὸς πλοίου τε τὸν Ἰώνιον περαιουμένου ἐπιβάντες, εἰς τὴν Τάραντος κρατοῦσαν πριγκίπισσαν διαφεύγουσι. πυθόμενος δὲ τὸν δρασμὸν ὁ βασιλεὺς καὶ μήτε τῶν συνεσκευακότων τὴν ἐπιβουλὴν εἰδὼς, ἀνακαλεῖσθαί τε τὸν παῖδα ὢν οὐ δυνατὸς διὰ τὸ πολὺ Ἀκαρνανίας Τάραντα διεστηκέναι, ἐπ’ ὀλίγον ταῖς πόλεσιν ἐκείναις ἐνδιατρίψας καὶ πάσαις ἡγεμόνας ἐπιστήσας ἐφ’ ἑκάστῃ, τόν τε πρωτοστράτορα Συναδηνὸν ἐπὶ πᾶσιν ἀποδείξας στρατηγὸν καὶ τἆλλα πάντα ὡς ἂν αὐτῷ ἐδόκει διοικησάμενος, ἄρας ἐκεῖθεν ἦλθεν εἰς Θεσσαλονίκην, χαίρων ἅμα καὶ θεῷ τῆς εὐεργεσίας χάριτας ὁμολογῶν, ὅτι ὃ πολλοῖς ἀναλώμασι καὶ πόνοις ἐκ τῶν Ἀλεξίου τοῦ Ἀγγέλου χρόνων τῆς Ῥωμαίων ἀποτμηθὲν ἡγεμονίας οἱ τούτου πρόγονοι βασιλεῖς ἀνασώσασθαι οὐκ ἴσχυσαν, τούτῳ νῦν ἄνευ πολέμων καὶ κινδύνων παρέσχε κατορθῶσαι. [5]

1 504 Μιχαήλ τε γὰρ ὁ πρῶτος ἐκ Παλαιολόγων ἄρξας πολλὴν ἐνεδείξατο σπουδὴν Ἀκαρνανίας ἕνεκα καὶ Θετταλίας, καὶ στρατιὰν ἀπώλεσε πολλήν τε καὶ ἀγαθὴν πολλάκις καὶ θαυμασίους στρατηγοὺς Ἀκαρνάσι καὶ Θετταλοῖς πολεμῶν· καὶ μετ’ αὐτὸν Ἀνδρόνικος ὁ υἱός. τούτῳ δὲ ὀλίγα πραγματευσαμένῳ καὶ οὐδὲν ὑποστάντι διὰ τὸν πόλεμον δεινὸν, οὐ μόνον Ἀκαρνανίαν, ἀλλὰ καὶ Θετταλίαν ἐξεγένετο παραστήσασθαι καὶ τῇ λοιπῇ συνάψαι ἡγεμονίᾳ τῇ Ῥωμαίων ἐπ’ ἔτεσι πολλοῖς ἀποτμηθέντα. ἐκεῖθεν δὲ οὐ πολὺ ὕστερον ἦκεν εἰς Ἀδριανούπολιν. διατρίβοντί τε ἐκεῖ ὁ τῶν Μυσῶν βασιλεὺς Ἀλέξανδρος ἔπεμψε πρεσβείαν ὧν πρὸς αὐτὸν ἐν Ῥωσοκάστρῳ περὶ τοῦ κήδους διειλέχθη λόγων ἂν ἀναμιμνήσκων, νυνί τε εἰ κατὰ γνώμην αὐτῷ εἴη τὴν ἐπιγαμίαν ποιεῖσθαι εἰδέναι ἀξιῶν. βασιλεῖ δὲ τοῦτο μὲν οὐκ ἦν καθ’ ἡδονήν. μᾶλλον γὰρ ἐβούλετο τὴν θυγατέρα οἴκοι διατρίβειν, ἢ Ἀλεξάνδρου τῷ υἱεῖ εἰς κοινωνίαν ἐκδιδόναι γάμου, τὴν παρὰ τοῖς βαρβάροις διατριβὴν εἰδὼς οὐκ ἐσομένην πρὸς ἡδονὴν τοῖς ἤθεσι καὶ νόμοις Ἑλληνικοῖς ἐντεθραμμένῃ καὶ βασιλικοῖς· τῷ κοινῷ δὲ Ῥωμαίων τὸν γάμον οἰόμενος τῆς θυγατρὸς λυσιτελεῖν, ὑπέσχετο ποιήσειν. [20]

1 505 οἱ μὲν οὖν Ἀλεξάνδρου τοῦ βασιλέως πρέσβεις πρὸς τὴν οἰκείαν ἐπανῆκον χαίροντες, ὅτι βασιλέα πεῖσαι ἠδυνήθησαν περὶ τοῦ κήδους. αὐτὸς δὲ βασιλεὺς ἐκ τῆς Ἀδριανοῦ πρὸς τὸ Βυζάντιον ἦκεν, ὡς τῆς θυγατρὸς ἐξαρτυσόμενος τοὺς γάμους. λδ′. Ὄντος δὲ ἤδη περὶ ἐκβολὰς τοῦ θέρους, ἠγγέλλετο ἐκ Τριγλείας τῆς πρὸς Ἑλλήσποντον, ὡς στρατιὰ Περσῶν πεζὴ ἐκ τῶν κατὰ τὴν ἕω πόλεων λογάδες, ὧν Ὀρχάνης ἐστὶ σατράπης, ἓξ καὶ τριάκοντα ναυσὶ πρὸς τὰ περὶ Βυζάντιον χωρία εἰσὶ παρεσκευασμένοι περαιοῦσθαι ἢ ταύτῃ καθ’ ἣν ἠγγέλλετο τὴν νύκτα ἢ ἐς τὴν ὑστεραίαν. εἶναι δὲ οὕτω παρεσκευασμένους ὡς οὐ ταχέως ἐπανήξοντας οὐδὲ λαθραίαν τὴν ἁρπαγὴν ποιησομένους, ἀλλ’ ἀναίδην καὶ μετὰ πολλοῦ τοῦ περιόντος ἅπαντα λῃϊσομένους. παρασκευάσασθαι μὲν οὖν ἀντίῤῥοπον δύναμιν πρὸς τὴν Περσικὴν οὐκ ἐνῆν, οὐκ

ἐνδιδόντος τοῦ χρόνου διὰ τὴν ταχεῖαν τῶν βαρβάρων ἔφοδον· ὅμως δὲ τὴν τότε παρατυχοῦσαν ἐν Βυζαντίῳ στρατιὰν εὐαρίθμητόν τινα οὖσαν τὸν μέγαν δομέστικον ἐκέλευεν ὁ βασιλεὺς παραλαβόντα, πρὸς τὰ περὶ Βυζάντιον χωρεῖν παράλια χωρία, τὴν ἔφοδον τῶν βαρβάρων περιμένοντα. αὐτὸς δὲ ὡς ἅμα ἐκ θαλάσσης ἐπιθησόμενος, ἐφώπλιζε τριήρεις. ὁ μέγας μὲν οὖν δομέστικος πρός τινι χωρίῳ Ἐννακόσια προσαγορευομένῳ ἐγκαθίδρυσε τὴν στρατιάν· κατασκόπους τε καταστήσας ἐφ' ὅσα μάλιστα χωρία ἀπόβασιν ὑπώπτευε τῶν Περσῶν, διενυκτέρευεν ἐκεῖ. [25]

1 506 περὶ δὲ ὄρθρον ἐκ τῶν κατασκόπων τινὲς ἀπήγγελλον, ὡς οἱ βάρβαροι τοῖς ἐκεῖ αἰγιαλοῖς τὴν ἀπόβασιν ἐποιήσαντο, καὶ τεκμήριον ἀληθὲς τῆς ἀγγελίας ἐποιοῦντο τὸ τραυματίαι γεγενῆσθαι παρ' αὐτῶν. οἱ βάρβαροι δὲ οὐκ ἐφ' ἑνὶ χωρίῳ προσέσχον πάντες, ἀλλ' οὐ μακρὰν ἀλλήλων διεστηκότες, δύο ναυλοχίας ἐποιήσαντο· οἱ μὲν οὖν ἐκ τῆς μιᾶς μερίδος πρὸς ἕτερα ἐτράποντο χωρία, οἱ δὲ τῆς ἑτέρας ὥσπερ σκοπούς τινας ὀλίγους ἑαυτῶν προπέμψαντες, οἱ λοιποὶ συντεταγμένοι ᾖεσαν, ὡς διὰ τῶν χωρίων ἐκείνων ἐλευσόμενοι, οἷς ὁ μέγας δομέστικος ἐνήδρευεν. ὡς δὲ οἱ προτεταγμένοι ἐκεῖνοι ἐγένοντο πλησίον τῆς Ῥωμαίων στρατιᾶς, πλὴν ὀλίγων πάντες ἔπεσον, ἀπροσδοκήτοις ἐμπεσόντων· ὅσοι δὲ διεσώθησαν, εἰς τὴν αὐτῶν ἐλθόντες στρατιὰν, ἀπήγγελλον ὡς διαφθαροῖεν, στρατιᾷ περιτυχόντες ὀλίγῃ μὲν, ὡς ᾠήθημεν, (καθαρῶς οὐκ ἔχοντες διὰ τὴν νύκτα διαγνῶναι,) ἀγαθῇ δὲ καὶ τὰ πολέμια κρατίστῃ. ὃ δὴ καὶ οἱ τῆς Περσικῆς ἄρχοντες πυθόμενοι στρατιᾶς, παρεσκευάσαντο ὡς ἐπὶ μάχην. ἐπιγενομένης δὲ ἤδη καὶ ἡμέρας, συνεπλέκοντο οἵ τε Ῥωμαῖοι καὶ οἱ βάρβαροι ἀλλήλοις καὶ ἀντέσχον μὲν ἐπὶ πολὺ, τῶν παρὰ Πέρσαις ἐπιφανῶν ὄντες καὶ γνωρίμων πάντες· ὅμως νικηθέντες κατὰ κράτος, πλὴν ἑπτὰ οἱ μὲν ἀπέθανον παρὰ τὴν μάχην, οἱ δ' ἐάλωσαν. τῇ αὐτῆς δὲ ὥρας καὶ ὁ βασιλεὺς δυσὶ τριήρεσι παρέπλει, ἃς ἦν τῆς νυκτὸς πεπληρωκώς· ἕτεραι γὰρ οὐκ ἔτυχον οὖσαι πλώϊμοι. [20]

1 507 πυθόμενος δὲ ὡς οἱ μὲν τῶν βαρβάρων ἡττηθεῖεν παρὰ μεγάλου δομεστίκου καὶ τῆς στρατιᾶς, ἐπὶ δὲ τοὺς ἑτέρους ἤδη παρασκευάζονται χωρεῖν, ἀποβὰς τῆς τριήρεως, ἐπεὶ τῶν βασιλικῶν οὐ παρῆσαν ἵπποι, τοῦ μεγάλου δομεστίκου ἵππῳ ἐπιβὰς, ἄγων καὶ τὴν στρατιὰν ἐχώρει κατὰ τῶν Περσῶν σπουδῇ πολλῇ καὶ προθυμίᾳ. καὶ γενόμενος καθ' ἃ οἱ Πέρσαι ἐληΐζοντο χωρία, συνέβαλλέ τε καὶ ἐνίκα κατὰ κράτος. πλὴν γὰρ ὀλίγων καὶ αὐτοὶ οἱ μὲν ἔπεσον κατὰ τὴν μάχην, οἱ δ' ἐάλωσαν. ὅσοι δὲ τὸ διαφθαρῆναι ἠδυνήθησαν διαφυγεῖν, παρὰ τὰς ναῦς τὰς ἑαυτῶν ἐλθόντες, μίαν μὲν ἐπλήρουν, δυσὶ δὲ ἑτέραις, τῇ μὲν ὀκτὼ, δέκα δὲ τῇ ἑτέρᾳ ἐπιβάντες, ἱστία τε ἄραντες καὶ πνεύματος εὐτυχηκότες ἐπιφόρου, παρὰ δόξαν διέφυγον τὸ ἀπολέσθαι, οὕτως ἄνωθεν τοῦ θεοῦ καὶ τὴν σωτηρίαν καὶ τὴν ἧτταν τοῖς βαρβάροις πρυτανεύοντος. αἱ γὰρ μετὰ βασιλέως ἐλθοῦσαι δύο τριήρεις, ἐπεὶ τὰς Περσικὰς εἶδον ἀραμένας πρὸς τὸ πέλαγος ἱστία ἐπὶ φυγῇ, τῇ εἰρεσίᾳ τὴν δίωξιν ἀπαγορεύσαντες διὰ τὸ μηκόθεν τὰς Περσικὰς ὁρᾷν ἐπιφόρῳ πνεύματι χρωμένας, αἴρειν ὥρμηντο ἱστία καὶ αὐτοί. ἅμα δὲ αἰρόντων, τῶν μὲν ἐῤῥάγησαν οἱ κάλω οἷς ἀνῆγον τὴν κεραίαν· τῶν ἑτέρων δὲ ἡ κεραία καταχθεῖσα κατέπεσεν ἐπὶ τοῦ καταστρώματος. καὶ οὕτως ἀπέσχοντο τὸ διώκειν ἀπειπόντες. αἱ λοιπαὶ δὲ πέντε τρεῖς καὶ τριάκοντα οὖσαι νῆες Περσικαὶ κατελείφθησαν ἐπὶ τοῦ αἰγιαλοῦ κεναί. [20]

1 508 βασιλεὺς δὲ μετὰ τῆς στρατιᾶς καὶ αἱ τριήρεις ηὐλίσαντο αὐτοῦ τὴν νύκτα σκυλεύοντες τοὺς νεκροὺς τῶν πολεμίων. τῆς αὐτῆς δὲ νυκτὸς περὶ μέσην ἕτεροι βάρβαροι ἐννέα ναυσὶ, μηδὲν εἰδότες τῶν γεγενημένων, κατέπλεον ἐπὶ τοὺς αὐτοὺς αἰγιαλοὺς ὡς συμμίξοντες τοῖς ἄλλοις. ἀπροσδοκήτως δὲ ταῖς δυσὶ τριήρεσι περιπεσόντες τῶν Ῥωμαίων κατεπλάγησαν μὲν τῷ ἀδοκήτῳ· πλὴν διὰ τὴν ὀλιγότητα θαῤῥήσαντες αὐτῶν, συνεπλέκοντο πρὸς μάχην. καὶ παρ' ὀλίγον μὲν ἦλθον τὰς τριήρεις διαφθεῖραι. ἐπέβησαν γὰρ οἱ βάρβαροι καὶ τῆς μιᾶς. πλὴν πρὸς ἀλκὴν τραπόμενοι οἱ τριηρῖται ἐνίκησάν τε καὶ πασῶν ἐκράτησαν Περσικῶν νεῶν, μιᾶς

διαδρᾶναι δυνηθείσης. ἦσαν δὲ καὶ οὗτοι ὥσπερ καὶ οἱ πρότεροι λογάδες τῶν παρὰ Πέρσαις ὀνομαστοτάτων. ὅθεν καὶ οἱ στρατιῶται τοὺς ἁλόντας αὐτῶν πολλῶν ἔλυσαν χρημάτων ἐκ τῶν οἰκείων μεταπεμπομένους. οἱ μὲν δὴ βάρβαροι οὕτως ἀπώλοντο κακοὶ κακῶς. βασιλεὺς δὲ ἐπεὶ τὰ πρὸς τοὺς γάμους τῆς θυγατρὸς πάντα παρεσκευασμένα ἦν, ἅρας ἐκ Βυζαντίου, ἦκεν εἰς Ἀδριανούπολιν, ἐκεῖ τοὺς γάμους ἐκτελέσων. ἦκε δὲ καὶ ὁ τῶν Μυσῶν βασιλεὺς Ἀλέξανδρος ἄγων καὶ τὸν υἱὸν Ἀσάνην Μιχαὴλ, βασιλέα καὶ αὐτὸν κεχειροτονημένον ὑπ' αὐτοῦ. καὶ εὐλογίαι μὲν καὶ ὅσα ἱερῶς νενόμισται ἐπὶ τοῖς γάμοις ἔνδον ἐτελοῦντο τῆς πόλεως Ἀδριανοῦ· εὐωχίαι δὲ καὶ πότοι καὶ ὅσα πρὸς τέρψιν ἐξεύρηντο τῆς ἑορτῆς, παρὰ τοὺς τῆς Κομνηνῆς προσαγορευομένους λειμῶνας οὐ πολὺ τῆς πόλεως διεστηκότας παρὰ τὴν Τοῦντζαν ὠνομασμένον ποταμόν. [20]

1 509 ὀκτὼ δὲ ἡμέραις Ῥωμαίων τε καὶ Μυσῶν τοὺς τῶν σφετέρων βασιλέων γάμους συνεορτασάντων, τῇ ἐννάτῃ ἅμα ἕῳ βασιλεὺς Ἀλέξανδρος καὶ Μυσοὶ τὴν βασιλέως θυγατέρα, βασιλίδα δὲ αὐτῶν Μαρίαν τὴν Παλαιολογίναν παραλαβόντες, ἀνεχώρησαν εἰς τὴν Μυσίαν· εἵποντο δὲ αὐτῇ καὶ Ῥωμαίων ἐκ τῶν ἐπιφανῶν πολλοὶ ἄχρι Τρινόβου. ἐκεῖ δὲ ὑπολελειμμένων τῶν παρὰ βασιλέως τεταγμένων ἀεὶ τῇ θυγατρὶ συνεῖναι, οἱ λοιποὶ ἀνεχώρησαν ἐπ' οἴκου. μετὰ δὲ χρόνον οὐκ ὀλίγον οἱ παρὰ Ἀκαρνάσι μὴ βουλόμενοι δουλεύειν βασιλεῖ, ἀλλὰ καὶ τοὺς ἄλλους πρότερον ἐξορμῶντες πρὸς τὸν πόλεμον, καιρὸν ἑαυτοῖς πρὸς νεωτερισμὸν εἶναι τὴν βασιλέως ἀποδημίαν οἰηθέντες καὶ ἑτέρους προσεταιρισάμενοι πολλοὺς, Ἄρταν μὲν, ἣ τῆς Ἀκαρνανίας ὡς παρὰ κεφάλαιον τῶν πόλεών ἐστι, Νικόλαος ὁ Βασιλίτζης κατέσχεν, ἅμα Καβασίλᾳ ἀποστήσας βασιλέως, καὶ τὸν πρωτοστράτορα αὐτόθι διατρίβοντα εἰς δεσμωτήριον ἤγαγον ὑπὸ φρουρᾷ· Ἀλέξιος δὲ Καβασίλας τὴν Ῥωγώ. τεσσαράκοντα δὲ τῆς αὐτῆς συνωμοσίας ἕτεροι τὸ Θωμόκαστρον ὀνομαζόμενον παράλιον ὃν κατὰ τὴν θάλασσαν τὴν πρὸς Ἀδρίαν, τῶν ἄλλων ἁπάντων οὐκ ἀποστάντων βασιλέως, ἀλλὰ τὴν εὔνοιαν ἀκμάζουσαν τηρούντων. ἦσαν δὲ οὐκ ὀλίγαι πόλεις, τό,τε Μεσοπόταμον ὀνομαζόμενον, καὶ ὁ Σοποτὸς καὶ ἡ Χειμάῤῥα· πρὸς τούτοις τε τὸ Ἀργυρόκαστρον καὶ ἡ Πάργα καὶ ὁ Ἅγιος Δονάτος καὶ Ἀγγελόκαστρον καὶ Ἰωάννινα, ὅ,τε Εὐλοχὸς καὶ τὸ Βάλτον καὶ ἕτερ' ἄττα φρούρια οὐκ ὀλίγα. [20]

1 510 ἐκεῖνοι δὲ οἱ ἀποστάντες βασιλέως πρεσβείαν πρὸς πριγκίπισσαν τὴν Τάραντος δεσπότιν πέμψαντες, Νικηφόρον τε τὸν παῖδα ᾐτοῦντο δεσπότου ὡς σφῶν ἄρξοντα κατὰ πατρῷον κλῆρον, καὶ συμμαχίαν, μεθ' ἧς καὶ τὰς ἄλλας δυνήσονται πόλεις ἀποστῆσαι βασιλέως, ἢ ἑκούσας προσχωρησάσας ἢ βιασάμενοι τοῖς ὅπλοις. πριγκίπισσα δὲ ἡδέως τε ἐδέξατο Νικηφόρον φυγόντα πρὸς αὐτὴν, (ἤλπισε γὰρ Ἀκαρνανίας κρατήσειν δι' αὐτοῦ,) καὶ πάλιν ἐπεὶ ἐπύθετό τινας βασιλέως ἀποστάντας καὶ προσχωρήσαντας αὐτῷ, ἐξέπεμπε προθύμως, καὶ μίαν ἐκείνῳ τῶν θυγατέρων (δύο δὲ ἦσαν αὐτῇ) κατεγγυήσας συμμαχίαν τε παρασχομένη ὅση δυνατή. ἡ γὰρ πριγκίπισσα αὕτη δὴ ἀπόγονος οὖσα Βαλδουΐνου, ὃς Βυζαντίου ἐβασίλευσεν ἐπὶ καιρὸν, καθ' ὃν ὑπὸ Λατίνοις ἑάλω χρόνον, τόν τε πρόγονον ὡς βασιλέα Ῥωμαίων διεθρύλλει καὶ ἑαυτὴν βασιλίδα προσηγόρευε Ῥωμαίων ὡς ἀπόγονον ἐκείνου. διὸ καὶ διὰ σπουδῆς ἁπάσης ἐποιεῖτο μέρους ἄρξαι τινὸς τῆς ὑπὸ τοὺς Ῥωμαίων βασιλέας οὔσης ἀρχῆς. οὗ δὴ ἕνεκα καὶ τότε Νικηφόρον ἐξέπεμπε διὰ σπουδῆς καὶ δύναμιν παρασχοῦσα ναυτικὴν, οἰομένη ἂν Ἀκαρνανίας αὐτὸς ἄρξῃ τῇ θυγατρὶ ἐκείνης συνοικῶν, τὴν ἐπιθυμίαν ἠνυκέναι, ὃς δὴ καὶ Θωμοκάστρῳ ἐνδιῆγεν ὄντι παραλίῳ. βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο περὶ τῶν κατὰ τὴν Ἀκαρνανίαν, στρατεύειν μὲν αὐτὸς οὐκ ᾤετο δεῖν τὸ νῦν ἔχον ἐπ' αὐτοὺς, ἤδη περὶ ἐκβολὰς τοῦ φθινοπώρου ὄντος· Ἰωάννην δὲ Ἄγγελον τὸν πιγκέρνην ἅμα Μονομάχῳ ἐκέλευσεν ἀναλαβόντα στρατιὰν χωρεῖν ἐπὶ Ἀκαρνανίαν, κἀκεῖ διαχειμάζειν, ἅμα μὲν ταῖς ὑπὸ βασιλέα τελούσαις ἔτι πόλεσι δύναμιν παρέχοντας καὶ δέος τοῦ μὴ συναφίστασθαι ταῖς ἄλλαις· ἅμα δὲ

καὶ τὰς ἀφεστηκυίας εἰ μὴ τελείως, ἀλλ᾽ ἐκ μέρους πολιορκήσοντας λεηλασίαις, ὡς ἂν ἅμα ἦρι βασιλεῖ ἐπιστρατεύσαντι ῥᾳδίαι εἶεν παραστήσασθαι, προτεταλαιπωρηκυῖαι τοῦ χειμῶνος καὶ πολλῶν ἀναπεπλησμέναι κακῶν ἐκ τοῦ πολέμου. [10]

1 511 πιγκέρνης μὲν οὖν κατὰ τὰ προστεταγμένα ὑπὸ βασιλέως ἅμα στρατιᾷ εἰς Ἀκαρνανίαν διαχειμάσας, τάς τε οὔσας ὑπηκόους βασιλεῖ πόλεις διεφύλαξε καὶ τὰς ἀποστάσας ἐκάκου. ἅμα δὲ ἦρι καὶ ὁ βασιλεὺς πανστρατιᾷ ἐπὶ Ἀκαρνανίαν ἦλθε. καὶ τοὺς μὲν τῶν ἄλλων πόλεων δήμους καὶ τοὺς δυνατοὺς τῆς εἰς αὐτὸν εὐνοίας ἕνεκα ἠμείβετο πολλαῖς εὐεργεσίαις, τὴν στρατιὰν δὲ διελόμενος τριχῇ, τὰς ἀποστάσας πόλεις συντονώτατα ἐπολιόρκει. Θωμόκαστρον μὲν οὖν, ἔνθα καὶ Νικηφόρος διῆγεν ὁ δοὺξ, διέφερε ῥᾳδίως τὴν πολιορκίαν, ἅτε ἐξ ἠπείρου τῶν Ῥωμαίων μόνον πολιορκούντων· κατὰ γὰρ τὴν θάλατταν ὅσων ἐδεῖτο εἰσῆγέ τε καὶ ἐξῆγε, δύναμιν μὴ ἔχοντος βασιλέως ναυτικήν. Ἄρτα δὲ καὶ Ῥωγὼ οὖσαι ἠπειρώτιδες, πολλὴν ὑπέμενον τὴν ἔνδειαν ἐκ τῆς πολιορκίας, οὐδὲν πλέον δυνάμενοι ἐπεισάγειν πλὴν τῶν ἐπὶ τοῦ χειμῶνος πρὶν βασιλέα ἀφικέσθαι παρεσκευασμένων, καὶ φλαύρως εἶχον σίτου τε καὶ τῶν ἄλλων ἐπιτηδείων ἀπορίᾳ. [20]

1 512 καίπερ δὲ οὕτω πρὸς τὴν πολιορκίαν ἀνεπιτηδείως παρεσκευασμένοι, οὐδὲν μᾶλλον ὑφεῖσαν τῆς πικρίας, οὐδὲ ἠνείχοντο ἄχρι λόγων τὸ ὑπείκειν αὖθις βασιλεῖ· ἀλλὰ πάντα μᾶλλον ᾠοντο ὑπομενετέον εἶναι καὶ τῶν πρὸς τροφὴν ἀθεμίτων ἅπτεσθαι, ἢ παραδιδόναι βασιλεῖ τὰς πόλεις. βασιλεὺς δὲ Ἄρταν ἐπολιόρκει αὐτὸς παρών· καὶ τειχομαχίας τε ἐποιεῖτο καρτερὰς καὶ συνεχεῖς καὶ μηχανήματα πάντα, ἐξ ὧν ᾤετο παραστήσεσθαι, προσῆγεν. Ἀρταῖοι δὲ πρωτοστράτορα μὲν τοῦ δεσμωτηρίου ἐκλαβόντες, ἐξέπεμψαν ὡς βασιλέα, εἴτε μή τι νεωτερισθείη παρ᾽ αὐτοῦ τινων δείσαντες συστάντων πρὸς αὐτὸν, εἴτε τι διανοηθέντες ἕτερον· αὐτοὶ δὲ ἀπὸ τῶν τειχῶν ἠμύνοντο καρτερῶς καὶ ἀπράκτους ἀπεδείκνυον πάσας μηχανὰς καὶ τειχομαχίας. τριβομένου δὲ τοῦ χρόνου κατὰ τὴν πολιορκίαν, (ἀπὸ γὰρ ἦρος μάλιστα ἀρχῆς ἄχρι ἐκβολῆς τοῦ θέρους ἐπολιορκοῦντο,) ἔγνω δεῖν ὁ βασιλεὺς Καβασίλᾳ εἰς Ῥωγὼ ἀπελθὼν δι᾽ ἑαυτοῦ διαλεχθῆναι, νομίζων πείσειν ὑπενδοῦναι τῆς φιλονεικίας καὶ τὴν πόλιν παραδοῦναι ἀμαχεί. ὁ δὲ τοσοῦτον ἐδέησε τοῦ πείθεσθαι αὐτῷ ὥστε καὶ ἠπείλησεν, ὡς εἰ συμβαίη καθ᾽ ἡντιναοῦν αἰτίαν βασιλέα ἐγκρατῆ Ῥωγοῦς γενέσθαι, κατακρημνίσειν ἑαυτὸν ἀπὸ τοῦ πύργου, ἵνα μὴ ζῶν ἁλοὺς, ἀναγκασθῇ δουλεύειν αὖθις βασιλεῖ. τοσοῦτον ἀπεχθείας αὐτῷ καὶ μήνιδος περιῆν. λε′. [20]

1 513 Ὁ μέγας δὲ δομέστικος μεμνημένος ὡς Καβασίλας οὑτοσὶ, ὅτε πρῶτον Ἀκαρνανίαν προσεποιήσατο αὐτῷ ὁ βασιλεὺς, πολλὰ αὐτοῦ πολλάκις ἐδεήθη τοῖς φίλοις συναριθμηθῆναι αὐτοῦ καὶ τοῖς οἰκείοις, καὶ πολλῆς ἀπέλαυσε προνοίας τῆς αὐτοῦ πεισθέντος πρὸς τὴν αἴτησιν, ἐλπίσας τέ τι ἐκ τῆς πρὸς αὐτὸν ἀνύσειν Καβασίλα φιλίας, τῶν οἰκείων ὀλίγους παραλαβὼν, ἦλθεν εἰς Ῥωγώ. Καβασίλας δ᾽ ἐπεὶ ἀπὸ τοῦ τείχους ἑώρα προσιόντα, πέμψας ἐδεῖτο, μὴ ἐγγὺς τειχῶν γενέσθαι. ἦ γὰρ ἀνάγκη συντυγχάνειν παρὰ γνώμην, (πεπεικέναι γὰρ ἑαυτὸν καθάπαξ ἀφίστασθαι Ῥωμαίων,) ἢ ἀπωθεῖσθαι· ὃ καὶ αὐτὸ παντὸς ἐπαχθέστερον κακοῦ, καὶ οὐχ ἥκιστα παντὸς ἀνιαρώτερον. ὁ μέγας δὲ δομέστικος οὐδὲν ἔφασκε τοὺς λόγους εἶναι πρὸς αὐτόν. αὐτὸς γὰρ ἐπαγγειλάμενος Καβασίλᾳ εἶναι φίλος, τὰ προσήκοντα φίλοις μὴ κατοκνεῖν ποιεῖν. ἂν δ᾽ αὐτὸς διωθῆται προσιόντα, τῇ σφετέρᾳ δόξῃ λυμανεῖσθαι, ἀγνώμονα περὶ τοὺς φίλους καὶ τὴν γνώμην εὐμετάβολον ἀποδεικνύντα ἑαυτὸν, καὶ ταῦτα πρότερον αὐτὸν δεηθέντα καὶ πείσαντα τοῖς φίλοις τοῖς ἐμοῖς καταγραφῆναι. Καβασίλας δὲ καὶ αὐτὸς διϊσχυρίζετο, μήτε βούλεσθαι, μήτε δύνασθαι τὴν πρὸς αὐτὸν φιλίαν ἀπειπεῖν, καὶ δεινὰ πάσχειν καὶ τῇ πρὸς αὐτὸν φιλίᾳ τυραννεῖσθαι, οὐ μετρίως ἀνιώμενον, ὅτι μὴ δι᾽ ἑαυτοῦ αὐτὸς, ἀλλὰ δι᾽ ἑτέρων τὸν παρόντα χρόνον ὁμιλεῖ. [20]

1 514 δεδοικέναι δὲ μὴ οὐχ οἷός τε ᾖ κρατεῖν ἑαυτοῦ, συγγενόμενος ἐκείνῳ, ἀλλὰ ταὐτὸν τοῖς μαινομένοις πάθῃ, οἳ ἥδονται κατακόπτοντες ἑαυτοὺς, ἀγνοοῦντες ὅ,τι πάσχουσι διὰ τὴν

νόσον. „τούτου μὲν οὖν ἕνεκα“ ὁ μέγας δομέστικος εἶπεν „ἐπαινῶ, ὅτι φιλίας ἥττησαι τοσοῦτον, ἧς ἥδεται ἡττώμενος πᾶς τις σωφρονῶν. εἰ δέ σοι φορτικὸν καὶ ἐπαχθὲς τὸ τελείως ἐμοὶ συνελθεῖν, ἀλλὰ τό γε δεύτερον, παρὰ τὴν γέφυραν ἐλθὲ τοῦ ποταμοῦ, ὡς ἂν ἐξ ἑκατέρου μέρους ὁμιλήσαντες ἀλλήλοις, ἐμοί τε τὸ σοὶ ὡμιληκέναι, καὶ σοὶ τὸ μὴ ἐγγὺς ἐμοῦ γενέσθαι, ὃ μάλιστα δέδοικας, περισώζοιτο.“ ἐπεὶ δὲ ἦκε παρὰ τὴν γέφυραν πεισθεὶς, ἄλλα τε διειλέχθησαν ὅσα τις ἂν εἴποι πρὸς ἄνδρα φίλον, καὶ περὶ τῆς ἀποστασίας τῶν πόλεων ὁ μέγας δομέστικος αὐτοῦ κατηγόρει ὡς αἰτιωτάτου μάλιστα γεγενημένου. ἐφ’ οἷς ἀπελογεῖτο καὶ αὐτὸς ὡς λυσιτελοῦντα δράσειεν ἑαυτῷ τε καὶ τοῖς ἄλλοις Ἀκαρνάσι τῆς δουλείας αὐτοὺς ἐλευθερῶν Ῥωμαίων, καὶ τὴν πάτριον αὐτοῖς τῶν Ἀγγέλων ἀρχὴν ἐπανασώζων. Τοιαῦτα καὶ ἕτερά τινα διαλεχθέντες, ὁ μὲν εἰς τὸ στρατόπεδον, ἐς τρίτην ἡμέραν αὖθις ἥξειν ἐπαγγειλάμενος, ὁ δ’ εἰς τὴν πόλιν, τὴν δευτέραν συντυχίαν ἀπειπάμενος, διελύοντο. ἐς τρίτην δὲ ἡμέραν ὁ μέγας δομέστικος αὖθις ἦλθεν εἰς Ῥωγὼ ἐπὶ τῷ Καβασίλᾳ αὖθις συγγενέσθαι. ὁ δ’ ἀναβαλλόμενος ἐπὶ μικρὸν, ἐπεὶ οὐκ ἀφιστάμενον ἑώρα, ἐξελθὼν καὶ αὖθις, τήν τε γέφυραν διαβὰς, εἰς ἓν αὐτῷ συνῆλθεν. [20]

1 515 ἐφ’ ἱκανόν τε ὁ μέγας δομέστικος αὐτῷ διαλεχθεὶς, πεῖσαι μὲν οὐκ ἴσχυσε προσχωρῆσαι βασιλεῖ καὶ τὴν πόλιν παραδοῦναι· ὅμως δὲ διέσεισεν αὐτοῦ τοὺς λογισμοὺς τοῦ μὴ τῶν ἀπηγορευμένων παντάπασι τὸ ὑπὸ βασιλέα οἴεσθαι τελεῖν, μηδ’ αἱρετώτερον ἡγεῖσθαι τῆς δουλείας τὸ ἀποθνήσκειν πολιορκουμένους. συνταξάμενος δὲ αὐτῷ καὶ αὖθις ἥξειν προειπὼν μετ’ οὐ πολὺ, ὁ μὲν εἰς τὸ στρατόπεδον, ὁ δὲ εἰς τὴν πόλιν ἀνεχώρησαν. μεθ’ ἡμέρας δέ τινας καὶ αὖθις προσελθὼν καὶ συνδιημερεύσας αὐτῷ ἔξω γενομένῳ τῶν τειχῶν, ἔπεισε προσχωρῆσαι βασιλεῖ καὶ τὴν πόλιν παραδοῦναι. ἐπεὶ δὲ εἶχε πεπεισμένον, αὐτὸν μὲν ἐν Ῥωγοῖ κατέλιπεν αὖθις· αὐτὸς δὲ πρὸς βασιλέα παρὰ τὴν Ἄρταν ἐστρατοπεδευμένῳ ὅτι παραδιδοίη Καβασίλας Ῥωγὼ ἀπαγγελῶν ἐχώρει. ὁδεύοντι δὲ αὐτῷ, ἐπεὶ ἐγένετο κατά τινα πηγὴν ψυχρὸν ἅμα ῥέουσαν καὶ διειδὲς καὶ ἥδιστον πιεῖν, ἐδόκει δεῖν τῶν ἵππων ἀποβάντας, ἄριστον ἑλέσθαι, καὶ ἀποβάντες κατεκλίνοντο. μετὰ μικρὸν δὲ καὶ ὁ Καβασίλας σπουδῇ ὡρᾶτο προσελαύνων, καὶ ἐπειδὴ ἐγγὺς ἦν, πρίν τι φθέγξασθαι αὐτόν· „οἶομαι“ ὁ μέγας δομέστικος εἶπε „σοὶ τῶν ἑταίρων μεμφομένων καὶ πολλὴν κατηγορούντων εὐκολίαν ὅτι πρὸς ἐμὲ πολέμιον δοκοῦντα εἶναι, μηδὲν ἔχων ἐνέχυρον ἀσφαλείας, ἀπερισκέπτως οὕτω τὸ δοκοῦν φοιτᾷς, βουληθεὶς ἔργοις ἀποδεῖξαι ὡς οὐκ ἀμαθῶς οὐδὲ θρασέως, ἀλλ’ εὖ εἰδὼς ᾧτινι πιστεύεις σεαυτὸν, τὰ δέοντα ποιεῖς, ἐκείνους μὲν καταλιπεῖν ἀνόητα ἐνθυμουμένους, παρ’ ἡμᾶς δὲ ἥκειν, οὓς κέκρικας τῶν ἄλλων μᾶλλον πιστοτέρους. [20]

1 516 “ ὁ δ’, εἰ μὴ πρῶτος, ἔφασκεν, αὐτὸς ἀφῖκτο μετὰ τοὺς ἐκεῖ ῥηθέντας λόγους, οὐ πιστεῦσαι ἂν ῥᾳδίως μή τινα τῶν λόγων ἐκείνων ἄγγελον ἐλθεῖν. τούτων γὰρ αὐτῶν ἡμῖν πρὸς ἀλλήλους εἰρημένων, καταλιπὼν αὐτοὺς, ἥκω παρὰ σέ· αὐτὸς δ’ ἂν εἰδείης ὅ,τι πράττειν βέλτιον ἐμὲ, καὶ ἢ πρὸς βασιλέα ἥκειν ἅμα σοὶ, ἢ ἐνταῦθα μένειν, ἄχρις ἂν αὐτὸς κελεύῃς. ἐγὼ γὰρ, εὖ ἴσθι, βασιλεῖ μὲν οὐκ ἄν ποτε προσεχώρησα, ἀλλ’, ὅπερ ἔφην πρὸς ἐκεῖνον, μᾶλλον ἂν ἀποθανεῖν εἱλόμην, ἢ ἐκείνῳ ὑποχείριος γενέσθαι· τῆς σῆς δὲ φιλίας ἡττῆσθαι παρὰ πολὺ ὁμολογῶ, καὶ τούτου γε ἕνεκα ἐμαυτόν τε καὶ πολίτας ἐγκεχειρικέναι τοὺς ἐμοὺς, ὥσθ’ ἅ σοι κατὰ γνώμην, ἐξεῖναι πράττειν περὶ ἡμᾶς.“ Ὁ μέγας δὲ δομέστικος πολλὴν αὐτῷ τῆς εἰς αὐτὸν εὐνοίας χάριν ὁμολογήσας, εἰς Ῥωγὼ ἐκέλευεν αὖθις ἐπιέναι, ὡς τὴν ὑστεραίαν αὐτοῦ μετὰ τῶν βασιλικῶν ἀφιξομένου δωρεῶν καὶ αὐτόν τε καὶ τοὺς ἄλλους παραληψομένου. ὁ δὲ πεισθεὶς αὖθις ἐπανῆλθεν εἰς Ῥωγώ. ἐκεῖθεν δὲ ὁ μέγας δομέστικος εἰς βασιλέα ἐλθὼν καὶ περὶ Καβασίλα καὶ Ῥωγοῦς ὡς προσεχώρησαν ἀπαγγείλας, ἐπιτραπείς τε παρ’ ἐκείνου ὅσα ἂν ᾖ δίκαια καὶ συμφέροντα εὐποιΐας ἕνεκα πράσσειν πρὸς αὐτοὺς, εἰς τὴν ὑστεραίαν αὖθις εἰς Ῥωγὼ ἐλθὼν, εἰσεδέχθη τε παρὰ τῶν Ῥωγίων τὴν πόλιν παραδόντων, καὶ αὐτὸς ἑκάστῳ κατ’ ἀξίαν τὰς

βασιλέως παρέσχετο εὐεργεσίας· συμπαραλαβών τε αὐτῶν τοὺς μάλιστα ἐν λόγῳ Καβασίλαν τε, σὺν αὐτοῖς βασιλέα ἦκε. [20]

1 517 προσκυνήσασί τε αὐτοῖς καὶ ὡμολογηκόσι τὴν δουλείαν καὶ ὁ βασιλεὺς ἠμείβετο λόγοις ἡμέροις καὶ προσηνέσι καὶ τῆς πρὸς τὰ βελτίω μεταβολῆς ἐπῄνει καὶ πρὸς εὔνοιαν μάλιστα προσήγετο. Καβασίλας δὲ τοῖς μὲν ἄλλοις ἔφασκε προσήκειν τοὺς πρὸς βασιλέως εἰρημένους λόγους, αὐτῷ δὲ μή. εἰ γάρ τι καὶ εἴργασται τῶν κατὰ γνώμην βασιλεῖ, οὐκ ἐκείνῳ μᾶλλον ἢ μεγάλῳ δομεστίκῳ λογίζεσθαι τὴν χάριν. ἐκεῖνον μὲν γὰρ, ὥσπερ ἔπεισέ τε ἐξ ἀρχῆς αὐτὸν καὶ πρὸς βασιλέα εἰς Ῥωγὼ ἐλθόντα εἶπεν, ὡς μᾶλλον ἂν ἕλοιτο ἀποθανεῖν ἢ ὑπὸ βασιλέα γενέσθαι αὖθις, τὴν ἴσην καὶ ὁμοίαν γνώμην ἐσχηκέναι ἄχρι προτεραίας. ἀγνοεῖν δὲ ὅπως τοῖς μεγάλου δομεστίκου λόγοις κατάκρας ἡττηθεὶς, τἀναντία πράξαι ὧν προείλετο· ἐκεῖνο δὲ εἰδέναι μόνον σαφῶς, ὡς δεσμώτης ἀχθείη τοῖς ἐκείνου λόγοις, γνώμην τε ἀντὶ τῆς προτέρας ἐσχηκέναι νῦν, ὡς οὐδ' ἂν εἴ τι καὶ γένοιτο, ἕως ἂν περιῇ, τῆς πρὸς αὐτόν τε βασιλέα καὶ τὸν μέγαν δομέστικον εὐνοίας ἀποσταίη. Τοιαῦτα Καβασίλα εἰπόντος, τοὺς λόγους ἐπαινέσας ὁ βασιλεὺς, λόγοις τε ἠμείβετο πολλοῖς τὴν πρᾳότητα ἐπιδεικνύμενος καὶ τὴν εὐμένειαν τὴν πρὸς αὐτὸν, καὶ τῷ μεγάλου κονοσταύλου ἀξιώματι ἐτίμα, καὶ τοὺς ἄλλους ἀναλόγως. οἱ πολιορκούμενοι δὲ κατὰ τὴν Ἄρταν Καβασίλαν καὶ Ῥωγίους ὁρῶντες προσκεχωρηκότας βασιλεῖ, ὕβριζόν τε εἰς αὐτοὺς ὡς προδότας τῶν κοινῇ λυσιτελούντων καὶ ἰδίων ἕνεκα κερδῶν τὰ κοινῇ συμφέροντα προϊεμένους, καὶ πολλὴν κατεγίνωσκον τὴν μοχθηρίαν καὶ τὴν φαυλότητα αὐτοῖς τῶν τρόπων. [20]

1 518 ἦσάν τε οὕτω παρεσκευασμένοι ὡς οὐκ ἐνδώσοντες πρὸς τὴν πολιορκίαν οὔτε φόβῳ τῶν ἐκ τοῦ πολέμου κακῶν οὔθ' ὑποσχέσεσι μυρίων ἀγαθῶν. λς'. Οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις μετὰ τὸ Ῥωγίους προσχωρῆσαι παρὰ τὰς πύλας Ἄρτας ὁ μέγας δομέστικος προσελθὼν, εἰς λόγους ἐλθεῖν ᾐτεῖτο Βασιλίτζῃ ἐπιτροπεύοντι αὐτῆς. ἐλθόντι δὲ καὶ αὐτῷ πρὸ τῶν πυλῶν, οὐ δέον ἔφασκεν αὐτοὺς νοῦν ἔχοντας καὶ λογισμοῖς χρωμένους, οὕτω φέρεσθαι ἀλόγως, ὥστε μήτε πρότερον βουλεύσασθαί τι τῶν δεόντων, καίτοι παραινοῦντος καὶ ἐμοῦ, μήθ' ὕστερον μεταβάλλεσθαι μετὰ τὴν πεῖραν τῶν δεινῶν. εἰ γὰρ, ὅτε πρῶτον πρὸς ὑμᾶς ἥκομεν, πρὶν ἄρξασθαι πολιορκίας, ἐμοὶ παραινοῦντι τὰ δέοντα ἐπείθεσθε, αὐτοί τε ἂν ἦτε τῶν ἐκ τῆς πολιορκίας κακῶν ἀπηλλαγμένοι, ἥ τε χώρα ἄτμητος ἔτι οὖσα διεσώζετο ἂν ὑμῖν, ἀφ' ἧς αὐτοί τε οἱ δυνατοὶ εἴχετε πολλὰς προσόδους καὶ ὁ δῆμος ἀφθόνων ἀπέλαυε τῶν ἐπιτηδείων. νυνὶ δὲ ὑμᾶς τε αἱ πρόσοδοι ἐκλελοίπασι, διεφθαρμένων τῶν κτημάτων, καὶ ὁ δῆμος ἐνδείᾳ κινδυνεύει ἀπολέσθαι. ταῖς γὰρ ἠπειρώτισι ταύταις πόλεσιν, ἂν τὴν χώραν ὑπὸ τοῦ πολέμου ἢ ἑτέρου ὁτουοῦν συμβαίη ἀπολέσθαι, ἑτέρωθέν ποθεν οὐ ῥᾴδιόν ἐστιν ἰάσασθαι τὴν ἔνδειαν. καίτοι εἴγε μάλιστα ἐνῆν τρόπῳ δή τινι ἀναστήσαντας ἡμᾶς ἐκ τῆς πολιορκίας διάγειν ἐν ἀδείᾳ, οὐδ' οὕτω λυσιτελούντως σφίσιν αὐτοῖς ἂν ἐδοκεῖτε βεβουλεῦσθαι παρὰ σωφρονοῦσι διὰ τὴν γεγενημένην βλάβην· νυνὶ δὲ συμβαίνει δεινότερα πείσεσθαι προσδοκᾷν ὑπαρξάντων. [20]

1 519 οὐ γὰρ ἔστιν, οὐκ ἔστιν οὐδὲν, εἰ μή τι παράλογον ἐξ οὐρανοῦ πρὸς σωτηρίαν ὑμῖν πραχθείη, ὃ τοῦ πολιορκεῖν ἡμᾶς πείσει ἀποσχέσθαι, ὥστε εἰκὸς πρὸς τῇ χώρᾳ καὶ τὴν πόλιν ὑμᾶς προσαπολεῖν. θαυμάζω δὲ ὑμῶν, εἰ τοῖς αὐτοῖς ἢ καὶ μείζοσι κακοῖς ἐνεχόμενοι Ῥωγίοις καὶ μέλλοντες ὑπ' ἀνάγκης ὅσον οὐδέπω βασιλεῖ προσχωρεῖν αὐτοὶ, οὐ μόνον οὐκ ἐπαινεῖτε ὡς καλῶς καὶ συμφερόντως ἑαυτοῖς βεβουλευμένους, ὅτι πρὶν εἰς ἔσχατον κινδύνου ἥκειν σωτηρίαν καὶ ὠφέλειαν ἐπορίσαντο ἑαυτοῖς ἐκ τῆς μεταβολῆς, ἀλλὰ καὶ ὕβρεις καταχέετε αὐτῶν πολλὰς, ὅτι οὐ τῆς αὐτῆς ὑμῖν ἀβουλίας εἵλοντο εἶναι κοινωνοί. καίτοι σκέψασθε ὡς οὔτε δίκαια οὔτε συμφέροντα οὔθ' ἑαυτοῖς οὔτε τοῖς ἄλλοις Ἀκαρνάσιν αὐτοὶ ποιεῖτε τῆς αὐτῆς ἐχόμενοι ἐννοίας. αὐτοί τε γὰρ ἀπολώλατε διαφθαρέντες ὑπὸ τοῦ πολέμου, καὶ ταῖς ἄλλαις πόλεσι βλάβης οὐ μετρίας αἴτιοι κατέστητε, καίτοι γε ὑμῖν βασιλέως οὐ συναποστάσαις.

στρατιὰ γὰρ ἐπὶ ξένης διατρίβουσα καὶ μάλιστα τοσαύτη τὴν μὲν πολεμίαν κείρει ἀφειδῶς· ἐκ δὲ τῆς συμμαχίδος καὶ οἰκείας τρεφομένη, λιμὸν αὐτῇ αἰφνίδιον ἐπάγει. [20]

1 520 ἀδικεῖτε δὲ τὰ ἔσχατα, ἀντὶ τῆς Ῥωμαίων βασιλείας, ἣ σχεδὸν αὐτοῖς ἐκ τῶν Καίσαρος χρόνων πάτριός ἐστι, τὴν Ταραντίνων αὐτοῖς ἀνθρώπων βαρβάρων ἐπάγοντες ἀρχήν. Νικηφόρος γὰρ, ὑπὲρ οὗ μάλιστα αὐτοὶ οἴεσθε τὸν πόλεμον αἱρεῖσθαι, οὔθ' ὑμῖν οὔθ' ἑαυτῷ οἷός τέ ἐστιν ἐξαρκεῖν πρὸς τὴν ἐλευθερίαν· ἀλλὰ Ταραντίνοις προσφυγὼν, τῇ ἐκεῖθεν οἴεται δυνάμει Ἀκαρνανίας βασιλέα ἐξελάσειν. τοῦτο δὲ οὔτε δυνήσεσθαι οἴεσθαι αὐτὸν εἰκὸς, οὔτ' εἰ δυνήσεται, ἄνευ πόνων μεγάλων καὶ κινδύνων. τοὺς οὖν πόλεμον τοιοῦτον ὑπὲρ ὑμῶν πρὸς βασιλέα ἀναδεξαμένους, εἰ κρείττους δυνήσονται γενέσθαι, οὐκ οἴεσθε ὑμᾶς τῆς ἀρετῆς ἆθλον καὶ τῶν ἀγώνων σχήσειν τῶν πολλῶν; οὐκ ἄρα δόξετε ὀρθῶς φρονεῖν. ἐγὼ δὲ, εἰ καὶ καθ' ἑαυτοὺς ὑμεῖς Ἀκαρνανίας τὴν ἀρχὴν Νικηφόρῳ ἠδύνασθε περιποιεῖν, ἀδικοῦντας ἂν τὰ μέγιστα βασιλέα ἀπέφηνα ὑμᾶς. Ἀγγέλους γὰρ οὐκ ἀπὸ βαρβάρων Ἀκαρνανίαν ἐλευθερώσαντας κτήσασθαι συνέβη τὴν ἀρχὴν, ἀλλ' ὑποχειρίους ὄντας Ῥωμαίων βασιλεῦσι καὶ παρ' ἐκείνων ἐτήσιον ἀρχὴν τῆς χώρας ἐπιτετραμμένους, σφετερίσασθαι τὴν ἀρχὴν διὰ τὸν ἐπενεχθέντα τότε παρὰ Λατίνων Ῥωμαίοις πόλεμον· ὧν δὴ τοῦ κρείττονος συγχωρήσει Βυζαντίου κρατησάντων καὶ Θρᾴκης ἁπάσης καὶ τῶν κατὰ Μακεδονίαν πόλεων πολλῶν, βασιλεία μὲν ἡ Ῥωμαίων ὑπεχώρησε πρὸς ἕω· Ἀκαρνανίας δὲ τὴν ἀρχὴν Ἄγγελοι προσεποιήσαντο ἑαυτοῖς καὶ ἄλλοι ἄλλας τῶν ἑσπερίων ἐπαρχιῶν, ὧν ἕκαστοι ἔτυχον ἐπιτροπεύοντες, διὰ τὸ βασιλεῦσι Ῥωμαίων δίοδον οὐκ εἶναι πρὸς αὐτοὺς διὰ Θρᾴκης καὶ Μακεδονίας οὐσῶν ὑπὸ Λατίνοις. [5]

1 521 ὕστερον δὲ ἔτεσι πολλοῖς ὑπὸ τῶν Παλαιολόγων ἰθυνομένης τῆς Ῥωμαίων βασιλείας, Λατίνους μὲν αὖθις, τοῦ θεοῦ συναιρομένου, τῆς Ῥωμαίων ἐξήλασαν ἡγεμονίας καὶ Ἀσίαν καὶ Εὐρώπην, ὅσης ἦρχον, εἰς ἓν συνῆψαν· Ἀκαρνανίαν δὲ Ἀγγέλους ἀπαιτοῦντες, οὐκ ἠδύναντο ἀπολαβεῖν, ἀλλ' ἄδικα καὶ βίαια ποιοῦντες, ἀπεστέρουν καὶ στρατιὰν πολλάκις ἐπ' ἐκείνους πέμψασιν ὅπλα ἀντῄροντο καὶ τοὺς περιοίκους συμμάχους ἐπήγοντο βαρβάρους. τὸν βασιλεύοντα δὲ νυνὶ ἐπιστρατεύοντα ὑμῖν καὶ τῇ ἄνωθεν ἐπικουρίᾳ δουλωσάμενον οὐκ ἀδικεῖν ἄν τις φαίη τὴν ἑτέρων παραιρούμενον ἀρχὴν, ἀλλὰ μάλιστα τὰ δίκαια ποιεῖν ἀπολαμβάνοντα τὴν πατρῴαν. εἰ γὰρ Νικηφόρῳ δίκαιον τὸ ἐκ προγόνων οὐ πολλῶν ὄντων τὴν ἀρχὴν κατάγεσθαι, πολλῷ μᾶλλον βασιλεῖ τῶν ἐξ ἀρχῆς βασιλευσάντων Ῥωμαίων ὄντι ἀπογόνῳ κατὰ τὸν λόγον τῆς διαδοχῆς. εἰ δὲ τὸ τοῦ χρόνου μῆκος ἀξιόχρεων δοκεῖ πρὸς δικαίωσιν ὑμῖν, ἴστε τἀναντία λογιζόμενοι τῶν ὄντων· μᾶλλον γὰρ διὰ τοῦτο δίκης ἄξιοι, ὅτι τοσοῦτον χρόνον ἠδικεῖτε. εἰ οὖν μηχανῇ τε οὐδεμιᾷ τὸ ἁλῶναι οὐ δύνασθε διαφυγεῖν, εἴ τε καὶ δύναμις ὑμῖν παρῆν Ἀκαρνανίας βασιλέα ἐξελαύνειν, τὸ ἀδικεῖν οὐκ ἂν ἦν διαφυγεῖν, τί δεῖ ἀνήνυτα πονοῦντας τὴν κακοπραγίαν ἐπιτείνειν ἑαυτοῖς, καὶ μὴ πειθομένους ἐμοὶ τὰ βελτίω συμβουλεύοντι, σφίσι μὲν αὐτοῖς αἰτίους γενέσθαι μεγάλων ἀγαθῶν, ἡμᾶς δὲ ὀλίγου πόνου ἀπαλλάξαι, ὃν ὑπομενοῦμεν ὑμᾶς καταστρεφόμενοι. [5]

1 522 ὅτι δὲ ἡ ἐμὴ παραίνεσις συμφέρουσα ὑμῖν, ἔξεστι χρήσασθαι συμβούλοις τοῖς συγγενέσι καὶ ἑταίροις ὑμῶν Ῥωγίοις, οἳ ἐμοὶ πάντα ἀναθέμενοι τὰ κατ' αὐτοὺς, ὅσης ἀπήλαυσαν εὐνοίας καὶ προνοίας τῆς πρὸς βασιλέως, μαρτυρήσουσιν αὐτοί. εἰ οὖν καὶ ὑμεῖς τὰ ὑμέτερα ἀνάθησθε ἐμοὶ, εἴσεσθε καλῶς ὡς ἀληθεῖ καὶ δικαίῳ καὶ δυναμένῳ εὖ ποιεῖν ἐπιστεύσατε ἀνδρί. ἀπολογίαν μὲν οὖν ἐπὶ τοῖς εἰρημένοις ἀπαιτεῖν οὐ δίκαιον νυνὶ, τῶν πλειόνων τε ἀπόντων καὶ ὑμῶν ἀμελετήτων πρὸς τοὺς λόγους ὄντων· ἐκκλησίαν δὲ ἀθροίσαντες καὶ βουλευσάμενοι περὶ τῶν δεόντων, ἐς τὴν ὑστεραίαν, εἰ δοκεῖ, ἀπόδοτε τὸν λόγον." Ὁ μὲν οὖν εἰπὼν τοιαῦτα πρὸς Ἀρταίους, ἀνεχώρησεν εἰς τὸ στρατόπεδον, Καβασίλαν καὶ τοὺς ἄλλους Ῥωγίους διαλέγεσθαι αὐτοῖς καταλιπὼν, ὡς ἂν ὑπ' ἐκείνων μάλιστα ἐνάγοιντο προσχωρεῖν τῷ βασιλεῖ. Ἀρταῖοι δὲ ἐκ

τῶν πυλῶν ἀναχωρήσαντες, ἐκκλησίαν ἐποιοῦντο· καὶ ἐπεὶ ἐφαίνετο αὐτοῖς τὰ πράγματα εἰς τέλος ἥξοντα οὐκ ἀγαθὸν, ἐδέδοκτο διὰ μεγάλου δομεστίκου προσχωρεῖν τῷ βασιλεῖ. καὶ ἐς τὴν ὑστεραίαν πρὸς τῆς πόλεως γενόμενοι τὰς πύλας, ἐπεὶ καὶ ὁ μέγας δομέστικος παρῆν τὸν λόγον ἀπαιτῶν, „ἡμεῖσ“ ἔφασαν „οὐ μεγάλα τινὰ ᾠόμεθα βασιλεῖ προσκεκρουκέναι, οὐδ’ οἷα αὐτὸν πρὸς ὀργὴν ἐκκαλέσασθαι τοσαύτην, ὥστε καταψηφίσασθαι ἡμῶν πανωλεθρίαν. [20]

1 523 Ἀκαρνανίαν γὰρ εἰδότες πολὺν ἤδη χρόνον ὑπὸ τοῖς Ἀγγέλοις ἀγομένην καὶ τῆς Ῥωμαίων παντάπασιν ἡγεμονίας ἀποτετμημένην, νυνὶ δὲ ὁρῶντες βασιλέα καταδουλωσάμενον αὐτὴν, Νικηφόρον τε τὸν παῖδα παντάπασι τὴν ἀρχὴν ἀποστερήσαντα πατρόθεν προσήκουσαν αὐτῷ, ἐκεῖνόν τε ἀδικεῖν οἰόμενοι καὶ αὐτοὺς ἀγνωμοσύνην ὄφλειν τὴν ἐσχάτην, εἰ μὴ πάσῃ δυνάμει συναροίμεθα Νικηφόρῳ πρὸς τὴν κληρονομίαν τοῦ πατρῴου κλήρου, τὸ ἔργον ὑπέστημεν τουτὶ καὶ τὰς πόλεις βασιλέως ἀπεστήσαμεν, οὐδὲ αὐτὸν οἰόμενοι ποιήσεσθαι τοσοῦτον ἐν δεινῷ, εἰ τὴν ἐκ πολλῶν ἤδη βασιλέων μὴ προσοῦσαν τῇ Ῥωμαίων ἡγεμονίᾳ γῆν, καὶ ὑπ’ αὐτοῦ ὑφ’ ἑτέρου ἄγοιτο, ᾧ μάλιστα προσήκει κατὰ τὴν διαδοχήν. νυνὶ δὲ αὐτὸν ὁρῶντες σφόδρα καθ’ ἡμῶν ἐξωργισμένον καὶ πολιορκοῦντα χρόνον ἤδη συχνὸν, ἄλλως τε καὶ τῇ προτεραίᾳ παρὰ σοῦ καί τινων ἑτέρων τῶν φιλίως πρὸς ἡμᾶς διακειμένων δεδιδαγμένοι, ὡς ἐν δεινῷ βασιλεὺς τὴν ἀποστασίαν ἡμῶν ποιεῖται καὶ οὐ παύσεται πολιορκῶν, εἰ μὴ προσχωρήσαιμεν ἑκόντες, ἄχρις ἂν ἢ λιμῷ ἢ ὅπλοις παραστησάμενος ἐκπορθήσῃ, οὐκέτι μένειν ἔγνωμεν ἐπὶ τῶν προτέρων λογισμῶν, οὐδὲ βασιλεῖ καὶ πᾶσιν ὑμῖν οὖσι τηλικούτοις ὅπλα διηνεκῶς ἀνταίρειν, δείσαντες μὴ καὶ ἀνάστατον ἀντὶ ἐλευθέρας θήσομεν τὴν πατρίδα καὶ ἡμᾶς αὐτοὺς διαφθεροῦμεν σὺν αὐτῇ. [20]

1 524 διὸ καὶ τοῦ πρὸς βασιλέα ἤδη ἀποστάντες πολεμεῖν, σφᾶς αὐτούς τε καὶ τὴν πόλιν παραδιδοῦμεν διὰ σοῦ· αὐτὸς δ’ ἂν εἰδείης ὅτῳ τρόπῳ διοικησάμενος τὰ καθ’ ἡμᾶς ἡμῖν τε καὶ πατρίδι τῆς ἐλευθερίας ἡδίω τὴν πρὸς βασιλέα δουλείαν ἀποδείξεις.“ ἐπαινέσας δὲ αὐτοὺς ὁ μέγας δομέστικος ἐπὶ τοῖς εἰρημένοις, „εἰ μὲν μὴ πρὸς τέλοσ“ ἔφη „συνετὸν ἡ ἀπολογία κατέληγεν ὑμῖν, εἶχον ἂν αὐτὸς, ὥσπερ καὶ τῇ προτεραίᾳ, διὰ πολλῶν οὐκ ἀδικοῦντα ἀποφαίνειν βασιλέα, ἀλλὰ πρότερόν τε ὑπὸ τῶν Ἀγγέλων ἀδικούμενον πολὺν ἤδη χρόνον Ἀκαρνανίας ἀπεστερηκότων, καὶ νῦν ὑφ’ ὑμῶν ἀφισταμένων οὐ δικαίως, ἀλλὰ πᾶν ὁτιοῦν ὑφίστασθαι δικαίων ὄντων, ὅτι τοσούτων ἀναλωμάτων καὶ πόνων αἴτιοι κατέστητε αὐτῷ. ἐπεὶ δὲ εὖ ποιοῦντες τῆς ἀκαίρου φιλονεικίας καὶ τῆς οὐδένα νοῦν ἐχούσης ἐνστάσεως ἀπέστητε καὶ προσκεχωρήκατε βασιλεῖ ἑκόντες ὄντες, χάριτας ὑμῖν ἐγὼ καὶ ὑπὲρ ὑμῶν αὐτῶν ὁμολογῶ πολλάς· ἑνὸς μὲν, ὅτι βασιλεῖ προσεχωρήσατε καὶ οὐ τῇ ἀρχαίᾳ ἐνεμείνατε ἐνστάσει, ὑφ’ ἧς ἴσως κἂν ἀπώλεσθε· δευτέρου δὲ, ὅτι δι’ ἐμοῦ, ὡς ἂν ἔχω καθαρὰν τὴν ἡδονὴν καὶ σώσας αὐτὸς καὶ βασιλεῖ προσαγαγών· τρίτου δὲ, ὅτι τὰ δέοντα καὶ σφίσιν αὐτοῖς καὶ πατρίδι βουλευσάμενοι λυσιτελοῦντα, καὶ ἑαυτοὺς σεσώκατε καὶ πατρίδα· ὧν τὰ σῶστρα ὑμῖν ὀφείλειν αὐτὸς ὁμολογῶ, διὰ τὴν εὐμένειαν τὴν πρὸς ὑμᾶς πάνθ’ ὅσα πρὸς ὑμᾶς ἥκει ἀγαθὰ λογιζόμενος διαφέρειν ἐμαυτῷ. [20]

1 525 “ Τοιαῦτα καὶ ἕτερ’ ἄττα πολλῆς γέμοντα πρᾳότητος καὶ χάριτος πρὸς αὐτοὺς διαλεχθεὶς, ἅμα Βασιλίτζῃ τῷ τῆς πόλεως ἄρχοντι καὶ τοὺς ἄλλους ὅσοι ἦσαν ἐν λόγῳ παραλαβὼν, ἤγαγεν ὡς βασιλέα· συγγνώμης τε ἐφ’ οἷς ἀπέστησαν τυχόντες καὶ πολλῶν ἑτέρων εὐεργεσιῶν, ἐπανελθόντες καὶ ἀναπετάσαντες τὰς πύλας, εἰσεδέξαντο βασιλέα καὶ τὴν ἄλλην στρατιὰν, τὴν πόλιν παραδόντες. βασιλεὺς δὲ καὶ πρότερον μὲν ἐκεκάκωτο τὰ σπλάγχνα καὶ διέκειτο πονήρως ὑπ’ αὐτῶν, τότε δὲ ἐκ τῆς κακοπαθείας τῆς κατὰ τὴν στρατείαν, μάλιστα δὲ καὶ διὰ τῶν ἀέρων τὴν ἀήθειαν, παρὰ πάντα τὸν τῆς πολιορκίας χρόνον ἐνόσει· καὶ ἡ ἄλλη δὲ πᾶσα στρατιὰ διαῤῥοίαις κατεχόμενοι καὶ πυρετοῖς καὶ κεφαλῶν ἀλγήμασιν ἔπασχον κακῶς καὶ ὀλίγοι ἦσαν οἱ διαφυγόντες τὸ κακόν· ἐτεθνήκει δὲ οὐδεὶς ὑπὸ νόσου, εἰ μὴ Σφραντζὴς ὁ μέγας

στρατοπεδάρχης. ἐπὶ χρόνον δὲ συχνὸν παλαίοντες τῇ νόσῳ, ἀπηλλάττοντο. ἵπποι δὲ καὶ ἡμίονοι, καὶ εἴ τι τῶν ἀλόγων ἕτερον ἦν, χαλεπῶς διέφευγε τὸ ἀποθνήσκειν· διὸ καὶ ἐκ πολλῶν ὀλίγοι ἵππους ἔχοντες ἀνέζευξαν. τότε δὲ ἐπεὶ ἡ Ἄρτα προσεχώρησε, βασιλεὺς μὲν διὰ τὴν νόσον καταλέλειπτο ἐκεῖ. λζ′. Ὁ μέγας δὲ δομέστικος στρατιὰν ἀναλαβὼν ἦλθεν εἰς Θωμόκαστρον καὶ πρότερον πολιορκούμενον, ἔνθα καὶ Νικηφόρος ὁ δεσπότου παῖς ἐκ Τάραντος ἐλθὼν μετὰ τῶν ἄλλων τῶν φυγάδων ἔτι νήπιος ὢν ἐπολιορκεῖτο. [20]

1 526 οὗτοι δὲ ἅτε καὶ ἐν ἀφθόνοις ὄντες διὰ τὸ θαλασσοκρατεῖν, τριήρεων οὐ παρουσῶν βασιλικῶν, καὶ δυσπειθέστεροι τῶν ἄλλων μᾶλλον ἦσαν καὶ οὐδὲ λόγου γοῦν ψιλοῦ ἠξίουν τοὺς πολιορκοῦντας. καὶ γὰρ καὶ τοῦ μεγάλου δομεστίκου ἐν δύο καὶ εἴκοσιν ἡμέραις, αἳ μετὰ τὴν ἄφιξιν αὐτοῦ παρῆλθον, προσπέμποντος ἀεί τινας αὐτοῖς καὶ τὴν αἰτίαν ἐρομένου, δι’ ἣν οὕτως ἀσυμβάτως ἔχουσι πρὸς βασιλέα καὶ πάντα μᾶλλον αἱ ὑπομένειν ἢ ὑπ’ αὐτὸν τελεῖν, οὐδεμίαν παρέσχον ἀπολογίαν· ἅμα μὲν καὶ διὰ τὸ μὴ ἑκατέρωθεν γῆς πολιορκεῖσθαι καὶ θαλάσσης· ἅμα δὲ καὶ συμμαχίαν ἐκδεχόμενοι ἐκ Ταραντίνων ἥξειν, ἣν ᾤοντο αὐτοῖς λύσειν τὴν πολιορκίαν τοὺς Ῥωμαίους ἐκφοβήσαντας. μετὰ δὲ τὴν δευτέραν καὶ εἰκοστὴν ἡμέραν ἦκον ἐκ τοῦ Τάραντος αἱ προσδοκώμεναι δέκα τριήρεις καὶ πεντηκόντοροι τρεῖς· ἃς ἰδόντες οἱ πολιορκούμενοι ἐν Θωμοκάστρῳ, ἡδονῆς τε ἦσαν ἔμπλεῳ καὶ σωτήρια ἐώρταζον καὶ ἐπαιάνιζον ἀπὸ τοῦ τείχους, ὡς ἤδη τῶν κακῶν ἀπηλλαγμένοι. οἱ δὲ ἦσαν οὐδὲν μᾶλλον ἐν ἐλάττοσι κακοῖς. ὁ μέγας μὲν γὰρ δομέστικος καίτοι ἐγγὺς ἐστρατοπεδευμένος τῆς θαλάσσης, οὐδὲν μᾶλλον ἐκινήθη, ἀλλ’ ἀτρέμας τῆς πολιορκίας εἴχετο. Ταραντῖνοι δὲ ἐπ’ ἀγκυρῶν ἐφώρμουν, τῆς τε γῆς ἀπεχόμενοι ὡς πολεμίας καὶ πρὸς τῇ πόλει οὐδεμίαν ποιούμενοι ἀπόβασιν. εἰς τρίτην δὲ ἡμέραν ὕστερον ὁ μέγας δομέστικος ὑποπτεύσας τοῖς ἐν Θωμοκάστρῳ τὸ φρόνημα ὑπενδοῦναι, ἐπεὶ οὐδὲν ἀπώναντο τῆς βοηθείας Ταραντίνων, προσῆγεν αὐτοῖς τοὺς λόγους προσπέμπων τοὺς διαλεξομένους. [20]

1 527 ἔφασκέ τε θαυμάζειν μάλιστα αὐτῶν, ὅτι συνετοί τε ὄντες καὶ πράγμασιν εἰδότες χρῆσθαι, ὡς περὶ αὐτῶν ἀκούειν ἔξεστιν, (ὀλίγους γὰρ αὐτῶν ἑωρακέναι κατὰ τὴν πρώην τὴν ἔφοδον,) νῦν οὐ προσήκοντα ποιοῦσιν ἑαυτοῖς, οὐδ’ ἐξ ὧν μάλιστα ἂν ἀπολύοιντο αἰτίας. αὐτοῦ γὰρ δὴ ἐπὶ πέντε καὶ εἴκοσιν ἡμέραις περικαθημένου καὶ τὴν αἰτίαν ἐθέλοντος μαθεῖν, ἧς ἕνεκα αὐτοῖς τὸ ὑπὸ βασιλεῖ τετάχθαι νομίζεται τῶν πάνυ ἀδυνάτων, μήτε παρέχεσθαι ἀπολογίαν μηδεμίαν, μήτε ἐξ ὧν πράττουσιν ὑποψίαν ἐνδιδόναι, ὡς σωφρόνων ἀνθρώπων χρῶνται λογισμοῖς, ὑφ’ ὧν ἢ ἡμᾶς κακώσουσι τοὺς πολεμίους ἢ σφίσι αὐτοῖς πορίσονταί τινα ἀπαλλαγὴν τῶν ἀλγεινῶν. ἀλλὰ ταὐτὸν πάσχειν οἷον τοὺς πολύποδάς φασιν, οἳ ἐπειδὰν ἐξέλκωνται τῆς θαλάμης, ἂν συμβαίη τινὸς ἐπιλαβέσθαι, οὐ ῥᾳδίως μεθιᾶσιν, ἄχρις ἂν ἢ ἐπιλείψωσί τι ἑαυτῶν, ἢ παρασπάσωνται τῶν ἡμμένων. τοιοῦτον δή τι συμβαίνειν καὶ περὶ αὐτούς. ἅπαξ γὰρ ὡς οὐ βασιλεῖ προσθήσονται εἰπόντες, τοῖς αὐτοῖς λόγοις χρῶνται διηνεκῶς καὶ οὐδεμίαν ἐπιδέχονται μεταβολήν. καίτοι εἰ μὲν περὶ ἀκινήτων πραγμάτων ἦσαν τοὺς λόγους ἐσκεμμένοι, εἶχεν ἄν τινα λόγον ἐμμένειν τοῖς βεβουλευμένοις ἐξ ἀρχῆς· νῦν δ’ ἔξεστι συνορᾷν, ὡς οὐδ’ ἐπὶ μιᾷ ἡμέρᾳ τῶν αὐτῶν μενόντων, ἀλλὰ ποικίλας δεχομένων τὰς μεταβολάς, ποιοῦνται. [20]

1 528 ὥστε ἐχρῆν αὐτοῖς καὶ τοὺς περὶ ἐκείνων λόγους ὁμοίως τοῖς πράγμασι μεθαρμόζεσθαι πρὸς τὸ λυσιτελοῦν. παρῄνει τε αὐτοῖς τῶν συνετωτέρων παρ’ αὐτοῖς τινα πέμψαι πρὸς αὐτὸν, ὥστε ἃ αὐτοῖς οἴεται λυσιτελοῦντα ὑποθέσθαι. κἂν μὲν καὶ αὐτῷ συμφέροντα δοκῇ· εἰ δὲ μή, ἀλλ’ αὐτοῖς γε ἐξεῖναι πάλιν ἃ ὀνήσειν οἴεται ἑλέσθαι. Τοιούτους μὲν ὥσπερ δι’ ἀκροβολισμῶν πρὸς ἐκείνους ἐποιήσατο τοὺς λόγους· ἐκεῖνοι δὲ ἀποκρινάμενοι ὡς εἰ δοκεῖ αὐτοῖς συμβουλευσαμένοις, πέμψουσί τινα εἰς τὴν ὑστεραίαν, πέμπουσι Ῥιτζάρδον τὸν Νικηφόρου παιδαγωγὸν ἐπιφανέστερόν τε καὶ συνετώτερον τῶν ἄλλων ὄντα. καταστάντων δὲ εἰς λόγους, τοιαῦτα πρὸς αὐτὸν ὁ μέγας δομέστικος διειλέχθη· „οὐδένα οἶομαι τῶν πάντων, εἰ μὴ

παντάπασι ἀπεστέρηται φρενῶν, μὴ πρός τι τέλος ἀποβλέποντα ὁτῳδήποτε ἐπιχειρεῖν. διὸ τήν τε ἀποστασίαν πρῶτον καὶ τὴν ἐπὶ τῇ πολιορκίᾳ νῦν δοκοῦσαν μεγαλοψυχίαν οὐκ ἄλλου του ἕνεκα ἐλέσθαι ὑμᾶς νομίζω ἢ ὥστε Νικηφόρῳ τῷ τοῦ δεσπότου παιδὶ εἰς τὴν ἀρχὴν καὶ ὑμῖν αὐτοῖς εἰς εὐπραγίαν ὠφέλειάν τινα ἐργάσασθαι. σκεψώμεθα δὴ ἐπ' ἀμφοτέρων· κἂν μέν τινα ἐκ τῶν εἰργασμένων ἢ ἐξ ὧν αὐτοὶ ἐλπίζετε δυνώμεθα εὑρεῖν, ταῦτα πράττειν ἐξ ὧν ἂν εἰς πέρας ἔλθοι τὰ βεβουλευμένα· ἂν δ' ἐναντίως ἔχοντα ἢ αὐτοὶ ὑπονοῆτε, μὴ μόνον μὴ ἀφίστασθαι τῶν μὴ ὀρθῶς ἐχόντων, ἀλλὰ καὶ ἐμοὶ πείθεσθαι παραινοῦντι τὰ συνοίσοντα. [20]

1 529 ὑμεῖς τοίνυν βασιλέως ἀποστάντες οὐδὲν εἰς ὑμᾶς ἀγνωμονήσαντος, προσεχωρήσατε τοῖς Ταραντίνοις οὐχ ἁπλῶς οὐδὲ ἀλόγως, ἀλλ' οἰόμενοι τῇ ἐκείνων συμμαχίᾳ Ἀκαρνανίαν δυνήσεσθαι ὑπάγειν ἑαυτοῖς. τοῦτο δὲ οὐδὲ ὀλίγου δεῖ τοῦ εἶναι δυνατόν. αὐτοὶ γὰρ ἀφ' ἑαυτῶν ἰδίᾳ κινούμενοι πλεονεξίᾳ πολλάκις Ἀκαρνᾶσι στρατῷ μεγάλῳ ἐπεστράτευσαν καὶ τὴν χώραν ἐκάκωσαν ὅσα μάλιστα ἐξῆν· πόλεως δὲ οὐδεμιᾶς ἠδυνήθησαν κύριοι γενέσθαι, οὔτε ὅπλοις βιασάμενοι οὔτε πολιορκίᾳ ἀναγκάσαντες ὁμολογίᾳ παραδοῦναι, ἀλλ' ἀνεχώρησαν ὧν ἦγον ἀποβαλόντες οὐκ ὀλίγους, πλὴν εἰ μὴ ὧν αὐτοῖς ἑκόντες οἱ Ἀκαρνανίας ἄρχοντες παρεχώρησαν, Βοντίτζης καὶ Ναυπάκτου καὶ Βοθρεντοῦ, ὥστε ἔχειν αὐτοὺς συμμάχους πρὸς τὸν πρὸς βασιλέα Ῥωμαίων πόλεμον. οἳ οὖν Ἀκαρνᾶσι μόνοις πολεμοῦντες οὐδὲν ἠδυνήθησαν ἀνύσαι πλέον, τίς ἐλπὶς περιγενέσθαι νῦν καὶ βασιλέως παρόντος ἅμα στρατιᾷ, ὃς πρότερόν τε καὶ νῦν ῥᾷον ἐξαρκεῖ Ἀκαρνᾶσιν ὁμοῦ καὶ Ταραντίνοις πολεμεῖν; οὐ μὴν ἀλλ' οὐδὲ ὑμῖν ἐλπὶς Ἀκαρνάνων τινὰς συναποστῆναι· καὶ οἳ γὰρ πρότερον Ῥώγιοι καὶ Ἀρταῖοι συναπέστησαν, καλῶς περὶ σφῶν αὐτῶν βουλευσάμενοι τὰ δέοντα, βασιλεῖ τὰς πόλεις παραδόντες προσεχώρησαν καὶ σφίσι τε αὐτοῖς αἴτιοι ἐγένοντο εὐπραγίας. πολλῶν γὰρ ἐπέτυχον τῶν βασιλέως εὐεργεσιῶν καὶ τοῖς πολίταις τοῖς αὐτῶν. ὡς μὲν οὖν εἰ καὶ ἥξουσι Ταραντῖνοι, ὀλίγα ἢ οὐδὲν λυσιτελήσουσιν ὑμῖν, δέδεικται ἡμῖν· ὅτι δὲ οὐδὲ ἥξουσι τὴν ἀρχὴν, αὐτόθεν ἤδη πειράσομαι κατάδηλον ποιεῖν. [20]

1 530 πᾶς γὰρ ὁστισοῦν ἰδίων ἕνεκα ἐγκλημάτων ἢ ἑτέροις συμμαχῶν ἁπτόμενος πολέμου, ἐν ἀρχαῖς μὲν μάλιστα καὶ χρήμασι καὶ ὅπλοις ἐῤῥωμένος ἔχεται προθύμως· ἐὰν δὲ ἅπαξ καὶ δὶς ἐπιχειρήσας σφαλῇ, ἀμβλύνεται. πριγκίπισσα τοιγαροῦν, ὡς αὐτοί τε οἴεσθε καὶ ἡμεῖς οὐκ ἂν ἔξαρνοι γενοίμεθα, προθύμως τοῦ ὑπὲρ ὑμῶν πολέμου ἁπτομένη ἐν ἐνιαυτῷ μάλιστα, ᾧ πολεμεῖσθε ὑφ' ἡμῶν, παρασκευαζομένη, νῦν τὰς δέκα ταύτας πέπομφε τριήρεις, οἳ οὐχ ὅτιγε ὑμῖν, ἀλλ' οὐδὲ ἑαυτοῖς ἀμύνειν οἷοί τέ εἰσιν. ἐμοῦ γὰρ παρὰ θάλασσαν ἐστρατοπεδευμένου, οὔτε ἀπέβησαν οὔτε ἀποβῆναι οἷοί τέ εἰσιν, ἀλλ' ὀλίγον ἀπεοίκασιν ἀψύχων. λείπεται δὴ οὖν κεναῖς χερσὶ πρὸς τὴν πέμψασαν ἐπανελθεῖν. ἐκείνη δὲ ὁρῶσα ὡς οὐκ ὀλίγων τινῶν ἀναλωμάτων οὐδὲ φαύλης πραγματείας ὁ πρὸς βασιλέα δεῖται πόλεμος, ἀποσχήσεται ἐπιχειροῦσα ἀδυνάτοις· ὑμῖν δὲ ἐρήμοις τῆς ἐκεῖθεν βοηθείας λειπομένοις οὐδὲν ἄλλο λείπεται ἢ σφᾶς αὐτοὺς ἐν ἀνδραπόδων μοίρᾳ παραδοῦναι ἐνδείᾳ πιεσθέντας καὶ δούλους καὶ ἀναστάτους γενέσθαι, ἢ πολιορκουμένους ἐνταῦθα ἀπολέσθαι πανδημεὶ ἐν φρουρίῳ πνιγηρῷ καὶ πλήρει δυσωδίας κατακεκλεισμένους. ἔξεστιν οὖν συνορᾷν τὴν ὠφέλειαν, ἧς αὐτοί τε καὶ Νικηφόρος ὁ ὑμῶν δεσπότης ἀπολαύσεται ἐκ τῆς ἀποστασίας. [20]

1 531 εἰ δ' ἄρα καὶ συγχωρήσαιμεν παρασκευῇ μεγάλῃ Ταραντίνους ἐκ τῆς οἰκείας ὁρμηθέντας ἐνθάδε ἥκειν, ἄδηλον μὲν εἰ καὶ οὕτω δυνήσονται ἡμᾶς Ἀκαρνανίας ἐξελάσαι, οἳ οὐδὲ πρὸς μόνους Ἀκαρνᾶνας, καίτοι γε πολλάκις ἐπιχειρήσαντες, ἴσχυσαν χωρὶς ζημίας ἀπαλλάξαι πολεμοῦντες. εἰ δ' ἄρα καὶ τοῦτο δοίημεν, τὸ ἡμῶν αὐτοὺς ὀφθέντας κρείττους παραστήσασθαι τὰς πόλεις, τότε γε ὑμῖν τὰ πράγματα οὐδεμιᾶς βέλτιον ἕξει δυσπραγίας. ἀνάγκη γὰρ ὑμᾶς αὐτοῖς δουλεύειν. οὐ γὰρ δήπου γε ἀνοηταίνουσι τοσοῦτον, ὥστε οὗ πολλάκις ἐπεθύμησαν, μετὰ τοὺς μεγάλους πόνους καὶ κινδύνους εἰ παρέσται, ἀνάγκης οὐδεμιᾶς παρούσης ὑμῖν

προέσθαι. ὁποία δὲ ἡ Ταραντίνων καὶ τῶν ἄλλων Λατίνων δουλεία, αὐτοὶ ἴστε πείρᾳ βέλτιον ἡμῶν. ὥστε εἴτε συμμαχήσουσιν ὑμῖν οἱ Ταραντῖνοι, εἴτε μὴ, εἴτε νικήσουσιν ἡμᾶς, εἴτε ἡττηθήσονται αὐτοὶ, οὐδὲν ὑμῖν ἐλλείπει τοῦ μὴ εἰς ἔσχατον κινδύνου ἀφικέσθαι. οὐ μὴ ἀλλ' οὐδὲ ἡμᾶς ὀλιγωρήσαντας διὰ τὸν χρόνον ἀποστήσεσθαι τῆς πολιορκίας οἴεσθαι, νοῦν ἐχόντων ἐστὶν ἀνθρώπων. οὐ γὰρ δὴ αὐτοὶ καθεδούμεθα μέχρι παντὸς ὑμᾶς πολιορκοῦντες. νῦν μὲν γὰρ βασιλεὺς οἰόμενος ἐξ αὐτῶν διδαχθέντας τῶν πραγμάτων, ὡς οὐ λυσιτελοῦντα ἐβουλεύσασθε ὑμῖν αὐτοῖς, μεταγνόντες προσχωρήσετε αὐτῷ, αὐτός τε ἔτι περιμένει καὶ οὐδὲ τὰς κτήσεις ὑμῶν τὰς ἐν ταῖς ἄλλαις πόλεσι παρέσχετο ἑτέροις· ἂν δὲ ἀπογνῶ τὴν μεταμέλειαν ὑμῶν, οὐ μόνον τὰ ὑμέτερα κτήματα, ἀλλὰ καὶ τῶν ἄλλων συγγενῶν ὑμῶν τοῖς δυνατωτάτοις Ἀκαρνάνων παραδώσει· οἳ κέρδους ἕνεκα ἰδίου καὶ ὑπὲρ δύναμιν πολεμήσουσιν ὑμῖν ὡς πολεμιωτάτοις καὶ ὀλίγην ἔχοντες ἐκ βασιλέως στρατιὰν, καὶ οὐκ ἀνήσουσι πολιορκοῦντες ἄχρις οὗ παραστησάμενοι αὐτούς τε καὶ γυναῖκας καὶ τέκνα, θήσουσιν ὑπερορίους. [5]

1 532 βασιλεὺς δὲ καὶ ἡμεῖς οἴκαδε ἀναχωρήσομεν. σκέψασθε οὖν οἷ κακῶν ὁ πρὸς βασιλέα πόλεμος ὑμῖν χωρήσει· ἐὰν δ' ἐμοὶ τὰ βελτίω παραινοῦντι πείθησθε καὶ ἑαυτοὺς βασιλεῖ καὶ τὴν πόλιν παραδῶτε, πρῶτον μὲν, ὅπερ αὐτοὶ διὰ σπουδῆς ποιεῖσθε, τὸ Νικηφόρῳ τῷ ὑμῶν δεσπότῃ ὠφέλειάν τινα ἐξευρεῖν, ἐξέσται. ἐγὼ γὰρ αὐτῷ τὴν ἐμὴν κατεγγυήσω θυγατέρα· ὅπερ ὅτι γε οὐδενὸς δεύτερον εἰς εὐτυχίας λόγον οὐδ' αὐτοὶ ἀγνοεῖτε δήπου. ἐγώ τε γὰρ ὡς υἱὸν ἐκθρέψω, καὶ βασιλεὺς τῆς εἰς ἐμὲ εὐνοίας ἕνεκα τιμαῖς τε καὶ πολλαῖς εὐεργεσίαις περιφανῆ παρὰ Ῥωμαίοις θήσει. ἔπειτα καὶ ἑαυτοῖς οὐκ ὀλίγων τινῶν ἀγαθῶν αἴτιοι γενήσεσθε. ἐνταῦθά τε γὰρ ὑμᾶς εὖ ποιήσει βασιλεὺς, οἷς εἴχετε πρότερον καὶ ἕτερα προσθείς· καὶ τῶν Νικηφόρῳ τῷ ὑμῶν δεσπότῃ ἀπονεμηθησομένων ἀπολαύσετε τὸ μέρος. πλείω μὲν οὖν οὐκέτι δεῖν οἶομαι συνείρειν· ἱκανὰ γὰρ παρ' εὖ φρονοῦσι καὶ τὰ εἰρημένα, ὅσων τε κακῶν ὑμῖν ὁ πόλεμος αἴτιος ἔσται καταμαθεῖν καὶ ὅσων ἀγαθῶν τὸ προσχωρῆσαι βασιλεῖ· ὑμῖν δὲ ἐξέσται διασκεψαμένοις, τῶν εἰρημένων προσθέσθαι ὁποτέροις. [20]

1 533 " Τοιαῦτα διειλεγμένου τοῦ μεγάλου δομεστίκου, ὁ Ῥιτζάρδος τῶν μὲν Νικηφόρῳ συμπαρόντων ἄλλων ὠμολόγει καὶ αὐτὸς προέχειν· δεῖν δὲ ἔφασκε καὶ ἐκείνους περὶ τῶν εἰρημένων πυθομένους, κοινῇ τῶν πρακτέων τὴν ψῆφον ἐξαγαγεῖν. ἐπαινοῦντος δὲ καὶ τοῦ μεγάλου δομεστίκου, ἀνεχώρησεν εἰς τὴν πόλιν, ἐπαγγειλάμενος εἰς τὴν ὑστεραίαν ἥξειν ὡς λόγον ἀποδώσων. ἐκκλησίαν δὲ συναθροίσας ἐκ τῶν συνόντων, ἐβουλεύετο ἅμα αὐτοῖς εἰ δέοι βασιλεῖ σφᾶς αὐτοὺς καὶ τὴν πόλιν ἐγχειρίζειν. καὶ ἐδόκει αἱρετέα εἶναι ἃ αὐτοῖς ὁ μέγας δομέστικος παρῄνει. ἐπεὶ δὲ ἐδέδοκτο, εἰς τὴν ἐπιοῦσαν ὁ Ῥιτζάρδος αὖθις τῷ μεγάλῳ δομεστίκῳ προσελθὼν, ἐμαρτύρετο θεὸν, ὡς οὔτ' ἀπεχθῶς διακείμενοι πρὸς βασιλέα, οὔθ' ἑαυτοῖς τινα οἰόμενοι ὠφέλειαν ἐκ τῆς ἀποστασίας προξενήσειν, εἱλόμεθα ἀποστῆναι βασιλέως· οἰόμενοι δὲ, ἂν αὐτοὶ πρῶτοι ἀποστῶμεν, καὶ τοὺς ἄλλους Ἀκαρνᾶνας συνέψεσθαι ἡμῖν καὶ τὴν πατρῴαν ἀρχὴν Νικηφόρῳ ἀποδώσειν, ἑκόντες ὄντες εἰσήχθημεν εἰς τοὺς κινδύνους, εὔκλειάν τε ἑαυτοῖς καὶ ὠφέλειαν τῷ ἡμετέρῳ δεσπότῃ οἰόμενοι προξενήσειν. τῶν πραγμάτων δὲ ἀντεστραμμένων, ἀπέβη τἀναντία ἢ αὐτοὶ προσεδοκῶμεν. νῦν οὖν καὶ ἡμῖν πολλὰ περὶ τῶν παρόντων διασκεψαμένοις λυσιτελέστερον οὐδὲν ἐν τῷ παρόντι οὔθ' ἡμῖν οὔτε Νικηφόρῳ ἢ ὧν συνεβούλευσας αὐτὸς, εὑρέθη. οὗ δὴ ἕνεκα σφᾶς τε αὐτοὺς καὶ τὴν πόλιν διὰ σοῦ παραδιδοῦμεν βασιλεῖ· αὐτὸς δ' ἂν εἰδείης ὅτῳ τρόπῳ βέλτιστα ἡμῖν τὰ πράγματα παρασκευάσεις ἔχειν. [25]

1 534 Ὁ μὲν οὖν τοιαῦτα εἶπεν· ὁ μέγας δὲ δομέστικος ἐπαινέσας τῆς μεταβολῆς αὐτοὺς καὶ ὧν ἐδέοντο ἐπαγγειλάμενος πράξειν αὐτοῖς παρὰ τῷ βασιλεῖ, ἐκέλευεν ἐλθόντα εἰς τὴν πόλιν καὶ Νικηφόρον καὶ τοὺς ἄλλους παραλαβόντα ἥκειν πρὸς αὐτόν. λη'. Ἐπεὶ δὲ εἰς τὴν ὑστεραίαν ἅμα καὶ Νικηφόρον ἄγοντες τὸν δούκαν εἰς τὸ στρατόπεδον παρῆσαν, καὶ τῶν Ταραντίνων ἔτι

παρόντων ταῖς ναυσὶ καὶ ὁρώντων τὰ πραττόμενα, Θωμοκάστρῳ μὲν ἐγκατέλιπε φρουρὰν τοῦ μὴ παρὰ τῶν Ταραντίνων τι ἀδικηθῆναι, τῆς στρατιᾶς ἀναχωρούσης· αὐτὸς δὲ Νικηφόρον τὸν δούκαν ἅμα τοῖς ἄλλοις παραλαβὼν, ἐπανέζευξεν εἰς βασιλέα. βασιλεὺς δὲ ἀσμένως ἐδέξατο αὐτοὺς καὶ πολλαῖς ἠμείψατο εὐεργεσίαις· Νικηφόρον δὲ τὸν δούκαν τῷ τε τοῦ πανυπερσεβάστου τετίμηκεν ἀξιώματι καὶ πολλῆς ἠξίωσεν εὐμενείας καὶ οἰκειότητος τῆς πρὸς αὐτόν. διατρίψας δὲ ἐν Ἀκαρνανίᾳ ἐξ ἐκείνου ὑπὲρ εἴκοσιν ἡμέρας, καὶ ὅσα μάλιστα ἔδει πρὸς ἀσφάλειαν ταῖς πόλεσι καταστήσας, ἐπανέζευξεν εἰς Θεσσαλονίκην, χειμῶνος ἤδη ἀρχομένου, Νοεμβρίου μηνὸς ἐνισταμένου, καὶ διεχείμασεν ἐκεῖ. κατὰ δὲ τὸν αὐτὸν χειμῶνα καὶ οἱ Ματθαίου τοῦ Καντακουζηνοῦ, τοῦ μεγάλου δομεστίκου πρώτου υἱοῦ, ἐτελοῦντο γάμοι ἐν Θεσσαλονίκῃ. ἔγημε γὰρ τὴν Δημητρίου τοῦ δεσπότου θυγατέρα, ὃς ἦν βασιλέως Ἀνδρονίκου τοῦ πρώτου τῶν Παλαιολόγων παῖς. τελεσθέντων δὲ τῶν γάμων πολυτελῶν τε καὶ περιφανεστάτων, ἐπεὶ καὶ ὁ χειμὼν ἤδη περὶ ἐκβολὰς ἦν, παρεσκευάζετο βασιλεὺς ὡς εἰς Βυζάντιον ἐπανήξων. [25]

1 535 μεταξὺ δὲ παρασκευαζομένῳ καὶ ὁ παρακοιμώμενος Ἀπόκαυχος ἐκ Βυζαντίου ἦκεν. οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις τῷ μεγάλῳ δομεστίκῳ προσελθὼν, ἀνεμίμνησκέ τε παλαιῶν εὐεργεσιῶν ὧν ὑπῆρξεν εἰς αὐτὸν καὶ νῦν ἐδεῖτο, τῶν μὲν ἐτησίων προσόδων, ἃς αὐτὸς καρποῦται, βασιλέως παρασχόντος, κληρονόμους εἶναι παῖδας τοὺς αὐτοῦ· αὐτὸν δὲ ἀδείας τυχόντα ἐκ βασιλέως, φροντιστηρίῳ προσελθεῖν, πᾶσι τοῖς τοῦ βίου χαίρειν εἰπόντα, μίαν δὲ ποιούμενον φροντίδα τὸ τὴν ψυχὴν ἐκ τῶν πολλῶν κηλίδων, ἃς αὐτῇ προσετρίψατο ἐκ τῶν πραγμάτων, ἐκκαθᾶραι. εἰς τοῦτο γὰρ ἐκ Βυζαντίου ἥκειν, οὐδεμίαν ἑτέραν τῆς ἐπιδημίας ἔχοντα αἰτίαν. ὁ μέγας μὲν οὖν δομέστικος οἰόμενος τὰ εἰρημένα εἶναι ἀληθῆ, αὐτός τε ἔφασκεν οὐκ ἂν ἐνδώσειν, μήτε βασιλεῖ περὶ τούτου διαλέξεσθαι. ὁ δὲ αὖθις καὶ πολλάκις προσελθὼν, ἐδεῖτο περὶ τῶν αὐτῶν καὶ ὅρκους προσετίθει ὡς οὐ πλάττεται τὴν αἴτησιν, ἀλλὰ προὔργου παντὸς αὐτῷ ἡ ἀναχώρησις τοῦ κόσμου καὶ ὡς οὐδ' ἂν εἴ τι γένοιτο μεταβάλοι τῆς προθέσεως. διὸ καὶ ταύτην ἱκέτευε τελευταίαν εὐεργεσίαν καταθεῖναι ἐπὶ πολλαῖς ταῖς πρότερον γεγενημέναις. ὁ μὲν οὖν τοιαῦτα μετὰ σπουδῆς ἐδεῖτο ὡς ἐδόκει. ὁ μέγας δὲ δομέστικος ἀλγῶν μὲν καὶ τὴν ψυχὴν δακνόμενος ἐπὶ τῇ τούτου ἀναχωρήσει, ὅμως δὲ ἀναγκαίαν τὴν αἴτησιν ὁρῶν, ἀπήγγελλε βασιλεῖ ὅσα ὁ παρακοιμώμενος ἐδεῖτο. βασιλεὺς δὲ ὑποπτεύσας, ὅπερ ἦν, ὡς οὐκ ἀληθῆ τὰ εἰρημένα, ἀλλά τινος ἕνεκα αἰτίας πλάττεται ἑτέρας, θαυμάζειν ἔλεγε τῷ μεγάλῳ δομεστίκῳ, εἰ ταῦτα ὄντως οἴεται εἶναι ἀληθῆ. [20]

1 536 τοῦ δὲ διϊσχυριζομένου, μὴ ἂν ἄλλως ἔχειν, „οὐκοῦν" αὐτῷ ἔφασκε „πείρας ἕνεκα φράσον ὡς βασιλεῖ μὲν οὐκ ἂν εἴη κατὰ γνώμην, ἀλλὰ καὶ ἄχθοιτο μᾶλλον, τοῦ βίου σοῦ ἀναχωροῦντος. ὡς ἂν δὲ μὴ πράγματος οὕτω καλοῦ καὶ θεοφιλοῦς κώλυμα αὐτὸς ὀφθεὶς δοκῇ βασκαίνειν τοῖς καλοῖς, ἐνδίδωσιν." ὁ μέγας δὲ δομέστικος μὴ πείρας ἕνεκα τοιαῦτα λέγειν ἔφασκε δέον, ὡς οὐκ ἂν φθάνοι τὴν ἀπολογίαν εἰληφὼς, καὶ συνταξάμενος ἀναχωρήσει· ἀλλὰ μᾶλλον εἴ τι δέοιτο αὐτοῦ, κωλύειν. βασιλεὺς δὲ καὶ αὖθις ἔφασκε τὰ προειρημένα λέγειν πρὸς αὐτόν· καὶ γὰρ ἀκούσεταί τε τῶν λόγων καὶ μενεῖ ἐπὶ τοῖς πρότερον. ὁ μὲν οὖν ἐπείθετό τε βασιλεῖ καὶ παρακοιμωμένῳ ἐξήγγελλε τοὺς βασιλέως. ὁ δὲ μηδὲ ὅλους σχεδὸν ἀκοῦσαι ἀναμείνας, οἴεσθαι ἔφασκε μάλιστα κατὰ γνώμην εἶναι βασιλεῖ τὴν ἐκείνου ἀναχώρησιν καὶ ὅλῃ προθέσει ἐπιτρέπειν· ἐπεὶ δὲ οὐ φίλον αὐτῷ, οὐδ' αὐτὸν ποιήσειν. ὁ μὲν οὖν ὡς ἐπὶ τοῖς πρότερον λεγομένοις ἐξηπατᾶτο συνιεὶς, βασιλεῖ μετὰ παιδιᾶς προσελθὼν ἀπήγγελλεν ὅσα ὁ παρακοιμώμενος ἀποκριθείη. βασιλεῖ δὲ διατριβήν τε οὐ μετρίαν παρέσχοντο οἱ λόγοι καὶ τῷ μεγάλῳ δομεστίκῳ παίζων ἔλεγεν, ὡς νῦν γοῦν ἂν πεισθείη, ὀξύτερόν τε νοεῖν ὄντα αὐτοῦ καὶ μᾶλλον ἐκ τῶν λόγων εἰδότα καταστοχάζεσθαι γνώμας ἀνδρῶν. ὁ δ' ἔφασκε, πάλαι τε

πεπεῖσθαι οὐδὲ τοσοῦτον ὅσον λανθάνειν διαφέροντα, καὶ νῦν μάλιστα ὁμολογεῖν ὡς ἁπάσαις ψήφοις αὐτοῦ κρατεῖ πρὸς τὸ φρονεῖν. [20]

1 537 οἱ μὲν οὖν τοιαῦτα πρὸς ἀλλήλους διειλέχθησαν ἐν παιδιᾷ. Ἀπόκαυχος δὲ οὐ μετὰ πολλὰς ἡμέρας αὖθις τῷ μεγάλῳ δομεστίκῳ προσελθὼν, „τὸ μὲν ἀποστῆναι“ ἔφασκε „παντάπασι τοῦ κόσμου, καίτοι μάλιστα κατὰ γνώμην ὂν, οὐκ ἐξεγένετο. δεύτερον δὲ, ὅ φασιν, ἐπῆλθέ μοι πλοῦν, τὴν οὐσίαν τοῖς παισὶ διελομένῳ, τὴν διαφέρουσαν ἐμοὶ τοῦ πλούτου μοῖραν εἰς τὸν κατὰ τῶν Περσῶν πόλεμον ἐξαναλῶσαι. οἶσθα γὰρ ὡς ἤδη καὶ αὐτοὶ στόλοις ὅλοις χρώμενοι, νήσους τε ἤδη ἐξηνδραποδίσαντο σχεδὸν, καὶ πρὸς Θρᾴκην περαιούμενοι καὶ τὴν ἄλλην Μακεδονίαν, οὐ μὴν ἀλλὰ καὶ Ἑλλάδα καὶ Πελοπόννησον κακῶς ποιοῦσιν. εἰ οὖν σοὶ πρῶτον, ἔπειτα καὶ βασιλεῖ πυθομένῳ δόξειε λυσιτελεῖν καὶ παράσχοισθε Βυζαντίου τε καὶ τῶν νήσων τὴν ἀρχὴν καὶ χρήματα ἐκ τῶν κοινῶν ὅσα ἂν ὑμῖν βουλομένοις ᾖ, στόλον ἐξαρτύσομαι αὐτὸς, καὶ ἐκ τῶν ἰδίων προσαναλώσας, καὶ πάσῃ σπουδῇ καὶ προθυμίᾳ πολεμήσω τοῖς βαρβάροις. οἶομαι δὲ Ῥωμαίοις τε ὠφέλειαν οὐ τὴν τυχοῦσαν τὴν ναυτικὴν ταύτην προξενήσειν δύναμιν θαλασσοκρατοῦσαν καὶ ἀπείργουσαν τοὺς βαρβάρους τοῦ μὴ τὰς νήσους καὶ τὴν ἤπειρον κακουργεῖν· καὶ πρὸς τὴν σωτηρίαν τῆς ἐμῆς ψυχῆς τὰ μέγιστα συμβαλέσθαι, ἂν οἱονεὶ λύτρα τὰ χρήματα παρεχομένῳ ὑπὲρ τῶν μελλόντων ὑπὸ τῶν βαρβάρων ἀποκτίννυσθαι καὶ ἐξανδραποδίζεσθαι. [20]

1 538 ὡς οὖν εἵς τε τὸ κοινὸν Ῥωμαίων τῆς ἐκεῖθεν ὠφελείας διαβαινούσης καὶ ἰδίᾳ ἐμοὶ οὐκ ὀλίγης ἐσομένης εἰς τὴν σωτηρίαν τῆς ψυχῆς, δέομαι βασιλέως τε καὶ σοῦ, τὴν χάριν ταύτην παρασχεῖν.“ Ὁ μέγας δὲ δομέστικος ἑαυτῷ τε καὶ τῷ κοινῷ λυσιτελοῦντα οἰόμενος παρακοιμώμενον αἰτεῖν, αὐτός τε ἐπείθετο καὶ ἐπηγγείλατο ποιήσειν, καὶ βασιλεῖ ἀπήγγελλε προσελθὼν, ἅμα καὶ ἐνάγων πρὸς τὸ δεῖν τὴν ἀξίωσιν αὐτοῦ λυσιτελοῦσαν πράττειν τῷ κοινῷ. βασιλεὺς δὲ εἰ σπουδάζων ταῦτα καὶ μὴ εἰρωνευόμενος λέγει ἐπυνθάνετο· ὡς δ’ ἤκουεν, οὐκ ἐν παρέργῳ, ἀλλὰ μετὰ σπουδῆς λέγειν, θαυμάζειν ἔφασκεν αὐτοῦ πολλὰ, εἰ πρὸς τοιαύτην ἐπιχείρησιν ἀξιόχρεων ᾠήθη ἔσεσθαι Ἀπόκαυχον. εἰ μὲν γὰρ οἰόμενος σοὶ φίλον εἶναι ταύτην ἐβουλεύσω αὐτῷ τὴν χάριν καταθεῖναι, ἴσθι σεαυτὸν ἐξαπατῶν· οὐδὲν γὰρ ἧττον ἐγώ σοι πολέμιος, ἢ ἐκεῖνος φίλος· εἰ δὲ ὡς τῷ κοινῷ λυσιτελήσοντα τὸν κατὰ Περσῶν πόλεμον ἐγχειρίζειν παραινεῖς, ἔτι μᾶλλον θαυμάζειν, ὅθεν ὁρμώμενος αὐτός τε ἐπείσθης καὶ ἐμοὶ προείλου τὰ ἴσα συμβουλεύειν. οὐδὲ γὰρ οὐδὲ παρὰ πάντα τὸν βίον οὔτε κατεπράξατό τι στρατιώτῃ πρέπον, οὔτε ἐμέλλησεν, ἀλλὰ φόρων τε εἰσπράξεις δημοσίων καὶ χρημάτων καὶ προσόδων διοικήσεις φίλαι, αἷς ἐγγεγηρακὼς, εἰκότως ἐν τοῖς τοιούτοις ἐμπειρίαν ἐκτήσατο πολλήν. [20]

1 539 τὰς δὲ τοιαύτας πράξεις καὶ τὰς ναυμαχίας ἀνδρὸς δεῖσθαι μάλιστα τοῖς ὅπλοις ἐντραφέντος καὶ σαφεῖς τὰς ἀποδείξεις ἐν πολλοῖς παρεσχημένου τῆς τε τόλμης καὶ τῆς ἐμπειρίας τῆς κατὰ τὰς μάχας. Ὁ δ’ ἔφασκε τὰ ἴσα μὲν καὶ αὐτὸς εἰδέναι περὶ παρακοιμωμένου. οὔτε γὰρ ἑαυτὸν ἥσκει παρὰ τὸν βίον ἐν τοῖς προσήκουσιν ἔργοις στρατιώτῃ, οὔτε ἀπόδειξίν τινα παρέσχετο οὐδεμίαν οὔτε τόλμης οὔτε ἐμπειρίας· ὅθεν οὐδὲ οἷα ἀξιόχρεων πρὸς στρατηγίας τὸν κατὰ Περσῶν πόλεμον αὐτῷ ἐγχειρίζειν παραινεῖν. ἀλλ’ εἰδὼς μάλιστα τοὺς Πέρσας πεζομαχίας μὲν καὶ ἱππομαχίας ἐμπειροτάτους καὶ δεινοῦ δεομένους τοῦ ἀντιστησομένου στρατηγοῦ, ἐν ναυμαχίαις δὲ ἀτολμοτάτους δι’ ἀπειρίαν καὶ ῥᾳδίους τῷ προστυχόντι παντὶ ἡττᾶσθαι, ἄλλως τε καὶ τριήρεσι ταῖς ἡμετέραις πολλοὺς παρεσομένους ἐμπειροτάτους καὶ ναυμαχιῶν καὶ πεζομαχιῶν, οἷς χρήσεται παρακοιμώμενος διδασκάλοις πρὸς τὸν πόλεμον, αὐτός τε ᾠήθην μὴ δεῖν ἀμβλύνειν τὴν προθυμίαν αὐτοῦ τὴν περὶ τὰ καλὰ καὶ σοῦ ἥκω δεησόμενος τὴν στρατηγίαν ἐπιτρέπειν. ἴσως γὰρ ἡ προθυμία τῇ ἀτολμίᾳ καὶ ἀπειρίᾳ ἀντίῤῥοπος ὀφθεῖσα, χρήσιμον πρός τι τῶν δεόντων ἀποδείξει. πρὸς ταῦτα ὁ βασιλεὺς „ὁρῶ μέν σε“ εἶπε „μάλιστα

προθυμούμενον Ἀποκαύχῳ τῶν τριήρεων ἐγχειρίζειν τὴν ἀρχὴν, καὶ διὰ τοῦτο οὐδὲ πολὺν περὶ αὐτοῦ βούλομαι ποιεῖσθαι λόγον, ἀλλ᾽ ὃ προείλου πρᾶττε. εὔχομαι δὲ μὴ κἀν τοῖς τοιούτοις αὐτὸς φανεῖσθαι ἀληθεύων.“ Τοιαῦτα πρὸς ἀλλήλους αὐτῶν διειλεγμένων, ἐπεὶ ἐδέδοκτο παρακοιμωμένῳ Βυζαντίου καὶ τῶν νήσων ἐπιτρέπειν τὴν ἀρχὴν ἅμα τοῖς ἐκ τούτων ἐτησίοις φόροις, γράμματα ἐγράφετο βασιλικὰ, ἄρχοντα ἀποδεικνύντα παρακοιμώμενον τοῦ στόλου τοῦ κατὰ Περσῶν, καὶ ἀπὸ τῶν δημοσίων κελεύοντα λαμβάνειν χρυσίου μυριάδας δέκα ὥστε ἔχειν ἔκ τε τούτων καὶ ἀπὸ τῶν ἰδίων, ὡς ὑπέσχετο, τριήρεις τε παρασκευάζειν καὶ τὸ μισθοφορικὸν τρέφειν τὸ ἐν ταύταις. [5]

1 540 ἐπεὶ δὲ τά τε γράμματα εἰλήφει καὶ τὴν ἀρχὴν ἐνεχειρίσθη, πρὸς Βυζάντιον ἐλθὼν, τὰ μὲν βασιλικὰ γράμματα οὐ παρέσχετο ἀναγινώσκεσθαι ἐπ᾽ ἐκκλησίας, ὡς ἂν εἰδεῖεν πάντες ὡς τῆς περὶ αὐτοὺς εὐνοίας εἴη καὶ κηδεμονίας βασιλέως ὁ στόλος ἔργον ἔκ τε τῶν βασιλικῶν χρημάτων ἡ δαπάνη, ἵνα καὶ ἡ εὐφημία τῶν πολλῶν καὶ ὁ ἔπαινος πρὸς βασιλέα ᾖ. ἀλλὰ ταῦτα μὲν ἀφανείᾳ παρεδίδου· αὐτὸς δὲ τὰ μὲν βασιλικὰ χρήματα παρὰ τῶν τὰ δημόσια πραττόντων λαμβάνων κρύφα, οἴκοθεν δὲ ἀναφανδὸν μεταπεμπόμενος, ἐπλήρου τὰς τριήρεις. ἐξ ὧν αὐτὸς μὲν ἐθηρᾶτο τὴν δόξαν τὴν παρὰ τοῦ πλήθους, καὶ πολὺς ἦν ᾀδόμενος παρὰ πᾶσιν ὡς τῶν οἰκείων οὐ φειδόμενος οὔτε χρημάτων οὔτε πόνων ὑπὲρ τῶν κοινῇ λυσιτελούντων. βασιλεῖ δὲ, ὥσπερ εἰκὸς, προσετρίβετο τὴν μέμψιν καὶ τὸν γογγυσμὸν τὸν παρὰ τῶν πολλῶν ὡς τῶν λυσιτελούντων ὑπηκόοις μηδεμίαν ποιουμένῳ πρόνοιαν. ὅμως δὲ πληρώσας τὰς τριήρεις περιέπλευσε τὰς νήσους μέχρι Χίου, καὶ ἐννέα ναυσὶ Περσικαῖς περιτυχὼν ἐκράτησεν αὐτάνδρων καὶ πάλιν ἀπέπλευσεν εἰς Βυζάντιον. [20]

1 541 πυθόμενος δὲ ὁ βασιλεὺς ὅσα αὐτῷ περὶ τὰ βασιλικὰ γράμματα κακουργηθείη, καὶ ὡς λόγους διαδοίη, μὴ βασιλέως, ἀλλ᾽ ἐκ τῶν ἰδίων εἶναι τὴν δαπάνην τῶν τριήρεων, ὀργῇ τε ἐφέρετο πρὸς αὐτὸν καὶ πρὸς τὸν μέγαν δομέστικον, ὡς ὑπὲρ ἐκείνου πράττοντα ἀεί. „ὁρᾷς“ ἔφη „οἷα Ἀπόκαυχος τυρεύει; ἐγὼ δὲ καίτοι πολλάκις ὁρμηθεὶς τὰ δέοντα ποιεῖν, σοῦ κωλύοντος, ἀπεσχόμην. νυνὶ δέ μοι δοκῶ μηδὲν ἐμποδὼν ἔσεσθαι ἃ αὐτὸς οἴομαι λυσιτελεῖν ποιεῖν.“ βασιλεὺς μὲν οὖν τοιαῦτα εἶπεν ὀργιζόμενος. ὁ δ᾽ ἑαυτῷ συνειδὼς μάλιστα αἰτίῳ τῶν παρόντων ὄντι, (αὐτὸς γὰρ παρέσχετο Ἀποκαύχῳ τὴν ἀρχὴν, βασιλέως ἀντιλέγοντος,) σιωπῇ παρῆλθε μηδὲν ἀποκριθείς. βασιλεὺς δὲ ἄχρι ἦρος ἀρχομένου διατρίψας ἐν Θεσσαλονίκῃ, ἄρας ἐκεῖθεν ἦλθεν εἰς Διδυμότειχον καὶ μετὰ μικρὸν ἐγένετο ἐν Βυζαντίῳ. ἐνδιατρίψας δὲ καὶ Βυζαντίοις χρόνον τινὰ οὐχὶ συχνὸν, ἔμελλεν αὖθις εἰς Θρᾴκην ἐξελθὼν πόλιν παλαιὰν κατεσκαμμένην, ἧς φασιν Ἀρκάδιον εἶναι οἰκιστὴν τὸν Θεοδοσίου τοῦ μεγάλου, ἐξ οὗ καὶ τὴν προσηγορίαν ἔλαχεν, Ἀρκαδίου προσαγορευομένη πόλις, αὖθις ἀνοικοδομεῖν, ἔστιν οὗ καὶ ἄχρι νῦν περισωζομένων τῶν τειχῶν, ἀγασθεὶς τοῦ τόπου τὴν εὐφυΐαν. ἦν γὰρ καὶ περὶ τὰς οἰκοδομὰς φιλότιμος ὁ βασιλεὺς, οὐ μόνον χρείας ἕνεκα, ἀλλὰ καὶ ψυχαγωγίας ὢν ἕτοιμος ἀναλοῦν. περὶ μὲν γὰρ Θεσσαλονίκην οὔπω πρότερον ὂν τὸ Γυναικόκαστρον προσαγορευόμενον ἐτείχισε, καὶ πύργον ἐπιστήσας μεγέθει τε μέγιστον καὶ καρτερώτατον ἀντισχεῖν πρὸς πολεμίων μηχανάς· ὅθεν ἔλαχε καὶ τὴν προσηγορίαν, ὡς καὶ γυναικείας οὔσης φρουρᾶς, κρείττων ἐσόμενος παντοίας πολεμίων προσβολῆς. [5]

1 542 καὶ περὶ Φεραὰς ἕτερον Σιδηρόκαστρον, καὶ αὐτὸ διὰ τῶν τειχῶν τὸ εὐπαγὲς καὶ λίαν ὀχυρὸν ὠνομασμένον. Ἀμφίπολιν δὲ τὴν ἐν Στρυμόνι πόλιν Ἑλληνίδα παλαιὰν, ἐκ πολλῶν ἐτῶν κατεσκαμμένην αὖθις ἐτείχισεν ὁ βασιλεὺς καὶ συνῴκισεν ἐκ τῶν πέριξ πόλεων πέμψας ἀποικίας. οὐ μὴν ἀλλὰ καὶ περὶ Θρᾴκην παράλιον ἑτέραν πόλιν κατεσκαμμένην καὶ αὐτὴν, ἧς φασιν Ἀναστάσιον βασιλέα Ῥωμαίων οἰκιστὴν καὶ ἐξ ἐκείνου προσαγορευομένην, ἀνέστησεν αὖθις οὐ πᾶσαν, ἀλλ᾽ ὅσον μάλιστα ἐνῆν ἀπολαβὼν, καὶ Περιθεώριον προσηγόρευσεν. ἕτερον δὲ φρούριον ἐδείματο, οὐ πολὺ ἀφεστηκὸς θαλάσσης, Διπόταμον προσαγορευθέν. ἃ δὴ πάντα

οὐ μᾶλλον φιλοτιμίας ἢ ἀσφαλείας τῶν χωρίων ἕνεκα, ἐν οἷς ἐκτίσθησαν, ἐτείχισεν ὁ βασιλεύς. Ἀρκαδιούπολιν δὲ διὰ τὰς ἐκ τῶν Σκυθῶν ἐφόδους ἀναγκαίαν οὖσαν, ἀνοικοδομῆσαι ἠβουλήθη πολυτελῶς καὶ οἰκήτορας ἐκ τῶν ἐπιφανῶν ἐγκαθιδρύσαι, εὐδαίμονά τε καὶ ὀλβίαν ἀποδεῖξαι καὶ τῶν κατὰ τὴν Θρᾴκην ἄλλων πόλεων ὑπερέχουσαν πολλῷ μετὰ τὴν μεγάλην πόλιν. λθ′. [20]

1 543 Συμβάσης δέ τινος ταραχῆς περὶ τὴν ἐκκλησίαν, περιμείνας ὥστε τὰς προφάσεις τῆς ταραχῆς ποιῆσαι ἐκποδὼν, ἐτελεύτησε μετὰ μικρὸν, μηδὲν ὧν ἐσκέπτετο εἰς ἔργον ἀγαγών. μοναχὸς γάρ τις ὁρμώμενος ἐκ Καλαβρίας τοῖς Λατίνων ἤθεσι καὶ νόμοις ἐντραφεὶς, ὄνομα Βαρλαὰμ, ἄλλως δὲ νοῆσαί τε ὀξὺς καὶ τὰ νοηθέντα ἐξηγήσασθαι ἱκανώτατος, καὶ τὰ Εὐκλείδου καὶ Ἀριστοτέλους καὶ Πλάτωνος ἐκμελετήσας καὶ διαβόητος περὶ ταῦτα ὢν, ἐπὶ κακῷ τῇ Ῥωμαίων ἐπεδήμησε βασιλείᾳ. πολλῶν γὰρ ἐνέπλησε καὶ μεγάλων στάσεων εἰρήνην ἄγουσαν τὴν ἐκκλησίαν. ὑποκρινάμενος γὰρ τὰ Λατίνων ἀποσείεσθαι, λόγους τε συνεγράφετο κατ’ αὐτῶν καὶ ἀπεδείκνυε λογικῶς περὶ τὴν πίστιν σφαλλομένους, καὶ τοῖς ἡμετέροις ἔχαιρεν ἤθεσι καὶ νόμοις καὶ ὅλως σαφεῖς ἐδόκει παρέχεσθαι τὰς ἀποδείξεις τοῦ κατεγνωκέναι τὰ Λατίνων ἀληθῶς. διὰ ταῦτά τε οὖν καὶ τὴν ἄλλην σοφίαν τῆς τε παρὰ βασιλέως ἀπέλαυεν εὐμενείας καὶ τιμῆς, καὶ παρὰ μεγάλου δομεστίκου οὐδὲν ἧττον ἠγαπᾶτο καὶ προνοίας ἠξιοῦτο, καὶ οὐδὲν ἐνέδει αὐτῷ τοῦ μὴ ἐν εὐπραγίαις εἶναι. οὗτος δὴ ὁ Βαρλαὰμ εἴτε καὶ εὐθὺς ἐξ ἀρχῆς τὴν ὁμοίαν γνώμην ἔχων, εἴτε ὕστερον μεταβαλὼν, μᾶλλον δὲ ὑπὸ τοῦ κοινοῦ τῶν Χριστιανῶν πληρώματος πολεμίου ἐναγόμενος, πρόφασίν τινα ζητῶν, ἐξ ἧς τὰ ἡμέτερα διακωμῳδήσει καὶ πρὸς πόλεμον χωρήσει φανερῶς, ὡς δὴ μαθητιῶν τινι προσῆλθε τῶν ἡσυχαζόντων, λόγου τε ἀπεστερημένῳ παντελῶς καὶ ὀλίγον διαφέροντι ἀλόγων καὶ οὐδὲ φρονήσεως γοῦν μετεσχηκότι πρεπούσης ἰδιώτῃ· καὶ ὑπεκρίνετο βούλεσθαι μαθητεῦσαι παρ’ αὐτῷ καὶ τὴν ὁδὸν τῆς ἡσυχίας ἐκδιδάσκεσθαι καὶ τοὺς νόμους τῆς ὑποταγῆς. [5]

1 544 ἔπεισέ τε δεηθεὶς καὶ διέτριψε παρ’ αὐτῷ ἡμέρας οὐ πολλάς. καὶ μετὰ ταῦτα τοῦ ἀμαθοῦς ἐκείνου ἐδεῖτο διδάσκειν περὶ ἡσυχίας καὶ ὅτῳ τρόπῳ καὶ αὐτὸς ἐν ἡσυχασταῖς αὐθήμερον τελέσειεν ὑποθέσθαι. ὁ δὲ τόν τε δόλον μὴ συνιδὼν, ὑπό τε τῆς ἄγαν κουφότητος ἐπαρθεὶς, ἄλλα τε ἐδίδασκε τὸν πονηρότατον ὁ ἀνόητος καὶ ὡς προκόπτοντες κατὰ μικρὸν οἱ ἡσυχάζοντες καὶ προσευχόμενοι ἀθορύβως, ἀγαλλίασίν τέ τινα καὶ ἄῤῥητον ἡδονὴν καὶ θείαν ἐπιδέχονται ἐν τῇ ψυχῇ καὶ φῶς ὁρῶσι τοῖς σωματικοῖς ὀφθαλμοῖς ἀστράπτον περὶ αὐτούς. ἐπὶ μὲν οὖν τοῖς ἄλλοις πολλὴν κατεγίνωσκεν ὁ Βαρλαὰμ ἄνοιαν τοῦ ἀνδρὸς καὶ ἀμαθίαν· φῶς δὲ ἀκούσας ὁρώμενον ὀφθαλμοῖς σωματικοῖς, οὐκέτι οὐδὲ ἠρεμεῖν ἠνέσχετο, ἀλλὰ κοινὴν ἐποιεῖτο τῶν ἡσυχαζόντων καταδρομὴν, ἀπατεῶνας καλῶν καὶ ψευδομένους καὶ Μασσαλιανοὺς καὶ Ὀμφαλοψύχους καὶ τὰ ὀρθὰ τῆς ἐκκλησίας δόγματα διαστρέφοντας καὶ εἴ τι ἕτερον τοιοῦτον, καὶ διεμαρτύρετο ἀναφανδὸν ὡς δεῖ πάντα ὀντινοῦν ἀπέχεσθαι αὐτῶν πλανώντων τε καὶ πλανωμένων, οὓς ἔδει τήν τε ἀρετὴν τελείους εἶναι καὶ περὶ τὰ δόγματα μάλιστα ἀσφαλεῖς, ὡς τῶν ἀνθρώπων τὰς ψυχὰς αὐτοῖς διὰ τὴν δοκοῦσαν εὐλάβειαν ἐμπιστευόντων. [20]

1 545 ταῦτα δὲ οὐ λόγοις μόνον διεθρύλλει κοινῶς κατὰ τῆς ἡσυχίας, ὡς αἰτίου τῆς πλάνης γινομένης, ἀλλὰ καὶ συνεγράφετο, ἵνα ἐς ἀεὶ ἀνάγραπτος ἡ ὕβρις εἴη. ταῦτα δὲ ἐπράττετο ἐν Θεσσαλονίκῃ ἐν οἷς καιροῖς καὶ ὁ βασιλεὺς ἐπὶ Ἀκαρνανίαν ἀπεδήμει. ἐν ταύτῃ δὲ ἄλλοι τε παρῆσαν ἡσυχάζοντες πολλοὶ, οἳ δεινὰ ἐποιοῦντο τὰ Βαρλαὰμ διαθρυλλούμενα, καὶ μάλιστα Γρηγόριος ὁ Παλαμᾶς, ὃς καὶ ὕστερον εἰς ἀρχιερέας ἐτέλεσε Θεσσαλονίκης· ὃς ἐξ Ἀσίας ὢν τὸ γένος καὶ βασιλείοις αὐλαῖς ἐντεθραμμένος, ἅμα δυσὶν ἑτέροις ἀδελφοῖς ἐπὶ πάνυ παιδικῇ τῇ ἡλικίᾳ κτῆσιν καὶ γονέας καὶ τὴν ἄλλην περιφάνειαν τοῦ βίου καὶ τὰς ἐκ βασιλέως τιμὰς ὡς ὀλίγου ἢ οὐδενὸς ἐκλιπόντες ἄξια, Χριστῷ εἵλοντο μόνῳ ἀκολουθεῖν καὶ τὴν ἐκεῖθεν

λαμπρότητα ἐπιζητεῖν· καὶ Ναζιραῖοι τῷ θεῷ γεγενημένοι, τὴν πτωχείαν μᾶλλον εἵλοντο τὴν δι' αὐτὸν καὶ τὴν ἀκτησίαν καὶ τὴν δουλείαν. καὶ πρὸς Ἄθῳ τῷ ἱερῷ γενόμενοι ὄρει, ὅπερ οὐκ ἄν τις ἁμάρτοι πόλιν προσειπὼν οὐράνιον, ἐκδεδώκασιν ἑαυτοὺς ὑποταγῇ πατρὸς πνευματικοῦ. οὗ δὴ τὸν πνευματικὸν ἀγωνιζομένων δίαυλον καὶ θεόντων τὸν περὶ ψυχῆς, ὁ τελευταῖος ἐξέλιπε τῶν ἀδελφῶν πρῶτος χωρήσας πρὸς τὰ βραβεῖα τῆς ἄνω κλήσεως, καὶ μετ' ἐκεῖνον ὁ διδάσκαλος ὀλίγῳ ὕστερον ἀπηλλάττετο τῶν δεσμῶν τοῦ γεώδους τούτου καὶ ταπεινοῦ σαρκίου καὶ πρὸς ὃν ἐπόθησε μετέβαινεν ἐξ ἀρχῆς. Γρηγορίῳ δὲ καὶ τἀδελφῷ ἐκ πατρὸς καταλειφθεῖσιν ὀρφανοῖς οὐκ ἐδόκει δεῖν ἔτι πιστεύειν τῇ ἡλικίᾳ, ἀλλ' ἑτέρῳ φέροντες ὑπέταξαν πατρὶ πνευματικῷ. [20]

1 546 ὑφ' ᾧ ὑπὲρ ὀκτὼ τελέσαντες ἔτη, ἐπεὶ κἀκεῖνος τῶν τῇδε ἀπηλλάττετο, πρὸς τῇ κατὰ Βέῤῥοιαν Σκήτῃ φροντιστήριον οἰκοδομήσας ὁ Γρηγόριος καὶ κατακλείσας ἑαυτὸν πᾶσάν τε ἀποθέμενος φροντίδα γηΐνην, ἑαυτῷ δὲ μόνῳ καὶ θεῷ προσαδολεσχῶν, δέκα διετέλεσεν ἔτη, πολλὰ τὴν σάρκα παιδαγωγήσας καὶ ὑποτάξας τῷ πνεύματι· ὡς ἐκ τῆς συντονωτάτης καὶ ἄγαν ἀνενδότου ἀσκήσεως καὶ τοῦ σπηλαίου τῆς πρὸς ψῦχος ἀσυμμετρίας νόσῳ δεινῇ περιπεσόντα, οὐ μακρὰν γενέσθαι τοῦ ἀποθανεῖν. οὗ μετὰ τὰ δέκα ἔτη ἀποστὰς, τῶν ἐκεῖσε διακριτικῶν πατέρων κελευσάντων, οἷς οὐκ ἐξῆν τὰ βελτίω συμβουλεύουσι μὴ πείθεσθαι, πρῶτα μὲν ἐφ' ἱκανὸν ἐν τοῖς κατὰ τὸν Ἄθω διέτριψε φροντιστηρίοις, ἔπειτα τῆς περὶ τὸ σῶμα νοσοκομίας ἐπειγούσης, ἦλθεν εἰς Θεσσαλονίκην. οὗτος δὴ ἅμα τοῖς ἄλλοις οὐ μετρίως δυσχεράναντες κατὰ Βαρλαὰμ τὰ τῆς ἱερᾶς ἡσυχίας ἐξορχουμένου καὶ πολλὰς αὐτῆς καταχέοντος τὰς λοιδορίας, τισὶ τῶν φίλων πρὸς αὐτὸν χρησάμενοι πρεσβευταῖς, ἐδέοντο παύεσθαι τοῦ τοιαῦτα καὶ φρονεῖν καὶ λέγειν κατὰ τῶν ἡσυχαζόντων, καὶ μὴ διὰ τὴν ἀπειρίαν ἑνὸς τὰ ἴσα πάντων καταψηφίζεσθαι καὶ, τό γε εἰς αὐτὸν ἦκον, τοῦ ἀκροτάτου βίου καὶ τῆς τελεωτάτης πολιτείας τοὺς ἀνθρώπους ἀποστερεῖν, τὰ οὐκ ὄντα καταψευδόμενον καὶ ὡς κακῶν αἰτίαν διαβάλλοντα καὶ πείθοντα ἀπέχεσθαι αὐτῆς. [20]

1 547 ἀλλ' εἰ μέν τι καὶ παρὰ τὸ προσῆκον ἤκουσται αὐτῷ, τῇ ἀπειρίᾳ τοῦ εἰπόντος προσλογίζεσθαι· αὐτὴν δὲ ἡγεῖσθαι θεῖόν τι χρῆμα καὶ ἱερὸν, καὶ τοῦ τε κατ' αὐτῆς παύεσθαι λέγειν. ἀλλὰ καὶ εἴ τι συναρπασθεὶς συνέγραψε κατ' αὐτῆς, ὡς ἀπωλείας ἄξια παραδιδόναι πυρί. οὐδὲ γὰρ ὅσιον οὐδὲ ἄλλως νοῦν ἔχον, γεωμετρίαν μὲν καὶ ἀστρονομίαν καὶ ἀριθμῶν ἀναλογίας βουλόμενόν τινα ἐκδιδάσκεσθαι, μὴ τῷ ἀμαθεστάτῳ, ἀλλὰ τῷ δεινοτάτῳ περὶ ταῦτα φοιτᾷν· τῆς δὲ ὄντως φιλοσοφίας καὶ τῆς περὶ οὐρανίων πραγμάτων γνώσεως τῷ περὶ ταῦτα ἀμυήτῳ χρῆσθαι διδασκάλῳ. ἐχρῆν γὰρ αὐτὸν ὄντα φιλόσοφον καὶ τῶν πολλῶν ὑπερέχοντα συνέσει, εἴγε περὶ τοιούτων ἐδεῖτο μαθεῖν πραγμάτων, ἢ πρότερον διερευνησάμενον τῷ παρὰ θεῷ τῆς τοιαύτης χάριτος ἠξιωμένῳ, (οὐ γὰρ δὴ ἀνθρωπίνῃ γε συνέσει ἢ σπουδῇ τὰ τοιαῦτα περιγίνεται,) ἀδόλῳ γνώμῃ καὶ πάσης ἀπηλλαγμένῃ κακουργίας προσελθεῖν καὶ περὶ ὧν ἐβούλετο δεῖσθαι μαθεῖν· (ἦ γὰρ ἂν ἐκεῖνος σοφὸς ὢν τὰ θεῖα καὶ μέτρα μαθημάτων ἑκάστῳ προσήκοντα εἰδὼς κατὰ τὴν τῆς καθάρσεως ἀναλογίαν, οὐκ ἂν ἐνεπίστευσεν ἀκοῇ σαθρᾷ βροντῆς ἦχον ἐκ προοιμίων εὐθὺς, ἀλλὰ βίου πρότερον ἀκριβείᾳ καὶ πολλῇ φιλοσοφίᾳ καὶ πασῶν γηΐνων ἐννοιῶν εὐλόγων τε καὶ μὴ τοιούτων ἀποθέσει τὴν ψυχὴν ἂν πρότερον ἐδίδαξεν ἐκκαθᾶραι καὶ οὕτω τῶν ἱερῶν προθύρων τῆς θείας ταυτησὶ σοφίας ἐπιβαίνειν, δεόμενον καὶ θεοῦ πολλὰ καὶ ἀνδρῶν τῶν τὰ τοιαῦτα δύνασθαι ἠξιωμένων συνάρασθαι πρὸς τὸ ἔργον οὕτως ὂν ὑψηλὸν καὶ τὴν ἀνθρωπίνην ὑπερβαῖνον δύναμιν·) ἢ ἐπειδή γε διὰ ῥᾳθυμίαν ἀπερισκέπτως τῷ προστυχόντι προσεχώρησε, τῇ ἐκείνου ἀμαθίᾳ προσλογίσασθαι τοὺς λόγους, ἀλλὰ μὴ ὥσπερ ἐξεπίτηδες ὥσπερ τινὸς ἑρμαίου λαβόμενον τῶν λόγων, αὐθαδῶς καὶ θρασέως κατ' αὐτῆς τῆς ἱερᾶς χωρῆσαι ἡσυχίας καὶ τοῖς ἡσυχάζουσι πολλὰ προστρίψασθαι ὀνείδη, ἀπατεῶνας

καλοῦντα καὶ ψευδομένους καλοῦντα καὶ Μασσαλιανοὺς, ἐκ τοῦ φῶς περιαστράπτειν τοὺς ἁγίους ἀκηκοέναι τὰς ἀφορμὰς εἰληφότα τῶν πολλῶν λοιδοριῶν. [10]

1 548 καίτοι γε τῷ διδάξαντι περὶ ἄλλων μὲν ἄν τις μέμφοιτο δικαίως, περὶ τούτου δὲ οὐδείς. ἄλλους τε γὰρ περιήστραψε πολλοὺς τὸ θεῖον τοῦτο φῶς ἐν τοῖς τοῦ διωγμοῦ καιροῖς ἀγωνιζομένους ὑπὲρ Χριστοῦ, καὶ Ἀντώνιον τὸν θεῖον οὐ πρὸς τυράννους, ἀλλὰ τοὺς δεινοτέρους τυράννων δαίμονας παρατεταγμένον, ὡς ἐκ τῶν περὶ αὐτοῦ συγγεγραμμένων ἔξεστι μαθεῖν. οὐ μὴν ἀλλ' εἰ δεῖ καὶ ταῦτα πάντα παραδραμόντας πρὸς τὸ πρῶτον παράδειγμα ἀναδραμεῖν, σαφῶς ἐξέσται τοῦ δυνατὸν εἶναι τοῖς σωματικοῖς ὀφθαλμοῖς θεῖον καὶ ἄκτιστον φῶς θεάσασθαι τὴν ἀπόδειξιν λαβεῖν. παραλαβὼν γάρ, φησιν, ὁ κύριος πρὸ τοῦ πάθους τοὺς προκρίτους τῶν μαθητῶν καὶ ἀνελθὼν ἐπὶ Θαβὼρ, μετεμορφώθη ἔμπροσθεν αὐτῶν καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος· οὗ μὴ φέροντες τὴν λαμπρότητα ὁρᾷν οἱ μαθηταὶ κατέπεσον ἐπὶ τὴν γῆν. [20]

1 549 εἰ οὖν κἀκεῖνοι ἄνθρωποί τε ὄντες καὶ ἔτι ἀτελέστερον διακείμενοι, τὸ περιαστράψαν αὐτοὺς θεῖον καὶ ἄκτιστον φῶς ἠδυνήθησαν ἰδεῖν, τί θαυμαστὸν εἰ καὶ νῦν τοὺς ἁγίους φαίημεν φῶς ὁρᾷν ἄνωθεν ἐλλαμπομένους ἐκ θεοῦ; διὸ δή σου καὶ δεόμεθα περὶ τῶν τοιούτων μήτε λέγειν μήτε λογογραφεῖν, ὡς ὀλίγα ἢ οὐδὲν περὶ αὐτῶν εἰδότα· ἀλλὰ καὶ τὰ γεγραμμένα ἀφανίζειν, ὡς πολλοῖς αἴτια βλάβης παρεσόμενα οὐ τῆς τυχούσης. Τοιαῦτα μὲν Γρηγόριος καὶ οἱ περὶ αὐτὸν διεπρεσβεύοντο πρὸς Βαρλαὰμ, οἰόμενοι τὴν παραίνεσιν αὐτῷ τὴν γλωσσαλγίαν στήσειν. τὸ δ' ἐναντίως ἢ αὐτοὶ ᾠήθησαν ἀπέβη. ὡς γὰρ τοὺς λόγους ὁ πρεσβεύων διῄει πρὸς αὐτὸν, ἐν μὲν τοῖς ἄλλοις ἡσυχίαν ἦγε, τὸ ἐν Θαβωρίῳ δὲ λάμψαν φῶς ἄκτιστον ἀκούσας „τῆς ἀτοπίας!" ἀνεβόησε· „καπνὸν γὰρ φεύγοντες, ἐμπεπτώκαμεν εἰς πῦρ. ἄκουε οὐρανὲ καὶ ἐνωτίζου ἡ γῆ· τὸ ἐν Θαβὼρ φῶς ἄκτιστον καὶ τί ἄλλο ἢ θεὸς καθ' ὑμᾶς! οὐδὲν γὰρ ἄκτιστον ὅτι μὴ θεός. εἰ οὖν μήτε κτίσμα τὸ φῶς ἐκεῖνο, μήτε θεοῦ οὐσία, (θεὸν γὰρ οὐδεὶς ἑώρακε πώποτε,) τί λοιπὸν ἢ δυσὶ λατρεύειν θεοῖς, ἑνὶ μὲν, τῷ πάντων δημιουργῷ, ὃν καὶ ἀόρατον πᾶς τις ἂν ὁμολογήσειε, δευτέρῳ δὲ, τῷ καθ' ὑμᾶς ὁρωμένῳ ἀκτίστῳ τούτῳ φωτί; ἐγὼ δὲ οὔτε πρότερον οὔθ' ὕστερόν ποτε ἀνασχοίμην ἂν ὁπωσοῦν τι διαφέρον τῆς οὐσίας τοῦ θεοῦ ἄκτιστον ἡγεῖσθαι. [20]

1 550 " ἐκ τούτων δὴ τῶν λόγων ὥσπερ ἀφετηρίας ὁρμηθεὶς, πολλὰ καὶ εἶπε καὶ συνεγράψατο κατὰ Γρηγορίου καὶ τῶν ἄλλων μοναχῶν, πρὸς τοῖς πρότερον καὶ διθεΐαν ἐγκαλῶν. οὐ μὴν οὐδὲ ἐκεῖνοί γε ἠμέλουν τοῦ μὴ ἀντιλέγειν φανερῶς καὶ διεφθαρμένα δόγματα εἰσάγοντα ἀποδεικνύναι καὶ τοῖς θεοσόφοις λόγοις ἐναντία. Βαρλαὰμ δὲ οἰόμενος καὶ τῶν ἀρχαίων θεολόγων σοφίᾳ λόγων καὶ πειθοῖ κρατήσειν, εἰς Βυζάντιον ἐκπλεύσας, Ἰωάννῃ τῷ πατριαρχεύοντι τότε τὰ κατὰ τῶν μοναχῶν συγγράμματα ἐγχειρίζει καὶ σύνοδον ἐδεῖτο συναθροίζειν κατ' αὐτῶν, ὡς τοῖς ὀρθοῖς δόγμασιν ἐναντία καὶ φρονοῦντας καὶ λέγοντας ἐλέγξων, καὶ πολὺς ἦν ῥέων κατ' ἐκείνων, καὶ τὴν διθεΐαν ἐγκαλῶν. πατριάρχῃ δὲ περιορᾷν οὐ δεῖν ἐδόκει τὰ τοιαῦτα, ἀλλὰ γράμμασιν ἐκάλει τοὺς μοναχοὺς ἐκ Θεσσαλονίκης ἁπαντᾷν ἐπὶ τὴν δίκην· καὶ παρῆσαν καὶ αὐτοὶ τῶν λόγων ὑφέξοντες εὐθύνας. ἐν τούτοις δὲ αὐτοῖς τῶν πραγμάτων, καὶ θορύβου πολλοῦ καὶ ταραχῆς τὴν ἐκκλησίαν κατεχούσης, καὶ ὁ βασιλεὺς ἐκ τῆς εἰς Ἀκαρνανίαν στρατείας εἰς Βυζάντιον ἐπανῆκε. καὶ πυθόμενος ὅσα Βαρλαὰμ διαφέροιτο καὶ οἱ μοναχοὶ, πρῶτα μὲν κατασιγάζειν ἐπειρᾶτο, ἑκατέροις παραινῶν τῆς ἀντιλογίας ἀποσχέσθαι καὶ τὴν ἔχθραν καταλύσαντας, ὥσπερ καὶ πρότερον ἀλλήλοις εἶναι φίλους καὶ μὴ διὰ φιλονεικίαν σφίσι τε αὐτοῖς καὶ τοῖς ἄλλοις ταραχὴν παρέχειν· ὡς δὲ ἐπείθοντο οὐδέτεροι, ἀλλ' ὅ,τε Βαρλαὰμ διεφθαρμένα ἰσχυρίζετο δοξάζοντας ἀποδείξειν Γρηγόριον καὶ τοὺς περὶ αὐτὸν καὶ ἐπέσπευδε τὴν δίκην, ὅ,τε Γρηγόριος ἀδικεῖσθαι διετείνετο καὶ οἱ περὶ αὐτὸν καὶ ἤθελον ἐπὶ τῆς δίκης ἑαυτοὺς ἐγκλημάτων ἀπολύειν, συνιδὼν καὶ ὁ βασιλεὺς ὡς ἐλέγχων χωρὶς οὐκ ἂν δύναιτο παύειν τὴν φιλονεικίαν, ἐπέτρεπε τὴν σύνοδον. [5]

1 551 μ′. Καὶ γίνεται κατὰ τὸν θεῖον τῆς τοῦ θεοῦ Σοφίας νεών. καὶ προκαθημένου βασιλέως καὶ Ἰωάννου τοῦ πατριάρχου, καὶ τῶν λοιπῶν ἀρχιερέων καὶ τῶν ἐν τέλει πολλῶν καὶ συγκλητικῶν συνεδριαζόντων, λέγειν ὁ Βαρλαὰμ ἐπετράπη πρῶτος· ἐκεῖνος γὰρ ἦν ὁ Γρηγόριον καὶ τοὺς μοναχοὺς τὴν διαστροφὴν τῶν δογμάτων ἐγκαλῶν. πολλὰ δὲ πρότερον διεξελθὼν καὶ τὴν αἰτίαν ἀφ’ ἧς πρὸς ταῦτα ὥρμητο διηγησάμενος, ἔπειτα καὶ τὸ βιβλίον, ὃ περὶ τούτων ἦν συγγεγραφὼς, παρείχετο ἀναγινώσκεσθαι· ἐπεὶ δὲ ἀνεγνώσθη πᾶν, ἄλλα τε ἐπεῖπεν, ὅσα αὐτῷ ἐδόκει πρὸς τὰ προκείμενα λυσιτελεῖν, καὶ τελευταῖον κατηγόρηκε τῶν μοναχῶν ὡς οὐδὲ τὴν εὐχὴν, ἣν αὐτοί φασιν εὔχεσθαι καθ’ ἑαυτοὺς, ἀνελλιπῶς προφέρουσι καὶ προσηκόντως, ἀλλά τινος προσθήκης δεομένην, ἣν ἐκεῖνος προσετίθει, τὸ ἐνδέον, ὡς ἔφασκεν, ἀναπληρῶν. μετὰ τοῦτον δὲ καὶ οἱ μοναχοὶ πρὸς τὰς κατηγορίας ἐπετράπησαν ἀπολογεῖσθαι. ἐπεὶ δ’ ἑαυτῶν ἐκεῖνοι Γρηγόριον προεστήσαντο τὸν Παλαμᾶν, (ἦν γὰρ δὴ τῶν ἄλλων οὐ λόγοις μόνον, ἀλλὰ καὶ τῷ τὰ τοῖς θεολόγοις περὶ θεοῦ δεδογμένα ἐξηκριβωκέναι διαφέρων,) καταστὰς πρὸς τοὺς λόγους καὶ αὐτὸς, σαφεῖς καὶ βεβαίας παρείχετο τὰς ἀποδείξεις τῶν λεγομένων, οὐ συλλογισμοῖς χρώμενος καὶ γεωμετρικαῖς ἀνάγκαις, (οὐδὲ γὰρ οἷόν τε ἐκ τῶν καθ’ ἡμᾶς ἀποδεικνύναι τὰ ὑπὲρ ἡμᾶς,) ἀλλὰ τοῖς λόγοις τῶν ἁγίων καὶ θεολόγων ἀνδρῶν, οὓς τὸ πνεῦμα τὸ ἅγιον ἐχρημάτισε δι’ αὐτῶν, ᾧ πάντα ἐρευνᾶται καὶ τὰ βάθη τοῦ θεοῦ. [5]

1 552 ἀπεδείκνυ τε ἐκ πολλῶν τῶν λεγομένων τὸ κατὰ τὸ Θαβώριον τοὺς μαθητὰς περιαστράψαν φῶς δόξαν ἄναρχον τοῦ θεοῦ καὶ φῶς θεότητος καὶ θεότητα καὶ φυσικὸν καὶ ἄΐδιον τοῦ θεοῦ φῶς καὶ ὅσα τοιαῦτα παρὰ τοῖς θεολόγοις πιστευόμενόν τε καὶ προσαγορευόμενον. εἶτα ἐκ τῶν ῥήσεων τῶν θεολογικῶν συνεπέραινε καὶ αὐτὸς, ὡς τὸ ἀΐδιον καὶ φυσικὸν τοῦ θεοῦ οὐκ ἂν εἴη κτιστὸν, οὐδὲ ἡ ἄναρχος δόξα καὶ ἡ βασιλεία τοῦ θεοῦ, οὐδ’ ὅσα πρὸς τῶν θεολόγων τὸ φῶς ἐκεῖνο ὕμνηται. ἐπὶ τούτοις δὲ καὶ τὸν ὑπὸ τῶν κατὰ τὸν Ἄθω ὁσίων ἀνδρῶν συντεθειμένον παρῆγε τόμον, ὃς αὐτῷ μὲν συνηγόρει ὡς τὰ ἴσα τοῖς ἁγίοις φθεγγομένῳ, Βαρλαὰμ δὲ βλασφημίαν καὶ κακοδοξίαν κατηγόρει πολλήν. ἐπεὶ δὲ ἐκ πολλῶν τῶν λεγομένων ἡ νίκη πρὸς Γρηγόριον ἀπέβλεπε καὶ τοὺς μοναχοὺς, πάντων ἤδη πεπεισμένων τοῖς ἁγίοις ἕπεσθαι καὶ θεολόγοις καὶ μὴ τοῖς ἐκ κοιλίας εἰρημένοις Βαρλαὰμ, συνεώρα τε καὶ αὐτὸς ὡς οὐκ ἂν διαδράσειε τῆς γλωσσαλγίας καὶ τῆς βωμολοχίας δοῦναι δίκην, τῷ μεγάλῳ δομεστίκῳ συνεδριάζοντι ἐκεῖ τῷ βασιλεῖ προσελθὼν, σύντομόν τινα ᾐτεῖτο καὶ βοήθειαν καὶ βουλὴν, ἐξ ἧς τὴν προσδοκωμένην διαφυγεῖν ἐξέσται δίκην. [20]

1 553 ὁ δὲ πρότερόν τε ἔφασκε τὰ δέοντα βεβουλεῦσθαι, αὐτῷ παραινῶν τῆς πολλῆς φιλονεικίας ἀποσχέσθαι καὶ πείθεσθαι τοῖς μοναχοῖς ὡς τὰ τοιαῦτα σοφωτέροις, καὶ νῦν οὐδὲν ἧττον βουλεύσεσθαι καὶ πράξειν τὰ συνοίσοντα ὑπὲρ αὐτοῦ. εἰ γὰρ μήτε ἀντιλέγειν ἔτι πρὸς τὰ προτεινόμενα ἔχει, πέπεικέ τε ἑαυτὸν ὡς βελτίω καὶ δικαιότερα καὶ τοῖς ἁγίοις συνῳδὰ φθέγγονται οἱ μοναχοὶ, τί δεῖ τὴν ψῆφον κατ’ αὐτοῦ ἐξαγομένην περιμένειν κατιδεῖν, ἀλλὰ μὴ πρότερον ἐξαναστάντα, τήν τε προτέραν ἄγνοιαν ἐπὶ πάντων ὁμολογεῖν καὶ τὴν νῦν ἐπίγνωσιν τῆς ἀληθείας, καὶ τοῖς τε ἁγίοις πείθεσθαι συνθέσθαι καὶ τὴν ἔχθραν καταλύειν τὴν πρὸς τοὺς μοναχούς; εἰ γὰρ ταῦτα πειθόμενος αὐτῷ ποιήσει, οὔτε βλάβη τις ἕψεται ἐκ τῶν λόγων οὐδεμία, βασιλεύς τε καὶ οἱ ἄλλοι πάντες ἐπαινέσονται τῆς πρὸς τὰ βελτίω μεταβολῆς. οὐ γὰρ τοσοῦτον τὸ τῆς ἀληθείας ἀποπλανηθῆναι κατηγορίας ἄξιον, ὅσον τὸ πρὸς αὐτὴν ἐπανελθεῖν τοῖς ἁγίοις πειθόμενον καὶ θεολόγοις ἐπαινετόν. καὶ οἱ μοναχοὶ δὲ τοῖς πνευματικοῖς πειθόμενοι νόμοις, μείζονα ἐνδείξονται νυνὶ τὴν φιλίαν πρὸς σὲ καὶ τὴν εὐγνωμοσύνην, ἢ καθ’ ὅσον πρότερον ἐνεδείκνυντο τὴν πικρίαν καὶ τὴν ἔχθραν, ὡς οὐ τῶν εἰς αὐτοὺς ἕνεκα λοιδοριῶν, ἀλλὰ τῆς τῶν δογμάτων ἀμυνόμενοι διαστροφῆς· ὧν καλῶς καὶ ὡς προσῆκεν

ἀποδεδειγμένων εἰ καὶ σὺ πεισθείης, οὐδὲν οὐδ' αὐτοὶ ζητήσουσι περαιτέρω, ἀλλ' ἀξίαν ἀμοιβὴν τῶν πολλῶν πόνων καὶ κινδύνων νομιοῦσιν ἔχειν τὴν διόρθωσιν τὴν σήν. [25]

1 554 Βαρλαὰμ δὲ καὶ αὐτῷ μὲν ἔφασκεν ἀρίστην φαίνεσθαι ταύτην τὴν βουλὴν, δεδοικέναι δὲ μὴ οὐκ ἐξαρκέσουσιν οἱ λόγοι πρὸς τὸ τῶν κινδύνων ἐξαρπάσαι, ἀλλὰ καὶ μετὰ τὴν ὁμολογίαν ἀτιμία τις αὐτοῦ καταψηφισθῇ, οἷα δὴ κατὰ τῶν ὀρθῶν δογμάτων ἐξενηνεγμένου. καὶ τότε ἄτιμον εἶναι συμβήσεται αὐτῷ καὶ μηδ' ἀπολογίαν τινὰ ὕστερον ἔχειν ὡς οὐ δικαίως τοιαῦτα πάθοι, οἷα δὴ καὶ αὐτὸν κατεψηφισμένον ἑαυτοῦ· ὡς εἴγε τοιαῦτα πείσεσθαι μέλλοι, βέλτιον σιωπῇ τὴν δίκην ἐνεγκεῖν, ὥστε καὶ εἰσαῦθις ἠδικῆσθαι λέγειν δύνασθαι καὶ τὴν δίκην ἀνακαλεῖσθαι. ὁ μέγας δὲ δομέστικος παρεθάῤῥυνέ τε καὶ μὴ τοιαῦτα παρῄνει δεδοικέναι, ὡς αὐτοῦ παρόντος, οὐδενὸς γενησομένου τοῦ λυπεῖν αὐτὸν δυνησομένου. ᾧ καὶ πειθόμενος ὁ Βαρλαὰμ, παρελθὼν εἰς μέσους, τήν τε προτέραν ἄγνοιαν ὡμολόγει καὶ συγγνώμην ἐπὶ τοῖς εἰρημένοις ᾐτεῖτο, ὡς οὐ φιλονεικίας ἕνεκα λέγων οὐδὲ τοῦ μὴ πείθεσθαι τοῖς ὑπὸ τῶν θεολόγων εἰρημένοις περὶ θεοῦ εἰς τοὺς τοιούτους τῶν λόγων ἐξενηνέχθαι, ἀλλ' ὑπ' ἀγνοίας οἰόμενος τοὺς ἄλλους ἁμαρτάνειν, ἕνεκα τοῦ διορθώσασθαι πᾶσαν εἰσῆγον σπουδὴν καὶ προθυμίαν. νυνὶ δὲ ἤδη πεπεισμένος ἀκριβῶς, ὡς αὐτοὶ βέλτιον ἐφρόνουν περὶ ὧν ἠμφισβητοῦμεν, περί τε τῶν ἄλλων οὐδενὸς διαφέρομαι πρὸς αὐτοὺς, καὶ τὸ ἐν Θαβωρίῳ τοὺς μαθητὰς περιλάμψαν φῶς ἀΐδιον καὶ πεπίστευκα καὶ εἶναι ὁμολογῶ. [20]

1 555 Ἐπὶ τούτοις καὶ Γρηγόριος ὁ Παλαμᾶς καὶ ὅσοι σὺν αὐτῷ ἦσαν ἀναστάντες, περιέβαλλόν τε Βαρλαὰμ καὶ συγγνώμην ἐπὶ τοῖς προτέροις ἄσμενοι παρεῖχον· ἐπῄνουν τε τῆς καλῆς μεταβολῆς καὶ τῷ θεῷ τῆς ὁμονοίας ὡμολόγουν χάριτας, φάσκοντες, οὐδ' αὐτοὶ γῆΐνων ἕνεκα καὶ φθειρομένων πραγμάτων τοσοῦτον ἐνστήσασθαι ἀγῶνα, ἀλλ' ἵνα μὴ, εἰς πλείους διανεμηθέντος τοῦ κακοῦ, ἢ διεφθαρμένων δογμάτων ἀνάπλεως γένηται ἡ ἐκκλησία, ἢ διαστασιάσῃ πρὸς ἑαυτὴν, τῶν μὲν τούτοις, τῶν δὲ ἐκείνοις προστιθεμένων, καὶ διὰ τοῦτο καὶ τοῦ μετρίου πέρα ὀφθῆναι φιλονείκους, ἅτε δὴ ἐν μὲν τοῖς ἄλλοις ἅπασι πρᾴους εἶναι δεδιδαγμένους καὶ ταπεινούς· ἐν οἷς δὲ θεός ἐστι τὸ κινδυνευόμενον, ὀξεῖς εἶναι καὶ ἀπαραιτήτους, καὶ μήτε πρὸς τὴν ἀδοξίαν δυσχεραίνειν, μήτε πρὸς τὸν παρὰ τῶν ἀνθρώπων ἔπαινον μαλακίζεσθαι. ἐπεὶ δὲ ὁ τῆς εἰρήνης καὶ τῆς ὁμονοίας θεὸς εἰς ἓν συνῆψε τὰ διεστῶτα, αὐτοί τε προθύμως ἀποστήσονται φιλονεικίας, καὶ αὐτῷ πολλὴν εἰδήσουσι τὴν χάριν, μάλιστα αἰτιωτάτῳ τῆς εἰρήνης νυνὶ γεγενημένῳ. Ἐπὶ τούτοις καὶ βασιλεύς τε καὶ πατριάρχης ὅσα ἔδει διαλεχθέντες περὶ εἰρήνης πρὸς ἑκατέρους, διελύσαντο τὴν σύνοδον. Βαρλαὰμ δὲ ὀλίγας Βυζαντίῳ ἐνδιατρίψας ἡμέρας, ἐπεὶ καὶ ὁ βασιλεὺς ἐτελεύτησε μετὰ μικρὸν, καὶ τὰς περὶ τὰ δόγματα ἀμφισβητήσεις οὐδὲν ἧττον ἐχόμενος ἢ πρότερον, τῆς δίκης ὡς ἐκδεδιῃτημένης πολλὰ καταβοῶν, ἀποδρὰς ᾤχετο πρὸς Ἰταλίαν, καὶ συμφρονήσας Λατίνοις ὥσπερ καὶ πρότερον, ἐπίσκοπος ὑπ' αὐτῶν Ἱέρακος ἀνεδείχθη. [20]

1 556 καὶ οὐ πολλῷ ὕστερον Γρηγόριός τις ἕτερος μοναχὸς Ἀκίνδυνος ἐπικεκλημένος, ὁμιλητὴς Βαρλαὰμ κατὰ τὴν ἔξω σοφίαν γεγενημένος καὶ πολὺν αὐτῷ φοιτήσας χρόνον, τῶν ἐκείνου διαφορῶν ὧν διηνέχθη πρὸς Παλαμᾶν ἀντεποιήθη· συνέβαινε δέ τι γελοῖον περὶ αὐτόν. Βαρλαὰμ μὲν γὰρ ἀπεσείετο τῷ λόγῳ, κἄν τις πρὸς αὐτὸν ὡς τὰ ἐκείνου φρονοίη λέγοι, τὴν κοινωνίαν τε ἀπεωθεῖτο καὶ κατηγόρει Βαρλαὰμ ὡς κακῶς φρονοῦντος καὶ ἀπεναντίως τοῖς ἁγίοις· τῇ δ' ἀληθείᾳ κατάκρας ἐκείνῳ ἠκολούθει καὶ οὐδὲν ἢ μικρὸν ἢ μεῖζον διεφέρετο. αὖθις δὲ στάσεως κατὰ τὴν ἐκκλησίαν ἀναφυομένης, ἐν δεινῷ τιθέμενος ὁ πατριάρχης, εἰ διὰ τήν τινων φιλονεικίαν νοσοίη καὶ ταράττοιτο τὰ τῆς ἐκκλησίας, σύνοδον καὶ αὖθις δευτέραν συναθροίζει κατὰ τὸν αὐτὸν τῆς θεοῦ Σοφίας νεὼν, συνεδριάζοντος αὐτῷ καὶ μεγάλου δομεστίκου καὶ ὅσοι ἐπεδήμουν Βυζαντίῳ τῶν συγκλητικῶν. πολλὰ δὲ πρὸς ἀλλήλους τῶν Γρηγορίων ἀντειπόντων, ἐπεὶ ὁ Ἀκίνδυνος ἐφαίνετο τὰ ἴσα Βαρλαὰμ καὶ λέγων καὶ φρονῶν,

ψῆφος μὲν ἐξενήνεκται κοινὴ ἐπισκόπων τε καὶ τῶν συγκλητικῶν κατὰ Ἀκινδύνου καὶ τῶν αὐτῷ φρονούντων ἴσως, ὡς τὰ αἱρετικῶν φρονούντων καὶ λεγόντων. ἀφορίζονται δὲ καὶ τῆς κοινωνίας τῶν ὀρθοδόξων, εἰ μὴ ἐπιστρέφοιεν, ἀλλ' ἐπιμένοιεν τῇ κακίᾳ· οὐ μὴν ἐκεῖνοι μόνοι, ἀλλὰ καὶ εἴ τις ἄλλος ὕστερον τοῖς ἴσοις ἐπιχειρήσοι καὶ Παλαμᾷ καὶ τοῖς λοιποῖς ὡς οὐκ ὀρθῶς φρονοῦσιν αἰτίαν ἐπαγάγοι, ὑπὸ τὴν αὐτὴν ἐπιτιμίαν εἶναι, εἰ μὴ μεταβάλλοι καὶ αὐτός. [20]

1 557 ἐπὶ τούτοις δὲ καὶ τόμον συνθέντες κατὰ τὸ ἀρχαῖον τῶν συνόδων ἔθος καὶ ὑπογράψαντες αὐτὸν ὅ,τε πατριάρχης Ἰωάννης καὶ ἀρχιερέων ὅσοι τότε παρῆσαν, (ὕστερον γὰρ καὶ ἕτεροι πολλοὶ τοῖς προτέροις ὑπογεγράφασι σύμψηφοι γεγενημένοι,) Παλαμᾷ καὶ τοῖς αὐτῷ συνοῦσιν ἐγχειρίζουσιν εἰς δικαίωσιν. ἀλλὰ ταῦτα μὲν ὕστερον. τότε δὲ ἡ σύνοδος ἐπεὶ διελέλυτο, τῶν ἄλλων ἑκάστων διεσκεδασμένων, ὁ βασιλεὺς ἐκέλευσεν ἐν τῇ μονῇ τῶν Ὁδηγῶν ἀναπαύλης τινὸς τυχεῖν· καὶ γενόμενος ἐκεῖ, εἰς τὴν ὑστεραίαν ἤρξατο πυρέττειν ὁμαλῶς καὶ ἐδόκει τοῖς τῶν ἰατρῶν παισὶ τὴν κατὰ τὴν σύνοδον ταραχὴν καὶ ἀσιτίαν τοῦ πυρετοῦ αἰτίαν γεγενῆσθαι. δευτέρᾳ δὲ ἡμέρᾳ πρὸς τῇ κεφαλῇ ἐνσκῆψαν τὸ κακὸν πονηρὰς παρεῖχε τὰς ἐλπίδας. ἐφαίνετο γὰρ τῶν ὀξυτάτων εἶναι. τρίτῃ δὲ τῇ μετ' αὐτήν. ἔωθεν μὲν ἐδόκει ἐνδιδόναι καὶ τοῖς ἰατροῖς ὑπέφαινε χρηστὰς ἐλπίδας· ἐπεὶ δὲ ἤδη περὶ μεσημβρίαν ἦν, μεταβαλὸν ἐξαίφνης οὐ μετὰ πολὺ ἀποτεθνήξεσθαι ἐδήλου βασιλέα, καὶ ἰατροῖς οὐδεμία σωτηρίας ὑπελείπετο ἐλπίς. ἐπεὶ δὲ τοιαῦτα διεθρυλλήθη, τῷ μεγάλῳ δομεστίκῳ Ἀπόκαυχος ὁ παρακοιμώμενος προσελθών, συνεβούλευεν ἔχεσθαι τῶν πραγμάτων καὶ παρασήμοις κοσμεῖσθαι βασιλικοῖς μετὰ τὴν βασιλέως τελευτήν· βασιλέα γὰρ ἐν ζῶσιν ἔτι μὴ εἶναι προσδοκᾷν. πάντως δὲ οὐδὲν καινὸν ποιήσειν, ἀλλ' ὅπερ αὐτός τε πολλάκις ἠνάγκασεν ὁ βασιλεὺς καὶ Ῥωμαίων οὐκ ὀλίγοι ἴσασιν οὐδαμῶς ἐλάττω τιμὴν ἀποδιδόντες βασιλέως. [25]

1 558 οὐ μὴν οὐδὲ πολλοῦ δεήσεσθαι πόνου καὶ ἀγώνων, ἀλλ' ἀρκεῖ μόνον εἰπεῖν, καὶ πάντας ἔχειν ὑπακούοντας ἑτοίμως. αὐτόν τε πρότερόν τε παρὰ πάντα τὸν βίον καὶ νῦν οὐχ ἧττον ἕτοιμον εἶναι τὰ λυσιτελεῖν αὐτῷ ποιεῖν δοκοῦντα, οὐ μόνον χρημάτων καὶ καμάτων ἀφειδοῦντα, ἀλλὰ καὶ ψυχὴν προθύμως ὑπὲρ τῶν ἰδίᾳ τι αὐτῷ διαφερόντων προϊέμενον, πάντων αὐτῷ μάλιστα ὄντα ὀφειλέτην. πολλῶν γὰρ ἀπολελαυκέναι τῶν εὐεργεσιῶν τῶν παρ' αὐτοῦ, οὐ βασιλεῖ μόνον τὴν ἀρχὴν καὶ προσαγαγόντα καὶ οἰκειώσαντα, ἀλλὰ καὶ ὕστερον βασιλέως ὠργισμένου παραιτησάμενον αὐτὸν καὶ τοῦ δεσμωτηρίου ἀπαλλάξαντα, καὶ μέχρι νῦν εἰς ὅπερ ἐστὶ σχῆμα δι' αὐτοῦ ἠγμένον. Ὁ μὲν οὖν τοιαῦτα εἶπε. μικρὸν δὲ ὁ μέγας δομέστικος ἐπισχών, Οὐκ ἄν μοι δοκῶ τοιαῦτα, εἶπε, παραστῆναι περὶ σοῦ ποτε, μηδ' εἰς τοσοῦτον ἥκειν ἐμὲ φαυλότητος ἡγεῖσθαι τρόπων, ὥστε, βασιλέως ἔτι ζῶντος ἢ καὶ μετὰ τελευτὴν, ἢ σοὶ πεισθήσεσθαι ἢ ἑτέρῳ ὁτῳοῦν, τῆς μὲν εἰς ἐμὲ βασιλέως φιλίας ἢ μᾶλλον εἰπεῖν συμπνοίας ἀμνημονῆσαι, τῶν ἰδίᾳ δέ τι ἐμοὶ ζητεῖν διαφερόντων, ἀμελήσαντα τῶν κοινῇ τοῖς βασιλέως παισὶ καὶ βασιλίδι συμφερόντων. διὸ καὶ μάλιστά σου κατεγνωκέναι, εἰ τοιαῦτα παραινῶν ἤλπισας πείσειν. Τοῦ δ' αὖθις ἐπιχειροῦντος ὡς τὰ βελτίω πείθειν συμβουλεύει, „παῦσον" εἶπε „τοιαῦτα λέγειν. [20]

1 559 ὃς γὰρ, τοῦ φίλου τεθνεῶτος, μὴ τοὺς φιλίας τηρεῖ θεσμοὺς, οὗτος οὐδὲ ζῶντος ἦν φίλος ἀληθής." πρὸς μὲν οὖν τὸν μέγαν δομέστικον οὐδὲν ἔτι εἶπεν, οὕτως ἐμβριθῶς ἀποκρινάμενον· τῇ μητρὶ δὲ αὐτοῦ προσελθὼν, τὰ ἴσα ἐπεχείρει πείθειν, οἰόμενος, ἂν ταύτην πεῖσαι δυνηθῇ, τὸ σπουδαζόμενον ἡνυκέναι, ὡς οὐκ ἂν ἀντειπόντος τοῦ υἱοῦ ὅ,τι ἂν τῇ μητρὶ δοκοίη καὶ λυσιτελὲς ὁμοῦ καὶ δίκαιον. ὡς δὲ καὶ παρ' ἐκείνης τῆς ἴσης ἔτυχεν ἀπολογίας ἢ καὶ αὐστηροτέρας, μὴ τοιαῦτα κελευούσης συμβουλεύειν, ἃ μὴ συμφέρει πράττειν τὸν υἱὸν, παντελῶς ἀπέσχετο τῆς πείρας. ὁ μέγας δὲ δομέστικος ὁρῶν ἤδη βασιλέα ἐν χρῷ κινδύνου καθεστῶτα, καὶ συνιδὼν ὡς μάλιστα προσῆκον τῶν βασιλέως παίδων πρόνοιαν ποιήσασθαι καὶ

τῆς ἀρχῆς, Ἄννῃ τῇ βασιλίδι προσελθὼν θρηνούσῃ καὶ ὀδυρομένῃ, „ὁ μὲν παρὼν“ εἶπε „καιρὸς οὐ πένθους οὐδὲ δακρύων εἶναι μοι δοκεῖ. ὕστερον γὰρ ἡμῖν ἐξέσται, εἰ μὴ θεὸς ἀπαλλάξει τῆς προσδοκωμένης συμφορᾶς ἵλεων ἡμῖν ἄνωθεν ἐπιβλέψας, ὀδυρμῶν καὶ δακρύων ἀναπίμπλασθαι κατὰ σχολήν· τὸ δὲ νῦν ἔχον εἶναί μοι δοκεῖ προσῆκον ἀσφάλειαν ποιήσασθαι τῶν βασιλέως παίδων. μάλιστα μὲν γὰρ οὐδένα Ῥωμαίων ἐπιβουλεύσειν οἴεσθαι ἡμῖν, μάλιστα ζῶντος ἐμοῦ καὶ παρόντος ἐνθάδε νῦν· εἰ δ’ ἄρα καὶ τοιοῦτον συμβαίη τι, βέλτιον περὶ σοῦ μόνην εἶναί μοι τὴν φροντίδα, καὶ μὴ πάντων ὁμοῦ καὶ παίδων καὶ τῆς ἀρχῆς. [20]

1 560 “ ἡ βασιλὶς δὲ θαυμάζειν ἔφασκεν αὐτοῦ, εἰ, τοιαύτης ἀνάγκης περιϊσταμένης, ἐνόμισεν εἶναι τῶν δεόντων καὶ αὐτῆς πυνθάνεσθαι, εἴ τι βούλοιτο τῶν συμφερόντων εἰς τοὺς βασιλέως παῖδας πράττειν καὶ τὴν ἀρχήν. ἐπέτρεπέ τε ἃ ἂν αὐτῷ δοκοίη κοινῇ λυσιτελεῖν μηδενὸς ἀμελεῖν. ὁ δ’ εὐθὺς Ἰωάννην τε βασιλέα, τὸν βασιλέως υἱόν, καὶ τὸν ἀδελφὸν Μιχαὴλ παραλαβών, ἤγαγεν εἰς τὰ βασίλεια· θεραπείαν τε αὐτοῖς τὴν γινομένην προστάξας εἶναι καὶ φρουρὰν τοῖς βασιλείοις ἔκ τε τῆς στρατιᾶς οὓς μάλιστα ᾔδει εὐνουστάτους τῷ βασιλεῖ, καὶ τῶν οἰκετῶν τοὺς πιστοτάτους τῶν ἰδίων περὶ πεντακοσίους τὸν ἀριθμὸν καταλιπών, καὶ τοὺς τοὺς πελέκυς ἔχοντας βαράγγους ὅσοι ἦσαν, καὶ αὐτὸς διενυκτέρευσεν ἐκεῖ, τῶν βασιλέως παίδων τὴν δυνατὴν ἀσφάλειαν ποιούμενος. εἰς ἑσπέραν δὲ τῆς τετάρτης ἡμέρας, τῇ τοῦ νοσήματος ὀξύτητι κατεργασθεὶς, ἐτελεύτησεν ὁ βασιλεὺς, πεντεκαιδεκάτῃ μηνὸς Ἰουνίου ἱσταμένου, τοῦ ἐννάτου καὶ τεσσαρακοστοῦ ἔτους ἐπὶ τοῖς ὀκτακοσίοις καὶ ἑξακισχιλίοις, ἐννάτης οὔσης ἰνδικτιῶνος. α′. [15]

2 11 Τὰ μὲν δὴ τῶν Παλαιολόγων βασιλέων, ὅσα τε περὶ τῆς ἀρχῆς πρὸς ἀλλήλους διηνέχθησαν, καὶ ὅσα καθ’ ἑαυτὸν ὁ νέος μετὰ τὸ τὸν πρεσβύτερον τῶν πραγμάτων παῦσαι τῆς ἀρχῆς πρός τε βαρβάρους πολεμῶν καὶ πρὸς τοὺς οἰκείους διετέλεσε πολιτευόμενος, ἐνταῦθα ἐτελεύτησε, καὶ ἡ πρόθεσις ἡμῖν πέρας ἔσχηκεν ἡ ἐξαρχῆς, πάντα σὺν ἀκριβείᾳ καὶ μετὰ ἀληθείας ἀπαγγείλασιν ὡς ἐγένετο.

2 12 ἐπεὶ δὲ μετὰ τὴν Ἀνδρονίκου τοῦ νέου τελευτὴν ὁ χαλεπώτατος τῶν πώποτε μνημονευομένων τοῖς Ῥωμαίοις πρὸς ἀλλήλους πόλεμος ἀνερρίπίσθη, ὃς ὀλίγου δεῖν πάντα ἀνατέτραφε καὶ διέφθαρκε, καὶ τὴν εὐδαίμονα καὶ μεγάλην τῶν Ῥωμαίων βασιλείαν ἀσθενεστάτην καὶ ὥσπερ εἴδωλον ἀπέδειξε τῆς προτέρας, ἀναγκαῖον ᾠήθην καὶ τὰ κατὰ τοῦτον τὸν πόλεμον γεγενημένα ἐξηγήσασθαι, οὐ μόνον ἵν’ εἰδεῖεν οἱ μετέπειτα, ὅσων κακῶν αἴτιος ὁ φθόνος, οὐ τοὺς φθονουμένους μόνον, ἀλλὰ καὶ αὐτοὺς ἐξαφανίζων τοὺς φθονοῦντας, ὥσπερ τὸν σίδηρον ὁ ἐξ αὐτοῦ τικτόμενος ἰὸς, ἀλλ’ ἵνα καὶ αὐτοὶ οἱ νῦν τοῖς πράγμασι παρόντες τἀληθὲς εἰδέναι ἔχητε, καὶ μὴ ταῖς ἔξωθεν φήμαις, μηδὲ τοῖς παρ’ ἑκατέρων τῶν μερῶν ἢ ἑαυτοῖς χαριζομένοις ἢ τοὺς ἐναντίους διαβάλλουσι προσέχοντες θρυλλουμένοις, παράγησθε δοξάζοντες τὰ μὴ ὄντα. ἄξιον δὲ μετὰ ἀκριβείας ἐμοὶ προσέχειν καὶ μὴ παρέργως. οἱ μὲν γὰρ ἄλλοι πάντες, εἰ δή τινες εἶεν οἱ συγγραψάμενοι περὶ τοῦδε τοῦ πολέμου, ἢ παντάπασιν ἀπόντες τῶν πραγμάτων, ὅσα ἢ ὄχλος ὁ δημώδης διεθρύλλει ἤ τινες ἕτεροι ἀπήγγελλον, οὐδὲν σαφὲς εἰδότες περὶ τῶν γινομένων, οἷα παρεδέξαντο ταῖς ἀκοαῖς, τοιαῦτα καὶ τοῖς μετέπειτα ἐξέδωκαν μηδὲν φροντίσαντες τῆς ἀληθείας. [20]

2 13 ἢ εἰ καὶ συνεστρατεύοντο τοῖς βασιλεῦσιν ἑκατέροις, ἀλλ’ οὐ δήπου γε βουλῆς μετεῖχον, οὐδὲ τῶν ἀπορρήτοτέρων ἦσαν κοινωνοὶ, ἄλλως τε οὐδ’ ἐφ’ ἅπασι παρόντες τοῖς πραττομένοις, συνεχοῦς καὶ πολυχρονίου γεγενημένου τοῦ πολέμου· ἐπὶ πέντε γὰρ ἔτεσι διήρκεσεν· ἐμοὶ δὲ οὐδεμίαν τινὰ τοιαύτην ἔχοι τις ἂν ἐπενεγκεῖν αἰτίαν. τοῖς γὰρ τῶν πραττομένων αὐτουργοῖς συμπαρὼν αὐτὸς, τὰ μὲν οἶδα παρ’ ἐμαυτοῦ, τῶν δὲ ἀκριβῆ τὴν γνῶσιν ἔσχον, αὐτῶν ἀπαγγειλάντων τῶν πραξάντων, διὰ τὸ πολλὰς καὶ συνεχεῖς ἐφ’ ἅπαντα τὸν τοῦ πολέμου χρόνον τὰς μεταβολὰς ὑπομεμενηκέναι· ὥστε εἰκὸς μὴ τῶν πραττομένων μόνον, ἀλλὰ καὶ

βουλευμάτων ἀποῤῥήτων καὶ δόλων καὶ ἐπιβουλῶν καὶ ὅλως πάντων καὶ τῶν πραττομένων φανερῶς καὶ τῶν ἀφανῶς κατασκευαζομένων ἀγνοεῖν μηδέν. οὐ μὴν ἀλλ᾽ ὅπερ ἔφην ἐξαρχῆς, οὐδὲ τῆς ἀληθείας προστήσομαι οὐδέν· ἀλλ᾽ ὡς αὐτὰ ἔσχον τὰ πράγματα ἀπαγγελῶ, πλὴν εἰ μήπου τι παρήσομαι ἑκὼν τῶν ὅσα τισὶ λοιδορίαν ἢ μέμψιν εἰρημένα ἐμποιήσει. οὐ γὰρ ἐμοὶ φίλον τό τινας κακηγορεῖν, κἂν εἰ πάντες εἰδεῖεν ἄνθρωποι. ἢν δέ πού τι φαίνωμαι διηγούμενος μὴ ὡς δοξάζουσιν οἱ πολλοὶ, οὐ χρὴ θαυμάζειν. οὐ γὰρ τὸ μὴ ταὐτὰ τοῖς πολλοῖς φθέγγεσθαι φεύγων, λογοποιήσω τὰ μὴ ὄντα, ἀλλ᾽ ὡς ἔχουσι τὰ πράγματα ἀπαγγέλλων, χαίρειν ἐάσω τὰς δόξας τῶν πολλῶν ὡς ψευδομένας. [20]

2 14 τετελευτηκότος τοίνυν τοῦ βασιλέως Ἀνδρονίκου τοῦ νέου, ἡ αὐτῷ σύζυγος Ἄννα ἡ βασιλὶς εἰς τρίτην μὲν ἡμέραν διεκαρτέρησεν ἐν τῇ μονῇ τῶν Ὁδηγῶν. μετὰ τοῦτο δὲ ἐν βασιλείοις γενομένη, ἐπένθησεν ἐφ᾽ ἡμέραις ἐννέα, πάντων ὁσημέραι πρὸς τὰ βασίλεια παραγινομένων, οὐ τῶν συγκλητικῶν μόνον καὶ στρατευομένων, ἀλλὰ καὶ τῶν ὅσοι Βυζαντίων ἦσαν ἐν λόγῳ καὶ κοινῇ τὸν ἀπελθόντα θρηνούντων βασιλέα. δομέστικος δὲ ὁ μέγας ἐξ αὐτῆς ἡμέρας, ἧς ἐτελεύτησεν ὁ βασιλεὺς, οὐδαμῆ τῶν βασιλείων ἀπέστη, ἀλλὰ τῶν τε οἰκείων καὶ τῶν βασιλικῶν πεντακοσίους ἔχων, οὓς ἐγκατέστησε τοῖς βασιλείοις φρουρὰν, διὰ πάσης ἐπιμελείας ἐποιεῖτο καὶ σπουδῆς τῶν ἴσως νεωτεριούντων ἀπαμβλύνειν τὰς ὁρμάς. μετὰ δὲ τὴν ἑνάτην τῶν ἐπὶ τοῖς τετελευτηκόσι συνήθως γενενημένων ἱλασμῶν, τὴν μὲν φρουρὰν τὴν πολλὴν ἐξέβαλε τῶν βασιλείων, ὀλίγους καταστήσας, ὅσοι καὶ πρότερον ἐξ ἔθους ἦσαν. αὐτὸς δὲ οἴκοι γεγονὼς, συνήθως ἐπεμελεῖτο τῶν πραγμάτων· καὶ τοῖς τε τὰς ἀρχὰς ἐπιτετραμμένοις τῶν ἐπαρχιῶν καὶ τῶν πόλεων παρῄνει διὰ γραμμάτων ἀτρεμεῖν καὶ μηδὲν νεωτερίζειν, ὡς τῆς τε καλοκἀγαθίας καὶ τῆς εἰς βασιλέα εὐνοίας ἀξίας ἀποληψομένοις τὰς εὐεργεσίας, καὶ τοὐναντίον, ἤν τι νεωτερίζοιεν, τίσουσι δίκας. καὶ τοῖς τῶν δημοσίων συνεισφορῶν τὴν εἴσπραξιν ἐγκεχειρισμένοις ἐκέλευε κακουργεῖν περὶ τὰ χρήματα μηδὲν, ὡς οὐδὲν ἔλαττον ἢ βασιλέως ζῶντος περὶ αὐτῶν παρέξουσιν εὐθύνας. [20]

2 15 καὶ τοῦτον τὸν τρόπον ἐν πλείοσιν ἢ τριάκοντα ἡμέραις ὑπὲρ πεντακοσίας ἐφ᾽ ἑκάστης πέμπων γραφὰς, εἰς τοσοῦτον εὐταξίας καὶ εὐπειθείας τὴν ὑπὸ Ῥωμαίους πᾶσαν κατέστησεν ἡγεμονίαν, ὡς δοκεῖν καινὸν μηδὲν συμβεβηκέναι, ἀλλὰ ζῇν ἔτι βασιλέα καὶ τοῖς πράγμασιν ἐφεστάναι. οὐδὲν γὰρ οὔτε μικρὸν οὔτε μέγα ἐκινήθη, πλὴν οἱ κατὰ Θετταλίαν μόνοι νεμόμενοι Ἀλβανοὶ, αἰσθόμενοι τὴν βασιλέως τελευτὴν, τῶν ἐκεῖ κατέδραμον πόλεων καὶ ἐληΐσαντο οὐ πολλά. ὅπερ ὁ μέγας δομέστικος πυθόμενος, κατὰ τάχος ἔπεμψε τοὺς ἀγγελοῦντας Ἀλβανοῖς, ἢ τὴν λείαν ἀποδιδόναι καὶ μηδὲν νεωτερίζειν ἔτι, ἢ εἰ μὴ πείθοιντο, ἐκδέχεσθαι αὐτὸν χρησόμενον ὡς πολεμίοις. οἳ δὴ καὶ ὑποπτήξαντες τὴν ἀπειλὴν, οὐ μόνον τὴν λείαν ἀπέδοσαν τοῖς ἠδικημένοις, ἀλλὰ καὶ ἡσυχίαν ἄγειν ἐπηγγείλαντο τοῦ λοιποῦ, εἰ μόνον ἐπὶ τοῖς ἡμαρτημένοις λήψονται συγγνώμην. ἀλλὰ ταῦτα μὲν ὀλίγῳ ὕστερον. μετὰ δὲ τὸ μέγαν δομέστικον ἐκ τῶν βασιλείων οἴκαδε ἐλθεῖν, κήρυκες ἐφοίτων αὐτοῦ κελεύσαντος εἰς τὰς περὶ Βυζάντιον πόλεις καὶ κώμας, πάντας ὅσοι τοῦ ἱεροῦ καταλόγου καλοῦντες πρὸς τὴν Κωνσταντίνου πόλιν ἐφ᾽ ἡμέρᾳ ῥητῇ, ὡς τῶν ὑπὲρ τοῦ τετελευτηκότος βασιλέως τελεσθησομένων ἱλασμῶν. καὶ συνῆλθε πλῆθος ἱερέων τοσοῦτον, ὥστε τὸν νεὼν τῆς Σοφίας τοῦ θεοῦ, μεγέθει μέγιστον ὄντα τῶν ὑπὸ τὸν ἥλιον ἁπάντων, ἐλάσσω τῆς χρείας τότε δοκεῖν ὑπὸ τοῦ πλήθους ἀκριβῶς πεπληρωμένον τῶν ἱερέων. ἐπεὶ δὲ καὶ ἡ προθεσμία παρῆν τῶν ἱλασμῶν, ἐτελοῦντο ἀθορύβως καὶ τεταγμένως οὕτως, ὡς δοκεῖν ὀλίγους τινὰς εἶναι καὶ εὐαριθμήτους τοὺς τελοῦντας. [20]

2 16 οὐδὲ γὰρ ἄσημός τις ἐξηκούετο θροῦς, οἷον ποιεῖν φιλεῖ τὸ πλῆθος, ἀλλ᾽ ἐξαισία τις εὐαρμοστία καὶ συμφωνία μέλους, πάντων ἐφεξῆς τοὺς ἱεροὺς ᾀδόντων ὕμνους. καὶ ἦν οὐκ ἔκπληξιν μόνον, ἀλλὰ καὶ ἡδονὴν τὸ θέαμα παρέχον, κατάλογος ἱερὸς ὁρώμενος τοσοῦτος ἅμα τοῖς

ἱεράρχαις, στολαῖς ἱεραῖς κεκοσμημένοι καὶ μίαν τελοῦντες τελετὴν, ὑφ' ἑνὶ καθηγεμόνι τῷ πατριάρχῃ τεταγμένοι. λαμπάδων δὲ περιουσίᾳ καὶ τῇ ἄλλῃ πολυτελείᾳ τῆς παρασκευῆς καὶ τὰς πώποτε ὑμνουμένας παρηκόντισε τῶν ἑορτῶν. ἀναλώματα δὲ τὰ ἐπὶ τούτοις καὶ τοὺς τῶν ἱερέων μισθοὺς, φιλοτίμως μάλιστα γεγενημένους ἑκάστῳ κατ' ἀξίαν, οἴκοθεν ὁ μέγας δομέστικος παρέσχετο αὐτός. β'. Ἀλλὰ τὰ μὲν τῶν ἱλασμῶν τοιαῦτα ἐγεγόνει. αὐτὸς δὲ εἶχετο τῆς τῶν πραγμάτων διοικήσεως ὥσπερ καὶ πρότερον, μηδένα ὑποπτεύων περὶ οὐδενός. τῷ πατριάρχῃ δὲ οὐκ ἤρκει μένειν ἐπὶ τοῖς προτέροις, ἀλλ' ἐδόκει δεῖν ἀντέχεσθαι τῆς τῶν κοινῶν πραγμάτων διοικήσεως, ὡς αὐτῷ προσηκούσης ἐκ τοιαύτης δή τινος αἰτίας. ἔτι περιόντος βασιλέως οὐκ ὀλίγῳ χρόνῳ πρὸ τῆς τελευτῆς συνεβούλευεν ὁ μέγας δομέστικος αὐτῷ πατριάρχην πεῖσαι ἐπιτίμιον ἀνατείνασθαι καὶ χωρισμὸν τῆς ἐκκλησίας τῶν πιστῶν, εἴ τις τετελευτηκότος βασιλέως ἐπιβουλεύσειε τοῖς ἐκείνου παισὶ καὶ τὴν βασιλείαν παρέλοιτο ἀδίκως. [20]

2 17 ἔφασκέ τε πείθειν ἐπιχειρῶν, ὡς οὐδὲν ἔσονται τοιαῦτα πράττοντες τῶν ἀτόπων εἰργασμένοι καὶ παραλόγων, ἀλλὰ καὶ ὠφέλειαν οὐ μικράν τινα παρέξονται τοῖς παισὶν ἐκ τούτου, εἴ τι τοιοῦτον συμβαίη περὶ αὐτούς. πᾶσι μὲν γὰρ ἄδηλον εἶναι τὸ τοῦ θανάτου τέλος, ὁπότε ἥξει, μάλιστα δὲ αὐτοῖς ἀεὶ περὶ μάχας καὶ κινδύνους ἠσχολημένοις. καὶ οὐδὲν εἶναι τῶν ἀδυνάτων, εἰ καὶ ἀμφοτέροις αὐτοῖς συμβαίη περὶ μίαν μάχην πεσεῖν. εἰ δὲ τοῦτο γένοιτο, ἀπρονοήτους παντάπασι συμβαίνει λείπεσθαι τοὺς παῖδας, μήθ' ἑαυτοῖς ἀμύνειν διὰ νηπιότητα δυναμένους, μήθ' ἕτερόν τινα ἔχοντας τὸν προστησόμενον γνησίως καὶ ἀδόλως. βασιλεὺς δὲ οὐκ ἐπείθετο ῥᾳδίως, γνώμης τε ὢν ἀγαθῆς καὶ μᾶλλον οἰόμενος προσήκειν ἐπὶ τὴν πάντα δυναμένην δεξιὰν τὰς ἐλπίδας τῆς τῶν παίδων σωτηρίας ἔχειν, ἢ πρὸς συκίνην ἐπικουρίαν τὴν ἐξ ἀνθρωπίνης ἐπινοίας ἀποβλέπειν, συνορῶν, ὡς καὶ τοῖς πρὸ ἐκείνων βασιλεῦσι τοιαῦτα ἐπινενοημένα ὤνησαν οὐδέν. ἔφασκέ τε, ὡς ἢ θεὸς ἄνωθεν χεῖρα σώζουσαν ὑπερέχων ἢ τῶν ἡμῖν εὔνων ἡ δύναμις, ἂν τῶν ἐναντίων ὑπερέχῃ, τὰς τῶν ἀδικεῖν ἐθελόντων ἂν κωλύσειεν ὁρμάς· ὅρκοι δὲ καὶ δεσμοὶ καὶ ὅσα παραπλήσια, οὐδὲν ἂν ἐκφοβήσειε τοὺς πλεονεκτεῖν προῃρημένους. διὸ καὶ τῆς τοιαύτης πράξεως ἀποσχέσθαι, ὡς οὐ μόνον οὐδὲν ἡμῖν λυσιτελούσης, ἀλλὰ καὶ ἑτέροις οὐ τὴν τυχοῦσαν βλάβην δυναμένης προξενεῖν, οἷα δὴ πρὸς τῷ δίκας τῆς ἁρπαγῆς ὀφείλειν καὶ κεχωρισμένοις ἀπὸ θεοῦ. [20]

2 18 ὁ μέγας δὲ δομέστικος οὐκ ἀνίη βιαζόμενος, ἀλλ' ἐδεῖτο τῶν μὲν τοιούτων λόγων ἀποσχέσθαι, αὐτῷ δὲ πείθεσθαι, ὡς λυσιτελοῦντα καὶ δίκαια βουλευομένῳ. καὶ ἔπεισέ γε βιασάμενος, οὐδ' οὕτω μὲν πεπεισμένον, ὡς λυσιτελῆ τὰ πραττόμενα εἴη, ἀλλὰ τῆς ἐξαρχῆς ἐχόμενον γνώμης, διὰ δὲ τὸ δοκεῖν ἐκείνῳ λυσιτελεῖν καὶ ἄκοντα πεπεισμένον. καὶ τὸν πατριάρχην μετακαλεσάμενος καὶ ὅσοι τῶν ἀρχιερέων ἐν Βυζαντίῳ τότε παρῆσαν, καὶ ὅσα ἦν εἰκὸς διαλεχθεὶς περὶ τοῦ πράγματος καὶ τὴν γνώμην φανερὰν ποιήσας, ὡς αὐτῷ μὲν οὔτε ἀναγκαῖον, οὔτε λυσιτελὲς δοκεῖ τὸ πρᾶγμα, (οὐ γὰρ ἐπισχήσει τὰς ὁρμὰς τῶν ἐπιβούλων·) ὡς ἂν δὲ μὴ δοκοίη τοῖς σφετέροις μόνοις πείθεσθαι λογισμοῖς, ἀλλὰ καὶ ἑτέροις συμβουλεύουσι παραχωρεῖν αὐτόν τε πεπεῖσθαι καὶ σφίσιν ἐπιτρέπειν, ἐκέλευε τὸν ἀφορισμὸν κατὰ τῶν μετὰ τὴν ἐκείνου τελευτὴν τοῖς παισὶν ἀδίκως ἐπιθησομένων ἐκφωνεῖν. καὶ ἐτελεῖτο παρὰ πατριάρχου, ᾗ προσέταττεν ὁ βασιλεύς. διὰ ταῦτα δὴ μετὰ τὴν ἐκείνου τελευτὴν ὁ πατριάρχης ᾠήθη δεῖν, οἷα δὴ τῶν βασιλέως παίδων φύλαξ, ἄλλως θ' ὅτι καὶ ὁ τοῦ βασιλέως παῖς Ἰωάννης ὁ βασιλεὺς ἔτι νήπιος ἦν, ἄρτι παιδικῆς ἡμμένος ἡλικίας, (ἔτη γὰρ ἦν γεγονὼς ἐννέα·) ἀνθάπτεσθαι τῶν πραγμάτων καὶ τὴν βασιλείαν συνδιασώζειν τῷ νέῳ βασιλεῖ. καὶ ἥπτετό γε αὐτῶν, λανθάνειν ἐπιχειρῶν ὡς μάλιστα ἐνῆν καὶ κατὰ μικρὸν ἐμβιβάζων ἑαυτὸν εἰς τὴν ἀρχήν. [20]

2 19

ἐδεδίει γὰρ γενέσθαι φανερὸς ἀντιπολιτευόμενος τῷ μεγάλῳ δομεστίκῳ. καὶ ἄλλα τε ἔπραττεν, ἃ οὐκ ἦν αὐτῷ ἀρέσκειν, καὶ ἑταιρείαν ἐκ τῶν συγκλητικῶν συνίστα καὶ ἔπειθε πολλαῖς ὑποσχέσεσιν αὐτῷ συμπράττειν, ὡς τὰ μέγιστα εὖ ποιήσων, εἰ αὐτῷ προσγένοιτο τῶν πραγμάτων ἡ ἀρχή. καὶ διηνεκῶς διέτριβεν ἐν βασιλείοις, νυκτὸς μόνης καὶ ταύτης μέσης οἴκαδε ἀναχωρῶν. ἐξ ὧν ὁ μέγας δομέστικος καταστοχαζόμενος τῆς τοῦ πατριάρχου διανοίας, ἄλλως τε καί τινων τῶν κοινωνούντων αὐτῷ τῶν ἀποῤῥήτων ἀπαγγελλόντων τῶν γινομένων τὴν αἰτίαν, ἐδυσχέραινε μὲν ὡς εἰκὸς καὶ δι' ὀργῆς τὰ πραττόμενα ἐποιεῖτο, ὅμως δὲ ἔφερε σιγῇ, ἀποσκοπῶν ὅποι τελευτήσει ἡ διάνοια αὐτῷ. μεταξὺ δὲ τούτων γινομένων συμβέβηκέ τι καὶ ἄλλο, ὃ οὐ μετρίως καθήψατο τῆς τοῦ μεγάλου δομεστίκου ψυχῆς. ὁ γὰρ τῶν Μυσῶν βασιλεὺς Ἀλέξανδρος πρεσβείαν πέμψας πρὸς βασιλίδα καὶ Ῥωμαίους, τὸν παρ' αὐτοῖς διατρίβοντα φυγάδα ᾔτει Σίσμανον τὸν τοῦ παρὰ Μυσοῖς προβεβασιλευκότος Μιχαήλ· ὃς δὴ γεγένητο αὐτῷ ἐκ τῆς Στεφάνου τοῦ τῶν Τριβαλῶν ἄρχοντος ἀδελφῆς, ἡ μετὰ τὴν ἐκείνου τελευτὴν ἦρξε Μυσίας. πρότερον γὰρ ἐκβεβλημένη ὑπ' ἐκείνου ἦν ἔτι περιόντος καὶ τῇ βασιλέως Ἀνδρονίκου τοῦ νέου συνοικοῦντος ἀδελφῇ. ἐπεὶ δὲ μετ' ὀλίγον ὑπὸ τῶν δυνατωτάτων ἐπιβουλευθεῖσα, πάλιν ἐξεβλήθη τῆς ἀρχῆς, ἡ μὲν τὸν ἕτερον ἔχουσα τῶν υἱῶν Ἰωάννην, πρὸς Κράλην ἐπανῆκε τὸν ἀδελφὸν, Σίσμανος δὲ ὁ λοιπὸς τῶν παίδων, εἰς Σκύθας ᾤχετο φυγάς. [20]

2 20 ὃς δὴ παρ' ἐκείνοις διατρίψας οὐκ ὀλίγον, ὕστερον Ῥωμαίοις ἑκοντὶ προσῆλθε μετὰ τὴν βασιλέως τελευτήν. τοῦτον δὴ Ἀλέξανδρος ᾐτεῖτο πέμψας, ὡς πολεμιώτατον αὐτῷ. ἔφασκέ τε δυοῖν θάτερον, ἢ παραδοῦναι Σίσμανον ἐπὶ θανάτῳ ἢ παρασκευάζεσθαι πρὸς πόλεμον, ὡς οὐκ ἐνὸν αὐτὸν εἶναι φίλον καὶ σύμμαχον Ῥωμαίοις, τοῦ πολεμιωτάτου τρεφομένου παρ' αὐτοῖς. ἔπεμπέ τε καὶ τοὺς ὅρκους, οἳ πρὸς βασιλέως Ἀνδρονίκου πρὸς αὐτὸν ἦσαν ἐπὶ τῇ εἰρήνῃ γεγενημένοι. ἡ μὲν οὖν Ἀλεξάνδρου πρεσβεία τοῦτον εἶχε τὸν τρόπον. ἔδει δὲ τὴν σύγκλητον συνελθοῦσαν βουλεύσασθαι ἅμα βασιλίδι, εἰ δέον ἢ τὸν αὐτόμολον παραδιδόναι ἢ πόλεμον ἄρασθαι πρὸς Μυσοὺς ὑπὲρ αὐτοῦ. οἱ μὲν οὖν συνῆλθον ἐν βασιλείοις. συμπαρῆν δ' αὐτοῖς καὶ δομέστικος ὁ μέγας ἅμα πατριάρχῃ. προτεθείσης δὲ τῆς βουλῆς ἐπ' ἐκκλησίας, οἱ μὲν ἄλλοι πάντες ἡσυχίαν ἦγον πρὸς τὸν μέγαν δομέστικον ἀποβλέποντες, ὅ, τι ἂν βουλεύσαιτο περὶ τῶν προκειμένων· Χοῦμνος δὲ Γεώργιος, ὁ ἐπὶ τῆς τραπέζης, ἀμαθῶς καὶ θρασέως πρίν τι φθέγξασθαί τινα „γέγραπται", εἶπεν „ἐὰν τῷ ἐσχάτῳ ἀποκαλυφθῇ, σιγάτω ὁ πρῶτος. ἂν οὖν καὶ ἡμῶν τινι τῶν δοκούντων ἐσχάτων εἶναι βέλτιόν τι περὶ ὧν νυνὶ βουλευόμεθα εἰπεῖν ἐξῇ, ἀνάγκη τὸν πρῶτον στέργειν." ἐταράχθη μὲν οὖν εὐθὺς ὁ μέγας δομέστικος ἐπὶ τῷ λόγῳ πρὸς τὴν θρασύτητα καὶ ἀναίδειαν τοῦ ἀνδρὸς ἀγανακτῶν. [20]

2 21 οἰόμενος δὲ τὴν βασιλίδα ἢ τὸν πατριάρχην (οὗτος γὰρ ἤδη προΐστατο τῆς βουλῆς,) πρὸς ὀργὴν τὸν Χοῦμνον ἀπελάσειν τοῦ βουλευτηρίου ἢ λόγοις ἐπιπλήξειν τῆς ἀκαίρου γλωσσαλγίας, ἤνεγκε σιγῇ. ὡς δὲ μήτε παρ' ἐκείνων ἐλέγετο τῶν δεόντων τι, ἔτι μᾶλλον ἐταράττετο, τεκμήριον ἐναργὲς ἀταξίας καὶ ἀναρχίας τιθέμενος τὸν λόγον, εἰ πᾶσιν ἐξέσται τοῖς μείζοσι προσκρούειν ἀδεῶς. Τορνίκης δὲ Δημήτριος οὐκ ἐνεγκὼν τὴν ἀτοπίαν, „τί οὖν;" εἶπε „δημοκρατίαν χρὴ ποιεῖν τὴν Ῥωμαίων βασιλείαν, ἵν' ἐξῇ παντί τῳ βουλεύεσθαι καὶ λέγειν, ἅττα ἂν δοκῇ, καὶ περὶ μειζόνων καὶ ἐλαττόνων πραγμάτων, καὶ ἀνάγκην προστιθέναι τοῖς βελτίοσι στέργειν τὰ ἐψηφισμένα. καὶ ποίαν ἀτοπίας ἂν ὑπερβολὴν ἐλλίποι τὸ τοιοῦτον;" ὡρμημένων τε ἤδη περὶ τῶν τοιούτων ἀλλήλοις ἀντιλέγειν, ἐπέσχεν ἡ βασιλὶς, τῶν ἀκαίρων ἀποσχέσθαι κελεύουσα λόγων τουτωνὶ καὶ ἀναγκαίων πέρι διαλέγεσθαι. ὁ μέγας δὲ δομέστικος ὑποκρινάμενος τὸν στόμαχον ἀλγεῖν, ἐπλάττετό τε στρέφεσθαι τὰ ἔνδον καὶ ἐσιώπα, ὡς μηδὲ φθέγγεσθαι δυνάμενος ὑπὸ τῆς ἀλγηδόνος. οἱ δὲ ἀτάκτως ἐθορύβουν, ἕκαστος τὸ προσιστάμενον βουλόμενος κυροῦν. οἱ μὲν γὰρ ἔλεγον δεῖν Σίσμανον διασώζειν, ἱκέτην τῆς

Ῥωμαίων βασιλείας γεγενημένον, καὶ μὴ καταπροδιδόναι, εἰ δεῖ τι καὶ τῶν δυσχερῶν ὑπομένειν δι’ αὐτόν. οἱ δὲ τὴν χώραν μᾶλλον καὶ τὰ οἰκεῖα διασώζειν καὶ μὴ βαρβάρου ἕνεκα φυγάδος εἰς προῦπτον κίνδυνον ἐμβάλλειν σφᾶς αὐτούς. [20]

2 22 καὶ τοιαῦτα ἕτερα ἀντέλεγον πρὸς ἀλλήλους καὶ βοῆς τὰ βασίλεια ἐπλήρουν, πάντων ἐθελόντων γνώμας καὶ ψηφίσματα προτείνειν ὑπὲρ τῶν κοινῇ λυσιτελούντων. ὡς δὲ ἐπιπλέον ἡ φιλονεικία παρετείνετο καὶ ἀσύμφωνοι ταῖς γνώμαις ἦσαν, ὁ πατριάρχης ὡς δή τι μέγα καὶ θαυμάσιον βεβουλευμένος „ἐμοὶ δοκεῖν“ ἔφη „Σίσμανον πρὸς τὸν τῆς τοῦ θεοῦ Σοφίας νεὼν καταφυγεῖν. ἀσυλίᾳ δὲ αὐτοῦ τετιμημένου ὑπὸ πάντων, ὅσοι Ῥωμαίων ἐβασίλευσαν, ἐξεῖναι καὶ ἡμῖν εὐπρόσωπον ἀπολογίαν πρὸς τοὺς Ἀλεξάνδρου θέσθαι πρεσβευτὰς, ὡς οὐκ ἐξὸν ἀποσπάσαντας τὸν ἱκέτην τοῦ θεοῦ παραδιδόναι πρὸς σφαγὴν, μάλιστα πάντων τοῦτο ἄγος ἐναγέστατον καὶ παρὰ τῶν πάλαι καὶ τῶν νῦν Ῥωμαίων νομιζόμενον.“ οἱ μὲν οὖν πολλοὶ τῶν παρόντων ἐξεθείασαν τὴν βουλὴν, ὡς ἀρίστην καὶ συνετωτάτην καὶ δυναμένην μάλιστα ἀπράκτους ἀποπέμψαι τοὺς Ἀλεξάνδρου πρεσβευτὰς, συνορῶντας ἤδη καὶ αὐτοὺς τὴν τοῦ πράγματος ἀνάγκην. τοῦ μεγάλου δὲ δομεστίκου φθεγγομένου μηδὲν, ἡ βασιλὶς πρῶτα μὲν κατεμέμφετο τὴν ἀκαιρίαν τῆς νόσου, ἐφ’ οὕτως ἀναγκαίου καιροῦ καὶ δεομένου βουλῆς γεγενημένην· ἔπειτα δὲ ἔλεγε πρὸς αὐτὸν, ὡς, εἰ μὲν καὶ αὐτῷ εὖ ἔχειν ἡ τοῦ πατριάρχου δοκεῖ βουλὴ, ὥσπερ δὴ καὶ τοῖς ἄλλοις συνέδοξε καὶ αὐτῇ, ἐπινεῦσαι ὡς καλῶς ἔχουσι τοῖς λεγομένοις, καὶ τοῦτο ἐπιθέσθαι πέρας τῇ βουλῇ. εἰ δέ τι βέλτιον αὐτῷ καὶ λυσιτελέστερον ἕτερον δοκεῖ, τὸ νῦν μὲν εἶναι διὰ τὴν αὐτοῦ νόσον τὸν σύλλογον διαλύειν, αὖθις δὲ ῥαΐσαντος, βουλεύσεσθαι περὶ τῶν αὐτῶν. [20]

2 23 ὁ δὲ μικρὸν ἐπισχὼν, „δοκεῖτέ μοι“ ἔφη „μὴ περὶ ὧν βουλεύεσθε, τὴν ἀπόκρισιν ποιεῖσθαι. οὐ γὰρ νῦν ὑμῖν ἡ σκέψις περὶ λόγων εὐπροσώπων, ἀλλὰ εἴτε χρὴ τὰ κελευόμενα ὑπ’ Ἀλεξάνδρου πράττειν, εἴτε πολεμεῖν αὐτῷ. ὑμεῖς δὲ περὶ ὧν προὔθεσθε βουλεύεσθαι ἀφέντες, περὶ νομίμων καὶ δικαίων τῶν παρὰ Ῥωμαίοις διαλέγεσθε, ὥσπερ ἂν εἴ τις καὶ Ἀλέξανδρον ὁ καταναγκάσων ἦν τοῖς Ῥωμαίων νόμοις πείθεσθαι. ὁ δ’ ἴσως ἐρεῖ, ὡς οὐκ ἐμοὶ, ἀλλὰ Ῥωμαίοις οἱ νόμοι οὗτοι κεῖνται· ἐμοὶ δὲ εἷς νόμος ἐκ παντὸς τρόπου τὰ συνοίσοντα ἐμοὶ ζητεῖν. ὑμῖν δὲ εἰ καὶ Σίσμανον ἔξεστι τοῖς ἀσύλοις κατακρύπτειν ἱεροῖς, ἀλλ’ οὐ δήπου καὶ πόλεις καὶ κώμας κατακρύψετε ἐν τοῖς τοιούτοις, οὐδὲ βοῶν ἀγέλας καὶ ποίμνια προβάτων καὶ τὴν ἄλλην περιουσίαν τὴν ἐν τοῖς ἀγροῖς, ἐξ ὧν ἐμοὶ τῆς ἀδικίας ἐξέσται κομίζεσθαι ποινάς. πρὸς οὖν τὰ τοιαῦτα χρὴ βουλεύεσθαι, οὐ πρὸς ἀπολογίας εὐπροσώπους. ἐγὼ δὲ ὀλίγου δεῖν νυνὶ μέμφομαι καὶ ἐμαυτῷ, ὅτι καὶ ὁπωσοῦν εἰς τοιουτουσὶ προήχθην λόγους. εἴρηται γὰρ ἐξαρχῆς καὶ ἐπεψηφίσθη γε ὑπὸ πάντων, ἐπεὶ μηδεὶς ἀντεῖπε μηδέν· ἐὰν τῷ ἐσχάτῳ τι ἀποκαλυφθῇ, σιγᾷν τὸν πρῶτον. εἰ δὴ μὴ τῷ ἐν ἐσχάτοις τεταγμένῳ, ἀλλὰ καὶ τῷ πρώτῳ καὶ μάλιστα ἐξάρχοντι τοῦ βουλευτηρίου τοιαῦτα ἔδοξε καὶ ὑμῖν ἐπεψηφίσθη γε τοῖς πᾶσιν ὡς λυσιτελῆ, προσῆκε στέργειν καὶ αὐτὸν καὶ περαιτέρω πολυπραγμονεῖν μηδέν. [20]

2 24 “ τῆς βασιλίδος δὲ ἐναγούσης μάλιστα καὶ ἐπισπωμένης πρὸς τοὺς λόγους, „οὐδὲ τὰ τοιαῦτα καίτοι γε ὀλίγα ὄντα ἑκὼν εἶναι ἐφθεγξάμην.“ πρὸς δὴ τὰ τοιαῦτα εὐθὺς ὁ πατριάρχης αἰτίας ἀπολύων ἑαυτὸν, „ἀλλ’ ἐγὼ“ εἶπε „πρῶτος καὶ αὐτὸς μηδὲν εἶναι πρὸς τὰ ζητούμενα τὴν βουλὴν ὁμολογῶ. οὐ γὰρ Ἀλεξάνδρῳ περὶ εὐλόγων καὶ μὴ τοιούτων ἀποκρίσεων μελήσειν, ἀλλ’ ὅπως ὃ προὔθετο ἐξαρχῆς, εἰς πέρας, εἰ δύναιτο, ἀγάγῃ. οὗ δὴ ἕνεκα καὶ αὐτὸς οὐ πρὸς λόγους, ἀλλὰ πρὸς ἐκεῖνο φημὶ βουλευτέον εἶναι.“ τὰ ἴσα δὲ εὐθὺς καὶ τῶν λοιπῶν ἐπιψηφισαμένων πάντων, ἐπεὶ ὁ μέγας δομέστικος ἀνέστη, καὶ οἱ ἄλλοι συνανέστησαν καὶ ὁ σύλλογος διελύθη. ὁρῶν δὲ καὶ πρότερον ἐφιέμενον ὁ μέγας δομέστικος τὸν πατριάρχην τῆς ἀρχῆς τῶν πραγμάτων, καὶ μήτε βίᾳ βουλόμενος τὴν ἐπιχείρησιν ἐπέχειν, (οὐ γὰρ ἠβούλετο ἀκουσίων ἄρχειν, ἀλλὰ πολὺ μάλιστα βουλομένων καὶ χάριν εἰδότων τῆς ἀρχῆς,) ἄλλως τε καὶ

δεδοικὼς, μὴ καὶ πρόφασις ἐκ τούτου στάσεως ἀναφυῇ καὶ πολέμου ἐμφυλίου, ἐξ ὧν ὡς εἰκὸς διαφθαρησομένην συνεώρα τὴν Ῥωμαίων ἡγεμονίαν, καὶ παντὸς οἰόμενος θανάτου ἐπαχθέστερον τὴν αἰτίαν τῶν δεινῶν παρασχεῖν αὐτός· (διὸ οὐδὲ βασιλέως ἔτι περιόντος, καίτοι πολλὰ πολλάκις παρακεκληκότος, ἠθέλησε γενέσθαι βασιλεὺς,) ἐσκέπτετο μὲν καὶ πρότερον τὴν ἡγεμονίαν ἀποθέσθαι καὶ ἀπραγμοσύνῃ τὸν ἐπίλοιπον βίον ζῇν, ὅπερ ἔφην, τοῦ φθορᾶς αὐτὸς αἴτιος Ῥωμαίοις καταστῆναι πᾶν ὁτιοῦν ἀνεκτότερον νομίζων. [5]

2 25 ὡς δὲ καὶ κατὰ τὸν σύλλογον αὐθαδῶς καὶ θρασέως τοῦ Χούμνου πρὸς αὐτὸν διειλεγμένου, (μάλιστα γὰρ πρὸς αὐτὸν τὸν λόγον ἀποτείνεσθαι ᾠήθη, πάντων τῶν τότε Ῥωμαίων καὶ νομιζόμενον καὶ ὄντα πρῶτον,) οὐδεὶς ἐπετίμησεν, οὐδὲ ἐμέμψατο τῆς ἀκαίρου παῤῥησίας, ὥσπερ ἀρχὴν νομίσας στάσεως ἐμφυλίου τὸ τοιοῦτον, θᾶττον ἢ ἐβούλετο ὥρμητο ἀπαγορεύειν τὴν ἀρχήν. γ′. Μετὰ γοῦν τὸν σύλλογον εἰς τὴν ὑστεραίαν ἐπεὶ καὶ αὐτὸς καὶ πατριάρχης παρῆσαν ἐν βασιλείοις, πρὸς βασιλίδα ἐχρῆτο μηνυτῇ καὶ τοιαῦτα αὐτῇ ἐδήλου δι’ αὐτοῦ, ὡς, εἴπερ ἦν αἵρεσις αὐτῷ προτεθῆναι ἐκ θεοῦ, (αὐτὸς δ’ ἂν εἴη τῶν λεγομένων μάρτυς, ὡς ἀληθῆ,) βασιλέα μὲν ἐν ζῶσιν εἶναι, αὐτὸν δ’ ἐκείνου τὸν θάνατον ἀνθελέσθαι, ἁπάσαις ψήφοις καὶ πάσῃ σπουδῇ καὶ προθυμίᾳ προείλετο ἂν αὐτὸς ἀποθανεῖν ὑπὲρ τοῦ ἐκεῖνον ζῆν. ἐπεὶ δὲ τῷ μέτρα καὶ ζωῆς καὶ τελευτῆς ἑκάστῳ ταλαντεύοντι τοῦτον ἔδοξε τὸν τρόπον, ἐκείνῳ μὲν ὁμολογεῖν προσῆκον χάριτας τῆς περὶ ἡμᾶς σοφῆς οἰκονομίας, αὐτοὺς δὲ ἕκαστον ὅ,τι ἂν εἴη αὐτῷ τε προσῆκον καὶ λυσιτελὲς σκοπεῖν. ὃ δὴ κἀμοὶ σκεψαμένῳ περὶ ἐμαυτοῦ, ἔδοξε δεῖν τῶν μὲν πραγμάτων ἀποσχέσθαι· συνεῖναι δὲ τὸν ἐπίλοιπον ἀπραγμοσύνῃ βίον, ὅπως ἂν δύνωμαι, διάγοντα κατ’ ἐμαυτόν. [20]

2 26 οὕτω δὴ δόξαν, ἤδη καὶ σοὶ κατάδηλον ποιῶ.“ τοῦ πατριάρχου δὲ πυνθανομένου τὴν αἰτίαν, δι’ ἣν αὐτῷ τοιαῦτα πρὸς τὴν βασιλίδα παρέστη λέγειν, καὶ πρότερον μὲν ἔφασκε τοὺς τοιούτους στρέφειν λογισμοὺς καὶ ἀναγκαῖον οἴεσθαι ἀφίστασθαι τῶν πραγμάτων. ὃ δέ με τάχιον ἀνέπεισε τὴν βουλὴν ἀνακαλύπτειν, οὐδὲν ἕτερον εἶναι, ἢ ὅτι τῇ προτεραίᾳ κατὰ τὸν σύλλογον ἀκαίρως τοῦ Χούμνου καὶ ἀνοήτως παῤῥησιασαμένου καὶ ἐὰν τῷ ἐσχάτῳ ἀποκαλυφθῇ, σιγάτω ὁ πρῶτος φαμένου, οὔθ’ ἡ βασιλὶς οὔτ’ αὐτὸς ἠγανακτήσατε πρὸς τὴν ἀναισχυντίαν, οὐδὲ δίκην ἔδωκε τῆς ἀνοήτου γλωσσαλγίας, ἀλλ’ ἐφησυχάσατε τοῖς λεγομένοις, ὥσπερ εἰρημένου μηδενὸς καινοῦ.“ ὁ πατριάρχης δὲ „εἰ μὲν καί τις ἄλλη πρὸς τοὺς τοιούτους“ ἔλεγε „λόγους ἤγαγεν αἰτία, αὐτὸς ἂν εἰδείης. εἰ δ’ αὐτοῦ τούτου ἕνεκα μόνου παροξυνθεὶς, ὀργῇ φερόμενος πρὸς ἐμέ τε καὶ τὴν βασιλίδα, ἀφίστασθαι τῆς διοικήσεως ἔγνως τῶν κοινῶν, οὔτε δίκαια ποιεῖς, οὔτε προσήκοντα σαυτῷ. ἐγώ τε γὰρ ἰσχυρίζομαι τουτωνὶ τῶν λόγων μὴ ἀκηκοέναι παντελῶς· καὶ δίκαιος εἶναι ἀξιῶ πιστεύεσθαι παρὰ σοί· οἶομαι δὲ καὶ τὴν βασιλίδα τὰ ἴσα ἐμοὶ ἐρεῖν. οὐδὲ γὰρ ἂν ἤνεγκε σιγῇ, εἰ ἀκοῦσαί τε συνέβαινε τῶν λόγων καὶ πρὸς σὲ εἰρῆσθαι οἰηθῆναι. διό σου καὶ δέομαι τῶν πρὸς τὴν βασιλίδα λόγων ἀποσχέσθαι, οὐ φαύλην τινὰ ἐσομένων ἐπιθήκην τῶν κακῶν. [20]

2 27 ὁ δ’ οὐκ ἀνίη, ἀλλ’ ἐκέλευεν ἀπαγγέλλειν, νῦν μὲν, φάσκων, τὸν λόγον μόνον ἐκεῖνον τὸν ποιήσαντα τὴν ταραχὴν, ἴσως δέ τινα καὶ ἄλλα ἔχειν ἀνέκφορα ἐν τῇ ψυχῇ. αὐτίκα μὲν οὖν ὁ πατριάρχης ἐποίει τὰ κεκελευσμένα καὶ τῇ βασιλίδι ἀπήγγειλεν, ὅσα ὁ μέγας δομέστικος πρὸς αὐτὸν διαλεχθείη. ἡ δὲ ἐλπίδος τε ἔξω καὶ πέρα προσδοκίας λόγους ταῖς ἀκοαῖς εἰσδεξαμένη, ἠνιᾶτο μὲν ἐπὶ τοῖς λεγομένοις, ἐξεπέπληκτο δὲ, ὅ,τι τὸ τὸν μέγαν δομέστικον πεῖσαν, τοιαῦτά τε ἐνθυμηθῆναι καὶ πρὸς αὐτὴν εἰπεῖν. ὅμως ἑαυτὴν ἀναλαβοῦσα, ἀντεμήνυεν αὐτῷ, μὴ παντάπασιν αὐτῷ προσήκειν τοὺς τοιούτους λόγους, οὐδὲ τῆς αὐτοῦ διανοίας ἀξίους εἶναι, οὐδὲ τῆς πρὸς βασιλέα φιλίας, ἣν ἐκ παίδων ἄχρι καὶ εἰς τόδε χρόνου ἀλλήλοις διετηρήσατε ἄδολον καὶ καθαράν. διὸ οὐδὲ πείθεσθαι οἷά τε εἰμὶ, ὡς παραφρονοῦντος ἕνεκα ἀνθρώπου προήχθης εἰς τοσοῦτον καὶ ὀργῆς καὶ λύπης. ἐγὼ δὲ μήτ’ ἀκηκοέναι τοῦ ἀνθρώπου λέγοντος

ὁμολογῶ, μήτ’ εἰ καὶ συνέβαινε πυθέσθαι, προῦργου ποιήσασθαι κολάζειν τὸν εἰπόντα. οὐδὲ γὰρ αὐτὸς σὺ ἐλάττω δύναμιν ἔχεις ἢ ἐγὼ, κολάζειν τε τοὺς προσκρούοντας καὶ συγγνώμην παρέχειν, ἂν ἐθέλῃς. εἰ μὲν οὖν ἐκείνων ἕνεκα τῶν λόγων μόνον ἀγανακτεῖς, παρὰ σαυτοῦ μᾶλλον ἢ παρ’ ἐμοῦ προσήκει λαμβάνειν δίκας. εἰ δὲ καί τινος ἑτέρου δέῃ, ὅπερ ἄχρι νῦν ἄγνωστον ἐμοὶ, λέγειν θαῤῥοῦντα, ὡς παρ’ ἐμοὶ δύσκολον ἐσόμενον μηδὲν, ὅπερ ἄν σοι κατὰ γνώμην ᾖ, εἰ μὴ πάντη τῶν ἀδυνατωτάτων εἴη. [20]

2 28 “ τοιαῦτα μὲν ἡ βασιλὶς πρὸς τοὺς τοῦ μεγάλου δομεστίκου λόγους ἀπεκρίνατο. ὁ δ’ ἔφασκεν, αὐτόν τε παντάπασιν ἠγνοηκέναι τὴν δύναμιν τῶν λόγων τῶν αὐτοῦ, καὶ βασιλίδα τὴν διάνοιαν τῶν γινομένων μάλιστα ὡς ποῤῥωτάτω ἔχειν. ἵνα δὲ αὐτός τε εἰδῇς καὶ βασιλίδι φράσῃς, ὡς δίκαια διανοοῦμαι, ὡς ἔχω περὶ τῶν πραγμάτων ἄκουσον. τὴν μὲν ἐμοῦ τε καὶ βασιλέως ἐκείνου πρὸς ἀλλήλους ἐκ παίδων ἀκροτάτην φιλίαν σύ τ’ ἂν ἀγνοοίης, ὥσπερ εἰκὸς, καὶ ἡ βασιλὶς πρὸς τὴν οἰκείαν διατρίβουσα. ὅσα μέντοι γε πρὸς βασιλέα τὸν πάππον, πολέμου καὶ ἀρχομένου καὶ τελευτῶντος, ὅτε τῶν ἄλλων ἁπάντων πολλὰς καὶ παντοδαπὰς ὑποστάντων τὰς μεταβολὰς, πάντων ἀντιτεταγμένων, σχεδὸν εἰς ἐσχάτην ἀπορίαν συνηλάθη, αὐτῷ προθύμως συνηγωνισάμην, μήτε σώματος φειδόμενος, μήτε χρημάτων, μήτ’ ἄλλου τῶν οἰκείων μηδενὸς, ἀλλ’ ἐν τοῖς μάλιστα ἐπείγουσι τῶν καιρῶν καὶ δεομένοις γνησίων φίλων, πάντα ἐγινόμην αὐτῷ καὶ τῶν δεόντων ἐνέλιπον οὐδὲν, καὶ μετὰ τὸ τῶν πραγμάτων ἐγκρατῆ γενέσθαι, ὅσα τε πρὸς τοὺς ἔξωθεν πολεμίους, καὶ Ἕλληνας λέγω καὶ βαρβάρους, καὶ πρὸς τοὺς ἔνδον ἐπιβούλους, ὥσπερ ἄλλος ὢν αὐτὸς, καὶ συγκατειργαζόμην καὶ συνδιέφερον αὐτῷ τοὺς ὑπὲρ ἑαυτοῦ πόνους καὶ κινδύνους, (ἐῶ γὰρ λέγειν τὴν διοίκησιν τῶν πραγμάτων, ὡς αὐτὸς πάντα πόνον ὑφιστάμενος, ἄλυπον αὐτῷ καὶ ἄπονον ἐποίουν τὴν ἀρχὴν,) πάντες μὲν ἂν εἰδεῖεν Ῥωμαῖοι, αὐτῶν σαφέστατα βοώντων τῶν πραγμάτων, καὶ συμμαρτυρήσαιεν ἐμοί· τῶν ἄλλων δὲ πάντων μάλιστα ἡ βασιλὶς, ὅσα μὴ μόνον ὑπὸ τῶν πραγμάτων, ἀλλὰ καὶ βασιλέως αὐτοῦ τὴν πρὸς ἀλλήλους ἡμῶν ὁμόνοιαν, τὴν πάντας, ὡς ἐγῷμαι, καὶ τοὺς πάλαι καὶ τοὺς νῦν ὑπερελάσασαν ἐπὶ φιλίᾳ ὑμνουμένους, σαφῶς διδασκομένη. [5]

2 29 ἐφ’ οἷς οὐκ ὠφελεῖσθαι μόνον παρ’ ἑκατέρων συνέβαινεν ἡμῖν, ἀλλὰ καὶ τὸν ἄχρι νῦν χρόνον εὐκλεέστατα βιβιωκέναι. ἄτοπον οὖν, τὸν μὲν προτοῦ χρόνον ἅπαντα μηδέποτε μηδεμίαν ἀδοξίας πρόφασιν παρεσχηκέναι ἐμαυτῷ, νυνὶ δὲ ἑκοντὶ λοιδορίας ἄξια καὶ μέμψεως ποιεῖν. ἄν τε γὰρ ἀγνοήσας, οἷ κακῶν τὰ πράγματα χωρήσει, ἐμαυτῷ μὲν ἀδοξίας, τοῖς λοιποῖς δὲ Ῥωμαίοις φθορᾶς καὶ κινδύνων αἴτιος καταστῶ, οὐδεμίαν παραιτεῖσθαι δίκαιος συγγνώμην αὐτὸς παρ’ ἐμαυτῷ κριτῇ. ἄν τε καὶ συνορῶν, ὥσπερ ἤδη καὶ ἐπίσταμαι σαφῶς, ἔπειτα καταμαλακιζοίμην δέει τοῦ μὴ δοκεῖν ἐν καιροῖς ἐπικινδύνοις τὴν ἀρχὴν μεθίεσθαι, οὐ λοιδορίας ἄξιος μόνον, ἀλλὰ καὶ δίκης τῆς ἐσχάτης, ὅτι, καίτοι προειδὼς, ὑπέμεινα ἑκὼν εἶναι κακὸς ὀφθῆναι καὶ μήτε καιροῖς, μήτε πράγμασιν ὡς δέον χρήσασθαι εἰδώς. οὗ δὲ ἕνεκα κινδύνων τε καὶ ἀδοξίας ἔγνων ἀπαλλάττειν ἐμαυτόν. [20]

2 30 καίτοι γε οὐδὲ βασιλίδι τε καὶ τοῖς βασιλέως παισὶν ἐκ τῆς ἀδοξίας ταυτησὶ καὶ τῶν κινδύνων ὠφέλειάν τινα ἔξεστι πορίζειν. ἦν γὰρ ἂν τοῦτο παραμύθιον οὐ φαῦλον. ὡς ἂν δὲ μὴ δοκῶ τοὺς ὑπὲρ τῶν βασιλέως παίδων πόνους καὶ κινδύνους ἀποδιδράσκειν, νῦν μὲν ἐν τῆς εἰρήνης τοῖς καιροῖς, ὅτε μήτε πόλεμος οὐδεὶς, μήτε κακῶν προσδοκία μηδεμία, πατριάρχης τε καὶ σύγκλητος ἅμα βασιλίδι ἰθυνόντων τὴν ἀρχὴν καὶ τὰ ἐκ ταύτης ἀγαθὰ καὶ τὰς τιμὰς καρπούσθων. ἐὰν δέ ποτε συμβαίη πόλεμόν τινα ἀναφυῆναι, κίνδυνον ἀπειλοῦντα βασιλέως τοῖς παισὶ, τότ’ αὐτὸς ἤδη προθύμως τοῖς κινδύνοις ἐμπαρέξω ἐμαυτὸν, καὶ ἢ συνδιασώσω τὴν ἀρχὴν αὐτοῖς ἢ ὑπὲρ αὐτῶν μαχούμενος πεσοῦμαι, ὡς ἂν ἐμοὶ μὲν οἱ πόνοι καὶ τὸ κινδυνεύειν, ὑμῖν δὲ τὸ ἐντρυφᾷν τοῖς πράγμασι καὶ αὐτῶν καταπολαύειν, μηδενὸς παρενοχλοῦντος, περιγίνοιτο. κεφάλαιον δὲ τῶν λόγων τῶν ἐμῶν, ὡς ἔστιν οὐδὲν τὸ πεῖσον, ὥσπερ καὶ

πρότερον, ἔχεσθαι τῶν πραγμάτων τῆς ἀρχῆς. ὡς ἂν δὲ καὶ ἔργοις ὃ λέγω κατάδηλον ποιήσω, τῆς συνήθους καθέδρας ἐξαναστὰς, ἐφ' ἑτέραν καθεδοῦμαι, ἵν' εἰδείη τε βασιλίς τε καὶ ὑμεῖς, ὡς οὐδὲν ἤδη τὸ κωλύον, ἕτερόν τινα, ὃν ἂν βούλησθε αὐτοὶ, τοῖς πράγμασιν ἐφιστᾷν." οὕτως εἰπὼν, ἐφ' ἕτερον μετέβη τόπον, ὥσπερ ἔργῳ παραχωρῶν ἑτέρῳ τῆς ἀρχῆς. ὁ πατριάρχης δὲ τοιαῦτα ὁρῶν τε καὶ ἀκούων, „σκληρός ἐστιν ὁ λόγος" εἶπε „καὶ μάλιστα δυνάμενος τῆς ψυχῆς τῆς βασιλίδος καθικέσθαι. [20]

2 31 " ὁ δ' „ἀληθῆ λέγεις" ἔφη „καὶ ἔδει γε μηδὲν τοιοῦτον μήτε εἰρῆσθαι, μήτε εἶναι. νυνὶ δὲ εἰς τοσοῦτον ἀνάγκης συνηλάθην, ὥστε καίτοι τῶν ἄλλων μάλιστα ἁπάντων, ὅσα εἰς παραμυθίαν καὶ τῶν πολλῶν ἄνεσιν ἀνιαρῶν, ὅσα βασιλίδι ἐκ τῆς βασιλέως προσεγένετο τελευτῆς, λέγεσθαι βουλόμενος ἐπ' αὐτῆς, ἐναντιώτατα πράττειν ἐμαυτῷ δυοῖν ἕνεκα. ἢ γὰρ ἀπρακτεῖν παντελῶς ἀνάγκη, ἢ φαύλως καὶ οὐχ ᾗ προσῆκεν, ἄρχειν. εἴτε τοίνυν πράττοντος μηδὲν, καὶ ἡ βασιλὶς ἐφησυχάζοι, ὡς χθὲς καὶ πρώην τὴν ἀρχὴν οἰομένη διοικεῖσθαι παρ' ἐμοῦ, ἀνάγκη πάντα ἀπολέσθαι· εἴτε καὶ φαύλως καὶ μὴ κατὰ τὸ δέον ἄρχοντος, τὸν αὐτὸν τρόπον πάλιν φθείρεσθαι συμβαίνει, καὶ προσέτι γε αὐτὸν οὐ τοῖς ἄλλοις μόνον, ἀλλὰ καὶ ἐμαυτῷ τῆς μοχθηρίας ὀφείλειν δίκας· ὥστ' ἀμφοτέρωθεν λυσιτελὲς, γνώριμα ταῦτα γίνεσθαι τῇ βασιλίδι, κἂν εἰ μέλλοι ταραχὴν καὶ λύπην προξενεῖν. βέλτιον γὰρ περὶ τῶν γινομένων ὡς ἔχουσι μαθοῦσαν, ἅμα σοί τε καὶ τοῖς ἄλλοις τὰ δέοντα βουλεύσασθαι περὶ τῆς ἀρχῆς, ἢ ἀγνοήσασαν, ὀλίγῳ ὕστερον μὴ τούτων μόνον, ἀλλὰ καὶ τῆς συμβησομένης βλάβης ἕνεκα ἀγανακτεῖν. δ'. Ὁ μὲν οὖν πατριάρχης πάντα ἀπήγγελλε τῇ βασιλίδι. ἡ δ' ἅπερ οὔτ' ἄν ποτε αὐτὴ διενοήθη, μήθ' ἑτέρου λέγοντος ἐπείθετο ἀκούσασα, πρῶτα μὲν ὑπὸ τῆς λύπης οὐδὲ ἀντιφθέγγεσθαι ἠδύνατο. [20]

2 32 ἔπειτα ἐφ' ἱκανὸν πολλὰ δάκρυα σιγῇ τῶν ὀφθαλμῶν καταγαγοῦσα, „ῥᾷον ἂν" εἶπεν „ἀνέπεισέ τις ὄρος δύνασθαι μεταβῆναι, ἢ τὴν μεγάλου δομεστίκου γνώμην κινηθῆναι πρὸς βραχύ. ἐπεὶ δὲ περὶ ἐκείνου τοιαῦτ' ἀκούειν ἔστι νῦν, ἅπερ οὐδ' ἄν ποτε ἐνεθυμήθην, προσηκούσης μὲν ἀπολογίας ἀπορῶ. ὅμως ἐκ τῶν μάλιστά μου καθικομένων τῆς ψυχῆς, ποιήσομαι τῆς ἀπολογίας ἀρχήν. λέγω τοίνυν πρὸς αὐτὸν, ὡς ἄρτι νῦν ὥσπερ ἐξεστηκυῖαν τῶν φρενῶν ἢ κάρῳ βαθεῖ καὶ ὕπνῳ κατισχημένην εἰς αἴσθησιν ἤγαγες τῶν περισχόντων με δεινῶν. πρότερον γὰρ, εἰ καὶ μάλιστα σαφῶς τὴν βασιλέως ἠπιστάμην τελευτὴν, ἀλλ' οὖν, εἰσιόντος τε σοῦ πρὸς ἐμὲ, κἀκεῖνον ἐδόκουν, ὥσπερ ἔθος ἦν, συνεισιέναι καὶ ἀπιόντα συνέπεσθαι, καὶ μονονοὺ καὶ φθέγξασθαι ἐλογιζόμην ἐκεῖνον, ὅτε διελέγου πρὸς ἐμὲ, καὶ ὅλως μετρίαν τινὰ ἐλογιζόμην τὴν περισχοῦσάν με τῶν κακῶν ἐπιφοράν. νυνὶ δὲ, ὥσπερ τινὸς παραπετάσματος ἀρθέντος, πάντα φαίνεται τὰ ἔνδον· οὕτω σὺ τῶν ἐλπίδων ἡμᾶς, ὑφ' ὧν ἐφενακιζόμεθα, ἀποστερήσας, γυμνὰ παρεσκεύασας τὰ πράγματα καθορᾷν, καὶ τοὺς μὲν ἐμοὺς οἴεσθαι παῖδας ὀρφανοὺς πατρὸς, ἑαυτὴν δὲ χηρείᾳ καὶ τοῖς ἐκ ταύτης κακοῖς συνισχημένην. ἀλλὰ τί ἄν τις φαίη ἢ καὶ λογίσαιτο περὶ σοῦ; πότερον ὡς ἐπιλέλησαι τῆς ἀκροτάτης συναφείας καὶ τῆς θαυμαστῆς ἐκείνης φιλίας βασιλέως τῆς πρὸς σὲ, ᾗ διὰ τὸ μέγεθος οὐδὲ πιστεύειν εἶχον οἱ πολλοί; ἀλλ' οὐκ οἶομαι δυνήσεσθαι, εἴ γε καὶ μάλιστα ἐβούλου. [20]

2 33 οἶμαι γὰρ εἴ τις τὴν ἐν ἀνθρώποις ἅπασαν φιλίαν συλλαβὼν, ἔπειτα πρὸς παράδειγμά τι θελήσειε σκοπεῖν, ἐξ οὗ τοῖς ἄλλοις τε κἀκείνῳ τὴν αὐτῆς ἰσχὺν ἐξέσται κατιδεῖν, ὑμᾶς ἂν μόνους παραδραμὼν, ὡς καὶ τοὺς ὅρους ταύτης ὑπερβάντας, ἐκ τῶν ἐπιλοίπων ἐξευρίσκειν, ὅ,τι ἂν εἴη, πειρᾶσθαι πρῶτον· τοσοῦτον οὐ τοὺς φίλους μόνον, ἀλλὰ καὶ ἰδέαν αὐτὴν τῆς φιλίας ἔθεσθε κατόπιν. καὶ τοῦτο οὐκ ἐκ τῶν πραττομένων μόνον ἦν ὁρᾷν, καὶ βασιλέως δὲ ἦν ἀκούειν πολλὰ πολλάκις φθεγγομένου, ὡς καὶ φιλτάτων καὶ γυναικὸς καὶ συμπάντων, ὡς εἰπεῖν, χρημάτων τὴν εἰς σὲ φιλίαν προηγοῖτο. πότερον οὖν ὡς μὲν ἐπιλέλησαι τῆς βασιλέως φιλίας, οὐδὲ τῷ λίαν συκοφαντικῷ τοὺς τρόπους εἰπεῖν ἐξέσται· ὅτι δὲ μεμνημένος ἀγνωμονεῖς

καὶ τοῖς βασιλέως παισὶν ἐναντίας ᾗ προσῆκεν ἀποδίδως ἀμοιβὰς μετὰ τὴν ἐκείνου τελευτήν; ἀλλ᾽ οὔτε τοῦτο σὸν, ὥσπερ οὐδὲ τὸ πρῶτον. οὐ μὴν ἀλλ᾽ οὐδὲ τῶν πρὸς ἐμέ σου λόγων, οὓς ἑκάστοτε, καὶ βασιλέως ζῶντος, διεξίεις, ἄξια τὰ δεδογμένα νῦν. οὐ γὰρ δήπου γε ἐπιλέλησαι, ὡς πολλοὺς ἀγῶνας καὶ κινδύνους καὶ θάνατον, εἰ οἷόν τε εἰπεῖν, ὑπὲρ τῆς ἐμῆς ὠφελείας καὶ τῶν παίδων ἑτοιμότατος εἶναι, καιροῦ καλοῦντος, ὑπομένειν ἰσχυρίζου. [20]

2 34 οὗ νῦν παρόντος, εἴ σοι ἐξελέγχεσθαι ἐπὶ τῶν ἔργων εὐπρεπὲς, αὐτὸς ἐρεῖς. ἔτι δὲ οὐδ᾽ ἐμαυτῇ τι σύνοιδα σοὶ προσκεκρουκυῖα, ἀλλ᾽ ἐξ ὅτου παρεγενόμην ἐν τοῖς βασιλείοις οἴκοις, οὐδὲν ἀποδέουσαν οὔτ᾽ εὔνοιαν, οὔτε τιμὴν ἢ τἀδελφῷ κόντῳ παρειχόμην, μᾶλλον δὲ καὶ πλείω παραπολὺ, ὅσον ἐκείνου μὲν οὔτε τεθνεῶτος ἐμοί τις βλάβη, οὔτ᾽ ὠφέλεια ζῶντος ἔψεται, τοσοῦτο διῳκισμένου· σὺ δὲ καὶ ζῶν τὰ μέγιστα ἂν ὀνήσαις, καὶ ἀποθανὼν οὐδὲν ἧττον ἐμοί τε καὶ τοῖς Ῥωμαίων πράγμασι λυμανῇ. ἐγὼ δὲ καίτοι πολλὰ συνείρειν ἔχουσα καὶ ἀποδεικνύναι δι᾽ αὐτῶν, ὡς οὔτε συμφέροντα, οὔτε δίκαια ἐβουλεύσω, ἐκεῖνο μόνον ἐρῶ, τὰ ἄλλα καταλιποῦσα. εἰ γὰρ παριόντα τινὰ ὁδὸν τῶν ἐπιφανῶν τινι συνέβη γυναικὶ συντυχεῖν, χηρείᾳ μὲν συνούσῃ καὶ τοῖς ἐκ ταύτης κακοῖς, καὶ παισὶν ὀρφανοῖς καὶ μηδένα τὸν προστησόμενον ἔχουσι προστετηκυίᾳ καὶ διὰ ταῦτα πολλοὺς ὑφορωμένῃ τοὺς κινδύνους καὶ δεομένῃ τῆς δυστυχίας οἰκτεῖραι καὶ αὐτῆς προστῆναι καὶ τῶν παίδων, οὐδὲν ἕτερον εἰς δικαίου λόγον προβαλλομένῃ ἢ τὴν εὐγένειαν καὶ τὴν παρ᾽ ἀξίαν κακοπραγίαν, οὐκ ἔδει καὶ σὲ καὶ πάντα ὁντινοῦν οἷος σὺ, τῶν ἄλλων ἀμελήσαντα, πρόνοιαν ποιήσασθαι τῆς γυναικὸς ὅση δυνατὴ, καὶ ἀξιόχρεως τοὺς ὑπὲρ ἐκείνης νομίσαι πόνους εἰς εὐκλείας λόγον καὶ δικαιοσύνης; εἰ τοίνυν τοῦτο μόνον ἤρκεσεν ἂν εἰς πειθὼ, τίνα ἂν εὐπρόσωπον ἀπολογίαν ἀποδοίης, εἰ αὐτοῦ τε τούτου καὶ πολλῶν ἑτέρων ἰσχυροτέρων παρόντων, ἀπαραίτητος ὀφθῇς. [20]

2 35 διό σου δέομαι, ταύτης ἀποστῆναι τῆς βουλῆς καὶ μὴ προφάσεως ἕνεκα μικρᾶς ἐμέ τε καὶ νηπίους παῖδας τοὺς ἐμοὺς, ὥσπερ ἐν μέσῳ πελάγει ναῦν ἐρήμην κυβερνήτου, καταλιπεῖν. ἀλλ᾽ εἴτ᾽ αὐτὸς πρῶτος ἐνεθυμήθης, ἄκαιρον ἡγήσασθαι καὶ μυρίων γέμουσαν τὴν βουλὴν κακῶν, εἴθ᾽ ἑτέρῳ συμβουλεύοντι ἐπείσθης, μὴ τῶν φίλων ἐκεῖνον, ἀλλ᾽ ἔχθιστον ἡγεῖσθαι καὶ σοὶ μὲν πρὸς τὴν εὔκλειαν καὶ τὴν τιμὴν, ἡμῖν δὲ πρὸς αὐτὴν ἐπιβουλεύοντα τὴν σωτηρίαν, προσθήσω δ᾽ ὅτι καὶ πᾶσι τοῖς Ῥωμαίων πράγμασι κοινῇ. ἐγὼ δὲ εἰ καὶ μὴ ἀφ᾽ ἑαυτῆς αὐτὴ τὸ δέον συνεώρων, ὡς οὐδεμία τις ἑτέρα κοινῇ τοῖς πᾶσι βεβαιοτέρα σωτηρία, ἢ σὲ τοῖς πράγμασιν, ὥσπερ καὶ ζῶντος βασιλέως, ἐφεστάναι, ἐξ αὐτῶν γοῦν τῶν βασιλέως λόγων, οὓς περὶ σοῦ πολλάκις ἐποιεῖτο πρὸς ἐμὲ, μάλιστα δὲ πρὸ τῆς τελευτῆς μικρὸν, ἐχρῆν συνεῖναι τὸ συνοῖσον. ἀνακείμενος γὰρ ἐπὶ γόνασι τοῖς ἐμοῖς, σοῦ παρόντος, „ὁ μὲν καιρὸς“ ἔφη „τῆς ἐμῆς ἥκει τελευτῆς. σὲ δὲ χρὴ σκοπεῖν, ὅπως ἐμοῦ μὴ ἀπελθόντος λογισμοῖς τισιν ἢ καὶ λόγοις ἐνίων ἀπατηθεῖσα, ἑτέρῳ τινὶ πρόσχῃς τὸν ἄνδρα τουτονὶ διωσαμένη. εἰ γὰρ τοῦτο συμβαίη, οὐδὲν ἔτι τὸ λεῖπον σέ τε καὶ τέκνα καὶ τὴν ἄλλην ἅπασαν τῶν Ῥωμαίων ἡγεμονίαν ἀπολέσθαι· αὐτῷ δὲ προσέχουσα, ἄριστα σαυτῇ τε καὶ τοῖς πράγμασι βουλεύσῃ. [20]

2 36 “ εἰ δὴ τοιαῦτα πρός τε βασιλέως ἐδιδάχθην καὶ παρ᾽ ἐμαυτῆς αὐτὴ τὰ ὅμοια γινώσκω, τίν᾽ ἔχοι λόγον, οἷς αὐτὸς κακῶς καὶ ὡς οὐ δέον ἐβουλεύσω, πείθεσθαι καὶ αὐτὴν ἑκοῦσαν εἶναι. ἂν μὲν οὖν οἷς εἶπον τὴν ἀτοπίαν καὶ αὐτὸς τοῦ πράγματος ὅση κατιδὼν, ἀπόσχῃ τοῦ τε τοιαῦτα καὶ βουλεύεσθαι καὶ λέγειν, καὶ τῶν πραγμάτων, ὥσπερ εἴωθας, ἐχόμενος, αὐτὸς μὲν τὰ κοινῇ συνοίσοντα Ῥωμαίοις, καὶ τῆς ἄνωθεν χειρὸς συνεφαπτομένης, πράττῃς, ἐμοὶ δὲ παρέχῃς ἡσυχίαν, τὰς ἐμᾶς θρηνεῖν καὶ κόπτεσθαι συμφορὰς, (τοῦτο γὰρ ἐμοὶ παραμυθία μόνον καὶ τῶν κακῶν ἀνακωχὴ,) δίκαιά τε ὁμοῦ καὶ συμφέροντα καὶ σαυτῷ προσήκοντα ποιήσεις. ἂν δὲ πάντα διωσάμενος καὶ ἀπορρίψας, ἑνὸς μόνου γένῃ τοῦ τοῖς δεδογμένοις ἐγκαρτερεῖν, πᾶσι χαίρειν εἰπὼν, ὃ καὶ αὐτὴ ποιήσω, σοὶ θήσω φανερόν. πᾶσαν γὰρ αἰδῶ καὶ γυναικείαν ἀσθένειαν ἀποθεμένη καὶ τῶν τοῦ σωφρονεῖν ὥσπερ λογισμῶν ὑπὸ μεγέθους ἐκτραπεῖσα τῶν

κακῶν, κατὰ μέσην τὴν πόλιν γενομένη καὶ ἀναθεῖσα ἑαυτὴν ἐπί τινος μετεώρου, ἵν' ἐξῇ διὰ πάντων ἐξικνεῖσθαι τὴν φωνὴν, ὄρθιον βοήσομαι καὶ μεγαλοφωνότατον· ἄνδρες Ῥωμαῖοι, μᾶλλον δὲ καὶ Ἕλληνες καὶ βάρβαροι πάντες, εὖ ἴστε, ὡς πάντα ἀπόλωλε καὶ διέφθαρται, καὶ οὔτε φιλίας χάρις οὐδεμία κεῖται παρ' ἀνθρώποις, οὔτ' ἀληθείας μέλει καὶ δικαιοσύνης οὐδενί· λογισμῶν τε στερρότης οἴχεται ἐκ τῶν ἀνθρώπων καὶ συλλήβδην πάντα ἀγαθὰ, εἰ δὴ ὁ μέγας δομέστικος ὥσπερ ἔκ τινος ἀντιπνοίας ἐναντιώτατος ἑαυτῷ φανεὶς καὶ τῆς μὲν φιλίας ἐπιλελησμένος βασιλέως, ἀμελήσας δὲ καὶ τῆς αὐτῷ προσηκούσης ἀληθείας καὶ δικαιοσύνης καὶ φιλοτιμίας τῶν καλῶν, αὐτὸς μὲν ἐσκέψατο ἀπραγμοσύνῃ τὸν ἐπίλοιπον βίον ζῆν, ἐμὲ δὲ καὶ παῖδας τοὺς ἐμοὺς πολλῆς νυνὶ τῆς κηδεμονίας δεομένους ὥσπερ τι βάρος ἀνόνητον ἀπερρίψατο καὶ κατέλιπεν, ὥσπερ ἀγνοήσας, εἰ δήποτε καὶ μορφὴν ἡμῶν ἔγνω ἢ ἀκοῇ παρειλήφει τὰ καθ' ἡμᾶς. [10]

2 37 οὕτω δὲ τὸ ἄφιλον τῆς σῆς γνώμης καὶ ἄστατον καὶ ἀβέβαιον στηλιτεύσασα, εἴ γε συμβαίη, καὶ τεθνήξομαι ἡδέως, παρὰ σοῦ δίκας ἀρκούσας ἐμοὶ λαβοῦσα. ἐπὶ τούτοις δὲ πᾶσιν αὖθις σοῦ δέομαι, μηδὲν παρενοχλεῖν, ἀλλὰ τῶν τε λόγων ἀποσχέσθαι τουτωνὶ καὶ τὰ δέοντα ποιεῖν, ὥσπερ ἐξαρχῆς ἐχόμενον τῶν πραγμάτων. ε'. Τοιαῦτα μὲν ἀπεκρίνατο ἡ βασιλὶς ἐξ ἄγαν ἀλγούσης καὶ ὀδυνωμένης ψυχῆς. ὁ μέγας δὲ δομέστικος ὥσπερ ἐλεγχόμενος αὐτὸς ὑφ' ἑαυτοῦ, ὡς δίκαιά τε ὁμοῦ καὶ προσήκοντα ἐφθέγξατο, καὶ μηδὲν ἀντιλέγειν ἔχων πρὸς οὕτως ἀπόδειξιν ἐναργῆ τῆς ἀληθείας, πρὸς πατριάρχην μὲν ἐφθέγξατο οὐδὲν, παραλαβὼν δὲ αὐτὸν, εἴσεισιν εἰς βασιλίδα. ἡ μὲν οὖν εὐθὺς ὡς εἶδε, λύπῃ κάτοχος γεγενημένη, δάκρυσι περιερρεῖτο καὶ ἐθρήνησεν ἐφ' ἱκανὸν, τῆς ἔνδον ἀλγηδόνος ἐναργῆ τεκμήρια τὰ δάκρυα παρεχομένη. [20]

2 38 ἐπεὶ δὲ ἐπαύσατο, λόγου πρὸς αὐτὴν ὁ μέγας δομέστικος ἤρχετο τοιοῦδε. „ἔθος ἐστὶ τοῖς ἀγαθοῖς ἀνδράσιν, ἐπειδὰν αὐτοῖς τινες χρήσωνται διαλλακταῖς ἢ πρὸς φίλους καὶ οἰκείους, ἐάν τι πρὸς αὐτοὺς διενεχθῶσιν, ἢ καὶ πρὸς ἄγαν πολεμίους, τὰ μὲν σκληρὰ τῶν ἀποκρίσεων καὶ ὅσα μάλιστα δυνατὰ, τήν τε εἰρήνην διαλύειν καὶ διερεθίζειν τὸν ἀκούοντα πρὸς ὀργὴν, ταῦτα μὲν συγκαλύπτειν καὶ παριέναι σιγῇ· ὅσα δὲ προσηνῆ καὶ ἥμερα καὶ ἱκανὰ πρὸς διαλύσεις, τὰ τοιαῦτα ἀπαγγέλλειν, οὐκ ἐλάττω ἢ ὅσα ἤκουσε προστιθέντα καὶ παρ' ἑαυτοῦ. ὥσπερ αὖ πάλιν οἱ τοὺς τρόπους μοχθηροὶ καὶ συγκρούειν τοὺς ἀνθρώπους πρὸς ἀλλήλους ᾐρημένοι, τὰ πρὸς ὀργὴν μὲν ἀπαγγέλλουσι μετὰ προσθήκης, ὅσα δὲ πρὸς διαλλαγὰς ἐπιτήδεια καὶ συμβάσεις, σιωπῶσι. νυνὶ δὲ δὴ καὶ αὐτὸς τῷ πατριάρχῃ μηνυτῇ χρησάμενος τῶν λόγων τῶν ἐμῶν καὶ πάλιν δι' αὐτοῦ τὴν γεγενημένην ἀπολογίαν παρὰ σοῦ μεμαθηκὼς, ἔδεισα μὴ τὴν ἐμὴν ψυχὴν, οἰδαίνουσαν καὶ φλεγομένην ὑπὸ λύπης, ἀναψύχειν βουλόμενος καὶ καταστέλλειν, τοιαῦτα ἐφθέγξατο ἥμερα καὶ προσηνῆ. πρὸς σὲ δὲ οὔτε τοὺς ἐμοὺς ἀκεραίους διεσώσατο λόγους, μήτ' αὖ πάλιν οἵας ἔτυχεν ἀπολογίας ἀπήγγειλε καὶ πρὸς ἐμέ. ἀλλ' ἀνθ' ἑτέρων ἕτερα εἰπὼν, νῦν μὲν διαλλάξει πρὸς καιρὸν, ὕστερον δὲ ὀλίγῳ μείζω καὶ βαρυτέραν κατασκευάσει γενέσθαι τὴν διαφοράν. [20]

2 39 οὗ δὴ ἕνεκα καὶ αὐτὸς, εἰ τοιαῦτα ὄντως εἴρηται παρὰ σοῦ, δεῖν ἔγνων ἀκριβῶς μαθεῖν, ὡς ἂν εἰδείην, ᾗ χρὴ καὶ περὶ τῶν ἐπιλοίπων ποιήσασθαι τοὺς λόγους." καὶ πάντα διεξελθὼν, ὅσα πατριάρχης πρὸς αὐτὸν διαλεχθείη, ἐπυνθάνετο αὐτῆς, εἰ καὶ αὐτῇ τοῦτον εἴρηται τὸν τρόπον. ἐφ' ἅπασι δὲ συντιθεμένης ὡς ὀρθῶς καὶ ἀληθῶς γεγενημένοις, „οὐκοῦν," εἶπεν „εἰ καὶ πρὸς τὰ ἐπίλοιπα τραχέως δόξω προσφέρεσθαι καὶ ἀπερισκέπτως, μηδεμίαν ἐμοῦ καταγινώσκειν μήτ' ἀπειροκαλίαν, μήτ' αὐθάδειαν καὶ θρασύτητα τῶν τρόπων ἀξιῶ, ἀλλ' εἴ τις προσείη καὶ τοῖς λόγοις ἀταξία, ἐκείνην μὲν προσλογίζεσθαι τῶν πραγμάτων τῇ ἀνάγκῃ, ἐμοὶ δὲ παρέχεσθαι συγγνώμην ὡς ὑπ' αὐτῶν βιαζομένῳ. ἐγὼ νομίζω πάντα ὀντινοῦν, ὅστις μέλλει καλῶς καὶ ἦθος κατασκέπτεσθαι ἀνδρὸς καὶ τὰς τῆς ψυχῆς ὁρμὰς ὁποίας ἔχει, μήτε τοῖς ἔξωθεν περὶ αὐτοῦ προσέχειν λεγομένοις, μήτ' αὐτὸν ἐφ' ἑαυτοῦ σκοπεῖν ἐν οἷς καιροῖς οὐκ ἐπ' ἐκείνῳ

ἦν τὸ τὰ βεβουλευμένα δύνασθαι εἰς ἔργα ἀγαγεῖν, ἀλλ᾽ ἡνίκα ἔξεστι μάλιστα χρῆσθαι τῇ δυνάμει. εἰ γὰρ τότε μηδέν τι φαίνεται τοιοῦτον δρῶν, οἷον αὐτὸν ἄν τις οἰηθείη, σχολῇ γ᾽ ἂν εἰσέπειτα μεταβαλεῖν ὁ τοιοῦτος ἔλοιτ᾽ ἄν. τοίνυν καὶ αὐτὸς ἐρῶ μετὰ παῤῥησίας περὶ ἐμαυτοῦ, ὡς οὔτε πρότερον ἐπεθύμησα εἰς βασιλέως σχῆμα μεταμεῖψαι τὸ παρὸν, καίτοι πολλὰ πολλάκις ὑπὸ περιόντος ἔτι τοῦ μακαρίτου βασιλέως ἐκείνου παρακληθεὶς, οὔτε νῦν ἐρῶ. [20]

2 40 εἰ γὰρ τοιούτοις ἔρωσιν ἀτόποις συνέβαινεν ἁλῶναι, τί τὸ κωλῦον ἦν, ὅτε, βασιλέως τετελευτηκότος, αὐτὸς παραλαβὼν τοὺς παῖδας τοὺς ἐκείνου, τὰ βασίλεια κατέσχον ἐν φρουρᾷ, τῶν τε ἔνδον ἀσφαλῶς κατεχομένων, καὶ τῶν ἔξω πάντων, τῶν μὲν εὐνοϊκῶς ἐμοὶ διακειμένων, τῶν δὲ ὑποπτησσόντων τὴν δύναμιν τὴν ἐμὴν καὶ οὐδὲ τολμώντων ἀντιγρύζειν, τὴν οἰκουροῦσαν ἄγειν εἰς φῶς κακίαν ἢ τὴν ἐπιθυμίαν μᾶλλον κατὰ πολλὴν τοῦ κωλύσοντος τὴν ἐρημίαν ἐκπληροῦν; νυνὶ δὲ οὐ μόνον οὐδὲν τοιοῦτον δεδρακὼς ἢ βεβουλευμένος φαίνομαι, ἀλλὰ καὶ τοὐναντίον πᾶν. ἐν ἀσφαλείᾳ γὰρ πάσῃ καὶ τοὺς βασιλέως παῖδας καὶ σὲ ἄχρις ἐνάτης ἡμέρας ἐκ τῆς βασιλέως τελευτῆς διατηρήσας, μετ᾽ ἐκείνην τήν τε φρουρὰν ἀπήγαγον τῶν βασιλείων, ἣν αὐτὸς ἐγκαθιδρύσας ἦν, καὶ ἄλλην καταστήσας, ὅσην πρὸς τὸ τῶν ἐπιβουλευσόντων ἴσως ἐπέχειν τὰς ὁρμὰς ἔκρινα αὐτὸς ἀρκεῖν, οἴκαδε ἀνεχώρουν, τῶν πραγμάτων ἐχόμενος ὥσπερ καὶ ζῶντος βασιλέως, πᾶσι παραινῶν, συμβουλεύων, δεδιττόμενος ταῖς ἀπειλαῖς, μηδὲν νεωτερίζειν, ἀλλὰ καθαρὰν καὶ ἄδολον τηρεῖν καὶ τὴν εὔνοιαν καὶ τὴν δουλείαν σοί τε ὁμοίως καὶ παισὶ τοῖς σοῖς, καὶ δῆλος ὢν ὡς δίκας ἐπιθήσων τοῖς νεωτεριοῦσι καὶ τὸν πόλεμον αὐτὸς ἀναδεξόμενος ὑπὲρ ὑμῶν. τί οὖν ἄν τις εἴποι, τότε μὲν μὴ βουληθῆναι δεδυνημένον, νυνὶ δὲ βουλόμενον, μὴ τῆς ἴσης δυνάμεως εὐπορεῖν; ἀλλ᾽ οὐδὲν ἧττον ὥσπερ καὶ τότε αὐτός τε ἂν δύνασθαι ἰσχυρισαίμην καὶ ὑμεῖς συνομολογήσαιτε ἐμοί· ὥστε οὔτε πρότερον, οὔτε νῦν ἐκ τοῦ μὴ δύνασθαι ἀπεσχόμην τῶν κακῶν, ἀλλ᾽ ἐκ τοῦ μάλιστα μὴ βούλεσθαι καὶ τῶν φαυλοτάτων τὴν τοιαύτην οἴεσθαι μεταβολήν. [5]

2 41 εἰ οὖν οὔτε πρότερον, οὔτε νῦν, καίτοι ῥᾷστα καταπράξασθαι δυνάμενος, οὐδὲν τοιοῦτον, οἷον ἄν τις ὑποπτεύσειε, βεβουλευμένος ὤφθην, προσῆκον καὶ περὶ τοῦ μέλλοντος ἐμοὶ θαῤῥεῖν καὶ μὴ τοῖς συκοφάνταις προσέχειν καὶ λογοποιοῖς πολλοῖς κατ᾽ ἐμοῦ φυησομένοις. οὐδὲ γὰρ περὶ μικρῶν τινων καὶ εὐκαταφρονήτων διαβαλοῦσιν, ἀλλὰ περὶ τοῦ ζῆν ὑμῖν ἐξαρτήσουσι τὸν φόβον, ἢ τά γε δεύτερα, περὶ τοῦ μὴ καλῶς καὶ ὡς προσῆκον, ἀλλ᾽ αἰσχρῶς καὶ ἀνελευθέρως καὶ δουλεύοντας ἑτέρῳ ζῆν, ὃ καὶ αὐτὸ τοῖς εἰθισμένοις ἄρχειν οὐδενὸς θανάτου δεύτερον εἰς ἀληδόνος λόγον. ὅτι δὲ τοιοῦτοι φυήσονται πολλοὶ, οὐ στοχάζεσθαι ἔξεστιν ἡμῖν, ἀλλὰ καὶ σαφέστατα εἰδέναι. βασιλεὺς μὲν γὰρ κύριος αὐτὸς τῶν πραγμάτων ὢν καὶ μηδεμίαν μηδ᾽ ὑφ᾽ ἑνὸς τῶν πραττομένων ὑφορώμενος ἐξέτασιν, τὰ μὲν αὐτὸς ἑκὼν εἶναι, εἴπερ ἐβούλετο, χαρίζεσθαί τισιν ἠδύνατο, τὰ δ᾽ ἴσως ἂν καὶ ἠμελεῖτο. νυνὶ δὲ οὐδὲν τοιοῦτον ἐξέσται οὐδενὶ, ἀλλὰ πάντα σὺν λόγῳ καὶ μετὰ ἀκριβείας πράττειν ἀνάγκην πᾶσιν ἐπιθήσω, οὐ τῆς ὑμετέρας ἕνεκα κηδεμονίας μόνον, ἵνα μὴ ἐλάττω τὴν ἀρχὴν, ἣν παρέλαβον, ἀλλὰ καὶ μείζω καὶ βελτίω, καιροῦ καλοῦντος, ἀποδῶ, ἀλλὰ καὶ φιλοτιμίας καὶ δόξης ἕνεκα ἐμῆς, τὸ δέ γε τούτων πάντων καὶ μεῖζον καὶ φοβερώτερον ἐμοὶ, τῆς ἐκεῖθεν τῶν πραττομένων ἐξετάσεως καὶ τῶν εὐθυνῶν, ἃς αὐτὸς ὑφέξειν ἐπὶ τοῦ φοβεροῦ δικαστηρίου ὑπὲρ τῶν εὖ ἢ κακῶς διῳκημένων μέλλω. [5]

2 42 τὰ δὲ τοιαῦτα τοῖς εἰθισμένοις ἀμελεῖν καὶ λυμαίνεσθαι τοῖς δημοσίοις καὶ τὰ ἴδια ἐκ τῆς φθορᾶς ἐκείνων αὔξειν, παντί τῳ δῆλον, ὡς οὐκ ἔσται ἀνεκτὰ, ὥστε αὐτοὺς εἰκὸς τὸν τὴν τοιαύτην ἀνάγκην αὐτοῖς ἐπαγαγόντα ἐκ μέσου ποιεῖν τίθεσθαι διὰ σπουδῆς. τοῦτο δὲ ἄλλως αὐτοῖς οὐκ ἂν ἐξέσται, εἰ μὴ πρότερον πολλὰ ψεύδη καὶ συκοφαντίας πλάσαντες, ἐκπολεμώσουσιν ἡμᾶς ἀλλήλοις. εἰς ὅσον δὲ ἀτοπίας ἐξελάσει τὰ πράγματα ἡμῖν, ἂν συμβῇ τοιαῦτα, καὶ αὐτὴ μὲν ἂν συνορῴης οὖσα συνετὴ, σαφέστερον δὲ διδάξω καὶ αὐτός. ἢ γὰρ ἐμὲ παρὰ πάντα δικαίου λόγον ἀνάγκη ἀποθνήσκειν, ἔργον γεγενημένον συκοφαντίας καὶ

διαβολῆς, ἄνθρωπον οὐ μόνον εὔνουν βασιλεῖ καὶ τοῖς ἐκείνῳ προσήκουσιν ὑμῖν ἐπὶ τοσοῦτον χρόνον ἐξητασμένον ἀκριβῶς, ἀλλὰ καὶ τὰ Ῥωμαίων πράγματα ἀδόλως καὶ καθαρῶς διῳκηκότα, ὃν εἰ κατὰ δή τινα τύχην παρὰ βαρβάροις δή τισι συνέβαινε διατρίβειν πόῤῥω τῆς Ῥωμαίων γῆς, πολλῆς ἂν ἦτε μέμψεως ἄξιοι δικαίως καὶ κατηγορίας, εἰ μὴ πᾶσαν ἔθεσθε σπουδὴν ἐπανάγειν καὶ ἀνακαλεῖσθαι, χρησόμενοι ᾗ αὐτῷ προσῆκεν. [20]

2 43 ἢ εἰ μὴ αὐτὸς ἑκὼν αἱρήσομαι τὸν θάνατον, ἀλλ' ἐθελήσω προνοίας ἐμαυτὸν ἀξιοῦν καὶ μὴ καταπροΐεσθαι τοῖς βουλομένοις τὴν σωτηρίαν, ἀνάγκη σοῦ ἀφίστασθαι καὶ σώζειν ἐμαυτόν. τούτου δὲ γενομένου, ὅτι πλείους ἐμοὶ τῶν Ῥωμαίων ἔψονται καὶ πόλεμος ἐμφύλιος ἔσται χαλεπὸς καὶ πόλεων ἀναστάσεις καὶ μυρίων φθοραὶ πραγμάτων καὶ συμπάσης, ὡς εἰπεῖν, κατάλυσις τῆς Ῥωμαίων ἡγεμονίας, πάντα ὁντινοῦν οἶομαι μὴ ἀγνοεῖν, τὸν καὶ ὁπωσοῦν φρενῶν μετειληχότα. ὧν τὰς δίκας παρ' ἀμφοτέρων λήψεται ἡμῶν ἐπὶ τῆς δίκης ἐκείνης τῆς φοβερᾶς ὁ πάντας μέλλων κρίνειν ζῶντας καὶ νεκροὺς, ὡς τούτων αἰτίους πάντων γενησομένους, μᾶλλον δὲ παρὰ μόνης σοῦ, τῆς μήτε παρ' ἑαυτῆς τὸ δέον συνιείσης, μήτε παρ' ἐμοῦ μαθεῖν διδάσκοντος βουλησομένης. ἐγὼ γὰρ αὐτὸς διϊσχυρίζομαι καὶ τῆς ἄνωθεν χειρὸς συνεφαπτομένης, ὡς οὐδὲν παραβήσομαι τῶν δεόντων, οὐδ' ἔστιν ὅ με πείσει πρόφασιν αὐτὸν τῷ πολέμῳ παρασχέσθαι. εἰ μὲν οὖν οὕτω πέπεικας σαυτὴν, ὥστε μηδὲν μηδέποτε φαῦλον λογίζεσθαι περὶ ἐμοῦ, ἀλλὰ καὶ πάντα ἡγεῖσθαι πράττειν καὶ διανοεῖσθαι ὑπὲρ σοῦ τε καὶ βασιλέως τοῦ σοῦ παιδὸς, τοὺς δὲ διαβάλλοντας ἡγεῖσθαι συκοφάντας καὶ κοινοὺς ἐχθροὺς καὶ μηδέποτε αὐτοῖς ὡς ἀληθεύουσι μὴ μόνον μὴ πιστεύειν, ἀλλ' οὐδὲ τὴν ἀρχὴν αὐτοῖς ὑπέχειν οὗς πρὸς τὰς συκοφαντίας, δίκαιά τε ὁμοῦ καὶ σαυτῇ τε καὶ ἐμοὶ συμφέροντα ἐβουλεύσω καὶ πᾶσι τοῖς Ῥωμαίων πράγμασι κοινῇ, καὶ αὐτὸς τῆς διοικήσεως ἔχεσθαι πείθομαι τῶν κοινῶν. [20]

2 44 εἰ δὲ πρὸς ταῦτα τὴν ψυχὴν ὁρᾷς ἀδυνατοῦσαν καὶ ἀμφιβόλους δόξας ἔχουσαν περὶ ἐμοῦ, τί δεῖ σφίσι τε αὐτοῖς κἀμοὶ πράγματα παρέχειν, ἀλλὰ μὴ πειθομένους ἐμοὶ τὰ βελτίω συμβουλεύοντι, ἐμὲ μὲν ἐᾷν οἴκοι καθῆσθαι τὴν ἀπραγμοσύνην ᾑρημένον, αὐτὴν δ' ἅμα πατριάρχῃ καὶ τοῖς ἄλλοις, πολλοῖς τε καὶ ἀγαθοῖς οὖσι, τὰ κοινῇ συμφέροντα Ῥωμαίοις πράττειν; οὐδὲ γὰρ ἀνόητος, οὐδ' οὕτως ἔξω φρενῶν ἐγὼ, ὥστ' εἰς προὔπτον κίνδυνον ἐμβάλλειν ἐμαυτὸν, καὶ ταῦτα μέλλων, μὴ χρημάτων μόνον τῶν ἰδίων ὑπὲρ τῶν κοινῇ Ῥωμαίοις συμφερόντων, ἀλλ' οὐδ' αὐτῆς, εἰ δεήσει, φείδεσθαι ψυχῆς, (πάντως δὲ δεήσει καὶ πολλάκις,) μηδεμίαν δὲ ἑτέραν τῶν πόνων καὶ τῶν κινδύνων καὶ τῶν τοσούτων ἀναλωμάτων τὴν ἀντιμισθίαν ἀπαιτεῖν, ἢ πρῶτον μὲν τὸ ἀπαθῆ κακῶν διατηρεῖσθαι, δεύτερον δὲ τὴν ἐπὶ τοῖς ἀγαθοῖς ἔργοις εὔκλειαν καὶ εὐδοξίαν, ἧς τὸ μὴ ἡττῆσθαι οὐ τῶν πάνυ λαμπρῶν καὶ περιδόξων, ἀλλὰ τῶν φαύλως καὶ ἀτίμως καὶ οὐδὲν ἄμεινον τῶν πολλῶν βιοῦν προῃρημένων. ἐμοὶ μὲν οὖν σκεψαμένῳ, τοιαῦτα ἔδοξε πρὸς ἐμαυτὸν ἰδίᾳ τε ἡμῶν ἑκάστῳ καὶ πᾶσιν ὁμοῦ συμφέρειν. σὲ δὲ προσήκει καὶ κοινῇ μετὰ τῶν ἄλλων καὶ ἰδίᾳ σκεψαμένην περὶ τῶν αὐτῶν, ἅττα ἂν εἴη λυσιτελέστερα, ἑλέσθαι. [20]

2 45 δοίη δὲ θεὸς ἑλέσθαι τὰ βελτίω. ς'. Τοιαῦτα πρὸς βασιλίδα μετὰ παῤῥησίας τοῦ μεγάλου δομεστίκου καὶ χωρίς τινος περικαλύμματος διειλεγμένου, ἐπῄνεσέ τε τοὺς λόγους καὶ αὐτὴ, ὡς οὐ σκληρῶς οὐδὲ τραχέως, ὥσπερ προοιμιαζόμενος εἶπεν, εἰρημένους, ἀλλ' ἀληθείας τε ἐχομένους καὶ δικαιοσύνης καὶ παῤῥησίας πρεπούσης φίλῳ ἀληθεῖ. περὶ μὲν οὖν τοῦ πρότερόν τε καὶ νῦν ὁμοίως μάλιστα εἶναι δυνατὸν αὐτῷ, εἰ ἐβούλετο, τὴν Ῥωμαίων βασιλείαν ἑαυτῷ περιποιεῖν, σαφέστατα πάντων αὐτὴ εἰδέναι ὡμολόγει. πρὸς ἃ δὲ ἠξίου ἰσχυρίζετο, ὡς οὐ μόνον ταῦτα, ἅπερ ᾔτησεν αὐτὸς, ἀλλὰ καὶ πολλαπλασίω ἀνασχέσθαι δυνατή· καὶ ὡς οὐδ' ἂν εἰ πάντες ἄνθρωποι συμφωνήσαντες φαῖεν κατ' αὐτοῦ, δυνήσονται ταύτην αὐτῷ ἐκπολεμῶσαι, ἀλλ' ἄθικτον αὐτῷ καὶ ἀκεραίαν τηρήσει τὴν φιλίαν, εἰ μή τι ἄλλο, ἀλλὰ τῶν γε βασιλέως

λόγων μεμνημένη, ᾧ πολλάκις εἴρηται περὶ αὐτοῦ, ὡς οὐδ' ἂν εἰ ξίφος σπασάμενον κατ' αὐτοῦ χωροῦντα ὡς ἀποκτενοῦντα ἴδῃ, οὐδ' οὕτω δυνήσεσθαι αὐτὸν μισῆσαι, ἀλλὰ τὴν ἴσην εὔνοιαν αὐτῷ, καὶ τούτου πεπραγμένου, τηρήσειν καὶ φιλίαν. ᾧπερ ἔφασκε χρωμένη διδασκάλῳ καὶ αὐτὴ τοσοῦτον ὑπερέχοντι αὐτῆς καὶ συνέσει καὶ πραγμάτων ἐμπειρίᾳ, τὰ ἴσα περὶ αὐτοῦ καὶ γινώσκειν καὶ πειράσεσθαι φυλάξειν. καὶ παρεθάῤῥυνεν αὐτὸν, μηδὲν περὶ αὐτῆς ὑποπτεύειν ἀγεννὲς, ἀλλ' εἶναι βεβαίως πεπεισμένον, ὡς οὐδὲν ἔσται τηλικοῦτον, ὃ δυνήσεται τοὺς αὐτῆς κατασεῖσαι λογισμοὺς καὶ περὶ αὐτοῦ κακὰ λογίζεσθαι παρασκευάσει. [20]

2 46 ἐπὶ τούτοις δὲ ὁ μέγας δομέστικος τὴν μὲν ὁμολογίαν βασιλίδος ἀρκοῦσαν οἰηθεὶς ἀπόδειξιν πρὸς τὸ μηδὲν εἶναι ἐμποδὼν, εἰ ἐβούλετο κακὸς ὀφθῆναι, μάλιστα δὲ δυνάμενος ἑκοντὶ τἀγαθὰ καὶ δίκαια αἱρεῖσθαι, εἶτα καὶ τῆς καλοκἀγαθίας καὶ τῆς εἰς αὐτὸν στοργῆς χάριτας ὁμολογήσας βασιλίδι, αὖθις ἀνελάμβανε τὸν λόγον, μὴ δὴ διὰ ταῦτα, φάσκων, μήτ' αὐτὴν, μήτε πατριάρχην ὑποπτεύειν, αὐτῷ τοὺς λόγους ὡς πανούργως εἰρημένους, ἄδειαν αὐτῷ προπαρασκευάζοντι τὸ μηδ' ἄν τις ἀληθῆ λέγειν ἔχῃ περὶ αὐτοῦ καὶ ἀποδεικνύειν ἀδικοῦντα, τόπον ἔχειν πρὸς τὴν κατ' αὐτοῦ κατηγορίαν καὶ γραφήν· οὐ γὰρ τοῦτο βούλεσθαι αὐτῷ τοὺς λόγους· ἀλλ' εἰ μέν τινες τοιαῦτα δήποτε κατηγοροῖεν, οἷα αὐτὰ ὑφ' ἑαυτῶν ἐξελέγχεσθαι ὡς εἰσὶ συκοφαντίαι καὶ διαβολαὶ, τούτων μηδένα ποιεῖσθαι λόγον, ἀλλὰ καὶ τοὺς πλάττοντας μισεῖν. εἰ δ' ἄρα οὕτως εἴη πιθανὰ, ὥστ' ἀμφιβολίαν ἐμποιεῖν, εἰ μᾶλλον χρὴ πιστεύειν ἢ παντάπασιν ἀπιστεῖν, μὴ ἐρήμην εὐθὺς καταψηφίζεσθαι καὶ ἀπόντος, ἀλλ' εἰς δικαστήριον καλεῖν κἂν ἁλίσκωμαι ἀδικῶν, οὐ παραιτοῦμαι τῆς κακουργίας διδόναι δίκας.“ τῆς βασιλίδος δὲ τὸν περὶ τῆς δίκης λόγον ἀποσειομένης καὶ μηδ' ἂν, εἴ τι γένοιτο, τοιαῦτα περὶ αὐτοῦ φρονήσειν διατεινομένης, ὥστε καὶ δικαστηρίων δεήσεσθαι πρὸς αὐτὸν, οὐκ ἔφασκεν ἐκεῖνος ἀγαπήσειν, εἰ μὴ καὶ περὶ τούτου πείθοιτο αὐτῷ τῶν ἄλλων μᾶλλον ἕνεκα ἢ αὐτῆς, ὥστε διὰ πάντων αὐτοῖς ἀποφράττεσθαι τὰς γλώσσας καὶ μὴ πρόφασιν ἐκ τούτου κακουργίας καὶ διαβολῆς λαβεῖν. [20]

2 47 ἀπαγορευούσης δὲ αὐτῆς καὶ οὐκ ἐθελούσης πείθεσθαι, ἔπεισε πολλὰ εἰπὼν, ὡς περὶ ἀναγκαίου, ἄκουσαν μὲν καὶ τόγε εἰς αὐτὴν ἦκον τῶν τοιούτων μὴ δεομένην ζητημάτων· ἐπείθετο δ' οὖν ἕνεκα αὐτοῦ. ἐπὶ τούτοις δὲ καὶ αὐτὸς ἡσθεὶς καὶ πᾶσαν λογισμῶν ἀμφιβολίαν ἀποθέμενος, χαίρων ἔφασκεν ἤδη παραλήψεσθαι τὴν ἀρχὴν, εἰ καὶ δι' ὅρκων γένοιτο πιστὰ τὰ εἰρημένα. καὶ αὐτίκα ἐτελοῦντο καὶ οἱ ὅρκοι παρ' ἑκατέρων ἐπὶ τοῦ πατριάρχου. ἐπεὶ δὲ οὐδενὸς αὐτοῖς ἐνέδει ἔτι πρὸς τὰς διαλύσεις, βασιλὶς μὲν οἴκοι ὑπελείπετο, ὁ μέγας δὲ δομέστικος ἤδη πᾶσαν τὴν ἀρχὴν βεβαίως ἔχων, ἐξῄεσαν ἅμα πατριάρχῃ. καὶ πρὸς τῷ ναῷ τοῦ μεγαλομάρτυρος γενόμενοι Δημητρίου, ὃς τῶν βασιλείων ᾠκοδόμητο ἐντὸς, πολλὰ καὶ πρὸς πατριάρχην ὁ μέγας δομέστικος διειλέχθη. ἔφη γὰρ, πεπεῖσθαι μὲν καὶ αὐτὸν σαφῶς, ὡς οἵους ἡ βασιλὶς ἐφθέγξατο λόγους, τοιοῦτον καὶ τὸ φρόνημα ἔχειν. θορυβεῖσθαι δὲ αὖθις οὐ μικρῶς, τὴν ἀσθένειαν τῆς γυναικείας φύσεως εἰδότα, ὡς εὐμετάβλητος διὰ δειλίαν, καὶ δεδοικέναι, μὴ αὐτὸς μὲν ἀναγκάζοιτο πάντοτε μακραῖς ἀποδημίαις χρῆσθαι διὰ τοὺς πρὸς τοὺς περιοίκους βαρβάρους πολέμους, οἱ συκοφάνται δὲ οἰκουροῦντες πείσωσί ποτε αὐτὴν μεταβαλεῖν, ὃ καὶ ἀνδράσι συμβαῖνον ὁρῶμεν τοῖς περὶ μάχας διὰ δειλίαν ἀτολμωτάτοις. [20]

2 48 ἐκεῖνοι γὰρ ὑπὸ τῶν οἰκείων ὀνειδιζόμενοι καὶ περιυβριζόμενοι καὶ ὁτιοῦν ὑπομένοντες δεινὸν, μάχης μὲν οὐ παρούσης, κομπάζουσι πολλὰ καὶ ἰσχυρίζονται καὶ ὅρκους προστιθέντες, μηκέτ' αὖθις τοῖς πολεμίοις τὸ πρόσωπον ἀποστρέψειν, ἀλλ' ἀνδρείως ἀντικαταστήσεσθαι πρὸς αὐτούς. ἐπειδὰν δὲ αὐτούς τε ἴδωσι προσιόντας καὶ τῆς σάλπιγγος ἀκούσωσι σημαινούσης συμπλοκὴν, οὐκέτι μένειν οὐδ' ἐπὶ τῆς παρατάξεως οἷοί τέ εἰσιν, ἀλλὰ φεύγουσιν αἰσχρῶς καὶ ἀγεννῶς, ὀλίγα φροντίζοντες τῶν ὅρκων καὶ τῶν κομπασμάτων τῶν προτέρων. ἀκούω δὲ καὶ παροιμίας Περσικῆς ὀρθῶς ἄγαν καὶ συνετῶς περὶ τῆς γυναικείας εἰρημένης φύσεως. λέγουσι

γὰρ, ὡς κἂν μέχρι νεφελῶν ἀφίκηται ἡ κεφαλὴ τῆς γυναικὸς, οὐδὲν ἔλαττον ἢ πρότερον ἐφάπτεται τῆς γῆς· σημαίνοντες, οἶμαι, διὰ τοῦ λόγου, ὡς κἂν εἰς ἄκρον καὶ φρονήσεως ἀφίκηται καὶ μεγαλοψυχίας καὶ ἀνδρίας, οὐδὲν ἧττον ἢ πρότερον ἔστι γυνὴ, τοῖς φυσικοῖς καὶ γυναικείοις πάθεσιν ἐνεχομένη. ἃ δὴ πάντα με ἀποκναίει μεμνημένον καὶ πολὺν ἐμποιεῖ θόρυβον τῇ ψυχῇ, μὴ τῆς βασιλίδος γυναικεῖόν τι παθούσης, οὐκ αὐτὸς μόνον, ἀλλὰ καὶ Ῥωμαῖοι πάντες πολλοῖς ὁμιλήσομεν κακοῖς καὶ τοῖς ἐσχάτοις περιπεσούμεθα κινδύνοις. οὗ δὴ ἕνεκα πρῶτα μὲν τῶν ὑπηργμένων παρ' ἐμοῦ σοι ἀγαθῶν ἀναμιμνήσκω, οὐδ' αὐτὸν ἴσως ἐπιλελησμένον, ὡς εἰς τοῦτο εὐδοξίας καὶ τιμῆς παρὰ τὴν ἡμετέραν ἥκεις καὶ φιλίαν καὶ σπουδὴν, οὐ μόνον ἐξ ἀφανείας πολλῆς τῷ βασιλικῷ κλήρῳ καταλέξαντος καὶ πολλῆς προνοίας οὐκ οἴκοθεν μόνον, ἀλλὰ καὶ ἐκ τῶν βασιλικῶν ἠξιωκότος καὶ, καιροῦ οὐ καλοῦντος, ἐμοῦ τε πρώτου μνησθέντος καὶ βασιλέα πείσαντος ἐπὶ τὸν πατριαρχικὸν ἀνάγειν θρόνον, ἀλλὰ καὶ τῶν ἀρχιερέων κοινῇ γνώμῃ πάντων ἀποσειομένων, πολλῇ χρησαμένου πρὸς αὐτοὺς καὶ προθυμίᾳ καὶ σπουδῇ, ὥστε πεῖσαι ἐγχειρίσαι τὴν περιφανῆ ταύτην καὶ περιμάχητον καθέδραν, καὶ τὰ τελευταῖα δὴ ταῦτα κινδυνεύοντι περὶ αὐτὴν καὶ μέλλοντι ἀποστερεῖσθαι μόνου πρὸς ἀπαλλαγὴν ἐξαρκέσαντος τῶν δυσχερῶν. [10]

2 49 ταῦτα δὲ διῆλθον νῦν, οὐκ ὀνειδίζειν προῃρημένος τὰς εὐεργεσίας, (οὐ γὰρ ἔμοιγε φίλον τὸ τοιοῦτον, οὐδ' εἰ πολλαπλασίους ἦσαν καὶ μείζους,) ἀλλ' ἵν' ἐπιδείξαιμι, ὡς ἄνωθεν φιλίως πρὸς σὲ διατεθέντι καὶ πολλὰς παρεσχημένῳ ἀποδείξεις τῆς πρὸς σὲ στοργῆς, δίκαιον καὶ σὲ, τῶν πραγμάτων παρασχόντων, νῦν εὐγνώμονα φανῆναι τῷ προῖκα πρότερον ὀφθέντι φίλῳ καὶ ἀμοιβὰς ἀξίας ἀποδοῦναι τῶν προτέρων εὐεργεσιῶν. οὐ μόνον τούτων ἕνεκα αὐτῶν, ἀλλ' ὅτι καὶ πατὴρ ὢν κοινὸς πνευματικὸς, ὅσην ἑκάστῳ τῶν ποιμαινομένων, τοσαύτην ὀφείλεις τὴν κηδεμονίαν καὶ ἐμοὶ, μᾶλλον δὲ πολλαπλασίω ἢ σύμπασι σχεδὸν, ὅσῳ καὶ τῆς εἰς ἐμὲ ἠκούσης ὠφελείας ἢ βλάβης πάντες ἀπολαύσουσι τὸ μέρος. τοῦτο δέ ἐστιν, ὅ σου δέομαι, ἵν' ἐπειδήπερ αὐτὸς ἀναγκαίως ἔχω πρὸς τὰς ἔξωθεν στρατείας ἀσχολεῖσθαι, (οὔτε γὰρ ἔμοιγε εὐπρεπὲς, οὔθ' ὑμῖν συμφέρον, ἐνταῦθα καθήμενον περιορᾷν τοὺς πολεμίους τοὺς ἀγροὺς πορθεῖν τοὺς ἡμετέρους καὶ τὰς πόλεις πολιορκεῖν καὶ ἐξανδραποδίζεσθαι τοὺς ἐντυχάνοντας,) μηδεμίαν δοῦναι χώραν τοῖς συκοφάνταις καὶ λυμεῶσι καὶ κοινοῖς ἐχθροῖς, τὸν ἀεὶ χρόνον ἐνταῦθα συνεσόμενον τῇ βασιλίδι, ὥστε δυνηθῆναι συσκευάσαι κατ' ἐμοῦ διαβολὰς καὶ πεῖσαι προσέχειν αὐτοῖς, ὡς ὀρθῶς καὶ λυσιτελῶς βουλευομένοις, ἐμὲ δὲ πολέμιον νομίζειν καὶ ἐπιβουλεύοντα αὐτῇ πρὸς τὴν ἀρχήν· ἀλλὰ τῶν ὑπὲρ ἐμοῦ δικαίων ἀντεχόμενον διαλύειν αὐτοῖς τὰς μηχανὰς καὶ ἀπράκτους καθιστᾷν τὰς πανουργίας καὶ τοὺς δόλους, οὐδὲν ἕτερον πείθοντα τὴν βασιλίδα, ἢ μὴ καταψηφίζεσθαι ἀπόντος, ἀλλὰ κληθέντα πρὸς τὴν δίκην καὶ καιροῦ τυχόντα πρὸς ἀπολογίαν, ἢ διαλύεσθαι τὰ ἐγκλήματα, ἂν δύνωμαι, ἢ διδόναι δίκας τῆς ἀδικίας, ἂν ἁλίσκωμαι ἐπιορκῶν. [10]

2 50 τῆς τοιαύτης δὲ σπουδῆς ἕνεκα καὶ προθυμίας οὐ παρὰ θεοῦ μόνου λήψεσθαι τὰς ἀμοιβὰς, ὡς ὑπὲρ εἰρήνης καὶ σωτηρίας τῆς κοινῆς καὶ αὐτοῦ ἐσπουδακότα τοῦ δικαίου, ἀλλὰ καὶ αὐτὸν αὐτῷ πολλὴν εἰδήσειν χάριν καὶ πάντας τοὺς ἐν λόγῳ ἐπαινέσεσθαι, ὅτι τὰ προστάτου ποιεῖ καὶ κηδεμόνος τῶν ψυχῶν, ἔργοις αὐτοῖς ἐπιδεικνύμενος, ὡς ἔστι μαθητὴς τοῦ εἰρηνοποιοῦ καὶ εἰς δύναμιν αὐτῷ ἐξομοιοῦται, τόγε εἰς αὐτὸν ἦκον, πᾶσαν πρόφασιν πολέμου ἐμφυλίου διαλύων. τοιαῦτα καὶ πρὸς πατριάρχην διειλεγμένου τοῦ μεγάλου δομεστίκου, τάς τε εἰρημένας εὐεργεσίας, ἣν αὐτῷ ἐκεῖνος συνομολογῶν, καὶ πάντων τῶν ἄλλων μείζω καὶ εὐηργετῆσθαι καὶ ὀφείλειν, καὶ θαῤῥεῖν περὶ τοῦ μέλλοντος, ὑποθέμενος, ὡς οὐδὲν αὐτῷ τῶν δυσχερῶν, τόγε εἰς αὐτὸν ἦκον, ἀπαντήσει, ἀλλὰ σπουδῇ πολλῇ καὶ προθυμίᾳ, εἴ τι συμβαίη τοιοῦτον, χρήσεται περὶ αὐτοῦ καὶ οὐδὲν ἧττον, ἢ ὑπὲρ αὐτὸς αὐτοῦ παρὼν, τῶν αὐτῷ γινομένων ἀνθέξεται δικαίων. [5]

2 51 ἐπεὶ δὲ καὶ ὁ πατριάρχης προθύμως τὰ τοιαῦτα ἐπηγγείλατο, οὐκοῦν, ἔφασκεν ὁ μέγας δομέστικος, οὐδὲν λοιπὸν, ἢ τὰς ὑποσχέσεις ταύτας τρόπῳ, ᾧ ἂν ἐπίσταιτο αὐτὸς, βεβαίας αὐτῷ ποιεῖν καὶ ἀναμφιβόλους, ὥστε μηδὲν ἔτι ἐνδοιάζειν ἔχειν, ἀλλὰ πεπεῖσθαι ἀκριβῶς, ὡς οὐδὲν ἧττον, ἢ εἰ παρῆν αὐτὸς, οὐδεμία τοῖς συκοφάνταις ἔσται δύναμις πρὸς τὰς διαβολάς. ὁ δ' εὐθὺς τῆς καθέδρας ἐξαναστὰς, „εὐλογητὸς“ εἶπεν „ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ ὢν εἰς τοὺς αἰῶνας, ὅτι οὔτε νῦν, οὔθ' ὕστερον ψεύσομαί σε, ἀλλ' ὑπὲρ τοῦ σοῦ πᾶσαν ποιήσομαι δικαίου καὶ φροντίδα καὶ σπουδὴν καὶ οὐδὲν, τόγε εἰς ἐμὲ ἥκον, περιόψομαι, μὴ πάντα καὶ διανοεῖσθαι καὶ φθέγγεσθαι καὶ πράττειν, ὥστε μηδεμίαν βλάβην ἐκ συκοφαντίας καὶ διαβολῆς σοι προσενεχθῆναι.“ ἐπὶ τούτοις δὲ καὶ τὸν τρισάγιον ὕμνον ἐπειπὼν καὶ πρὸς τῇ κεφαλῇ τοῦ μεγάλου δομεστίκου εὐχήν τινα τῶν ἱερῶν διεξελθὼν καὶ πολλὴν αὐτῷ εἰρήνην καὶ εὔκλειαν καὶ ἄλλων ἀγαθῶν ἐπευξάμενος ἐσμὸν, ἐπεὶ καὶ ἡ ἡμέρα ἤδη περὶ δείλην ἦν, ὁ πατριάρχης μὲν ἐπ' οἴκου ἀνεχώρει, ὁ μέγας δὲ δομέστικος ἥπτετο προθύμως τῶν πραγμάτων, βεβαίας ἤδη περὶ τῶν μελλόντων ἔχων τὰς ἐλπίδας καὶ οὐδὲν δεινὸν ὑπονοῶν. [25]

2 52 ζ'. Εἰς τὴν ὑστεραίαν δὲ ἐκέλευε τοὺς Ἀλεξάνδρου πρεσβευτὰς εἰς τὰ βασίλεια ἐλθόντας, περὶ ὧν ἥκουσιν ἀπαγγέλλειν. οἱ δὲ ἦκον, καὶ τοὺς ὅρκους ἔχοντες, οὓς βασιλεὺς πρὸς Ἀλέξανδρον ἐπὶ τῇ εἰρήνῃ ἐποιεῖτο, ᾐτοῦντό τε αὐτοῖς τὸν Σίσμανον ἐγχειρίζειν πολέμιον ὄντα τῷ σφετέρῳ βασιλεῖ, ἢ τοὺς ὅρκους ἀπολαμβάνειν, ὡς οὐκέτι τῆς εἰρήνης ἐσομένης. μηδὲ γὰρ ἂν εἶναι δίκαιον, μηδὲ ἀνεκτὸν αὐτοῖς, αὐτοὺς μὲν ἀσφαλεῖς εἶναι καὶ βεβαίους φίλους καὶ συμμάχους Ῥωμαίοις, ἐκείνους δὲ παρασπονδεῖν, τοὺς αὐτοῖς πολεμιωτάτους ὑποδεχομένους. οἱ μὲν οὖν πρέσβεις τοιαῦτα εἶπον, ὄγκου καὶ φρονήματος πεπληρωμένοι καὶ οὐδὲ ἀντειπεῖν οἰόμενοι Ῥωμαίους, ἀλλ' αὐτίκα ἐγχειρίσειν Σίσμανον, δείσαντας τὸν πόλεμον τὸν πρὸς αὐτούς. ἡ βασιλὶς δὲ ἐκέλευεν αὐτοῖς τὸν μέγαν δομέστικον χρηματίζειν καὶ περὶ ὧν αἰτοῦσιν ἀποκρίνεσθαι. ὁ δὲ πρῶτα μὲν ἐμέμφετο αὐτοῖς, ὡς οὐκ ἐφ' οἷς προσῆκε τὴν ἄφιξιν πεποιημένοις. ἔδει γὰρ βασιλέα τὸν ὑμῶν, φίλον ὄντα καὶ πατέρα κηδεστοῦ τῷ τετελευτηκότι βασιλεῖ Ῥωμαίων, μὴ τοῖς ἐκείνου παισὶ πόλεμον ἐπάγειν καὶ διαλύειν πειρᾶσθαι τὰς σπονδὰς ἐπ' αἰτίαις οὐ δικαίαις. ἀλλ' εἴ τινα καὶ πρότερον εἶχε πρὸς ἐκεῖνον πρόφασιν διαφορᾶς, ταύτην καταλύειν νῦν καὶ βεβαιότερον ἢ πρότερον φυλάττειν τὰς συνθήκας καὶ βασιλέως τοῖς παισὶ συμμαχεῖν ἐπὶ τοὺς πολεμίους, ἄν τινες ὦσι, νυνὶ μάλιστα τῆς παρὰ τῶν φίλων ἐπικουρίας δεομένοις. [20]

2 53 ὁ δ' ἔοικε ταὐτὸν τοῖς πολλοῖς παθεῖν, οἳ ζῶντας μὲν θεραπεύουσι τοὺς δυνατοὺς, οὐ μᾶλλον ἐκείνων, ἢ τοῦ καιροῦ καὶ τῆς ἐκείνων δυνάμεως ὄντες φίλοι· ἐπειδὰν δὲ ἀποίχωνται, τῶν αἰτίων ὡσπερεὶ διαλυθέντων τῆς φιλίας, ῥᾷστα πρὸς ἔχθραν ἐξάγονται τῶν πρότερον δοκούντων εἶναι φίλων, διὰ τὴν ἀδυναμίαν αὐτοὺς περιορῶντες. ἔπειτα δὲ καὶ πρὸς τὴν ἀξίωσιν αὐτῶν οὕτω τὴν ἀπολογίαν ἐποιεῖτο, ὡς οὐ πάτριον τοῖς Ῥωμαίων βασιλεῦσι, τοὺς αὐτοῖς προσφυγόντας τοῖς πολεμίοις προδιδόναι. ἀπὸ γὰρ τῶν Κωνσταντίνου τοῦ μεγάλου χρόνων ἄχρι νῦν τοῖς Ῥωμαίων βασιλεῦσι, μείζοσι καὶ περιφανεστέροις τῶν παρ' ἑκάστοις ἔθνεσι βασιλεῦσιν ἢ δυνάσταις οὖσι, πολλοὶ τῶν παρ' αὐτοῖς ἀρχόντων ἀτυχήσαντες καὶ τῆς ἀρχῆς ἐκβεβλημένοι γεγόνασιν ἱκέται, οἱ μὲν τὴν οἰκείαν αὐτοῖς δεόμενοι ἀρχὴν ἐπανασώζειν, οἱ δὲ καὶ ἄλλως προνοίας καὶ κηδεμονίας τυχεῖν τινος. καὶ πᾶσιν ἤρκεσαν πρὸς τὰς συμφορὰς, ὥσπερ κοινοὶ σωτῆρες καὶ προστάται τῶν δυσκόλῳ τύχῃ χρησαμένων ὄντες, καὶ τοῖς μὲν αὐτῶν ἀπέδοσαν τὰς ἀρχὰς, χειρὶ πολλῇ καταγαγόντες, ἐνίους δὲ εὐεργετήσαντες μεγάλα καὶ τῆς οἰκείας ποιήσαντες ἐκλαθέσθαι τῇ ὑπερβολῇ τῶν δωρεῶν, ἔπεισαν αὐτοῖς συνεῖναι διὰ βίου, τὴν παρὰ βασιλεῖ δουλείαν πολὺ βελτίω νομίσαντας καὶ θαυμασιωτέραν τῆς ἀρχῆς τῶν ὁμοφύλων. [20]

2 54 τὸν αὐτὸν δὴ τρόπον καὶ νῦν Σίσμανος ἱκέτης γέγονε τῆς Ῥωμαίων βασιλείας, οὐ πρὸς τὴν οἰκείαν δεόμενος καταγαγεῖν, ἀλλὰ προνοίας τινὸς τυχεῖν, κακοπραγῶν καὶ τῆς ἀρχῆς ἐκβεβλημένος. Ἀλέξανδρος δὲ ὁ ὑμέτερος βασιλεὺς, ὡς ἔοικε, διὰ τὴν βασιλέως τελευτὴν τὰ Ῥωμαίων πράγματα παντάπασι νομίζων διεφθάρθαι καὶ μηδένα τὸν προστησόμενον κεκτῆσθαι, ἐκεῖνον ἀπέστειλεν αἰτῶν μετὰ πολλῆς τῆς παῤῥησίας καὶ τὸ κελευόμενον ποιεῖν, μηδὲν πολυπραγμονοῦντας ἀξιῶν. τὸ δ' ἐναντίως ἔχει ἢ ᾠήθητε αὐτοί. βασιλεύς τε γὰρ ἔτι περιὼν, ἡμῖν χρώμενος τοὺς ἀδικεῖν ἐθέλοντας ἐτιμωρεῖτο, καὶ νῦν ἐξ ἀνθρώπων ἐκείνου γεγενημένου, ἡμεῖς ἀμυνούμεθα ὑπὲρ ἡμῶν αὐτῶν, ἄν τις ἐπίῃ, ὑπὸ βασιλέα τὸν ἐκείνου παῖδα τεταγμένοι, καὶ τήν τε χώραν ἡμῶν φυλάξομεν ἀπαθῆ κακῶν, καὶ ὑπὲρ φιλοτιμίας τῆς ἀνέκαθεν Ῥωμαίοις προσηκούσης πολεμήσομεν ὑμῖν προθύμως. οὐ γὰρ μικρὸν τοῦτό γε, οὐδὲ εὐκαταφρόνητον ἡμῖν εἰς ἀδοξίας λόγον, τὸ τὸν φυγάδα παρ' ἡμῖν γεγενημένον, ἢ ὑμῶν ἢ ἑτέρων κελευόντων, ἐπὶ θανάτῳ προδιδόναι. ἂν μὲν οὖν καὶ αὐτοὶ τῆς ἀτοπίας τῶν τοιούτων ζητημάτων ἀποστάντες, εἰρήνην ἄγειν καὶ ταῖς σπονδαῖς ἐμμένειν καὶ τοῖς ὅρκοις, οὓς πρὸς βασιλέα ἔθεσθε, ἐθέλητε, πειρασόμεθα καὶ ἡμεῖς τῶν καθεστώτων μηδὲν κινεῖν. ἂν δ' ἄρχητε αὐτοὶ πρότεροι πολέμου, τὸν θεὸν καὶ ἡμεῖς μάρτυρα τῆς ἀδικίας προστησάμενοι, ὃν αὐτοὶ ἐπιορκεῖτε διαλύοντες τὰς σπονδὰς, διδάξομεν ὑμᾶς μηδὲν πέρα τοῦ προσήκοντος φρονεῖν. [20]

2 55 καὶ ἢ Σίσμανον τριήρεσι διὰ τοῦ Ἴστρου καταστήσαντες ἐπὶ Βιδήνην καὶ πόλεμον ἐμφύλιον ἀνάψαντες ὑμῖν, (ἴστε γὰρ δήπου καὶ αὐτοὶ, ὡς πολλοὶ Μυσῶν προσχωρήσουσιν ἐκείνῳ διὰ τὴν ἀρχαίαν φιλίαν καὶ τὴν οἰκειότητα τοῦ γένους,) ἢ παντάπασιν Ἀλέξανδρον ἐκβαλοῦμεν τῆς ἀρχῆς, ἢ τά γε δεύτερα, οὐ μέτριά τινα ζημιώσομεν αὐτὸν, ἢ εἰ μὴ τοῦτο δοκοίη, ὡς ἐλάττονος ἢ προσῆκε τῆς ἐπικουρίας γινομένης, ἀλλ' ἔγωγε αὐτὸς ἅμα στρατιᾷ Ῥωμαίων ἔχων καὶ Σίσμανον, ὑμῖν ἐπιστρατεύσω καὶ μαχοῦμαι προθυμότατα ὑμῖν, οὐ μόνον παρασπονδούμενος αὐτὸς, ἀλλὰ καὶ ἀδικουμένῳ βοηθῶν, καὶ προσέτι γε στασιάζουσι πρὸς ἑαυτοὺς καὶ τοῖς μὲν Ἀλεξάνδρῳ προσκειμένοις, τοῖς δὲ ἥδιον ἂν ἀπαλλαξομένοις καὶ πρὸς Σίσμανον ἀποχωρήσουσιν, ὅπερ οὐκ οἶομαι ὑμῖν λυσιτελήσειν. ἐγὼ δὲ καὶ τρόπον ἕτερον πολέμου, ἐξ οὗ τήν τε ὑμετέραν κακοῦν ἡμῖν καὶ τὴν οἰκείαν ἐξέσται διασώζειν, οὐκ ἀποκρύψω, ἵνα μή τινων ἀνηκέστων πρὸς τὸν πόλεμον συμβάντων, οὐχ ἡμᾶς αἰτίους, ἀλλὰ σφᾶς αὐτοὺς εἰδείητε αὐτοῖς. τῶν γὰρ κατὰ τὴν Ἀσίαν Σατραπῶν ὁ δυνατώτατος, ὃν οὐδ' αὐτοὶ ἀγνοεῖτε παρειληφότες ἀκοῇ, Ἀμοὺρ ὁ τοῦ Ἀϊτίνη, τὴν βασιλέως πεπυσμένος τελευτὴν καὶ νομίσας καὶ αὐτὸς ῥᾷστα ληΐσεσθαι Ῥωμαίους διὰ τὸ μηδένα εἶναι τὸν ἀμυνούμενον ὑπὲρ αὐτῶν, πεντήκοντα καὶ διακοσίας πληρώσας ναῦς, πᾶσαν ἐποιεῖτο σπουδὴν κακοῦν τὴν ἡμετέραν. [20]

2 56 ἐπεὶ δὲ ἐπυθόμην αὐτὸς τῶν Περσῶν τὴν ἐσομένην εἰσβολὴν, πρεσβείαν πέμψας πρὸς ἐκεῖνον, ἐν τοῖς μάλιστα ἐξητασμένον τῶν φίλων τῶν ἐμῶν, ἐκέλευον ἀναστρέφειν καὶ ἀπέχεσθαι τῆς πείρας, ὡς οὐδέσιν ἄλλοις ἐπιστρατεύσοντα ἢ ἐμοί. ὁ δ' ἅμα τε ἐδέξατο τὴν πρεσβείαν καὶ ἀνέστρεφεν ἐκ μέσης τῆς ὁδοῦ. νυνὶ δὲ ἐνταῦθα πρὸς ἐμὲ πρεσβείαν πεπομφὼς, δεῖται μὴ περιιδεῖν αὐτῷ τὴν στρατιὰν εἰκῇ συνειλεγμένην, ἀλλ' εἴ τις πρός τινα πόλεμος ἡμῖν, χρήσασθαι αὐτῇ, ὡς ἂν ἥ τε στρατιὰ ὠφεληθείη ἀπὸ τῶν πολεμίων τῶν λαφύρων, ἐκεῖνός τε μὴ μάτην εἴη τοσαῦτα χρήματα ἀναλωκὼς, ἀλλ' αὐτὸ τοῦτό γε καρπώσαιτο, τὸ ἀναλωκέναι ὑπὲρ φίλου. οὐ χρὴ δὲ ἀπιστεῖν τοῖς λεγομένοις, κόμπου ἕνεκα καὶ αὐχήματος διακένου πεπλάσθαι οἰομένους. πρὸς γὰρ τῷ μὴ εὐχερεῖς ἡμᾶς πρὸς πλάσματα καὶ ψεύδη εἶναι, ἔξεστι καὶ αὐτοῖς ἀνερευνῶσιν ἐξευρίσκειν ὡς ἀληθῆ. ἐγὼ μὲν οὖν τὴν εἰρήνην πολλῷ βελτίω καὶ λυσιτελεστέραν ἑκατέροις οἰόμενος ἡμῖν, αὐτός τε ἀσπάζομαι καὶ ὑμῖν ἔχεσθαι ταύτης παραινῶ. διὸ οὐδὲ πρὸς ὑμᾶς ἀπαγορεύω τὸ νῦν ἔχον, ἀλλ' ὡς τάχιστα πρὸς τὸν πέμψαντα ἐπανελθόντες, Σίσμανον μὲν ἀπαγγείλατε μηδέποτε λήψεσθαι προσδοκᾷν· εἰ δ' ἐκείνῳ διὰ ταῦτα πρὸς ἡμᾶς δοκεῖ πολεμητέα εἶναι, ἐν εἴκοσιν ἡμέραις, αἷς δυνήσεσθε ἐπανελθεῖν, τὸν

πόλεμον ἀπαγγέλλειν. ἐν τοσαύταις γὰρ καὶ τὸν Ἀμοὺρ πρεσβευτὴν ἐνταυθοῖ παρασκευάσω διατρίβειν, ἵν' εἰ ὁ πόλεμος ἀπαγγέλλοιτο, γράμμασιν ἐκείνῳ τὴν ἐνθάδε ἄφιξιν ἐπιτρέψω. [20]

2 57 πάντως δὲ ῥᾷον οἴεσθαι αὐτὸν ὑμᾶς καὶ προθυμότερον ἀφικέσθαι χρὴ, ἢ πρότερον ἐκ τῆς στρατείας ἀναστρέφειν, πειθόμενον τοῖς λόγοις τοῖς ἐμοῖς. ἂν δ' ἀμελήσαντες τὴν προθεσμίαν ὑπερβῆτε, ἐμοὶ μὲν ἀσφαλὲς οὐκέτι ἡσυχάζειν, ἀλλ' αὐτός τε οἴκοθεν ἐξαρτύσομαι τὰ πρὸς τὸν πόλεμον καὶ τὴν Περσικὴν συμμαχίαν οὖσαν παρεσκευασμένην ἐνθάδε ἄξω· καὶ τοῦ λοιποῦ οὐδ' ἂν αὐτοὶ ἐθέλητε, κατατίθεσθαι ῥᾴδιον ἔσται τὸν πόλεμον ἐμοὶ, οὐ μόνον διὰ τὰ ἀναλωθέντα χρήματα πρὸς τοῦ πολέμου τὴν παρασκευὴν, ἃ κομίζεσθαι ἐκ τῆς ὑμετέρας ἀναγκαῖον, ἀλλ' ὅτι καὶ τοὺς κατὰ συμμαχίαν ἥξοντας βαρβάρους οὐ κεναῖς χερσὶν, ἀλλ' ὠφεληθέντας ἐκ τῆς πολεμίας, πρὸς τὴν οἰκείαν δεῖ ἐπαναστρέφειν. διὰ ταῦτα ὑμᾶς τε σπουδῇ χρήσασθαι πρὸς τὴν ὁδοιπορίαν ἀναγκαῖον, καὶ τὸν ὑμέτερον βασιλέα πυθόμενον τὰ παρ' ἡμῶν, ἃ συνοίσειν οἴεται αὐτῷ, τὴν ταχίστην ἀπαγγέλλειν." ὁ μὲν οὖν τοιαῦτα εἶπεν· οἱ δὲ Ἀλεξάνδρου πρεσβευταὶ ὥσπερ ἐκλαθόμενοι τοῦ προτέρου φυσήματος καὶ τῆς μεγαλορῥημοσύνης τῆς πρὸς τὰς δημηγορίας μεταβαλόντες, ἐγίνοντο ἱκέται, πλείω αὐτοῖς παρασχεθῆναι προθεσμίαν. αὐτοὶ μὲν γὰρ ἔφασαν πᾶσαν ἐπιδείξεσθαι σπουδὴν πρὸς τὴν ὁδοιπορίαν· ἂν δ' ὁ βασιλεὺς αὐτῶν ἐν ἐσχατιαῖς διάγῃ τῆς ἀρχῆς, οὐκ ἐξαρκέσειν τὰς ἡμέρας, ἐνδεεστέρας οὔσας, ἢ προσήκει ἀνυσθῆναι τὴν ὁδόν. καὶ ἐπεὶ ἐδόκει ἡ ἀξίωσις αὐτῶν δικαία εἶναι, τριάκοντα παρείχοντο αὐτοῖς ἡμέραι, ἐν αἷς ἔδει ἐπαναστρέψαντας ἢ τὴν οὖσαν εἰρήνην ἐπιβεβαιοῦν καὶ τὰς σπονδὰς, ἢ πόλεμον καταγγέλλειν. [20]

2 58 οἱ μὲν οὖν Ἀλεξάνδρου πρέσβεις τοιαύτας ἀποκρίσεις παρὰ τοῦ μεγάλου δεξάμενοι δομεστίκου, πρὸς τὴν οἰκείαν ἐπανῆκον. βασιλὶς δὲ καὶ ἡ σύγκλητος πᾶσα, ἐθαύμαζόν τε τῆς συνέσεως αὐτὸν καὶ χάριτας ᾔδεσαν πολλὰς, ὅτι οὓς αὐτοὶ ὠῤῥώδουν ἐν τῇ προτεραίᾳ καὶ πρὸς οὓς οὐδὲ ἀπολογίας εὐπόρουν εὐπροσώπου, ἀλλ' ἀπορίᾳ πάντοθεν συνείχοντο, τούτους οὕτω κατέστησεν αὐτὸς περιδεεῖς, ὥστε ἀμελήσαντας τῶν ἄλλων δεῖσθαι περὶ τῆς προθεσμίας, ὡς περί τινος ἀναγκαίου. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. η'. Ὁ μέγας δὲ δομέστικος τοῖς μὲν στρατιώταις κατὰ πόλεις ἐκέλευε διὰ γραμμάτων παρασκευάζεσθαι, ὡς, ἢν δέῃ, πολεμήσων τοῖς Μυσοῖς. ὁρῶν δὲ οὐ τοῦ καταλόγου μόνου τοῦ στρατιωτικοῦ πολλοὺς, ἀλλὰ καὶ τῶν ἄλλων οὐκ ὀλίγους προφάσει τοῦ μὴ τὰς παρὰ βασιλέως ἑκάστῳ τεταγμένας χορηγίας ἀκεραίους εἶναι, παντάπασιν ἀμελοῦντας πρὸς τὰς στρατείας καὶ τῆς ἐξ αὐτῶν ὠφελείας ἀποστεροῦντας τὸ κοινὸν, ἐσκέπτετο, ὅθεν ἂν ἐκείνους τε τῆς πιεζούσης ἀπορίας ἀπαλλάξαι, τὸ ἐλλεῖπον ἑκάστῳ πρὸς τὴν ἐκ βασιλέως πρόνοιαν ἀναπληρώσας, καὶ αὐτὸς αὐτοῖς πρὸς δέον χρήσαιτο ἑκάστῳ, πάντας πρὸς τὸ κοινῇ λυσιτελοῦν ἀποδείξας συνεισφέροντάς τι. οὕτω δὲ περὶ τούτων αὐτῷ φροντίζοντι πρὸς ἑαυτὸν, ὁ Πατρικιώτης προσελθὼν, πολὺν δή τινα χρόνον περὶ ἀπογραφὰς ἠσχολημένος καὶ πεῖραν ἐν τοῖς τοιούτοις ἐσχηκὼς πολλὴν, ἀκηκοέναι ἔφασκεν αὐτὸν πάντας βούλεσθαι πρὸς τὰς στρατείας ἀπροφασίστους παρασκευάζειν ταῖς ἐκ τῶν δημοσίων ἀποτεταγμέναις αὐτοῖς προσόδοις τὰ ἐλλείποντα ἀναπληρῶν ἢ καὶ προστιθείς. [5]

2 59 τὰ δὲ τοιαῦτα οὔτε βέλτιον, ὥσπερ ἂν εἰδείη καὶ αὐτὸς, οὔτε μὴν μετ' ἐμπειρίας πλείονος ἑτέρῳ τινὶ τῶν πάντων ἢ αὐτῷ ὑπηρετηθείη. ὅτι δὲ μὴ προσκληθεὶς, ἀλλ' αὐτὸς πρότερος προσελθὼν, ἐγχειρισθῆναι τὴν ἀπογραφὴν ἀξιοίη, οὐ δίκαιον ὑποπτεύειν. οὐ γὰρ ἐπιθυμίᾳ κέρδους μᾶλλον, ἢ τοῦ βούλεσθαι αὐτῷ πρὸς τὰ κοινῇ συναίρεσθαι λυσιτελοῦντα, τοιαῦτα προελέσθαι, μάλιστα ποιουμένῳ περὶ πλείστου, τὴν Ῥωμαίων ἡγεμονίαν μείζω καὶ περιφανεστέραν ἀποδεικνύναι. τούτου δὲ ἀπόδειξιν οὐ λόγοις, ἀλλ' ἔργοις πειράσεσθαι παρέχειν ἐναργῆ. ἔτεσι γὰρ ἤδη καὶ πρότερόν τισιν οὐκ ὀλίγοις ἠσχολημένῳ περὶ τὰ τοιαῦτα, χρήματα ἠθροικέναι οὐκ ὀλίγα ἐξεγένετο, καίτοι πειρωμένῳ μάλιστα, μὴ βιαίῳ, μηδ' ἐκ παντὸς τρόπου κερδαίνειν,

εἶναι. ἃ δὴ ὕστερον οὐκ εἴα ἠρεμεῖν, ἀλλὰ πολλοὺς ἐκίνει λογισμοὺς ἐν τῇ ψυχῇ, μὴ κατορύττειν, ἀλλ' εἰς εὐποιΐας ἀναλίσκειν τινῶν ἀνθρώπων, ὡς διὰ τούτου δυναμένῳ τὴν ἐκ τῆς ἁμαρτίας ἀποτρίβεσθαι κηλῖδα. νῦν μὲν οὖν ἐδόκει φροντιστήριον ἐκ τούτων ἀνδρῶν οἰκοδομεῖν τῷ θεῷ καθάπαξ ἀνατεθεικότων ἑαυτοὺς, καὶ διὰ τῆς εἰς ἐκείνους εὐποιΐας ἱλεοῦν τὸ θεῖον ἑαυτῷ, διαλλακταῖς ἐκείνοις τὰ τοιαῦτα μάλιστα καταπράττεσθαι χρωμένῳ οὖσι δυνατοῖς· νυνὶ δὲ εἰς πένητας ἀγύρτας ἀναλοῦν. [20]

2 60 ὡς τῶν προτέρων ἢ ἐκείνων μὴ εἰς δέον τοῖς χρήμασι δυνησομένων χρήσασθαι, ἢ ἑτέρων ἁρπαγῇ καὶ ἀδικίᾳ χρησομένων καὶ διαφθερούντων, ὡς δὲ σοῦ μόνου καταστάντος ἐπὶ τοῖς πράγμασι καὶ τὴν διάνοιαν κατεῖδον, ὡς ὑπὲρ ὠφελείας τῶν κοινῶν οὐ χρήματα μόνον, ἀλλὰ καὶ ψυχὴν αὐτὴν, εἰ οἷόν τε, προΐεσθαι διανοῇ, καὶ τὸν τρόπον προειδὼς ὡς ἀγαθὸς, ἔγνων δεῖν σοὶ τὰ χρήματα ἐκεῖνα ἐγχειρίζειν, ὡς οὐ καλῶς μόνον, ἀλλὰ καὶ εὐλόγως καὶ ἀκριβῶς ὑπὲρ τῶν κοινῇ Ῥωμαίοις συμφερόντων ἀναλωθησομένων, ἐπειδὴ καὶ ἐκ τούτων συνελέγησαν αὐτῶν. ἃ δὴ πάντα ἥκω ἐγχειρίζων, ἐφ' ὅ,τι ἂν ᾖ σοι χρησομένῳ βούλησις. ἔξεστιν οὖν παντί τῳ ἀπόδειξιν λαμβάνειν ἐναργῆ, ὡς οὐ χρηματισόμενος ἐκ τῆς ἀπογραφῆς, ἥκω δεόμενος καταστῆναι πρὸς αὐτήν· (ἐξῆν γὰρ ἔχοντα, ἃ κέκτημαι, μηδὲν περαιτέρω πολυπραγμονεῖν,) ἀλλά σοι φανεῖσθαι χρήσιμος ἐπιθυμῶν καὶ πολλὰ συνάρασθαι δυνάμενος πρὸς τὸ τὴν ἀρχαίαν εὐδαιμονίαν τοῖς Ῥωμαίοις ἀνασώζειν, πολλὴν τούτου ἕνεκα καὶ συνεχῆ ποιουμένῳ τὴν φροντίδα.“ ὁ δὲ ἄσμενος ἀποδεξάμενος τοὺς λόγους, περὶ μὲν τῶν χρημάτων, ἔφασκε, χάριν αὐτῷ πολλὴν εἰδέναι, οὐ τῷ ὑπὲρ τῶν κοινῇ συμφερόντων μόνον παρεσχῆσθαι, ἀλλὰ καὶ τῷ αὐτῶν πεπιστευκέναι τὴν διοίκησιν αὐτῷ ὀρθῶς πεπεισμένῳ καὶ δικαίως ἀναλώσειν. [20]

2 61 τὸ μὲν γάρ τινα τῶν κοινῶν ἐπιμέλειαν ἐγκεχειρισμένον μὴ τὴν οὐσίαν ποιεῖν βελτίω, ἀλλ' ὅσα πρὶν ἅπτεσθαι, τοσαῦτα ἔχοντα ἀπαλλάττεσθαι καὶ χρημάτων ὡς ἐπίπαν ὀφθῆναι κρείττω, οὐ χαλεπὸν μόνον, ἀλλὰ καὶ ἀδύνατον σχεδόν. τὸ δ' ἔχοντα ἤδη καὶ μηδὲν ὑποπτεύοντα δεινὸν περὶ αὐτῶν, ἔπειτα ἑκόντα βουληθῆναι ἀποθέσθαι καὶ, ἃ συνέλεξε κακῶς, χρήσασθαι εἰς δέον, οὐ τῶν πολλῶν, ἀλλὰ τῶν βουλομένων σώζεσθαι καὶ πεπεισμένων ἀκριβῶς, ὡς πάντων παρέξουσιν εὐθύνας τῶν βεβιωμένων μετὰ τὴν ἐνθένδε ἀπαλλαγήν. βέλτιον μὲν γὰρ, μὴ ἁμαρτάνειν τὴν ἀρχὴν, μηδὲ κηλῖσι πολλαῖς καταμιαίνειν τὴν ψυχήν· ἂν δ' ἄρα τοῦτο συμβαίνῃ, δευτέρας ἀναμαρτησίας ἀρχὴ, τὸ μὴ μόνον πεπαῦσθαι τῶν κακῶν, ἀλλὰ καὶ ἀντίῤῥοπον ἐπιδείκνυσθαι τῶν ἀγαθῶν τὴν ἐργασίαν. διὰ ταῦτα δὴ καὶ ἐπαινῶ σε τῆς μεταβολῆς καὶ τοῦ μὴ τρόπον ἕτερον, ἀλλ' ὑπὲρ τῶν κοινῇ συμφερόντων τὰ χρήματα βουληθῆναι ἐπιδοῦναι. ὅτι δὲ μὴ προσκληθεὶς, ἀλλὰ πρότερος προσελθὼν αὐτὸς τὸ ἐπανισοῦν τοῖς στρατιώταις τὰς ἐκ τῶν δημοσίων ᾐτησας τοῦ βίου ἀφορμὰς, τοσοῦτον ἀπέχω καταγινώσκειν, ὥστε καὶ πρότερον αὐτὸν οἴκοθεν ὡρμημένον, διὰ τὴν περὶ ταῦτα ἐμπειρίαν σοὶ τὴν ὑπηρεσίαν ἐγχειρίζειν, νῦν μᾶλλον ἀνέπεισας βέλτιον οἴεσθαι καὶ δικαιότερον τὰ τοιαῦτα διοικήσειν. οὐ γὰρ ὁμοίως ὅ, τε πολλὰ ἐπαγγειλάμενος καὶ ὁ μηδὲν, περὶ τῶν ἐπηγγελμένων τὴν ἐκπλήρωσιν σπουδάσουσι. [20]

2 62 τὴν μὲν οὖν ὑπηρεσίαν τῶν τοιούτων ἐπιτρέπω. σὲ δὲ καὶ αὐτὸν οἴεσθαι προσῆκον, μὴ μικρά τινα καὶ εὐκαταφρόνητα μετιέναι, μηδ' οἷα μήτε διοικούμενα καλῶς, πολλὴν ὠφέλειαν παρέχειν τῷ κοινῷ, μήτ' ἐπίσης βλάπτειν, ἂν ῥᾳθύμως καὶ πανούργως πράττωνται. ὅπερ γάρ ἐστι τοῖς πολιτικοῖς πράγμασιν ὁ κριτὴς, τοῦτο τοῖς δημοσίοις δύναιτ' ἂν ὁ ἐξισωτής. ἐκεῖνος τε γὰρ εὐνομίαν ταῖς πόλεσι παρασκευάζει, δικαίως διαιτῶν καὶ τοῖς νόμοις πείθεσθαι καταναγκάζων, καὶ οὗτος, ἂν ἐθέλῃ τὰ δίκαια ποιεῖν καὶ τὰ λυσιτελοῦντα τῷ κοινῷ, τῶν μὲν ἀφαιρήσεται, ἂν πλέον καρπῶνται τοῦ δικαίου, τοῖς δὲ ἔλαττον ἔχουσι προσθεὶς, προθύμους πρὸς τὰς στρατείας παρασκευάσει πάντας καὶ φυλάττοντας τὴν τάξιν καὶ πειθομένους ἄριστα

τοῖς στρατηγοῖς. ὡς οὖν μεγάλα πεπιστευμένος καὶ τὰ μέγιστα συμβαλλόμενα πρὸς τὴν διοίκησιν τῶν ὅλων, οὕτω χρὴ καὶ πεπεῖσθαι καὶ προσήκουσαν σπουδὴν καὶ προθυμίαν ἐπιδείκνυσθαι ἐπὶ τοῖς ἔργοις.“ τοιαῦτα μὲν διῆλθε πρὸς αὐτὸν, ἀπολογίαν ποιούμενος ἐφ’ οἷς ἠξίου. ἔπειτα τῶν χρημάτων ἐπυνθάνετο τὸν ἀριθμὸν ὁπόσος εἴη. τοῦ δὲ ἀποκριναμένου, χρυσίου μὲν εἶναι μυριάδας δέκα, ἔπιπλά τε καὶ σκεύη, ἐκ χρυσοῦ πεποιημένα καὶ ἀργύρου, χρυσίων τετρακισμυρίων ἄξια, καὶ ταῦτα φαμένου πάντα τὸ νῦν ἔχον ἑτοίμως ἐπιδοῦναι ἔχειν, τῶν οἰκετῶν μετακαλεσάμενός τινα, „οὐκοῦν“ ἔφη „ταῦτα τούτῳ παράδος ἀπελθών. [20]

2 63 “ ὡς δὲ μηδὲν μελλήσας ἐπορεύετο τὰ προστεταγμένα ἐκπληρώσων, πρὶν οἴκαδε ἐλθεῖν ὁ μέγας δομέστικος ἐκέλευεν ἀναστρέφειν. καὶ τῆς μὲν προθυμίας ἕνεκα ἐπῄνει, τὰ χρήματα δὲ ἐκέλευεν αὐτὸν φυλάττειν, ὡς νῦν μὲν αὐτῶν οὐ δεομένῳ. ἐὰν δὲ τῶν ἰδίων ἀναλωθέντων, καὶ τούτων δεηθῇ, τότ’ ἤδη λαμβάνειν, ὡς αὐτῷ καὶ ταῦτα διαφέροντα, καὶ ἀναλίσκειν, ὅποι ἂν δοκῇ τῷ κοινῷ ἀναλωθέντα μάλιστα λυσιτελήσειν. ὁ δ’ ἀπηγόρευε μὲν τῶν χρημάτων τὴν φυλακὴν, οὐ καθ’ ἡδονὴν εἶναι, φάσκων, αὐτῷ παρακατέχειν ἔτι· ὅμως ἀναγκαίως προσταττόμενος ἐπείθετο. μετὰ τοῦτο δὲ ὁ μέγας δομέστικος τῶν τε συγκλητικῶν καθ’ ἕνα καὶ τῶν ἄλλως εὐγενείᾳ διαφερόντων, ἔπειτα καὶ στρατιώτας μετακαλούμενος, τῆς τε παρὰ βασιλέως ἀποτεταγμένης ἑκάστῳ προνοίας ἐπυνθάνετο τὸν ἀριθμὸν καὶ εἰ τοσοῦτον κέκτηται νῦν ἢ τοῦ τεταγμένου ἧττον. τῶν δὲ ἀποκριναμένων ἑκάστου, ὅπως εἶχε τὰ αὐτοῦ, τοῖς μὲν ἀπεστερημένοις τῶν δεόντων τὸν Πατρικιώτην ἐκέλευεν ἀναπληροῦν καὶ προσέτι προστιθέναι, ὅσον αὐτῷ καλῶς ἔχειν ἐδόκει, ἀναλόγως ἑκάστῳ τὴν εὐεργεσίαν προστιθείς· τοῖς δὲ ἀνενδεεῖς τὰς ἐκ βασιλέως ἔχουσι προσόδους καὶ αὐτοῖς ἐκέλευεν ὁμοίως πρὸς οἷς ἔχουσι καὶ ἑτέρας προστιθέναι. καὶ ἐν ἑξήκοντα ἡμέραις μάλιστα γεγενημένου τοῦ ἀναδασμοῦ, τοῖς τε ἔλαττον ἔχουσι προσετίθετο τὸ ἐλλεῖπον μετὰ προσθήκης, καὶ τοῖς λειπομένοις μηδενὸς ἡ προσθήκη προσεγίνετο. καὶ πάντες ἐξαρκούσας τὰς προσόδους ἡγησάμενοι, χάριτάς τε ὡμολόγουν τῷ μεγάλῳ δομεστίκῳ πολλὰς, καὶ πρόθυμοι ἦσαν τοῖς ὁπουδήποτε γῆς τῶν Ῥωμαίων πολεμίοις μάχεσθαι. [25]

2 64 καὶ ὅπλα ἐπεσκεύαζον διασμήχοντες, καὶ ἵππους προσεπορίζοντο καὶ πλείους καὶ βελτίους τῶν προτέρων· καὶ ὅλως ἐδόκουν καὶ ἀγανακτεῖν, ὅτι μὴ τάχιον πρὸς ἄμυναν ἐξάγονται τῶν πολεμίων. θ′. Ἐπεὶ δὲ ταῦτα αὐτῷ διῴκητο καλῶς, συνεβούλευε τῇ βασιλίδι, τὸν υἱὸν βασιλέα τὸν Ἰωάννην χρίειν τε μύρῳ τῷ ἁγίῳ καὶ στέφει τὴν κεφαλὴν κατακοσμεῖν. καὶ ἔπεισέ γε δόξας βουλεύεσθαι καλῶς. τῶν δὲ καθ’ αἷμα προσηκόντων βασιλεῖ τινων μὴ δίκαιον εἶναι παραινούντων, τοῦ πατρὸς ὀλίγῳ πρότερον τετελευτηκότος βασιλέως, τὸν υἱὸν πανηγυρίζειν, (τοῦτο δὲ αὐτοῖς ὁ παρακοιμώμενος Ἀπόκαυκος ὑπετίθει λέγειν, ὡς ἐκ τῶν ὕστερον γέγονε καταφανὲς, τὴν γεγενημένην στάσιν μελετῶν καὶ μὴ βουλόμενος βασιλίδα τῆς εἰς αὐτὴν καὶ τὸν υἱὸν εὐνοίας ἐνέχυρα πιστὰ κεκτῆσθαι παρὰ μεγάλου δομεστίκου,) εἰς τὴν ὑστεραίαν τὸ ἔργον ἀνεβάλλετο ἡ βασιλὶς, τὴν μέμψιν τινῶν αἰτιωμένη, ὅτι δὴ πυθόμενοι κατηγοροῖεν, ὡς οὐ κεχρημένων τῷ πράγματι κατὰ καιρὸν, ἀλλ’ ἐν οἷς ἔδει κόπτεσθαι καὶ θρηνεῖν, πανηγυριζόντων αὐτῶν καὶ τὴν βασιλικωτάτην τελούντων ἑορτήν. ὁ δ’ ἀνοηταίνειν ἔφασκε παντάπασι τοὺς εἰρηκότας καὶ μηδὲ τοῦτο ἐννοεῖν, ὡς πολλοῖς τῶν βασιλέων τελευτῶσιν ἡ ἀνάῤῥησις ἐγίνετο τῶν παίδων, οὐδενὸς αὐτοῖς τὴν ἀκαιρίαν μεμφομένου, ἀλλὰ πάντων, ὥσπερ δίκαιον ἦν, λογιζομένων, μάλιστα προσήκειν ἐν τοῖς τοιούτοις καιροῖς, οὐ τρυφῆς ἕνεκα καὶ ἡδονῆς, ἀλλὰ τοῦ μηδεμίαν πρόφασιν στάσεως καὶ ταραχῆς ἐγγενέσθαι τοῖς πολλοῖς, πάντων ἤδη πεπεισμένων ἀκριβῶς, ὡς ὑπὸ βασιλέα τελοῦσι καὶ δίκας δώσουσι τῆς παρανοίας, ἂν ἐπιχειρῶσι στασιάζειν. [5]

2 65 παρῄνει τε αὐτῇ, τοὺς μὲν ἐκείνων λόγους χαίρειν ἐᾷν, αὐτοὺς δὲ χωρεῖν ἐπὶ τὸ ἔργον, ὡς ἅμα λυσιτελὲς καὶ δίκαιον ὄν. ἡ δὲ μὴ πολυπραγμονεῖν ἐδεῖτο, ἀλλὰ νῦν μὲν ἐᾷν διὰ τὰς δόξας τῶν

πολλῶν, ὀλίγῳ δὲ ὕστερον ποιεῖν, ἡνίκα ἂν ἐξῇ καὶ τὰς λοιδορίας διαφεύγειν. ὁ μέγας δὲ δομέστικος πρὸς μὲν τῆς βασιλίδος τὴν ἔνστασιν οὐδὲν ἀντεῖπεν· ἤχθετο δὲ, ὅτι οὐκ αὐτῷ τὰ βελτίω, ἀλλ' ἑτέροις ἀλυσιτελῆ βουλευομένοις πείθοιτο. ἐκεῖνο μὲν οὕτως ἐκωλύθη. μικρῷ δὲ ὕστερον ἠγγέλλετο, ὡς Σαρχάνης ὁ Λυδίας σατράπης καὶ Γιαξὴς πρὸς Θρᾴκην περαιοῦσθαι παρασκευάζονται, ναυσὶ ληϊσόμενοι Ῥωμαίους. ὁ μέγας δὲ δομέστικος οὐκ ἠμέλει, ἀλλ' αὐτίκα τριήρεις, ὅσας ἐξαρκέσειν ᾤετο, πρὸς πόλεμον τοῖς βαρβάροις ἐκέλευε πληροῦν. τὴν δὲ δαπάνην τῶν τριήρεων, τὴν μὲν ἐκ τῶν δημοσίων τοῖς ταμίαις ἐκέλευε παρέχειν, τὴν δ' ἐκ τῶν ἰδίων παρείχετο αὐτός. ἐπεὶ δὲ ἐπεπλήρωντο, ταῖς μὲν ἐπέστησε στρατηγὸν τὸν παρακοιμώμενον Ἀπόκαυκον, καὶ ὅσα ἔδει ἐντειλάμενος καὶ τοῦ λοιποῦ κελεύσας αὐτῷ μέλειν τὸν ἀπόπλουν, αὐτὸς Ὀρχάνῃ, τῷ τῆς κατὰ Βιθυνίαν ἑῴας σατράπῃ, διεπρεσβεύετο περὶ εἰρήνης. [20]

2 66 οὐδὲ γὰρ ἐδόκει δεῖν αὐτῷ πρὸς ἑσπέραν μέλλοντι στρατεύειν, πόλεμόν τινα Ῥωμαίοις ὀπίσω καταλιπεῖν. ἐπεὶ δὲ καὶ ἡ πρὸς ἐκεῖνον εἰρήνη τέλος εἶχεν, αὐτὸς μὲν πρὸς τὴν ἔξοδον παρεσκευάζετο. ἤδη γὰρ καὶ ἡ στρατιὰ κατὰ Διδυμότειχον καὶ τὴν Ἀδριανοῦ πόλιν, αὐτοῦ κελεύοντος, συνελέγοντο. ἐν ᾗ δὲ ἔμελλεν ἡμέρᾳ Βυζαντίου ἐξιέναι, τὸν πατριάρχην μόνος μόνον παραλαβὼν καὶ πρὸς τὸν ἐν βασιλείοις τοῦ μυροβλύτου Δημητρίου τοῦ μάρτυρος γενόμενος ναὸν, „τοὺς μὲν ἐμοῦ τε μεταξὺ καὶ βασιλίδοσ“ ἔφη „γεγενημένους λόγους οὐκ ἀγνοεῖς. οὐ γὰρ μόνον παρῆς τοῖς παρ' ἀμφοτέρων λεγομένοις, ἀλλὰ καὶ τῶν πρότερον ἰδίᾳ ἡμῶν ἑκάστῳ εἰρημένων αὐτὸς ἦσθα μηνυτής. οὐδὲν δὲ παράλογον ἢ θαυμαστὸν, εἰ τότε μὲν περὶ ἐμοῦ τοιαῦτα ἐπῄει τῇ βασιλίδι λέγειν, ἴσως οἰομένῃ μεγάλα τινὰ καταπράξεσθαι ἐμὲ, νυνὶ δὲ ἐπὶ τῶν ἔργων, μὴ κατ' ἐλπίδας αὐτῇ τῶν πραγμάτων ἐκβαινόντων, μεταμέλειά τις εἰσῆλθε τῶν γεγενημένων. εἰ μὲν οὖν, ὅπερ ἔφην, πρός τι τῶν γινομένων ἀηδῶς διατεθεῖσα, τὰ δεδογμένα μηκέτι στέργειν ἐθέλει, διαῤῥήδην λέγειν ἀξιῶ καὶ μὴ συγκαλύπτειν ὑπ' αἰδοῦς. ἐγὼ γὰρ ὥσπερ καὶ πρότερον ἑτοιμότατα ἔχω παραιτεῖσθαι τὴν ἀρχήν. εἰ δ' ἐκείνη διὰ τέλους ἔγνωκε στέργειν τὰ ἐψηφισμένα καὶ τοὺς ὅρκους, οὓς ὀμώμοκε, τηρεῖν, οὐδ' αὐτὸς ἀμελήσω τοῦ μὴ πάντα πράττειν, ὅσα ἂν αὐτῇ τε καὶ παισὶ καὶ κοινῇ λυσιτελῇ Ῥωμαίοις. [20]

2 67 “ τοῦ πατριάρχου δὲ πρὸς τὴν ἀκαιρίαν τῶν λόγων μεμψαμένου καὶ μὴ τοιαῦτα προσήκειν αὐτὸν μήτε διανοεῖσθαι φαμένου, μήτε λέγειν· βασιλίδα γὰρ μηδὲν περὶ αὐτοῦ λογίζεσθαι τοιοῦτον, ἀλλὰ βασιλέα οἴεσθαι ἐν ζῶσιν εἶναι καὶ τὴν Ῥωμαίων ἡγεμονίαν ὥσπερ ὑπ' ἐκείνου διοικεῖσθαι, τῶν σῶν μεμνημένην λόγων, ὧν διεξῇεις πρὸς αὐτὴν, ἡνίκα ἐποιεῖσθε τὰς συμβάσεις·“ „οὐκοῦν“ ὁ μέγας δομέστικος ἔφη „περὶ μὲν ἐκείνης οὕτω δεῖ πεπεῖσθαι, ὥσπερ αὐτὸς διϊσχυρίζῃ. περὶ δὲ σοῦ τί ποτε ἔξεστι νομίζειν; ἆρ' ἐμμενεῖς ταῖς ὁμολογίαις, μᾶλλον δὲ τοῖς ὅρκοις, οὓς ἐποιήσω πρὸς ἐμέ;“ ὁ δ' αὐτίκα πάλιν ἀναστὰς, „εὐλογητὸς“ εἶπεν „ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι καὶ πρότερον καὶ νῦν οἷσπερ εἶπον ἐμμενῶ καὶ οὐδενὸς ἀμελήσω τῶν σῶν δικαίων· ἀλλ' ἀνθέξομαι παντὶ σθένει, οὐ μόνον ὡς εὐεργέτην ἀμειβόμενος ἔργοις ἀγαθοῖς, ἀλλὰ καὶ ὡς υἱοῦ κηδόμενος πνευματικοῦ.“ ἐπὶ τούτοις δὲ αὐτῷ πολλὰς ὁ μέγας δομέστικος χάριτας ὁμολογήσας καὶ συνταξάμενος, καταλιπὼν τὸν πατριάρχην, ἦκεν ὡς βασιλίδα. ἡ δ' εὐθὺς ὡς εἶδε, χάριτας ἔφασκεν ὁμολογεῖν αὐτῷ πολλὰς, ὅτι ἃ πρότερον ἐπηγγέλλετο λόγοις, νῦν ἀποδείκνυσιν ἐπὶ τῶν ἔργων ἀληθῆ, μήτε σώματος φειδόμενος, ἀλλ' ὑπὲρ τῶν κοινῇ συμφερόντων νύκτωρ πονῶν καὶ μεθ' ἡμέραν, μήτε χρημάτων· (ἦν γὰρ δὴ ὁ μέγας δομέστικος οὐ μόνον πρὸς τῶν τριήρεων τὴν δαπάνην χρήματα ἀναλωκὼς πολλὰ ἐκ τῶν ἰδίων, ἀλλὰ καὶ ἐν πολλοῖς ἑτέροις, ἃ συνοίσειν ἔμελλε πᾶσι κοινῇ, φιλοτίμως ἄγαν καὶ δαψιλῶς καταναλίσκων μετὰ τὴν βασιλέως τελευτήν·) παρῄνει τε, μὴ οὕτω ποιεῖν, ὡς οὐκ ἐξαρκέσοντα πρὸς τοὺς πόνους ἐπιπολὺ, ἀλλ' ἑαυτοῦ τε πρόνοιαν ποιεῖσθαι καὶ χρημάτων φείδεσθαι, χρώμενον τοῖς δημοσίοις. [5]

2 68 ὁ δ’ ἔφασκε μᾶλλον ἥδεσθαι πονῶν αὐτὸς ὑπὲρ τῶν κοινῇ λυσιτελούντων, ἢ ἕτεροι πρὸς ἀνέσεις τετραμμένοι καὶ ἡδονάς. τό, τε χρήματα καταναλίσκειν οὐ ζημίαν, ἀλλὰ πάντων κερδῶν ἡγεῖσθαι χαριέστερον, ἄχρις ἂν, καὶ τοῦ θεοῦ συναιρομένου, τὴν Ῥωμαίων ἡγεμονίαν ἐπὶ μέγα ἴδοι αἰρομένην καὶ πάντων κρατοῦσαν πολεμίων. ἐλπίζειν δὲ μετὰ μικρὸν, εἰ μή τι κώλυμα συμβαίη, τοσαῦτα Ῥωμαίοις ὠφελήσειν, ὅσα καὶ αὐτὴν ὁρῶσαν, θεῷ χάριτας ὁμολογεῖν τῷ συνεργῷ τῶν καλῶν. οὐ μικρὰ γάρ τινα διανοεῖσθαι παρασκευάσειν τοῦ χειμῶνος, ὡς ἅμα ἦρι πολλοὺς τῶν πρότερον κατὰ Ῥωμαίων θρασυνομένων ὑποφόρους καὶ δουλείαν ὁμολογοῦντας βασιλεῖ Ῥωμαίων ἀποδείξων. καὶ τοιαῦτα ἕτερα πολλὰ προσεπειπὼν, ὅσα τε αὐτὸς διενοεῖτο πράττειν καὶ βασιλίδα ᾔδει ἀκούουσαν πρὸς ἡδονὴν, καὶ τελευταῖον συνταξάμενος, ἐξῄει Βυζαντίου ἅμα στρατιᾷ καὶ τῶν εὐπατριδῶν πολλοῖς, τὴν μητέρα καταλιπὼν ἐκεῖ, ὡς παραμυθίαν οὐ μικρὰν ἐσομένην βασιλίδι πρὸς τὰς συμφοράς. [20]

2 69 ι′. Ἐπεὶ δὲ γένοιτο πρὸς Διδυμοτείχῳ, προὔργου μὲν ἐποιεῖτο παντὸς, τοὺς κατὰ τὰς τῆς Θρᾴκης πόλεις κατοικοῦντας συγκλητικοὺς καὶ τὴν στρατιὰν ἀπροφασίστους ποιεῖν περὶ τὰς στρατείας, ὥσπερ δὴ καὶ Βυζαντίους· καὶ ἐποίησεν ὀλίγων εἴσω ἡμερῶν. ἔπειτα πυθόμενος, ὡς ὁ τῶν Μυσῶν βασιλεὺς Ἀλέξανδρος στρατιὰν ἔχων, ἐστρατοπέδευσεν ἐν Στίλβνῳ Μυσοῖς ὑπηκόῳ πόλει ἐν μεθορίοις τῆς αὐτοῦ τε καὶ Ῥωμαίων ἡγεμονίας ᾠκισμένῃ, ἔγνω δεῖν πρεσβείαν πέμπειν πρὸς αὐτόν. καὶ πέμψας, ἐν Ἀδριανουπόλει τε ἐδήλου διατρίβειν καὶ μαθεῖν ἐθέλειν, εἰ ὁ πόλεμος αὐτῷ μᾶλλον αἱρετέος, ἢ εἰρήνη. τὴν γὰρ προθεσμίαν, ἣν τοῖς ἐκείνου πρέσβεσι παρέσχετο αὐτὸς ἐν Βυζαντίῳ γενομένοις, περὶ ἔξοδον ἤδη εἶναι. Ἀλέξανδρος δὲ ὁρῶν οὐ κατεπτηχότας, ὥσπερ ᾤετο, Ῥωμαίους, ἀλλ’ ἑτοίμους ὄντας ἀμύνεσθαι τοὺς αἱρουμένους ἀδικεῖν, καὶ μήτε ταῖς διὰ τῶν πρέσβεων ἀπειλαῖς, μήτ’ αὐτοῦ τῇ πρὸς τὸν πόλεμον παρασκευῇ δυνάμενος πείθειν, τὰ κατὰ γνώμην αὐτῷ ποιεῖν, πρὸς πόλεμον χωρεῖν ἀλυσιτελὲς οἰόμενος αὐτῷ, ἐχώρει πρὸς συμβάσεις. καὶ τῶν προτέρων αὖθις σπονδῶν καὶ ὅρκων ἀνανεωθέντων, Ἀλέξανδρος μὲν εἰς Τρίνοβον τὰ οἰκεῖα βασίλεια ἐπανεζεύγνυε· δομέστικος δὲ ὁ μέγας εἰς Χερρόνησον μετὰ τῆς στρατιᾶς ἐχώρει, πεπυσμένος στρατιὰν Περσῶν πεζὴν μέλλουσαν εἰς Χερρόνησον ἐμβάλλειν ἐκ Περγάμου ἀφιγμένην, ἧς Γιαξὴς σατράπης ἦν. [20]

2 70 ἅμα δὲ τῷ Ῥωμαίους εἰς Χερρόνησον ἀφικέσθαι, καὶ ἡ στρατιὰ Περσῶν παρῆν. καὶ γενομένης μάχης, οὐδὲ πρὸς ὀλίγον ἴσχυσαν οἱ Πέρσαι Ῥωμαίοις ἀντιστῆναι, ἀλλ’ ἡττηθέντες κατὰ κράτος, οἱ μὲν ἔπεσον κατὰ τὴν μάχην, οἱ δ’ ἑάλωσαν· ὅσοι δὲ ἠδυνήθησαν διαφυγεῖν, ἐμβάντες ταῖς ναυσὶν, ἀπέπλεον ἐπ’ οἴκου. οὐ πολλαῖς δὲ ὕστερον ἡμέραις ἐκ τῆς αὐτῆς χώρας καὶ δευτέρα στρατιὰ ἐπεραιοῦτο, ὡς τὴν προτέραν ἧτταν ἀναμαχεσόμενοι. συμβαλόντες δὲ καὶ τούτοις οἱ Ῥωμαῖοι, ἐνίκησάν τε καὶ ἀπέκτειναν τοὺς πλείους. ἐπεὶ δὲ Γιαξὴς δὶς ἐπλήγη ἐφεξῆς καὶ πολλὴν καὶ ἀγαθὴν ἀπώλεσε στρατιὰν, ἀπογνοὺς τὸ Ῥωμαίοις πολεμεῖν, ἐχώρει πρὸς συμβάσεις. καὶ ἐτίθετο πρὸς αὐτὸν ὁ μέγας δομέστικος σπονδὰς εἰρηνικάς. ἐπεὶ δὲ ἀπετρίψατο τὴν ἐκ τῶν Περσῶν προσδοκωμένην βλάβην, αὖθις εἰς Διδυμότειχον ἐπανελθὼν, παρεσκευάζετο πρὸς τὴν εἰς τὴν ἑσπέραν ἐκστρατείαν καὶ τὴν στρατιὰν ἀποκαθίστη, ἣ ἔμελλε συνέψεσθαι αὐτῷ. τούτων δὲ πραττομένων ὑπ’ αὐτοῦ, ὁ παρακοιμώμενος Ἀπόκαυκος νεωτέρων πραγμάτων ἐπιθυμῶν καὶ τρόπῳ παντὶ πειρώμενος μετάγειν εἰς ἑαυτὸν τῶν πραγμάτων τὴν ἀρχὴν, ἐσκέψατο, ἐπεὶ τοῦ κατὰ Περσῶν αὐτὸς κεχειροτόνητο στόλου στρατηγὸς καὶ δυνάμεως εὐπόρει ναυτικῆς, βασιλέα τὸν νέον Ἰωάννην εἰς μίαν τῶν τριήρεων ἐνθέμενος, ἀγνοούσης βασιλίδος τῆς μητρὸς, εἰς τὸν περὶ Βυζάντιον πρότερον αὐτῷ πύργον ᾠκοδομημένον ὀχυρώτατον ὄντα ὕψει τε καὶ καρτερότητι τειχῶν Ἐπιβάτας προσαγορευόμενον ἀγαγεῖν· ἐκεῖ δὲ μετὰ τῶν συγγενῶν καὶ τῶν οἰκειοτάτων βασιλέα φρουρῶν, σπονδὰς τίθεσθαι πρὸς βασιλίδα, ὥστε αὐτὸν μὲν καὶ συγγενεῖς καὶ τοὺς ἄλλους τοὺς συνόντας τιμὰς τὰς παρὰ Ῥωμαίοις πρώτας καρποῦσθαι καὶ χωρῶν εἶναι καὶ πόλεων

κυρίους, ὁποίων ἂν δόξειεν αὐτοῖς, καὶ μηδὲν ἐλλείπειν εἰς εὐτυχίας λόγον· βασιλέα δὲ οὐδ' οὕτως ἀπολύειν τοῦ φρουρίου, ἀλλ' ὥσπερ ὅμηρον κατέχοντα, μιᾷ τῶν θυγατέρων ἐπὶ γάμῳ προσαρμόζειν. [10]

2 71 ὁ μὲν οὖν τοιαῦτά τε διενοεῖτο καὶ ὥρμητο ἤδη πράττειν. τῶν συνειδότων δέ τινος βασιλίδι ἀπαγγείλαντος, ἐπεὶ βασιλέα τε ἤδη περιΐστατο φρουρὰ καὶ αὐτὸς ἔγνω φωραθείς, ᾤχετο φυγὼν εἰς Ἐπιβάτας, τὸν ἐκ τῶν πραττομένων, ὥσπερ ἦν εἰκὸς, κίνδυνον διαδιδράσκων. περὶ τῶν τοιούτων δὴ ὁ μέγας δομέστικος μαθὼν, καίτοι πρὸς τὴν ἐκστρατείαν παρασκευαζόμενος, ὅμως τὸν Ταρχανειώτην Μανουὴλ, τὸν καὶ Κουρτίκην προσαγορευόμενον, μετὰ στρατιωτῶν ὀλίγων πέμψας, ἐκέλευεν Ἐπιβάτας ἔξωθεν φρουρεῖν ἐστρατοπεδευμένον, ἄχρις ἂν ἀφίκηται αὐτός. πέμψας δὲ καὶ πρὸς Ἀπόκαυκον, ἐπυνθάνετο εἰ ἀληθῆ τὰ θρυλλούμενα εἴη περὶ αὐτοῦ. ὁ δὲ ἔφασκε μὲν συκοφαντεῖσθαι· δείσας δὲ, μὴ φθάσῃ διαφθαρεὶς ὑπὸ διαβολῆς πρὶν διερευνώμενα φανῆναι τἀληθῆ, τὴν σωτηρίαν ἐκ τῶν ἐνόντων ἑαυτῷ πορίζειν, κατακλείσαντα ἐν τῷ φρουρίῳ. [20]

2 72 συνεβούλευέ τε παράδειγμα τῶν ἀπροσδοκήτων τῶν πραγμάτων μεταβολῶν λαμβάνειν ἐξ αὐτοῦ. καὶ πρότερόν τε γὰρ αὐτῷ τὰ τοιαῦτα ὑποτίθεσθαι ἔφασκεν, εἰ καὶ μὴ ἔπειθε, συμβουλεύων τὰ λυσιτελῆ, καὶ νῦν οὐδὲν ἧττον συμβουλεύειν, ἐξ αὐτῶν τῶν πραγμάτων ἔχων τῆς ὠφελείας τὴν ἀπόδειξιν τῶν λεγομένων, καὶ τῶν ὑπ' αὐτῷ τελούντων φρουρίων ἓν, (πολλὰ δὲ εἶναι,) τὸ μάλιστα ἐπιτηδείως ἔχον πρός τε γῆς καὶ θαλάσσης εὐφυΐαν ἐκλεξάμενον, κατασκευαῖς χειροποιήτοις ὀχυρώτατον ποιεῖν, ἵν' εἴ τι συμβαίη τῶν ἀπροσδοκήτων, ἀναχώρησιν ἔχῃ καὶ τῶν δεινῶν ἀποφυγήν. ἐδεῖτό τε, εἰ καὶ μὴ πρότερον, ἀλλὰ νῦν πείθεσθαι αὐτῷ, εὐνοϊκῶς διακειμένῳ πρὸς αὐτὸν, καὶ μὴ ἀτιμάζειν τὴν βουλήν. καὶ γὰρ καὶ αὐτῷ νυνὶ, καίτοι καὶ ψευδῶν ὄντων τῶν εἰρημένων κατ' αὐτοῦ, μηδεμίαν ἑτέραν εἶναι σωτηρίας πρόφασιν, ἢ τὸν πύργον, εἰς ὃν κατέφυγε τὸν κίνδυνον διαδιδράσκων. εἰ δὲ καὶ ἀληθῆ συνέβαινε τὰ εἰρημένα εἶναι, ἢ πρὸς τὸ τόλμημα ἂν συνήρατο ἢ ἐῤῥύσατο τοῦ θανάτου φωραθέντα. Ἀπόκαυκος μὲν οὖν τοιαῦτα συνεβούλευε· δομέστικος δὲ ὁ μέγας πάλιν πέμψας πρὸς αὐτὸν, περὶ μὲν τῶν λεγομένων, ἔφη, κατ' αὐτοῦ μάλιστα βούλεσθαι καὶ αὐτὸν μὴ εἶναι ἀληθῆ, ὥσπερ δῆτα καὶ αὐτὸς διϊσχυρίζεται. οὕτω γὰρ αὐτός τε εὔνους ἔσται ἀποδεδειγμένος βασιλεῖ, καὶ οἱ συκοφάνται αὐτὸ τοῦθ', ὅπερ εἰσὶν, ἐξεληλεγμένοι. εἰ δ' ἄρα καὶ αὐτὸς ἐλπίσι κεναῖς ἀπατηθεὶς, ὅπερ δὴ πολλοῖς συμβέβηκε, τοῦ δέοντος ἐξετράπη, καὶ μήτε δυνατὰ, μήτ' αὐτῷ προσήκοντα διενοήθη, οὐ χρὴ διὰ ταῦτα τὸν πρὸς βασιλέα πόλεμον αἱρεῖσθαι, τείχεσι θαῤῥοῦντα, ἐξ ὧν ἔσται πλέον ὄφελος οὐδέν. [20]

2 73 ἀλλ' ἐπὶ τοῖς προτέροις ἑαυτῷ μεμψάμενον, ὡς κακῶς βεβουλευμένῳ, ἐν τοῖς ἐφεξῆς βελτίω παρέχειν ἑαυτὸν καὶ τὴν προσήκουσαν φυλάττειν τάξιν καὶ συγγνώμης ἐπὶ τοῖς ἡμαρτημένοις δεῖσθαι τυχεῖν. βέλτιον μὲν γὰρ τὴν ἀρχὴν μὴ ἁμαρτάνειν· εἰ δ' ἄρα συμβαίη, δεύτερον ἀγαθὸν ἑαυτόν τινα ἐπανορθοῦν ἀποστάντα τῶν κακῶν. ἐπεὶ δὲ ὅσον οὔπω παρέσται καὶ αὐτὸς, ὃν εἴωθεν αὐτὸς ἰατρὸν ἑαυτοῦ καλεῖν, ἔχων πολλὰ φάρμακα τοῖς ἑκάστου κατ' ἄλληλα νοσήμασιν, εἴ γε βούλοιτο αὐτὸς, ῥᾳδία τῶν τραυμάτων ἡ ἴασις ἐκείνῳ ἔσται. ἦν γὰρ δὴ ὁ παρακοιμώμενος πρὸς τοῖς ἄλλοις, οἷς τὸν μέγαν δομέστικον προσηγόρευε, καὶ ἰατρὸν εἰθισμένος ἑαυτοῦ καλεῖν, οἷα δὴ ἐκ πολλῶν τῶν περισχόντων πολλάκις αὐτὸν κινδύνων ἐξαρπάσαντα καὶ τεθεραπευκότα πονήρως ἐσχηκότα. τῆς γε μὴν ἕνεκα βουλῆς, ἧς αὐτῷ συνεβούλευε περὶ τοῦ φρούριόν τι ἑαυτῷ κατασκευάσαι, ἵν' εἴη καταφυγὴ πρὸς τὰς τῶν πραγμάτων μεταβολὰς, χάριτας μὲν ἔλεγεν εἰδέναι τῆς περὶ ἐκεῖνον προθυμίας καὶ σπουδῆς· αὐτῷ δὲ μὴ τὴν ἐκ τῶν τοιούτων ἀσφάλειαν εἶναι περισπούδαστον. ἀλλ' ἡδέως ἂν ἔχειν, τὴν ἡμέραν ἐκείνην μετὰ τῶν ἐν ᾅδου προσομιλεῖν, ἐν ᾗ μετὰ τὴν ἐκ τῆς ἄνωθεν ἐλπίδα δεξιᾶς τῆς ἐκ τῶν φίλων ἀσφαλείας ἀμελήσας καὶ τοῦ τούτων τὰς καρδίας, ὥσπερ ἀκροπόλεις, οἷα δὴ

ἀσφαλεστάτῃ φρουρᾷ κατέχειν, τῇ φιλίᾳ, ξύλοις καὶ λίθοις καὶ λογισμοῖς ὑγιὲς οὐδὲν ἔχουσι πιστεύσειε τὴν σωτηρίαν. [5]

2 74 πρώτην μὲν γὰρ εὐδαιμονίαν καὶ ἄκρως ἀγαθὸν ἀνθρώποις τὸ θεῷ προσομιλεῖν καὶ διὰ παντὸς αὐτῷ συνεῖναι τῇ πρὸς ἐκεῖνον διὰ καθαρότητος ἀναβάσει, αὐτὸς εἰδέναι. δευτέραν δὲ μετ' ἐκείνην, τὸ φίλοις χρῆσθαι ἀσφαλέσι καὶ πιστοῖς, πρῶτον μὲν τοῖς ὀλίγοις καὶ συνέσει διαφέρουσι τῶν πολλῶν, ἔπειτα δὲ μετ' ἐκείνους καὶ τὴν παρὰ τῶν πολλῶν εὔνοιαν καρποῦσθαι, πάντων ἐκείνοις διὰ χρηστότητα τρόπων προσεχόντων. καὶ τοῦτο οἴεσθαι οὐ πύργων μόνον ἁπάντων ἀναλωτότερον, ἀλλὰ καὶ χρημάτων καὶ δόξης καὶ τιμῆς ἁπάσης τιμιώτερον καὶ βασιλείας αὐτῆς ὑψηλότερον εἰς εὐτυχίας λόγον. ὅθεν οὐδὲ πείσεσθαι αὐτῷ τοιαῦτα συμβουλεύοντι, ἀλλ' ἣν ἐξαρχῆς προείλετο, μέχρι τέλους ἑαυτῷ ἀσφάλειαν τηρήσειν, ὥσπερ δῆτα καὶ σὺ τὴν ἐκ τῶν φρουρίων καὶ ὀχυρωμάτων." Ἀπόκαυκος μὲν οὖν ὁ παρακοιμώμενος οὕτως ἐν Ἐπιβάταις ἐγκεκλεισμένος ἐφρουρεῖτο. ια′. Τοῦ μεγάλου δὲ δομεστίκου Διδυμοτείχῳ ἐνδιατρίβοντος καὶ περὶ τὴν παρασκευὴν τῆς στρατιᾶς ἠσχολημένου, ἦκον ἐκ Πελοποννήσου πρέσβεις πρὸς αὐτὸν, ἐπίσκοπός τε ὁ Κορώνης καὶ ὁ Σιδηρὸς Ντζιουὰν, ἐκ τῶν ἡγεμόνων τῶν πόλεων, αἳ ὑπήκοοι Λατίνοις ἦσαν, ἀπεσταλμένοι. [20]

2 75 ἡ πρεσβεία δὲ ἦν· ὑπὸ βασιλέα γενέσθαι πάντας ἐπὶ τῷ τῶν μὲν πόλεων, ἃς κατέχουσιν, αὖθις αὐτοὺς ἡγεμονεύειν, φόρους δὲ τοὺς δημοσίους πάντας, οὓς πρίγγιπι παρέχουσι, διδόναι βασιλεῖ καὶ πᾶσαν ἄλλην ἐπιδείκνυσθαι καὶ θεραπείαν καὶ δουλείαν, καὶ στρατηγὸν ἐκ βασιλέως ἔχειν, ὑφ' ᾧ τελέσουσιν ἑκόντες πάντες. ἡ μὲν οὖν τῶν ἐκ Πελοποννήσου Λατίνων πρεσβεία τοιαύτη ἦν. γράμματα δὲ καὶ πρὸς τὸν μέγαν δομέστικον πεπόμφασιν, ἃ ἐδήλου τοιάδε· ὡς πάντες αὐτοὶ ἀπὸ συνθήματος, ἔτι περιόντος βασιλέως, βουλεύσαιντο ἀποστάντες πρίγγιπος ἐκείνῳ προσχωρεῖν καὶ ἤδη ἐν ἐπιχειρήσει ἦσαν τοῦ πράττειν τὰ βεβουλευμένα. ἐπεὶ δὲ βασιλέα τετελευτηκότα πύθοιντο, ἀπογνόντας τὴν ἐπιχείρησιν, αὖθις ἠρεμεῖν. Παγάνου δὲ Ντεπιστόγια, συνήθους αὐτοῖς ἐς τὰ μάλιστα καὶ φίλου, ὀλίγῳ πρότερον ἐκ Βυζαντίου ἀφιγμένου, καὶ τῶν πραγμάτων πᾶσαν τὴν ἀρχὴν καὶ τὴν ἡγεμονίαν ὑπὸ σὲ ἀπαγγείλαντος τελεῖν, αὖθις συνελθόντας πάντας ἡμᾶς, τὰ δεδογμένα πρότερον ἐπιψηφίσασθαι, οὐ μόνον διὰ τὴν εὐγένειαν τῶν τρόπων καὶ τὸ δύνασθαι αὐτοῖς, ἄν τινες ἐπίωσιν, ἀμύνειν, ἀλλ' ὅτι καὶ πολὺν ἤδη χρόνον, καίτοι μήπω συντυχόντες, εὐνοϊκῶς σοι διακείμεθα καὶ φιλίως. ἐξ ὅτου γὰρ ἐν Ἀκαρνανίᾳ βασιλεῖ συστρατευόμενος, τοῖς ἐν Θωμοκάστρῳ παρ' ἡμῶν κατὰ συμμαχίαν ἀφιγμένοις Νικηφόρου τοῦ δεσπότου παιδὸς πρὸς λόγους ἐλθὼν αὐτὸς, φίλους ἀντὶ πολεμίων ἔπεισας γενέσθαι, ἐκεῖνοί τε ἀεί σοι τὴν εὔνοιαν διατηροῦσι καὶ ἡμᾶς ἀνέπεισαν, πολλὰ καὶ θαυμάσιά τινα περὶ σοῦ διεξιόντες, τὴν ἴσην καὶ ὁμοίαν εὔνοιαν κεκτῆσθαι περὶ σὲ, ὑφ' ἧς καὶ νῦν πεπείσμεθα, τὴν πρεσβείαν ταύτην ποιήσασθαι νυνί. [20]

2 76 τὴν μὲν οὖν ἀξίωσιν ἡμῶν οἱ παραγενόμενοι ἀπαγγελοῦσι πρέσβεις. ἂν δὲ τούτοις βασιλίς τε καὶ αὐτὸς ἐπιψηφίσησθε, οὐδὲν ἔτι τὸ κωλῦσον ἡμᾶς ὑπὸ τὴν Ῥωμαίων βασιλείαν, ὥσπερ ἐπηγγειλάμεθα, τελεῖν, μόνον εἰ αὐτὸς ἀφίξῃ πρὸς ἡμᾶς, τάς τε πόλεις παραληψόμενος καὶ τὰ ἐνταῦθα πράγματα, ὅπῃ ἄν σοι δοκῇ, ἄριστα διοικήσων." τὰ μὲν οὖν γράμματα ἰδίᾳ τε ἑκάστῳ καὶ πᾶσιν ὁμοῦ τοιάδε ἦν. ἃ δεξάμενος ὁ μέγας δομέστικος, ἥσθη τε ὑπερφυῶς καὶ τοῖς τε πρέσβεσι προσεφέρετο φιλοτίμως ἄγαν καὶ μεγαλοπρεπῶς. καὶ τοῖς πεπομφόσιν ὡμολόγει χάριτας πολλὰς τῆς εἰς αὐτὸν εὐνοίας καὶ τἄλλα τε, ὅσων ἐδέοντο, ὑπέσχετο ποιήσειν καὶ ἀφίξεσθαι πρὸς αὐτοὺς ἅμα ἦρι. νῦν γὰρ οὐκ εἶναι ῥᾴδιον κινεῖν τὴν στρατιὰν πρὸς οὕτως ὑπερόριον στρατείαν, οὐ μετὰ πολὺ χειμῶνος ἐσομένου· (φθινοπώρου γὰρ ὥρα τότε ἦν,) πίστεως δὲ τῶν εἰρημένων ἕνεκα καὶ Βρουλᾶν τὸν Ἰάκωβον παρείχετο αὐτοῖς, ὥστε συνεῖναι τοῦ χειμῶνος, ὃς τῶν οἰκειοτάτων ἦν αὐτῷ, ἅμα μὲν τὴν πρὸς αὐτοὺς εὐμένειαν ἐπιδεικνύμενος, ὅτι ὡς οἰκείων ἤδη προνοοῖτο, ἅμα δ' εἴ τι καὶ δύσνουν ἔτι ὑπολέλειπτο τῶν

ἐν Πελοποννήσῳ, προσαξόμενος δι’ αὐτοῦ, ὥστε μηδεμίαν εἶναι δυσχέρειαν ἐκεῖσε παραγενομένῳ, ἀλλ’ ὑπαγάγηται πάντας βασιλεῖ. [20]

2 77 δώροις δὲ τούς τε πρέσβεις ἅμα καὶ τοὺς πεπομφότας φιλοτίμως ἀμειψάμενος, συνεξαπέστειλεν αὐτοῖς ἅμα τὸν Βρουλᾶν, ἐπαγγειλάμενος ἐπικαίρως καὶ αὐτὸς ἀφίξεσθαι. ἐν Βυζαντίῳ δὲ παρεσκευασμένων τῶν τριήρεων, ἃς πρὸς τὴν ἔφοδον τῶν Περσῶν ἔφημεν ὁπλίζεσθαι, ἐπεὶ ὁ παρακοιμώμενος, ὃς αὐτῶν στρατηγὸς κεχειροτόνητο, δύσνους βασιλίδι γεγονὼς, ἐδραπέτευσεν ἐν Ἐπιβάταις, πέμψας ὁ μέγας δομέστικος ἐνεχείρισε τῷ ἐπὶ τοῦ στρατοῦ Σεναχηρεὶμ, ὃς αὐτίκα ἀποπλεύσας, τήν τε Περσικὴν διέλυσε στρατιὰν καταπλήξας τῷ τάχει τῆς παρασκευῆς, καὶ πολλὰ τὴν Σαρχάνη κακώσας χώραν καὶ πολίσματος ἑνὸς τῶν παραθαλασσίων κρατήσας ἐξ ἐφόδου καὶ ἐξανδραποδισάμενος καὶ τἆλλα ὅσα ἔδει τὸν ἀγαθὸν ποιήσας στρατηγὸν, ἐπανῆλθεν εἰς τὴν Κωνσταντίνου. ἐκ δὲ τῆς ἑσπέρας μετὰ τὴν βασιλέως τελευτὴν ὅ,τε πρωτοστράτωρ Συναδηνὸς Θεσσαλονίκης ἐπιτροπεύων καὶ ὁ Χρέλης Κωνσταντῖνός τε Παλαιολόγος ὁ τοῦ βασιλέως θεῖος καὶ ὁ τοῦ μεγάλου δομεστίκου ἀνεψιὸς Ἄγγελος Ἰωάννης ὁ πιγκέρνης Τζαμπλάκων τε ὁ μέγας παπίας καὶ ὅσοι τῶν ἐν τέλει ἦσαν πόλεων ἐπιτροπεύοντες, πρὸς ἀλλήλους ἐπικηρυκευσάμενοι καὶ συμφρονήσαντες, οἱ πλείους μὲν κατελείποντο διοικοῦντες τὰς ἀρχάς· πιγκέρνης δὲ ὁ Ἄγγελος καὶ ὁ Παλαιολόγος Κωνσταντῖνος καὶ Τζαμπλάκων πρὸς τὸν μέγαν δομέστικον ἀπεστέλλοντο, τὰ κοινῇ δηλώσοντες πᾶσι δεδογμένα. [20]

2 78 ἔτι δὲ ἐχόμενοι ὁδοῦ, κήρυκα προπέμψαντες, ἐδήλουν γράμμασι τῷ μεγάλῳ δομεστίκῳ, μηδὲν περὶ ἑαυτοῦ κινεῖν τῶν καθεστώτων, μηδὲ πράττειν μηδὲν, μήτε τῶν δοκούντων βελτιόνων ἢ χειρόνων, ἂν μὴ παρῶσι καὶ αὐτοί· πάντως δὲ παρέσονται ὅσον οὐδέπω. δίκαιον δὲ εἶναι πείθεσθαι αὐτοῖς, οὐ μόνον ἐν τοῖς πρώτοις τῶν φίλων τεταγμένοις, ἀλλὰ καὶ παρ’ ἑτέρων ἥκουσιν ὁμοίων. παραγενομένοις δὲ, ἃ ἂν πᾶσι δόξειε κοινῇ λυσιτελεῖν, ταῦτα πράττειν. ἐπεὶ δὲ γένοιντο ἐγγὺς Διδυμοτείχου, πάλιν ἕτερον προπέμψαντες, τήν τε ἄφιξιν ἐμήνυον αὐτῶν καὶ προετρέποντο ἐξιέναι εἰς ὑπάντησιν αὐτῶν. τῷ δὲ ἐδόκουν ἀνόητα ἀξιοῦν. οὐ γὰρ αὐτόν τινα προσήκειν τοὺς ἐντυγχάνοντας τιμᾶν προσαναγκάζειν, ἀλλ’ ἐκείνους οἴκοθεν ἀξίους κρίνοντας ἐπιψηφίζειν τὴν τιμήν. ἐξετάζοντι δὲ πρὸς ἑαυτὸν τὸν λόγον, διὰ τὴν δοκοῦσαν ἀτοπίαν παρίστατο νοεῖν ὅπερ ἦν, ὡς οὐ σφετέρας ἕνεκα αὐτῶν τιμῆς ἠξίουν τοιαῦτα, ἀλλ’ ἵνα ὑπαντήσαντος, τῶν ἵππων ἀποβάντες αὐτοὶ τιμὴν ἀποδῶσι τὴν μείστην. ὁ μὲν οὖν τοιαῦτα ἐννοήσας, ἔμεινεν οἴκοι. τοῖς δ’ ἐπεὶ οὐκ ἐξεγένετο τὴν ἐπίνοιαν εἰς ἔργον ἀγαγεῖν, ὀλίγῳ ὕστερον καιρὸν ἐπιτηρήσαντες καὶ συντυχόντες ἐφίππῳ, τῶν ἵππων ἀποβάντες προσεκύνουν. εἶτ’ αὐτῷ οἴκοι συνελθόντες οὐ κατὰ τὸ πρότερον ἔθος συνεισῄεσαν ἔφιπποι τὴν αὐλὴν, ἀλλ’ ἔξω καταλιπόντες, παρέθεον πεζῇ. ὁ δὲ ἠγανάκτησεν ἐφ’ ἑκατέροις οὐ μετρίως. ἔπειθ’ ἑαυτῷ περιστησάμενος, κατηγόρει τὴν καινοτομίαν καὶ μὴ τοιαῦτα συνεβούλευε ποιεῖν, ἀλλὰ τοῖς προτέροις ἔθεσιν ἐμμένειν. [20]

2 79 εἰ δὲ μὴ πείθοιντο, ἠπείλησεν ἀπελάσειν πρὸς ὀργήν. δεῆσαν δὲ αὖθις ἵππῳ ἐπιβῆναι, ἐκέλευε τῆς πύλης ἄγειν ἔξω· εἶτα παριὼν τὴν αὐλὴν πεζῇ ἐπέβαινε πρὸς τῇ πύλῃ. ὅπερ οἱ τὴν καινοτομίαν ἰδόντες εἰργασμένοι καὶ καταπτήξαντες τὴν ἀπειλὴν, ἐνέμενον τοῖς προτέροις, μηδὲν καινὸν, μήτε διανοούμενοι, μήτε πράττειν ὑπομένοντες, μήτ’ ἐκεῖνοι, μήθ’ ἕτεροί τινες. ιβ′. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον καὶ ὁ τῶν Τριβαλῶν ἄρχων Στέφανος ὁ Κράλης τὰς πρὸς βασιλέα λύσας σπονδὰς, ἐπεὶ ἐπύθετο ἀποθανόντα, τήν τε ἄλλην πᾶσαν κατέδραμε Μακεδονίαν λῃϊζόμενος, καὶ Θεσσαλονίκην παρελθὼν, ἄχρι χωρίου ἦλθε τοῦ προσαγορευομένου τῶν Κρητῶν. ἔπειτα ἀνέστρεφεν, οὐ πολλὴν λείαν ἐπαγόμενος διὰ τὸ, μηνυθείσης τῆς ἐφόδου, πρότερον ταῖς πόλεσι καὶ τοῖς φρουρίοις τά τε βοσκήματα καὶ τοὺς ἀνθρώπους ἐγκατακλεισθῆναι. ἐπεὶ δὲ ἠγγέλλετο περὶ τούτων τῷ μεγάλῳ δομεστίκῳ, ἐκκλησίαν

συναθροίσας, ἐβουλεύετο μετὰ τῶν ἐν τέλει καὶ τῶν ἡγεμόνων τῆς στρατιᾶς, ὅ, τι δέοι ποιεῖν πρὸς τὴν ἔφοδον τῶν Τριβαλῶν. οἱ μὲν οὖν ὅ,τι ἕκαστος ἐδόκει λυσιτελεῖν ἐβουλεύετο πρὸς τὰ παρόντα. τῷ μεγάλῳ δὲ δομεστίκῳ τὸ πρὸς Κράλην ἀντικαθίστασθαι ταχέως, ἵν' ἢ πείθοιεν αἱρεῖσθαι τὴν εἰρήνην ἢ θρασυνομένῳ πολεμοῖεν, δοκοῦν τῶν ἀναγκαίων, ἔτι πολλῷ μᾶλλον ἀναγκαιότερον καὶ λυσιτελέστερον πρὸς τὴν εἰς Πελοπόννησον στρατείαν ἅμα ἦρι παρεσκευασμένους ἐδόκει εἶναι καὶ μὴ προΐεσθαι τὸν καιρὸν, πράξεων παρεχόμενον μεγάλων ἀφορμάς. [20]

2 80 „εἰ γὰρ, θεοῦ συναιρουμένου, τοὺς τὴν Πελοπόννησον οἰκοῦντας Λατίνους“ ἔφασκε „γένοιτο προσλαβεῖν, ἀνάγκη καὶ τοὺς τὴν Ἀττικὴν καὶ Βοιωτίαν οἰκοῦντας Κατελάνους ἢ ἑκόντας ἡμῖν ἢ βιασθέντας προσχωρῆσαι. τούτου δὲ γεγενημένου καὶ τῆς Ῥωμαίων ἡγεμονίας ὥσπερ ἐν τοῖς πάλαι χρόνοις ἐκ Πελοποννήσου μέχρι Βυζαντίου συνεχοῦς γεγενημένης, ἔξεστι συνορᾷν, ὡς οὐδὲν ἔργον ἤδη Τριβαλούς τε καὶ τοὺς ἄλλους περιοίκους τῶν βαρβάρων τῆς ὕβρεως δίκας ἀπαιτεῖν, ἧς ἐξυβρίζουσιν εἰς ἡμᾶς τοσοῦτον ἤδη χρόνον. ὡς οὖν μεγάλων ἐκεῖθεν ἐλπίδων ὑποφαινομένων, οὕτω προσήκει πράττειν ὥστε μὴ τὸν καιρὸν ἡμᾶς διαφυγεῖν. οὗ δὴ ἕνεκα εἰς Βυζάντιον ἡμᾶς ἐπανελθεῖν ἡγοῦμαι νυνὶ προσήκειν. δυνάμεως γὰρ ἡμῖν πρὸς τὴν Πελοπόννησον χρεία ναυτικῆς, ἣν δεῖ τοῦ χειμῶνος παρασκευασθῆναι. ἂν οὖν τούτων ἀμελήσαντες νῦν, τραπώμεθα πρὸς τὴν ἑσπέραν, νομίσαντες ὡς ἐπανήξομεν τἀκεῖ καταστήσαντες ταχέως, δέος μὴ πολέμοις ἐμπλακέντες καί τισιν ἑτέροις ἀναγκαίοις καὶ μὴ δυνηθέντες παρασκευάσασθαι, ἐπανελθόντες ἀπολέσωμεν τὴν πρᾶξιν. ἐὰν δὲ γενώμεθα ἐν Βυζαντίῳ νῦν, πρῶτα μὲν ναυάρχους καταστήσομεν καὶ στρατηγὸν, οἷς μελήσει τάς τε ναῦς ἐπισκευάζειν καὶ ναύτας, οἳ ἐπιβήσονται, καὶ ὁπλίτας καταλέγειν. [20]

2 81 ἔπειτα δὲ καὶ περὶ χρημάτων σκεψόμεθα, ὅθεν λαμβάνειν αὐτοῖς ἐξέσται πρὸς τοῦ στόλου τὴν παρασκευήν. πρὸς δὲ τούτοις καὶ τοὺς τῶν δημοσίων φόρων διοικητὰς ἀνάγκη καθιστᾷν, ἵνα μὴ, ἀτάκτως φερομένων καὶ ὡς ἔτυχε, λύμη τις γένηται περὶ χρήματα τὰ κοινὰ, ἐπιδεδωκότα οὐ μικρῶς ἐκ προσθήκης μὲν οὐδεμιᾶς τῶν εἰθισμένων φόρων, ἐξ ἑτέρων δέ τινων τρόπων καὶ ἐπινοιῶν. ἐπειδὰν δὲ ταῦτα τῆς προσηκούσης ἐπιμελείας τύχῃ καὶ φροντίδος, πρεσβείαν διανοοῦμαι πέμπειν πρὸς τὸν ἄρχοντα τῶν Τριβαλῶν, ἅμα μὲν κατασκεψομένους τὴν ἐκείνου δύναμιν ὁπόση εἴη, ἅμα δὲ, εἰ καὶ πρὸς διαλλαγὰς ἑτοίμως ἔχει, χωρήσοντας πρὸς διαλύσεις. οὐ γὰρ ἡγοῦμαι νῦν ἡμῖν λυσιτελεῖν, ἐξὸν εἰρήνην μετὰ τῶν ὁμορούντων ἐθνῶν ἄγειν, ἑκοντὶ τὸν πόλεμον αἱρεῖσθαι. αὐτὸς δὲ ὀλίγας ἡμέρας Βυζαντίῳ ἐνδιατρίψας, ἔπειτα τὸ μισθοφορικὸν τῆς στρατιᾶς καὶ τῶν ἐκ χωρίων τὰς προσόδους ἐχόντων τοὺς δυνατωτέρους παραλαβὼν, ὡς καὶ τῆς ἑσπερίου στρατιᾶς συνεσομένης, πρὸς ἑσπέραν τοῦ χειμῶνος βαδιοῦμαι, τοῖς ἄλλοις ἐπιτρέψας οἴκοι διατρίβειν καὶ παρασκευάζεσθαι πρὸς τὴν στρατείαν, ὡς ἅμα ἦρι ἐσομένης. καὶ Ἀλβανοὺς τοὺς περὶ Πογονιανὴν καὶ Λιβίσδαν νεμομένους ληϊσάμενος καὶ δίκας τῆς ἀδικίας ἐπιθεὶς, (ἴστε γὰρ δήπου καὶ αὐτοὶ, ὡς καὶ περιόντος βασιλέως καὶ μετὰ τὴν ἐκείνου τελευτὴν πολλὰ τὰς τῆς Ἀκαρνανίας πόλεις καὶ Βαλάγριτα ἐκάκωσαν ὁσημέραι κατατρέχοντες καὶ ληϊζόμενοι,) πειράσομαι, εἰ δυναίμην, οἴομαι δὲ, τὴν τῶν Χριστοῦ γενεθλίων ἑορτὴν ἐν Βυζαντίῳ ἀγαγεῖν, οὐ μόνον διὰ τὴν στρατιὰν, ἵνα μὴ ὑπερόριος ἐν χειμῶνι διατρίβῃ, ἀλλ' ἵνα καὶ βασιλέως ἡ νέου στεφηφορία τελεσθῇ. [5]

2 82 οὕτω γὰρ ἐδέδοκτο ἡμῖν. ἅμα δὲ ἦρι ἀρχομένῳ τῶν τε τριήρεων πρὸς τὸν πλοῦν οὐσῶν παρεσκευασμένων καὶ τῆς στρατιᾶς ἁπάσης, ἐξ ἠπείρου τε ἅμα καὶ θαλάσσης προσβαλοῦμεν τῇ Πελοποννήσῳ. οὐ γὰρ μικρὰ προσθήκη γενήσεται Ῥωμαίοις, ἂν ὑπαγαγώμεθα ἐκείνους. ὁδοῦ δὲ πάρεργον καὶ τοὺς τῆς Ἰωνίας διερευνησάμενοι ναυστάθμους καὶ ποταμοὺς, ἐν οἷς οἱ Πέρσαι τὰς σφετέρας αὐτῶν προσορμίζουσι ναῦς, καὶ καταφλέξαντες πυρὶ, (οὕτω γὰρ Ἀλησέρῃ τῷ Κοτυαείου σατράπῃ καὶ ἐμοὶ συντέθειται, ἐκ τῆς ἠπείρου παραβοηθοῦντι ἅμα στρατιᾷ πεζῇ τε

καὶ ἱππικῇ,) καὶ τῆς ἐξ ἐκείνων ἀπαλλαγέντες λύμης καὶ φροντίδος, πρὸς τὸν προκείμενον βαδιούμεθα ἀγῶνα, πάντα τὰ οἴκοι καταστήσαντες καλῶς.“ τοιαῦτα τοῦ μεγάλου βουλευσαμένου δομεστίκου, ἐπεὶ καὶ τοῖς ἄλλοις συνεδόκει καὶ ἐπῄνουν τὴν βουλήν, πρὸς μὲν τὸν τῶν Τριβαλῶν ἄρχοντα πρέσβεις ᾑροῦντο αὐτίκα. οἳ καὶ παραγενόμενοι καὶ διαλεχθέντες περὶ εἰρήνης, ἔπεισάν τε διαλύσασθαι καὶ ἔθεντο σπονδὰς κατὰ τὰς οὔσας πρίν. ὁ μέγας δὲ δομέστικος ἀθροίζεσθαι κελεύσας τὴν στρατιὰν, αὐτὸς ᾔει εἰς Βυζάντιον. ἐπεὶ δὲ ἐγένετο ἐγγὺς, οἱ Βυζαντίῳ παρόντες τῶν συγκλητικῶν εἰς ὑπάντησιν ἐξελθόντες, ἠσπάζοντο τῶν ἵππων ἀποβάντες. [20]

2 83 ὁ δὲ ἐπέπληττεν αὐτοῖς ὡς οὐ προσήκοντα ποιοῦσιν· ἔπειτα εἰς τὰ βασίλεια ἐλθὼν, ἠσπάζετό τε βασιλίδα καὶ παρεμυθεῖτο λόγοις, οὐκ ἀλγοῦσαν μόνον ὑπὸ τῶν συμφορῶν, ἀλλὰ καὶ τὸ σῶμα νοσηλευομένην. καὶ διηγησάμενος, ὅσα τε πράξειε πρὸς Διδυμότειχον ἐλθὼν, καὶ ὅσα τοῖς ἐκ Πελοποννήσου πρέσβεσιν ἐπαγγείλαιτο, οἷά τε διανοοῖτο περί τε ἐκείνων καὶ περὶ τῶν ἄλλων πράττειν, μεγάλα τε ἐλπίζειν παρῄνει καὶ αὐτῷ θαῤῥεῖν, ὡς ὑπὲρ ὠφελείας αὐτῆς τε καὶ παίδων καὶ τοῦ κοινοῦ Ῥωμαίων, οὔτε σώματος, οὔτε χρημάτων φεισομένῳ, ἀλλὰ πᾶσαν ἐπιδειξομένῳ καὶ σπουδὴν καὶ προθυμίαν. νῦν μὲν γὰρ οὐ ῥᾴδιον εἶναι, λόγοις τήν τε στρατιᾶς ἐπίδοσιν καὶ τῶν προσόδων τῶν κοινῶν ἀποδεικνύειν· ἔαρος δὲ γενομένου, εἰ ἐν ζῶσιν εἴη, οὐ λόγων δεήσεσθαι πρὸς τὴν ἀπόδειξιν, ἐξ αὐτῶν τῶν ἔργων φανερᾶς τῆς ὠφελείας γινομένης. ἔπειτα καὶ περὶ ὧν ἥκει κοινωσάμενος, ὡς καὶ αὐτῇ συμφέροντα ἐδόκει καὶ ἐπεψήφιζε τὴν βουλὴν, ἔργου εἴχετο καὶ διῴκει πάντα, ᾗ βεβούλευτο. ιγ′. Ὀλίγῳ δὲ ὕστερον ἐξ ἐκείνης τῆς ἡμέρας ἐν βασιλείοις αὐτοῦ τῇ βασιλίδι διαλεγομένου περὶ τῶν κοινῶν καὶ κοινῇ βουλευομένων περὶ ὧν ἂν δέοι πράττειν, θροῦς ἔξωθεν ἠκούετο καὶ βοὴ περὶ τὰ βασίλεια συμμιγής. ἐρομένης δὲ τῆς βασιλίδος πρὸς αὐτὸν, τί ἂν εἴη ταῦτα, σαφὲς μὲν οὐδὲν εἰδέναι ἔφασκεν· οἴεσθαι δὲ, πρὸς τὴν δίκην τινῶν ἀλλήλοις ἀντιλεγόντων, τὸν θόρυβον γίνεσθαι τουτονί. [20]

2 84 διϊσχυρίζετο δὲ καὶ ὕστερον, οὐδὲν ἄλλο οἰηθῆναι τὴν ἀρχήν· οὐδὲ γὰρ οὐδ’ αὐτός τι ᾔδει τῶν γιγνομένων. ἔπειτα ὡς μείζων ἦν ὁ θόρυβος καὶ παρετείνετο ἐπιπολὺ, νομίσας καὶ αὐτὸς νεώτερόν τι εἶναι, ἀναστὰς ἐξῄει μαθεῖν ἐθέλων τῶν γινομένων τὴν αἰτίαν. ὁρᾷ δὲ τῶν βασιλείων τὴν αὐλὴν πλήθουσαν ἀνδρῶν, οἳ ἦσαν οὐ τοῦ στρατιωτικοῦ καταλόγου μόνον, ἀλλὰ καὶ τῶν ἐπ’ εὐγενείᾳ λαμπρυνομένων νέων, καὶ τὸν πατριάρχην ἐν μέσοις αὐτοῖς ἑστῶτα καὶ λογομαχοῦντα πρὸς αὐτοὺς διαφερομένους. αἰτία δὲ τῆς διαφορᾶς ἦν, ὅτι δὴ ἠξίουν μείζονος τιμῆς τὸν μέγαν δομέστικον δίκαιον τυγχάνειν εἶναι καὶ μὴ τοῖς πολλοῖς ὁμοίως πεζῇ τῶν βασιλείων εἰσιέναι τὴν αὐλήν· ὃς οὐ μόνον νῦν τῶν ὅλων πραγμάτων ἔχει τὴν ἀρχὴν, ἀλλὰ καὶ, βασιλέως περιόντος, παραδυναστεύων ἦν καὶ πολλάκις ὑπ’ ἐκείνου προσκεκλημένος πρὸς τὴν βασιλείας κοινωνίαν. ἐν αἰτίαις τε τὸν πατριάρχην διὰ ταῦτα ἐποιοῦντο, ὅτι δὴ περιορῴη καὶ μὴ βασιλίδι παραινοίη τὰ προσήκοντα. ταῦτα δὴ αὐτοῖς ἐλέγετο, οὐ πᾶσιν ὁμοίας ἔχουσι τὰς γνώμας. ἀλλ’ οἷς μὲν εὔνοια πρὸς ἐκεῖνον ἦν, ἐσπουδάζετό τε ἀληθῶς ὁμοίως καὶ ἐλέγετο, οἱ δ’ ἐθεράπευον τὸν καιρὸν καὶ τὴν μεγάλου δομεστίκου δύναμιν· ἦσαν δὲ οἳ καὶ δυσχεραίνοντες πρὸς τοὺς λόγους καὶ ἡδέως ἂν κωλύσοντες, εἰ ἐξῆν, ὅμως ὑπὸ δέους συμφωνεῖν ἐδόκουν τοῖς πολλοῖς, οἰόμενοι, ἐκείνου συνειδότος καὶ ἀφανῶς τὰ τοιαῦτα συσκευάζοντος εἰρῆσθαι. [20]

2 85 ὁ πατριάρχης δὲ ἀντικαθίστατο πρὸς τοὺς λόγους καὶ, μὴ δεῖν, ἔλεγεν, αὐτοὺς ἀτάκτως θορυβεῖν, ἀλλὰ πείθεσθαι τοῖς βασιλίδι καὶ μεγάλῳ δομεστίκῳ ἐγνωσμένοις. ἐν τούτοις δὲ τῆς ἔριδος ἐκείνοις οὔσης, ἐπεὶ ἐπέπαυτο φανέντος, τοῖς μὲν ἄλλοις ὥσπερ ὀργιζόμενος οὐδὲν εἰρήκει· πατριάρχην δὲ ἐμέμφετο, ὅτι ἀνοήτων ἀνθρώπων προσέχων λόγοις, ἔστηκε πρὸς αὐτοὺς λογομαχῶν καὶ θόρυβον κινῶν. συνεβούλευέ τε οἴκοι ἀπελθεῖν καὶ μηδὲν πρὸς

ἐκείνους διαφέρεσθαι νῦν, ὡς ἐς τὴν ὑστεραίαν ἅμα αὐτῷ περὶ τῶν εἰρημένων ποιησομένῳ λόγον. προέπεμπέ τε ἄχρι ἵππου θεραπεύων διὰ τὴν πρὸς αὐτὸν γεγενημένην μέμψιν, οὔπω πρότερον τοῦτο εἰργασμένος, ἀλλ᾽ ἐν τοῖς βασιλείοις οἴκοις συνταττόμενος ἀναστρέφειν εἰωθώς. εἰς βασιλίδα δὲ αὖθις ὁ μέγας δομέστικος ἐπανελθὼν, τὴν αἰτίαν τοῦ θορύβου διηγεῖτο, ὅπως τε αὐτὸς τῆς ἀκαίρου φιλονεικίας μεμψάμενος πατριάρχην, ὅτι ἀνοήτων ἀνθρώπων προσχοίη λόγοις ἔχουσι μηδὲν ὑγιὲς, παραινέσειεν οἴκαδε ἀναχωρεῖν. διϊσχυρίζετό τε καὶ αὐτὸς ἐπιμαρτυρόμενος θεὸν, ὡς οὐδὲν τῶν λεγομένων συνειδείη, ἀλλ᾽ ὑπό τινων ἀπαιδεύτων ὑπ᾽ αὐθαδείας ἀνοήτως κινηθείη. ἐπαινούσης δὲ τῆς βασιλίδος ἐπὶ τῷ τὸν θόρυβον καταστεῖλαι, „ἀλλ᾽ ἐκείνῳ μὲν“ ὁ μέγας δομέστικος ἔφη „συνεβούλευσα μηδὲν προσθέντι τοῖς εἰρημένοις ἀπελθεῖν, οὕτω συνιδὼν ῥᾳδίως διαλύσειν τὴν φιλονεικίαν, μάλιστα περὶ ἐμοῦ γεγενημένην. σοὶ δὲ, μὴ τὴν αὐθάδειαν ἀτιμώρητον παραινῶ περιιδεῖν, ἀλλὰ λόγοις κολάσαι προσκαλεσαμένην τῆς γλώσσης τῆς ἀκολασίας ἕνεκα. [20]

2 86 παρῄνεσα δ᾽ ἂν, καὶ ἐπιπλεῖον ἐνδείξασθαι τὴν ὀργὴν τὴν πρὸς αὐτοὺς, εἰ μὴ ταχέως ἔμελλον ἐνθένδε ἀπελεύσεσθαι, τοὺς πλείους αὐτῶν παραλαβών. διὸ μετὰ τὸ καθάψασθαι ἀρκούντως, παράσχου συγγνώμην, αἰτιωμένη τῆς ὁδοιπορίας τὴν ἀνάγκην.“ ᾧ πεισθεῖσα καὶ ἡ βασιλὶς, τοὺς ἄνδρας τε προσεκαλεῖτο καὶ ὠνείδιζεν αὐτοῖς τὴν ἀπαιδευσίαν, ὅτι βασιλέων ἐντεθραμμένοι νόμοις καὶ συνόντες ἐκ παιδὸς, οὐδὲν ἄμεινον τῶν ἀβασιλεύτων διάκεισθε βαρβάρων, πᾶν τὸ προσιστάμενον ὑμῖν ἀτάκτως θορυβοῦντες. σκοπεῖτε γὰρ, εἰς ὅσον ἀνοίας ἠλάσατε νυνί. πρῶτον μὲν γὰρ ἐν βασιλείοις φανερῶς ἀντείπετε βασιλεῦσι· δεύτερον δ᾽, ὅτι πατριάρχῃ διηνέχθητε, κοινῷ πάντων ὄντι πατρὶ πνευματικῷ καὶ μάλιστα πολλῆς αἰδοῦς ἀξίῳ καὶ τιμῆς, πολλῷ πλέον ἢ οἱ σαρκικῶς γεγεννηκότες. τρίτον δ᾽, ὅτι καὶ ὑπὲρ μεγάλου δομεστίκου δῆθεν ἐποιήσασθε τοὺς λόγους, τόγε εἰς ὑμᾶς ἦκον ἀποδεικνύντες διὰ τούτων τῆς παρ᾽ ὑμῶν αὐτὸν δεόμενον ἐπικουρίας εἰς τὸ τυχεῖν, εἴ τινος δέοιτο παρ᾽ ἡμῶν. τοῦτο δ᾽ ὅτι τῶν ἀτοπωτάτων, οὐχ ἑτέροις, ἀλλ᾽ ὑμῖν αὐτοῖς χρήσασθε διαιτηταῖς. οὐ γὰρ νῦν μόνον, ὅτε εἰς αὐτὸν περιήκει τῶν ὅλων ἡ φροντὶς, ἀλλὰ καὶ βασιλέως ζῶντος, ὑμῶν ἁπάντων οὗτος προῖστατο, ἐν οἷς ἐδεῖσθε βασιλέως· αὐτοῦ δὲ ὑμῶν οὐδείς. [20]

2 87 ὥστε καὶ ἐκ τῶν προτέρων καὶ τῶν νῦν συνιδεῖν ὑμᾶς ἐχρῆν, ὡς οὐκ ἂν δέοιτο τῆς παρ᾽ ὑμῶν ἐπικουρίας. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν, ὃ βουλομένῳ ἢ περὶ ἑαυτοῦ ἢ περὶ ἑτέρων, μὴ καὶ πράττειν δυνατόν. εἰ δὲ τοῦθ᾽ οὕτως ἔχει καὶ οὐδεὶς ἀντερεῖ, οὐδ᾽ ὑμᾶς ἐχρῆν θορυβεῖν καὶ ταράττεσθαι εἰκῇ. καὶ διὰ τοῦτο οὐκ εὐεργεσίας, ἀλλὰ δίκης ἄξιοι παρ᾽ αὐτῷ· κἀγὼ δὲ ὑμᾶς τὰς προσηκούσας τῆς αὐθαδείας ἀπῄτησα ἂν εὐθύνας, εἰ μὴ αὐτὸς παρῃτήσατο δεηθεὶς ὑπὲρ ὑμῶν, ἄλλως δ᾽ ὅτι καὶ πρὸς τὴν ἐκστρατείαν παρεσκεύασθε, πρὸς ἣν χαίροντας βαδίζειν, οὐκ ἀνιωμένους, οἶομαι προσήκειν. οὗ δὴ ἕνεκα τὴν μὲν τῶν ἡμαρτημένων παρέχομαι συγγνώμην, τοῦ λοιποῦ δὲ εὐτάκτους εἶναι παραγγέλλω καὶ τῶν μειζόνων μηδὲν περιεργάζεσθαι, ἀλλὰ παραχωρεῖν ἐκείνοις, οἷς τὰ τοιαῦτα καλῶς τε ἔξεστι διοικεῖν καὶ, ἐάν τι σφάλλωνται, ἐπανορθοῦσθαι.“ τοσαῦτα μὲν ἡ βασιλὶς πρὸς ἐκείνους διειλέχθη, τοῦ θορύβου ἕνεκα καθαπτομένη. ἐκεῖνοι δὲ τῆς ἡμερότητος καὶ τῆς συγγνώμης χάριτας ὁμολογήσαντες καὶ τῶν ἄλλων μᾶλλον ὁ μέγας δομέστικος, οἱ μὲν ἄλλοι ἀνεχώρουν· ὁ μέγας δὲ αὖθις δομέστικος καταλειφθεὶς, ἐβουλεύοντο ἅμα βασιλίδι περὶ ὧν ἀναγκαῖον ἦν. ιδ′. Λόγου δὲ καὶ περὶ Ἀποκαύκου τοῦ παρακοιμωμένου ἐμπεσόντος καὶ σκεπτομένων καθότι δέοι χρήσασθαι αὐτῷ, μηδεμίαν ἄλλην, ἔφασκεν ἡ βασιλὶς, τῶν τετολμημένων παρ᾽ ἐκείνου δίκην ἀπαιτεῖν, ἢ ἣν αὐτὸς ἐτιμήσατο αὐτῷ, ὥστε οἴκοι καθῆσθαι, μὴ ἐξιόντα, μήτε τῶν κοινῶν τι διοικοῦντα. [20]

2 88 ὁ δ᾽ ἔφασκε καὶ αὐτὸς τὴν δίκην πρέπουσαν ἡγεῖσθαι τῷ τολμήματι. μὴ μέντοι γε αὐτῷ κατὰ γνώμην εἶναι πρὸς ὑπερόριον ἀπιόντι στρατείαν τὴν πρὸς τὴν ἑσπέραν, τῶν δεομένων διορθώσεως ὀπίσω τι καταλιπεῖν. οὗ δὴ ἕνεκα πρός τε τοὺς περιοίκους Πέρσας θέσθαι σπονδὰς

καὶ πρὸς Ἀλέξανδρον τὸν Μυσῶν βασιλέα, ἵνα μὴ ἀπόντος ταράττοιτο αὐτὴ ὑπὸ πολέμων ὀχλουμένη. καὶ διὰ τοῦτο καὶ παρακοιμώμενον ἡγεῖσθαι προσήκειν ἀξιώσαντας συγγνώμης, πάλιν χρῆσθαι, ὅπῃ ἂν δοκῇ συμφέρειν. ἡ δ' ἀνένευεν, οὐχ ἑαυτῇ καὶ τέκνοις μόνον, ἀλλὰ καὶ αὐτῷ δύσνουν ἐκ πολλῶν ἀποδεικνῦσα· μάλιστα δὲ ἐξ ὧν ἐπ' αὐτῆς ὀλίγῳ πρότερον αὐθαδῶς ἐκεῖνος καὶ τραχέως προσηνέχθη πρὸς αὐτόν. εἰ δὴ ἀμφοτέροις ἐκεῖνος ἐπιβουλεύων σαφέστατα ἠλέγχθη, τίνι χρὴ θαῤῥήσαντα, ἄνθρωπον πανουργίας καὶ ἐπιβουλῆς μεστὸν ἀποδημοῦντα αὐτὸν ὀπίσω ἔφασκε καταλιπεῖν;" ἄξιον δὲ καὶ τῶν πρὸς τὸν μέγαν δομέστικον Ἀποκαύκῳ εἰρημένων ἐπὶ τῆς βασιλίδος μνημονεῦσαι καὶ ἔτι παλαιοτέρων κακουργημάτων, οἷς ἐχρήσατο κατὰ μεγάλου δομεστίκου, μεγάλα εὐηργετηκότος, ἵν' ἐκ τῶν διηγημάτων κατάδηλος γένηται ἡμῖν ἥ τε τούτου πρὸς τὰς εὐεργεσίας φιλοτιμία καὶ ἑτοιμότης πρὸς τὸ παρέχειν τοῖς εἰς αὐτὸν ἁμαρτάνουσι συγγνώμην, καὶ ἡ παρακοιμωμένου πρὸς τὰ καλὰ ἀχαριστία καὶ τῶν τρόπων ἡ σκαιότης. [20]

2 89 οὗτος γὰρ δὴ ὁ παρακοιμώμενος ἐκ Βιθυνίας ὡρμημένος καὶ ἄσημος ἐκ φαύλων φὺς, τὰ πρῶτα μὲν ὑπεγραμμάτευσε πολλοῖς τῶν τὰ δημόσια χρήματα εἰσπραττόντων ὀλίγου ἕνεκα μισθοῦ, ἔπειτα τῷ τοῦ βασιλέως ἐμισθοφόρησε θείῳ Ἀσάνῃ τῷ Ἀνδρονίκῳ. εἶτ' ἐκείνου ἀποστὰς, προσεχώρησε στρατηγῷ τῷ τῶν ἑσπερίων θεμάτων δομεστίκῳ, τοὺς δημοσίους ἅλας τότε ἐφορεύοντι. εὐφυὴς δὲ φανεὶς καὶ πρόθυμος πρὸς τὴν ὑπηρεσίαν, χρήματα ἐπιστεύθη παρ' ἐκείνου, ἵν' ἐλθὼν πρὸς βασιλέα, (Ἀνδρόνικος δὲ ὁ πρῶτος ἦν,) πείσῃ στρατηγῷ καὶ εἰς τοὐπιὸν ἔτος τὴν διάθεσιν ἐγχειρίζειν τῶν ἁλῶν. ὁ δὲ τὰ μὲν χρήματα ὡς ἴδια βασιλεῖ παρεσχηκὼς, ἐπαγγειλάμενος δὲ καὶ διπλασίω τῶν ὑπὸ στρατηγοῦ παρεχομένων τῷ βασιλικῷ αὐτὸς εἰσφέρειν ταμιείῳ, πείθει βασιλέα ἐκείνου προελέσθαι καὶ τῶν ἁλῶν παρέχειν τὴν ἀρχήν. καὶ οὕτω τοῖς ἰδίοις χρήμασι τῆς ἀρχῆς ἐκεῖνον ἐκβαλὼν, ἤδη λαμπρὸς ἦν καὶ τὰ πρῶτα φέρων τελωνῶν. εἶτ' ἐπειδὴ πολλὰ τῷ δημοσίῳ χρήματα ὀφείλων, προσδόκιμος ἦν δεσμωτήριον οἰκεῖν καὶ σωφρονίζεσθαι μὴ τοιαῦτα κακουργεῖν, πρὸς ἀποστασίαν εἶδε βασιλέως. οὐ γὰρ ἦν ἑτέρως τὸ κακῶς παθεῖν διαφυγεῖν. συνιδὼν δὲ ἐκ τῶν πραγμάτων, ὡς βασιλεῖ τῷ νέῳ Ἀνδρονίκῳ πρὸς τὸν πάππον ἀναγκαίως ἔσται διαφορὰ, Συργιάννη ἐδεήθη, τῶν ἐπιτηδειοτάτων ὢν αὐτῷ, τῷ νέῳ βασιλεῖ προσαγαγεῖν. [20]

2 90 ὁ δὲ (καὶ γὰρ ἤδη ὁ τῶν βασιλέων πρὸς ἀλλήλους ἐκινεῖτο πόλεμος,) ἐδεῖτο τοῦ μεγάλου δομεστίκου, καὶ τὸν Ἀπόκαυκον προσλαμβάνειν, οὐ μόνον εὐφυῶς πρὸς τῶν δημοσίων τὴν εἴσπραξιν ἐσχηκότα φέρων, ἀλλὰ καὶ χρημάτων εὐποροῦντα, οἷς χρήσιμος πρὸς τὸν πόλεμον ὀφθήσεται αὐτοῖς· ὧν καὶ κατὰ τὰς ἀρχὰς τῆς ἱστορίας μάλιστα ἐπεμνήσθημεν συντόμως. ὁ δὲ βασιλεῖ τῷ νέῳ δι' ἐκείνου προσοικειωθεὶς, ἐπεὶ ὁ τῶν βασιλέων πόλεμος ἀνεῤῥήγνυτο, τοῦ μὲν πρεσβυτέρου βασιλέως εὐθὺς ἀπέστη πρὸς τὸν νέον, οὐ μᾶλλον δι' εὔνοιαν, ἢ τὸν ὑφορώμενον κίνδυνον διὰ τὰ ὀφειλόμενα χρήματα ἀποδιδράσκων. ταμίας δὲ τῶν βασιλικῶν ἀπεδείκνυτο χρημάτων παρὰ τοῦ μεγάλου δομεστίκου. ἐπεὶ δὲ ἡ νίκη πρὸς τὸν νέον ἀπεῖδε βασιλέα καὶ ὑπ' αὐτῷ πᾶσα ἡ τῶν Ῥωμαίων ἡγεμονία ἦν, πάλιν ὑπ' ἐκείνου, σχεδὸν οὐχ ἑκόντος βασιλέως, οὐδὲ προσήκειν αὐτῷ τὴν ὑπηρεσίαν κρίνοντος, εἰς τὸ μεσάζειν τοῖς πράγμασι κατέστη. πλὴν οὐ παντάπασιν ἐπετράπη τὴν διοίκησιν τῶν κοινῶν, ἀλλ' ὅσα τῶν ἀναγκαιοτέρων ἦν πρὸς τὸν μέγαν δομέστικον ἀνάγων, αὐτὸς τῶν ταπεινοτέρων εἴχετο, ἐξ ὧν οὐδεμία τοῖς κοινοῖς προσεδοκᾶτο βλάβη, εὖ ἢ κακῶς διῳκημένοις. ὅμως δὲ ὑπὸ πολλῶν ἐθεραπεύετο. μεταξὺ δὲ καὶ πολλάκις βασιλεῖ προσκεκρουκὼς διὰ τὴν φίλην πανουργίαν καὶ μέλλων διδόναι δίκας, ὑπὸ τοῦ μεγάλου δομεστίκου τὴν βασιλέως ὀργὴν ἐῤῥύσθη παραιτουμένου. [20]

2 91 εἰς τοιαύτην δὲ περιφάνειαν ἐξ ἀφανείας πολλῆς ἐλθὼν, ἐσκέψατο, εἰ δύναιτο τὸν εὐεργέτην ἀμείψασθαι τοῖς ἐναντιωτάτοις. ὡς γὰρ βασιλεὺς ὁ νέος Ἀνδρόνικος τὴν νόσον ἐνόσησεν

ἐκείνην τὴν σφοδρὰν καὶ τελευτῆς ἐγένετο ἐγγὺς, βασιλίδι μὲν τῇ γαμετῇ κατελίμπανε τὴν ἀρχὴν, οὔπω μὲν παιδὸς μητρὶ γεγενημένῃ, ὠδινούσῃ δέ· τῷ μεγάλῳ δὲ δομεστίκῳ τὴν διοίκησιν τῶν κοινῶν καὶ τὸ πάντας αὐτῷ ὑπείκειν καὶ μηδένα ἀντιλέγειν πρὸς μηδέν. ὁ δ' ὥσπερ ἔθος ἐπὶ τελευτῶσι τοῖς βασιλεῦσι τοῖς ὑπολειπομένοις τὴν εὔνοιαν καὶ τὴν πίστιν βεβαίαν παρὰ τῶν ὑπηκόων βουλόμενος ποιεῖν, ὅρκους ἐκθεὶς, πάντας δι' αὐτῶν ἐκέλευε τὴν πίστιν ἐμπεδοῦν. οἱ ὅρκοι δὲ Ἄννῃ τε τῇ βασιλίδι Ῥωμαίους διελάμβανον τὴν πίστιν ἀκραιφνῆ φυλάξειν καὶ παιδὶ βασιλέως τῷ γεννησομένῳ ἐξ αὐτῆς, καὶ τῷ μεγάλῳ δομεστίκῳ τὴν εὐπείθειαν. Ξένης δὲ βασιλίδος τῆς βασιλέως μητρὸς ἐμέμνηντο οὐδ' ὁτιοῦν· οὕτω καὶ βασιλεῖ κεκρικότι δεῖν, μὴ δύνασθαι δύο καὶ ταύτας γυναῖκας μίαν διοικεῖν ἀρχήν. τότε μὲν οὖν ἐκείνη τε ἤνεγκε βαρέως καὶ οἷς πρὸς ἐκείνην εὔνοιά τις ἦν, καίπερ οὐδ' ἐκείνην ἀθεράπευτον καταλιπόντος τοῦ μεγάλου δομεστίκου. ὡς γὰρ καὶ αὐτὸς τὸ πρᾶγμα ὑπενόει θόρυβον δυνάμενον τῇ βασιλίδι ἐμποιεῖν, Γλαβᾶν τὸν μέγαν διοικητὴν πέμψας κατὰ τάχος πρὸς αὐτὴν, ἅμα δὲ καὶ σταυρὸν ἐκ τῶν πολυτιμήτων λίθων ἀξιοπιστίας ἕνεκα τῶν λόγων, τὴν μὲν νόσον ἐδήλου βασιλέως ὡς εἴη χαλεπή· ἐδεῖτό τε θεοῦ μὴ περιιδεῖν αὐτοὺς τοιούτου βασιλέως ἀποστερηθέντας. [20]

2 92 εἰ δ' ἄρα τι συμβαίη τῶν προσδοκωμένων, οὕτω τοῦ πάντα δικαίως καὶ συμφερόντως ταλαντεύοντος οἰκονομοῦντος, μηδὲν αὐτὴν ὑποπτεύειν ἀηδὲς ἐκ τῶν πραγμάτων τῆς μεταβολῆς, ὡς οὐδὲν ἧττον εὐνοϊκῶς αὐτοῦ διακειμένου πρὸς αὐτὴν, ἢ εἰ καὶ αὐτὸς γεγέννητο ἐξ αὐτῆς. οὕτω δὲ ἐκείνης πρὸς ὀργὴν κεκινημένης, οἱ πάλαι τε ὑπὸ φθόνου πρὸς τὴν εὔκλειαν δακνόμενοι τοῦ μεγάλου δομεστίκου καὶ τότε μᾶλλον πρὸς τὸ πάθος ἐξαφθέντες, σαφῶς ἰδόντες κύριον γεγενημένον τῶν πραγμάτων· ἐν οἷς ἄλλοι τε πολλοὶ καὶ ὁ παρακοιμώμενος Ἀπόκαυκος ἐξητασμένος ἦν, Συργιάννη πρὸς τὴν πρᾶξιν ἡγουμένου· τὴν βασιλίδος ὀργὴν νομίσαντες ἂν αὐτοῖς τὰ μέγιστα συμβαλέσθαι πρὸς τὸ τοῦ μεγάλου δομεστίκου περιγενέσθαι καὶ καταλῦσαι τὴν ἀρχὴν, πολλοὶ πρὸς βασιλίδα ἀφιγμένοι, ἐπεὶ ῥᾴων ἦν ὁ βασιλεὺς καὶ ἀπήλλακτο τῆς νόσου, ἀγανακτεῖν ὑπὲρ αὐτῆς προσεποιοῦντο καὶ πολλὴν ἀγνωμοσύνην τοῦ μεγάλου δομεστίκου κατεγίνωσκον, ὅτι βασιλέως τελευτῶντος, ὅτ' αὐτὸν, εἰ μέτρια διενοεῖτο, ταῖς βασιλίσιν ἀμφοτέραις ἔδει τὴν ἀρχὴν συνδιασώζειν καὶ μάλιστα ἐκείνῃ, ὅτι ἀμφοτέρωθεν ἔκ τε παιδὸς καὶ τοῦ συνοίκου βασιλέως ἡ Ῥωμαίων προσῆκε βασιλεία, ὅδ' ὀλίγον καὶ τοῦ δικαίου καὶ τοῦ προσήκοντος φροντίσας, πᾶσαν τὴν ἀρχὴν περιήγαγεν εἰς ἑαυτὸν, ὥσπερ τι παραπέτασμα τῆς κακουργίας Ἄνναν τὴν βασιλίδα προσθεὶς τοῖς ὅρκοις, ἢ ἐξ ἀλλοδαπῆς ὀλίγῳ πρότερον ἀφιγμένη καὶ ὀλίγους ἔχουσα Ῥωμαίων τοὺς ὑπὲρ αὐτῆς βουλησομένους διακινδυνεύειν, ῥᾳδίως ἔμελλεν αὐτῷ παραχωρήσειν τῆς ἀρχῆς. [20]

2 93 συνεβούλευόν τε, μὴ τοιαῦτα γινόμενα περιορᾶν, ἀλλὰ σπουδῇ πολλῇ καὶ προθυμίᾳ τὴν ἐκείνου καταλύειν δύναμιν, διδάσκουσαν βασιλέα τὸν υἱὸν, ὡς ἐπιβούλως καὶ κακούργως διανοηθείη περὶ τῆς ἀρχῆς ἐκείνου τελευτῶντος, καὶ νῦν οὐδὲν ἧττον πάντας πείσειε Ῥωμαίους αὐτῷ προσέχειν, ὡς συμβαίνειν, βασιλεῖ μὲν προσηγορίαν μόνην εἶναι πραγμάτων ἔρημον, ἔργῳ δὲ ἐκεῖνον βασιλεύειν. ἃ αὐτὸν σκοπεῖν προσήκει μὴ εἰς ἀνήκεστα ἐκβῇ, ἀλλὰ τὴν ὁρμὴν προαναστέλλειν καθαιροῦντα τὸν ὄγκον τὸν πολὺν καὶ εὐκαταφρόνητον ποιοῦντα. ἡ μὲν οὖν βασιλὶς οἴκοθέν τε ὑπ' ὀργῆς πρὸς τὸ ἀμύνασθαι τὸν μέγαν, εἰ δύναιτο, δομέστικον ὡρμημένη καὶ ὑπ' ἐκείνων ἐπιπλέον ἐξαφθεῖσα, ὡς εἶχε τάχους, πρὸς βασιλέα γενομένη τὸν υἱὸν, κατηγόρει τοῦ μεγάλου δομεστίκου, ὡς βασιλειῶντος, καὶ συνεβούλευε φυλάττεσθαι τὸν ἄνδρα, ὡς τὴν εὔνοιαν ὑποκρινόμενον, ἀγνωμονήσοντα δὲ, ἢν λάβηται καιροῦ. βασιλεὺς δὲ πρὸς μὲν βασιλίδα τὴν μητέρα πολὺν ὑπὲρ μεγάλου δομεστίκου ἐποιήσατο τὸν λόγον, συκοφάντας καὶ ψευδομένους ἀποφαίνων τοὺς τὰ τοιαῦτα κατηγορηκότας. ὥσπερ δὲ καὶ ἔργοις ἐθέλων κατάδηλον ποιεῖν, ὅτι πλάσματα ἡγοῖτο τὰ τοιαῦτα, μᾶλλον ἢ πρότερον εὐμενὴς

καὶ πλείονα παρέχων τὴν ῥοπὴν καὶ ἀκριβέστερον προσέχων ἑωρᾶτο τῷ μεγάλῳ δομεστίκῳ, ὃ καὶ μᾶλλον βασιλίδα τὴν μητέρα παρεσκεύαζεν ἀνιᾶσθαι. [20]

2 94 τοὺς μὲν οὖν συκοφάντας οὕτως ἀπεσκεύαστο ὁ βασιλεὺς, ἐκείνῳ δ' ἅπαντα, περὶ ὧν ἡ βασιλὶς ἥκει, ἐξειπὼν, αὖθις βασιλικὴν ἐσθῆτα, εἰ μή του ἄλλου, τῆς γοῦν τῶν πολλῶν δόξης ἕνεκα, συνεβούλευεν ἀναλαβεῖν, ἵν' ἐκείνους τε ἀποδείξῃ ὑποπτεύοντας ἀληθῆ καὶ αὐτὸν πολλῶν πραγμάτων ἀπαλλάξῃ. ἐκεῖνος δὲ βασιλεῖ μὲν πολλὰς τῆς εἰς αὐτὸν εὐμενείας χάριτας ὡμολόγει καὶ τῆς καλοκἀγαθίας· τὸ δ' εἰς βασιλέως σχῆμα μεταμείβειν οὐ μᾶλλον ἑτέρων αἰτιῶν, ἢ τῶν συκοφαντῶν ἕνεκα οὐκ ἐθελήσειν, ἵν' αὐτῷ τούτῳ τῆς κακουργίας λαμβάνῃ δίκας παρ' αὐτῶν, ἔργοις αὐτοῖς συκυφάντας ἀποφαίνων. αὐτὸς δὲ καὶ πρὶν βασιλίδα ἥκειν, περὶ ὧν ἀφίξεται, ἔφασκεν εἰδέναι. καὶ γὰρ τῶν τὰ ἀπόῤῥητα συνειδότων αὐτῇ τινες πρότεροι ἐλθόντες τήν τε ἄφιξιν αὐτῆς περὶ ὧν γένοιτο νυνὶ, ἔνδηλον ἐποίουν τῷ μεγάλῳ δομεστίκῳ καὶ τοὺς συνεσκευακότας τὴν ἐπιβουλήν. συνεβούλευόν τε πρὸς βασιλέα συγκρούειν ἐκείνην τὸν υἱὸν φθάσαντα τὴν ἔφοδον καὶ λόγοις πεπλασμένοις τὴν βασιλέως ἐκταράττειν ψυχὴν, ἵν' ἐκείνη μηδὲν ἀνύειν ᾖ τῶν βεβουλευμένων δυνατή. ὁ δ' ἀπεπέμψατο πρὸς ὀργὴν, ὡς οὐδὲν ἄμεινον πολεμίων πρὸς αὐτὸν διακειμένους, καὶ ταῦτα φίλων περικειμένους προσωπεῖον. οὐ γὰρ αὐτῷ προσήκειν τὰ τοιαῦτα, ἀλλὰ τοὐναντίον πᾶν, εἴ τις πρὸς μητέρα βασιλεῖ συνέβαινε διαφορὰ, πάντα ποιεῖν καὶ πραγματεύεσθαι, ἐξ ὧν ἂν διαλλάττειν ἦν. [20]

2 95 τοῦτο γὰρ γνώρισμα φιλίας ἀληθοῦς, ἃ δὲ ἐκεῖνοι συμβουλεύουσιν, ἐχθροτάτου καὶ τοὺς τρόπους διεφθαρμένου καὶ τοῦ μηδενὸς ἀξίου. αὐτὸς δὲ οὐ τὴν βασιλέως θεραπεύων δύναμιν, τὸν φιλοῦντα ὑποκρίνεσθαι, ἀλλ' ἐκ πρώτης ἡλικίας ἄχρι νῦν, θεῷ δὲ θαῤῥεῖν, ὡς καὶ μέχρι παντὸς, ἀληθὴς καὶ βέβαιος εἶναι φίλος βασιλεῖ προῃρημένος. ἡ μὲν οὖν κατὰ τοῦ μεγάλου δομεστίκου ἐνέδρα τοῦτον τὸν τρόπον διελύθη. ιε′. Οἱ συνεσκευακότες δὲ ὁρῶντες ἤδη ἐκείνῳ μὲν οὐδὲν δεινὸν ἐκ τῆς ἐπιβουλῆς γεγενημένον, αὐτῶν δὲ τὴν μοχθηρίαν ἐγνωσμένην, καὶ δείσαντες, μή τι διὰ ταῦτα πείσωνται δεινὸν, οἵ τε ἄλλοι τρόποις δή τισιν ἑτέροις ἐπειρῶντο τὸν μέγαν δομέστικον καταλλάττειν ἑαυτοῖς, καίτοι πρὸς ἄμυναν ὡρμημένον οὐδαμῶς· καὶ ὁ παρακοιμώμενος τήν τε πρὶν ἀδοξίαν ἐννοῶν καὶ τὴν νῦν εἰς ἣν ἐληλάκει εὐδοξίαν δι' ἐκείνου, καὶ ὡς αὐτὸς οὐδὲν εὔγνωμον, οὐδ' ἐπιεικὲς διενοήθη, ἀλλ' ἤδη καθαρῶς τῶν δυσμενεστάτων ἐξελήλεγκται ὢν καὶ δείσας, μὴ εἰς τὴν προτέραν τύχην ὑπ' ἐκείνου ὠργισμένου καταστῇ, ἐσκέψατο, μὴ μεσίταις χρήσασθαι πρὸς ἐκεῖνον καὶ διαλλακταῖς, ὡς ὀλίγα ἢ οὐδὲν δυνησομένοις, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ παραιτεῖσθαι, ἀντίῤῥοπον τῆς πανουργίας ἐπιδειξάμενος τὴν μεταβολήν. καὶ γράμμασι τὰς πρὸς ἐκεῖνον ἐξαρχῆς εὐθὺς εὐεργεσίας τοῦ μεγάλου δομεστίκου, εἶτα καὶ τὰ τότε ἐκθέμενος συνεσκευασμένα κατ' αὐτοῦ, καὶ κατήγορος γινόμενος ἑαυτοῦ καὶ τὰς ἐσχάτας ὁμολογῶν ὀφείλειν δίκας, ἔπειτα ἐδεῖτο τυχεῖν συγγνώμης, εἰ μὴ πρότερον, ἀλλὰ νῦν γοῦν ἐπαγγελλόμενος ἄξιος φανεῖσθαι τῆς εὐεργεσίας, καὶ τὸν πάντα χρόνον διατηρήσειν ἑαυτὸν οὐκ εὐγνώμονα μόνον καὶ τῶν εὐεργεσιῶν τῶν εἰς ἐκεῖνον μεμνημένον, ἀλλὰ καὶ πάσῃ προθυμίᾳ καὶ σπουδῇ τὰ προστεταγμένα ποιοῦντα ὑπ' ἐκείνου, καὶ σαφῆ καὶ καθαρὰν ἐπιδεικνύμενον τὴν εὐπείθειαν ἐν πᾶσι. [10]

2 96 πίστεις δὲ παρείχετο ἐπὶ τοῖς λεγομένοις ἀσφαλεῖς, οὐχ ἑτέρους μόνον φρικώδεις ὅρκους καὶ ἀκοῦσαι φοβεροὺς, ἀλλὰ καὶ αὐτὸ τὸ νῦν ὑπὲρ τῆς κοινῆς τῶν ἀνθρώπων σωτηρίας ἱερουργούμενον ἁγιώτατον τοῦ σωτῆρος Ἰησοῦ σῶμα καὶ τὰ ὑπὲρ ἡμῶν πάθη τοῦ ἀπαθοῦς καὶ τὴν τριήμερον ταφὴν καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν, ἃ ἱκέτευεν αἰδεσθέντα, ὡς ὑπὲρ τῶν εἰς αὐτὸν πολλὰ ἐξυβρικότων ἀνθρώπων τῷ σωτῆρι εἰργασμένα, συγγνώμην καὶ αὐτὸν ἐκείνῳ παρασχέσθαι καὶ μὴ τῆς ἀγνωμοσύνης δίκας ἀπαιτεῖν. ἔπειτα καιρὸν φυλάξας, ἐν ᾧ τῆς μυστικῆς ἱερουργίας τελουμένης ἐν τοῦ μεγάλου δομεστίκου τῇ οἰκίᾳ καὶ αὐτὸς παρῆν, μάλιστα κατὰ τὴν τοῦ θείου καὶ ζωοποιοῦ τοῦ σωτῆρος λόγου τοῦ σώματος προέλευσιν ἐγγὺς

γενόμενος, παρείχετο τὸ βιβλίον, εἰπὼν καὶ διὰ γλώττης, ὡς τῶν ἐγγεγραμμένων μάρτυρας παρέχοιτο αὐτό τε τὸ φρικτῶς ἱερουργούμενον σῶμα τοῦ Χριστοῦ καὶ τούς τε ἀφανῶς προηγουμένους καὶ παρεπομένους ἀγγέλους καὶ τοὺς αἰσθητῶς καὶ φανερῶς ἡμῖν πρὸς τὴν διακονίαν αὐτοῖς συναιρομένους ἱερέας τουτουσί. [20]

2 97 τοῦ μεγάλου δὲ δομεστίκου τὰ γράμματα ἔχοντος ἐν ταῖν χεροῖν καὶ τὴν τῆς ἱερουργίας περιμένοντος τελευτὴν, ἵνα ἀναγνῶ, πάλιν ὁ παρακοιμώμενος γενόμενος ἐγγὺς, ἐδεῖτο τὸ νῦν ἔχον ἀναγνῶναι, ἵνα μὴ ἐκ τῶν ὅρκων μόνον, ἀλλὰ καὶ ἀπ' αὐτοῦ τοῦ χρόνου φοβερώτερα καὶ πιστότερα τὰ γεγραμμένα ᾖ. ἐπεὶ δὲ πειθόμενος ἀνέγνω, τότε μὲν ἐφθέγξατο οὐδὲν, ὕστερον δὲ μετὰ τὴν τελετὴν μόνον τὸν παρακοιμώμενον παραλαβὼν, „τὴν μὲν ἐξαρχῆσ“ ἔφη „κακοπραγίαν, ᾗ προσπαλαίων εἰς τοῦτο τύχης καὶ περιφανείας ἦχθης ὑπ' ἐμοῦ, πάντες μὲν συνειδοῖεν ἂν ἐμοὶ Ῥωμαῖοι· σὺ δ' ἂν εἴης πάντων μᾶλλον ἀξιόχρεως πιστεύεσθαι τἀληθῆ καὶ δίκαια περὶ σεαυτοῦ συμμαρτυρῶν ἐμοί. τῶν μὲν οὖν ὑπηργμένων παρά τε τῶν ἄλλων ἀρκοῦσαν ἔχω τὴν ἀπόδειξιν καὶ μάλιστα σοῦ. ὧν δὲ διενοούμην περὶ σοῦ μειζόνων καὶ θαυμασιωτέρων ἀγαθῶν αὐτός τε σύνοιδα ἐμαυτῷ καὶ ᾧ τὰ τῆς ψυχῆς ἑκάστου κινήματα καὶ διανοήματα φανερὰ, θεός. αὐτὸς δὲ μήθ' ὑπὲρ ὧν πολλάκις ὑπ' ἐμοῦ πέπονθας καλῶς μηδενὸς μνησθεὶς, μήθ' ὡς τοσαῦτα εὐεργετηθεὶς, οὐδὲ ἅπαξ πέπονθας κακῶς, ἀλλὰ δίκην σειρᾶς τινος ἀδιάλυτος ἡ τῶν εὐεργετημάτων ἀκολουθία μέχρι νῦν παρ' ἐμοῦ διετηρήθη, ἑτέροις ὑπὸ βασκανίας μηδὲν ἀδικοῦντι πολεμοῦσιν ἐμοὶ προσνείμας ἑαυτὸν, τόγε εἰς ὑμᾶς ἦκον τὰ ἔσχατα διέθεσθε κακά. [20]

2 98 τί οὖν πρὸς ταῦτα κἀμὲ καὶ διανοεῖσθαι καὶ ποιεῖν ἐχρῆν, ἢ πειρᾶσθαι βλάπτειν, ἂν ἄρα τι δύνωμαι καὶ αὐτός; εἰ δ' ἐπὶ ταῦτα ἐτραπόμην, τί λοιπὸν ἦν, ἢ σὲ τὴν προτέραν θρηνεῖν εὐδαιμονίαν, ἄτιμον ἐξαίφνης καὶ ἄπορον περιόντα ἐκ μεγάλα δυναμένου; τοῦτο μὲν οὖν ἐμοί τε τῶν πάνυ ῥᾳδίων ἦν καὶ αὐτὸς ἂν δικάσαις σεαυτῷ ὡς τοιούτων ἧσθα καὶ πλειόνων ἄξιος τῆς πανουργίας ἀπολαύειν. ἐγὼ δ' ἐμαυτῷ πολλῆς παρὰ θεοῦ τῆς συγγνώμης δεομένῳ συνειδὼς, οὔτε ἀριθμῷ τοσαῦτα, οὔτε τηλικαῦτα καθ' ἡμέραν ἁμαρτάνοντι τὸ μέγεθος, ἀλλὰ πολλῷ δεινότερα καὶ πλείω, ἄλλως τε καὶ τοῖς ὅρκοις τοῖς σοῖς πιστεύσας, συγγνώμην παρέχομαι καὶ ἀμνηστίαν τῆς ἐπιβουλῆς. σοὶ δὲ μελήσει τοῖς ὕστερον ἀγαθοῖς τὰ πρότερον εἰργασμένα ἀπαλείφειν.“ τότε μὲν οὖν ὁ παρακοιμώμενος αὖθις λόγοις τε πλείοσι καὶ ὅρκοις τὰ γεγραμμένα ἐπιβεβαιώσας, τῆς παρὰ μεγάλου δομεστίκου πάλιν ἀπέλαυε ῥοπῆς καὶ πολλοὺς παρευδοκίμει καὶ τῶν γένει περιδόξων. χρόνῳ δὲ ὕστερον, ὥσπερ δὴ καὶ πρότερον ἱστόρηται ἡμῖν, τοῦ κατὰ Περσῶν στόλου ὑπὸ βασιλέως ἔτι περιόντος ἀποδειχθέντος στρατηγοῦ, πολλὰ τοῦ μεγάλου περὶ τούτου δομεστίκου δεηθέντος βασιλέως, ὥστε τὴν στρατηγίαν ταύτην ἐγχειρίσαι, μὴ προσήκουσαν ἐκείνῳ τὴν περὶ τὰ τοιαῦτα οἰομένου διατριβὴν, πρὸς μὲν τὴν ὑπηρεσίαν τοῦ μεσάζειν τοῖς δημοσίοις ὁ ἐπὶ τῶν ἀναμνήσεων Σπανόπουλος καὶ ὁ Μελιτηνιώτης Ἰωάννης ἦσαν τεταγμένοι, χρημάτων δὲ ταμίαι τῶν κοινῶν ὅ,τε Πεπαγωμένος Γεώργιος καὶ Νικόλαος ὁ Μελιτηνιώτης. [5]

2 99 ἐπεὶ δὲ περί τε τὰ βασιλικὰ γράμματα καὶ περὶ τὰ χρήματα, ὥσπερ ἔφημεν, ἐπιβούλως διανοηθείη, βασιλεὺς μὲν μισήσας τὴν πονηρίαν, μικρὰ τῆς στρατηγίας ἀπολαύσαντα παρέλυσεν εὐθέως τῆς ἀρχῆς, καὶ διήγαγεν ἐπὶ καιρὸν μηδὲν ἐγκεχειρισμένος τῶν κοινῶν. ἐπεὶ δὲ ἐτελεύτησεν ὁ βασιλεὺς, πολλὰ τοῦ μεγάλου δεηθεὶς δομεστίκου, καίτοι καὶ οἴκοθεν ὡρμημένου ποιεῖν αὐτὸν εὖ, τὴν μὲν τοῦ μεσάζειν ὑπηρεσίαν ἐνεχειρίσθη, τὴν δὲ τῶν βασιλικῶν χρημάτων φυλακὴν οὐκέτι, καίτοι γε ἔμελλε μικρὸν ὕστερον καὶ ταύτην, ὡς ὁ μέγας ὕστερον δομέστικος διεβεβαιοῦτο. ὁ δὲ τὴν μὲν τῶν ἀρχῶν ἰδὼν εὐθέως καὶ μετὰ ῥᾳστώνης αὐτῷ προσγενομένην ἅμα τῷ αἰτῆσαι, τὴν ἑτέραν δὲ οὐκέτι, οὐ τῶν παρεσχημένων ἕνεκα ἐπῄει μᾶλλον χάριτας ὁμολογεῖν, ἢ ἀμύνεσθαι, ὧν ἀδίκως ᾠ̈ετο ἀποστερεῖσθαι. νομίσας

δὲ καὶ βασιλίδα μὲν ἐπιτετραφέναι τῷ μεγάλῳ δομεστίκῳ ἀμφοτέρας ἐκείνῳ ἐγχειρίζειν τὰς ἀρχὰς, τὸν δὲ χαριζόμενον τοῖς τὴν ἑτέραν ἔχουσιν ἀποστερεῖν ἐκεῖνον, ἔγνω δεῖν προσκρούειν φανερῶς καὶ βασιλίδι προσελθὼν, παρόντος ἐκείνου καὶ διαλεγομένου, „ἐγὼ νομίζω,“ εἶπεν „οὐ μόνον τὴν ἐμοὶ παρεσχημένην νῦν ἀρχὴν, ἀλλὰ καὶ πάσας, ὅσας ἄρχουσι Ῥωμαῖοι, οὐ παρὰ μεγάλου δομεστίκου, παρὰ σοῦ δὲ χορηγεῖσθαι πᾶσι. [25]

2 100 διὸ καὶ οἶομαι προσήκειν σοὶ τὰς τῆς εὐεργεσίας χάριτας εἰδέναι. εἰ δὴ ταῦτα οὕτως, ὥσπερ οἶομαι, ἔστιν ἀληθῆ, ἀνθ’ ὅτου, παρὰ σοῦ προστεταγμένον ἀμφοτέρας ἔχειν τὰς ἀρχὰς, ὧν καὶ περιόντος ἦρχον βασιλέως, τὴν ἑτέραν παρέσχετο αὐτὸς, τῆς μιᾶς ἀποστερήσας, δέομαί σου καὶ τὴν ἑτέραν αὐτῷ προστάξαι ἀποδοῦναι, μᾶλλον δὲ, καὶ αὐτοῦ παρόντος, παρὰ σοῦ ἐγχειρισθῆναι, ἵνα σοι καὶ μᾶλλον προσηκούσας τὰς εὐχαριστίας τῆς εὐεργεσίας ἀποδῶ.“ ὁ μέγας μὲν οὖν δομέστικος ἐφθέγξατο οὐδέν. ἡ βασιλὶς δ’ αὐτοῦ πολλὴν καταγνοῦσα τὴν ἀχαριστίαν, „πάνυ θαυμάζειν“ εἶπεν „ἐπέρχεταί μοι, τὴν αἰτίαν, ἐξ ἧς εἰς τούτους προήχθης τοὺς λόγους, οὐ συνορώσῃ. εἰ μὲν γὰρ οἰόμενος, μὴ τὴν ὁμοίαν δύναμιν τὸν μέγαν δομέστικον, ἥνπερ καὶ πρότερον, κεκτῆσθαι, ἢ ἐμέ τι διαφέρεσθαι πρὸς αὐτὸν, δεῖν ἔγνως αὐθαδῶς αὐτῷ προσφέρεσθαι καὶ θρασέως, ἴσθι πάνυ τοῦ προσήκοντος ἁμαρτών. εἰ δ’ οὐδὲν ἀποβεβληκότα καὶ τῆς δυνάμεως καὶ τῆς εὐνοίας τῆς εἰς ἐμὲ εἰδὼς, ἔπειτα εἰς τοῦτο προήχθης ἀτοπίας, οὐκ ἀσυνεσίας, ἀλλὰ παραπληξίας φαίην ἂν ἔγωγε τοὺς λόγους τουτουσί. ἐγὼ δέ σε περιόντος μὲν ᾔδειν βασιλέως τήν τε τοῦ μεσάζειν ἐγκεχειρισμένον καὶ τοῦ βασιλικοῦ ταμιείου τὴν ἀρχήν· πλὴν καὶ τότε, εἴποι τις ἂν, οὐχ ἑκόντος βασιλέως, ἀλλὰ διὰ τὸ βούλεσθαι τοῦτον παραχωροῦντος. διὸ καὶ πολλὰ πολλάκις ὠνειδίζετο παρ’ ἐκείνου, κατὰ σοῦ ἐκφερομένου πρὸς ὀργὴν, ὡς οὐ λυσιτελοῦντα πράττων σὲ μειζόνων ἢ προσῆκεν ἀξιῶν. [20]

2 101 ἐπεὶ δὲ ναύαρχος αἱρεθεὶς αὖθις ἐξεβλήθης τῆς ἀρχῆς, οὔτε βασιλέως ζῶντος, οὔτε μετὰ τὴν ἐκείνου τελευτὴν ὑπ’ ἐμοῦ πρὸς ἀρχήν τινα προήχθης. νῦν δ’ οὗτος οἴκοθεν πρότερον ὁρμηθεὶς, ἣν ἔφης, ἐνεχείρισεν ἀρχὴν, ἔπειθ’ ὕστερον ἀπαγγείλας, ἔπεισε κἀμὲ στέργειν τὰ ἐψηφισμένα. διὸ προσῆκε τῆς εὐεργεσίας χάριτας ὁμολογεῖν καὶ μὴ θρασέως ἀπαυθαδίζεσθαι.“ οὕτω μὲν οὖν ἡ βασιλὶς πρὸς τὸν παρακοιμώμενον ἐφθέγξατο. ις′. Ὁ μέγας δὲ δομέστικος τὴν ἀγνωμοσύνην καὶ αὐτὸς οὐκ ἐνεγκὼν, „ἔδει μὲν“ εἶπε „τὸν τοσοῦτον χρόνον διδάσκαλόν σοι τῶν ὑπηργμένων ἀγαθῶν γενέσθαι παρ’ ἐμοῦ. ἐπεὶ δ’ ἑκοντὶ κακὸς ἐθέλων εἶναι, δέον πολλὰς χάριτας ὁμολογεῖν, σὺ δὲ τἀναντία προείλου λέγειν, ἤδη σου κἀγὼ τὴν ἀρχὴν, ἣν παρεσχόμην, ἀφαιρῶ, καὶ ἀπὸ τῆς ἡμέρας ταύτης μηδενός σοι μελέτω τῶν κοινῶν.“ ὁ μὲν οὖν τοιαῦτα εἶπεν. Ἀπόκαυκος δὲ τῆς βασιλίδος ἐπυνθάνετο, εἰ καὶ αὐτῇ τοιαῦτα συνδοκοίη. τῆς δὲ τὰ εἰρημένα στέργειν εἰπούσης, ὁ μέγας δομέστικος αὖθις πᾶσαν ἀπαγορεύσας ἀρχὴν ἐκείνῳ, ἀνέστη καὶ διοικήσεως ἑτέρων εἴχετο πραγμάτων. ὅσοι δὲ παρῆσαν ἐν βασιλείοις, τὴν παρακοιμωμένου γνόντες πρὸς τὸν μέγαν δομέστικον ἀντιλογίαν, καὶ ὡς ὑπ’ ἐκείνου πρὸς ὀργὴν πάσης ἀρχῆς ἀπελαθείη, πολλὴν μὲν ἐκείνου καὶ ἀγνωμοσύνην καὶ παράνοιαν κατέγνωσαν. [20]

2 102 ἐξιόντι δὲ τῶν βασιλείων, καίτοι πρότερον εἰωθότες ἕπεσθαι πολλοὶ καὶ θεραπεύειν διὰ τὴν ἀρχὴν, τότε προσελθεῖν οὐδεὶς ἐτόλμησεν, ἀλλ’ ἑνὸς ἐξῄει τῶν οἰκετῶν αὐτῷ παρεπομένου, Σπαλοκότου προσαγορευομένου. Ἀπόκαυκος μὲν οὖν ἐκ τοιούτων αἰτιῶν τῷ μεγάλῳ δομεστίκῳ φανερῶς προσκεκρουκὼς καὶ πρὸς ὀργὴν ἀπελαθεὶς, ἐπὶ πολλαῖς ἡμέραις οἴκοι καθῆστο, εἴτε ἀληθῶς ὑπ’ ἀθυμίας, εἴτε ὑποκρινάμενος νοσεῖν. εἶτ’ αὖθις πολλοῖς τῶν μεγάλου δομεστίκου φίλων ἱκέτης γεγονὼς καὶ μάλιστα πατριάρχῃ, ἔπεισε δι’ αὐτῶν ἀφεῖναι τὴν ὀργὴν, πολλὰ καὶ δι’ ἑαυτοῦ ἐπαγγειλάμενος καὶ ὅρκοις μεγάλοις πείσας, ὡς οὐκέτι τοῖς ὁμοίοις ἐπιχειρήσει. καὶ μετ’ οὐ πολὺ καὶ τῶν κατὰ Περσῶν παρασκευαζομένων τριηρέων παρέσχε τὴν ἀρχήν. ὧν ὀλίγῳ ὕστερον ἀμνημονήσας, Ἰωάννῃ τῷ νέῳ, ὥσπερ ἔφημεν, ἐπεβούλευσε βασιλεῖ.

ὧν ἡ βασιλὶς ἀνεμίμνησκε τὸν μέγαν δομέστικον τότε, ὡς ἐν πολλοῖς ἀχαρίστου τοῦ παρακοιμωμένου πρὸς αὐτὸν ἀναφανέντος· δι' ἃ οὐδὲ παρέχειν ἐπείθετο συγγνώμην, ἀλλ' ἐᾷν ἐν Ἐπιβάταις ἐγκεκλεισμένον, ὡς οὐδ' αὖθις ἠρεμήσοντα, ἂν ἐξῇ περιιέναι, ἀλλά τισιν ἐπιχειρήσοντα καινοτέροις. ὁ δὲ πολλοῖς ὑπὲρ ἐκείνου χρησάμενος πρὸς βασιλίδα λόγοις, ἔπεισε τελευταῖον, τὴν μὲν συγγνώμην παρασχεῖν, μηδαμῶς δὲ ἐᾷν ἐν Βυζαντίῳ διατρίβειν, ἀλλ' ἐξ Ἐπιβατῶν ἐλθόντα καὶ προσκυνήσαντα αὐτὴν, ἔπειτα εἰς τὴν ὑστεραίαν ἐπανήκειν πρὸς αὐτόν. [20]

2 103 ἐπεὶ δὲ ἐδέδοκτο τοιαῦτα, καὶ ἀμνηστίας τῶν κακῶν ἐγίνοντο ὅρκοι πρὸς ἐκεῖνον ἰδίᾳ παρά τε βασιλίδος καὶ μεγάλου δομεστίκου καὶ πατριάρχου. τοὺς μὲν Φωκᾶς τε καὶ Δεξιὸς καὶ τρίτος Ἄμπαρ παρά τε βασιλίδος καὶ πατριάρχου ἦκον ἄγοντες ἐν Ἐπιβάταις, τοὺς μεγάλου δομεστίκου δὲ Δημήτριος ὁ Κασανδρηνός. οὓς ὁ παρακοιμώμενος ἰδὼν, τῶν τε λόγων, οὓς ἐποιήσαντο, ἀκούσας, πρὸς ἐκεῖνον ἔφασκεν, οὔθ' ὅρκοις, οὔτε λόγοις πείσεσθαί τισιν, ἀλλ' αὐτῷ μελήσειν, ὅπως ἂν ἄριστα διάθηται τὰ κατ' αὐτόν. οἱ μὲν οὖν οὕτως ἐπανῆκον ἄπρακτοι. ὁ μέγας δὲ δομέστικος, ἐπεὶ ὑπὸ τῶν πραγμάτων ἠπείγετο Βυζαντίου ἐξελθεῖν, τὸν πατριάρχην αὖθις μόνον παραλαβὼν, τῶν τε προτέρων αὖθις ἀνεμίμνησκε λόγων καὶ τῶν ὅρκων τῶν γεγενημένων πρὸς αὐτόν. ἐδεῖτό τε τοιοῦτον φανῆναι καὶ ἐπὶ τῶν ἔργων, ὥσπερ λόγοις ἐπηγγείλατο προθύμως, καὶ μὴ περιιδεῖν αὐτὸν ὑπὸ συκοφαντῶν διαβληθέντα. πατριάρχου δὲ τοῖς ὁμοίοις αὖθις καὶ λόγοις καὶ ἐπαγγελίαις χρησαμένου καὶ θαῤῥεῖν εἰπόντος, ὡς οὐδὲν ἧττον, ἢ εἰ παρῆν αὐτὸς, τῶν ὑπὲρ αὐτοῦ δικαίων ἀνθεξομένου, ἀλλήλους προσαγορεύσαντες, διελύθησαν. ὁ μέγας δὲ δομέστικος καὶ πᾶσι τοῖς ἄλλοις, μάλιστα δὲ τοῖς πρὸς πατριάρχην ὀλίγῳ πρότερον ὑπὲρ τοῦ ἔφιππον αὐτὸν εἰς τὰ βασίλεια εἰσιέναι διενεχθεῖσι, πολλὰ περὶ εὐταξίας καὶ τῆς εἰς βασιλίδα εὐπειθείας διαλεχθεὶς καὶ τελευταῖον ἀπειλήσας, ὡς οὐκ ἀτιμώρητον ἀφήσει, εἴ τις ἐπιχειροίη νεωτέροις, ἐξῆλθε Βυζαντίου, ὀγδόῃ φθίνοντος Σεπτεμβρίου. [20]

2 104 πρὶν δὲ Βυζαντίου ἐξελθεῖν γενόμενος ἐν βασιλείοις αὖθις, ὡς συνταξόμενος τῇ βασιλίδι, τὴν θυγατέρα κελευούσης βασιλεῖ τῷ νέῳ Ἰωάννῃ τὸν μέγαν δομέστικον κατεγγυᾶν, ἀνεβάλλετο εἰς τὴν ἐπάνοδον ἐκεῖνος τὴν ἐκ τῆς ἑσπέρας, τὸ δοκεῖν μὲν, ὡς τῶν πραγμάτων ἐπειγόντων καὶ οὐκ ἐώντων περὶ τοιαῦτα διατρίβειν, τῇ δ' ἀληθείᾳ, τῶν παρὰ τῶν φίλων μεμνημένος λόγων, οἳ μηδὲν ὑπὲρ ἑαυτοῦ μήτ' ἀγαθῶν, μήτε φαύλων πράττειν τὸ δοκεῖν πρὶν ἂν αὐτοῖς συγγένηται μόνον πέμψαντες ἐκώλυον. οἷς φυλάττων τὴν φιλίαν καὶ μηδὲν πρὶν ἐπιψηφίσασθαι τοὺς φίλους πράττειν βεβουλευμένος, ἀνεβάλλετο τῆς θυγατρὸς περὶ τῶν γάμων τότε τὰς συμβάσεις. ὁδοῦ δὲ πάρεργον ἐν Ἐπιβάταις γενομένῳ καὶ ἡ παρακοιμωμένου πρὸς βασιλίδα διάλυσις ἐπράττετο αὐτῷ. ἐπεὶ γὰρ τοῦ φρουρίου ἐγένετο ἐγγὺς, ὁ παρακοιμώμενος ἐξελθὼν, ἠσπάζετό τε αὐτὸν καὶ περὶ τῶν ὅρκων ἀπελογεῖτο τῆς ἀποστροφῆς, ὡς οὐ διὰ κακίαν αὐτῷ πραχθείη, ἀλλ' ἵν' ἔργοις αὐτοῖς γένοιτο καταφανὲς, ὡς οὐ δέοιτο ὅρκων παρ' αὐτοῦ, ἀλλὰ λόγοις αὐτοῦ ψιλοῖς μᾶλλον θαῤῥοίη, ἢ ἑτέρων ἐγγράφοις ὅρκοις. διὸ καὶ νῦν ἰδὼν, προθυμότατα ἐγκεχειρικέναι ἑαυτὸν, οὔθ' ὅρκων, οὔτε τινὸς ἑτέρου δεηθείς. εὐχαριστήσας δὲ ὁ μέγας δομέστικος ἐπὶ τούτοις αὐτῷ καὶ ἱκανῶς προσομιλήσας, αὐτὸν μὲν οἴκοι κατελίμπανεν, ὡς ἐς τὴν ὑστεραίαν ἥξοντα πρὸς αὐτόν. [20]

2 105 ἐκεῖνος δὲ εἰς Σηλυβρίαν ἦλθεν. ἐς τὴν ὑστεραίαν δὲ ἐπεὶ καὶ ὁ παρακοιμώμενος ἦκε, πέμψας πρὸς Βυζάντιον, ὡς τῇ βασιλίδι προσκυνήσαντα αὖθις ἐπανήκειν πρὸς αὐτὸν, αὐτὸς εἰς Διδυμότειχον ἐλθὼν, πρὸς τὴν εἰς τὴν ἑσπέραν παρεσκευάζετο στρατείαν. ὁ παρακοιμώμενος δὲ γενόμενος ἐν Βυζαντίῳ, πρῶτα μὲν προσεκύνει βασιλίδα καὶ συγγνώμης ἠξιοῦτο, ἐφ' οἷς ἐδόκει προσκεκρουκέναι. ἔπειτα τῇ μεγάλου δομεστίκου προσελθὼν μητρὶ, ἐν Βυζαντίῳ τότε παραμυθίας ἕνεκα τῆς βασιλίδος οὔσῃ, πρῶτα μὲν πολλὰς ὡμολόγει χάριτας τῷ μεγάλῳ

δομεστίκῳ, οὐ μόνων τῶν εὐεργεσιῶν, ὧν ἐξαρχῆς ἄχρι τότε παρέσχετο πρὸς αὐτὸν, ἀλλὰ καὶ τῆς μεγαλοψυχίας καὶ συμπαθείας, ἣν οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις καὶ τὰ τελευταῖα νῦν ἐξ ἀνοίας προσκεκρουκότος ἐνδείξαιτο πρὸς αὐτόν. ἔπειτα ἐπηγγέλλετο, ὡς οὐδὲν ἔσται τὸ πεῖσον ἢ βιασόμενον ἀχάριστον καὶ κακὸν ὀφθῆναι περὶ ἐκεῖνον, ἀλλ' οὕτω πεπεικέναι ἑαυτὸν, ὡς οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ γένος ὅλον εὔνουν ἐκείνῳ καὶ πιστὸν εἶναι διὰ πάντων καὶ τὴν δουλείαν ἀκριβῆ τηρῆσον οἷα δὴ δεσπότῃ. πίστεως δὲ καὶ τῶν λεγομένων ἕνεκα νυνὶ ἕτοιμος εἶναι ὅρκους παρασχέσθαι, τοὺς μάλιστα δοκοῦντας βεβαιοτάτους καὶ φρικώδεις εἶναι. ἡ δ' ἔφασκεν αὐτῷ „τὸ μὲν τὰς εὐεργεσίας καταλέγειν, αἳ παρὰ μεγάλου δομεστίκου ἐξαρχῆς ἄχρι νῦν γεγένηνται σοὶ, προσθήσω δ' ὅτι καὶ τὰς ἐξ ἀχαρίστου γνώμης παρὰ σοῦ γεγενημένας πρὸς ἐκεῖνον ἀμοιβὰς, καὶ τὴν ἐκείνου περὶ τὸ συγγνώμην τοῖς εἰς αὐτὸν ἁμαρτάνουσι παρέχειν φιλοτιμίαν, οὐκ ἀναγκαῖον νῦν, σοῦ προτέρου μαρτυροῦντος. [20]

2 106 ὅρκων δὲ οὐ χρεία νῦν, ἀλλ' ἔργων μᾶλλον τοὺς ὅρκους βεβαιούντων. οὐ γὰρ τοῖς λόγοις ἡ πίστις, τοῖς ἔργοις δὲ μᾶλλον ἐπακολουθεῖ. διὸ καὶ σὲ προσῆκον ἔργοις ἐπιδείκνυσθαι τὴν εὔνοιαν τὴν πρὸς ἐκεῖνον, καὶ μὴ λόγοις ἐπιδεικνύμενον, τοῖς ἔργοις ὑστερεῖν.“ ὁ δὲ οὐ λόγοις μόνον, ἀλλὰ καὶ ἔργοις ἐπαγγειλάμενος τὴν πρὸς ἐκεῖνον εὔνοιαν ποιήσειν πᾶσι φανερὰν, ἐκεῖθεν ἐξελθὼν ἦκεν ὡς πατριάρχην. ιζ′. Προσαγορεύσας τε αὐτὸν καὶ περί τινων ἑτέρων προδιαλεχθεὶς, ἔπειτα „τὴν μὲν εἰς ἐμὲ τοῦ μεγάλου δομεστίκου“ ἔφασκεν „εὐμένειαν καὶ αὐτὸς ἂν εἰδείης, ἄνωθεν τοῖς πράγμασι παρηκολουθηκώς. ὀλίγῳ δὲ πρότερον ἐξ ἀβουλίας αὐτῷ προσκεκρουκὼς, ὀλίγου ἐδέησα διαφθαρῆναι, εἰ μὴ σὺ δεηθεὶς, οὐ μόνον ἔπεισας ἀφεῖναί μοι τὴν ὀργὴν, ἀλλὰ καὶ πρόφασιν εὐδοξίας τὴν τοῦ κατὰ Περσῶν στόλου παρασχεῖν ἀρχήν. ὅθεν οὐ σῶστρα μόνον, ἀλλὰ καὶ τῆς τιμῆς πολλὰς ὀφείλειν τὰς εὐχαριστίας εἶναι δίκαιος ὁμολογῶ καὶ πάσῃ σπουδῇ καὶ προθυμίᾳ τὰ σοὶ λυσιτελοῦντα καὶ βουλεύεσθαι καὶ πράττειν, ὡς τῶν αὐτῶν καὶ τὴν βλάβην καὶ τὴν ὠφέλειαν ὁμοίαν ἐμοί τε καὶ σοὶ οἰσόντων. εἰ τοίνυν ἐκ πολλῶν σοι τὴν εὔνοιαν καὶ τὴν φιλίαν ἄδολον καὶ καθαρὰν ὀφείλω, οὔτε δίκαιον ᾠήθην, οὔτ' ἄλλως ἐμοὶ λυσιτελὲς, δεινότατα πεπυσμένῳ περὶ σοῦ συγκρύπτειν, ὥσπερ ἄν τις ἄλλος, ᾧ βέλτιον ἢ χεῖρον ὀλίγα ἢ οὐδὲν μελήσει διακεῖσθαί σε. [20]

2 107 “ ἐρομένου δὲ τοῦ πατριάρχου, ὅ,τι ἂν πύθοιτο περὶ αὐτοῦ, τὸν μέγαν ἔφασκε δομέστικον οὐκ ἀκηκοέναι, ἀλλὰ σαφέστατα εἰδέναι, ὅτι βούλοιτο οὐκ εἰς μακρὰν σὲ καταγαγὼν τοῦ θρόνου, Παλαμᾶν ἐγκαθιδρύειν, φίλον ὄντα τῶν γνησίων καὶ μάλιστα περισπούδαστον αὐτῷ. αὖθις δὲ τοῦ πατριάρχου ἐπανερομένου, ὅθεν ἂν σχοίη τὴν τοῦ πράγματος, ὥσπερ ἰσχυρίζεται, κατάληψιν ἀκριβῆ, τὰς μὲν αἰτίας ὅθεν ἐξεγένετο μαθεῖν, ἐδεῖτο μὴ πολυπραγμονεῖν. οὐ γὰρ ἀποῤῥήτων δύνασθαι κατατολμᾷν. ἓν δὲ τοῦτο σαφέστατα πεπεῖσθαι, ὡς εἰ μὴ πάνυ τὴν ψυχὴν ἤλγει, τῶν κατ' ἐκείνου μελετωμένων ἀκριβῆ τὴν γνῶσιν ἐσχηκὼς, οὐκ ἂν ἀπήγγελλεν ἐλθών. ἔτι δὲ τοῦ πατριάρχου ἀπιστοῦντος καὶ τὴν ἀθρόαν τοῦ μεγάλου δομεστίκου μεταβολὴν μὴ παραδεχομένου, ὅρκοις ἐκεῖνος διεβεβαιοῦτο, μηδὲν εἶναι ψευδὲς τῶν εἰρημένων, ἀλλὰ πάντα ἀληθῆ. παρῄνει τε μὴ μέλλειν, ἀλλὰ τάχιστα βουλεύεσθαι, ἐξ ὧν τὸν κίνδυνον ἐξέσται διαφυγεῖν. οὐδὲ γὰρ ἐκεῖνος, ὡς καὶ σὺ βέλτιον ἂν εἰδείης, εὔκολος μεταβάλλεσθαι πρὸς τὰ βεβουλευμένα.“ ἐπὶ τούτοις δὲ ὁ πατριάρχης σφόδρα θορυβηθεὶς καὶ μάλιστα ὑπὸ τῶν ὅρκων πεπεισμένος, ὡς οὐδὲν ἂν εἴη πλάσμα τῶν εἰρημένων, ἐδεῖτο βουλεύσασθαί οἱ, ὅ,τι δέοι πράττειν πρὸς τοσοῦτον ἐσμὸν κακῶν. [20]

2 108 ὁ παρακοιμώμενος δ' ἔτι μᾶλλον τὸν πατριάρχην εἴσω δικτύων ἄγειν βουληθεὶς „καὶ τῶν προτέρων μὲν“ ἔφασκεν „εὐεργεσιῶν πολλάς τε χάριτας ὀφείλειν ὁμολογῶ καὶ δίκαιος εἶναι οὐ μόνον, ἅ μοι δοκῶ βελτίω καὶ λυσιτελῆ βουλεύεσθαι προθύμως, ἀλλὰ καὶ χρήματα καὶ οἰκέτας καὶ συγγένειαν καὶ τὴν ψυχὴν αὐτὴν, εἰ οἷόν τε εἰπεῖν, προΐεσθαι ἑτοίμως ὑπὲρ σοῦ. ὡς ἂν δὲ μὴ δοκῶ, τῶν κινδύνων ἔξω καθεστὼς αὐτὸς, σὲ παραινεῖν πολὺν τὸν κίνδυνον ἔχουσι

πράγμασιν ἐπιχειρεῖν, καὶ συγγενείας καὶ τῶν φιλτάτων ἐμοὶ ποιῆσαι βούλομαι κοινωνὸν, τῶν θυγατέρων μίαν τῷ σῷ υἱῷ κατεγγυήσας, ἵν' εἰδείης ἀκριβῶς, ὡς οὐ τῶν ἁπλῶς φιλίως πρὸς σὲ διακειμένων εἶναι βούλομαι, ἀλλὰ τῶν σοί τε καλῶς πράττοντι τῆς εὐετηρίας κοινωνούντων καὶ ἀπολλυμένῳ συνδιαφθαρησομένων ὁμοίως." ὡς δὲ καὶ ταῦτα ἀσμένῳ τῷ πατριάρχῃ εἰρημένα ἦν, καὶ μᾶλλον ἐπείθετο σπουδάζειν τὸν παρακοιμώμενον ὑπὲρ αὐτοῦ. ὀλίγα περὶ τοῦ κήδους διαλεχθέντες, (οὐ γὰρ ἦν τι τὸ διαφωνίαν παρασκευάσον, πάντα ἑτοίμως Ἀποκαύκου ἐπαγγελλομένου,) συμβάσεις τε θέμενοι περὶ τοῦ γάμου καὶ κατὰ τὸ Ῥωμαίων ἔθος δι' ἐγκολπίων ἐμπεδώσαντες τὴν πρᾶξιν, τοῦ παρακοιμωμένου δὲ καὶ ὅρκους προσθέντος φρικώδεις ἐπὶ τούτῳ, ἐτράποντο πρὸς τὸ βουλεύεσθαι. συνεβούλευέ τε ὁ παρακοιμώμενος μὴ ἐκ τῆς οἰκείας δυνάμεως ὁρμωμένους πρὸς τὸν μέγαν δομέστικον πόλεμον ἄρασθαι προφανῶς. [20]

2 109 μὴ γὰρ ὅτι γε εἰς ἀντιπάλων μοῖραν οὐκ ἐξαρκέσειν μόνους πρὸς αὐτὸν, ἀλλ' οὐδ' εἰ πολλοὺς ἑτέρους προσεταιρισαίμεθα τοιούτους. ἡ γὰρ ἐν Ῥωμαίοις ἰσχὺς ἐκείνου οὐχ ἡμῖν γε μόνον φανερὰ, ἀλλὰ καὶ τοῖς πόῤῥω κατῳκισμένοις βαρβάροις οὐκ ἀγνοεῖται. πολὺν γὰρ ἤδη χρόνον πάντων ὁ δυνατώτατός ἐστι τῶν παρ' ἡμῖν καὶ πάντες αὐτῷ προσέχουσιν ἀκριβῶς, οἱ μὲν παρ' αὐτοῦ πολλῶν τυχόντες εὐεργεσιῶν καὶ ἔτι πλείω προσδοκῶντες, οἱ δὲ κατεπτηχότες τὴν ἐκείνου δύναμιν. δι' ἃ οὐκ οἴομαι πρὸς ἐκεῖνον ἐκ τοῦ προφανοῦς ἀντικαθίστασθαι λυσιτελεῖν ἡμῖν. πρὸς γὰρ τῷ μηδὲν ἀνύσαι δυνηθῆναι τῶν βεβουλευμένων, καὶ προσαπολοῦμεν ἑαυτούς. ἀλλά τινα καὶ ἡμᾶς δύναμιν δέον ἐκπορίζειν ἑαυτοῖς ἀντίῤῥοπον πρὸς τὴν ἐκείνου. αὕτη δὲ οὐχ ἑτέρωθέν ποθεν ἂν ἐξευρεθείη, εἰ μὴ τρόπῳ δή τινι βασιλίδα ἐκπολεμώσαιμεν ἐκείνῳ. τούτου δὲ γεγενημένου, ῥᾳδίως ἀντικαταστησόμεθα, πολλῶν ἡμῖν συναιρομένων, ὡς ὑπὲρ τοῦ νέου βασιλέως πολεμοῦσι. τοῦτο δ' ὅπως ἂν συσκευασθείη, μάλιστα μὲν καὶ ἡ σὴ σύνεσις θαυμασία οὖσα ἐξευρήσει· συμβουλεύσω δὲ καὶ αὐτός. μὴ θαυμάσῃς δὲ, εἰ πρὸς ἰσχυρὸν ἐχθρὸν ἀντικαθιστάμενοι· χρησόμεθα καὶ ψεύδει. τῷ γὰρ ἐπιχειροῦντι τὸν πολέμιον καθαιρεῖν, οὐ τοῦτο χρὴ σκοπεῖν, εἰ ψεύδει χρήσαιτο ἢ ἀληθείᾳ, ἀλλὰ πρὸς ἓν ἀποβλέπειν μόνον, τὸ τοῦ πολεμοῦντος γενέσθαι κρείττω· τὰ δ' ἄλλα πάντα χαίρειν ἐᾷν. [20]

2 110 τοιγαροῦν καὶ σὺ τῇ βασιλίδι προσελθὼν, (ἀξιόχρεως δ' ἔσῃ πρὸς πειθὼ ἔκ τε τῆς προτέρας, ἧς ἐνεδείξω πρὸς αὐτὴν, εὐνοίας καὶ σπουδῆς μετὰ τὴν βασιλέως τελευτὴν, καὶ τοῦ νῦν ὑπὲρ αὐτῆς δοκεῖν σπουδάζειν,) ἐκείνου κατηγόρησον, ὡς οὐχ ὑποπτευομένου, ἀλλ' ἤδη φανερῶς τὴν βασιλείαν ἰδίαν ποιουμένου καὶ ὅσον οὐδέπω μέλλοντος αὐτὴν καὶ τέκνα ἀποκτείνειν. ἂν δ' ἀπόδειξιν τῶν λεγομένων ἀπαιτῇ, μὴ τοιαῦτα πεῖσον πολυπραγμονεῖν. φθάσειν γὰρ τελευτήσασαν πρὶν εἰς τοὺς ἐλέγχους ἥκειν, εἰ μὴ ἐκείνου διαστᾶσα, ἑαυτὴν διασώζοι καὶ τὰ τέκνα. ἐκ τούτων δὲ ἐκείνην, ὥσπερ οἴομαι, ὑπὸ δέους καταπλαγεῖσαν, τὸν πρὸς ἐκεῖνον ἡμῖν πόλεμον ἐπιτρέψειν. τούτου δὲ κατορθωθέντος, οὐδὲν ἄλλο λείπεται, ἢ ἐκεῖνον μὲν ἀπολέσθαι κακὸν κακῶς, σὲ δὲ πρὸς τῷ τὸν ἐπηρτημένον κίνδυνον διαφυγεῖν, καὶ τὰ Ῥωμαίων πράγματα διοικεῖν, πάντων μάλιστα ἀξιώτατον ὄντα. διό σου δέομαι πεισθῆναι συμβουλεύοντι ἐμοὶ καὶ μὴ πρὸς τὴν πρᾶξιν ἀναδύεσθαι, ῥᾳδίαν οὖσαν, ὡς ἐγὼ συμβουλεύω, κατασκευασθῆναι. εἰ δ' ἀποκνήσεις πρὸς τὸν κίνδυνον, ἐγὼ μὲν δυσχερὲς οὐδὲν ἐρῶ· σὲ δὲ τὰς ἐκδεξομένας τύχας ἤδη στοχάζεσθαι προσῆκον." τούτοις μὲν οὖν τὸν πατριάρχην ἔπεισεν αὐτῷ τε προσέχειν καὶ πόλεμον πρὸς τὸν μέγαν δομέστικον κινεῖν. ἔπειθ' ἕκαστον τῶν ἄλλων, δόξῃ διαφερόντων ἢ γένει τῶν πολλῶν, περιιὼν ἐμηχανᾶτο πείθειν, ψεύδη συνείρων καὶ συκοφαντίας. [20]

2 111 καὶ πρῶτα μὲν πρὸς τὸν Ἀσάνην Ἀνδρόνικον ἐλθὼν, ὃς ἦν μεγάλῳ δομεστίκῳ κηδεστὴς, ἐξ ὧν μάλιστα πείσειν ᾤετο, ἐπεχείρει. οὗτος γὰρ δὴ Ἀσάνης πρὸς τὸν γαμβρὸν ὀλίγῳ πρότερον ἐλθὼν, ἐδεῖτο μὴ περιορᾷν αὐτὸν, ἀβίωτον οἰόμενον τὸν βίον διὰ τὸ τοὺς παῖδας Ἰωάννην καὶ Μανουὴλ, ἐπ' ἔτεσιν ἓξ ἤδη ὑπὸ βασιλέως ἐν δεσμωτηρίῳ εἰργομένους, δεινότατα πάσχειν καὶ

οὐδὲν ἀμείνω τῶν ἐν ᾅδου διαγόντων. ἀλλ᾽ ἀπιόντα πρὸς τὴν ἑσπέραν, ἐπεὶ διὰ Βήρας ἀνάγκη διιέναι, ἔνθα κατεκλείοντο, τοῦ δεσμωτηρίου ἐξαγαγεῖν καὶ πρὸς τὴν στρατείαν χρῆσθαι ἄγοντα μεθ᾽ ἑαυτοῦ, οὐδενὸς, ὧν ἄγει, πρὸς μάχας καὶ στρατείας ὄντας ἀτιμοτέρους χρῆσθαι. ὁ μέγας δὲ δομέστικος, οὐκ ἀρέσκειν, ἔφασκεν, αὐτῷ ταύτην τὴν βουλήν. οὐ γὰρ τῶν τυχόντων εἶναι τοὺς υἱοὺς, οὐδ᾽ ἐπὶ μικροῖς τισι κατακριθέντας, ὥστ᾽, εἰ ἀφεθεῖεν παρ᾽ αὐτοῦ, μηδεμίαν ταραχῆς πρόφασιν παρέχειν βασιλίδι. ἀλλ᾽ ἔδει πρότερον ἐκείνην παρασκευάσαντας συγγνώμην ἐκείνοις παρασχέσθαι, οὕτως ἐξάγειν τοῦ δεσμωτηρίου. νῦν δ᾽ εἰ τοῦτο πράξομεν αὐτοὶ, μὴ πρότερον ἐκείνης ἐπιτρεπούσης, εἰκὸς αὐτήν τε λογίσασθαι καὶ τοὺς συκοφάντας προφάσεως οὐ τῆς τυχούσης εὐπορῆσαι, ὡς ἤδη πᾶσαν αὐτῆς παρειλόμεθα διαβάλλειν τὴν ἀρχὴν καὶ κατ᾽ ἐξουσίαν καὶ τὰ μέγιστα διοικοῦμεν, μηδὲ λόγου γοῦν αὐτήν τινος ἀξιοῦντες. ἃ δὴ οὔτ᾽ ἐμοὶ πρῶτον, οὔτ᾽ ἐκείνοις οἴομαι λυσιτελεῖν. [20]

2 112 ἀλλὰ δέον πρὸς τοῖς ἔτεσιν, οἷς εἴργονται, καὶ ὀλίγον τινὰ χρόνον διακαρτερῆσαι, καίπερ ἀνιωμένους, ἄχρις ἂν θεοῦ διδόντος ἐπανήξω τῆς στρατείας. τότε δὲ τῆς βασιλίδος δεηθεὶς αὐτὸς ὑπὲρ ἐκείνων καὶ, εἰ δέοι, καὶ ἐγγύας παρασχὼν, τοῦ τε δεσμωτηρίου παρασκευάσω ἐξελθεῖν καὶ πρὸς τὴν ἀρχαίαν εὐδαιμονίαν πειράσομαι ἐπανάγειν. νυνὶ δὲ τῆς στρατιᾶς ἤδη παρεσκευασμένης οὔσης πρὸς τὴν ἔξοδον, οὐ σχολὴ περὶ τοιαῦτα διατρίβειν, χρόνου δεόμενα πρὸς τὴν κατασκευήν. ἀλλ᾽ ἐπειγόντων τῶν πραγμάτων, νῦν μὲν κατὰ πάροδον, ὥσπερ καὶ πρότερον πολλάκις, πρὸς αὐτοὺς παραγενόμενος, οὐ παραμυθήσομαι μόνον διὰ τὴν ἐπιδημίαν καὶ προνοίας ἀξιώσω τῆς δεούσης, ἀλλὰ καὶ χρηστοτέρων ἐμπλήσω τῶν ἐλπίδων, τὴν ἐλευθερίαν τῶν δεσμῶν ἐπαγγειλάμενος βεβαίως. ὃ καὶ τὸν μεταξὺ χρόνον αὐτοῖς ἀνεκτότερον, ἢ πρότερον ἡμέρας ποιήσει διάστημα μιᾶς.“ ὁ μὲν οὖν ἠγάπα τὲ ταῖς ἐπαγγελίαις καὶ χάριτας ᾔδει πολλὰς ὑπὲρ αὐτῶν. ιη′. Παρακοιμώμενος δὲ αἰσθόμενος, οἷος ἦν ἐκεῖνος τὰ τοιαῦτα ἐρευνᾶν, καὶ προσελθὼν Ἀσάνῃ, πρῶτα μὲν δουλείαν ἀρχαίαν ὠμολόγει, καὶ μηδὲ τὴν τύχην, ἐν ᾗ καθέστηκε νυνὶ, τῆς πρὶν εὐτελείας ἐπιλελῆσθαι πεῖσαι διεβεβαιοῦτο, ἀλλ᾽ οὕτως οἴεσθαι αὐτὸν οἷα δὴ ἕνα τῶν ἐκείνου οἰκετῶν, καὶ τὴν προσήκουσαν εὔνοιαν ἀγαθῷ δεσπότῃ παρὰ δούλῳ ἕτοιμον εἶναι, καιροῦ καλοῦντος, παρασχέσθαι καὶ αὐτὸν καὶ πάντα πράττειν ὑπὲρ αὐτοῦ τε καὶ τῶν παίδων, εἰ δέοι καὶ ταῖς ἐσχάταις τύχαις περιπίπτειν. [20]

2 113 ὃ καὶ νυνὶ παρεσκευακέναι μάλιστα ἥκειν παρ᾽ αὐτὸν, ἅμα μὲν ἃ λυσιτελεῖν αὐτῷ τε καὶ παισὶ νομίζει παραινέσοντα, ἅμα δ᾽, εἴ τι δέοιτο πρὸς τὸ ἔργον καὶ αὐτοῦ, ὅτι προθυμότατα συναγωνιεῖται καὶ χρήμασι καὶ οἰκέταις καὶ πᾶσιν οἷς ἔχει, ἐκδιδάξοντα. τῶν γὰρ αὐτοῦ παίδων ὑπὸ βασιλέως ἀδίκῳ γνώμῃ καὶ φθονερᾷ πολὺν ἤδη χρόνον ἐν φρουρᾷ κατεχομένων, πάνυ μὲν καὶ αὐτὸν ὑπεραλγεῖν αὐτῶν οὐ μόνον ἄδικα καὶ βίαια πασχόντων, ἀλλὰ καὶ διὰ τὴν ἀρχαίαν εὔνοιαν, ἣν ἐκείνοις ὀφείλειν καὶ σοὶ τῷ πατρί· μηδὲν δὲ βοηθεῖν ἔχοντα, στέργειν τὴν ἀνάγκην. νυνὶ δὲ ὁρῶν τὸν ἐπιτηδειότατον ἥκοντα καιρὸν τῆς ἐκείνων ἐκ τῶν δεσμῶν ἐλευθερίας, μὴ προΐεσθαι ἥκειν παραινέσοντα. καίτοι γε ἀκηκοέναι, ἔφασκεν, ἐκ Σηλυβρίας ἥκων, ὡς πολλὰ μεγάλου δομεστίκου τοῦ κηδεστοῦ δεηθεὶς ὑπὲρ ἐκείνων, οὐδὲν πλέον ἠδυνήθη, ἀλλὰ κεναῖς ἐλπίσι μετεωρίσας καὶ φενακίσας, ἀπιὼν ᾤχετο, ὡς ἀπολύσων τῆς εἱρκτῆς, ἣν ἐπανήξῃ τῆς ἑσπέρας. τοῦτο δὲ εἴ σε λέληθεν ὡς ἀπάτη, πάνυ μάλιστα θαυμάζειν ἔχω. οὔτε γὰρ, βασιλέως ζῶντος, τοὺς γυναικὸς ἀδελφοὺς ἀπαλλάττειν τῶν κακῶν ἀδυνάτως εἶχεν, εἴγε δίκαια καὶ αὐτῷ προσήκοντα ᾐρεῖτο πράττειν, οὐκ ἐλάσσω δυνάμενος ἢ ὅσα βασιλεύς. [20]

2 114 νυνί τε, ὥσπερ οὐδ᾽ αὐτὸς ἀγνοεῖς, οὐ τοιαῦτα μόνον, ἀλλὰ καὶ μείζω πολλῷ καταπράττεσθαι δύναιτ᾽ ἄν, ἀνυπεύθυνον ἔχων τὴν ἀρχὴν καὶ τῶν πραγμάτων αὐτοκράτωρ ὤν. ἀλλὰ καὶ τότε, πείθοντος αὐτοῦ βασιλέα, κατείχοντο δεσμῶται, τῆς τε ἀνδρίας βασκαίνοντος καὶ τῆς συνέσεως καὶ μὴ παρευδοκιμηθείη παρ᾽ ἐκείνων, δεδοικότος· καὶ νῦν οὐδὲν ἧττον διανενόηται παρ᾽ ὅλον

τὸν βίον κατέχειν ἐν δεσμοῖς. τοῦτο δὲ οὐ στοχαζόμενος εἶπον, ἀλλ' ἀκριβῶς εἰδώς. οἶσθα γὰρ, ὡς πολλῆς εὐμενείας ἀπολαύων παρ' αὐτοῦ καὶ τῶν ἀπορρήτων κοινωνῶν αὐτῷ, ὧν διὰ τὴν εἰς ὑμᾶς εὔνοιαν καταπεφρόνηκα νυνὶ, πάντα ἀκριβῶς σύνοιδα αὐτῷ, ὅθεν οὐδ' ἀπιστεῖν ἐμοὶ χρεὼν, ἀλλὰ βουλεύεσθαι τὴν ταχίστην, ἕως ἐστὶ καιρὸς, οὐ μόνον τοὺς παῖδας ἀπαλλάττειν τῶν κακῶν, ἀλλὰ καὶ σεαυτῷ τὴν Ῥωμαίων ἀρχὴν, σοὶ μάλιστα προσήκουσαν τῶν πάντων, περιποιεῖν. τοῦτο δ' ἕτερον τρόπον ἀδύνατον γενέσθαι, εἰ μὴ πρότερος ἐκεῖνος ἐκβληθείη τῶν πραγμάτων τῆς ἀρχῆς. ἐκεῖνο δὲ πάλιν ἑτέρως οὐκ ἐγχωρεῖ, εἰ μὴ αὐτὸς ἐκπολεμώσεις ἐκείνῳ βασιλίδα, ὡς ἁρπάζειν τὴν βασιλείαν διανοουμένου κατειπὼν καὶ αὐτὴν καὶ παῖδας διαφθείρειν. ἀξιώτατος δ' ἂν εἴης πιστεύεσθαι παρ' αὐτῇ, οὐ μόνον ὡς τὰ βεβουλευμένα τῷ γαμβρῷ σαφῶς εἰδὼς, ἀλλ' ὡς καὶ φύσεως αὐτῆς ὑπὲρ τῆς εἰς ἐκείνην εὐνοίας καὶ τὸν παῖδα βασιλέα δοκῶν καταφρονεῖν. [20]

2 115 καίτοι γε φαίη τις ἂν, οὐδὲ τὴν ἐκείνου κατάλυσιν καὶ φθορὰν ἄδολόν σοι καὶ καθαρὰν τὴν ἡδονὴν παρέχειν, οἷα δὴ τῆς θυγατρὸς ἐκείνῳ συνατυχούσης. τοῦτο δ' ὅσην ἔχει τὴν διαφοράν, ἔξεστι παράλληλα θέμενον τὰ πράγματα σκοπεῖν. οὐ γὰρ ὅμοιον, τοὺς μὲν τῶν παίδων ὥσπερ κατορωρύχθαι ζῶντας, τοὺς δὲ παρ' ἀξίαν πράττειν κακῶς καὶ ἐνδεῶς καὶ ἀνελευθέρως ζῇν, καὶ γένος ὑπ' ἐκείνου πᾶν ὥσπερ δοῦλον ἄγεσθαι καὶ φέρεσθαι, καὶ αὐτὸν οὐδὲν ἀμείνω πάσχειν ὑπὸ τῆς πρὸς πάντας συμπαθείας, καὶ μιᾶς ἀτυχησάσης θυγατρὸς πάντ' ἐκεῖνα λελύσθαι τὰ δυσχερῆ καὶ σὲ δύνασθαι οὐ γένος μόνον καὶ οἰκείους, ἀλλὰ καὶ τοὺς ἄλλους φίλους λαμπροὺς ποιεῖν καὶ περιδόξους, πάσης ἐξ ἐκείνου μετενηνεγμένης τῆς Ῥωμαίων ἀρχῆς εἰς σέ. τίς γὰρ, ἐκείνου πεσόντος ἢ καὶ τῆς ἀρχῆς ἐκβεβλημένου, σοῦ μᾶλλον δικαιότερος, ἐπὶ τῶν πραγμάτων εἶναι, οὐκ ἀνδρίᾳ μόνον καὶ πολέμων ἐμπειρίᾳ, ἀλλὰ καὶ λαμπρότητι γένους καὶ συνέσει καὶ τοῖς ἄλλοις ἅπασιν οὐκ ὀλίγῳ τινὶ τῷ μέσῳ πάντας Ῥωμαίους παριόντος. ἐγὼ δὲ πρὸς ἅπαντα προθύμως συναγωνιοῦμαι, τάξιν ἐπέχων ὑπηρέτου καὶ πρὸς πᾶν τὸ κελευόμενον ἑτοιμότατα ἔχων ὑπακούειν. οὐ δὴ, πρὸς τοιοῦτον ἰσχυρότατον ἀνταγωνιστὴν ἀποδυόμενον, περὶ ψεύδους καὶ ἀληθείας ἀκριβολογεῖν χρεὼν, ἀλλὰ πρὸς ἓν μόνον, τὴν ἐκείνου κατάλυσιν, προσῆκον ἀφορᾷν· τἄλλα δὲ μηδὲν ἡγεῖσθαι, εἰ μέλλεις τι τῆς σῆς συνέσεως καὶ στρατηγίας ἀξιόχρεων ποιεῖν. [20]

2 116 ὁρῶμεν δὲ καὶ τῶν στρατηγῶν τοὺς μάλιστα συνετωτάτους οὐκ ἀεὶ τῇ παῤῥησίᾳ χρωμένους καὶ κατὰ στόμα τοῖς πολεμίοις ὑπαντῶντας, ἀλλ' ἔστιν οὗ καὶ ἀπάταις χρωμένους καὶ δόλοις καὶ μηχαναῖς τισι, καὶ μάλιστα, ἡνίκα δέῃ φοβεροῖς τισι καὶ δυνατωτάτοις συμπλέκεσθαι πολεμίοις. καὶ οὐδεὶς αὐτῶν κακίζει τὴν ἀπάτην, ἀλλὰ καὶ θαυμάζομεν ἅπαντες, οἷα δὴ πλείω τῆς συνέσεως ἢ τῆς ῥώμης δυναμένης κατορθοῦν. ιθ'. Τοιαῦτα καὶ πρὸς ἐκεῖνον εἰπὼν καὶ πείσας, ὅρκοις τε ἀσφαλισάμενος, ὡς νῦν τε προθυμότατα συναγωνιεῖται καὶ, καταστάντος πρὸς τὴν ἀρχὴν, ἐν ὑπηρέτου τελέσει μοίρᾳ, μόνον βουλεύεσθαι καταλιπὼν, ὅπως ἂν τὸ σπουδαζόμενον κατορθωθείη, ἐπὶ τοὺς ἀδελφοὺς ἐχώρει Κωνσταντῖνόν τε καὶ Ἰσαάκιον τὸν μέγαν δοῦκα. καὶ πρῶτα μὲν ᾤκτειρε τῆς παρ' ἀξίαν κακοπραγίας καὶ ἐᾤκει συναλγεῖν. ἔπειτα καὶ ὠνείδιζε τὴν ἐθελοδουλείαν, καὶ τὸ πρὸς τὴν ἐλευθερίαν ῥᾳθύμως βιοῦν καὶ ἀνειμένως, καὶ μηδὲ νῦν γοῦν, ὅτε καλῶς ποιῶν παρέσχετο ὁ χρόνος τῆς μεγάλου δομεστίκου χρονίου δουλείας ἀπαλλαγῆναι, προσῆκον εὐγενέσι καὶ ἐλευθέροις ἀνδράσι διανοουμένους τι. καίτοι βασιλέως μὲν ζῶντος, στέργειν ἐξ ἀνάγκης ἦν, πολλὴν ἐκείνου τὴν ῥοπὴν αὐτῷ χαριζομένου καὶ οὐδαμῶς ἐλάττω ἢ ἐκεῖνος δύνασθαι παρασκευάζοντος. [20]

2 117 νυνὶ δὲ τί τὸ κωλῦον, ζῆλον ὑπὲρ βασιλέως τοῦ παιδὸς ὑποκριθέντας, συμβουλεύειν βασιλίδι, πρὸς γένους τε ὄντας καὶ προσήκοντας διὰ τὴν εὐγένειαν πιστεύεσθαι, καταλύειν ἐκεῖνον καὶ τῆς ἀρχῆς ἀποχειροτονεῖν, ὡς ἁρπάζειν διανοούμενον τὴν βασιλείαν καὶ αὐτὴν καὶ φίλτατα ἀποκτιννύναι καὶ Ῥωμαίων τυραννεῖν. οὐ γὰρ δήπου γε ἃ προτείνεται ὑμῖν ὥσπερ δέλεαρ ὑπ'

ἐκείνου, ἀρχαὶ πόλεών τινων καὶ δημοσίων διοικήσεις, ἵν' ἐκεῖνος τὸ μεῖζον ἔχῃ, ὥσπερ δεσπότης ἐπιτάττων καὶ πάντων καταδυναστεύων καὶ μειζόνων καὶ ἐλαττόνων, τοῦθ' ὑμῖν ἀρκέσει πρὸς τὸ ἀποστερεῖσθαι τῆς ἐλευθερίας. οὐδὲ γὰρ οὐδ' ὑμᾶς τοῦτο κατάδηλον λέληθεν ὂν, ὡς, ἐκείνου πεσόντος ἢ ἐκβεβλημένου τῆς ἀρχῆς, ὑμῖν ἐξέσται πράττειν ἃ αἱρεῖσθε ἀδεῶς, ἢ πρώτους γεγενημένους ἢ μετὰ τοὺς πρώτους εὐθὺς Ῥωμαίων. οὐ χρὴ δὲ πρὸς τὴν ἐπιχείρησιν ἀναδύεσθαι λογιζομένους, ὡς ψεύδη καὶ συκοφαντίας ἐρεῖτε. εἰ μὲν γὰρ οὐδὲν οὐδέπω μέχρι νῦν ψεῦδος εἴρητο ὑμῖν, ἦν ἄν τι τοῦτο πρὸς τὸν λόγον. εἰ δὲ πολλάκις ἡμῖν ἅπασιν ὁμοίως καὶ τοῦ τυχόντος κέρδους ἕνεκα ἢ οὐδενὸς καὶ ἐπιορκεῖν καὶ ψεύδεσθαι συνέβη, τί δεῖ τὰ πολλάκις τετολμημένα ὀῤῥωδεῖν νυνὶ, οὐ μικρά τινα, ἀλλὰ τὴν Ῥωμαίων μέλλοντας ἀρχὴν κερδαίνειν; εἰ δ' ἀπιστεῖν ἐμοὶ κεκρίκατε τὰ βελτίω συμβουλεύοντι, ἀλλὰ τῷ γε ἀδελφῷ πείθεσθαι προσήκει, πρεσβυτέρῳ τε τὴν ἡλικίαν ὄντι καὶ μᾶλλον ὑμῶν εἰδότι μεταβολαῖς τε καὶ καινοτομίας πραγμάτων χρῆσθαι προσηκόντως. [20]

2 118 οἶομαι δὲ κἀκείνῳ περισπούδαστον τὴν μεγάλου δομεστίκου κατάλυσιν εἶναι, οὐ φέροντι τὸν ὄγκον τῆς ἀρχῆς καὶ τὸ πάντας ἐν ἀνδραπόδων ἄγεσθαι καὶ φέρεσθαι ὑπ' ἐκείνου μοίρᾳ. ἐγὼ μὲν οὖν ἃ συμφέρειν νομίζω, συμβεβούλευκα ὑμῖν. αὐτοὶ δ' εἴτι περὶ εὐδοξίας ὑμῶν αὐτῶν καὶ βίου περιφανείας κεκρίκατε ἐπιχειρεῖν, μὴ προΐεσθαι ἀναγκαῖον τὸν καιρὸν, ἵνα μὴ, παρελθόντος, οὐδὲν ὠφελώμεθα ἐκ τῆς μεταμελείας. ἐκείνου γὰρ ἀπόντος, ῥᾷστα πᾶν κατορθωθείη· ἂν δ' ἐκ τῆς στρατείας ἐπανέλθῃ, οὐδὲ γρύζειν παραινῶ τολμᾷν, ἢ οὐδὲν ἔσται τὸ κωλῦσον, τὸ μηδ' ὅπῃ γῆς διάγετε ἀγνοεῖσθαι. ἐγὼ δὲ οὐ λόγοις ἁπλῶς, ἀλλὰ καὶ ὅρκοις παρέξομαι πίστεις ἰσχυρὰς τοῦ πρός τε τοὺς ἀγῶνας προθυμότατον παρασχέσθαι ἑαυτὸν, καὶ χρήμασι καὶ ὅπλοις καὶ οἰκέταις συναιρόμενον, καὶ μετὰ τὴν κατάλυσιν ἐκείνου πάντα ποιήσειν τὰ προστεταγμένα ὑφ' ὑμῶν, καὶ παρὰ πάντα τὸν βίον ἐν ὑπηκόου μοίρᾳ τελέσειν, μηδὲν μηδέποτε πρὸς ὑμᾶς ἀγνωμονήσας." τοιαῦτα εἰπὼν καὶ προσέτι γε ὅρκοις ἀσφαλισάμενος τὰ εἰρημένα, ἐπεὶ κἀκείνους εἶχε πεπεισμένους πρὸς τὸ πράττειν τὰ βεβουλευμένα, πρὸς Γαβαλᾶν Ἰωάννην τὸν μέγαν δρουγγάριον ἐλθὼν, ὃς ἦν ἐκ τῆς πρὸς Κράληνπρεσβείας ἄρτι ἥκων, ὑπὸ τοῦ μεγάλου δομεστίκου ᾠρημένος, εἴ τι πύθοιτο ἠρώτα περὶ ἑαυτοῦ. [20]

2 119 τοῦ δὲ ἀποκριναμένου, μηδέν· „ἀλλ' ἐγώ σοι" εἶπεν „ἥκω ἄγγελος κακῶν. ὁ γὰρ μέγας δομέστικος τὴν προτέραν εὐμένειαν τὴν πρὸς σὲ μεταβαλὼν, πολλῆς ἀναπέπλησται πικρίας. καὶ δῆλός ἐστιν οὐκ ἀνεξόμενος, εἰ μὴ δίκας λήψεται παρὰ σοῦ τῆς προδοσίας τῆς εἰς αὐτόν. αὐτὸς γὰρ αὐτοῦ ἀκηκοέναι λοιδορίας σοῦ καταχέοντος πολλὰς, φλύαρον καὶ λάλον ἀποκαλοῦντος καὶ ψευδόμενον ὡς τὰ πολλὰ καὶ φθορέα καὶ προδότην τῶν κοινῶν. ᾠρημένος γὰρ ὑπ' ἐκείνου πρὸς τὸν ἄρχοντα τῶν Τριβαλῶν πρεσβευτὴς, παραπρεσβεύσειας δωροδοκήσας καὶ τὰ Ῥωμαίων καταπροδοὺς, τὰ ἐκείνων πράξειας καὶ ὅρκους ἐκείνοις παρασχοίης, ὡς μένων παρ' ἡμῖν, πρόξενος ἐκείνοις εἴης, παντὶ σθένει τὰ ἡμῶν ἀπόῤῥητα αὐτοῖς καταπροδιδούς. δι' ἃ οὐδὲ Ῥωμαίοις ὅλως ἀνέχεται καταλέγειν σὲ, ἀλλὰ τῆς μερίδος ἡγεῖται Τριβαλῶν." καταπλαγεὶς δὲ ἐπὶ τούτοις ὁ Γαβαλᾶς, θεόν τε ἐμαρτύρετο, ὡς οὐδὲν συνειδοίη τῶν λεγομένων ἑαυτῷ, καὶ οὐδὲ πιστεύειν ὅλως εἶχεν, εἰ ὁ μέγας δομέστικος οὕτως ἀπερισκέπτως συκοφαντίαις τινῶν πιστεύσας καὶ διαβολαῖς, ἐρήμην αὐτοῦ καταγνοίη καὶ ὀργίζοιτο ἀκαίρως. οὐδὲ γὰρ ὁ παρεληλυθὼς ἤδη χρόνος πολὺς, καθ' ὃν τὰ Ῥωμαίων διοικεῖ, τοιαύτην αὐτοῦ κατηγορεῖ φαυλότητα καὶ εὐκολίαν τρόπων. παρακοιμώμενος δὲ τοῖς εἰωθόσιν ὅρκοις ἢ ταῖς ἐπιορκίαις μᾶλλον ἐχρῆτο καὶ κατέπειθεν αὐτὸν, ὡς οὐδὲν εἴη τῶν λεγομένων πλάσμα, ἀλλὰ πάντα ἀληθῆ. [20]

2 120 παρεγύμνου τε κατὰ μικρὸν, ὡς σύστημα οὐκ ἀγεννὲς ἐπὶ καταλύσει ἤδη συσταίη τῇ ἐκείνου, οἷς δέον ἑαυτὸν προσνείμαντα τὸ μέρος καὶ αὐτὸν συγκαταβάλλειν, εἴ τι μέλοι τῆς οἰκείας

σωτηρίας καὶ αὐτῷ. καὶ μὴ συγκαλυψάμενος ἔγνω δεῖν ἐκείνῳ ἐμπαρέχειν ἐμπιπλάναι τὸν θυμόν. πίστεως δὲ τῶν λεγομένων ἕνεκα ἀσφαλεστέρας καὶ τοῦ σαφέστατα εἰδέναι, ὡς ὑπὲρ αὐτοῦ μάλιστα σπουδάζοι καὶ κήδοιτο αὐτοῦ, καὶ τὴν θυγατέρα κατηγγύα, (ἦν γὰρ πρότερον τὴν γαμετὴν ἀποβαλὼν,) καὶ ὅρκους παρεῖχεν ἐπὶ τούτῳ ἐγκόλπιόν τί τε τῶν ἱερῶν ἀσφαλείας ἕνεκα. ἐπεὶ δὲ κἀκεῖνον ἦν προσειληφὼς, Χούμνῳ πρόσεισι τῷ μεγάλῳ στρατοπεδάρχῃ, ἄλλως τε ὄντι τῶν ἐκείνῳ φίλων καὶ προσήκοντι κατὰ γένος διὰ τὴν γυναῖκα. τῆς γὰρ συναφθείσης ἐκείνῳ πρώτως τετελευτηκυίας, ἣ Δισυπάτου θυγάτηρ ἦν, ἑνὸς τῶν τῷ κλήρῳ τῆς τοῦ θεοῦ Σοφίας κατειλεγμένων, ἀνεψιᾷ συνῴκησε τῇ Χούμνου, ἤδη λαμπρὸς ὢν καὶ μὴ ἀπαξιούμενος πρὸς τῶν εὐγενεστέρων. διὰ ταῦτα οὖν ἐκείνῳ τῶν ἐπιτηδείων ὢν, ἀνεμίμνησκέ τε προσελθὼν τῶν πρὸς μέγαν δομέστικον εἰρημένων, ὅτε περὶ Μιχαὴλ τοῦ Μυσῶν βασιλέως ἐβουλεύοντο υἱοῦ, εἰ δέοι ἐκδιδόναι Ἀλεξάνδρῳ ἀπαιτοῦντι, τὸ ἐὰν ἀποκαλυφθῇ τῷ ἐσχάτῳ, σιγάτω ὁ πρῶτος. ὧν, ἔφασκε, τὸν μέγαν δομέστικον ἀεὶ μεμνημένον καὶ ὥσπερ βέλος περιφέροντα ἐν τῇ ψυχῇ, καιρὸν ζητεῖν, ἐν ᾧ τοῦτον ἀμυνεῖται ἀξίως τῆς ὕβρεως τῆς εἰς αὐτόν. [20]

2 121 τοῦτον δὲ οὐδένα ἄλλον εἶναι, ἢ τὴν ἐκ τῆς ἑσπέρας ἐπάνοδον αὐτοῦ. οὕτω γὰρ ἐκείνου φάσκοντος ἀκηκοέναι. ἐμὲ δὲ περὶ πλείστου ποιούμενον τὰ σὰ, (οὐδὲ γὰρ περὶ ἐλαχίστων ὁ κίνδυνος, ἀλλὰ περὶ ψυχῆς,) ἥκειν ἀπαγγέλλοντά τε, ὅσα ἐπυθόμην, καὶ, εἰ βούλει, σωτηρίας ὁδὸν ὑφηγησόμενον.“ ὁ δὲ πρὸς τὰ εἰρημένα οὐ μετρίως θορυβηθεὶς, θαυμάζειν, ἔφασκεν, εἰ ὁ μέγας δομέστικος οὕτως ἐξαίφνης τῆς συνήθους καλοκἀγαθίας μεταβαλὼν, ἀντὶ μετρίου καὶ προσηνοῦς ἀπαραίτητος οὕτως ὀφθείη πρὸς ὀργὴν καὶ τοῖς προσκεκρουκόσι πικρὸς καὶ πρὸς τὰς ἀντιδόσεις ἕτοιμος. οὐδὲ γὰρ ὁ προτοῦ χρόνος τοιοῦτον αὐτῷ τὸ ἦθος συμμαρτυρεῖ. πολλῶν γὰρ αὐτῷ προσκεκρουκότων καὶ μεγάλα, οὐδένα πώποτε ἐφάνη ἀντιδρῶν κακῶς· πρὸς ἐμὲ δὲ μετρίως μὲν διὰ τὸν λόγον τετάρακτο ἐκεῖνον, ὀλίγῳ δὲ ὕστερον οὕτως ἀφῆκε τὴν ὀργὴν, ὡς μηδὲ εἰρῆσθαί τι δοκεῖν. Ἀπόκαυκος δὲ „εἰ μὲν ὑποπτεύων“ ἔφη „τοὺς λόγους τοὺς ἐμοὺς, ὡς πειρωμένου, καὶ τὸ προσκρούειν αὖθις ἐκείνῳ δεδοικὼς, τοιαῦτα ἀπεκρίνω, ἄλλος ἂν εἴη λόγος. εἰ δ’ ὡς ἀληθῶς οἰόμενος οὕτως ἔχειν, ἴσθι ἀγνοῶν τὸ πᾶν. οὐ γὰρ ἥμερος, ὥσπερ ἔφης, καὶ προσηνὴς καὶ περὶ μηδένα ἐκεῖνος κακὸς ὀφθείς· ἀλλ’ ἐκ πολλοῦ τοῦ χρόνου δύναμιν μεγάλην περιβεβλημένον πάντες ἐθεράπευον, καὶ οὐδεὶς ἄχρι νῦν, οὐχ ὅτι ἀντειπεῖν, ἀλλ’ οὐδ’ ἀντιβλέψαι πώποτε ἐτόλμησεν· ὅθεν κἀκεῖνος πᾶσι προσεφέρετο μετρίως ὑπεπτηχόσι καὶ δεδουλωμένοις ἀκριβῶς. [20]

2 122 σοῦ δὲ νυνὶ πρώτου τολμήσαντος ἀντειπεῖν ἀναφανδὸν, οὐκέτι συγκαλύπτειν τὴν κακίαν οἷός τε ἐγένετο, ἀλλ’ ἀπὸ σοῦ κἀκεῖνος ἄρξεται πρώτου τοὺς εἰς αὐτὸν ἁμαρτάνοντας κολάζειν. αὐτίκα τε ὤμνυε τὰ φρικωδέστατα, ὡς πάντα εἴη, ὅσα φθέγξαιτο, ἀληθῆ καὶ ὡς, εἰ μὴ τὴν ταχίστην ἑνί γε τῳ τρόπῳ πειρῷτο διασώζειν ἑαυτὸν, οὐδὲν ἐμποδὼν, μὴ καὶ αὐτὸν καὶ πᾶσαν τὴν οἰκίαν ἀπολέσθαι. ὁ δ’, ὥσπερ ἦν εἰκὸς, περὶ τῶν ἐσχάτων τὸν φόβον ἐσχηκὼς, ἐδεῖτό οἱ τρόπον ὑποθέσθαι, δι’ οὗ τὰ προσδοκώμενα δεινὰ δυνήσεται διαφυγεῖν. ὁ δ’ ἔφασκεν, οὐ χαλεπὸν μὲν εἶναι καὶ αὐτὸν ἐκ τῶν παρόντων τὸ δέον συνιδεῖν, οὐ τῶν πολλῶν καὶ ἀνοήτων ὄντα, ἀλλὰ τῶν ἐμπειρίᾳ πραγμάτων καὶ συνέσει τοῖς πρώτοις ἁμιλλώμενον Ῥωμαίων. παραινέσειν δὲ καὶ αὐτὸν, ἃ οἴεται λυσιτελήσειν, μᾶλλον δ’, ὧν χωρὶς σωτηρίας ἀδύνατον τυχεῖν. οἴεσθαι δὲ μηδὲν ἕτερον αὐτῷ λυσιτελήσειν καὶ τοῖς ἄλλοις, ἢ πόλεμον ἀραμένῳ πρὸς ἐκεῖνον, παντὶ σθένει πειρᾶσθαι καταλύειν τὴν ἐκείνου δύναμιν. τοῦτο δ’ ἔσται ῥᾴδιον, ἂν βασιλίδι προσελθὼν καὶ τὴν εἰς ἐκείνην εὔνοιαν καὶ βασιλέα τὸν υἱὸν ὑποκριθεὶς, ἀναπείσῃς ἐκεῖνον πολέμιον νομίσαι καὶ ἐπιβουλεύοντα αὐτῇ πρὸς τὴν ἀρχὴν, φάσκων περὶ ἐκείνου ἀκριβῶς πεπεῖσθαι τὰ τοιαῦτα καὶ τὴν ἀδικίαν μὴ ἐνεγκεῖν, ἀλλὰ μᾶλλον αἱρετώτερον ἡγήσασθαι, αὐτὸν καὶ παῖδας ὑπὲρ αὐτῶν, εἰ δέοι, πολεμοῦντας ἐκείνῳ ἀποθνήσκειν, ἢ αὐτοὺς ἀδίκως τὴν ἀρχὴν ἀφαιρουμένους ἢ καὶ ἀποθνήσκοντας περιιδεῖν. [20]

2 123 οἷς ἐκείνην, ὥσπερ εἰκὸς, πεισθεῖσαν ὑπὸ δέους ῥᾷστά τε ἐκείνου διαστήσεσθαι καὶ τὸν πόλεμον ἡμῖν τὸν πρὸς ἐκεῖνον ἐπιτρέψειν. τούτου δὲ γεγενημένου, οὐδὲν ἔστι τὸ κωλῦον, οὐ τῶν προσδοκωμένων δεινῶν ἀπηλλάχθαι μόνον, ἀλλὰ καὶ τύχης ἀγαθῆς ἀφορμὴν τὸν πρὸς ἐκεῖνον πόλεμον ποιήσασθαι. ὅτι δὲ οὐκ ἀληθῆ τὰ εἰρημένα, οὐ χρὴ σκοπεῖν, περὶ ἐκείνου. οὐ γὰρ περὶ ἀληθείας καὶ ψεύδους ἡμῖν πρόκειται νῦν ἀγὼν, ἀλλ' εἴτε ζῇν εὐκλεῶς, καθῃρηκότας ἐκείνου τὴν ὀφρὺν, εἴτε ἀποθνήσκειν ὁμοίως τοῖς ἐπὶ δεινοῖς τισιν ἑαλωκόσιν, ἐὰν ἐκεῖνος ἔτι τῶν πραγμάτων ἄρχῃ. διὸ πάσῃ χρηστέον μηχανῇ καὶ παντὶ πολέμου εἴδει προσεκτέον μᾶλλον, ἢ περὶ τοιούτων μικρολογητέον, ἃ μηδεμίαν βλάβην ἔχει, ἂν ὧδε ἢ ἑτέρως ἔχωσι." τούτοις μὲν οὖν ἔπειθε κἀκεῖνον. καὶ πέρας ἤδη εἶχεν ἡ ἐπιβουλή. ἐδόκει δὲ δεῖν καὶ τῶν οἰκειοτάτων βασιλίδι τινὰς προσεταιρίσασθαι, ἐκεῖνο ἐννοῶν, ὡς τοὺς μὲν ἄλλους ἴσως ἂν ὑποπτεύσειεν ἡ βασιλὶς, ἢ φόβῳ ἢ φθόνῳ τοιαῦτα ἐσκαιωρηκέναι, τῶν οἰκειοτάτων δὲ μηδὲν καταγνοίη ἂν τοιοῦτον. καὶ τῷ Ζαμπέας υἱῷ, ἣ ἐκ Σαβωΐας βασιλίδι εἵπετο, πολλῆς καὶ παρὰ βασιλέως ἔτι ζῶντος ἀπολαύοντι τῆς εὐμενείας τά τε ἄλλα καὶ διὰ τὴν ἐν ταῖς μάχαις εὐψυχίαν, καὶ μετὰ τὴν ἐκείνου τελευτὴν βασιλίδι σπουδαζομένων ἐκείνου τε καὶ τῆς μητρὸς, Ἀρτώτῳ προσαγορευομένῳ· τούτῳ δὴ ἐντυχὼν, εἴ τι περὶ ἑαυτοῦ εἰδείη, ἐπυνθάνετο. [20]

2 124 ὡς δὲ ἐκεῖνος ἔφασκε μηδέν· „ἀλλ' ἐγὼ" εἶπεν „αὐτοῖς ὡσὶν ἀκήκοα τοῦ μεγάλου δομεστίκου πολλὰ σοῦ καὶ τῆς μητρὸς καταφερομένου καὶ πολλὴν εὐήθειαν καταγινώσκοντος Ῥωμαίων, ὅτι δέον πρὸς τῶν κοινῶν τὴν ἐπιμέλειαν τοῖς ὁμοφύλοις χρῆσθαι, καὶ ἀνδράσι καὶ γυναιξὶ πολλοῖς τε καὶ ἀγαθοῖς οὖσιν, οἱ δ' οὐκ οἶδ' ὅ,τι παθόντες, Ἀρτώτῳ χρῶνται καὶ μητρὶ, ἀνθρώποις ἀλλοφύλοις καὶ οὐδὲν ἄμεινον διακειμένοις τῶν πολλῶν, βασιλίδα θεραπεύοντες. ἀλλ' ἕως μὲν ἔτι περιῆν ὁ βασιλεὺς, οὐδὲν ἀντιλέγειν ἦν, πᾶν τὸ περιστάμενον κατ' ἐξουσίαν πράττοντι. νυνὶ δὲ εἰς ἐμὲ τῶν πραγμάτων τῆς ἀρχῆς περιηκούσης, οὐ περιόψομαι ὑπὸ τοιούτων, ὥσπερ κηφήνων, τὰ Ῥωμαίων καταναλισκόμενα κοινὰ, ἀλλ' ἐνθέμενος τριήρει μετὰ τὴν ἐπάνοδον, πρὸς τὴν οἰκείαν ἀποπέμψω. πρὸς τοῖς ἄλλοις δὲ καὶ δειλίαν σοῦ κατηγόρει καὶ ἀνανδρίαν ἐν ταῖς μάχαις. ἐγὼ δὲ πρὸς τὴν τοσαύτην ἀδικίαν ἀχθεσθεὶς, μειζόνων τε ἄξιον ἢ ὧν παρὰ Ῥωμαίοις τυγχάνειν εἰδὼς, καὶ τὴν θυγατέρα προθύμως σοὶ πρὸς γάμον ἐκδιδόναι ἔχω καὶ πάντα πράττειν ὑπὲρ σοῦ οὐ διὰ τὴν προτέραν φιλίαν μόνον, ἀλλὰ καὶ τοῦ κήδους ἕνεκα. καὶ εὐθέως ὅρκους τε τοῖς λεγομένοις προσετίθει καὶ ἐγκόλπιον παρεῖχεν εἰς ἀσφαλῆ τῶν λεγομένων πίστιν. [20]

2 125 ὡς δὲ συνθέμενον τὸν Λατῖνον εἶχε, παρῄνει, τῇ μητρὶ τὰ εἰρημένα ἀπαγγείλαντα, πείθειν αὐτὴν, πάσῃ χρήσασθαι καὶ ἐπινοίᾳ καὶ σπουδῇ, ὥστε ἐκπολεμῶσαι βασιλίδα τῷ μεγάλῳ δομεστίκῳ, καὶ τἄλλα προσετίθει, ἃ τοῖς ἄλλοις εἴρητο αὐτῷ. τὰ δὲ τοιαῦτα εἰς τετάρτην ἡμέραν, ἐξ ἧς ἦκεν εἰς Βυζάντιον, αὐτῷ συνεσκευάζετο. καὶ ἐπεὶ καθ' ἕνα τοὺς εἰρημένους εἶχε πεπεισμένους, αὖθις συνίστα τοὺς ὁμοίαν περὶ τοῦ πολέμου γνώμην ἔχοντας ἑκάστῳ ἀπαγγέλλων. παρῄνει τε κοινῇ βουλευσαμένους, ὅθεν ἂν δοκοίη βέλτιον τὸν πόλεμον κινεῖν. κ′. Καὶ ἐπεὶ πρὸς πατριάρχην ἦκον, ἐδόκει δεῖν, μὴ ἀθρόους ἀπαγγέλλειν βασιλίδι ἃ ἐσκέψαντο, ἀλλὰ κατ' ὀλίγους προσιόντας, ἵνα μήθ' ὑποψίαν παρέχοιέν τινα, ἀλλὰ καὶ μᾶλλον καταπλήττοιεν, συνεχῶς τε περὶ τῶν αὐτῶν διαλεγόμενοι, καὶ μᾶλλον πείθοιεν, ἀληθῆ νομίζειν τὰ ὑπὸ πολλῶν ὡσαύτως εἰρημένα. ἐδέδοκτο δὴ Ἀσάνην πρῶτον τὸν μέγαν δοῦκα καὶ Κωνσταντῖνον τὸν ἀδελφὸν προσάγειν τὴν πεῖραν βασιλίδι. προσελθόντες τοιγαροῦν καὶ πολλὰ περὶ τῆς εἰς αὐτὴν εὐνοίας καὶ βασιλέα προδιαλεχθέντες τὸν υἱὸν, ἔπειτα ἔφασαν, τὸν μέγαν δομέστικον εἰδέναι τὴν βασιλείαν ἑαυτῷ περιποιούμενον καὶ ὅσον οὐδέπω τὴν ἐπίνοιαν εἰς ἔργον ἄγειν βεβουλημένον. ὅπερ αὐτοῖς τε ἄγαν ἔδοξε τῶν δεινοτάτων καὶ δεῖν μὴ συγκαλύπτειν, ἀλλὰ δήλην τὴν ἐπιβουλὴν ποιεῖν, ἵν' αἰσθομένη, τὰ δέοντα περί τε ἑαυτῆς βουλεύσηται καὶ τέκνων. [20]

2 126 οὐ γὰρ περὶ μικρῶν τινων εἶναι τὸν κίνδυνον αὐτοῖς, ἀλλ' εἴτε ζῆν καλῶς, τῆς ἐκ πατρῴου κλήρου προσηκούσης ἐχομένους βασιλείας, ἢ ἀποθνήσκειν ἀκλεῶς, ἐπιβουλευθέντας ὑπ' ἐκείνου, δύναμιν τοσαύτην ἐκ τοῦ τῶν πραγμάτων ἄρχειν κεκτημένου. βασιλὶς δὲ ὑποπτεύουσα ὅπερ ἦν, οὐ μόνον οὐκ ἐπῄνεσε τὰ εἰρημένα, ἀλλ' ἐῴκει καὶ ἀχθομένῃ διὰ ταῦτα. παρῄνει τε αὐτοῖς ἀπέχεσθαι τῶν συκοφαντιῶν, ὡς οὐδενὸς, ὅς' ἄν τις εἴποι, διάστασιν αὐτῇ δυναμένου πρὸς τὸν μέγαν δομέστικον ἐμποιῆσαι, σαφῶς πεπεισμένῃ τἀληθῆ καὶ προσήκοντα περὶ αὐτοῦ. ἐπεὶ δὲ ἄπρακτοι ἐκεῖνοι ἐπανῆκον, Ἀρτῶτος προσεπέμπετο ἅμα τῇ μητρί. τὰ ἴσα δὲ κἀκεῖνοι ἀπαγγείλαντες, ἀπεπέμφθησαν πρὸς ὀργὴν, οὐδὲ ὅλους ἀκοῦσαι τῆς βασιλίδος τοὺς λόγους ἀνασχομένης. εἰς τὴν ὑστεραίαν δὲ ὁ Χοῦμνος ἅμα υἱεῖ τε καὶ κηδεστῇ Μανουὴλ Καντακουζηνῷ τῷ στρατηγοπούλῳ καὶ Γαβαλᾶς ὁμοίως βασιλίδι προσελθόντες, ὡς δή τι νεώτερον πεπυσμένοι, ἀπήγγελλον μετὰ σπουδῆς, συνεβούλευόν τε μὴ ῥᾳθυμεῖν, ἀλλὰ διανίστασθαι πρὸς ἄμυναν, ὡς καὶ αὐτῶν καὶ χρήμασι καὶ ὅπλοις συνεφαψομένων τοῦ πολέμου. οὐ γὰρ φέρειν τῇ εἰς βασιλέα εὐνοίᾳ καὶ πίστει συντεθραμμένους τὴν ὑπερβολὴν ὁρᾷν τῶν τολμωμένων, ἀλλ' ἑτοιμότερον ἔχειν καὶ τὰς ψυχὰς προΐεσθαι αὐτὰς, ἢ τοιαῦτα γινόμενα περιιδεῖν. βασιλὶς δὲ καὶ αὐτοῖς ὁμολογήσασα τῆς προθυμίας χάριν καὶ πεπεῖσθαι καὶ αὐτὴ σαφῶς εἰποῦσα, ὡς, εἴ τι συμβαίη τοιοῦτον, προθύμως παντί τῳ πολεμήσουσιν ὑπὲρ αὐτῆς, ἔπειτα παρῄνει τῶν κατὰ μεγάλου δομεστίκου λόγων ἀποσχέσθαι, ὡς οὐδὲν ὄντων ἢ πλάσμα καὶ συκοφαντίαν, (εἰδέναι γὰρ ἀκριβῶς τὴν ἐκείνου πρὸς αὐτὴν εὔνοιαν καὶ βασιλέα τὸν υἱὸν,) μὴ καὶ μετὰ τὴν ἐπάνοδον τὰ παρ' ὑμῶν αὐτοῦ κατηγορημένα ἐκμαθὼν, δικαίως ἄχθοιτο ὑμῖν τοιαῦτα εἰρηκόσι. [5]

2 127 " βασιλὶς μὲν οὖν οὕτω πρὸς μηδὲν τῶν εἰρημένων τῶν ἐξαρχῆς ἐξέστη λογισμῶν, ἀλλὰ πλάσματα ἡγεῖτο πάντα ὑπὸ τῆς ἑκάστου διανοίας ἀναπεπλασμένα. ὡς δὲ καὶ οὗτοι πρὸς τοὺς ἄλλους συνελθόντες, ὅσα ἡ βασιλὶς ἀπήγγελλον ἀποκριθείη, δέος ἔσχε πάντας οὐκ ὀλίγον καὶ ἐν ἐσχάτοις ᾤοντο ἤδη περιέχεσθαι κακοῖς, εἰ μή τι βουλεύσαιντο ἀνυσιμώτερον τῶν εἰρημένων. συνεβούλευέ τε ὁ παρακοιμώμενος αὐτοῖς μηκέτι μέλλειν. τὰ μὲν γὰρ περὶ μεγάλου δομεστίκου εἰρημένα σιωπῇ καλύπτεσθαι οὐ δυνατὸν, πολλῶν τῶν συνειδότων ὄντων. καταδήλων δὲ ἐκείνῳ γενομένων, συνορᾷν ἔξεστιν ἑκάστῳ τοῦ κινδύνου τὴν ὑπερβολήν. διὸ οὐδὲ παρῄνει ῥᾳθυμεῖν ἀπογνόντας πρὸς τὴν πρᾶξιν, ἀλλὰ τῶν ἄλλων ἀποσχομένους πάντων, ἑνὸς τούτου γίνεσθαι μόνου, ὅπως περιγένοιντο τοῦ πολεμιωτάτου, ἢ τά γε δεύτερα, μὴ τὰ ἀνήκεστα παρ' ἐκείνου πάθοιεν αὐτοί. ἐδόκει δὴ καὶ πατριάρχην καὶ τὸν Ἀσάνην Ἀνδρόνικον, ὄντα τοῦ μεγάλου δομεστίκου πενθερὸν, ὥσπερ ἄγκυράν τινα καθεῖναι ἱερὰν, καὶ δι' αὐτῶν τῆς βασιλίδος τοὺς λογισμοὺς πειρᾶσθαι κατασείειν, τῶν ἄλλων πάντων ἀξιολογωτέρων ὄντων πρὸς τὸ πείθεσθαι αὐτοῖς, ἅτε δὴ πατριάρχου μὲν πρὸς τῇ δοκούσῃ πρὸς ἐκείνην εὐνοίᾳ, καὶ ἱερωσύνῃ τῇ μεγίστῃ τετιμημένου καὶ μὴ ἄν ποτε ψεύσασθαι ὑποπτευθέντος· τοῦ ἑτέρου δὲ μὴ τοσοῦτον ἂν εἰς ἀπονοίας βάραθρον ἐληλακέναι δόξαντος, εἰ μὴ τοιαῦτα τῷ γαμβρῷ συνῄδει ἀληθῶς, ὥσθ' ἑκοντὶ τὴν θυγατρὸς αἱρεῖσθαι κακοπραγίαν, καταψευδόμενον τοσαῦτα. [5]

2 128 ἐπεὶ δὲ ἐψηφίσαντο κοινῇ, γενομένων ἐν βασιλείοις τῶν εἰρημένων, ὁ πατριάρχης λόγου ἥπτετο πρῶτος πρὸς τὴν βασιλίδα, „τὴν μὲν περὶ ἐμὲ τοῦ μεγάλου δομεστίκου" φάσκων „εὐμένειαν καὶ σπουδὴν εὐθὺς ἐξαρχῆς, καὶ ὡς ἐκ φαύλης τύχης καὶ πολλῆς ἀφανείας εἰς τοῦτο δι' ἐκείνου δόξης καὶ λαμπρότητος προῆγμαι, δι' ἃ πολλὰς αὐτῷ χάριτας ὀφείλειν ὁμολογῶ δίκαιος εἶναι, πάντες μὲν ἂν εἰδεῖεν Ῥωμαῖοι, μάλιστα δὲ σύ. ἄχρι μὲν οὖν αὐτὸν ἑώρων ὀρθοῖς καὶ δικαίοις χρώμενον λογισμοῖς καὶ τὴν εὔνοιαν καὶ τὴν πίστιν ἄδολον ὑμῖν τηροῦντα καὶ καθαρὰν τοῖς βασιλεῦσι, δεῖν ἐνόμιζον καὶ αὐτὸς ὡς γνησιωτάτῳ φίλων αὐτῷ προσέχειν, καὶ οὐδὲν ἧττον ἢ φιλότεκνος πατὴρ, ἃ λυσιτελήσειν ἤλπιζον αὐτῷ πρὸς εὐδοξίαν,

πράττειν ᾑρούμην. ἐπεὶ δὲ ἄλλων τε πολλῶν λεγόντων ἐπυθόμην καὶ αὐτὸς παρ᾽ ἐμαυτοῦ συνῆκα, ὡς ἄδικα καὶ βίαια καὶ διανοεῖται καὶ πράττειν ἤδη ὥρμηται, τοῦ πολλὰ πεφιληκότος βασιλέως καὶ ἐπὶ μέγα δόξης προαγαγόντος ἀδίκως ἀμειβόμενος τοὺς παῖδας οὐ μόνον τῆς ἀρχῆς, ἀλλὰ καὶ τῆς ζωῆς αὐτῆς ἀποστερῶν, τήν τε γνώμην ἐβδελυξάμην ὡς ὠμοτάτην καὶ ἀγνωμοσύνης οὐδεμίαν ἐλλείπουσαν ὑπερβολὴν, καὶ αὐτὸν οὐ τῶν φίλων ὥσπερ πρότερον, ἀλλὰ τῶν πολεμιωτάτων ἔγνων δεῖν ἡγεῖσθαι. [5]

2 129 νομίζων δὲ μὴ καὶ σὲ τὰ τοιαῦτα ἀγνοεῖν τῶν πάνυ καιρίων εἶναι, ἥκω ἀπαγγέλλων, ἵν᾽ ἐκ τῶν παρόντων σκεψαμένη οὐ μόνον αὐτὴν καὶ παῖδας διασώσῃς, ἀλλὰ καὶ τὴν ἄλλην ἅπασαν συγκινδυνεύουσαν ἀρχήν.“ ἡ βασιλὶς δὲ ὥσπερ ἐκπεπληγμένη, λόγους, ἔφασκεν, ἀκούειν, οἵους οὐδ᾽ αὐτὸν τὸν κακίας ἐφευρετὴν ἄν ποτε δυνήσεσθαι ᾠήθη περὶ μεγάλου δομεστίκου πείσειν ἐπιχειρήσειν, ὡς κακὸς ἐκεῖνος περὶ αὐτὴν καὶ παισὶν ἐπιβουλεύων βασιλέως καὶ τῆς θαυμαστῆς ἐκείνης φιλίας τοιαύτας χάριτας ἀποδιδούς. τοῦ πατριάρχου δὲ καὶ αὐτοῦ τὰ ἴσα φάσκοντος ἐν ἀρχῇ πεπονθέναι πρὸς τὰ περὶ ἐκείνου εἰρημένα καὶ τοῖς λέγουσιν ἀπιστεῖν, οὐ δὶς καὶ τετράκις τοσούτων, ἀλλὰ καὶ πολλαπλασιόνων, ἢ ὅσοι προσεληλύθασιν αὐτῇ, τῶν εἰρηκότων ὄντων. ἔπειτ᾽ ἐπιστήσαντα τὸν νοῦν καὶ τοῖς πραττομένοις ἀκριβῶς προσεσχηκότα, τὴν διαστροφὴν τῆς γνώμης καταμαθεῖν. καὶ πείθεσθαι ἀξιοῦντος καὶ αὐτὴν καὶ μὴ περὶ πράγματος οὕτω τὸν κίνδυνον ὀξὺν ἔχοντος διαμέλλειν, ἀλλ᾽ ἤδη περὶ σωτηρίας αὐτῆς τε καὶ τῶν τέκνων σκέπτεσθαι, ἀνεμίμνησκεν ἡ βασιλὶς τῶν πρὸς ἀλλήλους οὔπω χθὲς καὶ πρώην ἐπ᾽ αὐτοῦ γεγενημένων ὅρκων, ἐν οἷς ἄλλα τε εἴρητο τῷ μεγάλῳ δομεστίκῳ, ἔφασκεν, ὅσα σύνισμεν αὐτοὶ, καὶ πρὸ τῶν ἄλλων ἁπάντων, ἵνα, ἄν τι κατηγορηθῇ παρά τινος, μὴ ἐρήμην οὕτως ἐκείνου καταψηφίζεσθαι ἡμᾶς, ἀλλ᾽ ἐπὶ δίκην καλέσαντας καὶ τόπον ἀπολογίας παρασχομένους, ἂν μὲν ἀδικῶν ἁλίσκηται καὶ ἐπιορκῶν, δίκας τὰς ἐσχάτας ἀπαιτεῖν· ἂν δὲ μηδὲν προσῇ τοῖς εἰρημένοις ἀληθὲς, τῶν ἐγκλημάτων μὲν ἐκεῖνον ἀπολύεσθαι, τοὺς συκοφάντας δὲ αὐτὸ τοῦθ᾽, ὅπερ εἰσὶν, ἀποδείκνυσθαι, συκοφάντας. [10]

2 130 νυνὶ δὲ πολλῶν ὄντων τῶν ἀπιστίας καὶ ἐπιορκίας διωκόντων, οὐδένα ὁρᾷν, ὃς ἀντικαταστῆναι πρὸς αὐτὸν ἐπὶ τῆς δίκης τολμήσει, ὥστ᾽ ἐξελέγχειν ἀδικοῦντα. οὐ μὴν ἀλλ᾽ οὐδὲ νῦν τινα διαῤῥήδην ἐκείνου κατηγορεῖν, ὅτι πράττων κακῶς ὤπται καὶ προδότης περὶ ἐμὲ, ὥστ᾽ ἐκ τῶν λεγομένων καὶ αὐτὴν ἔχειν συνορᾷν, εἰ συκοφαντία τὰ εἰρημένα ἢ ἀληθείας ἔχεταί τινος. ἀλλ᾽ οὕτως ὥσπερ ἐκ συνθήματος πάντες αὐτοῦ καταψηφίζονται τὴν βασιλείας ἁρπαγὴν, μηδὲν πλέον προστιθέντες. οὐ δὴ δίκαιον, οὔτ᾽ ἄλλως εὐπρεπὲς ἐμοὶ, τοῖς παρὰ τῶν πολλῶν πεισθεῖσαν λόγοις, οὐδὲν βέβαιον πρὸς ἀπόδειξιν ἔχουσι τῆς ἀληθείας, πόλεμον πρὸς ἐκεῖνον ἐμφύλιον κινεῖν. οὐ γὰρ τῶν πολλῶν εἷς, ὥστ᾽ αὐτοῦ ῥᾷστα περιγενέσθαι. [20]

2 131 ἀλλὰ νῦν μὲν τῶν εἰρημένων δῆλον πρὸς αὐτὸν μηδὲν ποιεῖν, ἀλλὰ σκεψαμένους πολλὰ καὶ βασάνῳ τὸ πρᾶγμα δόντας ἀκριβεῖ, ἕως ἂν ἐκεῖνος ἀπῇ πρὸς τὴν ἑσπέραν, μετὰ τὴν ἐπάνοδον εὐθὺς καλεῖν ἐπὶ τὴν δίκην, καὶ καιρὸν παρασχομένους πρὸς ἀπολογίαν, ἢ καταψηφίζεσθαι, ἂν φαίνηται ἐπιορκῶν, ἢ τῶν ἐγκλημάτων ἀπολύειν, ἂν μηδὲν τῶν ὑποπτευομένων εἰργασμένος ᾖ. τοιαῦτα μὲν ἡ βασιλὶς δίκαιά τε ὁμοῦ καὶ συμφέροντα οἰομένη, ἀπεκρίνατο. κα′. Ὁ πατριάρχης δὲ ἐλέγχους πυθόμενος καὶ δίκην, πολλήν τε ἑαυτῷ καὶ τοῖς ἄλλοις συνειδὼς συκοφαντίαν, καὶ τὸν κίνδυνον συνορῶν, ὅσος αὐτοῖς μετὰ τῆς συκοφάνταις προσηκούσης αἰσχύνης περιέσται, ἠγωνία τε οὐ μετρίως καὶ τῷ πλείστῳ μέρει ἦν ὑπὸ δέους ἀποτεθνηκώς. ἔτι δὲ οὐ παντάπασι πρὸς τὸ κακουργεῖν ἀπειρηκὼς, ὥσπερ τὴν ἀπόνοιαν βασιλίδος οἰκτιζόμενος, „ἐν οἷσ“ ἔφασκε „πράγμασι καὶ ὁ θεὸς ἄνωθεν συνεφάπτεται, εὔδρομα πάντα καὶ λεῖα καὶ κατορθούμενα ἀπονητί· ὧν δ᾽ αὐτὸς ἑκὼν μεθίεται πρὸς τὸ διαφθαρῆναι, τοὐναντίον ἅπαν, δυσκολίας γέμοντα καὶ ταραχῆς. ἐγὼ δὲ καίτοι κινδύνοις τοῖς ἐσχάτοις διὰ τὴν εἰς ὑμᾶς εὔνοιαν ἐμαυτὸν περιβαλὼν, οὐ τοσοῦτον ἐν δεινῷ τὴν κακοπραγίαν τίθεμαι τὴν ἐμαυτοῦ,

ἄχρι καθαιρέσεως τῶν θρόνων καὶ δεσμωτηρίου ἐσομένην, ὅσῳ τὴν ὑμετέραν, οὐκ ἀφαίρεσιν μόνον μέλλουσιν ὑφίστασθαι τῆς Ῥωμαίων ἡγεμονίας, ἀλλὰ καὶ αὐτῆς ζωῆς ἀκλεῶς ἅμα καὶ παρανόμως ἀποστερεῖσθαι. [20]

2 132 θαυμάζειν δέ μοι καὶ σοῦ παρίσταται πολλὰ, εἰ νῦν, ἀπόντος ἐκείνου Βυζαντίου καὶ λίαν ὄντος εὐεπιχειρήτου διὰ τὸ μηδὲν εἰδέναι τῶν πραττομένων, οὕτω πέφρικας τὸν πρὸς ἐκεῖνον πόλεμον· μετὰ δὲ χρόνον τοσοῦτον, ἐν ᾧ τῶν τε εἰρημένων μηδὲν ἐκείνῳ ἐξέσται ἀγνοεῖν, οὐκ ὀλίγων ἐνταυθοῖ διατριβόντων τῶν ἡδέως ἂν ὑπὲρ ἐκείνου καὶ τὰς ψυχὰς προησομένων καὶ παρασκευάσασθαι πρὸς ἕκαστα, ὡς ἂν ἄριστα αὐτῷ δοκῇ, ῥᾳδίως ἤλπισας περιγενήσεσθαι. οὐ γὰρ ὡς αὐτή τε οἴει κἀκεῖνος φενακίζων ἡμᾶς ἀπεσεμνύνετο, οὕτω πρὸς Βυζάντιον ἐπανήξει, τοὺς φίλους καταλιπὼν καὶ τὴν πολλὴν θεραπείαν τὴν περὶ αὐτὸν, ὥστε σε ἔχειν ὅ,τι βούλει χρήσασθαι αὐτῷ. ἀλλ' εἰδὼς, ὡς ὑποπτεύεται, οὐ τῶν εὐγενεστέρων μόνον πείσει πολλοὺς ὑποσχέσεσι καὶ δωρεαῖς μεγάλων ἀγαθῶν, ἀλλὰ καὶ στρατιὰν ἅπασαν αὐτῷ προσέχειν παρασκευάσει χρήμασι διαφθείρας. ἔχων δὲ μεγάλην δύναμιν περὶ αὐτὸν, οὐ μόνον ἡμᾶς τοὺς ᾑρημένους ἐκείνῳ πολεμεῖν τῆς εἰς ὑμᾶς εὐνοίας ἕνεκα διαφθερεῖ ῥᾳδίως, ἀλλὰ καὶ σοὶ καὶ τέκνοις, μηδενὸς τοῦ βοηθοῦντος ὄντος, ὃν αὐτῷ τρόπον λυσιτελήσειν χρήσεται οἰήσεται, πᾶσιν ἐκείνοις τοῖς σεμνολογήμασι καὶ ταῖς ἀπάταις καὶ ταῖς εἰρωνείαις χαίρειν εἰπὼν μακρά. ἃ οὐκ οἶδ' ὅπως οὐ συνορᾷς αὐτὴ, οὐδὲ σωτηρίαν ἑαυτῇ τε καὶ τέκνοις ἐκ τῶν ἐνόντων ἐκπορίζειν βούλει, ἀλλὰ δίκας ὀνειροπολεῖς καὶ συκοφαντίας καὶ ἐλέγχους, οὐδ' αὐτὸ τοῦτο βουλομένη ἐννοεῖν, ὅτι φθάσαις ἂν διαφθαρεῖσα πρὶν εἰς ταῦτα ἥκειν. [20]

2 133 ἐγὼ μὲν οὖν, ἃ καὶ πρότερον ἔφθην εἰπὼν, οὐ τῆς βασιλέως μόνον εὐμενείας μεμνημένος, ὑφ' οὗ πολλῶν ἀπήλαυσα καὶ μεγάλων εὐεργετημάτων, ἀλλὰ καὶ τῆς σῆς, ἄλλως θ' ὅτι καὶ νόμων αὐτῶν καὶ δικαίων προβεβλημένος, πᾶσιν ἀνάγκην ἔχων τοῖς ὁπωσοῦν ἀδικουμένοις συναίρεσθαι τὰ δυνατὰ, ἐκείνου τε ἀπεσχόμην τῆς φιλίας, ἄδικα καὶ παράνομα διανοηθέντος, καίτοι πολλὰς ἀφορμὰς τῆς εἰς ἐκεῖνον εὐνοίας ἐσχηκὼς, καὶ σοὶ τὰ λυσιτελοῦντα συμβεβούλευκα, κύβον, ὅ φασι, ῥίψας, καὶ σὺν ὑμῖν ἑλόμενος ἢ ζῆν νικώντων, ἢ ἀποθνήσκειν, ἂν τῆς ἐναντίας πειρᾶσθαι συμβαίνῃ τύχης. θειοτέρᾳ δέ τινι καὶ τοῦδε παρόντος τύχῃ, ὃς ἐκείνου τε οὐκ ἄν ποτε ἔλοιτο καταψεύδεσθαι συνοικοῦντος θυγατρὶ, καὶ σοὶ βουλεύσαιτο τὰ δέοντα οὐ μόνον διὰ τῶν πραγμάτων τὴν ἐμπειρίαν καὶ τὴν σύνεσιν, ἣν ὁ πολὺς αὐτῷ τῆς ἡλικίας χρόνος ἐστὶ συνειλοχὼς, ἀλλὰ καὶ τὴν εἰς βασιλέα καὶ τοὺς παῖδας τοὺς ἐκείνου εὔνοιαν καὶ πίστιν ἄδολον καὶ καθαρὰν, ἄξιον πυνθάνεσθαι καὶ πείθεσθαι παραινοῦντι, οὐδὲν ἄδικον, οὐδ' ἐπισφαλὲς βουλησομένῳ συμβουλεύειν." Ἀσάνης δ' ὥσπερ οἱ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ἐφεδρεύοντες, ὥστε τοῖς νικῶσιν αὐτοὶ συμπλέκεσθαι, πρὸς τοὺς λόγους παρεσκευασμένος ὢν, „τὴν μὲν ἐμὴν" ἔφη „πρὸς τὸν μέγαν δομέστικον γνησιότητα καὶ πατρικὴν στοργὴν, ἣν ἔχω πρὸς ἐκεῖνον, τῇ φιλτάτῃ συνοικοῦντα θυγατρὶ, οὐδεὶς ἀγνοεῖ δήπου. [20]

2 134 ὅθεν οὐδ' ἐξαρνεῖσθαι τὰ πᾶσι φανερὰ προσῆκον ἤγημαι ἐμοί. εὔδηλον οὖν, ὡς, ἐκείνου κατωρθωκότος, ἃ διανοεῖται, βασιλεὺς μὲν ἐκεῖνος ἔσται καὶ βασιλίδι τῇ ἐμῇ θυγατρὶ συνοικῶν, ἐγὼ δὲ πατὴρ βασιλέων καὶ τὴν ἀρχὴν συμμεριζόμενος αὐτοῖς καὶ ἐπὶ μέγα ἥκων καὶ δόξης καὶ πλούτου καὶ περιφανείας. ἀλλὰ τὰ λαμπρὰ ταῦτα καὶ σεμνὰ, ἅπερ ἑτέρῳ παντί τῳ ἤρκεσαν ἂν εἰς εὐδοξίαν, ἐμοὶ τῶν παρόντων ἀποδέοντα φαίνεται πολλῷ. τῇ γὰρ εἰς βασιλέας εὐνοίᾳ καὶ πίστει καθαρᾷ ἐκ πρώτης ἡλικίας συντραφεὶς, μᾶλλον ἂν βουλοίμην ἐκείνοις συνὼν κακοπραγεῖν, ἢ τοῖς ἐπιβουλεύουσι προσθέμενος, τῶν πρώτων τιμῶν καὶ δωρεῶν παρ' ἐκείνοις ἀπολαύειν. περὶ μὲν οὖν τοῦ μεγάλου δομεστίκου ὅσα τε πατριάρχῃ καὶ τοῖς ἐμοῖς ἀδελφοῖς καὶ τοῖς ἄλλοις εἴρηται, πάντα σύνοιδα ὡς ἀληθῆ, καὶ περὶ οὐδενὸς ἐκείνων σὲ προσῆκον ἀμφιβάλλειν, ἀλλ' ἐμοὶ πείθεσθαι πάντα ἀκριβῶς ἐπισταμένῳ. εἰ δέ σοι

ταῦτα πρὸς ἀπόδειξιν τῶν εἰρημένων ἀσθενῆ δοκεῖ, ἀλλ' ἐκεῖνό σε πειθέτω πάντως τὸ μὴ μέτριά τινα περὶ σοῦ καὶ τῶν παίδων τὸν ἄνθρωπον διανοεῖσθαι. σοῦ γὰρ πρὶν ἐνθένδε ἀπελθεῖν τὴν θυγατέρα τῷ σῷ υἱῷ καὶ βασιλεῖ πρὸς γάμου κοινωνίαν συνάπτειν καταναγκαζούσης, οὐκ ἠθέλησεν ἐκεῖνος, ἀλλ' εἰς τὴν ἐκ τῆς ἑσπέρας ἐπάνοδον ἀνεβάλλετο τὴν πρᾶξιν. ἠσχύνετο γὰρ μετὰ τοσαύτας ἀποδείξεις τῆς εἰς ἐκεῖνον εὐμενείας παρὰ σοῦ πολεμιώτατος ὀφθῆναι, καὶ ὃν πρὸ μικροῦ τῇ θυγατρὶ πρὸς γάμου συνῆπτε κοινωνίαν, οὐ μόνον βασιλείας, ἀλλὰ καὶ ζωῆς ἀποστερῶν. [20]

2 135 οὐ γὰρ δὴ ἐκεῖνο φαίη τις ἂν νοῦν ἔχων, ὡς περιφανέστερον ἢ θαυμασιώτερον ἐκείνου νυμφίον ἀγαγέσθαι ποτὲ ᾠήθη τῇ θυγατρί. ὅθεν οὐδὲ σὲ τῆς σωτηρίας χρὴ καταμελεῖν, ἀλλὰ πάντα πράττειν σὺν σπουδῇ, ὅθεν ἂν γένοιτο ἐπιβουλεύοντος ἐκείνου περιγενέσθαι. ἐγὼ δὲ καὶ ὅσοι τῶν ἐπιφανεστέρων νῦν ἐπιδημοῦσι Βυζαντίῳ, οὐ χρήματα μόνον καὶ σώματα καὶ οἰκέτας, ἀλλὰ καὶ ψυχὰς αὐτὰς, εἰ δέοι, ὑπὲρ τῶν σοὶ καὶ τέκνοις συμφερόντων προησόμεθα προθύμως. κβ′. Ἐπὶ τούτοις ὥσπερ ὑπὸ λύπης ἡ βασιλὶς καταβαπτισθεῖσα τὴν ψυχὴν, καὶ μήθ' ὡς ἀπιστεῖν τοῖς ὑπὸ πολλῶν καὶ οὕτως ἀξιόχρεων πρὸς πίστιν εἰρημένοις ἔχουσα, μήθ' ὥστε πιστεύειν μηδεμίαν ἐλλείπουσι κακίας ὑπερβολὴν, ἐφ' ἱκανὸν πολλὰ τῶν ὀφθαλμῶν καταγαγοῦσα δάκρυα, ἔπειθ' ὥσπερ ἐκ τῆς ἀθυμίας ἀνενεγκοῦσα, „ἔτι μὲν“ ἔφη „τῶν προτέρων ἔχομαι λογισμῶν, καὶ οὐ δύναμαι παραδέξασθαι ὡς ἀληθῆ τὰ κατὰ μεγάλου δομεστίκου εἰρημένα. μαρτύρομαι γὰρ τὸν πάντα γινώσκοντα καὶ πρὶν γενέσθαι θεὸν, ὡς οὐδέποτε ᾠήθην ἀμελέστερον ἐκεῖνον διακείσεσθαι περὶ ἐμὲ, ἢ περὶ μητέρα τὴν ἰδίαν ἢ γνησιωτάτην ἀδελφὴν, καὶ τῶν βασιλέως παίδων οὐχ ἧττον προνοήσεσθαι, ἢ βασιλεὺς αὐτὸς, εἰ περιῆν, οὐ μόνον τὴν αὐτοῦ καὶ βασιλέως πρὸς ἀλλήλους μικροῦ καὶ ἀπιστουμένην φιλίαν ἐννοοῦσα, ἀλλὰ καὶ τὴν ἡμετέραν πρὸς αὐτόν. [20]

2 136 ἐπεὶ δ' αὐτὸς οὐκ ἄλλοθέν ποθεν, ἢ θεοῦ παραχωροῦντος ἐπὶ τῷ Ῥωμαίους ὑπὸ πολέμων ἐμφυλίων διαφθείρεσθαι, πρὸς τοιαύτην ἀτοπίαν ἐξήχθη λογισμῶν καὶ οὕτως ἄδικα καὶ βίαια διενοήθη, ἐκείνῳ μὲν θεὸς, ὁ πάντα ἄνωθεν ἐφορῶν, τῆς ἐπιβουλῆς δικάσαι καὶ τῶν πραττομένων ἀξίας παράσχοιτο τὰς ἀντιδόσεις. ἐγὼ δ' ὑμῖν ἐμαυτὴν καὶ τέκνα ἐπιτρέπω μετὰ θεὸν, ἵν' ὑπ' ἐκείνῳ μάρτυρι πάντα καὶ διανοῆσθε καὶ πράττητε ὑπὲρ ἡμῶν, ὡς τὸν ἴσον τρόπον, ὃν αὐτοὶ πρὸς ἐμὲ καὶ τέκνα, διακεισομένῳ πρὸς ὑμᾶς.“ ἐκείνη μὲν οὖν περίδακρυς τοιαῦτα εἶπεν, ἀγνοήσασα, οἷ κακῶν ὑπὸ συκοφαντίας κατηνέχθη καὶ διαβολῆς. οἱ δ' ὑφ' ἡδονῆς οὐδὲ κατέχειν ἑαυτοὺς ἐπιπλέον δυνηθέντες, ᾗ τάχους εἶχον, ἀναστάντες καὶ τοῖς ἄλλοις, οἳ τῶν ἀπορρήτων ἐκοινώνουν, πάντα ἀπαγγείλαντες, ἔγνωσαν δεῖν μηκέτι διαμέλλειν, ἀλλ' ὁμόσε πρὸς τὸν πόλεμον χωρεῖν, ἵνα μή τι συμβὰν τὰ μελετώμενα κωλύσῃ. αὐτίκα δὲ τὴν μὲν μητέρα τοῦ μεγάλου δομεστίκου καὶ Ἀνδρόνικον τὸν υἱὸν καὶ τὴν γυναῖκα Ματθαίου τοῦ πρώτου τῶν υἱῶν, ἐν Βυζαντίῳ οὖσαν καὶ αὐτὴν, φρουρὰν περιστήσαντες, ἐφύλαττον οἴκοι διατρίβοντας. Ἀπόκαυκον δὲ τὸν παρακοιμώμενον ἄρχοντα Βυζαντίου ἀποδείξαντες, ἐκέλευον τὸν πόλεμον κινεῖν, ὅθεν ἂν αὐτῷ δοκοίη βέλτιον. [20]

2 137 καὶ ἤρχετο ὁ πόλεμος ἀρχομένου Ὀκτωβρίου. Ἀπόκαυκος δὲ τοὺς ἐν λόγῳ μάλιστα πάντας εἰδὼς οὐκ ἂν ἀνασχομένους ὑπ' ἐκείνου ἄγεσθαι, ἔγνω δεῖν τὸν δῆμον ἐρεθίζειν πρὸς τὸν πόλεμον, οὐ μόνον ἀλόγως πρὸς πᾶν ὁτιοῦν φερόμενον κέρδους ἕνεκα ὀλίγου, ἀλλὰ καὶ ῥᾳδίως ὑποκεισόμενον τοῖς προστάγμασιν ἐκείνου. καὶ πρῶτα μὲν ἀπόρους τινὰς καὶ λάλους περιέστησεν ἑαυτῷ, ἑτοίμως ἔχοντας ὑπὸ πενίας καὶ τῶν δεινοτάτων κατατολμᾷν. ἔπειτα δι' ἐκείνων τὸν δῆμον συνταράξας καὶ πλῆθος ἐπαγαγόμενος πολὺ, πρὸς τὴν οἰκίαν ἀφῖκτο τὴν μεγάλου δομεστίκου καὶ διαρπάζειν ἐκέλευε τὰ ὄντα καὶ τὴν οἰκίαν καταστρέφειν. οἱ δὲ τῶν συνεσκευασμένων συνειδότες μηδὲν καὶ τὴν μεγάλου δομεστίκου δύναμιν κατεπτηχότες ἔτι, μέχρι μὲν αὐλῆς προῆλθον, ἔπειθ' ἕστησαν, ἀπορούμενοι πρὸς ὅ,τι τράπωνται. τῆς μεγάλου

δομεστίκου δὲ μητρὸς ἄνωθεν ἐκ τῶν οἰκημάτων τὴν ἄφιξιν αὐτῶν πυνθανομένης ὅ, τι εἴη, σωφρόνως ἐκεῖνοι καὶ συνετῶς, ἀγνοεῖν μὲν ἐφ' ὅ, τι, ἔφασαν, κληθεῖεν· νυνὶ δὲ γνόντες, ἀναχωρεῖν, μὴ τοιούτοις ἐπιχειρεῖν τολμῶντες. οἱ μὲν οὖν, τῆς μεγάλου δομεστίκου μητρὸς χάριτας αὐτοῖς ὁμολογούσης τῆς εἰς αὐτὴν αἰδοῦς, ἐκεῖθεν ἀνεχώρουν καὶ διελύοντο κατ' οἴκους. πατριάρχης δὲ καὶ ἡ συνωμοσία, ἐπεὶ μὴ κατὰ νοῦν αὐτοῖς ἡ τοῦ δήμου κίνησις ἐτελεύτα, πρὸς τοὺς ἐπιτηδείως ἔχοντας ἐτράποντο τῷ μεγάλῳ δομεστίκῳ, καί τινας κρατήσαντες αὐθημερὸν, ἐνέθεσαν φρουρᾷ καὶ διήρπαζον τὰς οὐσίας. [20]

2 138 οἱ δὲ λοιποὶ σφᾶς αὐτοὺς ὁρῶντες ἐν χρῷ κινδύνου καθεστῶτας ἤδη καὶ δείσαντες, μὴ καὶ αὐτοὶ κατασχεθέντες μυρίοις προσπαλαίσωσι κακοῖς, (κοινὴ γὰρ εὐθὺς πανωλεθρία τῶν μεγάλου δομεστίκου φίλων κατεψηφίσθη,) τὴν τοῦ Πορφυρογεννήτου προσαγορευομένην πυλίδα διατεμόντες, (ἦσαν δὲ δύο καὶ τεσσαράκοντα τὸν ἀριθμὸν,) Ἀπελμενὲ πρὸς τὴν πρᾶξιν ἡγουμένου, ὃς τῶν οἰκειοτάτων τῷ μεγάλῳ δομεστίκῳ ἦν, ἔξω τειχῶν ἐγένοντο Βυζαντίου. ἐπεὶ δὲ τῶν προσδοκωμένων ἀπηλλάττοντο δεινῶν, ἐδόκει δεῖν πρεσβείαν ποιεῖσθαι πρὸς τὴν βασιλίδα, τοῦτο μὲν ὑπὲρ τῶν τετολμημένων παραιτούμενοι, ὡς οὐ διὰ κακίαν, ἀλλὰ δείσαντες τὸν κίνδυνον τολμήσαιεν, τοῦτο δὲ καὶ δεόμενοι αὐτῆς, ὡς, εἰ παράσχοιτο συγγνώμην, ἐπανήξοντες πρὸς τὰς οἰκίας. ἐδεδίεσαν γὰρ, μὴ, καίτοι πρὸς ἀνάγκην εἰς τοιαῦτα συνελαθέντες, καὶ παρὰ μεγάλῳ δομεστίκῳ τῶν τετολμημένων ἕνεκα ὡς νεωτερίζοντες εὐθύνοιντο. ἐπεὶ δὲ τοιαῦτα ἔδοξε, τὸν Καντακουζηνὸν ἀπολεξάμενοι Νικηφόρον, ὃς ἐξάδελφος τῷ μεγάλῳ δομεστίκῳ ἦν, καὶ Γαβαλᾶν, οὔπω μέχρι τότε τῷ μεγάλῳ δομεστίκῳ πολέμιον ἀναδεδειγμένον φανερῶς, ἀλλ' ἔτι τοῖς ἐκείνου φίλοις συνεξετάζεσθαι δοκοῦντα, πέμπουσι πρὸς βασιλίδα. ἐπεὶ δὲ ἀφίκοντο, Γαβαλᾶς μὲν, οἷα δὴ τὰ ἀπόῤῥητα ἐκείνοις συνειδὼς, τῶν τε διαδράντων ἀπιστίαν κατηγόρει προφανῶς καὶ κατὰ μεγάλου δομεστίκου τὰ ἴσα τοῖς ἄλλοις λέγων, ἐδόκει ἀξιόχρεως εἰς πίστιν βασιλίδι. [25]

2 139 καὶ πατριάρχῃ καὶ τοῖς ἄλλοις φανερῶς συντεταγμένος, τό γε εἰς αὐτὸν ἦκον οὐδὲν ἠμέλει τῶν κατὰ μεγάλου δομεστίκου πραττομένων. ὅθεν καὶ τῆς εἰς βασιλίδα εὐνοίας ἆθλον, τὸ πρωτοσεβαστοῦ ἀξίωμα εἰλήφει, χρόνῳ δὲ ὕστερον καὶ τὸ μεγάλου λογοθέτου. Νικηφόρος δὲ ὁ Καντακουζηνὸς ἐν δεσμωτηρίῳ κατακλείεται. κγ. Οἱ φυγάδες μέντοι γε ἐκεῖνοι, ἐπεὶ τῶν πρέσβεων τὸν μὲν ἐπύθοντο εἰργμένον, Γαβαλᾶν δὲ τοῖς μεγάλῳ δομεστίκῳ πολεμοῦσι συντεταγμένον φανερῶς, ἀπογνόντες τὴν ἐπάνοδον, εἰς Διδυμότειχον παρὰ τὸν μέγαν δομέστικον ἀφικνοῦνται καὶ τὰ γεγενημένα πάντα ἀπαγγέλλουσι καὶ τὸν πόλεμον τὸν κεκινημένον πρὸς αὐτόν. ὁ δὲ πιστεύειν οὐκ ἠβούλετο διὰ τῶν ἀπαγγελλομένων τὴν ἀτοπίαν. ἀλλ' ᾤετο αὐτούς τι βασιλίδι προσκεκρουκότας διαδρᾶναι, δείσαντας τὸν κίνδυνον, καὶ συνηγοροῦντας ἑαυτοῖς, τοιαῦτα βασιλίδος καταψεύδεσθαι. μηδὲ γὰρ ἄν ποτε ἐκείνην ἐν τοσούτῳ χρόνῳ τοιαύτην ὑποστῆναι τὴν μεταβολήν. ὅθεν καὶ διενοεῖτο, τοὺς ἐν φυγάδας αὖθις εἰς Βυζάντιον καὶ ἄκοντας ἐκπέμπειν, εἴ τι βασιλίδι προσκεκρούκασι, δίκας ὑφέξοντας ἀξίας. αὐτὸς δὲ πρὸς τὴν εἰς τὴν ἑσπέραν ἐκστρατείαν ἤδη παρεσκευασμένος ὢν, ἔμελλεν ἔργου ἤδη ἔχεσθαι. ὡς δὲ μετὰ μίαν καὶ δευτέραν ἡμέραν πολλοὶ ἐκ Βυζαντίου ἀφιγμένοι τὰ ἴσα καὶ αὐτοὶ ἀπήγγελλον τοῖς φυγάσιν, ἐδόκει δεῖν περιμείναντα μικρὸν, πρεσβείαν πρὸς βασιλίδα περὶ τῶν πραττομένων πέμπειν. [20]

2 140 καὶ τὸν τῆς Γαυρᾶ μονῆς ἡγούμενον ἀπολεξάμενος, ἄνδρα ἀρετῆς ἀντιποιούμενον καὶ πολιτικοῖς πράγμασιν ὁμιλεῖν ἔχοντα ἐπιτηδείως, καὶ Σγουρόπουλον ἐκ τῶν οἰκετῶν αὐτοῦ, συνετόν τε ἅμα καὶ δυνάμενον ἀπταίστως τὰ παρ' ἑκατέρων ἀπαγγέλλειν διαπρεσβευόμενα, πρὸς βασιλίδα εἰς Βυζάντιον ἐκπέμπει. καὶ πρῶτα μὲν ὅρκοις ἐπιστοῦτο, ὡς οὐδὲν αὐτῷ τῶν κατηγορημένων συνειδείη, ἔπειτα ἐδεῖτο, μὴ τῶν ὀλίγῳ πρότερον ἐπὶ τοῦ πατριάρχου πρὸς ἀλλήλους αὐτοῖς γεγενημένων ὅρκων ἐκλαθέσθαι, μηδὲ ἐρήμην αὐτοῦ καταψηφίσασθαι, τοῖς

συκοφάνταις πειθομένην μόνοις, ἀλλ᾽ ἐπὶ δίκην καλεῖν καὶ τῶν ἐγκλημάτων ἔλεγχον ποιεῖσθαι. αὐτὸν γὰρ εἶναι παρεσκευασμένον τῷ κατηγοροῦντι παντὶ ἀντικαθίστασθαι πρὸς δίκην. τοῖς δὲ ἐκπεμφθεῖσι πρέσβεσι προθεσμίαν ἡμερῶν παρείχετο, ὅσην ᾤετο ἀρκέσειν βασιλίδι, ὥστε περὶ τῶν παρόντων σκεψαμένην ἀκριβῶς ἀπολογίαν ἀποδοῦναι, ἵν᾽ εἰ μὲν ὁμοῦ τὰ λυσιτελῆ καὶ δίκαια πράττειν ᾖρημένη, δικαστήριον καθίζοι καὶ τὴν ἀπόδειξιν τῶν λεγομένων ἀπαιτοίη, στέργῃ τὰ ἐψηφισμένα καὶ αὐτὸς, ὁποῖά ποτ᾽ ἂν ᾖ, πολυπραγμονῶν μηδὲν, ἵνα καὶ ἡ προσδοκωμένη τοῦ συγγενικοῦ πολέμου φλὸξ ἀπομαρανθῇ. ἂν δ᾽ ἀγνωμονοίη καὶ μὴ βούλοιτο τὰ δίκαια ποιεῖν, ἀλλ᾽ ἢ μηδαμῶς τὴν ἐξέτασιν ἀνέχοιτο ἢ τὸν καιρὸν ὑπερτιθεμένη, διακρούοιτο αὐτοὺς μετὰ τὴν εἰρημένην προθεσμίαν, τὸν θεὸν τῆς ἀδικίας καὶ αὐτὸν μάρτυρα προστησάμενος, ἃ ἂν αὐτῷ τε καὶ τοῖς συνοῦσιν οἴοιτο λυσιτελήσειν πράττειν. [20]

2 141 πρὶν δὲ μηδὲν κινεῖν τῶν καθεστώτων, κἂν πάντ᾽ ἄνω καὶ κάτω γινόμενα ὁρᾷη. οἱ μὲν οὖν πρέσβεις οὕτω προστεταγμένοι πράττειν, ἐξῆεσαν Διδυμοτείχου. ἐπεὶ δὲ εἰς Σηλυβρίαν ἦκον, οἱ ἐκ τῆς παρακοιμωμένου οἰκίας ἐντυχόντες καὶ ἵππους διαρπάσαντες καὶ τὴν ἄλλην ἀποσκευὴν, αὐτοὺς εἶχον ἐν φρουρᾷ. ἀγγελθέντων δὲ τοῖς ἐν Διδυμοτείχῳ τῶν περὶ τοὺς πρέσβεις τετολμημένων, οἱ μὲν ἄλλοι πάντες ἐδυσχέραινον οὐ μετρίως καὶ οὐδ᾽ ἀνεκτὸν ἡγοῦντο, οὕτω παρὰ φαύλων ἐπὶ μηδεμιᾷ προφάσει προπηλακίζεσθαι ἀνθρώπων. ὁ μέγας δὲ δομέστικος παρῄνει μὴ μικροψυχεῖν. οἴεσθαι μὲν γὰρ καὶ αὐτὸς οὐκ ἐπ᾽ ἀγαθῷ τὰ τοιαῦτα τελευτήσειν, ἀλλὰ μεγάλων ἔσεσθαι πραγμάτων ὑποθέσεις. δεῖν δὲ ὅμως τοῖς παρὰ σφίσιν αὐτοῖς ἐμμένειν ἐψηφισμένοις καὶ μηδὲν νεωτερίζειν πρὶν τὴν προθεσμίαν ἥκειν. οὐ γὰρ ἀγαθὸν τοῖς παρὰ σφίσι κεκριμένοις ἐναντία πράττειν. ἂν δέ τι παρὰ δόξαν καὶ τοῖς ἡμετέροις πρέσβεσι συμβέβηκε, θαυμαστὸν οὐδέν. τῷ γὰρ πάντα τολμῶντι παρακοιμωμένῳ καὶ οἰκέταις οὐδὲ τὰ τοιαῦτα εἶναι ἀνεπιχείρητα προσῆκεν. οὐ δὴ δίκαιον, τὰ τοῖς ἄλλοις ἀνοήτως καὶ θρασέως τολμηθέντα, τῇ βασιλίδι, πρὸς ἣν ἡμεῖς τὴν πρεσβείαν πεποιήμεθα, λογίζεσθαι· ἄλλως τε εἰ μὲν ἐκείνη τὰ δέοντα ποιοῦσα, συμφερόντως βουλεύσεται περὶ τῶν ὅλων καὶ τὸν προσδοκώμενον πόλεμον διαλύσει, ὡς μηδὲν ὄντα τὰ γεγενημένα περιιδεῖν προσῆκον. ἂν δ᾽, ὃ μὴ γένοιτο, πρὸς μείζονα τὴν ἀτοπίαν ἐξαχθῶσι, τότ᾽ ἤδη περὶ τῶν μεγίστων ἡμῖν, οὐ περὶ τοιούτων, προκείσεται σκοπεῖν· ὥστ᾽ ἐξ ἀμφοτέρων δεῖ τῶν γεγενημένων καταφρονεῖν καὶ μὴ ὡς περί τινων ἀναγκαίων θορυβεῖσθαι. [20]

2 142 “ ἐκεῖνος μὲν δὴ τοιαῦτα εἰπὼν, κατέπαυσε τὴν ταραχὴν, πάντων εὐξαμένων εἰς ἀγαθὸν, ὥσπερ εἴρηκεν αὐτὸς, ἀποβαίνειν τὰ παρόντα, καὶ μὴ ὥσπερ ἐκ τῶν πραττομένων ἀναγκάζονται στοχάζεσθαι αὐτοί. οὕτω μὲν οὖν ἐκεῖνοι κατεστέλλοντο τοῦ θορυβεῖσθαι. βασιλὶς δ᾽ ἐπεὶ μάθοι τὰ περὶ τοὺς πρέσβεις εἰργασμένα, πρὸς ὀργήν τε ἐποιεῖτο καὶ ἐκέλευεν ἀποδόντας τὰ διηρπασμένα ἄγειν πρὸς αὐτήν. ἐπεὶ δὲ ἦχθησαν, πατριάρχου τε καὶ τῶν λοιπῶν συγκλητικῶν παρόντων, ἐπὶ τῆς βασιλίδος τοὺς λόγους τῆς πρεσβείας ἐποιοῦντο καὶ οὐδεὶς ἐπ᾽ οὐδενὶ τῶν ἀξιουμένων ἐπῆγε μέμψιν, ἀλλ᾽ ἐδόκουν πᾶσι δίκαια πρεσβεύειν. ἐδέοντό τε καὶ βασιλίδος καὶ πατριάρχου οἱ πρεσβευταὶ, μὴ μέλλειν περὶ πραγμάτων ἀναγκαίων, ἀλλὰ ταχεῖαν τὴν διόρθωσιν ποιεῖσθαι. ἡ δὲ ἦν γράμμασι τὸν μέγαν δομέστικον εἰς δικαστήριον καλεῖν. ἐτιμῶντό τε θάνατον ἑαυτοῖς, εἰ μὴ παρέσται ἅμα τῷ τὰ γράμματα λαβεῖν. οἱ μὲν οὖν ἄλλοι πάντες ἡσυχίαν ἦγον. Ἀπόκαυκος δὲ δείσας, μὴ ἡ βασιλὶς πρὸς τὴν ἀξίωσιν ὡς δικαίαν ἀπιδοῦσα, ἐπιψηφίσηται τὴν δίκην, καὶ πρὸς τῷ μηδὲν αὐτὸς ἠνυκέναι τῶν ἐσκαιωρημένων καὶ αὐτῆς σωτηρίας ἀποστερηθῇ, ἔγνω δεῖν ἰταμότητι χρήσασθαι ἐπικαιρὸν, ὡς δι᾽ ἐκείνης δυνησόμενος ἀνατρέψαι καὶ συγχέαι τοὺς περὶ εἰρήνης λόγους. [20]

2 143 καὶ ἀναστὰς εὐθὺς τοῦ συνεδρίου καὶ τῇ χειρὶ κατασείσας σιωπὴν, πρίν τι προειπεῖν ἢ τὴν αἰτίαν, ἐξ ἧς εἰς τοιαῦτα ὥρμητο, προσθεῖναι, πολλὰς κατὰ μεγάλου δομεστίκου ὕβρεις διεξῇει,

πολέμιον κοινὸν καὶ ἄπιστον βασιλεῦσιν, ἐπίορκόν τε καὶ ψευδόμενον ὡς τὰ πολλὰ καλῶν, καὶ τελευταῖον εἰς αἰσχρὰς καὶ ἀνελευθέρους κατέληγεν ἐπιτιμίας. ἔχων δὲ περὶ αὐτὸν πολλοὺς ὁμοίως τε ὑβριστὰς καὶ πρὸς πᾶν ἀναιδείας χωρεῖν ἑτοίμως παρεσκευασμένους, ἐκέλευεν ἐρεσχελεῖν τοὺς πρέσβεις. καὶ τοῦ μοναχοῦ μὲν ἁπτόμενοι θρασέως „ὁ τοῦ Καντακουζηνοῦ πατριάρχης“ ἐπεβόων „οὑτοσί,“ χριστεμπαίκτην καὶ ὑποκριτὴν καὶ τοιαῦτα ἄττα δεινότερα προσαγορεύοντες. Σγουρόπουλόν τε ὁμοίως πολλὰ περιυβρίσαντες καὶ λοιδορησάμενοι, εἶτα ἀμφοτέρους, εἰς ἣν ἐξενίζοντο οἰκίαν, ἐφρούρουν ἀπροΐτους. βασιλὶς δὲ, εἴτε καὶ αὐτὴ πρὸς τὰ πεπραγμένα μηδὲν ἀγανακτοῦσα, εἴτε ἤδη καὶ ἀναστέλλειν τὰς τῶν στασιαζόντων ὁρμὰς οὐ δυναμένη, ἤνεγκε σιγῇ. οἱ δὲ τῶν πραγμάτων ἄρχοντες τῇ μεγάλου δομεστίκου μητρὶ κατὰ τὴν οἰκίαν διαγούσῃ ἅμα τῷ ἐγγόνῳ Ἀνδρονίκῳ πλείονά τε φρουρὰν ἐφίστουν καὶ ἀσφαλέστερον ἐτήρουν. ἐπεὶ δὲ ὁ πόλεμος ἐν Βυζαντίῳ ἤδη λαμπρῶς ἀνήφθη, ἐδόκει δεῖν καὶ τὰς ἄλλας πόλεις καὶ μείζους καὶ ἐλάσσους προσεταιρίζεσθαι πειρᾶσθαι. [20]

2 144 γράφεται δὴ πρὸς πάσας γράμματα βασιλικὰ, κελεύοντα τὸν μέγαν δομέστικον πολέμιον ἡγεῖσθαι, καὶ μηδεμίαν δέχεσθαι ἐπιδημοῦντα, ἀλλὰ παντὶ σθένει πολεμεῖν καὶ διαφθείρειν. ὡς δὲ καὶ ταῦτα ἠγγέλλετο τῷ μεγάλῳ δομεστίκῳ καί τινα τῶν γραμμάτων ἐκομίζετο εἰς ἀπόδειξιν ἐναργῆ τῶν λεγομένων, ἐθορυβεῖτο μὲν σφοδρῶς ἤδη καὶ ἐκυμαίνετο τὴν ψυχὴν καὶ αὐτὸς καὶ οἱ συνόντες. οὐδὲν μέντοι καὶ αὐτοὶ νεωτερίζειν ἐπεχείρουν, τὴν προθεσμίαν περιμένοντες, ἄτοπον ἡγούμενοι πρὸ ἐκείνης τι τολμᾷν. ἐπεὶ δὲ ἠκούσης οἵ τε πρέσβεις παρῆσαν οὐδαμοῦ καὶ οὔτε γράμμασιν, οὔτε μὴν λόγοις ἠδυνήθησαν δῆλα θέσθαι τὰ γεγενημένα ὑπὸ τοῦ φρουρεῖσθαι ἀσφαλῶς, ὅσοι τῶν συγκλητικῶν παρῆσαν ἐν Διδυμοτείχῳ καὶ ἡγεμόνες τῆς στρατιᾶς ἅμα πρὸς τὸν μέγαν δομέστικον ἐλθόντες, μηκέτι μέλλειν συνεβούλευον, ὡς πάσης προφάσεως ἤδη περιῃρημένης, ἀλλὰ σκεψαμένους ἐξευρίσκειν, ὅθεν ἂν εἴη καὶ αὐτοῖς πορίζεσθαι τὴν σωτηρίαν. τῷ δ’ ἐδόκουν μὲν τὰ λυσιτελοῦντα συμβουλεύειν. οὐδὲ γὰρ, βασιλίδος καὶ τῶν περὶ αὐτὴν, ἃ λυσιτελεῖν αὐτοῖς ἐνόμιζον, πραττόντων, αὐτοὺς ἀργοὺς προσήκειν ᾤετο καθῆσθαι. ἔτι γε μὴν οἰόμενος ἔσεσθαί τινα μεταβολὴν καὶ κατάλυσιν τοῦ πολέμου, παρεκάλει τοὺς συνόντας, μὴ μικροψυχεῖν, μηδ’ ἀφορμὰς παρέχειν τῷ πολέμῳ. κδ′. Ὀλίγαις δὲ ὕστερον ἡμέραις ἦκε πρὸς αὐτὸν ἐκ Βυζαντίου ἐκ τῶν τῆς βασιλίδος οἰκετῶν ὁ Τζυράκης ὠνομασμένος, γράμματα φέρων, ἃ ἐκέλευεν αὐτὸν ἀποσχόμενον τῶν πραγμάτων οἵκοι διατρίβειν καὶ μηδὲ τῆς Διδυμοτείχου πύλης ἐξιέναι, ἄχρις ἂν αὐτὴ ψηφίσηται περὶ αὐτοῦ, ὅ,τι ἂν δοκῇ. [20]

2 145 τὴν αἰτίαν δὲ τῶν εἰρημένων οὐκ ἐν τῷ παρόντι δήλην ἔλεγε ποιήσεσθαι, ἀλλ’ ὕστερον ὀλίγῳ αὐτῷ τε καὶ πᾶσιν ἂν γενέσθαι φανεράν. πρὶν δὲ τὰ γράμματα ταυτὶ γραφῆναι ἕτερα ἐγράφοντο, τοῦ παρακοιμωμένου ὑπαγορεύοντος, πικρίας μεστὰ καὶ ὕβρεως καὶ εἰρωνείας, ἃ ἐκώλυσεν ἡ βασιλὶς πεμφθῆναι, μόλις πείσασα τοὺς ἄγοντας. ἐπεὶ δὲ ἀνεγινώσκετο ἐπ’ ἐκκλησίας, οἱ μὲν ἄλλοι πάντες τὴν τῶν γεγραμμένων ἀτοπίαν ἐκπεπληγμένοι, ἄπτεσθαι ἤδη παρῄνουν τοῦ πολέμου καὶ μὴ διεφθορόσιν ἀνθρώποις τὸν καιρὸν προΐεσθαι, καθ’ ὃν ἐξέσται διασώζειν ἑαυτούς. ὁ μέγας δὲ δομέστικος ὁρῶν ἤδη τὰ πράγματα εἰς ἀκμὴν ἥκοντα κινδύνου καὶ μηκέτι διαμέλλειν καὶ αὐτὸς οἰόμενος, ἐτράπετο ἤδη πρὸς τὸ βουλεύεσθαι καθ’ ὅ,τι χρηστέον ἂν εἴη τοῖς πράγμασι καὶ αὐτούς. καὶ πρῶτος αὐτὸς εἰς τὴν βουλὴν καταστάντων, ἔλεξε τοιάδε. „ἄνδρες συστρατιῶται, τὰ μὲν παρόντα πράγματα εἰς ὅσον δυσκολίας καὶ ταραχῆς νῦν τε ἥκουσι καὶ ἔτι μᾶλλον μέλλουσιν ἐπιδιδόναι, ὁμοίως ἔξεστι πᾶσι στοχάζεσθαι ἡμῖν. ἐγὼ δ’ εἰ μὲν ἢ νῦν ἐξ ἀλλοδαπῆς ἐλθὼν ἢ διατρίβων παρ’ ὑμῖν, τῶν πολλῶν οὐδὲν ἄμεινον διακείμενος ἠγνοούμην, εἶχεν ἄν τινα λόγον ἴσως, ὁποῖος τὸν τρόπον καὶ τὸ ἦθος, ἐφ’ ὑμῶν διεξιέναι. [20]

2 146

ἐπεὶ δ’ ἐκ πρώτης ἡλικίας ἄχρι νῦν οὐ παρ’ ὑμῖν ἐπολιτευόμην μόνον, ἀλλὰ καὶ τὴν Ῥωμαίων ἀρχὴν διῴκουν μετὰ βασιλέα, ἐξ ὅτουπερ ἐκεῖνος κατέστη πρὸς αὐτὴν, ὑφ’ ἧς ἐμοῦ πᾶσιν ἢ βελτίονος ἢ χείρονος πειρᾶσθαι παρέχεσθαι ἠναγκαζόμην, οὐχ ἧττον ἄν μοι συνειδείητε καὶ αὐτοὶ τὸν τρόπον, ἢ αὐτὸς ἐμαυτῷ. ὅθεν οὐδὲ τοῦ προτέρου βίου πλείονα ποιήσομαι τὸν λόγον, ὀρθῶς καὶ δικαίως πεπολιτευμένον παρ’ ὑμῖν ἐμαυτὸν ἀποδεικνὺς, πάντα σαφῶς τὰ ἡμέτερα εἰδόσιν. ἕως μὲν οὖν περιῆν ὁ βασιλεὺς, ἐκεῖνός τε ἐμοὶ πολλὴν ἐν τοῖς πράγμασι παρείχετο τὴν ῥοπὴν καὶ πάντα οὐχ ἧττον ἢ ἑαυτῷ καὶ τὰ μέγιστα ἐπέτρεπε διοικεῖν. ἐγώ τε τὴν ἴσην εὔνοιαν παρειχόμην καὶ σπουδὴν, ὅσα προσῆκε τὸν φιλούμενον ποιεῖν, οὐδὲν ἐλλείπων. ἐπεὶ δ’, οὕτω δόξαν τῷ τὰ τῇδε πάντα διοικοῦντι, ἐξ ἀνθρώπων ἐγένετο ἐκεῖνος, ἐγὼ μὲν οὐδὲν ἕτερον ἐλογιζόμην προσήκειν ἐμαυτῷ, ἢ τῆς εἰς ἐκεῖνον εὐνοίας δεῖγμα σαφέστατον τὴν εἰς τοὺς παῖδας πρόνοιαν καὶ βασιλίδα τὴν ἐκείνου γαμετὴν ἐξενεγκεῖν. καὶ διετέλεσά γε μετὰ τὴν ἐκείνου τελευτὴν ἄχρι νῦν οὐδὲν τῶν δεόντων παραλείπων, ἀλλὰ καὶ σώματος καὶ χρημάτων ἀφειδῶν καὶ πάντα πράττων καὶ μηχανώμενος ἐπὶ τῷ συνδιασώζειν ἐκείνοις τὴν ἀρχήν. οὐ μὴν οὐδ’ ἄχρι νῦν μὲν ὀρθῶς καὶ δικαίως ἐπολιτευόμην, ὕστερον δὲ ὑπὸ τῶν πραγμάτων φυσηθεὶς, ἔμελλον τὴν Ῥωμαίων ἀρχὴν ἐμαυτῷ περιποιεῖν, εἰς βασιλέως σχῆμα τὸ παρὸν μεταβαλών. [20]

2 147 περὶ μὲν γὰρ τοῦ παρεληλυθότος αὐτὰ τὰ πράγματα συμμαρτυρήσειεν ἂν ἐμοὶ, ἐπὶ δὲ τῶν ἐσομένων οὐ θεὸν μόνον τῶν βεβουλευμένων συνίστορα παρέχομαι, ἀλλὰ καὶ ἐξ αὐτῶν τῶν παρελθόντων τῶν μελλόντων ἔξεστιν ἀπόδειξιν ποιεῖσθαι ἐναργῆ. εἰ γὰρ τοιούτων, οἵων φασὶν οἱ συκοφάνται, ἐπεθύμουν, τί ἐκώλυεν, ἡνίκα, βασιλέως τελευτῶντος, τοὺς ἐκείνου παῖδας ἔχων, ἐποιούμην τὰ βασίλεια ὑπὸ φρουρᾷ καὶ μετὰ τρίτην ἡμέραν καὶ βασιλίδος ἀφιγμένης, πάντα χρήματα ἦσαν ἐπ’ ἐμοὶ, ὥσθ’ ὅ,τι χρῆσθαι ἠβουλόμην, ἐκείνους μὲν ἀποκτιννύναι, αὐτὸν δὲ τὴν βασιλείαν ἄνευ πόνων ἔχειν καὶ ἱδρώτων, οὐδενὸς ἔτι λειπομένου τοῦ τολμήσοντος ἀνθίστασθαι ἐμοί; ἐγὼ δὲ οὐ μόνον τοιοῦτον οὐδὲν ὤφθην διανοηθεὶς, ἀλλὰ καὶ εἰς ἐνάτην ἡμέραν ἐκ τῆς βασιλέως τελευτῆς ἐν ἀσφαλείᾳ πάσῃ καταστήσας, τήν τε φρουρὰν ἀπήγαγον ἐκεῖθεν καὶ αὐτὸς οἴκοι καταστὰς, τῶν πραγμάτων, ὥσπερ καὶ πρότερον, εἰχόμην, οὐδὲν καινοτομῶν, οὐδὲ πρὸς τὸ λυσιτελοῦν ἐμοὶ τὰ πράγματα οἰκονομῶν, ἐξ ὧν ἄν τις ᾠήθη δικαίως, εἰς ἐμαυτὸν μετάγειν πειρᾶσθαι τὴν ἀρχήν. ἐπιτρόποις τε γὰρ ἐχρησάμην τῶν ἐπαρχιῶν καὶ τῶν πόλεων, οἳ καὶ πρότερον ἦσαν βασιλέως τελευτῶντος, καὶ τὴν στρατιὰν, οὖχ ὅπως εὐνοήσουσιν ἐμοὶ, ἀλλ’ ὅπως μάλιστα τῷ κοινῷ χρήσιμοι ἔσονται, πάντα ἐπραγματευόμην. [20]

2 148 οὐ μὴν ἀλλὰ καὶ τοῖς περιοίκοις τῶν βαρβάρων σπονδὰς τιθέμενος, οὐκ ἔσθ’ ὅστις ἂν ἐξελέγξειεν, ὡς πρὸ τοῦ κοινῇ λυσιτελοῦντος τῶν ἰδίᾳ τι εἱλόμην ἐμοὶ διαφερόντων. ἀλλὰ τοῖς μὲν ἐσπενδόμην λυσιτελούντως τῷ κοινῷ, τοῖς δὲ παρεσκευαζόμην πολεμεῖν ὑπὲρ αὐτῶν, μηδένα κίνδυνον ἐκ τῶν οἰκείων ὑφορώμενος. ἐξ ὧν ἁπάντων ἄν τις μάλιστα συνίδοι, ὡς ἀδόλως καὶ καθαρῶς ὑπὲρ τῶν βασιλέως ἐπολιτευόμην παίδων ἐγώ. εἰ γὰρ οἷα διαβάλλουσιν οἱ κατηγοροῦντες διενοούμην, εἰ μή τι ἄλλο, τὸν γοῦν διεσκεδασμένον κατὰ πᾶσαν τὴν Ῥωμαίων ἀρχὴν πλοῦτον συνάγειν ἔδει, οὐδὲ ῥᾳδίως ἀριθμητὸν, ὥσπερ ἴστε ὄντα καὶ αὐτοὶ, καὶ μάλιστα χρησιμώτατον ἐσόμενον εἰς τὸν πόλεμον ἐμοί. νυνὶ δὲ ἔξεστιν ὁρᾷν οὐ βοσκημάτων μόνον πλῆθος καὶ καρπῶν, ἅπερ ἄν τις ἴσως οἰήσαιτο δυσκολίαν τινὰ παρέχειν καὶ ὑποψίαν ἀθροιζόμενα, ἀλλὰ καὶ χρυσὸν πολὺν καὶ ἄργυρον διεσκεδασμένον πανταχοῦ. καίτοι τὸ θαυμαστότερον παρῆλθον, ὡς δή τι θαυμαστὸν λέγων. οὐ μόνον γὰρ τὸν διεσκεδασμένον οὐ συνῆγον πλοῦτον, ἀλλὰ καὶ τὸν ὄντα τὸν μὲν ἐδαπάνων ἀφειδῶς ἐν ταῖς χρείαις ταῖς κοιναῖς, τὸν δ’ ἑκὼν εἶναι κατελίμπανον αὐτὸς ἐν Βυζαντίῳ ἔχων ἐν χερσίν. ὀλίγαις γοῦν ἡμέραις πρότερον ἐν βασιλείοις χρείας γενομένης, ἐκ τῆς οἰκίας τῆς ἐμῆς σκεύη

ἀργυρᾶ ὑπὲρ διακόσια ἠνέχθη οὐκ ὀλίγου ἄξιά τινος· ἃ μετὰ τὴν χρείαν τῶν ἐπὶ τὴν φυλακὴν ἐκείνων τεταγμένων ἀπολαμβάνειν δεομένων, οὐκ ἀναγκαῖον ἡγησάμην, οὐδὲν διοίσειν φάμενος ἐν τοῖς βασιλικοῖς τηρεῖσθαι ταμιείοις, ἢ ἐν οἴκοις τοῖς ἐμοῖς. [20]

2 149 ἔτι γε μὴν οὐδὲ νήσων πολλῶν καὶ πόλεων, καὶ μειζόνων καὶ ἐλαττόνων, ἐχομένων ὑπ' ἐμοῦ, ὧν τὰς μὲν ἐκ τῶν οἰκείων δαπανῶν ᾠκοδόμησα αὐτὸς, τὰς δ' ἐκ βασιλέως ἔσχον δωρεὰν, οὐδεμίαν οὔτε φρουρᾷ κατέσχον, οὔτε τινὸς ἠξίωσα προνοίας, ὥστε ἀσφαλῶς κατέχειν. οὐδέ τι τῶν ὅσα λυσιτελήσειν ἔμελλε πρὸς τὴν διάνοιαν ἐμοὶ, οὔτε εἰργασμένος, οὔτε μελλήσας ὑπ' οὐδενὸς ἐξελεγχθείην ἄν. οὐ γὰρ δήπου γε καὶ τοῦτο κατηγορήσουσιν, ὡς ἀπραγμοσύνῃ καὶ πολέμων ἀπειρίᾳ εἰς οὐδὲν προῆγμαι τῶν δεόντων. ἐγὼ δὲ οὐκ ἐξ ὧν αὐτὸς ἐπραγματευόμην μόνον, ἀλλὰ καὶ παρὰ πάντων Ῥωμαίων, οὐ τῶν νῦν ἐμοὶ συνόντων ὑμῶν μόνον, ἀλλὰ καὶ τῶν ἐν Βυζαντίῳ καὶ τῶν ἄλλοθί που γῆς διατριβόντων, ἀπόδειξιν τῆς ἀληθείας ἐναργῆ πειράσομαι ποιεῖσθαι. πολλῶν γὰρ ὄντων, καὶ μειζόνων καὶ ἐλαττόνων, πάνυ τε φιλίως ἐμοὶ διακειμένων ὁμοίως πάντων, καὶ τῶν μὲν ἐξ αἵματος προσηκόντων, τῶν δὲ φιλίας δεσμοῖς ἀλύτοις συνημμένων ἐκ πολλῶν ἐτῶν ἐμοὶ καὶ πολλὴν παρεσχημένων πεῖραν ἐν πολλοῖς τῆς εἰς ἐμὲ στοργῆς, οὐδεὶς οὔτε τῶν παρόντων ὑμῶν, οὔτ' εἴ τις ἄλλοθί που διατρίβοι, δυναιτ' ἂν ἐμοὶ τῶν κατηγορημένων ὥς τι σύνοιδεν ἐλέγχειν. καίτοι γε πᾶς τις ἂν φαίη καὶ ὀλίγα μετασχὼν φρενῶν, ὡς οὐκ ἂν δυναίμην τοιούτοις μόνος ἐπιχειρεῖν. ἀλλὰ καὶ στρατιᾶς ἐδέησεν ἄν, πρὸς τὴν ἐπιχείρησιν συναιρομένης, καὶ φίλων τῶν γνησιωτάτων μάλιστα καὶ πολλῆς παρασκευῆς, ἐξ ἧς οὐκ ἐνῆν, εἰ μὴ τοὺς πολλοὺς, ἀλλὰ τούς γε ἐπιτηδειοτάτους, μὴ τὴν διάνοιαν καταστοχάζεσθαι τῶν γιγνομένων. [20]

2 150 εἰ δέ τίς τι τοιοῦτον ἐξελέγχειν ἔχει, παρίτω καὶ δεικνύτω. ἀλλ' οὐκ ἂν ἔχοι. ἐγὼ γὰρ ἀνδρίας μὲν καὶ συνέσεως καὶ ἐμπειρίας τῆς πρὸς τοὺς πολέμους πολλοῖς ἂν παραχωρήσαιμι καὶ τῶν πάλαι καὶ τῶν νῦν, τρόπων δὲ εὐθύτητος καὶ ἀληθείας οὐδενί· οἷς μάλιστα νυνὶ θαῤῥήσας παῤῥησιάζομαι τοιαῦτα. εἰ δὴ ἔκ τε ὧν ἐπραγματευόμην αὐτὸς, ἔκ τε τῶν τὸν ἅπαντα χρόνον συνόντων ὑμῶν ἐμοὶ, μήθ' ὑποπτευθεὶς, μήτε εἰργασμένος φαίνομαι ὧν κατηγόρημαι μηδὲν, οὐκ ἄν τις ἂν ἐμοὶ δικαίως ἐπενέγκοι μέμψιν, ὡς οὐ προσηκόντως πρὸς τὰ πραττόμενα ἐξαγομένῳ πρὸς ὀργήν. ἔδει γὰρ βασιλίδα, τόν τε τρόπον ἐμοὶ τὸν ἐξαρχῆς ὡς οὐ διεφθαρμένος συνειδυῖαν καὶ τὴν ἐμοῦ καὶ βασιλέως ἀπαράμιλλον ἐκείνην καὶ θαυμασιωτάτην φιλίαν καὶ τὴν μετὰ τὴν ἐκείνου τελευτὴν ὑπὲρ τῶν ἐκείνου παίδων καὶ αὐτῆς πολλὴν σπουδὴν καὶ προθυμίαν, μὴ συκοφάνταις ἀνθρώποις καὶ διεφθορόσι πείθεσθαι, ἀλλ' ἐμοὶ προσέχειν ὀρθῶς καὶ δικαίως ὑπὲρ αὐτῆς πολιτευομένῳ. ἐπεὶ δὲ βάσκανός τις δαίμων τῶν ἐξητασμένων ἐπὶ φθορᾷ, τὰ μὲν ἀληθῆ καὶ δίκαια περὶ ἐμοῦ πεπεῖσθαι οὐκ ἀφῆκεν, ἐχθρὸν δὲ ἀντὶ φίλου καὶ πολέμιον ἀντὶ συμμάχου καὶ δύσνουν ἀντὶ πιστοτάτου πέπεικεν ἡγεῖσθαι, ἐγὼ μὲν οὐδὲν ἐμαυτῷ πειθόμενος πρὸς τὰ παρόντα πράττειν ἔγνων δεῖν, ὑμῖν δὲ χρώμενος συμβούλοις, πρὸς ὅ,τι ἂν ἐπιψηφίζησθε ὑμεῖς ἐμαυτὸν παρέξομαι πειθόμενον προθύμως, μᾶλλον δ' αὐτὸς πρῶτος ἅ μοι δοκῶ ἐν τῷ παρόντι συμφέροντα ἐρῶ. [5]

2 151 μελήσει δὲ ὑμῖν ἢ ἐπιψηφίζεσθαι τὰ εἰρημένα ἂν δοκῇ λυσιτελεῖν, ἢ γνώμην ἕκαστον εἰσάγειν, ἢ τά τε παρόντα καὶ τὰ προσδοκώμενα μείζω λύσει δυσχερῆ, ἡμᾶς τε καὶ σύμπασαν ἡγεμονίαν διασώζουσα Ῥωμαίων. νομίζω δὲ μηδὲν εἶναι μᾶλλον λυσιτελέστερον καὶ σωτήριον τοῖς πᾶσιν, ἢ ἐμαυτὸν ἑκοντὶ παραγενόμενον ἐγχειρίζειν βασιλίδι, ὥστε κατ' ἐξουσίαν ἔχειν αὐτὴν, ὅ,τι βούλοιτο ψηφίζεσθαι περὶ ἐμοῦ. κἂν μὲν τὰ δίκαια ποιεῖν προῃρημένη, δικαστήριον καθίζοι καὶ καιρὸν παρέχοιτο ἀπολογίας, θεῷ θαῤῥεῖν τῷ προστάτῃ τε ἀληθείας ὄντι καὶ τοιαύτῃ χαίροντι προσηγορίᾳ, πάντα ὥσπερ εἰσὶ ψεύδη καὶ συκοφαντίας ῥᾷστα ἀπελέγξειν. τοῦτο δὲ εἰ γένοιτο, πᾶσαν ἀπωσάμενον ἀρχὴν καὶ συκοφαντίας καὶ φθόνου πᾶσαν πρόφασιν περιελόντα, οἴκοι διατρίβειν, τῶν κοινῶν προσαπτόμενον μηδενὸς, μηδ' εἰ πάντες ἄνθρωποι

βιάζεσθαι ἢ πείθειν ἐπιχειροῖεν. εἰ δ’ ἄρα μήτε τοῦ δικαίου, μήτε τοῦ προσήκοντος μηδένα ποιουμένη λόγον, ἀλλὰ κατάκρας ἁλοῦσα ταῖς συκοφαντίαις, ἐρήμην καὶ τὰ δεινότατα καταψηφίζοιτο, πάντα φέρειν ἱλαρῶς, αἱρετώτερα ἡγούμενον πολλῷ τῷ μέτρῳ καὶ κλοιὰ καὶ δεσμωτήριον καὶ δήμευσιν τῶν ὄντων καὶ εἴ τι τούτων ἀηδέστερον, ἢ πρόφασιν πολέμου ἐμφυλίου παρασχέσθαι. [20]

2 152 τίς γὰρ τῶν πάντων, ὥσπερ ἐγὼ, τὰ ἐκ τούτου τοῦ πολέμου οἶδε σαφέστατα κακά; ὧν οὐχ ὅτι αἴτιος καταστῆναι, ἀλλ’ οὐδ’ ὑφ’ ἑτέρων πραττομένων μᾶλλον ἂν εἱλόμην αἰσθάνεσθαι ἐν ζῶσιν ὢν, ἢ τοῖς ἐν ᾅδου συνὼν, πρὸς τὰ πραττόμενα ἀναισθητεῖν. ἃ μὲν οὖν ἔμοιγε πᾶσι Ῥωμαίοις ἔδοξε κοινῇ λυσιτελεῖν, τοιαῦτά ἐστιν. ὑμῖν δὲ εἴ τι τούτων λυσιτελέστερον ἐξευρεθῆναι δυνατὸν, ὥσπερ ἔφην, ἐμαυτὸν πειθόμενον παρέξομαι. βέλτιον γὰρ, ἂν ἄρα καί τι σφάλωμαι, τοῖς πλείοσι πειθόμενον τοῦτο πάσχειν, ἢ τῇ σφετέρᾳ θαῤῥήσαντα συνέσει, τὰ μεγάλα κατορθοῦν. κε′. Ὁ μέγας μὲν οὖν δομέστικος τοιαῦτα εἶπεν. ὅσοι δὲ παρῆσαν τῶν συγκλητικῶν καὶ τῆς στρατιᾶς οἱ μάλιστα προέχοντες, ὥσπερ μιᾷ καὶ γλώττῃ χρώμενοι καὶ γνώμῃ, „καὶ πρότερον μὲν“ ἔφασαν „ἐξ ὅτου τὰ καινὰ ταῦτα ἐτολμήθη καὶ ὁ συγγενικὸς πόλεμος ἔσχε τὴν ἀρχὴν, οὐκ ἰδίᾳ μόνον ἕκαστος ἐφ’ ἑαυτὸν, ἀλλὰ καὶ κοινῇ πάντες πολλὰ πολλάκις περὶ τῶν αὐτῶν ἐβουλευσάμεθα, ὡς περὶ πραγμάτων ἀναγκαίων καὶ σχεδὸν περὶ ψυχῆς αὐτῆς ἕκαστος πολλὴν ποιούμενοι φροντίδα. ὅθεν οὐδὲ νυνὶ δεήσει τὰ δέοντα ἐξερευνᾶν, ὑπὸ τῆς πολλῆς περὶ αὐτὰ διατριβῆς ἐξευρηκέναι πάλαι οἰομένους. οὐχ ἥκιστα δὲ καὶ ὑφ’ ὧν αὐτὸς πρὸς ἡμᾶς διεξῆλθες νῦν, τά,τε δέοντα καὶ πᾶσιν ὁμοίως χρήσιμα ἐσόμενα καὶ συνιέναι παρεσκεύακας καὶ τοῖς ἄλλοις συμβουλεύειν. [20]

2 153 καὶ γὰρ τὰ ἐκ τοῦ πολέμου κακὰ τοῦ ἐμφυλίου, ἃ πεφρικέναι καὶ αὐτὸς ὡς δεινότατα εἰρήκεις, καὶ αὐτοὶ πεφρίκαμεν ὁμοίως καὶ πάσῃ χρηστέον εἶναι οἰόμεθα καὶ σπουδῇ καὶ προθυμίᾳ, ὥστε μὴ τοῖς τοιούτοις κακοῖς περιπεσεῖν. καὶ ὁμοίως τόν τε τὸν πόλεμον τοῦτον τὸν δεινότατον ἀνάπτοντα ἡγούμεθα πολέμιον κοινὸν καὶ πᾶσιν ἐπιβουλεύοντα, καὶ τὸν δυνάμενον καταλύειν, εἰ μεθίησιν ἑκὼν, προδότην τῶν κοινῶν καὶ βάσκανον καὶ φθονερὸν καὶ τῇ κοινῇ σωτηρίᾳ τῶν πραγμάτων λυμαινόμενον. σκεψώμεθα τοιγαροῦν, εἰ ταῦτα πράττοντος, ἅπερ εἴρηκας, καταλύεται ὁ πόλεμος καὶ μὴ μᾶλλον ἐκ τούτων λήψεται ἀρχήν. εἰ γὰρ αὐτὸς, ὥσπερ ἰσχυρίζῃ, πρὸς τὴν δίκην ἀπελθὼν, ἢ τῶν συκοφαντῶν περιγενόμενος ἀπόσχῃ τῶν πραγμάτων, τὴν πολλὴν ἀγνωμοσύνην καὶ τὴν περὶ τὰ καλὰ ἀχαριστίαν βδελυξάμενος, ἢ κατακριθεὶς ἐρήμην, τῶν ἀνηκέστων πάθῃς τι, ἆρ’ εἰς τοσοῦτον οἴει παρανοίας ἡμᾶς ἥκειν ἢ οὕτω ταπεινὰ καὶ ἀνελεύθερα φρονήσειν καὶ τῆς εὐκλείας ἀνάξια τοῦ προτέρου βίου, ὥστ’ ἐν ἀνδραπόδων μοίρᾳ δουλεύειν Ἀποκαύκῳ, πᾶν τὸ προσταττόμενον ποιοῦντας ἀνθρώπῳ μηδὲν ἄμεινον διακειμένῳ τῶν πολλῶν; θᾶττον μεντἂν ἡμῶν ἕκαστος οἰήσεται προσήκειν ζόφον μᾶλλον ὑποδῦναι καὶ συνεῖναι τοῖς ἐν ᾅδου, ἢ τοιαῦτα ἀνασχέσθαι. [20]

2 154 ἀλλ’ οἱ μὲν αὐτίκα, ὅση δύναμις παρείη, πολεμήσομεν ἀναφανδὸν, ὧν ἄρχομεν πόλεων καὶ στρατιᾶς ἕκαστος ἰδίᾳ ποιούμενος· οἱ δὲ φέροντες ἑαυτοὺς ἅμα πόλεσιν, οἱ μὲν Ἀλεξάνδρῳ τῷ Μυσῶν βασιλεῖ, ἄλλοι δὲ Στεφάνῳ ἐγχειρίσομεν τῷ δυναστεύοντι Τριβαλῶν, βέλτιον ἡγούμενοι βαρβάροις ἀνθρώποις μᾶλλον, δυνάσταις δὲ ὅμως, ἢ τοῖς χθὲς καὶ πρώην καταφρονουμένοις ὑφ’ ἡμῶν δουλεύειν· ὥστε συμβήσεται ἐκ τούτων οὐ πόλεμος μόνον πρὸς ἀλλήλους ἡμῶν, πάντων ἀγόντων καὶ φερόντων τὰ ἀλλήλων καὶ τῶν ἔξωθεν πολεμίων οὐδὲν ἧττον, εἰ μὴ καὶ μᾶλλον, τὰ Ῥωμαίων πράγματα διαφθειρόντων, ὅσῳ καὶ τὰ ἀλλήλων ἀκριβέστερον ἴσμεν αὐτοὶ, ἀλλὰ καὶ συμπάσης τῆς Ῥωμαίων κατάλυσις ἡγεμονίας, οὐ πόλεων μόνον πολλῶν καὶ στρατιᾶς, ἀλλὰ καὶ προσόδων μεγάλων ἀποτετμημένων, ἐξ ὧν τὰ πολεμίων μὲν αὔξειν, καίτοι καὶ πρότερον ἀντίῤῥοπα τοῖς ἡμετέροις ὄντα, τὰ Ῥωμαίων δὲ ἐλασσοῦσθαι περιέσται, δέος δὲ, μὴ καὶ παντάπασι διαφθαρῇ καὶ ἡ Ῥωμαίων περιμάχητος καὶ διαβόητος

βασιλεία Μυσοῖς ἢ ἄλλοις δή τισι χείροσι βαρβάροις δουλεύσει, τῶν ἔνδον μὲν στασιαζόντων καὶ διαφθειρόντων ἀλλήλους, ὡς ἐνὸν, τῶν ἔξωθεν δὲ ἐπικειμένων πολεμίων καὶ τῷ καιρῷ συμμάχῳ χρωμένων δυνατωτάτῳ. ἃ πάντα δὴ ἐννοοῦντες καὶ τὰ προσδοκώμενα ὀῤῥωδοῦντες δεινὰ, καινὸν μὲν οὐδὲν ἐροῦμεν, οὐδὲ συμβουλεύσομεν· ἃ δὲ καὶ αὐτὸς ᾤετο βασιλεὺς κοινῇ λυσιτελεῖν, καὶ περιών τε ἠνάγκαζε ποιεῖν καὶ ἀποθνήσκων συνεβούλευέ τε ἅμα καὶ ἐπέσκηπτε τελευταίας ἐντολάς. [20]

2 155 τοῦτο δέ ἐστι, βασιλικὴν ἐσθῆτα σὲ ἐνδῦναι καὶ τῶν πραγμάτων ἀνθάπτεσθαι κραταιότερον, ὡς μόνου τούτου τὰς προσδοκωμένας οἵου τε ἐσομένου καταπαύειν συμφοράς. οὐ μόνον γὰρ ἡμεῖς, ὅσοι πάρεσμεν νυνὶ, ἀλλὰ καὶ εἴ τις ἄλλοθί που τῶν περιδόξων καὶ μεγάλα δυναμένων διατρίβει, οὐ μόνον οὐκ ἐπὶ τοῖς γινομένοις ἀγανακτήσει, ἀλλὰ καὶ ἑορτῆς ἡμέραν ἐκείνην, ἐν ᾗ τὰς ἐμφυλίους καταλύεσθαι ἐξέσται στάσεις, νομιεῖ. καὶ πάντες ἀνακηρύξομεν βασιλέα προθυμότατα, οὐ νυνὶ μόνον, ἀλλὰ καὶ τὸν προτοῦ πάντα χρόνον ἄγεσθαι εἰθισμένοι παρὰ σοῦ καὶ τιμὴν καὶ εὔνοιαν, ὅσην βασιλεῖ προσῆκεν, ἢ ὅτι ἐγγυτάτῳ, παρεχόμενοι. αὐτοί τε οἱ τὸν πόλεμον κεκινηκότες, ἐκ τοῦ νομίζειν ῥᾷστα περιγενήσεσθαι, ἂν πολέμιον βασιλεῖ περιαγγείλωσιν, ὁρῶντες ἤδη τὰ πράγματα ἀντεστραμμένα, καὶ μὴ κατὰ νοῦν χωρήσαντα, πολλὰ τῆς ἀβουλίας αὐτοῖς καταμεμψάμενοι, χωρήσουσι πρὸς τὴν εἰρήνην ἀναγκαίως, εἴ γε καὶ ὀλίγα τῆς τῶν ὅλων σωτηρίας μέλει καὶ μὴ παντάπασιν ἐπὶ λύμῃ καὶ φθορᾷ σφῶν τε αὐτῶν καὶ τῶν πραγμάτων πάντα ποιεῖν καὶ πραγματεύεσθαι ἐγνώκασιν. εἰ τοίνυν ἔκ τε ἡμῶν τῶν σοι συνόντων καὶ αὐτῶν τῶν πολεμίων οὐδὲν ἕτερον ἀναφαίνεται σωτήριον τοῖς πᾶσι, βέλτιον, ἡμῖν πειθόμενον, ἃ κοινῇ δοκεῖ λυσιτελοῦντα, ὥσπερ τὴν ἀρχὴν ἐπηγγείλω, πράττειν, ἢ τοῖς σφετέροις λογισμοῖς, ἐξ ὧν ὠφέλεια μὲν οὐδεμία, εἴτε ὑπὸ τῶν συκοφαντῶν διεφθαρμένου, εἰθ' ὑπ' ὀργῆς ἀπραγμοσύνῃ συζῆν προελομένου, τοῖς πράγμασι παρέσται· τοὐναντίον δ' ἅπαν, στάσις καὶ ταραχαὶ καὶ χρημάτων ἁρπαγαὶ καὶ φόνοι μυρίοι καὶ ἀνδραποδισμοὶ καὶ ἀναστάσεις πόλεων καὶ τὸ κακῶν ἔσχατον καὶ φοβερώτατον τοῖς γε νοῦν ἔχουσιν, ἡ ὑπὸ βαρβάροις δουλεία, ἣν ἐπιχειρήσουσιν αὐτοὶ, τῷ πρὸς ἀλλήλους ἡμῶν πολέμῳ χρώμενοι συνεργῷ, καταδουλοῦν. [10]

2 156 ἃ μὲν οὖν ἡμῖν σφίσι τε αὐτοῖς καὶ τοῖς ἄλλοις ἅπασιν ἔδοξε λυσιτελεῖν, εἴρηται. σοὶ δ' ὁπότερα ἐξέσται ἑλομένῳ, ἢ τὰς προσδοκωμένας παύειν συμφορὰς, ἢ τὸ συνοῖσον ἰδίᾳ μηχανώμενον, μηδεμίαν περὶ τῶν ἄλλων τίθεσθαι φροντίδα, εἴγε τοῦτο συνοῖσον ἔξεστι φάναι τὸ τοσούτων αἰτιώτατον κακῶν διὰ τήν τινων ἀγνωμοσύνην Ῥωμαίοις ὀφθῆναι ἑκοντί.“ τοιαῦτα μὲν καὶ οἱ τῆς συγκλήτου προέχοντες καὶ τῆς στρατιᾶς ἡγεμόνες πρὸς τὸν μέγαν ἀπεκρίναντο δομέστικον. ὁ δὲ τὴν μὲν ἀξίωσιν αὐτῶν ὁρῶν δικαίαν, συνειδώς τε αὐτοῖς ὡς ἀληθῆ καὶ νοῦν ἔχοντα στοχάζονται, καὶ διὰ τοῦτο μηδὲν ἀντιλέγειν ἔχων πρὸς οὕτως ἀπόδειξιν τῆς ἀληθείας ἐναργῆ, ὅμως δὲ πρὸς τὴν μεταβολὴν ὀκνῶν πάνυ καὶ ἀναδυόμενος, οἷα δὴ τὰς τοιαύτας μεταβολὰς κακῶν αἰτίας εἰδὼς ὡς ἐπίπαν γινομένας, ἐπιπολὺ μὲν ἐπέσχε πρὸς ὅ,τι τραπόμενος ἀποκρινεῖται στοχαζόμενος, καὶ σιωπὴ βαθεῖα τὸ θέατρον κατεῖχε, πάντων πρὸς τὴν ἀκρόασιν τῶν λεχθησομένων μετεώρων ὑπαρχόντων. [20]

2 157 μόλις δὲ ὥσπερ τὴν ἐκ τῶν ἀμφιβόλων σύγχυσιν λογισμῶν ἀποκρουσάμενος, „τῶν μὲν προτέρων“ ἔφη „λογισμῶν περὶ τοῦ δεῖν μηδὲν τῶν ὄντων μετακινεῖν, μηδὲ νεωτερίζειν, ἔτι ἔχομαι καὶ μᾶλλον αὐτὸς αἱροῦμαι οὐ τῶν ὑπαρχόντων μόνον ἀποστερηθῆναι, ἀλλ' εἴ τι δέοι καὶ τῶν ἀνηκέστων ὑποστῆναι ἐν τῷ σώματι, ἢ πολέμου πρόφασιν ἐμφυλίου παρασχέσθαι. τὴν γὰρ ἐκ πρώτης ἡλικίας αὐτοί μοι σύνιστε ἀπέχθειαν, ἣν ἔσχον περὶ τὸ τὰ ἀλλότρια διαρπάζειν ἢ φόνοις χαίρειν καὶ λεηλασίαις καὶ φθοραῖς ἀνθρώπων. ἔτι δὲ οὐδὲ βαρβάρους καὶ Ἕλληνας μόνον, ὅσοι τὴν πρὸς ἀλλήλους ἐμοῦ τε καὶ βασιλέως ἐπύθοντο φιλίαν, ἀλλὰ καὶ ἥλιον ἄν καὶ εἴ τι τῶν ἀψύχων ἕτερον, αἰσχυνοίμην, εἰ τοῖς ἐκείνου παισὶ πολέμιος μετὰ τὴν ἐκείνου

τελευτὴν φαινοίμην νῦν. οὐ γὰρ μόνον ὑπὲρ τοῦ ζῆν ἐκεῖνον τὸ ἀποθανεῖν αὐτὸς, εἴγε ἐξῆν, ὡς ἥδιστα ἂν εἱλόμην, ἀλλὰ καὶ μετὰ τὴν ἐκείνου τελευτὴν, τὸν πάντα ἐφορῶντα μαρτύρομαι ὀφθαλμὸν, ὡς τὰ βέλτιστα καὶ λυσιτελέστατα περί τε γαμετῆς καὶ τέκνων διενοούμην καὶ πάντα πράττειν καὶ ὑφίστασθαι πάντα κίνδυνον, ἵν’ ἐκείνων τε πᾶν ἀπείη δυσχερὲς καὶ τὰ Ῥωμαίων ἐπὶ μέγα καὶ εὐκλείας αἴροιτο καὶ τύχης, μένων ἐπὶ τοῦ παρόντος σχήματος. νυνί τε οὐχ ἧττον μετὰ τὸν κηρυχθέντα παρ’ ἐκείνων πόλεμον ἐξ οὐδεμιᾶς αἰτίας καὶ παρὰ πάνθ’, ὡς ἂν ἐγὼ φαίην, τοῦ δικαίου λόγον, καὶ τὰ δεινότατα αἱροῦμαι ὑπομένειν ὑπὲρ τοῦ μὴ πόλεμον κινεῖν πρὸς βασιλίδα ὑπὲρ τῆς ἀρχῆς ὑπόληψιν παρέχειν τοῖς πολλοῖς. [20]

2 158 ἐπεὶ δὲ ὥσπερ αὐτός τε σύνοιδα καὶ ὑμῖν βουλευομένοις πείθεσθαι προσήκει, μείζω καὶ δεινότερα προσδοκᾶται τὰ δεινὰ ἐκ τοῦ τῶν πραγμάτων αὐτὸν ὑποχωρεῖν, ἄκων μὲν καὶ ὥσπερ εἰς κινδύνους προφανῶς αὐτομολῶν, οὔτε γὰρ ἐπιθυμίᾳ δόξης, (τῆς γὰρ ἀκροτάτης κἀν τῷ παρόντι σχήματι ἀπολαύω νῦν,) οὔτε χρημάτων ἕνεκα, (τὰ γὰρ παρόντα καὶ ἀριθμοῦ σχεδὸν ὄντα κρείττω τοῖς διαρπάζειν προεῖμαι βουλομένοις,) ὅμως ὑμῶν τε εἵνεκα καὶ τῆς κοινῆς τῶν Ῥωμαίων σωτηρίας τοὺς προσδοκωμένους μεγάλους καὶ πολλοὺς κινδύνους τῆς ἐν τῷ παρόντι ἀσφαλείας ἀνθαιροῦμαι. καὶ ἃ ἐμοὶ λυσιτελέστατα ἐδόκει, οὐκ ἀπραγμόνως, οὐδ’ ἀνοήτως, ἀλλὰ μηδεμίαν πρόφασιν παρέχειν τῷ πολέμῳ βουλομένῳ, παρεὶς ἑκὼν, ἐπὶ τὰ ὑμῖν δεδογμένα τῆς ὑμῶν ὠφελείας ἕνεκα, ὥσπερ ἔφην, τρέψω ἐμαυτόν. οὐ μὴν ἀλλ’ ἐπειδήπερ οὐκ ἰδίας πλεονεξίας, ἀλλ’ ὑμῶν τε ἕνεκα καὶ τοῦ κοινῇ λυσιτελοῦντος τοιαῦτα προειλόμην, οὐ δήπου δίκαιον, οὐδὲ ἄλλως εὐσεβὲς, νῦν μὲν ὁμοίως ἐπὶ ταῦτα πάντας ὑμᾶς παρακαλεῖν καὶ μηδεμίαν ἄλλην ἢ ταύτην ὁδὸν ὑφηγεῖσθαι σωτηρίας, ὀλίγῳ δὲ ὕστερον, εἰ μὴ κατὰ γνώμην ὑμῖν τὰ πράγματα ἐκβαίνοι, ἄλλον ἄλλοτε ἀφισταμένους, ἑαυτοῖς μὲν ἐκ τῶν ἐνόντων ἐκπορίζειν τὴν δοκοῦσαν σωτηρίαν, ἐμὲ δὲ ἐν τοῖς κινδύνοις καταλείπειν μόνον, ὃς ὑπὲρ ἁπάντων ὑμῶν αὐτοὺς ἀνεδεξάμην, ἐνὸν ἀκινδύνως σώζεσθαι. [20]

2 159 τοῦτο γὰρ οὐκ ἐμοὶ μόνον, ἀλλὰ καὶ ὑμῖν ἀλυσιτελέστατον ἂν εἴη. οὔτε γὰρ κυβερνήτῃ διασώζειν τὴν ναῦν ἐξέσται, ἂν πρὸς φιλονεικίαν οἱ ναῦται τοῦ συμπράττειν ἀφιστῶνται, τοῖς τε ναύταις οὐδεμία σωτηρίας ὑπολείπεται ἐλπὶς, τῆς νηὸς ἀπολλυμένης. ἀλλὰ δεῖ πάντας τὴν ὁμοίαν γνώμην ἔχοντας καὶ τὴν καρτερίαν ἴσην ἐπιδεικνυμένους ἐν τοῖς δεινοῖς, οὕτω τὰ μεγάλα κατορθοῦν. οὐδὲ γὰρ οὐδὲ τῶν παλαιῶν οὐδεὶς ἀργῶν καὶ ῥᾳθυμῶν καὶ ἀμβλυνόμενος τρόπαιον ἀνέστησεν ἀπὸ τῶν πολεμίων, ἀλλὰ πάντα πόνον ὑπομένων καὶ ἀκατάπληκτος φαινόμενος ἐν τοῖς δεινοῖς. εἰ δέ τῳ τὰ πραττόμενα οὐκ ἀρεστὰ, οὐδὲ διακινδυνεύειν βούλεται τῆς εἰς ἐμὲ εὐνοίας ἕνεκα ἐνθάδε διακαρτερῶν, ἀλλ’ οἴεται δεῖν μᾶλλον τὰ οἴκοι διασώζειν, ἢ κεναῖς ἐλπίσιν αἰωρεῖσθαι, τὰ ἐν χερσὶ καταλιπὼν, ἐλευθέρᾳ γλώττῃ δέον χρησαμένους καὶ τὴν γνώμην ἐκκαλύψαντας, οὕτως οἴκαδε ἀναχωρεῖν, μηδὲν ὑποπτεύοντας διὰ ταῦτα δυσχερὲς, ἀλλὰ καὶ τῆς ἴσης εὐμενείας ἀπολαύοντας παρ’ ἐμοὶ, ἂν ἄλλοσέ πη διατρίβωσιν. εἰ γὰρ μετὰ τὴν τοσαύτην εὐγνωμοσύνην καὶ τὴν ἄδειαν κακουργῶν τις φαίνοιτο καὶ πρὸς λύμην καὶ φθορὰν ἀποδιδράσκων τῶν πολλῶν, ἴστω μὴ ἂν τῆς προσηκούσης ἄνευ τιμωρίας ἀπαλλάξων, ἀλλ’ αὐτὸς διδάξων τοὺς ἄλλους σωφρονεῖν καὶ μὴ τοιαῦτα πανουργεύεσθαι. ἐγὼ μὲν οὖν τῆς ὑμῶν τε καὶ τῶν ἄλλων σωτηρίας ἕνεκα, ἅπερ αὐτοὶ ἐβουλεύσασθε εἱλόμην. [20]

2 160 ὑμᾶς δὲ παρακαλῶ, καὶ ὑμῶν αὐτῶν καὶ τῶν προγόνων εὐδοξίας ἕνεκα τὴν προσήκουσαν ἀνδρίαν ἐπιδείκνυσθαι καὶ καρτερῶς ἀμύνεσθαι τοὺς πολεμίους, ἀδίκως ἐπιόντας καὶ πρώτους πολέμου ἀρχομένους· ἔπεισι δέ μοι θαῤῥεῖν ἐπὶ τὸν πάντα δικαίως ταλαντεύοντα θεὸν, ὡς οὐκ εἰς μακρὰν ἥ τε τῶν ἀδίκως μοχθηρία πολεμησάντων καὶ ἡ ὑμῶν εὐγνωμοσύνη καὶ ἡ τοῦ δικαίου αἵρεσις ἔσται καταφανής. ἔτι δέ μοι δοκῶ πρὸς τῇ προτέρᾳ πρεσβείᾳ, καίτοι γε ἀδίκως οὕτω καὶ παραλόγως ὑβρισμένῃ, καὶ δευτέραν πρὸς τοὺς πολεμεῖν ᾑρημένους ἡμῖν ποιήσασθαι νυνὶ, ἵν’ ὥσπερ ἐν τοῖς ἄλλοις ἅπασι, καὶ τῇ μεγαλοψυχίᾳ τὸ πλέον ἔχωμεν αὐτῶν, ὡς μὴ

μόνον οὐ κατάρχοντες αὐτοὶ πολέμου, ἀλλ᾽ ἤδη καὶ φανερῶς ὑπ᾽ ἐκείνων ἐξαφθέντος, αὐτοὶ πολλὰ περὶ εἰρήνης δεηθέντες. ἴσως δὲ εἰ καὶ πρότερον ῥᾳδίως ἡμῶν περιγενέσθαι οἰηθέντες, τὴν πρεσβείαν οὐκ ἐδέξαντο, νῦν ὁρῶντες οὐ κατὰ γνώμην αὐτοῖς τὰ πράγματα ἐκβάντα, βέλτιόν τι βουλεύσαιντο καὶ σωφρονέστερον καὶ ἡμᾶς τε πολλῶν πραγμάτων ἀπαλλάξαιεν καὶ τοὺς ἄλλους τῶν προσδοκωμένων δεινῶν ἐκ τοῦ πολέμου. κς′. Τοιαῦτα τοῦ μεγάλου δομεστίκου εἰρηκότος, οἱ μὲν παρόντες πάντες ἐπῄνουν τε τοὺς λόγους καὶ θεῷ χάριτας ὡμολόγουν, ὅτι πεπεισμένον εἶχον ἐκεῖνον βασιλέα εἶναι. ᾤοντο γὰρ αὐτοῖς πάντα λύσειν τὰ δυσχερῆ γεγενημένον. ἐξιόντες τε ἐκεῖθεν, καὶ τοῖς ἄλλοις ἀπήγγελλον τὰ ἐψηφισμένα καὶ κοινὴν ἦγον ἑορτὴν καὶ συνήδοντο ἀλλήλοις. [20]

2 161 ὁ μέγας δὲ δομέστικος ἐκέλευε σκευὴν παρασκευάζεσθαι βασιλικὴν τοῖς ἐπὶ ταῦτα τεταγμένοις. καὶ ἐς τὴν ὑστεραίαν ὅρκων προτεθέντων, πάντες ὤμνυον μεγάλῳ δομεστίκῳ εὖνοι εἶναι μόνῳ καὶ τὴν πίστιν ἄδολον αὐτῷ καὶ καθαρὰν τηρήσειν. πρὶν δὲ τὸν πόλεμον κινηθῆναι τουτονὶ, ἐπεὶ παρεσκευάζετο ὡς εἰς τὴν ἑσπέραν ἐκστρατεύσων, τὸ μισθοφορικὸν τῆς στρατιᾶς προέπεμπεν αὐτοῦ, καὶ προῆλθεν ἄχρι Μακεδονίας. οὐ μὴν ἀλλὰ καὶ ὅσοι Μόῤῥαν κατῴκουν καὶ τῆς Ῥοδόπης ὅσαι πόλεις ἦσαν ὑπήκοοι Ῥωμαίοις, στρατιῶται πολλοὶ καὶ ἀγαθοὶ, ὑπὸ στρατηγῷ Ματθαίῳ τῷ Καντακουζηνῷ τεταγμένοι, τῷ τοῦ μεγάλου δομεστίκου πρεσβυτέρῳ υἱῷ, κατὰ τὴν Χαλκιδικὴν τῆς Θρᾴκης ἐστρατοπεδευμένοι ἅμα τῷ στρατηγῷ, οὕτω τοῦ πατρὸς κελεύσαντος, περιέμενον τὴν ἄφιξιν ἐκείνου. οὓς εὐθὺς ἐκάλει διὰ γραμμάτων εἰς Διδυμότειχον, ὡς εἰς τὴν ἀνάῤῥησιν αὐτοῦ παρεσομένους· καὶ παρῆσαν μελλήσαντες οὐδέν. ἔτι δὲ καὶ τῶν τῆς γυναικὸς ἀδελφῶν Ἰωάννου καὶ Μανουὴλ τῶν Ἀνδρονίκου τοῦ Ἀσάνη παίδων ὑπὸ κλοιοῖς, ὥσπερ ἔφημεν, κατὰ τὴν Βήραν, φρούριόν τι τῆς Θρᾴκης, εἱργομένων, πέμψας τὴν ἀδελφὴν ἅμα στρατιᾷ, ἐξῆγέ τε τοῦ δεσμωτηρίου καὶ ἄγειν ἐκέλευεν εἰς Διδυμότειχον πρὸς αὐτὸν, φρουρᾷ τὸν πύργον κατασχοῦσαν καὶ ἄρχοντα τῶν εὔνων αὐτοῖς ἐπιστήσασάν τινα. [20]

2 162 τριβομένου δὲ τοῦ χρόνου πρὸς τὴν τῶν βασιλικῶν παρασήμων παρασκευὴν, ἐπεὶ ἐδόκει μὴ μέλλειν, μηδὲ προΐεσθαι τὸν καιρὸν, τῶν κατὰ τὸ Βυζάντιον συντόνως πολεμούντων καὶ μηδεμιᾶς ἀπεχομένων πείρας, ἔγραφε καὶ αὐτὸς ταῖς κατὰ τὴν Θρᾴκην καὶ Μακεδονίαν ἁπάσαις πόλεσιν αὐτῷ προσέχειν, ὡς ἤδη Ῥωμαίων βασιλεῖ γεγενημένῳ καὶ δυναμένῳ ὑπείκουσί τε εὖ ποιεῖν καὶ τοὐναντίον, ἂν ἀνταίρωσιν ὅπλα, βλάπτειν. ἰδίᾳ τε τοὺς δυνατοὺς τῶν πόλεων καὶ τοὺς παρ᾽ ἑκάστοις στρατιώτας γράμμασιν ὑπεποιεῖτο, τῶν τε πρότερον ἀναμιμνήσκων εὐεργεσιῶν γεγενημένων εἰς αὐτοὺς, καὶ ὡς, ἢν εὖνοι φαίνωνται νυνὶ καὶ τὰ αὐτοῦ προῃρημένοι πράττειν, μειζόνων ἀπολαύσονται καὶ θαυμασιωτέρων ἀγαθῶν. ὑπεσημαίνετό τε τὰ γράμματα ἐρυθροῖς, ὥσπερ ἔθος βασιλεῦσι, γράμμασι. προσετίθει τε τοῖς γράμμασι καὶ φρουρὰς ἐξ ὁπλιτῶν καὶ τοξοτῶν ψιλῶν πρὸς ἃς ᾔδει τῶν πόλεων ῥᾳδίας ἐσομένας κατέχεσθαι φρουροῖς. ταῦτα δὴ τὰ γράμματα κομιζόμενα παρ᾽ ἑκάστοις, οἱ μὲν ἐδέχοντο προθύμως καὶ πᾶν τὸ προσταττόμενον ἐπηγγέλλοντο ποιεῖν, οἱ δ᾽ ἐδυσχέραινον μὲν, οἰόμενοι ἀποστασίαν βασιλέως εἶναι τὰ πραττόμενα, ἔτι δὲ ὅμως τὴν τοῦ μέλλοντος βασιλέως δύναμιν ὑπεπτηχότες, ἄλλως τε καὶ ὑπὸ τῶν παρ᾽ αὐτοῖς μεγάλα δυναμένων ἐναγόμενοι, τὰ ἐκείνου πράττειν ᾑρημένων, τὰ γράμματα ἐδέχοντο. δῆλοι δὲ ἦσαν εὐθὺς ἀπὸ γραμμῆς ὡς νεωτερίσοντες, ἢν λάβωνται καιροῦ. ὅσοι δ᾽ ἦσαν πρότερον τὰ βασιλέως τοῦ Παλαιολόγου δῆθεν αἱρεῖσθαι πεπεισμένοι, οἱ μὲν καὶ τοὺς κομίζοντας συλλαμβάνοντες ἅμα τοῖς γράμμασιν ἔπεμπον εἰς Βυζάντιον δεσμώτας, πρότερον γυμνώσαντες τῶν ὄντων. [20]

2 163 ὅσοι δὲ μετριώτερα ἐδοκίμαζον ποιεῖν, τὰ μὲν γράμματα ἀπεωθοῦντο, αὐτοὶ δὲ πρὸς τὸν πόλεμον παρεσκευάζοντο, ὡς, ἢν ἐπίῃ, ἀμυνούμενοι. ἐπεὶ δὲ τῶν γραμμάτων πολλὰ ἐκείνων εἰς Βυζάντιον ἀπεκομίσθη, οἱ μὲν περὶ πατριάρχην ὅσοι πρότερον πρὸς βασιλίδα τοῦ μεγάλου δομεστίκου ὡς βασιλειῶντος κατηγόρουν, ἔχαιρόν τε καὶ παντοῖοι ἦσαν ὑφ᾽ ἡδονῆς. τά τε

γράμματα ἐπιδεικνύντες, „οὐκ ἄρα“ ἔφασαν „ἡμεῖς τῶν μελλόντων κακοὶ κριταὶ, ἀλλ᾽ αὐτοί τε εὐστόχως κατεστοχασάμεθα τῆς γνώμης, κἀκεῖνος καλῶς ποιῶν ἐπὶ τῶν ἔργων εὐθὺς ἀπέδειξεν εἰρηκότας ἀληθῆ.“ πολλά τε εἰς ἐκεῖνον βλάσφημα ἀπέσκωπτον ἀναίδην, καὶ οὐδὲ τῶν αἰσχίστων ἀπεχόμενοι πρὸς ὕβριν. καὶ ἡ βασιλὶς δὲ ἤδη πεπεισμένη πολέμιον γεγενῆσθαι τὸν μέγαν δομέστικον φανερῶς, ἐκ τῶν γραμμάτων ἐκείνων ὀλίγα ἄττα ἔπεμπε τῇ μητρὶ κατὰ τὴν οἰκίαν φρουρουμένῃ, οἷα δράσειε κατηγοροῦσα ὁ υἱός. ἐκείνη δὲ μηδὲν ἔφασκε πρὸς αὐτὴν τοὺς λόγους εἶναι. πρότερον γὰρ ἐχρῆν, ἡνίκα τοῦ υἱοῦ κατηγόρουν, πρὸς αὐτὴν τὰ ἐγκλήματα δηλοῦν. ἦ γὰρ ἂν τῶν γινομένων νῦν οὐδὲν συνέβη, ἀλλ᾽ ὑπὲρ αὐτῆς τε καὶ τῶν παίδων, ἔτι δὲ καὶ τοῦ Ῥωμαϊκοῦ παντὸς, πάντα ἂν κατεπράξατο τὰ βέλτιστα πρὸς τὸν υἱόν. [20]

2 164 εἰδέναι γὰρ αὐτὴν σαφέστατα τὴν ἐκείνου γνώμην, ὡς πρὸς τὸ εὖ ποιεῖν μᾶλλον, ἢ τὸ κακουργεῖν ἐπιῤῥεπής. νυνὶ δὲ μετὰ τὴν ἀκριβῆ φρουρὰν, ἣν αὐτὴ φρουρεῖται ὑπ᾽ αὐτῶν ἐπ᾽ οὐδενὶ ἐγκλήματι, καὶ τὴν πρὸς τοὺς ἐκείνου πρέσβεις ὕβριν ὑπὲρ τῆς εἰρήνης ἀφιγμένους καὶ δεομένους καλεῖν ἐκεῖνον ἐπὶ δίκην, ὡς, ἢν ἁλίσκηται ἐπιορκῶν, τὰ ἔσχατα πεισόμενον, τίνα ἂν ἀπολογίαν ἀποδοίη περὶ τῶν ἐκείνῳ πραττομένων, ὡς ὑμεῖς φατε, βασιλικῶς, εἴγε καὶ ἐκείνου τὰ γράμματα εἴη, εἴτε μή. περὶ μὲν οὖν τῶν γραμμάτων ἔφη μηδὲν ἀποκρινεῖσθαι· παραινέσειν δὲ τὰ βέλτιστα, ὡς ἂν αὐτῇ δοκοίη, εἴγε πείθοιντο. ταῦτα δέ ἐστι· μὴ τὸν υἱὸν περιορᾶν, μηδ᾽ ὡς μεγάλα καταφρονεῖν μὴ δυναμένου. οὐ γὰρ Ῥωμαῖοι τὴν ἐκείνου μόνον δύναμιν καὶ σύνεσιν καὶ ἐμπειρίαν, ἀλλὰ καὶ βαρβάρων οἱ Ῥωμαίων κατῳκισμένοι πόῤῥω οὐκ ἀγνοοῦσιν. ἀλλ᾽ ὡς τάχιστα πρέσβεις πέμπειν πρὸς ἐκεῖνον, οἳ περὶ εἰρήνης διαλέξονται. ἐκεῖνος δὲ οὐκ ἀπορήσει, ᾗ χρὴ τὰ πεπραγμένα καὶ λόγοις καὶ πράξεσιν ἐπανορθοῦσθαι, εἴ τι συμβέβηκε καὶ τῶν δοκούντων ἀνιάτων. εἰ δ᾽ ἄρα ἄλλως ἐγνώκατε αὐτοὶ, ὑμῖν μελήσει καὶ τὰ ἴδια εὖ τίθεσθαι καὶ τὰ κοινά.“ ἡ μὲν οὖν μεγάλου δομεστίκου μήτηρ τοιαῦτα ἀπεκρίνατο πρὸς τὰς κατηγορίας. οἱ πεμφθέντες δὲ οὕτω παρὰ βασιλίδος προστεταγμένοι, τῆς οἰκίας ἐκείνην ἐκβαλόντες, βασιλείων ἤγαγον ἐντὸς καὶ εἶρξαν τῇ παρὰ Ἀνδρονίκου τοῦ πρώτου βασιλέως οἰκίᾳ κατασκευασθείσῃ χρώμενοι ἀντὶ δεσμωτηρίου. [20]

2 165 τὴν οὐσίαν δὲ ἐδημοσίωσαν πλείστην οὖσαν, πλὴν εἴπου τι πρότερον ἀργύρου καὶ χρυσοῦ καὶ λίθων πολυτελῶν καὶ μαργάρων λάθρα ἔφθασεν ἐξαγαγοῦσα. πυῤῥῶν δὲ καὶ κριθῶν καὶ καρπῶν τῶν ἐπιλοίπων, οὐκ ἐν ᾗ διέτριβεν οἰκίᾳ μόνον ἐγγὺς τῶν βασιλείων κομιδῇ τι δυσαρίθμητον χρῆμα ἦν, ἀλλὰ καὶ Γοργεπηκόου τῆς μονῆς ἐγγὺς ἕτεραι πυραμίδες ἦσαν πολλαπλασίους ἐκείνων συνέχουσαι καρπούς. ἃ πάντα ἐξεφόρουν ἀφειδῶς, πρὸς οὐδὲν χρήσιμον τῷ κοινῷ, ἀλλὰ σφίσι τε αὐτοῖς καὶ τοῖς ἄλλοις χαριζόμενοι οἱ τὸν πόλεμον ἀνῃρημένοι καὶ τὰ πράγματα ἐπιτετραμμένοι διοικεῖν. μετὰ δὲ τοῦτο καὶ τοὺς φίλους καὶ συνήθεις διερευνώμενοι τοὺς μεγάλου δομεστίκου, πολύ τι πλῆθος εὕρισκον χρημάτων, τὰ μὲν αὐτῶν τῶν ἐχόντων προδιδόντων ἐλπίδι τοῦ καὶ αὐτούς τι τῶν χρημάτων παρακερδαίνειν, ἅτε πρὸς οὐδὲν εἰδότας παρεχόμενα ὅσα ἦσαν τὴν ἀρχήν· τὰ δ᾽ αἰκίαις καὶ στρεβλώσεσι καὶ παντοίοις βασανιστηρίων εἴδεσι καταναγκαζομένων φανεροῦν. πολλοὶ δὲ καὶ μηδὲν τῶν ἐκείνου ἔχοντες, τὰ ἀνήκεστα ὑπέμενον ἐκ τῆς πρὸς ἐκεῖνον μόνον συνηθείας ὑποπτευόμενοι. ἐν Βυζαντίῳ μὲν οὖν τοιαῦτα ἐτελεῖτο καὶ κακῶν ἰλιὰς περιειστήκει τοὺς μεγάλου δομεστίκου φίλους. κζ′. Ἐν Διδυμοτείχῳ δὲ ἐπεὶ τὰ βασιλικὰ ἐνδύματα παρεσκευασμένα ἦν, ἥ τε προθεσμία τῆς τοῦ νέου βασιλέως ἥκει ἀναῤῥήσεως, πάντες μὲν παρῆσαν ἐκείνου τῇ οἰκίᾳ, ὅσοι διέτριβον ἐν Διδυμοτείχῳ τότε, οὐ τῶν εὖ γεγονότων μόνον καὶ καθ᾽ αἷμα προσηκόντων βασιλεῖ, ἀλλὰ καὶ τῶν ἄλλων συγκλητικῶν καὶ τῆς στρατιᾶς. [25]

2 166 ὁ νέος δὲ βασιλεὺς πρότερον ἐσθῆτα βασιλικὴν ἐνδὺς, ἔπειτα ὑπ᾽ ὄψεσι ταῖς ἁπάντων ταῖς ἐρυθραῖς κρηπῖσι τοὺς πόδας κατεκόσμει, τὸν ἕτερον μὲν ὑπὸ τῶν ἄγχιστα καθ᾽ αἷμα προσηκόντων ὑποδυόμενος, τὸν δὲ λοιπὸν ὑπὸ τῶν τὰ πρῶτα φερομένων ἐπ᾽ εὐγενείᾳ καὶ

λαμπρότητι μισθοφόρων Λατίνων. τὸν δὲ βασιλικὸν πῖλον πρὸ τῆς ἀχράντου καὶ θεομήτορος τῆς εἰκόνος κείμενον ἐπ᾽ ἐδάφους, αὐτοχειρίᾳ λαβὼν αὐτὸς ἐπέθηκε τῇ κεφαλῇ. αὐτίκα δὲ οἱ τὰ τοιαῦτα ᾄδειν εἰθισμένοι τῆς τῶν βασιλέων ἦρχον εὐφημίας. καὶ πρῶτα μὲν ἡ βασιλὶς Ἄννα εὐφημεῖτο καὶ μετ᾽ ἐκείνην ὁ υἱὸς Ἰωάννης ὁ βασιλεὺς, τρίτος δὲ ὁ Καντακουζηνὸς Ἰωάννης ὁ βασιλεὺς ἅμα Εἰρήνῃ τῇ βασιλίδι. τὸν αὐτὸν δὲ τρόπον καὶ πρὸς τὰς ἱεροτελεστίας τὴν τῶν βασιλέων μνήμην ἐποιοῦντο, ὁμοίως καὶ πατριάρχου Ἰωάννου. μετὰ δὲ τὴν εὐφημίαν ἔφιππος γενόμενος ὁ βασιλεὺς, καὶ τῶν ἄλλων πάντων ἑπομένων ἐφ᾽ ἵπποις ὅσοι ἦσαν, πρὸς τὸν ναόν τε τοῦ μεγαλομάρτυρος ἐγένετο Γεωργίου τοῦ Παλαιοκαστρίτου προσαγορευομένου, καὶ τὴν προσκύνησιν ἀπεδίδου καί τισι τοῖς ἐκ τῆς Λατινικῆς στρατιᾶς τὴν καβαλαρίων παρεῖχε τιμὴν, πάντα ἐπ᾽ αὐτοῖς τὰ εἰθισμένα πράττων. ἐκεῖθεν δὲ εἰς τὰ βασίλεια ἐπανελθὼν, ἅμα βασιλίδι τῇ γαμετῇ λαμπρῶς εἱστιᾶτο, πάντων παρισταμένων κατὰ τὰ νενομισμένα βασιλεῦσιν. ὑπηρετοῦντο δὲ αὐτοῖς πρὸς τὴν ἑστίασιν οἵ τε τῆς βασιλίδος ἀδελφοὶ Ἰωάννης καὶ Μανουὴλ καὶ ὁ τοῦ βασιλέως ἀνεψιὸς ὁ Ἄγγελος Ἰωάννης. [20]

2 167 τὴν μὲν οὖν ἡμέραν ἐκείνην οἵ τε νέοι βασιλεῖς λαμπρῶς ἐπανηγύριζον χρυσοφοροῦντες, καὶ οἱ συνόντες αὐτοῖς καὶ τῆς συγκλήτου καὶ τῆς στρατιᾶς οὐδὲν ἐνέλιπον, ἐξ ὧν ἐνῆν φαιδρύνειν τὴν ἡμέραν τῆς ἑορτῆς. εἰς τὴν ὑστεραίαν δὲ τὰ χρυσόπαστα ἀποδυσάμενοι, λευκὰς περιεβάλλοντο ἐσθῆτας, ὅπερ ἐστὶ τεκμήριον πενθούντων βασιλέων. ἐδήλου δὲ καὶ τὴν αἰτίαν τῆς μεταβολῆς ὁ βασιλεὺς πρὸς τοὺς παρόντας, ὡς τῇ μὲν προτεραίᾳ τῆς ἑορτῆς ἕνεκα τὰ λαμπρὰ ἐκεῖνα περιβάλλοιτο, νυνὶ δὲ ἐκείνης παρελθούσης, ἀναγκαῖον πάλιν τὴν ἀδελφοῦ καὶ βασιλέως τελευτὴν πενθεῖν. ἄξιον δὲ καί τινων ἐπιμνησθῆναι, ὧν πρὸς τὰς τῶν βασιλέων ἀναῤῥήσεις εἰώθασιν οἱ πολλοὶ ἐπισημαίνεσθαι, ἀψευδῆ τινα οἰόμενοι τεκμήρια τῆς εἰσέπειτα τῶν ἀναγορευομένων βασιλέων ἢ εὐτυχίας ἢ κακοπραγίας, εἴγε χρὴ τοιαῦτα ἐκ τῆς ἄνωθεν προνοίας οἴεσθαι οἰκονομεῖσθαι, ἀλλὰ μὴ αὐτόματα συμβαίνειν ὡς ἂν τύχῃ, τῆς περὶ τὰ ἀνθρώπινα πράγματα τοῦ θεοῦ προνοίας ἐν ἀποῤῥήτῳ κειμένης καὶ μόνοις οὔσης φανερᾶς τοῖς τὴν διάνοιαν κεκαθαρμένοις καὶ τῶν τοιούτων δωρεῶν ἀξίοις κεκριμένοις παρὰ τοῦ θεοῦ. ἐν γὰρ τῇ τῆς ἀναῤῥήσεως ἡμέρᾳ, ἡνίκα ἔδει βασιλέα τὸν νέον τὴν βασιλικὴν ἐσθῆτα μεταμπισχέσθαι, συνέβαινε τὴν μὲν ἐνδοτέραν μᾶλλον εἶναι τοῦ δέοντος στενὴν, ὡς μηδὲ τὸ σῶμα, καίτοι πολλὰ κατατεινομένην, δύνασθαι περικαλύπτειν, τὴν ἐξωτέραν δὲ τοὐναντίον ἅπαν, πολλῷ τοῦ δέοντος εὐρυτέραν, καίτοι γε ἀμφοτέρας τοῦ πολλὰς καὶ πρότερον πολλάκις συμμέτρους ἐῤῥαφότος δεδημιουργηκότος. [20]

2 168 ἐξ ὧν τῶν βασιλεῖ συνηθεστάτων τις παρὼν, τὰ μὲν πρῶτα βασιλέως ἀπεφθέγξατο ἔσεσθαι κομιδῇ στενὰ καὶ πολλὴν ἀπορίαν βασιλεῖ παρέχοντα, ὥσπερ ἡ ἐσθὴς τὸ σῶμα πιέζειν νῦν· τὰ δ᾽ ὕστερον ἐκ διαμέτρου εὐρύτερα τοῦ δέοντος καὶ πολλὴν παρεχόμενα τὴν ἄνεσιν. τῆς αὐτῆς δὲ ἡμέρας καὶ τῆς θείας τελουμένης ἱεροτελεστίας, οὕτω συμβὰν, ἡ τοῦ εὐαγγελίου περικοπὴ ἐκείνη ἀνεγινώσκετο, ἐν οἷς ὁ ἡμέτερος σωτὴρ καὶ τῶν αἰώνων βασιλεὺς ὁ Χριστὸς Ἰησοῦς τοῖς ἰδίοις μαθηταῖς περὶ τῶν εἰς αὐτοὺς συμβησομένων διαλεγόμενος, „εἰ ἐμὲ“ ἔλεγεν „ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν.“ ἃ οἱ παρόντες ἐπισημαινόμενοι, τοὺς μὲν φαύλους ἔφησαν ἀνθρώπους καὶ διεφθορότας καὶ συκοφάντας καὶ οἷς οὐδὲν τῶν σωτηρίων μέλει τοῦ Χριστοῦ ἐντολῶν, τὸν βασιλέα διώξειν καὶ πολλὴν ἐνδείξεσθαι τὴν μανίαν κατ᾽ αὐτοῦ, οἷα δὴ καὶ Ἰουδαῖοι Χριστὸν τὸν εὐεργέτην πάσῃ διώξαντες σπουδῇ, καὶ ἰσχύσειν κατ᾽ αὐτοῦ ἐπὶ καιρὸν, ὥσπερ δὴ κἀκεῖνοι ἔδοξαν, ἀπεκτονότες τὸν λυτρωτήν. ὕστερον δὲ οἱ καλοὶ καὶ ἀγαθοὶ καὶ ἄξιοι τῶν ἐντολῶν τοῦ Χριστοῦ καὶ τοὺς λόγους αὐτοῦ τηροῦντες, καὶ τὸν βασιλέως λόγον τηρήσουσι καὶ πάντα ποιήσουσι τὰ προσταττόμενα ὑπ᾽ αὐτοῦ. τοιαῦτα μὲν ἐπεθείασαν ἐν τοῖς λογίοις οἱ πολλοὶ, ἃ καὶ εἰς ὕστερον ἐξέβη κατὰ τὴν ἐξήγησιν αὐτῶν σχεδόν. [20]

2 169 αὐτὸς δὲ ὁ βασιλεὺς περὶ τὸν Διδυμοτείχου ἀρχιερέα πολλὴν τὴν πίστιν ἔχων καὶ τῶν κρειττόνων ὥς τινι προσέχων, οἷα δὴ ἐν πολλοῖς ἀποδεδειγμένῳ πρότερον θείας χάριτος οὐκ ἀμοιρεῖν, τῆς αὐτῆς ἡμέρας μετὰ τὴν ἀνάῤῥησιν πέμψας πρὸς ἐκεῖνον, τὰ γεγενημένα τε ἐδήλου, ὡς κοινῇ γνώμῃ λυσιτελεῖν ἐψηφισμένα τελεσθείη, καὶ προσάγειν εὐχὰς θεῷ ὑπὲρ αὐτοῦ ἐδεῖτο, ὥστε γενέσθαι ἐπ' αὐτῷ τὸ τοῦ θεοῦ θέλημα τὸ ἀγαθὸν καὶ εὐάρεστον. τοῦτον γὰρ εἰώθει τὸν τρόπον τῶν τὰ τοιαῦτα δεῖσθαι ἠξιωμένων, εὐχὰς ὑπὲρ αὐτοῦ προσάγειν θεῷ. ὁ δ' ἔφασκεν, ὡς οὐ καλὸν μετὰ τὴν πρᾶξιν ἀπαγγέλλειν. πρότερον γὰρ ἐχρῆν, ἡνίκα καὶ αὐτῷ τι τῶν δεόντων, θεοῦ διδόντος, παραινεῖν ἐξῆν· νυνὶ δὲ οὐδὲν ἢ τοῦ θεοῦ δεῖσθαι λοιπὸν ὑπὲρ τῶν κοινῇ λυσιτελούντων καὶ αὐτοῦ. τὸ βασιλεύειν δὲ Ῥωμαίων, καὶ αὐτὸν μὲν εἰδέναι, ὡς ἐπιψηφισθείη παρὰ θεῷ. πλὴν ἐξοιδήσουσι τὰ χείλη μήπω πεπανθὲν τὸ σῦκον καταφαγόντος· αἰνιττόμενος ἐκ τοῦ παραδείγματος, ὡς πολλοῖς πρότερον περιπεσεῖται κινδύνοις καὶ πειρασμοῖς. θέλων δ' ὥσπερ καὶ τοὺς κινδύνους ὅθεν κἀκ τίνος ἔσονται δηλοῦν, ὁράσεώς τινος ἀνεμίμνησκεν αὐτὸν, ἧς, ἔτι περιόντος Ἀνδρονίκου τοῦ βασιλέως, ἠξίωτο περὶ τῶν ἐσομένων. ἔφασκε δὲ βασιλεὺς ὁ νέος οὑτοσὶ, ὡς, ἔτι περιόντος βασιλέως, αὐτοῦ δ' ἔτι τὴν ἰδιώτου στέργοντος τύχην, ὁμιλίαν τινὰ τοῦ ἀρχιερέως τούτου ποιουμένου πρὸς αὐτὸν, τὸν Ἀπόκαυκον φάναι, οὕτω τῆς ἀξίας χωρὶς προσαγορεύσαντα, μὴ πάνυ ποιεῖσθαι περὶ πλείστου, ἀλλὰ φυλάττεσθαι τὸν ἄνδρα, ὡς μεγάλης ἐπηρείας αἴτιον ἐσόμενον. [5]

2 170 τοῦ δ' ἐν εὐτραπελίας εἴδει, καὶ ποίαν λίθῳ ἐπήρειαν προξενήσειεν ἂν ὠὸν, εἰπόντος, ὡς μέγα, φάναι τὸν ἀρχιερέα, τὴν ὑπερηφανίαν εἶναι κακὸν, μάλιστα τῶν τε τελείων τὴν ἀρετὴν καὶ τῶν εἰς τὸ ἀκρότατον τῆς κοσμικῆς ἐληλακότων εὐημερίας ἐφαπτομένην. τοῦ δὲ, μὴ εἰς τοιαῦτα προάγεσθαι ἐξ ὑπερηφανίας, εἰρηκότος, ἀλλ' ἐκ τοῦ μάλιστα συνειδέναι ἑαυτῷ μὲν δύναμιν πολλὴν, ἐκείνῳ δὲ ἀδυναμίαν· πλὴν εἰ μὴ καὶ λύκον θρασύτητος αἰτιῷτό τις προβάτου ἰσχυρότερον νομίζεσθαι ἀξιοῦντα καὶ τὸν λέοντα ἐλάφου τὴν ῥώμην πλεῖστον οἰόμενον διαφέρειν. ἔτι δ' ἀξιοῦντος, τὴν ὅρασιν δήλην αὐτῷ ποιεῖν, ὡς δὴ πειθομένου οἷς εἰρήκει, ἐπειδὴ τὰ μὲν φυσικὰ ἀμετάβλητα δεδημιούργηται παρὰ θεοῦ, τὰ ἀνθρώπινα δὲ πράγματα ἄλλο τε ἄλλως φέρεται καὶ πολλὴν ὑπομένει τὴν μεταβολὴν, καὶ πολλὰ δεηθέντος ὥστε πεῖσαι διηγήσασθαι τὰ ὁραθέντα· „εὐχόμενός ποτε" εἶπε „καὶ ἐμαυτῷ μόνῳ καὶ θεῷ προσαδολεσχῶν, ἐδόκουν σε ὁρᾷν ἑστῶτα πρὸ ἐμοῦ. αἴφνης δὲ Ἀπόκαυκον οὕτω ῥαγδαίως ἐπελθεῖν καὶ ὠθισμῷ τοσούτῳ χρήσασθαι καὶ βίᾳ, ὥστε μικροῦ μὲν δεῆσαι ἀνατρέψαι, ὅμως ὑπὸ ῥύμης καταναγκάσαι ἐπὶ γόνυ τε κλιθῆναι θατέρου τῶν ποδῶν καὶ τὴν λαιὰν χεῖρα προσερείσαντα τῇ γῇ, ἀντέχειν πρὸς τοὺς ὠθισμούς. [20]

2 171 ἐκεῖνον δὲ, καίτοι πολλὰ μογήσαντα, μηδὲν πλέον δυνηθῆναι. σὲ δὲ τοῦ πτώματος ἐξαναστάντα, χρήσασθαι ῥοπάλῳ καὶ πολλάκις αὐτοῦ τῆς κεφαλῆς κατενεγκεῖν, μὴ ἀντισχόντα δὲ πρὸς τὰς πληγὰς εἰς τὴν γῆν καταῤῥυῆναι· σὲ δὲ αὖθις ξυρῷ τὴν κεφαλὴν τοῦ σώματος ἀποτεμεῖν. ἡ μὲν οὖν ὅρασις, ἔφη, τοιαύτη ἦν. ἐγὼ δ' ἐξετάζων ἐπ' ἐμαυτοῦ πρὸς ὅ,τι τὰ τοιαῦτα φέρει, πόλεμόν τινα ἐκεῖνον οἴομαι ἐνστήσεσθαι πρὸς σὲ καὶ κινδύνους μεγάλους καὶ πολλοὺς ἂν ἐπενεγκεῖν· τὴν δὲ νίκην μετὰ τοὺς κινδύνους σοὶ παρέξεσθαι τὸν θεόν. διὸ χρὴ μὴ ῥᾳθυμεῖν, ἀλλὰ φυλάττεσθαι τὸν ἄνδρα." τοιαῦτα μὲν περὶ τοῦ ἀρχιερέως διεξῆλθεν ὁ βασιλεύς. οἱ παρόντες δὲ καὶ τοῦ περὶ τοῦ σύκου παραδείγματος ἀκούσαντες μᾶλλον ἐπεῤῥώσθησαν πρὸς ἃ ἐπεσημήναντο ἐκ τῶν λογίων καὶ τῆς τῶν ἐνδυμάτων ἀσυμμετρίας. ὥσπερ γάρ τισι χρησμοῖς τοῖς ἐκείνου προσεῖχον λόγοις, ἡνίκα περὶ τῶν μελλόντων διεξῄει τι, οὐ μόνον διὰ τὸ πολλὰ πολλάκις τῶν ἐσομένων ἀπταίστως προειπεῖν, ἀλλ' ὅτι καὶ τεράστιά τινα εἰργασμένος ἦν, ἃ θεῷ μόνῳ δυνατὰ καὶ τοῖς ἐκείνῳ διὰ τὴν κάθαρσιν καὶ πολιτείας ὕψος ᾠκειωμένοις. ἐν οἷς τι φέρεται καὶ τοιοῦτον, ὃ ῥᾳστώνης χάριν διηγήσομαι. τῶν παρὰ

Διδυμοτείχῳ πολιτευομένων τις οὐ τῶν ἀσήμων ὑπώπτευε παρά του τὸν γάμον διεφθάρθαι καὶ οὐχ ἡμάρτανε τῶν λογισμῶν· διέφθαρτο γάρ. [20]

2 172 τὴν ὑποψίαν δὲ μὴ φέρων ὑπὸ ζηλοτυπίας στέγειν σιγῇ, πίστεις ᾔτει τὴν γυναῖκα, αἳ δυνήσονται πείθειν, ὡς μὴ εἴη ἅπερ ὑπενόει ἀληθῆ, ἢ τὰ δεινότατα ἠπείλει διαθήσειν, οὕτως ἐξυβρικυῖαν εἰς τοὺς γάμους. αἱ πίστεις δὲ ἦσαν, σίδηρον αὐτὴν ἐπὶ τῷ χεῖρε δέξασθαι ἐκφλογωθέντα. ἄλλως γὰρ πείθεσθαι μὴ δύνασθαι. ἡ γυνὴ δὲ τό,τε τὰ εἰργασμένα ἐξαγγέλλειν συνορῶσα ὡς δεινὸν, (θάνατος γὰρ ἦν ἡ ζημία τῆς εἰς τὸν ἄνδρα ἀδικίας,) τό,τε τοῦ σιδήρου ἅπτεσθαι ἔλεγχον τῆς ἀτοπίας οἰομένη φανερὸν καὶ ἀμφοτέρωθεν εἰς ἀπορίαν ἐσχάτην συνελαυνομένη, ἐπὶ τὸν μέγαν ἐκεῖνον ἀρχιερέα καταφεύγειν ἔγνωκε δεῖν. προσελθοῦσα δὲ καὶ πάντα ἀπαγγείλασα, ἐδεῖτο προστῆναί οἱ καὶ μὴ περιιδεῖν, ὑπὸ κακοβουλίας ἐσχάτοις κακοῖς περιπεσοῦσαν, ἀλλὰ τὸν ἄνδρα πείθειν τῆς πείρας ἀποσχέσθαι, διδάσκοντα ὑπὲρ αὐτῆς, ὡς οὐδὲν εἴη τῶν ὑποπτευομένων εἰργασμένη. τοῦ δὲ, εἰ μετάνοιά τις αὐτὴν εἰσίοι πρὸς τὴν ἀκολασίαν καὶ εἰ σωφρονεῖν τὸν ἐπίλοιπον βίον ἐπαγγέλλοιτο, πυνθανομένου, ὡς εἶδε πολλὰς δακρύων καταχέουσαν πηγὰς καὶ μηδέποτε τοιαῦτα τολμήσειν αὖθις ἰσχυριζομένην, ἀλλὰ καὶ τῶν ἡμαρτημένων διδόναι δίκας ἀξιοῦσαν, πολλὰ περὶ σωφροσύνης πρότερον διαλεχθεὶς καὶ τοῦ μὴ δεῖν εἰς τὸν ἄνδρα παρανομεῖν, ἔπειτα ἐκέλευεν ἅπτεσθαι τοῦ σιδήρου, ὥσπερ ὁ ἀνὴρ ἠξίου καὶ τοῦ πυρὸς κατατολμᾷν. ἡ δὲ ἐπανελθοῦσα πρὸς τὸν ἄνδρα, ἐδεῖτο τὴν βάσανον προσάγειν. [20]

2 173 ἐκεῖνος δὲ, (καὶ γὰρ οὐκ ἠνείχετο μὴ ἔκ τινος ἀναμφιβόλου τὴν περὶ τὴν γυναῖκα ὑποψίαν ἀποτρίβεσθαι,) μόνην ἔνδον ἱεροῦ τινος παραλαβὼν καὶ σίδηρον, ὡς μάλιστα ἐνῆν, ἀπηνθρακῶσθαι πυρὶ παρασκευάσας, ἔπειτα λαβόμενος διὰ πυράγρας, ἐπέθηκε ταῖς χερσὶ τῆς γυναικός. καὶ τὸν ἱερὸν ἐκέλευε σκίμποδα περιιέναι τρίς. ἐπεὶ δὲ περιῆλθεν ἀπαθῶς κατέχουσα, ὡς μηδὲ τὴν ἀρχὴν προσομιλήσαντα πυρὶ, τὴν δύναμιν τῆς ἀληθείας θαυμάσας ὁ ἀνὴρ καὶ τὴν περὶ τὴν γυναῖκα ὑποψίαν ἀποσκευασάμενος, ἐκέλευε τὸν σίδηρον ἐπὶ τοῦ σκίμποδος τιθέναι. ἐπεὶ δὲ ἔκειτο, ὑπὸ τῆς ἄγαν πυρακτώσεως τὸν σκίμποδα διατρήσας, κατέπεσεν ἐπὶ τὴν γῆν. τοιαύτης ἦν χάριτος ἠξιωμένος ὁ ἀνὴρ καὶ πολλὰ θαυμασιώτερα κατεπράξατο, ὡς ὕστερον ἐπιμνησόμεθα κατὰ καιρόν. κη′. Βασιλεὺς δὲ ὁ Καντακουζηνὸς εἰς τὴν ὑστεραίαν μετὰ τὴν ἀνάῤῥησιν ἐκκλησίαν συναθροίσας ἔκ τε τῆς στρατιᾶς καὶ τῶν συγκλητικῶν ὅσοι παρῆσαν, „ἄνδρες“ εἶπε „Ῥωμαῖοι, καίτοι καὶ πρότερον πολλάκις τὴν περὶ βασιλίδα καὶ βασιλέα τὸν υἱὸν ἐμὴν εὔνοιαν καὶ προθυμίαν καὶ σπουδὴν πρὸς ὑμᾶς διεξελθὼν, οὐδέπω μέχρι νῦν ἔσχηκα κόρον τοῦ μὴ περὶ τῶν αὐτῶν ἀεὶ διεξιέναι. διὸ καὶ νυνὶ τὸν τὰ πάντα πρὶν γενέσθαι σαφῶς εἰδότα τῶν λεγομένων μάρτυρα ποιοῦμαι, ὡς οὐδὲ μέχρι διανοίας ἐμαυτῷ τι σύνοιδα τῶν ὀρθῶν παρατραπέντι λογισμῶν, ἀλλὰ πᾶσαν πρόνοιαν ἐποιούμην καὶ σπουδὴν, οὐ μόνον τὰ Ῥωμαίων αὔξειν, ἀλλὰ καὶ βασιλίδι καὶ υἱῷ τὴν ἀρχὴν διασώζειν καὶ μηδένα, τό γε εἰς ἐμὲ ἦκον, ἀδικεῖν ἐᾷν. [20]

2 174 ἃ ἐχρῆν κἀκείνην συνορῶσαν, τἀληθῆ καὶ δίκαια λογίζεσθαι περὶ ἐμοῦ καὶ μὴ οὕτως ἐρήμην καταψηφίζεσθαι, ἀνθρώποις πεισθεῖσαν συκοφάνταις. ἐπεὶ δ’ ἐκείνη τἀληθὲς παραδραμοῦσα προείλετο τὸ ψεῦδος, καὶ μηδὲν ἠδικηκότα, μήτε πρόφασιν πολέμου παρεσχημένον οὐδεμίαν, πολέμιον ἐψηφίσατο αὐτὴ καὶ πάσαις πόλεσιν ἐκήρυξε μὴ δέχεσθαι, ἀλλὰ παντὶ σθένει πολεμεῖν· ἃ ὑμῖν λυσιτελεῖν πρὸς τὰ παρόντα καὶ ἐμοὶ συνέδοξεν, ἀνάγκῃ συνελαυνόμενοι, ἐπράξαμεν. τῆς μὲν οὖν προθυμίας ἕνεκα καὶ τῆς περὶ ἐμὲ εὐνοίας χάριτας ὑμῖν πολλὰς ὁμολογῶ. δίκαιον δὲ ἡγοῦμαι, τὴν ἴσην καὶ αὐτὸν περὶ ὑμᾶς ἐπιδεικνύμενον κηδεμονίαν, ἃ συνοίσειν οἴομαι ὑμῖν ἑκάστῳ καὶ παραινεῖν καὶ ἐπιτρέπειν. οὐ γὰρ ἂν εἴη φιλοῦντος, εἰ τῶν ἰδίᾳ τι ἐμοὶ διαφερόντων ἕνεκα τῆς τῶν ἄλλων σωτηρίας ἀμελοίην. ὅσοις τοίνυν ὑμῶν ἐν αἷς οὐχ ὑπόκεινται πόλεσιν ἡμῖν ἢ κώμαις οἰκίαι τέ εἰσι καὶ τέκνα καὶ γυναῖκες καὶ ἡ ἄλλη τοῦ

βίου ἀφορμὴ, οὐ χρὴ τῆς εἰς ἡμᾶς εὐνοίας ἕνεκα ἐνταῦθα καρτεροῦντας, τὰ οἰκεῖα ἀπολύειν. ἄτοπον γὰρ τὴν εἰς ἐμὲ φιλίαν μεγάλων αἰτίαν ὑμῖν ὀφθῆναι συμφορῶν. οὐ γὰρ ἀποσχήσονται οὐδενὸς δεινοῦ, οἱ πάντα οὗτοι τολμηταὶ καὶ πέρα τοῦ μετρίου νεωτεροποιοί. [20]

2 175 ἀλλ' εἰς τὰς οἰκίας ἀπελθόντες, τὴν ἴσην εὔνοιαν διασώζετε ἡμῖν καὶ, καιροῦ καλοῦντος, ἐπιδείξασθε." ἔπειτα τοῖς τῶν χρημάτων ἐκέλευε ταμίαις, τοῖς μὲν μισθοφόροις, εἴ τι τοῦ μισθοῦ ὠφείλετο, ἀποδιδόναι καὶ προσέτι ἐπεδαψιλεύετο· τοῖς δ' ἄλλοις, ὅσοι ἐκ χωρίων τὰς προσόδους εἶχον, καὶ αὐτοῖς χρυσίον διανείμας ἱκανὸν, ἀπέπεμπε πρὸς τὰς οἰκίας, πολλὰς καὶ μεγάλας τῆς κηδεμονίας ἕνεκα τὰς χάριτας ὁμολογοῦντας καὶ ὡς, ἢν λάβωνται καιροῦ, τῆς εὐεργεσίας ἄξιοι φανεῖσθαι ἐπαγγελλομένους. ὅσοις δὲ μὴ γυναῖκες ἦσαν καὶ τέκνα, κατεῖχε παρ' αὐτῷ, καὶ εἴ τις ἕτερος ἑκὼν εἶναι ὑπελείπετο. μετὰ δὲ τοῦτο στρατιὰν ἀπολεξάμενος ἐκ τῆς παρούσης εἰς τάγματα ἑκκαίδεκα, καὶ στρατηγοὺς ἐπιστήσας τόν τε πιγκέρνην Ἰωάννην καὶ τὸν γυναικὸς ἀδελφὸν Ἀσάνην τὸν Μανουὴλ, ἐκέλευεν εἰς Βυζάντιον ἐμβαλόντας καὶ περὶ τὸν Μέλανα ποταμὸν στρατοπεδευσαμένους εἴργειν τὴν ἐκ Βυζαντίου στρατιὰν, ὅπως μὴ ἐξίοιεν ἐπὶ τὰς αὐτῷ προσχωρησάσας πόλεις. αὐτὸς δὲ παρεσκευάζετο ὡς ἅμα τοῖς ἐπιλοίποις στρατιώταις διὰ Πειρίνθου καὶ Σηλυβρίας (ἦσαν γὰρ ἐπαμφοτερίζουσαι καὶ μηδετέρῳ βασιλέων καθαρῶς προσέχουσαι,) διελθὼν καὶ ὑποποιησάμενος, ἅμα πιγκέρνῃ καὶ Ἀσάνῃ τοῖς στρατηγοῖς ἄχρι Βυζαντίου τῶν τειχῶν ἔλθῃ ἀποπειρασόμενος, εἰ προσχωροίη. ἐν Ἀδριανουπόλει δὲ ἐπεὶ τοῦ Καντακουζηνοῦ βασιλέως ἥκει γράμματα, ὥσπερ κἀν ταῖς ἄλλαις πόλεσι κελεύοντα αὐτῷ προσέχειν ἤδη βασιλεῖ γεγενημένῳ, οἱ δυνατοὶ μὲν τῶν πολιτῶν ἐδέξαντο προθύμως καὶ ἐκέλευον τὰ γράμματα ἀναγινώσκεσθαι ἐπ' ἐκκλησίας. [20]

2 176 ὁ δῆμος δὲ οὐχ ἡδέως εἶχε, καὶ δῆλοι ἦσαν ὡς νεωτερίσοντες· οἱ δέ τινες αὐτῶν καὶ φανερῶς ἀντεῖπον. οὓς ἀπήλαυνον πρὸς ὀργὴν οἱ δυνατοὶ οὐ λοιδορίαις μόνον, ἀλλὰ καὶ μάστιγι χρησάμενοι. οἱ δὲ τέως μὲν πρὸς τὴν ὕβριν τῶν δυνατῶν διεκαρτέρουν, δεδιότες τε αὐτοὺς οὐκ ὀλίγους ὄντας, καὶ δημαγωγῶν οὐκ ὄντων ἔτι, οἳ πρὸς ὀργὴν διερεθίσουσιν. ἐπεὶ δὲ ἐπεγένετο ἡ νὺξ, Βράνος τις τοὔνομα τοῦ δήμου εἷς, σκαπάνῃ προσέχων καὶ χερσὶ καὶ γλίσχρως ἐκ τούτων ποριζόμενος τὸν βίον, καὶ δύο προσεταιρισάμενός τινας ἑτέρους, οἳ Μουγδουφὴς καὶ Φραγγόπουλος προσηγορεύοντο, νυκτός τε τῶν δημοτῶν τὰς οἰκίας περιιόντες καὶ πείσαντες μὴ ῥᾳθυμεῖν, ἀλλ' ἐπανίστασθαι τοῖς δυνατοῖς, ὡς οὐκ ἀπαλλαξόμενοι μόνον τῆς ὕβρεως ἐκείνων, ἀλλὰ καὶ τὰς οὐσίας διαρπάσοντες, καὶ χεῖρα οὐκ ὀλίγην συστησάμενοι δημώδη, ἐπιτίθενται τοῖς δυνατοῖς καὶ πάντων κρατοῦσι, πλὴν ὀλίγων, οἳ τὴν ἐπιβουλὴν αἰσθόμενοι, τὸν κίνδυνον διέφυγον, κατακρύψαντες ἑαυτούς. κατακλείσαντες δὲ ἐν τοῖς πύργοις τῆς πόλεως καὶ ἐπιστήσαντες φρουρὰς, ἐπεὶ καὶ ἡμέρα ἤδη ἦν, πανδημεὶ ταῖς οἰκίαις τῶν ἐαλωκότων ἐπελθόντες, τάς τε οὐσίας διήρπαζον, ἔπειτα καὶ τὰς οἰκίας καθῄρουν, οὐ μόνον τὰς ξυλώσεις περιαιροῦντες, ἀλλ' ὑπὸ μανίας καὶ τοίχους ἄχρι θεμελίων διαλύοντες. [20]

2 177 καὶ οὐδὲν ἦν ὅ, τι δεινὸν μὴ ἐτολμᾶτο κατὰ τῶν τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ᾠρημένων. πολλοὶ δὲ καὶ ἰδίων ἕνεκα διαφορῶν παραπήλαυσαν τῆς τοῦ δήμου φορᾶς· ἄλλοι δὲ καὶ χρημάτων σφίσιν ὀφειλομένων, ὑπὸ τῶν λαβόντων ᾐτιάθησαν Καντακουζηνισμόν. οὕτω χαλεπὴ στάσις ἐξαρχῆς εὐθὺς ἀνήφθη. ἔδοξε δὴ καὶ μᾶλλον χαλεπωτέρα ἐκ τοῦ πρώτη παρ' αὐτοῖς γενέσθαι, ἐπεὶ ὕστερόν γε καὶ πᾶν τὸ Ῥωμαϊκὸν εἰς ὠμότερα πολλῷ καὶ χαλεπώτερα ἐξετράπη, τῶν μὲν ἑκασταχοῦ δήμων τὸν βασιλέα Παλαιολόγον δεῖν οἰομένων ἑαυτοῖς δεσπότην ἐπιφημίζειν, τῶν ἀρίστων δὲ ἢ τῇ ἀληθείᾳ τῷ Καντακουζηνῷ προσκειμένων βασιλεῖ, ἢ τῶν ἀπόρων καὶ νεωτερίζειν βουλομένων τὴν ἴσην αἰτίαν ἐπαγόντων οὐκ ἔκ τινος ἐλέγχου. ῥᾴσται δὲ αὐτοῖς ἐγίνοντο αἱ ἐπαγωγαὶ χρήματά τε ἔχουσιν, ἃ ἔδει τοὺς ἀπόρους διαρπάζειν, καὶ μὴ βουλομένοις τοῖς ἄλλοις ὁμοίως συνασχημονεῖν. καὶ οἵ τε δῆμοι καὶ πρότερον πρὸς τοὺς ἀρίστους ἐκ τοῦ παρ' αὐτῶν ἄγεσθαι καὶ φέρεσθαι ἐν τῆς εἰρήνης τοῖς καιροῖς πολλὴν

ἔχοντες ἀπέχθειαν, ἄλλως τε καὶ διαρπάζειν τὰς οὐσίας αὐτῶν ἐλπίζοντες πολλὰς οὔσας, ἕτοιμοι ἦσαν πρὸς τὰς στάσεις καὶ ἐξ ἐλαχίστης προφάσεως καὶ τὰ δεινότατα ἐτόλμων. οἵ τε στασιασταὶ ὡς ἐπιπολὺ τῶν ἀπορωτάτων καὶ λωποδυτῶν καὶ τοιχωρύχων ὄντες, αὐτοί τε ὑπὸ τῆς πενίας ἀναγκαζόμενοι οὐδὲν εἴασαν ἀτόλμητον, καὶ τοὺς δήμους ἐνῆγον πρὸς τὰ ἴσα, τὴν πρὸς βασιλέα τὸν Παλαιολόγον εὔνοιαν ὑποκρινόμενοι. [20]

2 178 διὸ καὶ πιστοτάτους ἑαυτοὺς προσηγορεύκασιν. ὕστερον δὲ ὥσπερ τι νόσημα κακόηθες καὶ δεινὸν τὴν πᾶσαν ἀρχὴν ἐπινεμόμενον Ῥωμαίων, καὶ τῶν πρότερον δοκούντων μετρίων καὶ ἐπιεικῶν πρὸς τὴν ὁμοίαν ὕβριν ἐξεκαλέσατο πολλούς. ἐν μὲν γὰρ εἰρήνῃ καὶ πολέμων ἀπουσίᾳ αἵ τε πόλεις καὶ οἱ ἰδιῶται ἀμείνους ἔχουσι τὰς γνώμας καὶ πρὸς αἰσχρὰς καὶ φαύλας πράξεις ἥκιστα ἂν ἐξάγοιντο διὰ τὸ μὴ ἐς ἀκουσίους ἀνάγκας περιπίπτειν. ὁ δὲ πόλεμος τὴν καθημέραν ἀπορίαν ὑφαιρούμενος, βίαιος διδάσκαλος καὶ τῶν πρότερον δοκούντων ἀτολμήτων γίνεται. ἐστασίαζον οὖν αἱ πόλεις πᾶσαι κοινῇ πρὸς τοὺς ἀρίστους, καὶ οἱ ὑστερίζοντές που πύστει τῶν προγεγενημένων πολλὴν ἐπεδείκνυντο ὑπερβολὴν καὶ μέχρι φόνων ἐχώρησαν, καὶ τούτων ἀπανθρώπων, καὶ ἥ, τε ἀλόγιστος ὁρμὴ ἀνδρία ἐνομίσθη καὶ ἡ ἀναλγησία πρὸς τὸ συγγενὲς καὶ ἀσυμπάθεια βεβαία πρὸς τὸν βασιλέα πίστις· καὶ ὁ μὲν πρὸς βασιλέα τὸν Καντακουζηνὸν χαλεπαίνων καὶ πρὸς ὕβρεις ἐξαγόμενος αἰσχρὰς καὶ χαλεπὰς, πιστὸς ἐδόκει, ὁ σωφρονῶν δὲ καὶ γλώσσης κρατῶν καὶ τὸ προσῆκον ἦθος διασώζων ὕποπτος ἦν εὐθύς. ὁμοίως δὲ καὶ τὸ ἐπιβουλεῦσαι καὶ ψεύδη καὶ συκοφαντίας πλάσασθαι δόκησιν συνέσεως παρεῖχε. καὶ ἡ προδοσία τῶν οἰκειοτάτων ὥσπερ τι τῶν ἀγαθῶν ἐπετηδεύετο μετὰ ὀνόματος εὐπρεποῦς. οὕτω πᾶσα ἰδέα κακοτροπίας διὰ τὰς στάσεις ταῖς πόλεσι τότε ἐπεδείχθη καὶ οὐδὲν ἦν, ὅ, τι μὴ οἱ ἐπιεικέστεροι ὑπέμενον. [20]

2 179 οἱ μὲν γὰρ ἄριστοι αὐτίκα διεφθείροντο, ἢ τὴν προτέραν πρὸς βασιλέα τὸν Καντακουζηνὸν εὔνοιαν ἐπικαλούμενοι, ἢ τὸ μὴ ἐν τῷ αὐτίκα ἐκείνῳ πολεμεῖν· οἱ μέσοι δὲ τῶν πολιτῶν, ἢ ὅτι οὐ συνηγωνίζοντο τοῖς στασιάζουσιν, ἢ φθόνῳ τοῦ περιεῖναι. καὶ ἡ ἀνθρωπεία φύσις εἰωθυῖα καὶ παρὰ τοὺς νόμους ἀδικεῖν ἀεὶ, τότε μᾶλλον ἔδοξεν ἀκρατὴς μὲν οὖσα πρὸς ὀργὴν, ἢν μὴ ὑπὸ τῶν ἀρχόντων σωφρονίζηται, κρείσσων δὲ τοῦ δικαίου, τῶν περὶ τούτου νομίμων ἀνῃρημένων, πολεμία δὲ τοῦ κρείττονος, ἂν περιγίνεσθαι ἐξῇ. κθ′. Ὁ μέντοι ἐν Ἀδριανουπόλει δῆμος ἐπεὶ τοὺς δυνατοὺς αὐτῶν δεσμώτας εἰς Βυζάντιον παρέπεμψαν, δείσαντες, μὴ ἐγγὺς βασιλεὺς διατρίβων ὁ Καντακουζηνὸς ἀθρόον αὐτοῖς ἐπιστρατεύσῃ καὶ οὐχ οἷοίτε ἀμύνεσθαι ὦσι διὰ τὸ τοὺς στρατευομένους μικροῦ δεῖν ἅπαντας τοὺς μὲν ἐαλωκέναι, τοὺς δὲ μηδὲ τῶν οἰκιῶν προκύπτειν, ἐν αἷς κατεκρύπτοντο, τολμᾷν, ἄλλως τε μηδ’ ἐκ Βυζαντίου βοήθειάν τινα σφίσι προσδοκῶντες ἥξειν· (ᾔδεσαν γὰρ ἐκεῖ τὴν Καντακουζηνοῦ τοῦ βασιλέως στρατιὰν ἐστρατοπεδευμένην·) πρὸς βασιλέα τῶν Μυσῶν πέμπουσι πρεσβείαν, δεόμενοι σφίσι κατὰ τάχος βοηθεῖν. Ἀλέξανδρος δὲ, ὥσπερ ἦν εἰκὸς, οὐ διὰ τὴν στάσιν μόνον, ἀλλὰ καὶ χρήμασι νομίσας, εἰ διαφθείρειε τοὺς ἄρχοντας τῆς πόλεως, πείσειν αὐτῷ ῥᾳδίως προσχωρήσειν, ἦκεν εἰς Ἀδριανούπολιν οὐδὲν μελλήσας. [20]

2 180 τῶν μὲν οὖν μελετωμένων ἤνυσεν οὐδέν. οἱ γὰρ τὴν πόλιν ἄγοντες σύμμαχον ἔφασαν, οὐ δεσπότην κεκληκέναι. βασιλέα δὲ τὸν Καντακουζηνὸν οὐ τὰ τυχόντα ἔβλαψεν ἡ ἐκείνου ἄφιξις, νομισθεῖσα παρὰ πᾶσιν ὡς ὑπὲρ βασιλίδος ἐγεγόνει. ἥτε γὰρ πρὸς τὸν Μέλανα ποταμὸν ἀπεσταλμένη παρ’ ἐκείνου στρατιὰ καὶ οἱ στρατηγοὶ, μὴ νομίσαντες λυσιτελεῖν ἐνταῦθα διακινδυνεύειν, τοῦ βασιλέως σφίσι πολιορκουμένου παρὰ τῶν Μυσῶν, ἐπανεζεύγνυον. ἐν δὲ τῇ ἀναχωρήσει τῶν τε συγκλητικῶν τινες καὶ οὐκ ὀλίγοι στρατιῶται τοὺς στρατηγοὺς καταλιπόντες, διεδίδρασκον εἰς Βυζάντιον. ὧν ἦν καὶ ὁ Βατάτζης Ἰωάννης, τάξιν ἄγων τὴν Ἀχυραϊτῶν προσαγορευομένην. καὶ αἱ τῆς Θρᾴκης καὶ Μακεδονίας πόλεις, ὅσαι βασιλεῖ τῷ Καντακουζηνῷ ὑπήκοοι ἦσαν, τὴν ἐσβολὴν τῶν Μυσῶν πυθόμεναι ὡς κατὰ βασιλέως γένοιτο,

πλὴν ὀλίγων λίαν πρὸς βασιλίδα συναπέστησαν καὶ τούς τε ἄρχοντας αὐτῶν καὶ τῶν πολιτῶν συλλαμβάνοντες τοὺς δυνατοὺς, ὑπὸ δεσμοῖς εἰς Βυζάντιον ἀπεκόμιζον. τὰ ἴσα δὲ καὶ αἱ κατὰ τὴν Ῥοδόπην πόλεις ἔδρων· καὶ κοινὸς ἦν ὁ πόλεμος πρός τε Καντακουζηνὸν τὸν βασιλέα καὶ τοὺς παρ' ἑκάστοις δυνατούς. σχεδὸν γάρ τοι εἰς δύο διῄρητο τὰ τῶν πολιτειῶν, καὶ οἱ μὲν ὀλίγοι τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ἔδρων, οἱ δῆμοι δὲ ὑπὸ τῶν στασιαστῶν ἀγόμενοι καὶ τῶν ἀπόρων, τὰ βασιλίδος ᾑροῦντο μᾶλλον. κρείττους δὲ οἱ πολλοὶ πανταχοῦ γινόμενοι, διέφθειρον τοὺς δυνατοὺς, καὶ σύγχυσις δεινὴ καὶ ἀταξία τὰς πόλεις κατεῖχεν. [25]

2 181 Ἀλέξανδρος δὲ ὁ Μυσῶν βασιλεὺς ἐπεὶ τὴν Ἀδριανοῦ κατασχεῖν οὐκ ἠδυνήθη, πρὸς Διδυμοτείχῳ ἐστρατοπέδευσεν ἐλθὼν, μήπω διαβὰς τὸν Ἕβρον. στρατιὰν δὲ ἀπολεξάμενος ἐκ τῆς ἰδίας οὐκ ὀλίγην, πρὸς τὰς κατὰ Θρᾴκην ἐξαπέστειλε πόλεις ληϊσομένους. οὕτω δὲ συμβὰν, ἡ ἐκ Βυζαντίου μετὰ Ἀγγέλου τοῦ πιγκέρνη ἀναστρέφουσα στρατιὰ, οὐκ ὀλίγοις αὐτῶν περιτυχοῦσα καὶ κρείττων γενομένη, ἀπέκτεινε κατὰ τὴν μάχην. ὁμοίως δὲ καὶ περὶ τὰ παράλια τῆς Θρᾴκης χωρία στρατιὰ Περσικὴ ἐπὶ λείαν καὶ αὐτὴ περαιωθεῖσα, τοῖς ὑπολοίποις τῶν Μυσῶν κατὰ τύχην συντυχοῦσα, ἀπέκτεινέ τε καὶ εἶλε ζῶντας ἐξ αὐτῶν πολλούς. οἱ δὲ λοιποὶ πρὸς τὸ στρατόπεδον τὸ οἰκεῖον ἐπανῆλθον, οὐ μόνον ἔχοντες μηδὲν, ἀλλὰ καὶ τῶν ἰδίων πολλοὺς ἀποβαλόντες. Ἀλέξανδρος δὲ καίτοι πρότερον καταφρονητικῶς πρὸς Καντακουζηνὸν τὸν βασιλέα διακείμενος, οἷα δὴ οἰόμενος μηδὲ ὀλίγα δυνάμενον ἀντιτάττεσθαι πρὸς αὐτὸν, πρὸς τῷ πληγῆναι ἀμφοτέρωθεν ὑπό τε Ῥωμαίων καὶ Περσῶν, ἔτι καὶ τὸν βασιλέα πυθόμενος ἐν Διδυμοτείχῳ στρατιᾶς πολλῆς καὶ ἀγαθῆς εὐπορεῖν, ἔδεισε καὶ περὶ τῶν ὑπολοίπων, μὴ οὐκ εἰς ἀγαθὸν αὐτῷ ἡ τόλμα ἀποβῇ, καὶ πέμψας πρεσβείαν, διελέγετο περὶ εἰρήνης. τῶν δὲ βασιλεῖ συνόντων οἱ ἐν ἡλικίᾳ καὶ θρασύτεροι τὰς ὁρμὰς, μὴ δέχεσθαι παρῄνουν τὴν εἰρήνην, ἀλλ' ἐξώρμων βασιλέα μᾶλλον πρὸς τὴν μάχην. [20]

2 182 ὁ δὲ οὐκ ἐπείθετο, πρὸς οὐδὲν οἰόμενος τὸν πόλεμον αὐτοῖς λυσιτελήσειν. „εἰ μὲν γὰρ πρὸς μόνους“ ἔφασκε „Μυσοὺς ἦν ὁ ἀγὼν ἡμῖν, εἶχεν ἄν τινα ἡ τόλμα λόγον· νυνὶ δὲ οὐ μᾶλλον τούτους ἡμᾶς, ἢ ὅπως Βυζαντίους ἀμυνούμεθα χρὴ σκοπεῖν. ἄν τε γὰρ νικήσωμεν Μυσοὺς, οὐδὲν ἔσται πλέον, ἢ ὅπως ἐνθένδε ἀπελάσωμεν· ὅπερ αὐτοῖς ἀνάγκη πράττειν, ἄν τε ἡττηθῶσιν, ἄν τε μή. ἐὰν δὲ ἡττώμεθα αὐτοὶ, ὥσπερ καθ' ἡμῶν αὐτῶν ἐξεπίτηδες στρατηγήσομεν τοῖς πολεμίοις. ὥστε τί ἂν εἴη μᾶλλον ἐκείνοις ἥδιον καὶ λυσιτελέστερον, ἢ ἡμᾶς αὐτοὺς ὑπ' ἀβουλίας ἃ ἐκείνοις εὐχῆς ἄξια νομίζεται, ποιεῖν; ἄλλως τε οὐδὲ Ἀλεξάνδρου πρόφασιν ἡμῖν δικαίαν πρὸς τὸν πόλεμον παρεσχημένου, ἀδικοίημεν ἂν, εἰ μὴ διαλύεσθαι ἐθέλοιμεν. οὐ γὰρ ἡμῖν γε ἐπεστράτευσεν, ἀλλ' ἐφ' ἑτέραν πρόφασιν ἐλθὼν, ἄκων ἔβλαψεν ἡμᾶς· ὥστε καὶ ἐκ τοῦ μὴ λυσιτελεῖν ἡμῖν τὸν πόλεμον καὶ ἐκ τοῦ μὴ πρόφασιν δικαίαν εἰληφέναι τὴν εἰρήνην μᾶλλον αἱρετέον.“ τοιαῦτα εἰπὼν, τοὺς πρέσβεις προσεκαλεῖτο καὶ ἐχρημάτιζε περὶ σπονδῶν. καὶ ἐπεὶ κἀκεῖνοι διαλύεσθαι ἦσαν ἕτοιμοι, αὐτοῖς μὲν δῶρα παρασχὼν, ἀπέπεμπεν εἰς τὸ στρατόπεδον. πρεσβείαν δὲ πέμψας πρὸς Ἀλέξανδρον, καὶ αὐτὸς ἐβεβαίου τὰς σπονδάς. βουλομένων δὲ τῶν βασιλέων καὶ ἀλλήλοις συνελθεῖν ἐπὶ φιλίας μᾶλλον βεβαιώσει, διεκώλυσεν ὁ χειμὼν ἐπιγενόμενος σφοδρός· ὑφ' οὐ μὴ δυνάμενον τὸ στράτευμα Μυσῶν διακαρτερεῖν ἐπὶ σκηναῖς ἀνεζεύγνυον εἰς τὴν οἰκείαν, στρατιωτῶν τε καὶ ἵππων αὐτοῖς ὑπὸ κρύους τινῶν ἀπολομένων. [20]

2 183 μετὰ τοῦτο δὲ βασιλεὺς ὁ Καντακουζηνὸς πρὸς βασιλίδα πρεσβείαν αὖθις πέπομφε περὶ εἰρήνης. ἠξίου τε, μὴ διὰ τὴν προτέραν κακοβουλίαν τοῖς ἴσοις ἢ καὶ χείροσιν ἐπιχειρεῖν, ἀλλὰ συνιδόντας ἐκ τῶν πραττομένων, ὡς οὐκ ἂν λυσιτελήσειεν ὁ πόλεμος, ἀλλὰ τὰ Ῥωμαίων ἄρδην διαφθερεῖ, αἱρεῖσθαι τὴν εἰρήνην. καὶ γὰρ καὶ αὐτὸν, καίτοι δυνάμενον ἀμύνεσθαι τοῖς ἴσοις, καταθέσθαι μάλιστα τὸν πόλεμον ἐθέλειν τοῦ κοινῇ λυσιτελοῦντος ἕνεκα. ἐπρέσβευον δὲ ὅ,τε πρότερον ἥκων εἰς πρεσβείαν Δημήτριος ὁ Σγουρόπουλος καὶ ὁ Πόθος Ἰωάννης, τοῖς

Ἀγγέλῳ τῷ πιγκέρνῃ οἰκείοις συγκατειλεγμένος. πρὸς μὲν οὖν τὴν πρεσβείαν οἱ ἐν Βυζαντίῳ τὰ βασιλίδος διοικοῦντες ἀπεκρίναντο οὐδέν. τῶν πρέσβεων δὲ τὸν ἕτερον μὲν ὀλίγα λοιδορήσαντες, εἶχον ἐν φρουρᾷ· Σγουρόπουλον δὲ πολλὰς αἰκισάμενοι πληγὰς καὶ τὴν ὑπήνην περικείραντες καὶ κεφαλὴν, ἐπόμπευον ἐπὶ τῆς δημοσίας ἀγορᾶς. εἶθ' ὑπὸ κλοιοῖς κατεῖχον κατακλείσαντες δεσμωτηρίῳ. τὴν διαφορὰν δὲ τῆς τιμωρίας ἐνεποίει τὸ τὸν μὲν ἐκ τῶν οἰκείων βασιλέως εἶναι, εἰς οὓς ἔδει πᾶσαν ἐνδείκνυσθαι πικρίαν καὶ μηδημίαν ὕβρεως ἐλλείπειν ὑπερβολήν· ἅμα μὲν κἀκεῖνον δι' αὐτῶν ἡγουμένους ἀτιμοῦν, ἅμα δ' ἵνα καὶ πρὸς ἄμυναν διερεθίζωσιν, ἀποθέμενον τοὺς περὶ τῆς εἰρήνης λογισμούς. ἐδεδίεσαν γὰρ, μὴ καὶ τῆς βασιλίδος τὴν εἰρήνην ἑλομένης, ἀπόλωνται αὐτοὶ, τῶν παρόντων κακῶν αἰτιώτατοι ὀφθέντες. [20]

2 184 τὸν Πόθον δὲ ἐσκέπτοντο μετὰ μικρὸν τοῦ δεσμωτηρίου ἀπολύσαντες, Πιγκέρνῃ προσπέμψαι, πολλὰ ἐπαγγελλόμενοι καὶ θαυμαστὰ, εἰ βασιλέως ἀποστὰς ἕλοιτο μᾶλλον σὺν αὐτοῖς ἐκείνῳ πολεμεῖν. διὸ καὶ προσηνέστερόν πως προσηνέχθησαν. ὀλίγῳ δὲ ὕστερον καὶ Συραλὴν κρατήσαντες πρὸς Χίον διαπεραιούμενον ἐπὶ βασιλέως, ὅτι καὶ αὐτὸς τῶν οἰκειοτάτων ἐκείνῳ ἦν, ἀγαγόντες πρὸς Βυζάντιον καὶ τρίχας καὶ γένειον περιελόντες, ὄνῳ τε ἐπιθέντες τετραμμένον ἐπὶ τὸν πρωκτὸν, ἠνάγκαζον τὴν ὄνου κατέχειν οὐρὰν ἐφ' ὕβρει πλείονι. καὶ τοῦτον ἐθριάμβευον τὸν τρόπον. λ'. Ἐπεὶ δὲ αἱ πόλεις πᾶσαι πλὴν Παμφίλου καὶ Κοπρίνου πόλεων κατὰ τὴν Θρᾴκην καὶ φρουρίου τινὸς Ἐμπυθίου προσαγορευομένου, ὅπερ ἐγγὺς Διδυμοτείχου πολλοῖς πρότερον χρόνοις ἐξ αὐτῶν κρηπίδων ἐδείματο ὁ βασιλεὺς, πρὸς βασιλίδα συναπέστησαν, ὥσπερ ἐκ συνθήματος τά τε βασιλέως διηρπάζετο ἐν πάσαις σχεδὸν διεσπαρμένα, (ἃ καὶ μᾶλλον ἔπεισε τοὺς ἑκασταχοῦ ἐκπολεμωθῆναι πρὸς αὐτὸν, ὁρῶντας οὐκ ὀλίγον τὸ κέρδος τοῦ πολέμου,) καὶ τὰ τῶν ἐκείνῳ προσεχόντων ἢ ἀληθῶς, ἢ καὶ ὑποπτευομένων ἔκ τινος αἰτίας. τὸν μὲν οὖν τῶν χρημάτων ἀριθμὸν, ὅσος ἐν Βυζαντίῳ καὶ ταῖς ἄλλαις πόλεσιν ὑπὸ τῶν τὰ βασιλίδος πραττόντων διηρπάγη βασιλέως τε καὶ τῆς μητρὸς, σαφέστατα εἰπεῖν οὐκ ἔστιν, οὐδὲ τῶν ἐχόντων αὐτῶν εἰδότων ὑπὸ πλήθους ἀκριβῶς. [20]

2 185 βοσκημάτων δὲ βοῶν μὲν ἀγέλαι πολλαὶ, ἐς πεντακισχιλίας ἔχουσαι νομάδας· ζεύγη δὲ, οἷς ἐχρῆτο πρὸς τὰς γεωργίας, χίλια· ἵπποι θήλειαι νεμόμεναι πεντακόσιαι πρὸς δισχιλίαις, κάμηλοι διακόσιαι, ἡμίονοι τριακόσιαι, ὄνοι δὲ πεντακόσιοι· συβώσιά τε ἐς πέντε μυριάδας ἔχοντα συῶν, καὶ προβάτων μυριάδες ἑπτά· καρπῶν δὲ ἄπιστόν τι χρῆμα καὶ δυσαρίθμητον κομιδῇ. ὧν ἁπάντων ἐν χρόνῳ ἀποστερηθεὶς βραχεῖ, οὐδὲν ἀγεννὲς ἢ μικρόψυχον ἐφθέγξατο· ἐκεῖνο δὲ ἠνία μόνον, ὅτι εἰς οὐδὲν χρήσιμον ἀνάλωτο τῷ κοινῷ. αὐτὸς γὰρ ἰσχυρίζετο οὕτω διανενοῆσθαι, ὡς πάντα ἀναλώσων τῆς Ῥωμαίων ὠφελείας ἕνεκα. ἐν Βυζαντίῳ δὲ τοῦ στρατεύματος ὁ τοῦ βασιλέως κηδεστὴς Ἀνδρόνικος ὁ Ἀσάνης στρατηγὸς ἀποδειχθεὶς καὶ τὸν πρὸς τὸν γαμβρὸν πόλεμον ἀναδεξάμενος, ἅρας ἐκεῖθεν, τὰς κατὰ Θρᾴκην περιῄει πόλεις, πάντων προθύμως ὑποδεχομένων καὶ συναιρομένων πρὸς τὸν πόλεμον τὰ δυνατά. βασιλεὺς δὲ ὁ Καντακουζηνὸς πολλῆς μὲν καὶ ἀγαθῆς εὐπόρει στρατιᾶς· στρατεύεσθαι δὲ ἀμήχανον ἦν διὰ τὴν ὥραν, καταφυγὴν τῆς στρατιᾶς πρὸς τοὺς ὑετοὺς καὶ τὴν χιόνα οὐκ ἐχούσης, ἐκπεπολεμωμένων ἤδη πάντων. ὅθεν, εὐδίας μὲν οὔσης, τὰς παρακειμένας κατέτρεχον πόλεις καὶ κακῶς ἐποίουν, τῆς ἐκ Βυζαντίου στρατιᾶς πρὸς τὰς πόλεις καταδυομένης καὶ οὐδ' ἀντιβλέπειν οὖσης δυνατῆς. [20]

2 186 ἐπεὶ δ' ἀναχωροῖεν ὑπὸ τοῦ χειμῶνος ἐκβιαζόμενοι ἐκεῖνοι, αὖθις οἱ Βυζάντιοι ἀναθαρσοῦντες ταῖς πόλεσιν ἐπέκειντο, αἳ πολέμιοι ἐδόκουν. καὶ ἡ χώρα πᾶσα ὥσπερ ὑπὸ πολεμίων δῃουμένη, μετανίστατό τε εἰς τὰς πόλεις καὶ οὐδὲν ἦν ὅ, τι οὐκ ἔπασχε δεινὸν, καὶ σκυθικὴ ἐρημία ἡ κατακράτος οἰκουμένη Θρᾴκη ἀπεδείκνυτο οὐκ ἐν μακρῷ, καὶ ἡ Ῥωμαίων ἰσχὺς ὑφ' ἑαυτῆς ἐδαπανᾶτο καὶ διεφθείρετο. οὐ μὴν οὐδὲ οἱ βάρβαροι ἠμέλουν, ἀλλ' εἰδότες, ὡς ἡ Ῥωμαίων

στρατιὰ διῄρηται καὶ στασιάζει πρὸς ἑαυτὴν, ἐκ τῆς Ἀσίας περαιούμενοι καὶ ἵπποις καὶ πεζῇ, τὰ μέγιστα ἐκάκουν, οὐδενὸς ἀνθισταμένου. καὶ τὰ παράλια πάντα ἐν βραχεῖ κενὰ ἀνθρώπων ἀπεδείκνυσαν, πάντας ἐξανδραποδιζόμενοι, πλὴν ὅσοι πόλεις ἢ φρούρια κατῴκουν. ὕστερον δὲ ἐκείνων ἀναλωθέντων, καὶ πρὸς τὴν μεσόγειαν ἐχώρησαν. οἱ μέντοι Ῥωμαῖοι οὕτω τοῦ χειμῶνος διετέλεσαν ἀλλήλοις ἀντεπεξιόντες καὶ βλάπτοντες ὅσα δυνατά. Διδυμοτείχῳ δὲ ἡ ἐκ Βυζαντίου στρατιὰ οὐδέποτε ἐτόλμησεν ἐπιστρατεῦσαι, παρόντος βασιλέως. οἱ μέντοι ἐκ Τζερνομιάνου φρουρίου τινὸς οὐ πόῤῥω Διδυμοτείχου κατῳκισμένου, οὐ φαῦλά τινα λῃστεύοντες ἐκάκουν. σχεδὸν γὰρ οὐ διέλιπον ἀεὶ νυκτὸς τὰ τείχη περιιόντες καὶ λῃστεύοντες, οἷς ἂν ἐντύχοιεν. [20]

2 187 ἐλάνθανον δὲ οὐ δι' ὀλιγότητα μόνον, ἀλλὰ καὶ δι' ἐμπειρίαν. ἦσαν γὰρ περὶ λῃστείας κάλλιστα ἐξησκημένοι. προλοχήσαντες δὲ οἱ ἐν Διδυμοτείχῳ στρατιῶται, ἐπεὶ κατὰ τὸ εἰωθὸς εἰς λῃστείαν αὖθις ἦκον πλείονες ὄντες τῶν ἐπιέναι εἰωθότων, οὐκ ὀλίγους ἀπέκτειναν αὐτῶν τοῦ λόχου ἀναστάντες. βασιλεὺς δὲ ὁ Καντακουζηνὸς διενοεῖτο μὲν ὡς ἅμα ἦρι Βυζαντίῳ ἐπιστρατεύσων καὶ πειρασόμενος, εἰ δύναιτο ἑαυτῷ ὑποποιεῖν· ὅμως τοῦ χειμῶνος τοῖς ἐν Ἀδριανουπόλει ἄρχουσι προσπέμπων κρύφα καὶ διαλεγόμενος, ἔπεισε τὴν πόλιν ἐγχειρίζειν. καὶ ἐπεὶ συντέθειτο ἡμέρα, καθ' ἣν ἔδει ἐπελθεῖν, τὴν οὖσαν στρατιὰν παραλαβὼν καὶ προσποιησάμενος ἐφ' ἑτέρας τῆς Θρᾴκης βαδιεῖσθαι πόλεις, ὡς πολιορκήσων, ἵνα μὴ ὑπό του τῶν τὰ βασιλίδος ἠρημένων πρὸς τὴν Ἀδριανοῦ ἡ ἔφοδος μηνυθῇ, παρὰ τὸν Ἕβρον ἐστρατοπέδευσεν, ὡς περαιωσόμενος εἰς τὴν ὑστεραίαν. πέμψας δὲ καὶ πρὸς Πιγκέρνην τὸν ἀνεψιὸν, τὸ Πάμφιλον ἅμα χιλίοις φρουροῦντα στρατιώταις τήν τε ἀκρόπολιν ἑτέροις ὁπλίταις καὶ ψιλοῖς τοξόταις ἑκατὸν, ἐκέλευε τὴν ἐν τῇ ἀκροπόλει φρουρὰν καταλιπόντα καὶ τῆς στρατιᾶς τῆς ἱππικῆς τριακοσίους, ὥστε φρουρεῖν τὴν κάτω πόλιν, τοὺς λοιποὺς ἀναλαβόντα, ἥκειν πρὸς αὐτόν· ἐδήλου δὲ καὶ τὴν αἰτίαν, ἧς ἕνεκα καλοῖτο. ὁ δ' ἡγησάμενος τὴν ἐν τῇ ἀκροπόλει μόνην φρουρὰν ἀρκέσειν πρὸς κατάσχεσιν τῆς πόλεως, τοὺς ἱππέας ἅπαντας παραλαβὼν, ἦκεν ὡς βασιλέα. τῆς αὐτῆς δὲ νυκτὸς τοῦ βορέα πνεύσαντος δριμύτερον, ἅμ' ἡμέρᾳ κρυσταλοῦσθαι ἤρχετο ὁ ποταμὸς καὶ ὀλίγῳ ὕστερον ἅπας διεφαίνετο κρυσταλωθείς. [25]

2 188 οὔτε δὲ τοσοῦτον εἶχε στερῤῥότητος ὁ πάγος, ὥστε στέγειν τοὺς ἱππέας ἐπ' αὐτὸν περαιουμένους, οὔτε τοῖς συνήθεσιν ἀκατίοις πρὸς τὸν πόρον δίοδον παρεῖχεν. ἀλλὰ τοῦ μὲν στερῤῥότερος ἐφαίνετο, τοῦ στέγειν δὲ τοὺς ἵππους ἀδρανέστερος. διὸ καὶ ἀπορίαν πολλὴν παρεῖχε πρὸς τὸν πόρον. δυοκαίδεκα μὲν οὖν ἐστρατοπεδεύετο ἐκεῖ ὁ βασιλεὺς ἡμέρας, περιμένων εἰ τρόπῳ δή τινι ἐγγένοιτο τὸν Ἕβρον διαβῆναι. ἐν ταύταις δὲ ἐκ Βυζαντίου τῇ Ἀδριανοῦ ἐπιγενόμενοι στρατιῶται ἑξακόσιοι τὴν ἐπιχείρησιν ἀφείλοντο. ἐν Παμφίλῳ δὲ ἐπεὶ ὁ Πιγκέρνης οὐ παρῆν, ἔχων τὴν στρατιὰν, ἣν ἐκεῖνοι ἐδεδοίκεσαν νεωτερίζειν, πρότερον τῶν φρουρῶν τινας χρήμασι διαφθείραντες καὶ πείσαντες τὰ ἀγγεῖα λάθρα ἐκκενοῦν, ἐν οἷς ὕδωρ αὐτοῖς καὶ οἶνος καὶ εἴ τι ἕτερον ὑγρὸν πρὸς πόσιν ἐφυλάττετο, (οὐ γὰρ ἐκ πηγῆς ἀρύεσθαι ἐνῆν,) ὡς ἐπύθοντο ἠνυσμένην τὴν ἐπιβουλὴν, πόλεμον πρὸς τοὺς ἐν ἀκροπόλει φρουροὺς κοινῇ πᾶσα ἡ πόλις ἀναιροῦνται. καὶ ἐκπολιορκήσαντες ἐν ταύταις ταῖς ἡμέραις, παρεστήσαντο μάλιστα δίψῃ πιεσθέντας. δήσαντες δὲ τούς τε ἡγουμένους αὐτῶν, οἳ ἦσαν τρεῖς, καὶ τὴν φρουρὰν, ἔπεμψαν εἰς βασιλίδα. οὓς καὶ ἀτιμάσαντες οἱ ἐν Βυζαντίῳ καὶ πᾶν εἶδος ἐπιδειξάμενοι ἐρεσχελίας, εἶχον ἐν δεσμωτηρίῳ. ὁμοίως δὲ καὶ πρὸς βασιλέα τὸν Καντακουζηνὸν πολλὴν ἐνεδείκνυντο ἀγνωμοσύνην, οὐδεμιᾶς ὕβρεως φειδόμενοι. εἰς τοσοῦτον δὲ προῆλθον ἀτοπίας, ὥστε εἴ ποτε καὶ βασιλεὺς ὁ νέος Ἰωάννης προΐοι τῶν βασιλείων ῥᾳστώνης εἵνεκα, (οὐ γὰρ δὴ αὐτῷ τι τῶν κοινῶν ἐπράττετο διὰ τὸ τῆς ἡλικίας πάνυ ἀτελές· ἐννέα γὰρ ἦν ἔτη γεγονὼς τελευτῶντος τοῦ πατρὸς,) ὑπὸ τῶν τὰ πράγματα ἐχόντων

προπεμπόμενοί τινες, τὸν δῆμον διηρέθιζον, καὶ ἄνδρας καὶ γυναῖκας, ὥστε διιόντος πολλὰς Καντακουζηνοῦ τοῦ βασιλέως καταχέειν λοιδορίας καὶ ὡς μάλιστα ἀσέμνους. [5]

2 189 καὶ τοῦτο ἦσαν ὥς τι δῶρον τῶν ἡδέων προσάγοντες τῷ νέῳ βασιλεῖ. σκοπὸς δὲ ἦν αὐτοῖς τῶν ὕβρεων οὐδὲν μὲν ἧττον, ὥστε καὶ τὸν δῆμον εἰς πλείονα ἐμβάλλειν φόβον, ὡς εἰ περιγένοιτο ὁ βασιλεὺς πικρῶς ἀμυνούμενος διὰ τὰς ὕβρεις· ὃ καὶ κατὰ σκοπὸν ἐξέβαινεν αὐτοῖς. πάντες γὰρ οἱ δῆμοι ὅσῳ μᾶλλον ἐξεμαίνοντο, τοσοῦτον ἐδεδίεσαν. ἐκ τούτου δὲ ἀσύμβατοί τε ἦσαν πρὸς ἐκεῖνον καὶ μᾶλλον ἐξεμαίνοντο διὰ τὴν ἐκ τῆς ἀντιδόσεως πονηρὰν ἐλπίδα. ἄλλως θ' ὅπως καὶ πᾶσιν ὑπόνοιαν παρέχωσιν, ὡς, εἰ μὴ διέφθαρτο ἐκεῖνος καὶ ἐξησθένηκε παντάπασιν, οὐκ ἂν οὕτω κατεφρόνουν. οὐδὲν οὖν ἧττον καὶ διὰ τὰ τοιαῦτα τὸ ὑβρίζειν αὐτοῖς ἐπετηδεύετο· μάλιστα δὲ ἵν' ἐκεῖνος πυνθανόμενος, ἀπαγορεύῃ τὴν εἰρήνην, νομίζων κατὰ γνώμην τὰ τοιαῦτα πράττεσθαι τῇ βασιλίδι. οὐδὲν γὰρ αὐτοῖς οὕτω δεινὸν ἐφαίνετο τῶν πρὸς τὸν πόλεμον, ὅσον ἄγειν κίνδυνον ἡ εἰρήνη ἐνομίζετο. διὸ καὶ πάντα ἐπενόουν καὶ ἐμηχανῶντο, ὥστε μὴ γενέσθαι. ἐπὶ τῆς βασιλίδος μέντοι οὐκ ἀσέμνως οὕτως ἐλοιδοροῦντο, (ὀργῇ γὰρ πρὸς τοὺς οὕτως ἀσελγαίνοντας ἐφέρετο,) ἀλλ' ἠρῶντο μόνον τὰ δεινότατα καὶ πολλὴν κατεψηφίζοντο σκαιότητα καὶ πονηρίαν τρόπων, ὅτι τοσούτων παρὰ βασιλέως ἀπολελαυκὼς καὶ οὕτω φιληθεὶς, ἀχάριστος ἐκ διαμέτρου καὶ κακὸς περὶ τοὺς ἐκείνου παῖδας ὤπται. [5]

2 190 ἐκεῖνοι μὲν οὖν οὕτως ἠκολάσταινον περὶ τὴν γλῶτταν· καὶ ὁ πατριάρχης ὀλίγα ἢ οὐδὲν φροντίζων τῶν ἐκκλησιαστικῶν θεσμῶν, αὐτόν τε βασιλέα, μηδεμίαν πρόφασιν πρὸς τὸν πόλεμον παρεσχημένον, ἀλλὰ καὶ πολλὰ πολλάκις δεηθέντα διαλύσασθαι, ἀφορισμῷ ὑπέβαλεν, ὡς κακὸν ὀφθέντα περὶ βασιλίδα, καὶ εἴ τις αὐτῷ συνείη· βασιλεὺς δὲ ὁ Καντακουζηνὸς οὐ μόνον αὐτὸς τἀναντιώτατα ἐφαίνετο ποιῶν, ἀλλὰ καὶ τοὺς συνόντας ἀναπείθων. οὐ γὰρ μόνον βασιλίδα, εἴποτε ἔδει μνημονεύειν, διὰ πάσης εὐφημίας ἦγεν, ἀλλὰ καὶ τοὺς ἄλλους ἀπὸ τῶν ἀξιωμάτων μᾶλλον, ἢ τῶν ὀνομάτων προσηγόρευε, τῶν ἐξ Ἀνδρονίκου μέντοι τοῦ βασιλέως ἑκάστῳ δεδωρημένων, ἐπεὶ τῶν ὕστερον, ὡς παρὰ δίκην γεγενημένων, τὰ πολλὰ ἀπέστεργε. τῶν συνόντων δὲ ἐπ' αὐτοῦ τινος τὸν παρακοιμώμενον καὶ ἕτερόν τινα τῶν ἐν Βυζαντίῳ ὑβρίσαντος αἰσχρῶς, ἐκέλευσε τυπτηθῆναι, γυναιξὶ φάμενος πορνευομέναις προσήκειν τὰ τοιαῦτα, ἀνδράσι δὲ τὸ μάχεσθαι. λα'. Πρὸς μέντοι τὸν ἔπαρχον τὸν Μονομάχον ἐπιτροπεύοντα Θεσσαλίας καὶ Συναδηνὸν τὸν πρωτοστράτορα Θεσσαλονίκης τότε ἄρχοντα καὶ Συργὴν Ντελενουζίαν τὸν βασιλέως Ἀνδρονίκου ἀνεψιὸν, τὸν Κύπρου ῥηγὸς υἱὸν, Φερῶν καὶ αὐτὸν ἄρχοντα, οὗ καὶ τὴν θυγατέρα, τοῦ βασιλέως Ἀνδρονίκου περιόντος ἔτι, τῷ υἱῷ Μανουὴλ ὁ τότε μέγας δομέστικος κατηγγύησε, πρεσβείαν πέπομφεν ὁ βασιλεὺς, αἰτίας ἑαυτὸν ἐπὶ τοῖς γεγενημένοις ἀπολύων, ὡς οὐκ ἀπὸ γνώμης ἐπιβούλου καὶ πονηρᾶς, οὐδ' ἐπιθυμίᾳ τιμῆς βασιλικῆς τὰ τοιαῦτα νεωτερισθείη, ἀλλ' ὑπὸ τῶν ἐν Βυζαντίῳ πόλεμον ἀκήρυκτον ἐξενεγκόντων κατ' αὐτοῦ, καὶ ἄκων εἰς ταῦτα ἐξενηνεγμένος· ὅθεν καὶ τῶν πραγμάτων ἐπειγόντων, καὶ πρὶν αὐτοῖς κοινώσασθαι τὴν γνώμην, ἃ αὐτῷ τε καὶ πᾶσι τοῖς συνοῦσι λυσιτελεῖν ἐδόκει καταπεπράχθαι. [10]

2 191 ἠξίου τε μὴ διὰ τὰ τοιαῦτα δυσχεραίνειν ὡς περιοφθέντας, ἀλλ' εἴ τι καὶ τῶν μὴ δεόντων γένοιτο, ἀνάγκῃ τῶν πραγμάτων προσλογίζεσθαι. ἔπαρχος μὲν οὖν οὔτε τὴν πρεσβείαν προσεδέξατο, οὔτ' εὐθὺς πρὸς πόλεμον ἐκινήθη, ἀλλὰ τὴν κοινωνίαν μόνον ἀπηγόρευεν. ὁμοίως δὲ καὶ πρωτοστράτωρ πολλὴν τοῦ βασιλέως ἀμνημοσύνην τῶν φίλων κατηγόρει, ὅτι δὴ αὐτὸν πολλὴν τῆς εἰς ἐκεῖνον εὐνοίας ἐκ πολλῶν ἐτῶν ἀπόδειξιν ἐπιδεδειγμένον, ὥς τινα τῶν πολλῶν ὀλίγον διαφέροντα περιεῖδε, καὶ ταῦτα τοιούτοις μέλλων ἐγχειρεῖν. οὐδὲν μέντοι δεινὸν εἴργαστο τὸν πρεσβευτὴν, ἀλλ' ἐκέλευεν αὖθις ἀναστρέφειν πρὸς τὸν πέμψαντα. Συργὴς δὲ εἴτε καὶ ἐκ προφάσεώς τινος ἀρχαιοτέρας μηνίων, εἴτε καὶ τότε πρῶτον ἐκ τοῦ παρεωρᾶσθαι

ὑπωπτευκέναι πρὸς ὀργὴν ἐξήγετο, τούς τε λόγους τῆς πρεσβείας ὡς ἔχοντας οὐδὲν ὑγιὲς, ἀλλ᾽ ἀπάτῃ συνεσκευασμένους, ἀπεπέμπετο, φάσκων ὡς, εἰ καὶ παρ᾽ ἐκείνῳ τῶν μηδενὸς ἀξίων ἐνομίσθη, ἀλλ᾽ αὐτὸς αὐτοῖς ἔργοις ποιήσειν καταφανὲς, ὡς τούς τε φίλους ὠφελεῖν καὶ τοὺς πολεμίους βλάπτειν δύναιτο τὰ μέγιστα· καὶ τοὺς πρέσβεις εἰς τὸ δεσμωτήριον εἰσῆγεν. [5]

2 192 οἳ Δημήτριός τε ἦσαν ὁ Κασανδρηνὸς καὶ Λάσκαρις, ὃς ἦν μέγας χαρτουλάριος τὴν ἀξίαν. ὄντος δὲ ἐν Φεραῖς οὐ βοσκημάτων μόνον πλήθους Καντακουζηνῷ τῷ βασιλεῖ, ἀλλὰ καὶ πυρῶν καὶ καρπῶν τῶν ἄλλων, διὰ τὸ μεγάλας καὶ πλείστας κτήσεις μᾶλλον, ἢ κατὰ τὰς ἄλλας πόλεις ἐνταυθοῖ κεκτῆσθαι, πάντα ἐποιεῖτο ἴδια εὐθύς· δι᾽ ἃ καὶ μᾶλλον ὑπωπτεύθη τὸν πρὸς ἐκεῖνον πόλεμον ῥῆσθαι, συνιδὼν, ὡς ἔοικεν, ὡς ἐκ τῆς διαφορᾶς τῆς πρὸς ἐκεῖνον μείζω δύναιτο καρποῦσθαι, ἢ τῆς ὁμονοίας, εἴγε καὶ τῶν πρώτων καὶ μεγίστων ἀπολαύοι παρ᾽ αὐτῷ τιμῶν. οὐ μόνον γὰρ ἐκείνων τοσούτων ὄντων κύριος ἦν εὐθὺς, ἀλλὰ καὶ τοὺς φίλους διηρεύνα, οἳ ἦσαν ἐν Φεραῖς πολλοί. καὶ πάντων τὰς οὐσίας ἀφαιρούμενος, ἐκόλαζεν ἀπανθρώπως. ἦν γὰρ δὴ πρὸς τοῦτο πρότερόν τε ἔχων μάλιστα ἐπιῤῥεπῶς καὶ τότε μάλιστα ἐφιλονείκησε μηδεμίαν ὠμότητος ὑπερβολὴν ἀπολιπεῖν. πολλῷ γὰρ τῷ μέτρῳ τοὺς ἐν Βυζαντίῳ παρήλασεν ἐν πᾶσι, πλὴν τῆς ὕβρεως· ἐν τούτῳ γὰρ μόνῳ σωφρονοῦντα ἑαυτὸν παρέσχετο. [20]

2 193 τήν τε μνηστείαν τῆς θυγατρὸς, ἣν πρότερον πρὸς τὸν βασιλέως υἱὸν πεποίητο, διέλυσε. τότε μὲν οὖν χειμῶνος ἐξαισίου ἐπιγενομένου, ἥ τε ἐκ Βυζαντίου καὶ ἡ ἐκ Διδυμοτείχου στρατιὰ ἡσύχαζον, μὴ δυνάμενοι ἀλλήλοις ἀντεπεξιέναι διὰ τὸν χειμῶνα. ἐν τούτῳ δὲ καὶ ὁ πρωτοστράτωρ ἐκ Θεσσαλονίκης, ὅτι τὴν βασιλέως ἀπείπατο πρεσβείαν, μεταμεληθεὶς, τῶν οἰκειοτάτων πέμψας τινὰ, κρύφα διελέγετο ὡς Θεσσαλονίκην παραδώσων. εἶναι γὰρ αὐτῷ τοὺς συμπράττοντας ἐκεῖ πολλούς. συνεβούλευέ τε μὴ μέλλειν, ἀλλ᾽ ἅμα ἦρι ἥκειν πρὸς αὐτὸν, ὡς πολλῆς αὐτῷ ὠφελείας ἐσομένης ἐξ ἐκείνου. ὁμοίως δὲ καὶ Χρέλης, ὃς ἦν πρότερον πρὸς Ἀνδρόνικον τὸν βασιλέα ηὐτομοληκὼς ἐκ Τριβαλῶν, στρατιώτας τε ἔχων χιλίους καὶ πόλεις τρεῖς παραδεδωκὼς, ἃς Ῥωμαίων οὔσας ὑπηκόους κατὰ τὸν πρὸς ἀλλήλους τῶν Ἀνδρονίκων βασιλέων πόλεμον κατέσχον οἱ Τριβαλοὶ, τῶν κατεχόντων Ῥωμαίων παραδόντων· οὗτος δὴ οὖν ὁ Χρέλης χρήμασί τε ἐῤῥωμένος καὶ στρατιὰν ἔχων ἀξιόλογον ὑφ᾽ ἑαυτῷ καὶ πρότερον βασιλεῖ τῷ Καντακουζηνῷ ἐς τὰ μάλιστα φίλος ὢν, (δι᾽ αὐτοῦ γὰρ καὶ Ἀνδρονίκῳ προσῆλθε τῷ βασιλεῖ,) πέμψας καὶ αὐτὸς, ὅτι τε αἱροῖτο ἐδήλου τὰ ἐκείνου, καὶ παρῄνει καὶ αὐτὸς πρὸς τὴν ἑσπέραν μᾶλλον τρέπεσθαι, ὡς οὐ φαύλης τινὸς αὐτόθεν ἐσομένης ὠφελείας. βασιλεὺς δὲ ὁ Καντακουζηνὸς, ἐπεὶ ἔαρος ὥρα ἤδη ἦν, ἐκκλησίαν συναγαγὼν ἐκ τῶν συνόντων, πρὸς ὅ,τι χρὴ τρέπεσθαι ἐσκέπτοντο. [20]

2 194 ὅσοι μὲν οὖν ἐκ Βυζαντίου ἦσαν, τὴν εἰς Βυζάντιον μᾶλλον συνεβούλευον αἱρεῖσθαι εἰσβολὴν, ὡς ἢν κρατήσωσιν ἐκείνου, (εἶναι δὲ οὐκ ἀγεννεῖς ἐλπίδας, πολλῶν ἐκεῖ τὰ βασιλέως ῥηρημένων,) μεγάλων ἀπαλλαξόμενοι καὶ πόνων καὶ κινδύνων. οἱ δ᾽ ἑσπέριοι τοῖς ἐκ τῆς ἑσπέρας προσέχειν ᾤοντο μᾶλλον πράγμασι δεῖν, ὡς οὐκ ἐκπεπολεμωμένοις βασιλεῖ, ἀλλὰ προσχωρήσουσι διὰ τὴν εὔνοιαν ῥᾳδίως. τὰ δ᾽ ἐν Βυζαντίῳ μεγάλης δεῖσθαι τῆς παρασκευῆς, πολλῶν ὄντων ἐκεῖ τῶν πολεμιωτάτων βασιλεῖ καὶ τοὺς ἄλλους ἐναγόντων πρὸς τὸν πόλεμον. οἷς δεῖ ἐπιστρατεύειν ἐπανήκοντας ἐκ τῆς ἑσπέρας καὶ μεγάλην ἐκεῖθεν περιβεβλημένους δύναμιν. τὸ μέντοι μισθοφορικὸν τῆς στρατιᾶς καὶ ὅσοι τῶν βασιλέως ἦσαν οἰκετῶν, διεφέροντο πρὸς οὐδὲν, ἀλλ᾽ ἕτοιμοι ἦσαν πρὸς ὅ,τι ἂν βασιλεῖ δοκῇ λυσιτελεῖν τρεψόμενοι καὶ αὐτοί. βασιλεὺς δὲ οὐκ ἔφασκε δεῖν τοὺς ἐκ τῆς ἑσπέρας καλοῦντας ὄντας τηλικούτους περιορᾶν. καὶ μὴ καλούντων γὰρ, εἰ μόνον ἐλπίς τις ὑπεφαίνετο βεβαία τοῦ προσάξασθαι αὐτοὺς ἐκεῖ παραγενομένους, ἦμεν ἂν οὐδεμιᾶς ἀπηλλαγμένοι μέμψεως, εἰ τοιαύτην δύναμιν προείμεθα ἑκόντες· νυνὶ δὲ, καλούντων τε αὐτῶν καὶ βεβαίαν τῶν ἐκεῖ πραγμάτων παρεχόντων τὴν παράληψιν, οὔτε λυσιτελὲς, οὔτε σῶφρον παριδεῖν· ἀλλὰ δέον καὶ τὴν

ἐκείνων προσλαβόντας δύναμιν, οὕτω χωρεῖν ἐπὶ τοὺς ἄλλους. δέος γὰρ, μὴ καὶ ταύτης ἀμελήσαντες, ἀντὶ συμμάχου καὶ φίλης πολεμίαν πρὸς τοῖς ἄλλοις ἕξομεν. [20]

2 195 “ οὕτως εἰπόντος βασιλέως, καὶ οἱ ἄλλοι ἐπεψηφίζοντο, οἱ μὲν ἑκόντες, οἱ δ’ ἀνάγκῃ. λβ′. Πρὸς μὲν οὖν Διδυμοτείχῳ βασιλίδα τὴν γυναῖκα κατέλιπεν ὁ βασιλεὺς ἅμα θυγατράσι τρισὶ καὶ δουκὶ Νικηφόρῳ τῷ δεσπότου παιδὶ, ᾧ Μαρίαν συνῴκησε τὴν θυγατέρα, ἀδυνάτως ἔχοντι στρατεύεσθαι διὰ τὴν ἡλικίαν, (ἔτι γὰρ παρήμειβε τὴν παιδικὴν,) στρατιάν τε ἱππικὴν, ὅσην ᾤετο ἀρκέσειν πρὸς τὰς ἐκ τῶν ἄλλων πόλεων καὶ Βυζαντίου ἐφόδους ἐσομένας. πρὸς γὰρ τοῖς ὕστερον ὀλίγῳ ἐπιγενομένοις χίλιοι ἦσαν. ὧν ἦρχον Μανουὴλ ὁ Ταρχανειώτης καὶ ὁ Φακρασὴς Γεώργιος καὶ τρίτος ὁ τῆς αὐλῆς πριμμικήριος Παλαιολόγος ὁ Ἰωάννης, καὶ ὁ Γλαβᾶς Γεώργιος σὺν τούτοις. ἐπὶ δὲ τῆς ἔξω Διδυμοτείχου συνοικίας οὔσης πολλῆς, ἑτέρους ἐπέστησεν ἄρχοντας ὀκτὼ, ὧν ἦρχεν ἕκαστος χιλίων τοξοτῶν. στρατηγὸν δὲ ἐπὶ πᾶσι τὸν γυναικὸς ἀδελφὸν Ἀσάνην κατέλιπε τὸν Μανουήλ. πόλεων δὲ τῶν κατὰ τὴν Θρᾴκην ἁπασῶν οὐδεμία αὐτῷ προσεῖχεν, ἀλλὰ πᾶσαι πρὸς βασιλίδα συναπέστησαν, πλὴν τοῦ Ἐμπυθίου φρουρίου, ὃ αὐτῷ, περιόντος ἔτι βασιλέως, ᾠκοδόμητο αὐταῖς κρηπῖσιν. αὐτὸς δὲ τούς τε υἱοὺς ἔχων Ματθαῖον καὶ Μανουὴλ καὶ τὸν γυναικὸς ἀδελφὸν Ἀσάνην τὸν Ἰωάννην, ἔτι τε Ἄγγελον Πιγκέρνην τὸν ἀνεψιὸν, καὶ τῶν εὐγενῶν καὶ καθ’ αἷμα προσηκόντων οὐκ ὀλίγους, τὴν στρατιὰν πολλὴν καὶ ἀγαθὴν οὖσαν παραλαβὼν, ἐξῆλθε Διδυμοτείχου πέμπτῃ Μαρτίου ἱσταμένου τῆς δεκάτης ἰνδικτιῶνος. [20]

2 196 προὔπεμπέ τε ἑαυτοῦ Κωνσταντῖνον τὸν Παλαιολόγον, τὸν δεσπότου Μιχαὴλ τοῦ δουκὸς υἱὸν, ὡς δι’ αὐτοῦ τῶν δοκούντων λυσιτελεῖν τινα προπαρασκευασόμενος. ὁ δ’ αὐτίκα πρὸς Συργὴν ἀφίστατο ἐν Φεραῖς, εἴτε περὶ τῆς οἰκίας δείσας, (Φεραίοις γὰρ συνῴκει,) εἴτε καὶ οἰωνισάμενος ἐκ τῆς τῶν πόλεων ἀποστασίας, ὡς οὐ κατὰ ῥοῦν βασιλέως Καντακουζηνοῦ τὰ πράγματα χωρήσει. βασιλεὺς δὲ, καίτοι τῶν πραττομένων οὐ πάνυ χρηστὰς ἐλπίδας παρεχόντων, τὴν στρατιὰν ἔχων ἐστρατοπέδευσεν ἐν Βήρᾳ. ἀφθονίαν δὲ ἐκεῖ τοῖς ἵπποις τοῦ τόπου παρέχοντος τροφῆς, (οὔπω γὰρ ἦν ἀπολαύειν ἀφθόνου πανταχοῦ διὰ τὴν ὥραν, ἄρτι ἀρχομένου ἔαρος,) παρέμεινεν ἡμέρας οὐ πολλάς. ἐν ταύταις δὲ τοῦ φρουρίου ἀπεπείρα, εἰ δύναιτο κατασχεῖν ὁμολογίᾳ. βίᾳ γὰρ παραστήσασθαι οὐκ ἤθελε διὰ τὸ μοναχοὺς τὸ φρούριον κατοικεῖν, συνορῶν ὡς, εἰ βίᾳ κρατηθείη, οὐδὲν ἔσται λοιπὸν, ἢ ἀνάστατον γίνεσθαι τὴν μονὴν πολέμου νόμῳ πορθουμένην. οὗ δὴ ἕνεκα οὐδὲ συντόνως ἐπολιόρκει, ἀλλὰ δόκησιν παρεῖχε μόνον, ὡς πρὸς τειχομαχίαν παρασκευαζόμενος. μοναχοὶ δὲ οἱ ἔνδον ὄντες καὶ ὁ ἄλλος ὅμιλος ἐξ ἀγροτῶν συνειλεγμένοι, εἴτε διὰ τὴν ἀποστασίαν δεδοικότες, (τὴν γὰρ βασιλέως πρότερον φρουρὰν καὶ τὸν ἄρχοντα, ὃν ἐπέστησεν αὐτοῖς, ἀπάτῃ κατασχόντες δεσμώτας ἔπεμψαν εἰς βασιλίδα,) εἴτε καὶ τρόπῳ δή τινι ἑτέρῳ, ἠμύνοντό τε καρτερώτατα ἀπὸ τῶν τειχῶν ὀχυρωτάτων ὄντων ἐκ κατασκευῆς, καὶ οὐδ’ ἄκροις ὡσὶ προσίεντο τοὺς περὶ συμβάσεως λόγους. [20]

2 197 ἐν τούτῳ δὲ καὶ ὁ Βατάτζης Ἰωάννης ἐκ Βυζαντίου νυκτὸς διαλαθὼν, (οὐ γὰρ ἀσφαλῶς τὸ φρούριον ἐπολιορκεῖτο διὰ τὴν εἰρημένην αἰτίαν,) ἅμα ὀλίγοις στρατιώταις εἰσελθὼν, περιεποίησέ τε τὸ φρούριον βασιλίδι καὶ βασιλεῖ τῷ Καντακουζηνῷ τὴν ἐπιχείρησιν ἀνέλπιστον ἐποίει. ἀναστήσας τοίνυν ἐκεῖθεν τὴν στρατιὰν, εἰς τὴν Ἀναστασίου πόλιν, ἣ Περιθεώριον ὑπὸ βασιλέως Ἀνδρονίκου προσηγόρευτο, ἐγένετο. καὶ περιεκάθητο πολιορκῶν ἐν τέσσαρσι καὶ εἴκοσιν ἡμέραις. ἦν γὰρ δὴ καὶ πρὸς Χρέλην καὶ πρωτοστράτορα τὸν Συναδηνὸν ἐν Θεσσαλονίκῃ τοὺς μηνύσοντας τὴν ἐκείνου ἄφιξιν πεπομφὼς, καὶ περιέμενε μαθεῖν, εἰ τὰ ἴσα ὥσπερ καὶ πρότερον περὶ αὐτοῦ διανοοῦνται. Βατάτζης δὲ τούς τε στρατιώτας, οὓς ἐκ Βυζαντίου ἦκεν ἔχων ἐπαγόμενος, καὶ ἐκ τῶν κατὰ τὴν Θρᾴκην καὶ Ῥοδόπην πόλεων οὐκ ὀλίγην στρατιὰν συνειλοχὼς, οὐκ ἀξιόμαχον δὲ ὅμως πρὸς τὴν βασιλέως, (ἦν γὰρ δὴ ἐκ βασιλίδος καὶ τῶν ἄλλων τῶν τὰ πράγματα ἀγόντων τὸν πρὸς ἐκεῖνον ἐπιτετραμμένος

πόλεμον,) ἐφείπετο οὐκ ἐγγύθεν, ἀλλὰ μιᾶς ἡμέρας ὁδὸν διέχων, διὰ πολλῆς ποιούμενος σπουδῆς τὸ μὴ τῇ βασιλέως στρατιᾷ περιτυχεῖν· ᾔδει γὰρ οὐ χωρὶς ζημίας ἀπαλλάξων. Περιθεωρίου δ' ὑπὸ βασιλέως πολιορκουμένου ἀκριβῶς, πᾶσαν μὲν ἐκίνει μηχανὴν, ὡς ἅμα τισὶν ὀλίγοις, εἰ δύναιτο, (πλείοσι γὰρ οὐκ ἐνῆν διαλαθεῖν,) παρελευσόμενος εἰς τὴν πόλιν καὶ φυλάξων. [20]

2 198 ἤνυε δὲ οὐδὲν, βασιλέως τῆς πολιορκίας συντόνως ἐχομένου καὶ διὰ πάσης ποιουμένου φυλακῆς. μηχανήματά τε γὰρ παντοδαπὰ καὶ κλίμακας πρὸς τὴν τειχομαχίαν παρεσκεύαζε. Βατάτζης δὲ οὐδενὶ τρόπῳ τοῖς πολιορκουμένοις βοηθεῖν δυνάμενος, πρὸς βασιλέα πέμψας τήν τε εὔνοιαν ὡμολόγει τὴν προτέραν, καὶ ὡς οὐδὲν ἧττον ἢ πρότερον, καὶ νῦν εὔνους τέ ἐστιν αὐτῷ καὶ τῶν μάλιστα φιλούντων. ἀνάγκῃ δὲ τὸν πόλεμον ὑπελθεῖν τοῦ μὴ παρὰ τοῖς ἄρχουσι Ῥωμαίων ὑποπτεύεσθαι. οὗ δὴ ἕνεκα καὶ νῦν τὰ δοκοῦντα λυσιτελήσειν συμβουλεύειν. κήδεσθαι γὰρ οὐ Ῥωμαίων μόνον τὰ ἔσχατα ἐκ τοῦ πολέμου πεισομένων, ἀλλὰ καὶ σοῦ διὰ τὴν φιλίαν. ταῦτα δέ ἐστι· τὸν πόλεμον καταθέμενον, σπονδὰς ποιήσασθαι πρὸς βασιλίδα περὶ τῆς εἰρήνης. καὶ εἴγε κατὰ γνώμην αὐτῷ εἴη, αὐτὸν πρὸς βασιλίδα ᾗ τάχιστα δύναιτο ἀπελθόντα διαλέξεσθαι περὶ εἰρήνης. οἴεσθαι δὲ καὶ πείσειν ῥᾷστα, τὴν δύναμιν, ἣν ἔχεις, φανερὰν ποιήσαντα. ἐκείνους γὰρ τῶν λίαν οἰομένους ἀσθενεστάτων προθύμως ὠρμῆσθαι πρὸς τὸν πόλεμον. ὁ μὲν οὖν Βατάτζης τοιαῦτα ἐπρεσβεύετο. βασιλεὺς δὲ ἀσμένως τε ἐδέξατο τοὺς λόγους καὶ πρός τινα ἐκέλευε τόπον συνελθεῖν αὐτῷ, ἐν ᾧ περὶ τοῦ ᾗ χρὴ γενέσθαι τὴν εἰρήνην διαλέξονται· μηδέν τε μελλήσας, πρὸς τὸν συντεθειμένον ἦλθε τόπον τὸν Βατάτζην περιμένων. ὁ δ' εἴτ' αὐτὸς ὑφ' ἑαυτοῦ, εἴθ' ἑτέρου συμβουλεύοντος πεισθεὶς, εἰς τὴν ὑστεραίαν ἀνεβάλλετο, τῆς μὲν εἰρήνης ὑμῶν τῶν βασιλέων μάλιστα βούλεσθαι, εἰπὼν, αἰτιώτατος γενέσθαι, δεδοικέναι δὲ, μὴ οὐδεμίαν ὄνησιν ἑκατέροις παρασχόμενος ἑαυτῷ τῶν μεγίστων συμφορῶν αἰτιώτατος κατασταίη. [5]

2 199 διὸ οὐδὲ πρὸς αὐτὸν τετολμηκέναι νῦν ἐλθεῖν. τοὺς γὰρ ἐν Βυζαντίῳ τῶν πραγμάτων ἄρχοντας, καίτοι μηδεμίαν ὑποψίας πρόφασιν παρασχομένῳ, ἀλλὰ καὶ τὰ ἐκείνοις δοκοῦντα πάσῃ πράττοντι σπουδῇ, καὶ αὐτοῦ ἀφεστηκότι διὰ τὸ μὴ τὴν τῶν ὄντων στέρησιν καὶ φιλτάτων καὶ γυναικὸς φέρειν δύνασθαι, ὅμως οὐδὲν πεπεικέναι ὡς πιστῷ περὶ αὐτοὺς προσέχειν, ἀλλὰ πρόφασίν τινα ζητεῖν, ἐξ ἧς διαφθεροῦσιν. ὧν ἕνεκα οὐδ' ὑπὲρ τῆς εἰρήνης, ὥσπερ εἶπεν, εἰς Βυζάντιον δύνασθαι ἐλθεῖν. βασιλεὺς δὲ εἰρήνης μὲν ἔφασκε καὶ μάλιστα ἐπιθυμεῖν οὐχ ἑαυτοῦ μᾶλλον, ἢ τῶν ἄλλων ὠφελείας ἕνεκα, εἰς προῦπτον δὲ κίνδυνον ἐμβάλλειν ἑαυτὸν οὐδένα ἀναγκάσειν, βλάπτοντα δὲ μηδένα, τό γε εἰς αὐτὸν ἥκον, θεῷ τῷ πάντα ἐφορῶντι ἐπιτρέψειν τὰ κατ' αὐτόν. λγ'. Οὐ τότε δὲ μόνον περὶ τὴν διάλυσιν εὐχερὴς Καντακουζηνὸς ὁ βασιλεὺς ὡρᾶτο, ἀλλὰ καὶ Διδυμοτείχῳ ἐνδιατρίβων ἔτι, μετὰ τὸ ἄπαξ καὶ δὶς πρὸς βασιλίδα πρεσβεύσασθαι περὶ εἰρήνης, ἐπεὶ οὐδὲν ἐπιεικὲς περὶ τοὺς πρέσβεις ἠγγέλλετο εἰργασμένον, πρὸς τὸν πατριάρχην κρύφα γράμματα διεπέμπετο περὶ εἰρήνης, ἐν οἷς τῶν τε ἐπ' αὐτοῦ γεγενημένων ὅρκων ἀνεμίμνησκε μεταξὺ βασιλίδος καὶ αὐτοῦ. [20]

2 200 οὓς ἔφασκεν ἀκριβῶς αὐτὸς τηρῶν, ὑπὸ βασιλίδος παρασπονδούσης πολεμεῖσθαι, συκοφάνταις ἀνθρώποις καὶ διεφθορόσι πεπεισμένης· ἔτι δὲ καὶ τῶν αὐτῷ γεγενημένων ὅρκων πρὸς αὐτὸν, ὡς οὐ περιόψεται ὑπὸ συκοφαντῶν αὐτὸν διαβαλλόμενον, ἀλλὰ πᾶσαν ἐνδείξεται σπουδὴν ὑπὲρ αὐτοῦ, ἢ τἀληθέστερον εἰπεῖν, ὑπὲρ αὐτοῦ δικαίου. ἃ δὴ εἰς τοὐναντίον περιέστη, καὶ ὁ πόλεμος ἐξ ἐκείνου ἔσχε τὴν ἀρχὴν, ὑφ' οὗ κωλύεσθαι δικαιότερος μᾶλλον ἦν. ἐδεῖτό τε μὴ τοιαῦτα γινόμενα περιορᾶν, ἀλλ' ἔλεον λαβόντα τῶν ἀπολλυμένων ἀνθρώπων παρὰ πάντα τοῦ δικαίου λόγον, στῆναι πρὸς τὴν συμφορὰν καὶ τὰ πολλῷ δεινότερα ἐσόμενα κωλῦσαι, καταλύσαντα τὸν πόλεμον καὶ διαλλακτὴν γεγενημένον βασιλίδος καὶ αὐτοῦ, ὅπερ μάλιστα αὐτῷ προσήκειν, πατρὶ κοινῷ καὶ διδασκάλῳ δικαιοσύνης ὑπὸ τοῦ θεοῦ κεχειροτονημένῳ.

πάντως δὲ οὐδὲν ἔργον ἔσται, οὐδὲ πολλῶν δεήσεται λόγων πρὸς αὐτὸν, ἀλλ᾽ ἀρκεῖ μόνον ὀφθῆναι, καὶ πᾶσα πρόφασις πολέμου περιαιρεθήσεται. εἰ δ᾽ ἄρα τούτων μηδενὸς μελήσει, μηδὲ τὴν προσήκουσαν περὶ τὴν εἰρήνην ἐνδείξεται σπουδὴν, αὐτὸν μὲν ὀκνεῖν εἰπεῖν, πᾶσι δὲ εἶναι καὶ σιγήσαντος καταφανὲς, ὡς ἐκ τῶν αὐτοῦ χειρῶν τὰ ἐκχυθησόμενα τῶν ἀνθρώπων αἵματα θεὸς ὁ δίκαιος ἐκζητήσει κριτής. ἠξίου τε, μὴ διὰ δειλίαν τὰ τοιαῦτα νομίζειν δεῖσθαι· τὴν γὰρ ἐκείνου στρατιὰν πολλῷ τῷ μέτρῳ τῆς ἐκείνων ὑπερέχειν· ἀλλ᾽ ὁρῶντα τὸν πόλεμον, ὡς μεγάλων ἔσται συμφορῶν αἴτιος Ῥωμαίοις, καὶ δεδοικότα τὴν ἐκεῖθεν βεβιωμένων βάσανον ἀνθρώποις μηδεμίαν ὡς οἷόντε μάλιστα ἐν τοῖς προσδοκωμένοις κακοῖς αἰτίαν παρέχεσθαι πειρᾶσθαι. [5]

2 201 ὃν δὲ κατ᾽ αὐτοῦ ἐξεῖπε καὶ τῶν συνόντων ἀφορισμὸν, ἡγεῖσθαι μὲν δεινὸν, πῶς γὰρ οὔ; οὐδὲν δὲ εἶναι πρὸς αὐτόν. εἰ γὰρ βασιλέως, ὥσπερ αὐτοί φασιν, ἐπεβούλευσε τοῖς παισὶν ἐπιορκήσας, εἶχεν ἄν τινα πρὸς ἐκεῖνον δύναμιν τὰ εἰρημένα. εἰ δὲ τούτων μὲν οὐδὲν οὔτε εἴργαστο, οὔτε ἐνεθυμήθη, ἐμμένοντος δὲ αὐτοῦ τοῖς ἐξαρχῆς καὶ τοὺς ὅρκους τηροῦντος βεβαίως, ὑπὸ φθόνου καὶ συκοφαντίας αὐτοὶ κεκινημένοι, τὴν πᾶσαν Ῥωμαίων ἡγεμονίαν νῦν τε ἤδη νεμομένην καὶ ἔτι μᾶλλον δαπανήσουσαν ἤγειραν φλόγα, ἣν μὴ θεὸς ἄνωθεν ἐπιβλέψας ἵλεων κατασβέσῃ, σκοπητέον, εἰ μὴ μᾶλλον αὐτοῖς, ἢ ἐκείνῳ τὸ ἀπὸ θεοῦ χωρίζεσθαι προσήκει, τοῖς αἰτίοις τῶν κακῶν γεγενημένοις. οὐ γὰρ ἔπεσθαι τὸ θεῖον ταῖς παραλόγοις τῶν ἀρχιερέων ὁρμαῖς, Διονύσιος ὁ μέγας ἀπεφθέγξατο. αὖθίς τε ἐδεῖτο, τά τε μέχρι νῦν τετολμημένα συνιδόντα ὡς δεινὰ, καὶ τὰ μέλλοντα ὡς πολλῷ τῷ μέτρῳ χείρω προσδοκᾶται, ἥκειν πρὸς αὐτὴν καὶ διαλύειν τὰς συμφορὰς Ῥωμαίοις, μόνον ὄντα δυνατὸν τὰ τοιαῦτα καταπράττεσθαι. εἰ δ᾽ οὖν, ἀλλ᾽ αὐτῷ μὲν ἅπαν εἴργασται τὸ δέον πρός τε θεὸν ὁμοῦ καὶ πρὸς τοὺς τὰ Ῥωμαίων πράγματα ἄγοντας αὐτοὺς νυνί. [20]

2 202 αὐτοὶ δ᾽ ἂν εἰδεῖεν, εἰ χρὴ πρὸς τὴν εἰρήνην μᾶλλον, ἢ τὸν πόλεμον προθύμους παρέχειν ἑαυτοὺς, ἓν τοῦτο σαφέστατα πεπεισμένους, ὡς τῶν τε πραττομένων ὑπ᾽ αὐτῶν εὐθύνας αὐτοὶ τίσουσι παρὰ θεῷ, καὶ εἴ τι παρὰ τὸ προσῆκον, ὑπ᾽ αὐτῶν συνελαυνόμενος εἰς ἀνάγκην, δρῴη καὶ αὐτός. τοιαῦτα μὲν τὰ βασιλέως γράμματα ἐδήλου. ἐπέμπετο δὲ διὰ μοναχοῦ τινος ἀρετῆς ἀντιποιουμένου καὶ ζήλῳ τῷ πρὸς τὰ καλὰ ἑκοντὶ τὸν κίνδυνον ὑπελθόντος. πατριάρχης δὲ ἐπεὶ τὰ γράμματα ἀνέγνω, οὐδὲν μὲν πρὸς τὰ γεγραμμένα ἀπεκρίνατο, τὸν μοναχὸν δὲ ἐκέλευε δεσμωτηρίῳ κατακλείειν, ὥσπερ τινὰ τῶν ἐπὶ δεινοτάτοις ἑαλωκότων, ὥσπερ ἔργοις τὴν ἀπολογίαν πεποιημένος, ὅτι μᾶλλον τὸν πόλεμον αἱροῖτο τῆς εἰρήνης. ἡ βασιλὶς δὲ ἐκ τῶν πραττομένων συνορῶσα τόν τε πόλεμον, ὡς πολλῶν ἔσται κακῶν αἴτιος Ῥωμαίοις, τόν τε βασιλέα Καντακουζηνὸν οὐδὲν παρὰ τὸν τοῦ πολέμου χρόνον εἰργασμένον, ἐξ ὧν ἄν τις οἰήσαιτο ἀληθῆ τὰ εἰρημένα εἶναι κατ᾽ αὐτοῦ, ἐπλήττετό τε τὴν ψυχὴν δεινῶς καὶ μετέμελεν αὐτῇ τῆς πρὸς τὸν πόλεμον ὁρμῆς. ὅθεν καί ποτε, τῆς γυναικωνίτιδος συνούσης μόνης, „δοκεῖ μοι,“ ἔφασκεν „ἀπάτην ἠπατῆσθαι οὐ μετρίαν, τὰ οὐκ ὄντα πεισθεῖσαν περὶ Καντακουζηνοῦ. ἐξετάζουσαν γὰρ, ὅσα ἐκεῖνος παρὰ πάντα εἴργαστο τὸν τοῦ πολέμου χρόνον, μηδὲν εὑρίσκειν, ᾧ πεισθείη, ὡς ἐπεβούλευε παισὶ τοῖς αὐτῆς ἐκεῖνος. αὐτὴν δὲ τὴν ἐκ τῶν πραγμάτων ἀπόδειξιν ἐναργεστάτην οὖσαν παριδοῦσαν, λόγοις μηδὲν ἔχουσιν ὑγιὲς προσχεῖν, ἐξ ὧν οὐχ ἑαυτὴν μόνον, ἀλλὰ καὶ τὰ Ῥωμαίων βλάψειε πράγματα οὐ μέτριά τινα. [20]

2 203 ἐρομένων δὲ τῶν γυναικῶν, καὶ ποία ἄν τις ἐπινοηθείη θεραπεία τῶν κακῶν, βασιλέως ἐκείνου ἤδη γεγονότος· ῥᾳδία, ἔφασκεν ἡ βασιλίς. Καντακουζηνὸν γὰρ, καὶ βασιλέως ἔτι περιόντος, ἐσθῆτα μὲν οὐ περιβεβλῆσθαι βασιλικὴν, δύναμιν δὲ ἔχειν βασιλέως. τί οὖν θαυμαστὸν, εἰ ἃ ὑπὸ τὴν ἰδιωτικὴν ἐσθῆτα ἔπραττε, τὰ ἴσα νῦν καὶ τὴν βασιλικὴν ἔχων πράττοι; εὐνοίας δὲ ἕνεκα τῆς πρὸς ἐμὲ καὶ βασιλέα τὸν υἱὸν, καὶ μήπω τοῦ πολέμου κεκινημένου, τὴν θυγατέρα Ἑλένην βασιλεῖ τῷ ἐμῷ υἱῷ συνεθέμεθα πρὸς γάμον ἀγαγεῖν. οὗ

δὴ γεγενημένου νῦν, ὅ,τε πόλεμος καταλυθήσεται ῥᾳδίως, καὶ τὰ πράγματα ὑπ' ἐκείνῳ, ὥσπερ καὶ πρότερον, διοικηθήσεται. εἰ δὲ μή, οὐδὲν ἔσται τὸ κωλῦσον τὴν Ῥωμαίων ἡγεμονίαν αὐτὴν ὑφ' ἑαυτῆς διαφθαρῆναι." αἱ μὲν οὖν τῶν γυναικῶν ἐπεψηφίσαντο τὰ εἰρημένα ὡς ὀρθῶς καὶ λυσιτελῶς βεβουλευμένα. ταῖς δὲ ἐδόκει μὴ λυσιτελεῖν· ἅμα δὲ ἡμέρᾳ εἰς τὴν ὑστεραίαν Ἀποκαύκῳ ἐμηνύετο τῷ παρακοιμωμένῳ τὰ εἰρημένα. ἐκεῖνος δὲ νομίσας, περὶ τῶν ἐσχάτων αὐτοῖς τὸν κίνδυνον τὰ εἰρημένα ἄγειν, πρὸς πατριάρχην καὶ τοὺς τῆς κατὰ βασιλέως συμμετασχόντας ἐπιβουλῆς ἐλθών, „ἀπολώλαμεν" εἶπε „καὶ εἰς ἔσχατον κινδύνου ἐκ πολλῆς εὐτυχίας τὰ πράγματα ἡμῖν ἀθρόον περιέστη. [20]

2 204 ἡ βασιλὶς γὰρ οὐκ οἶδ' ὅθεν ὁρμηθεῖσα, διαλύεσθαι πρὸς Καντακουζηνὸν διενοήθη ἐπὶ τῷ βασιλέα τε αὐτὸν στέργειν καὶ Ἑλένην τὴν θυγατέρα βασιλεῖ πρὸς γάμον ἁρμόζειν τῷ υἱῷ. ἃ εἰ γένοιτο, οὐδεμία τις ὑπολέλειπται ἡμῖν ἐλπὶς τοῦ μὴ ἐξ ἀνθρώπων ἀφανισθέντας καινῷ τινι τρόπῳ πανοικεσίᾳ ἀπολέσθαι. ἴστε γὰρ αὐτοί, ὅσα ἡμῖν κατ' ἐκείνου κατηγόρηνται, ἃ πάντα χρὴ ἐνθυμουμένους, πᾶσαν ἐπιδείξασθαι σπουδὴν, ὥστε μὴ μόνον γίνεσθαι σπονδὰς ἐᾷν, ἀλλὰ καὶ τὸν πόλεμον, ὡς οἷόντε, ἀνάπτειν. οὐδὲν γὰρ ἢ τοῦτο λυσιτελέστερον ἡμῖν. ἐδόκει μὲν οὖν κἀκείνοις δεινότατα τὰ βασιλίδι βεβουλευμένα· σκεπτομένοις δὲ, ᾗ χρὴ τὸν κίνδυνον διαφυγεῖν, ἐδόκει δεῖν πρὸς βασιλίδα ἀπελθόντας καὶ ἢ ἀπάταις χρησαμένους ἢ φοβήσαντας ἀπειλαῖς, πείθειν αὐτὴν δι' ὅρκων ἐμπεδοῦν, ὡς, εἰ μὴ πρότερον συνεπιψηφίζοιντο καὶ αὐτοὶ, μήτε πράττειν, μήτε βουλεύεσθαί τι περὶ τῆς πρὸς Καντακουζηνὸν εἰρήνης. λδ′. Οὕτω δὲ συνθέμενοι πρὸς βασιλίδα ἦκον. προσαγορεύσαντες δὲ, „ἡμεῖσ" εἶπον „πάντες, καὶ μάλιστα πατριάρχης, ἐν τοῖς πρώτοις ἦμεν τῶν Καντακουζηνοῦ τεταγμένοι φίλων, καὶ πολλῶν ἐκείνου καὶ μεγάλων ἀπηλαύσαμεν τῶν εὐεργεσιῶν. μέχρι μὲν οὖν κἀκεῖνος εὔνους τε ὑμῖν τοῖς βασιλεῦσιν ἦν καὶ τὰ δίκαια διενοεῖτο πράττειν, οὐδ' ἡμῶν οὐδεὶς οὐχ ὅτι πολεμεῖν, ἀλλ' οὐδ' ἀντιφθέγγεσθαι ἐτόλμα. ἐξ ὅτου δὲ ἄδικα καὶ παράνομα διενοήθη καὶ τοῦ πολλὰ πεφιλημότος βασιλέως κτείνειν ὥρμητο τοὺς παῖδας καὶ τὴν Ῥωμαίων βασιλείαν ἑαυτῷ περιποιεῖν, μισήσαντες τὴν γνώμην ὡς ἀπάνθρωπον καὶ πονηρὰν, πόλεμόν τε πρὸς ἐκεῖνον ἠράμεθα φανερῶς ὑπὲρ ὑμῶν καὶ τὰ μέγιστα αὐτὸν καὶ γένος καὶ οἰκείους ἐκακώσαμεν. [5]

2 205 καὶ νῦν εἰς τοσοῦτον ὁμονοίας ἥκομεν, ὡς οὐ χρήματα μόνον, ἀλλὰ καὶ ψυχὰς αὐτὰς ἡδέως προησόμενοι πολεμοῦντες αὐτῷ ὑπὲρ ὑμῶν. ὅτε οὖν ἡμεῖς τοσαύτην εὔνοιαν καὶ προθυμίαν πρὸς ὑμᾶς ἐνεδειξάμεθα τοὺς βασιλέας, τῶν ἀδικωτάτων ἂν εἴη, καταλιποῦσαν αὐτὴν ἡμᾶς καὶ παρ' οὐδὲν τὴν ἡμετέραν λογισαμένην σωτηρίαν, σπένδεσθαι τῷ πολεμιωτάτῳ τῆς ἰδίας ὠφελείας ἕνεκα, εἴγε καὶ ὠφέλειά τις ἔψεται ἐκ τῆς εἰρήνης, ἀλλὰ μὴ βλάβη δεινοτέρα ἐκ τῶν τοῦ πολέμου γενησομένων ἁπασῶν. ἃ γὰρ αὐτὴ περὶ τῆς πρὸς ἐκεῖνον εἰρήνης τῆς παρελθούσης διειλέχθης νυκτὸς, οὐδ' ἡμᾶς διέλαθεν ἐπὶ πολλῶν εἰρημένα ἀκοαῖς. ἐκεῖνον μὲν οὖν ἡμεῖς, ὡς κατὰ σοῦ καὶ τῶν παίδων τὰ δεινότατα καὶ διανοούμενον καὶ ἤδη πράττοντα, ὥσπερ ἀπὸ μιᾶς γνώμης πολέμιόν τε ἡγησάμεθα καὶ οὐδενὸς, τόγε εἰς ἡμᾶς ἦκον, ἠμελήσαμεν τῶν βλάπτειν δυναμένων. εἰ δ' ἔκ τινων αἰτιῶν ἡ εἰρήνη μᾶλλον συμφέρουσα νομίζεται νυνὶ, οὐδ' ἡμεῖς ἐναντιωσόμεθα πρὸς τὰ φαινόμενα λυσιτελεῖν, μόνον εἰ γνώμῃ κοινῇ πάντων ἡμῶν ἡ εἰρήνη ἐπιψηφισθείη. [20]

2 206 τὰ γὰρ ὑπὸ πολλῶν δοκιμαζόμενα ἥκιστα ἂν ἁμαρτηθείη. εἰ μὲν οὖν ὥσπερ ἐγνώκαμεν, αὐτή τε πείθῃ καὶ τὴν ἀξίωσιν ἡμῶν ὡς δικαίαν παραδέχῃ, πάντ' ἂν ἔχοι ἄριστα. εἰ δ' ἄρα ἑτέρως ἔγνωκας αὐτὴ, ἀλλ' ἡμῖν γε φράσον φανερῶς, ἵν' ἕκαστος, ὡς ἂν μάλιστα οἷόστε ᾖ, τὴν σωτηρίαν ἐκπορίζῃ ἑαυτῷ. πάντες δὲ οἷα πατρὶ πνευματικῷ τῷ πατριάρχῃ ἣν ἔχει γνώμην ἕκαστος περὶ τὰ παρόντα ἀνεθέμεθα, ἐξ οὗ δυνήσῃ μαθεῖν σαφέστερον τὰ καθ' ἡμᾶς." οὕτως εἰπόντας, ἐκέλευεν εὐθὺς ὁ πατριάρχης ὑποχωρεῖν· μόνος δὲ πρὸς μόνην τὴν βασιλίδα ὑπολειφθεὶς, „τίσ" ἔφασκε „βάσκανος δαίμων τοιαῦτα πέπεικε λογίζεσθαι, οὐκ ἀλυσιτελῆ

μόνον, ἀλλὰ καὶ ἀδύνατα σχεδόν; τίσι δὲ χρωμένη λογισμοῖς, Καντακουζηνὸν ᾠήθης φίλα σοί τε καὶ παισὶ δύνασθαί ποτε φρονήσειν; ὃς γὰρ μήθ' ὑπὸ βασιλέως, μήτε σοῦ πρότερον μηδὲν ἀδικηθεὶς, ἀλλὰ πολλῶν ἐπὶ πλεῖστον χρόνον ἀπολαύσας ἀγαθῶν, πάντων ἐπιλελησμένος ἐν βραχεῖ, οὐ περὶ τῆς ἀρχῆς μόνον, ἀλλὰ καὶ περὶ σωτηρίας ἐπεβούλευσε, πῶς ἂν εἴη δίκαιος πιστεύεσθαι περὶ τῶν μελλόντων; καὶ ταῦτα οὐκ ὀλίγων παρὰ τὸν τοῦ πολέμου χρόνον τῶν δοκούντων ἐφυβρίστων πρὸς αὐτὸν γεγενημένων. οἶσθα δ', ὡς τοῖς εἰθισμένοις ἄρχειν καὶ τιμᾶσθαι παρὰ πάντων τοιαῦτα μάλιστα οὐκ ἀνεκτά. εἰ δ' ἄρα τοῦ χρόνου τριβομένου, ἡ πρὸς ἐκεῖνον φαίνοιτο εἰρήνη ἀναγκαία, βέλτιον ταῖς ἁπάντων χρωμένην γνώμαις πράττειν, ἃ κοινῇ δοκεῖ λυσιτελεῖν, ἢ τῶν ἄλλων ἀμελήσασαν, ἀπερισκέπτως τὰ παριστάμενα ποιεῖν. [20]

2 207 εἰ μὲν οὖν πρὸς τὴν ἀξίωσιν αὐτῶν ἐπινεύσειας καὶ αὐτὴ, καὶ πρὸς τὸ μέλλον πίστιν τινὰ παράσχοιο, ὡς οὐδὲν οὐδέποτε παρὰ τὰ ὑπεσχημένα δράσεις, καὶ αὐτοί σοι πρὸς πάντα καὶ χρήμασι καὶ σώμασι προθύμως συναγωνιοῦνται, καὶ οὐδ' αὐτῆς, εἰ δέοι, τῆς φίλης φείσονται ζωῆς, ὥστε προΐεσθαι ὑπὲρ τῶν σοὶ λυσιτελούντων. ἂν δ' ἑτέρως αἴσθωνται βουλευομένην, ὀκνῶ μὲν εἰπεῖν, ἀποκρύπτειν δὲ οὐ δίκαιον, ὡς μία πᾶσι παρέστη γνώμη καὶ ὅρκοις τὴν ὁμόνοιαν ἠσφαλίσαντο, σὲ μὲν καὶ παῖδας ἀποκτείνειν, αὐτοὺς δὲ Βυζάντιον κατέχοντας, ὅπλα Καντακουζηνῷ ἀνταίρειν μέχρι παντὸς τοῦ δυνατοῦ. ἂν δ' ἀδυνάτως ἔχωσι πρὸς τὸ ἀμύνεσθαι, μᾶλλον αἱροῦνται Ἀλεξάνδρῳ τῷ Μυσῶν βασιλεῖ δουλεύειν τὴν πόλιν παραδόντας, ἢ τοῖς ἐκ Βενετίας ἢ Γεννούας Λατίνοις ἢ Καντακουζηνῷ δεσπότῃ χρῆσθαι. ὅτε οὖν ἥ τε ἀξίωσις αὐτῶν δικαία, καὶ τὸ παριδεῖν αὐτὴν οὐ κίνδυνον σοί τε μόνον καὶ παισὶν, ἀλλὰ καὶ πάσῃ τῇ Ῥωμαίων ἡγεμονίᾳ ἀνάστασιν καὶ φθορὰν τὴν ἐσχάτην ἀπειλεῖ, ποῦ δίκαιον ἢ λυσιτελὲς προσδοκωμένων χάριν ἀγαθῶν, εἴγε καὶ ἔσται ὥσπερ ὑποπτεύομεν, ἐκ τῆς εἰρήνης, τὰ παρόντα καὶ φαινόμενα ἀνθαιρεῖσθαι δυσχερῆ; ἀλλ' εἴ τι πέποιθας ἐμοὶ τὰ σοὶ λυσιτελοῦντα ἐξαρχῆς τε ᾑρημένῳ καὶ νῦν οὐδὲν ἧττον συμβουλεύοντι, τούτοις πειθομένη, τῶν ἤδη περιεστηκότων ἀπαλλάττου δυσχερῶν. [20]

2 208 " πρὸς ταῦτα ὑποπτήξασα ἡ βασιλὶς καὶ τῆς ἀπάτης ὥσπερ οὐκ αἰσθομένη, ἀλλ' οἰηθεῖσα, εἰ βελτίων τοῦ πολέμου ἡ εἰρήνη φαίνοιτο, πεισθήσεσθαι καὶ αὐτοὺς, δέχεται τὰ εἰρημένα. αὐτίκα τε ἐκέλευον ὀμνύειν, ὡς οὐδὲν οὐδέποτε παρὰ τὰ ὑπεσχημένα πρᾶξαι. ἡ δ' ἀγνοήσασα τὴν ἐνέδραν, καὶ ὅρκους προσετίθει τοῖς εἰρημένοις καὶ ὁ πατριάρχης εὐθὺς ἀφορισμὸν ἐπεφώνει, εἰ παραβαθείη τὰ ὁμωμοσμένα. ἐξ ἐκείνου δὲ οὐδέποτε κατέλιπον τὴν βασιλίδα μόνην, ὥστε σχολὴν ἄγουσαν τῶν δεόντων τι βουλεύσασθαι πρὸς ἑαυτήν· ἀλλ' ἡμέρας μὲν αὐτοὶ συνῆσαν ἐκ διαδοχῆς ἄλλον ἄλλος διαδεχόμενοι καὶ συμμεριζόμενοι τὸν χρόνον τῆς ἡμέρας. νυκτὸς δὲ τῶν τῆς βασιλίδος οἰκετίδων ἦσαν πρὸς τοῦτο τεταγμέναι, αἳ μισθὸν οὐ φαῦλον τῆς προδοσίας εἶχον χρυσίον παρὰ τῶν συνωμοτῶν, ἃς ἔδει τῇ βασιλίδι συνούσας, εἴ τι φθέγξαιτο, μηνύειν πατριάρχῃ, ὥστε δι' ἐκείνου καὶ τοῖς ἄλλοις πάντα δῆλα γίνεσθαι τὰ εἰρημένα. ὁ πατριάρχης γὰρ τὴν οἴκοι παντάπασι διατριβὴν καταλιπὼν, βασιλείοις ἐνδιητᾶτο, πρόφασιν μὲν, ὡς τῶν ἐπιβούλων καθέξων τὰς ὁρμὰς, εἴ τις βούλοιτο νεωτερίζειν, τῇ δ' ἀληθείᾳ, βασιλίδος φύλαξ ὑπὸ τῆς συνωμοσίας τεταγμένος, ἵνα μὴ λαθοῦσα πράξῃ τῶν μὴ κατὰ γνώμην ὄντων τι αὐτοῖς. ταῦτα μὲν οὖν, Καντακουζηνοῦ τοῦ βασιλέως Διδυμοτείχῳ ἐνδιατρίβοντος, ἐπράττετο. ὑφ' ὃν δὲ χρόνον Περιθεώριον ἐπολιόρκει, πρὸς τοὺς ἐν Ἄθῳ τῷ ὄρει τῶν ἄλλων ἀρετῇ προέχοντας γράψας μοναζόντων, ἐδεῖτο καὶ αὐτῶν, μὴ περιορᾷν τὸ τῶν χριστωνύμων αἷμα χεόμενον ὁσημέραι, ἀλλὰ ζῆλον ἀληθείας ὑποδυσαμένους, πρὸς Βυζάντιον ἀφικέσθαι καὶ βασιλίδα διδάξαι τὴν τῶν πραττομένων ἀτοπίαν, εἴ πως πειθομένη γοῦν αὐτοῖς, τὴν νεμομένην τὴν Ῥωμαίων ἡγεμονίαν φλόγα κατασβέσῃ, ἐξ οὐδεμιᾶς προφάσεως ἀληθοῦς, ἀλλ' ὑπὸ συκοφαντίας καὶ διαβολῆς κεκινημένην. [5]

2 209

αὐτὸν γὰρ ἐπιχειρήσαντα πολλάκις, ἡνυκέναι πλέον οὐδὲν, τῶν τὴν Ῥωμαίων ἡγεμονίαν ἄρτι διοικούντων πρὸς μὲν τὴν πρεσβείαν μηδὲν ἀποκρινομένων, τοὺς πρέσβεις δὲ μόνον ὠμότατα αἰκιζομένων καὶ πᾶσαν παροινίαν ἐνδεικνυμένων πρὸς αὐτοὺς καὶ τελευταῖον ἐν δεσμωτηρίοις κατεχόντων ὑπὸ κλοιοῖς. ἃ οἱ ἐν Ἄθῳ ἀναγνόντες καὶ προσήκουσαν αὐτοῖς τὴν ὑπὲρ τῶν τοιούτων σπουδὴν καὶ προθυμίαν οἰηθέντες, οἵα δὴ ὑπὲρ τῆς κοινῆς ὠφελείας ἐσομένην, καὶ παραθήξαντες ἀλλήλους, ἐκ πάντων ὅ,τε πρῶτος ἐκλεγέντες Ἰσαὰκ, ἀνὴρ τίμιος καὶ ἀρετῆς εἰς ἄκρον ἐληλακὼς, καὶ ὁ τῆς Λαύρας ἡγούμενος Μακάριος, καὶ ἕτεροι τῶν κατὰ τὸ ὄρος φροντιστηρίων ἡγουμένων οὐκ ὀλίγοι· σὺν τούτοις δὲ καὶ ὁ χρόνῳ ὕστερον τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας πατριάρχης γεγονὼς, εἰς τὸν ἱερέων ἔτι τότε χορὸν τελῶν Κάλλιστος, καὶ Σαβὰς, ὃς πρὸς τῇ Βατοπεδίου μονῇ τὸν ἀσκητικὸν ἤνυε δρόμον καὶ πολλοὺς ὑπὲρ ἀρετῆς καὶ θαυμασίους ἐπεδείξατο ἀγῶνας, εἰς Βυζάντιον ἀφίκοντο. [20]

2 210 βασιλίδι τε συγγενόμενοι, καὶ πατριάρχου καὶ τῶν περὶ αὐτὸν συνωμοτῶν παρόντων, „ἡμεῖσ“ ἔφασαν „τὴν κατασχοῦσαν Ῥωμαίους ὁρῶντες συμφορὰν, δεινὰ μὲν ᾠόμεθα τὰ πραττόμενα καὶ πέρα δεινῶν. οὐδὲν δὲ πλέον πρὸς ἐπικουρίαν καὶ ἀποτροπὴν τῶν δεινῶν δυνάμενοι συμβάλλεσθαι, τῶν ἄλλων ἀμελήσαντες, ὑπὲρ τῶν κοινῇ συμφερόντων ἐδεόμεθα θεοῦ, τοῦ μόνου στῆσαι δυναμένου τὰς προσδοκωμένας συμφοράς. νυνὶ δὲ τὸ διεστηκὸς τῶν Ῥωμαίων ἰδόντες μέρος ἀσμένως χωροῦν πρὸς τὴν εἰρήνην καὶ μάλιστα ὅπερ δόκησιν παρεῖχε τὴν αἰτίαν παρασχέσθαι τῆς διαφορᾶς, καὶ θεῷ τῷ τῆς εἰρήνης χορηγῷ πολλὰς χάριτας ὁμολογήσαντες καὶ γῆρας καὶ σωματικὴν ἀσθένειαν καὶ τοὺς πρὸς τὴν ὁδοιπορίαν πόνους παριδόντες, ἥκομεν δεησόμενοι καὶ ὑμῶν, δέχεσθαι τὴν εἰρήνην καὶ μὴ διὰ φιλονεικίαν τὴν Ῥωμαίων ἡγεμονίαν νῦν τε διαφθειρομένην περιορᾷν καὶ ἔτι δεινότερα προσδοκωμένην πάσχειν, ἂν μὴ ταχέως ὁ πόλεμος καταλυθῇ. ἔλεον οὖν καὶ αὐτοὶ λαβόντες τῶν ὁσημέραι χεομένων αἱμάτων καὶ τῶν δεσμωτηρίοις κατεχομένων καὶ τῶν ἐλαυνομένων καὶ ἀνήκεστα πασχόντων ἀνθρώπων, κυρώσατε τὴν εἰρήνην καὶ τῶν πολλῶν καὶ χαλεπῶν κινδύνων ἀπαλλάξατε Ῥωμαίους, ὡς ἂν θεός τε ὁ τῆς εἰρήνης χορηγὸς δοξασθῇ καὶ βασιλίς τε καὶ πατριάρχης καὶ ὑμεῖς ἡ σύγκλητος οὐ παρὰ πάντων μόνον Ῥωμαίων, ἀλλὰ καὶ ἡμῶν τῶν ταπεινῶν ἀξίας κομίζησθε εὐχαριστίας τῆς προθυμίας τῆς περὶ τὰ καλὰ καὶ τῆς κηδεμονίας τῶν διὰ τὸν πόλεμον ἀπανταχοῦ διαφθειρομένων ἀνθρώπων ἀναιτίων. [20]

2 211 “ πρὸς ταῦτα βασιλὶς μὲν οὐδὲν ἔπασχε δεινὸν, ἀλλὰ καὶ κατὰ γνώμην ᾤετο εἰρῆσθαι αὐτῇ τοὺς λόγους. πολλὴν γὰρ πατριάρχου καὶ τῶν ἄλλων πανουργίαν καὶ ἀπάτην καταγνοῦσα, ἔσπευδεν, εἰ δύναιτο τρόπῳ δή τινι τὸν πόλεμον καταλύσασα, σπονδὰς πρὸς βασιλέα τὸν Καντακουζηνὸν θέσθαι περὶ εἰρήνης. εἰργομένη δὲ ὑπὸ τῶν ὅρκων, οἷς ὑπήγαγον ἐξαπατήσαντες, ὡς, εἰ μὴ πᾶσιν αἱρετέα εἴη ἡ εἰρήνη, μηδ’ αὐτὴν ἐπιψηφίζεσθαι, τὴν ἐκ τῆς βουλῆς ψῆφον ἀναγκαίως περιέμενε. λε′. Πατριάρχης δὲ καὶ ἡ συνωμοσία ἐν δεινῷ μάλιστα ἐτίθεντο τὰ εἰρημένα καὶ τὸν ἔσχατον ᾠοντο κίνδυνον αὐτοῖς ἐπάγειν. προφανῶς μὲν οὖν πρὸς τὴν εἰρήνην ἀντιλέγειν οὐχ ἰταμὸν μόνον, ἀλλὰ καὶ φιλομόχθηρον ἐδόκει. ἐσκέψαντο δὲ, εἰ δύναιντο τρόπῳ δή τινι ἑτέρῳ τῶν μοναχῶν τὴν ὁμόνοιαν πειρᾶσθαι διαλύειν. καὶ τότε μὲν ἐπαινέσαντες τὴν ὑπὲρ τοῦ κοινοῦ σπουδὴν, ἐκέλευον ἀναπαύλης τινὸς τυγχάνειν, τὸν ἐκ τῆς ὁδοιπορίας πόνον ἀποτιθεμένους. ὕστερον δὲ ἐπηγγέλλοντο σκεψαμένους περὶ ὧν ἥκουσι τὴν ἀπολογίαν παρασχεῖν. ξενίζεσθαι δὲ οὐκ εἴασαν ἐπὶ ταὐτὸν, ἀλλ’ ἄλλον ἄλλοσε διέσπειραν, ὡς ἂν τῇ διαστάσει τῶν σωμάτων καὶ ταῖς γνώμαις διαστῶσιν, ὑποσχέσεσι καὶ λόγοις ἰδίᾳ ἕκαστος διαφθαρέντες. ἐτρίβετο μὲν οὖν ὁ χρόνος καὶ οὐδεμία τῶν εἰρημένων ἦν φροντὶς, οὐδέ τις λόγος ἐγίνετο τῶν μοναχῶν. ἐκεῖνοι δὲ ὁρῶντες, ὡς μᾶλλον αὐτοῖς αἱρετέος ἐστὶν ὁ πόλεμος, ἢ ἡ εἰρήνη, μετὰ τὸ πολλὰ δεηθῆναι περὶ αὐτῆς, ἐπεὶ πρὸς σκήψεις καὶ προφάσεις καὶ οὐδὲν ὑγιὲς ἑώρων καταφεύγοντας, τὴν ἐπάνοδον ᾐτοῦντο. [20]

2 212 τοῖς δὲ οὐδὲ τοῦτο λυσιτελεῖν ἐδόκει, ὥστε ἀπελθόντας τοὺς μοναχοὺς αὐτοῖς μὲν ἀνατιθέναι τὴν αἰτίαν τοῦ πολέμου, Καντακουζηνῷ δὲ τῷ βασιλεῖ τὸ μᾶλλον αἱρεῖσθαι τὴν εἰρήνην καὶ δίκαια καὶ συμφέροντα τοῖς πᾶσιν ἀξιοῦν συμμαρτυρεῖν. οὐδὲ γὰρ μέτριά τινα προστήσεσθαι αὐτοῖς ἐνόμιζον πρὸς τὸ τοὺς δήμους ἐκταράττειν καὶ τὸν πόλεμον κινεῖν. ἐξεπίτηδες γὰρ αὐτοὶ λάλους τινὰς καθίεσαν εἰς τὰς πόλεις κηρύττοντας, ὡς Καντακουζηνὸς οὐδ' ἄκροις ὠσὶ τὴν εἰρήνην παραδέχοιτο, ἀλλὰ τὰ δεινότατα τοὺς βασιλέως παῖδας διαθήσειν ἀπειλεῖ, εἰ περιγένοιτο ἐν τῷ πολέμῳ, καὶ τοὺς ἄλλους, ὅσοι δίκαια ποιοῦντες ἐκείνῳ πεπολεμήκασιν ὑπὲρ αὐτῶν. παρεκάλουν τε τοὺς δήμους ὑπὲρ τῶν βασιλέως παίδων ὀρφανῶν ὄντων πατρὸς ἀγανακτεῖν καὶ ἀμύνεσθαι τὸν ἀδικοῦντα. οὗ δὴ ἕνεκα ἐσκέψαντο συγκρούειν πρὸς ἑαυτοὺς τοὺς μοναχούς. καὶ Μακάριον μὲν τὸν Λαύρας ἡγούμενον, Θεσσαλονίκης μητροπολίτην ἀποδείξαντες, ἔπεισαν οὐ πρὸς τοὺς ἄλλους μόνον διενεχθῆναι μοναχοὺς καὶ Καντακουζηνισμὸν αὐτῶν κατηγορεῖν, ὅτι δὴ τὸν φίλον ὁρῶντες ἀπολεῖσθαι ὑπὸ τοῦ κοινοῦ πολέμου κινδυνεύοντα, ἐν ζήλου μοίρᾳ καὶ τῆς πρὸς τὰ βελτίω συμβουλῆς ἥκουσιν ἐκείνῳ βοηθήσοντες· ἀλλὰ καὶ βασιλέως πολλὰς καταχέειν λοιδορίας καὶ οὐδὲν ἐκείνων ἀπολείπεσθαι τὴν εἰς αὐτὸν πικρίαν. [20]

2 213 ὅθεν καὶ γενόμενος ἐν Θεσσαλονίκῃ οὐδενὸς τῶν ἐκεῖσε τολμηθέντων ἐπὶ ὠμότητι καὶ πονηρίᾳ βεβοημένων ἀπελείπετο. πρῶτον δὲ ἐν τῇ μονῇ τῇ προσαγορευομένῃ Πέτρᾳ ἀπρόϊτον μένειν κατεδίκασαν, προνοίας τῆς εἰς τὸ σῶμα προσηκούσης οὐδεμιᾶς ἀποστερήσαντες. Σαβὰν δὲ διὰ τὸ ἀρετῇ τῶν ἄλλων ὑπερέχειν καὶ γνωριμώτατον τῶν βασιλέως φίλων εἶναι, ἐπεὶ μὴ συμφρονεῖν αὐτοῖς ἐβούλετο, ἐν ἑτέρᾳ μονῇ τῇ Χώρᾳ προσαγορευομένῃ μένειν καὶ αὐτὸν ἐψηφίσαντο ἀπρόϊτον. βουλομένων δὲ καὶ προνοίας ἀξιοῦν πολλῆς, οὐ κατεδέξατο, μὴ δίκαιον εἶναι, φάσκων, ἐκ τῶν αἵμασι καὶ φόνοις χαιρόντων τι λαβεῖν. τοῦτο δὲ μόνον εἰπὼν, ὡς τὸν ὑπὸ θεοῦ φρουρούμενον οὐδεμιᾷ τινι μηχανῇ δυνατὸν ὑπ' οὐδενὸς διαφθαρῆναι, ἡσυχίαν ἦγε. τοῖς δ' ἄλλοις ἅπασιν οὐ μάλιστα ἀξιολόγοις οὖσι, τὴν εἰς τὰς ἰδίας μονὰς ἐπέτρεπον ἐπάνοδον. περὶ μὲν οὖν τὴν τῶν μοναχῶν πρεσβείαν τοιαῦτα πατριάρχῃ καὶ τοῖς συνωμόταις ἐτελεῖτο. βασιλεὺς δὲ ὁ Καντακουζηνὸς ὡς τὴν ὑπὲρ τῆς εἰρήνης πρεσβείαν ὁ Βατάτζης δέει τῶν τὰ πράγματα διοικούντων ἀπηγόρευεν, εἰς τὸ στρατόπεδον ἐπανῆκεν. εὗρε δὲ ἐκ Θεσσαλονίκης ἀφιγμένους, οὓς αὐτὸς ὀλίγῳ πρότερον πρὸς πρωτοστράτορα πέμψας ἦν, ἥκειν τὴν ταχίστην ἀπαγγέλλοντας, ὡς τῶν ἐκεῖσε πάντων ὑπὸ πρωτοστράτορος καλῶς διῳκημένων. [20]

2 214 ἐδόκει μὲν οὖν καὶ βασιλεῖ, μὴ μέλλειν δεῖν, ἀλλὰ πρὸς Θεσσαλονίκην ἐπείγεσθαι οὖσαν ἀναγκαίαν. τῶν πρὸς τὴν τειχομαχίαν δὲ πάντων ἤδη παρεσκευασμένων, ἐκέλευεν εἰς τὴν ὑστεραίαν ἅμα πρωῒ τῶν τειχῶν ἀποπειρασαμένους, εἰ μὴ δύναιντο παραστήσασθαι, τῇ μετ' αὐτὴν τῆς εἰς Θεσσαλονίκην ἔχεσθαι φερούσης. οὕτω μὲν οὖν ἐδέδοκτο. καὶ ἅμα πρωῒ ἐς τὴν ὑστεραίαν ὁπλισάμενοι, προσέβαλον τοῖς τείχεσι προσάγοντες τὰς μηχανάς. διὰ πάσης δὲ ἡμέρας τῆς τειχομαχίας καρτερωτάτης γεγενημένης, μικροῦ μὲν ἐδέησεν ἁλῶναι, τῶν τε κλιμάκων προσερεισθεισῶν τοῖς τείχεσι καὶ μηχανήματός τινος ἐπὶ τροχῶν χελώνης προσαγορευομένου. ἡ νὺξ δὲ αὐτίκα ἐπιγενομένη διεκώλυσε τὴν ἅλωσιν. οἱ πολιορκούμενοι δὲ δείσαντες, μὴ εἰς τὴν ὑστεραίαν αὖθις μάχης ἁλῶσι γενομένης, ἐβουλεύσαντο νυκτὸς πίστεις λαβόντες παρὰ βασιλέως, ὁμολογίᾳ τὴν πόλιν παραδοῦναι. καὶ ἅμα πρωῒ ἐκ τῶν τειχῶν τοῖς εἰς τὸ στρατόπεδον ἐκέλευον μηνύειν βασιλεῖ, εἰ βούλοιτο ἐπὶ συμβάσει τὴν πόλιν παραλαμβάνειν. ἡδέως δὲ βασιλέως τὸν λόγον δεξαμένου καὶ κελεύοντος ἥκειν πρὸς αὐτὸν, ὡς πάντα πράξοντος αὐτοῖς τὰ κατὰ γνώμην, ἦκον τοῦ τε δήμου καὶ τῶν παρ' αὐτοῖς δυνατῶν ὀλίγοι καὶ τῶν τῷ κλήρῳ τῆς παρ' αὐτοῖς ἐκκλησίας κατειλεγμένων. αἰτίας δὲ ὥσπερ ἀπολύοντες ἑαυτοὺς ἐπὶ τῷ ὅπλα κεκινηκέναι πρὸς αὐτὸν, τὸ δέον ἔφασαν πεποιηκέναι.

ὁμωμοκέναι γὰρ ὀλίγῳ πρότερον ἀντιστήσεσθαι τοῖς βασιλίδι πολεμοῦσι μέχρι καὶ τοῦ δυνατοῦ. [25]

2 215 τούς τε ὅρκους τοιγαροῦν τετηρηκέναι ἀσφαλῶς, καὶ τὸ νῦν λυσιτελεῖν φαινόμενον ἐκ τῶν πραγμάτων πράττειν μετ' εὐγνωμοσύνης. ὅθεν ἄξιοι συγγνώμης νομίζειν εἶναι παρ' αὐτῷ. δεῖσθαι μέντοι καὶ τῆς δι' ὅρκων ἀσφαλείας, ὡς οὐδὲν πείσονται δεινὸν τῶν κατὰ τὸν πόλεμον αὐτοῖς εἰργασμένων ἕνεκα καὶ τῶν ὕβρεων, αἳ παρὰ φαύλων καὶ τοῦ μηδενὸς ἀξίων ἀνθρώπων εἴρηνται πρὸς αὐτὸν, τῶν ἐν λόγῳ πάντων μάλιστα ἀνιωμένων καὶ τὴν ἀκολασίαν τῆς γλώττης τιθεμένων ἐν δεινῷ. οὐδεμιᾶς γὰρ ὕβρεως ἐφείδοντο ἑστῶτες ἐπὶ τῶν τειχῶν. ὅθεν καί ποτε βασιλέως ἐν ὅπλοις παριόντος καὶ τὰ τείχη κατασκεπτομένου διὰ τὴν τειχομαχίαν, τρεῖς τινες ἑστῶτες ἐπὶ τῶν τειχῶν, μᾶλλον τῶν ὕβρεων ἠφείδουν γνωρίμου γινομένου. ὁ δὲ ἐγγὺς γενόμενος, ἠρώτα, εἰ εἰδότες, ὅστις εἴη, ὑβρίζουσιν οὕτως ἀφειδῶς. ἑνὸς δὲ ἀποκριναμένου, ὡς μάλιστα εἰδεῖεν, καὶ διὰ τοῦτο καὶ ὑβρίζειν πολλῶν ὄντα ἄξιον λοιδοριῶν, ὅτι ἀποστάτης γεγονὼς τοῖς βασιλέως ἐπεβούλευσε παισὶ καὶ οὐδεμιᾶς ἀπέσχετο πείρας ἀποκτεῖναι τοὺς οὐδὲν ἠδικηκότας μηχανώμενος· „πότε δὲ“ εἴρηκεν ὁ βασιλεὺς „ἐπὶ δίκην καταστάντα, ὅτι μὴ τὰ ἐγκλήματα ἠδυνήθην ἀπολύσασθαι, κατεψηφίσασθε ἀδικεῖν αὐτοὶ καὶ ἐπιορκεῖν καὶ τοιαῦτα, οἷα λέγετε, τολμᾷν;“ τῶν δὲ, ἔναγχος ἐκ Βυζαντίου, εἰπόντων, ἥκειν, ἐν ᾧ τὰ κατὰ βασιλέως ὑπ' αὐτοῦ ἐσκαιωρημένα ἐκμαθεῖν· δι' ἃ καὶ τοὺς ἐκεῖ τὰ βασιλέως ἠρημένους αὐτὸν ἐλαύνειν, πρὸς οὓς μὴ δυνάμενον ἀνθίστασθαι, ἐνθάδε ἥκειν. [20]

2 216 „ἀληθῶς εἴρηκας,“ εἶπεν ὁ βασιλεὺς „ὦ ἑταῖρε, ἐκ Βυζαντίου τὰ τοιαῦτα δεδιδάχθαι· ἀλλ' ἔγωγε αὐτοῦ τούτου ἕνεκα ἐνθάδε ἥκω, ἵνα σε τῆς γλωσσαλγίας τιμωρησάμενος, διὰ σοῦ κἀκείνους διδάξω μὴ τοιαῦτα ἀκολασταίνειν.“ ὁ μὲν οὖν βασιλεὺς ἐν μέρει παιδιᾶς τοιαῦτα πρὸς ἐκείνους διαλεχθεὶς, παρῆλθε. τῆς αὐτῆς δὲ νυκτὸς στρατιῶται, βασιλέως κελεύσαντος, ἐν ταῖς πύλαις προλοχίσαντες, ὥστε τῶν ἔνδον τινὰ ζωγρῆσαι τοῦ τὰ πραττόμενα ὑπ' ἐκείνου διδαχθῆναι, οὕτω συμβὰν, αὐτὸν ἐκεῖνον τὸν ὑβριστὴν ἅμα ἕω τῶν πυλῶν πρός τινα χρείαν ἐξελθόντα ἐξαρπάσαντες, παρέστησαν βασιλεῖ. ὁ δ' ἀγνοεῖν ὑποκρινάμενος, ὅθεν τε εἴη καὶ ὅστις, ἠρώτα. νομίσας δὲ καὶ αὐτὸς ἀγνοηθῆναι, ὅσα ᾤετο πρὸς τὴν παροῦσαν λυσιτελεῖν ἀνάγκην ἀπεκρίνατο. ὡς δ' ὁ βασιλεὺς τὴν ὑπόκρισιν ἀποθέμενος, αὐτὸν ἐκεῖνον ἀπεδείκνυε τὸν χθὲς εἶναι ὑβριστὴν, τοῖς μὲν ἄλλοις ἅπασι διατριβὴν οὐ μικρὰν ἐνεποίει ἡ τοιαύτη συντυχία καὶ ὡς ἥδιστα διετίθεντο· τὸν ἑαλωκότα δὲ δέος οὐ μικρὸν εἰσῄει περὶ ψυχῆς ἀγωνιῶντα καὶ ὅσον οὔπω νομίζοντα ἀποθανεῖσθαι. βασιλεὺς δ' ὥσπερ ἐν τοῖς ἄλλοις μᾶλλον κἀν τοῖς τοιούτοις προσήκειν αὐτῷ νομίζων μεγαλοψυχεῖν, ἐφ' ἱκανὸν παραψυχῆς ἕνεκα τὰ χθὲς εἰρημένα πρὸς τὸν ἑαλωκότα διαλεχθεὶς, ἔπειτα ἐκέλευε στολὴν παρέχειν πολυτελεστέραν, ἣ αὐτῷ προσῆκε. [20]

2 217 παρασχόμενος δὲ καὶ χρυσίον, ἐκέλευεν οἴκαδε ἀναχωρεῖν καὶ τὸ ἀπὸ τοῦδε μηδενὸς καταψηφίζεσθαι πρὶν εἰς ἀπολογίαν καταστῆναι, ἀλλὰ τὴν ἑτέραν τῶν ἀκοῶν τῷ κατηγορουμένῳ φυλάττειν ἀκραιφνῆ. ὁ δ' ἅπιστα σχεδὸν εὐτυχήσας πρὶν γενέσθαι, βασιλέως ἐπαινέτης ἦν ἀντὶ τοῦ πρότερον ὑβριστοῦ. ἀλλὰ ταῦτα μὲν πρότερον. τότε δὲ ἐπεὶ οἱ πρέσβεις ἀμνηστίαν τῶν ὕβρεων ᾐτοῦντο καὶ ἐδέοντο βασιλέως εὖ ποιεῖν προσχωροῦντας ἑκοντὶ, προσηνῶς αὐτοῖς διαλεχθεὶς καὶ λόγοις πείσας, μηδὲν ὑποπτεύειν παρ' αὐτοῦ δεινὸν, ἐκέλευε καὶ γράμμασι βασιλικοῖς, ἃ αὐτοὶ ᾐτοῦντο, βέβαια ποιεῖν. τῶν δὲ βασιλεῖ συνόντων τις δύσνους ὢν, ὡς ἔοικε, καὶ πολεμῶν ἀφανῶς, κρύφα προσελθὼν τοῖς πρέσβεσι, συνεβούλευε μὴ τὴν πόλιν παραδιδόναι. βασιλεὺς γὰρ εἰς τὴν ὑστεραίαν, ἄν τε προσχωρῶσιν, ἄν τε μὴ, πρὸς Θεσσαλονίκην κατὰ πᾶσαν ἀνάγκην ἔγνωκε δεῖν ἀποχωρεῖν. οἱ δὲ, ἐπεὶ τοιαῦτα ἤκουσαν, μὴ ἃ κοινῇ πᾶσι δοκεῖ σκηψάμενοι εἰδέναι, πρὸς τὴν πόλιν ἀπεχώρουν. ἐπεὶ δὲ ἦσαν εἴσω πυλῶν, αὖθις ἐγκλεισάμενοι, παρεσκευάζοντο πρὸς μάχην. ἀναβάντες τε ἐπὶ τὸ τεῖχος, μὴ πᾶσιν

ἔλεγον εἶναι τὸ νῦν ἔχον κατὰ γνώμην βασιλεῖ τὴν πόλιν παραδιδόναι, ἀλλ᾽ ἐπεὶ πρὸς Θεσσαλονίκην ἔγνωκε δεῖν ἀποχωρεῖν, εἰς τοὐπιὸν αὐτοὶ διασκεψάμενοι εἰ δοκεῖ λυσιτελεῖν, κοινῇ ψήφῳ προσχωρήσουσιν. οὕτω μὲν οὖν Περιθεώριον τειχομαχίᾳ τε ὀλίγου ἐδέησεν ἁλῶναι καὶ ὁμολογίᾳ προσχωρῆσαι βασιλεῖ. βασιλεὺς δὲ ἐπεὶ μὴ περιμένειν ἐξῆν πρὸς τὴν πολιορκίαν, ἀναστήσας τὴν στρατιὰν, ἤλαυνεν ἐπὶ Θεσσαλονίκην. [25]

2 218 λς′. Ἐν Βυζαντίῳ δὲ ὁ βασιλεὺς Ἰωάννης ὁ τοῦ Ἀνδρονίκου βασιλέως παῖς ψήφῳ βασιλίδος τε καὶ τῆς συγκλήτου στέφει τὴν κεφαλὴν ὑπὸ Ἰωάννου τοῦ πατριάρχου κατακοσμεῖται. ἐν τῇ ἑορτῇ δὲ καὶ τῶν τῆς συγκλήτου πλὴν ὀλίγων ἀξιωμάτων πάντες ἔτυχον, ὡς ἂν ἕκαστος παρὰ βασιλίδος καὶ πατριάρχου καὶ τῆς βουλῆς ἄξιος ἐκρίθη. καὶ Ἰσαάκιος μὲν Ἀσάνης πανυπερσέβαστος ἀπεδείχθη, δοὺξ δὲ μέγας ὁ Ἀπόκαυκος, καὶ ὁ Χοῦμνος μέγας στρατοπεδάρχης, Ἀνδρόνικός τε Παλαιολόγος, ὃς ἦν γαμβρὸς Ἀποκαύκῳ τῷ μεγάλῳ δουκὶ, μέγας καὶ αὐτὸς στρατοπεδάρχης, ὅ,τε Γαβαλᾶς πρωτοσεβαστὸς, καὶ οἱ ἄλλοι ἅπαντες ὡς ἕκαστος. πατριάρχης δὲ, ἐπεὶ τὴν ἀξίαν ἀμείβειν οὐκ ἐνῆν, εἰς σεμνότερόν τι περιέστησε τὸ σχῆμα καὶ ἕν τε ταῖς ὑπογραφαῖς ἠερανέῳ χρώματι ἐχρῆτο καὶ τὴν ἐπὶ τῆς κεφαλῆς καλύπτραν, ἣν τοὺς πατριάρχας ἔθος φέρειν, ἂν μὴ τοῦ τάγματος ὦσι τῶν μοναζόντων, ὀθόνῃ λευκῇ περιειλημμένην πρότερον, αὐτὸς κατεκόσμησε χρυσῷ, εἰκόνας αὐτῇ τοῦ τε σωτῆρος ἡμῶν ἐγγράψας Χριστοῦ Ἰησοῦ καὶ τῆς τεκούσης αὐτὸν ἀχράντου θεοτόκου καὶ Ἰωάννου τοῦ Βαπτιστοῦ. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ ἄχρι μὲν ἐκείνου τοῦ χρόνου μετριώτερά τε φρονεῖν ἐδόκει καὶ τῆς βουλῆς εἶναι ὑπεκρίνετο εἶς, ἢ μᾶλλον καὶ πρὸ αὐτοῦ τοὺς ἄλλους ἦγε, μὴ τῆς κακουργίας αἰσθόμενοι ὀῤῥωδῶν, ὑπὸ Καντακουζηνοῦ τοῦ βασιλέως ἐθελήσωσι μᾶλλον ἄρχεσθαι ἢ ἐκείνου. [20]

2 219 ἐπεὶ δὲ ἀξιώματός τε μείζονος ἐπελάβετο καὶ τὸν πόλεμον εἶδεν αὐξηθέντα ἐπὶ μέγα, τὸ προσωπεῖον ἀποθέμενος, αὐτὸς πάντα ἦν καὶ πάντων ἦρχε καὶ μειζόνων καὶ ἐλαττόνων. αἵ τε γὰρ τῶν χρημάτων πρόσοδοι τῶν κοινῶν ὑπ᾽ ἐκείνου διῳκοῦντο καὶ πόλεων ἀρχαὶ καὶ στρατηγίαι, οἷς αὐτὸς ἐκέλευεν, ἐδίδοντο καὶ εὖ ποιεῖν καὶ τοὐναντίον κύριος ἦν· καὶ πάνθ᾽ ὁμοίως πρὸς Καντακουζηνὸν τὸν βασιλέα, ἕως ἔτι μέγας ἦν δομέστικος, ἡμιλλᾶτο πάντα ὑπ᾽ ἐκείνου ἄγεσθαι βουλόμενος. συνιδὼν δὲ, ὡς ἐπαχθὴς τοῖς εὐγενεστέροις ἡ ἐκείνου ἔσεται ἀρχὴ, καὶ δείσας, μή τι διὰ ταύτην ὑπ᾽ ἐκείνων ἐπιβουλευθῇ, ἔγνω δεῖν πάντας διαφθείρειν, ὡς, εἰ τῆς φαύλης τύχης ὑπολειφθεῖεν μόνοι, ῥᾳδίως αὐτῷ πρὸς ἅπαν εἴξοντες τὸ προσταττόμενον οὐκ ἀνοήτως οἰηθείς. καὶ πρῶτον μὲν ἀπὸ τῶν καθ᾽ αἷμα προσηκόντων καὶ μάλιστα γνησίων ἤρχετο Καντακουζηνῷ τῷ βασιλεῖ, ὕλης τε εὐπορῶν πρὸς τὰς διαβολὰς καὶ τῶν ἄλλων μᾶλλον ὡς δυνατωτέρους δεδοικώς. ἔπειτα δὲ καὶ τοὺς ἄλλους ἐφεξῆς μετῆλθε, μηδενὸς φεισάμενος, τὸ δοκεῖν μὲν, ὅτι ψήφῳ τῆς συγκλήτου βουλῆς καὶ βασιλίδος καὶ μάλιστα πατριάρχου τὰς τιμωρίας, οἷς ἂν ἐθελήσειεν, ἐπάγων, τῇ δ᾽ ἀληθείᾳ, τὰ δοκοῦντα ἑαυτῷ ποιῶν. τὴν δὲ βασιλέως μητέρα Καντακουζηνοῦ, καὶ πρότερον ἐν δεσμωτηρίῳ κατακεκλεισμένην, μᾶλλον ἐκάκουν ἐξεπίτηδες καὶ οὐδὲν εἶδος λύπης ἀπέλιπον ἐπιδεδειγμένοι πρὸς ἐκείνην. [20]

2 220 φύλακάς τε γὰρ ἐπέστησαν ἀνθρώπους ἀναιδεῖς καὶ τὸν τρόπον βαρβάρους, καὶ πᾶσαν ἐπιδείκνυσθαι προσέταττον πικρίαν πρὸς αὐτὴν καὶ πάντα ποιεῖν ἐφ᾽ ὕβρει καὶ καταφρονήσει. τά τε ἀναγκαῖα πρὸς τροφὴν, καίτοι καὶ πρότερον ἐνδεῶς παρέχοντες, ἔτι μᾶλλον γλίσχρως ἐχορήγουν. εἰ δέ ποτε ἔδει καὶ ζωμόν τινα παρέχειν, φιλανθρωπευσαμένους δῆθεν, εἰδότες, ὡς πολυτελείᾳ ἐντραφείη καὶ τρυφῇ καὶ οὐδενὸς ἂν ἄψαιτο μεμολυσμένου, τὰς χεῖρας ἀνίπτους καθιέντες, διηρεύνων δῆθεν τὸν ζωμὸν, εἰ μή τοι ἔνδον κρύπτοιτο γράμματα παρὰ τοῦ υἱοῦ ἀπεσταλμένα, καίτοι γε αὐτοὶ τῶν προσαγομένων ὄντες μάγειροι. ἃ ὁρῶσα, μᾶλλον ᾑρεῖτο λιμῷ βιαίως ἀποθνήσκειν, ἢ τοιούτων γεύεσθαι. ἐν χειμῶνί τε σφοδροτάτῳ καὶ κρυμώδει οὐδεμίαν, οὔτ᾽ ἐκ τῶν ἄλλων ἐπιτηδείων, οὔτε ἐκ πυρὸς παρείχοντο παραμυθίαν, καίτοι

βασιλίδος μηδεμιᾶς κατὰ τὸ σῶμα θεραπείας κελευούσης ἀποστερεῖν. παρὰ πᾶσάν τε ἡμέραν οὐκ ἐνέλιπον οἱ φύλακες τὸν υἱὸν ἀσέμνως ὑβρίζειν ἐπ' αὐτῆς, καὶ ὡς ἀγγελίας δῆθεν πεπυσμένοι, ἀπήγγελλον, ποτὲ μὲν, ὡς συλληφθείη ὁ υἱὸς καὶ ἀτίμως ἄγοιτο περικείμενος κλοιά· ἄλλοτε δὲ, ὡς μάχης γενομένης, ἐπ' αὐτῆς ἀποκτανθείη καὶ ἄγοιτο ἡ κεφαλὴ, ἣν παραμυθίας ἕνεκα καὶ πρὸς αὐτὴν ἄγειν ὑπισχνοῦντο, καὶ ἕτερα ὠμότερα καὶ ἀπανθρωπότερα πολλῷ, ἐξ ὧν ἐκείνη τὴν καρδίαν ὑπερζέσασα καὶ κατατακεῖσα, πυρετοῖς ἐλήφθη σφοδροτάτοις. [20]

2 221 αἱ δὲ περὶ αὐτὴν γυναῖκες, πολλὰ τῶν ὠμοτάτων ἐκείνων ἀρχόντων δεηθεῖσαι, ὥστ' ἐπιτρέψαι ἰατρὸν πρὸς αὐτὴν εἰσαγαγεῖν καὶ προνοίας ἀξιῶσαι μικρᾶς τινος, οὐκ ἠδυνήθησαν πρὸς ἔλεον ἐκκαλέσασθαι τὰ σπλάγχνα τῶν ἀγνωμόνων ἐκείνων καὶ σπλάγχνα ἐσθίειν ἀνθρώπων εἰθισμένων ὁσημέραι. ἀλλ' ἀπεῖπον αὐτῇ πᾶσαν θεραπείαν, ὥσπερ αὐτοχειρίᾳ κατασφάττοντες. ἡ βασιλὶς δὲ ὑπό του πυθομένη, ὅτι νοσοίη ἡ τοῦ βασιλέως μήτηρ, καὶ ὡς οὐκ ἐπιτραπείη παρὰ τῶν ἀρχόντων καὶ τοῦ διδασκάλου τῆς οἰκουμένης καὶ μαθητοῦ τοῦ πράου καὶ φιλανθρώπου ἰατρὸς πρὸς αὐτὴν εἰσελθεῖν, ὠνείδισε μὲν αὐτοῖς πικρῶς τὴν ὠμότητα καὶ τὴν ἀναλγησίαν· τὸν δὲ ἰατρὸν ἐκέλευεν, ὃς αὐτῇ πρὸς τὰς νόσους συνήθης ἦν, πρὸς ἐκείνην τε ἐλθεῖν καὶ προνοίας ἀξιῶσαι τῆς δεούσης. πατριάρχης δὲ καὶ ἡ λοιπὴ τῶν ἀγαθῶν ἐκείνων ἀνδρῶν φατρία τὸν ἰατρὸν παραλαβόντες, ὅρκους ἀπῄτουν, ὥστε ἐλθόντα πρὸς ἐκείνην, μηδὲν περὶ τῆς νόσου διατάξασθαι. τοῦ δὲ καὶ τὴν ἐπιδημίαν ἀπαγορεύοντος, εἰ μέλλοι μηδὲν ἐκ τῆς τέχνης ὠφελεῖν, ἠνάγκαζον αὐτοὶ τὰ κελευόμενα ποιεῖν, ἵν' αὐτοῖς τε ἡ ἐξαρχῆς ὠμότης διασώζοιτο καὶ μηδὲ βασιλίδος καταφρονεῖν δοκοῖεν, τὰ κεκελευσμένα μὴ ποιοῦντες. εἰ δ' ἰσχυρογνωμονοίη καὶ πρὸς ὠφέλειάν τι τῆς νοσούσης λέγοι, μὴ μέμφεσθαι αὐτοῖς, ὡς αὐτοῦ τῶν ἐσομένων κακῶν αἰτίου ἑαυτῷ παρεσομένου· δῆλος γὰρ ἤδη εἶναι ᾑρημένος τὰ Καντακουζηνοῦ. [20]

2 222 ὁ δὲ δείσας τὴν ἀπειλὴν, (οὐδὲν γὰρ ἦν τὸ μέσον τοῦ τε ὑποπτευθῆναι καὶ τοῦ πάσχειν τὰ δεινότατα,) πρότερον ἐπαγγειλάμενος μηδὲν τῶν γινομένων μηνύσειν βασιλίδι, ἔπειτα πρὸς βασιλέως εἰσῄει τὴν μητέρα. μηδὲν δὲ δυνάμενος διὰ τὸ ἐκ τῶν ἀρχόντων δέος φθέγγεσθαι, τοὺς ἑπομένους φύλακας ὡς ἐνῆν διαλαθὼν, νεύματι ἐσήμαινε τὴν ἐν ἀγκῶνι φλέβα τέμνειν, ἔπειτα ἐξῄει μηδὲν τὸ σύνολον φθεγξάμενος. αἱ γυναῖκες δὲ αὖθις τῶν ἀρχόντων δεηθεῖσαι τὸν τέμνειν φλέβας ἐπιστάμενον εἰσάγειν οὐ συνεχωροῦντο. ὅθεν ὑπὸ τοῦ πυρετοῦ κατεργασθεῖσα καὶ μηδεμιᾶς ὅλως προνοίας ἀξιωθεῖσα, ἐτελεύτησεν ἕκτῃ μηνὸς Ἰανουαρίου δεκάτης οὔσης ἰνδικτιῶνος τοῦ ͵ ϛων' ἔτους. τελευτώσης δὲ ἤδη, ἡ τοῦ βασιλέως Ἀνδρονίκου ἀδελφὴ, ἣ πρότερον μὲν Μιχαὴλ τῷ Μυσῶν συνῴκησε βασιλεῖ, ἔπειτα, ἐκείνου τελευτήσαντος, πρὸς τὸν ἀδελφὸν ἐπανελθοῦσα καὶ τὴν ἐν βασιλείοις διατριβὴν καταλιποῦσα, μονάζειν εἵλετο καὶ Θεοδοσία ἐκ Θεοδώρας μετωνομάσθη, πυθομένη περὶ τῆς βασιλέως μητρὸς, ὅτι τελευτᾷ, καὶ ὥσπερ ἀμειβομένη τῶν παρ' ἐκείνης πρότερον ὑπηργμένων ἀγαθῶν, (πολλὴν γὰρ εἰς ἐκείνην ἐπεδείκνυτο τὴν εὔνοιαν,) ἀφίκετό τε εἰς τὸ δεσμωτήριον πρὸς αὐτὴν καὶ παρέμεινεν ἄχρι τελευτῆς. ἔπειτα τὸν νεκρὸν ἐξαγαγοῦσα παρὰ τὴν μονὴν, τῆς πρὸς μητρὸς ἐκείνης μάμμης ἀδελφῆς τοῦ πρώτου τῶν Παλαιολόγων βασιλέως Μιχαὴλ τῆς Μάρθας προσαγορευομένην, ἐν τοῖς πατρῴοις κατέθηκε τάφοις. [20]

2 223 ἔπειτα ἐκεῖθεν πρὸς βασιλίδα ἀναστρέψασα, ἀπήγγειλε τὴν ὠμότητα καὶ τὴν ἀπανθρωπίαν τῶν ἀρχόντων, ἣν περὶ ἐκείνην ἐνεδείξαντο ἄχρι τελευτῆς. ἡ δ' ὅρκοις διεβεβαιοῦτο, μηδὲν εἰδέναι τῶν γεγενημένων, πλὴν ὅτι εἴργεσθαι προσετέτακτο παρ' αὐτῆς, κατεγίνωσκέ τε καὶ αὐτὴ πολλὴν ἐκείνων τὴν ἀπήνειαν. μετὰ δὲ τὴν ἐκείνης τελευτὴν τὰ χρήματα ἐκείνης τε καὶ τοῦ υἱοῦ διηρευνᾶτο καὶ πολλὰ ἐκείνων ἐξευρίσκετο, μάλιστα δ' ὅτι καὶ πατριάρχης κατὰ τῶν ἐχόντων ἐξεῖπεν ἀφορισμὸν, ὃν εἶχεν ὥσπερ τινὰ δορυφόρον ταῖς παρανόμοις ἐπιθυμίαις

πάσαις ὀξύτατα ὑπηρετοῦντα. ὃν οἱ πολλοὶ τῶν ἐχόντων δείσαντες, φέροντες τὰ φυλαττόμενα παρεῖχον· οἱ δὲ καὶ ὡς παρὰ δίκην γινομένου καταφρονοῦντες, τέως μὲν κατεῖχον, χρόνῳ δὲ ὕστερον ὑπὸ τῶν συνειδότων μηνυόμενα πάντα ἀναλώθη. οὕτω δὲ ἦσαν πλεῖστα τὰ ἐξευρισκόμενα, ὥστε, καίτοι πολλῶν αὐτὰ πρότερον συμμεριζομένων, καὶ τὰ μὲν Ἀποκαύκου τοῦ μεγάλου δουκὸς παρακατέχοντος, ἕτερα δὲ Γαβαλᾶ τοῦ πρωτοσεβαστοῦ, (κἀκεῖνος γὰρ συνάρχων τῷ μεγάλῳ δουκὶ τὰ κοινὰ διῴκει καὶ μεσάζων βασιλίδι ἦν,) καὶ Κιννάμου τοῦ μυστικοῦ τῶν βασιλικῶν χρημάτων τότε ταμίου ὄντος, καὶ πολλῶν ἑτέρων εὐνούχων, οἳ παρεδυνάστευον, ὅμως ἐκ τῶν ὑπολειπομένων ἀναλίσκοντες, τὸν πρὸς βασιλέα πόλεμον συνεκρότουν· οὕτως ἦσαν ἄπειρα τῷ πλήθει. [20]

2 224 ἡ βασιλὶς δὲ πολλὰ πολλάκις περὶ εἰρήνης πρὸς πατριάρχην καὶ τοὺς ἄλλους τῶν πραγμάτων ἄρχοντας διαλεχθεῖσα, οὐδὲν ἀνῦσαι τῶν δεόντων ἠδυνήθη, ἐκείνων ἤδη κατὰ κράτος πᾶσαν ἐσχηκότων τὴν ἀρχὴν καὶ οὐδ' ἄκροις ὠσὶ τὴν εἰρήνην παραδεχομένων. τοῦ δοκεῖν δὲ δίκαιά τε ὁμοῦ καὶ βασιλίδι καὶ σφίσιν αὐτοῖς συμφέροντα αἱρεῖσθαι, κατασκόπους δῆθεν προπέμποντες πρὸς Καντακουζηνὸν τὸν βασιλέα, ἔπειτα ὑποδεχόμενοι ἐπανιόντας, εἰσῆγον πρὸς βασιλίδα, ἄλλα τε πολλὰ ἐκείνου καταψευδομένους καὶ ὡς ἀναφανδὸν πρὸς τοὺς συνόντας μεγαληγοροίη, ὡς, εἰ περιγένοιτο ἐν τῷ πολέμῳ, βασιλίδα μὲν καὶ βασιλέα τὸν υἱὸν ἀποκτενεῖ μόνον, ἀτιμάσας μηδέν· πατριάρχῃ δὲ καὶ τοῖς ἄλλοις, οἳ τὸν παρόντα πόλεμον ἤγειραν αὐτῷ, μετὰ πολλὰς αἰκίας ἐφύβριστον καὶ βιαιότατον θάνατον ἐπάξει. οἳ καὶ τοῖς λεγομένοις ἐκ συνθήματος εὐθὺς παρόντες, μεγίστην πρόφασιν ἐποιοῦντο τοῦ μὴ δύνασθαι πρὸς κίνδυνον τοσοῦτον σφᾶς αὐτοὺς ὑπάγειν ἑκοντὶ τῷ κατ' ἐκείνων οὕτω μαινομένῳ διὰ τῆς δοκούσης εἰρήνης ἐγχειρίζοντες, αὐτίκα τε ἐψηφίζοντο τὸ δεῖν ἐκείνῳ πάσῃ σπουδῇ καὶ προθυμίᾳ πολεμεῖν, καὶ εἴ τίς τι περὶ τῆς πρὸς ἐκεῖνον εἰρήνης φθέγξαιτο, πολέμιον ἡγεῖσθαι καὶ αὐτόν. ἐπεὶ δὲ βασιλεύς τε ὁ Καντακουζηνὸς ἐξεστράτευσε πρὸς τὴν ἑσπέραν καὶ Ἀπόκαυκος ὁ μέγας δοὺξ τὴν πᾶσαν ἦγε Ῥωμαίων ἡγεμονίαν, τὸ μὲν ἐκ τῆς ἠπείρου καὶ αὐτὸς ἀντιστρατεύεσθαι ἐκείνῳ ἀπεγίνωσκεν, (ᾔδει γὰρ λόγου ἄξιον διαπραξόμενος οὐδὲν, οὐδὲ πρὸς τοιοῦτον ἀνταγωνιστὴν ἀξιόχρεως ἐσόμενος αὐτὸς,) τῇ δὲ ἐκ Βυζαντίου καὶ Θρᾴκης στρατιᾷ οὐκ ὀλίγῃ οὔσῃ Ἀνδρόνικόν τε Παλαιολόγον τὸν γαμβρὸν καὶ Θωμᾶν τὸν Παλαιολόγον ἐπιστήσας στρατηγοὺς, ἐκέλευεν ἐκείνῳ ἑπομένους βλάπτειν, εἴ τι δύναιντο, φυλαττομένους μᾶλλον, μὴ κακῶς αὐτοὶ παθεῖν. [5]

2 225 αὐτὸς δὲ τοῦ μὴ δοκεῖν ἀργὸς καθῆσθαι τῶν ὅλων ἔχων τὴν ἀρχὴν, ἑβδομήκοντα νεῶν στόλον ἐξηρτύετο, ὡς ἐκ θαλάσσης πολεμήσων. δαπάνη δὲ ἦν αὐτῷ πρὸς τὰς τριήρεις τὰ βασιλέως χρήματα, ἃ ἐκρύπτετο ἐν Βυζαντίῳ. καίτοι γε αὐτοῦ πάντες πολλὴν κατεγίνωσκον ἀβελτηρίαν, εἰ πρὸς ἠπειρῶτιν στρατιὰν ἐκ θαλάττης αὐτὸς ἀντιτάττεσθαι παρασκευάζοιτο καὶ χρήματα τοσαῦτα οὐκ εἰς δέον ἀναλίσκοι. τὸ δ' ἀπέβαινεν ἐναντίως, ἢ ἄν τις ἐκ τῶν πραγμάτων στοχαζόμενος ᾠήθη. πλεῖστα γὰρ ἔβλαψε τὰ Καντακουζηνοῦ τοῦ βασιλέως πράγματα, εἰς Θεσσαλονίκην οὐκ ἐκ προνοίας ἰδίας, ἀλλὰ κατὰ τύχην ἀφιγμένος. ταῦτα μὲν οὖν ὕστερον εἰρήσεται. λζ'. Βασιλεὺς δὲ ὁ Καντακουζηνὸς ἐπεὶ Περιθεώριον ἑλεῖν οὐκ ἠδυνήθη, ἀναγκαῖον δὴ ἡγεῖτο πρὸς Θεσσαλονίκην τὴν ταχίστην ἀφικέσθαι, δεῖν ἔγνω πρότερον πρωτοστράτορι μηνύειν τὴν ἐπιδημίαν. εἰδὼς δὲ, ὡς Συργὴς στρατιώτας πέμψας φυλάττει τὰς ὁδοὺς τοῦ μὴ λαθόντα τινὰ ἀγγελίας ἔκ τινος αὐτῷ κομίζειν, τοιοῦτόν τι πρὸς τὴν ἐκείνου πονηρίαν ἀντιτεχνᾶται. [20]

2 226 τῶν στρατιωτῶν δυσὶ τὸν μὲν ἐκέλευεν ἀποδυθέντα καὶ περιαγκωνίσαντα ἑαυτὸν ἄγεσθαι δεσμώτην, τὸν ἕτερον δὲ ἄγειν. εἰ δὲ οἱ τὰς ὁδοὺς τηροῦντες περιτύχοιεν, τὸν ἄγοντα φάσκειν, ὡς τὸν ἵππον ἀπολωλεκὼς, τὸν μὲν οὐχ εὕροι, τὸν χαλινὸν δὲ παρὰ τἀνδρὶ τουτῳῖ· ἀπαιτοῦντα δὲ καὶ τὸν ἵππον, μὴ ἀποδιδόναι, ἀλλὰ τὸν χαλινὸν μόνον εὑρηκέναι παρὰ τὴν ὁδὸν

διισχυρίζεσθαι. οὗ δὴ χάριν δήσαντα, ἄγειν πρὸς τὸν βασιλέως θεῖον, ὅπως παρ' ἐκείνου βασανιζόμενος ἀποδοίη καὶ τὸν ἵππον. ἐκέλευε δὲ καὶ τὸν δεσμώτην τῷ ἄγοντι τὰ ἴσα συνομολογεῖν. τοῦτον δὲ τὸν τρόπον παρελθόντας τοὺς φυλάσσοντας, ἔπειτα ἕκαστον οἷ προσετέτακτο ἀποχωρεῖν. οἱ μὲν οὖν ἐποίουν κατὰ τὰ κεκελευσμένα καὶ διαλαθόντες τοὺς ἐπὶ τὴν φυλακὴν τεταγμένους τῶν ὁδῶν, ἦκον πρὸς πρωτοστράτορα ἐν Θεσσαλονίκῃ. βασιλεὺς δὲ, ὡς μάλιστα ἐνῆν, τὸ νῦν μὲν Πολύστυλον, ἐν τοῖς Ἑλληνικοῖς δὲ χρόνοις Ἄβδηραν ὠνομασμένον, πολίχνιον παράλιον ὂν, ὑπ' αὐτοῦ τε ᾠκοδομημένον πρότερον καὶ τότε διὰ τὴν ἀρχαίαν εὔνοιαν οὐκ ἀποστὰν, πολλῆς προνοίας ἀξιώσας, σῖτόν τε αὐτοῖς ἐπιχορηγήσας καὶ στρατιώτας πρὸς ἐπικουρίαν, αὐτὸς τὴν ἄλλην ἔχων στρατιὰν, τὸ παρὰ τὴν Χριστούπολιν τείχισμα διελθὼν, ἐστρατοπέδευσεν ἐν Φιλίπποις. ἔπειτα ὡς ἐκεῖθεν ἀναστὰς εἴχετο τῆς ὁδοῦ, συντυγχάνει τῷ τε παρ' αὐτοῦ πρὸς πρωτοστράτορα ἀπεσταλμένῳ πρότερον καὶ ἑτέρῳ τῶν ἐκείνου οἰκετῶν, οἳ γράμματα ἐκ πρωτοστράτορος παρεῖχον, ἃ ἐμήνυε, μὴ νῦν ἥκειν παρ' αὐτὸν, ὡς Θεσσαλονίκην οὐ δυνάμενον παραδιδόναι· ἀλλὰ Χρέλην πρότερον καὶ τὴν ἐκείνου δύναμιν προσεταιρίζεσθαι, ἔπειτα ἥκειν πρὸς αὐτόν. [5]

2 227 βασιλεῖ δὲ εὐθὺς μὲν, ὡς οὐ κατὰ γνώμην τὰ πράγματα ἀπήντα, δεινὰ εἰσῄει ὑποπτεύειν, ὅμως δὲ ἀναγκαίως πρόσω χωρεῖν ἔκρινε μᾶλλον δεῖν. καὶ περὶ τὴν Δράμαν ἐλθὼν, ἐστρατοπέδευσε πρός τινα κώμην Κωδωνιανὴν προσαγορευομένην. πρωτοστράτωρ δὲ καὶ ἄλλως μὲν πρὸς τοὺς ἐν Θεσσαλονίκῃ Ζηλωτὰς ὑπέφριττε καὶ μαλακώτερον ἥπτετο τῶν πραγμάτων ἀμφίβολος ὢν καὶ οὐκ ἐτόλμα καθαρῶς πρὸς τοὺς ἀγῶνας ἀποδύεσθαι· τότε δὲ μάλιστα ἐκ Βυζαντίου πέμπουσα ἐθορύβει ἡ γυνὴ, φάσκουσα, ὡς τοῖς ἐνταῦθα ἄρχουσιν, ὅτι Καντακουζηνῷ διαλέγοιτο πεπυσμένοις, δεινότατα αὐτῇ τε καὶ παισὶ καὶ οἰκείοις ἀπειληθείη, εἰ μὴ παύοιτο τοιαῦτα κακουργῶν· ἃ φυλάττεσθαι ἐδεῖτο, μὴ κακῶν αὐτοῖς ἀνηκέστων αἴτιος καταστῇ. ὧν ἕνεκα καὶ αὐτὸς τὴν ἄφιξιν ἀπηγόρευε τῷ βασιλεῖ, τὴν Χρέλη προφασιζόμενος ἑταιρείαν, ὡς ἐν τῷ μεταξὺ χρόνῳ τὰ μάλιστα λυσιτελοῦντα ἑαυτῷ σκεψόμενος. ἐν ᾧ δὲ ὁ βασιλεὺς ἐστρατοπέδευεν ἐν Κωδωνιανῇ, πέμψας πρὸς Χρέλην, ἐκέλευεν ἥκειν πρὸς αὐτὸν κατὰ τὸ σύνθημα ἐλθόντα. ὁ δ' ὡμολόγει πρότερόν τε καὶ νῦν οὐχ ἥκιστα εὔνους εἶναι πρὸς αὐτόν· δεδοικέναι δὲ Ῥωμαίους τοὺς αὐτῷ πολεμοῦντας, μὴ διαρπάσωσι τὰ ὄντα ἐν χωρίοις ἀτειχίστοις διεσκεδασμένα. [20]

2 228 τὰς γὰρ πόλεις, ὧν ἦρχε πρότερον ὑπὸ τῷ Τριβαλῶν ἄρχοντι τελῶν, παραδεδωκέναι βασιλεῖ, ὡς καὶ αὐτὸς τῶν ἄλλων μᾶλλον σύνοιδεν· αὐτὸς δὲ τὴν οὐσίαν ἐν τῷ Μελενίκου προαστείῳ πᾶσαν ἔχειν. δι' ἃ οὐ δύνασθαι ἥκειν πρὸς αὐτὸν, εἰ μὴ Μελενίκον πρότερον ὑποποιήσαιτο. οὕτω γὰρ καὶ αὐτὸν, θαρσήσαντα, ὡς οὐδὲν τῶν ὄντων ἀπολεῖ, συνάψεσθαι προθύμως. βασιλεῖ μὲν οὖν εὐθὺς ἐδόκει πάντα ἄπορα. τό,τε γὰρ ἀναστρέφειν ἐκ Μακεδονίας οὐ πρὸς αὐτοῦ ἔσεσθαι ἐνόμιζε, καὶ τὸ προϊέναι πρὸς ἑσπέραν, τὴν Χρέλη καὶ πρωτοστράτορος καταλιπόντα συμμαχίαν, οὐκ ἀγαθόν. ἐδόκει δὲ μᾶλλον Μελενίκου ἀποπειρᾶν, εἰ δύναιτο προσάγεσθαι ὁμολογίᾳ. ὅπλοις γὰρ βιάζεσθαι ἀδύνατα ἦν ἔκ τε θέσεως τοῦ τόπου καὶ κατασκευῆς τῆς πόλεως ὀχυρωτάτης οὔσης. καὶ πέμψας διελέγετο κρύφα τοῖς οὖσιν ἐνταῦθα φίλοις περὶ παραδόσεως. Συργὴς μέντοι ἐκ Φερῶν ἅμα μητροπολίτῃ τῆς αὐτῆς πόλεως τὴν ἴσην ἀπέχθειαν πρὸς βασιλέα ἐπιδεικνυμένῳ καὶ Μονομάχῳ τῷ ἐπάρχῳ, (ἦκε γὰρ ἐκ Θετταλίας κἀκεῖνος πρὸς αὐτὸν,) πέμπουσιν εἰς τὸ στρατόπεδον κατασκόπους, τήν τε βασιλέως στρατιὰν κατασκεψόμενοι ὁπόση εἴη, καὶ ὅ,τι δρῴη θέλοντες μαθεῖν. ἐπεὶ δὲ ἑάλωσαν, τήν τε στρατιὰν ἐκέλευε περιάγοντας κατὰ σχολὴν παρέχειν κατασκέπτεσθαι, καὶ γράμματα πρὸς τοὺς πέμψαντας παρέχων, ἐκέλευεν ἀναστρέφειν· ἐν οἷς περὶ τῶν ἐν Βυζαντίῳ γεγενημένων ὡς ἀδίκῳ καὶ συκοφαντικῇ γνώμῃ πραχθείη κατ' αὐτοῦ διεξιὼν, ἀπολογίαν ἐποιεῖτο καὶ περὶ ἑαυτοῦ, ὡς οὐ βασιλέως τοῖς παισὶν ἐπιβουλεύων, οὐδὲ βασιλείας ἐρῶν τοιούτοις ἐπιχειροίη,

ἀλλ᾽ ἀνάγκῃ συνελαθεὶς ἐλπίδι τοῦ καταλύειν μᾶλλον τὸν πόλεμον καὶ τὰ λυσιτελοῦντα πᾶσι κοινῇ ποιεῖν. [5]

2 229 προσετίθει τε καὶ ὅρκους τοῖς λεγομένοις, ὡς οὐδὲν εἴη πρὸς ἀπάτην εἰρημένον. οἱ δὲ, ἐπεὶ τὰ γράμματα ἀνέγνων, ἀντέγραφον καὶ αὐτοὶ, ὡς οὐκ ἄλλοθέν ποθεν μᾶλλον, ἢ ἐξ ὧν αὐτὸς οἴεται εἶναι δίκαιος πιστεύεσθαι, τῶν ὅρκων δῆθεν, αὐτοὺς καταστοχάζεσθαι, ὡς οὐκ ἂν εἴη τὰ εἰρημένα ἀληθῆ. εἰ γὰρ ὥσπερ καὶ πρότερον, ἡνίκα ἰδιωτικὴν ἐσθῆτα ἔχων, τὰ πράγματα Ῥωμαίοις διῴκει, ὅρκων οὐκ ἐδεῖτο, ἐν οἷς ἰσχυρίζεσθαι ἐχρῆν, ἀλλ᾽ ἤρκει μόνον εἰπεῖν, καὶ πάσης ἀποδείξεως ἰσχυρότερα τὰ εἰρημένα εἶναι, ὥσπερ οὐ μόνον αὐτοὶ συνίσασιν, ἀλλὰ καὶ οἱ πόῤῥω τῆς Ῥωμαίων γῆς κατῳκισμένοι· οὕτω καὶ νῦν, εἰ ἀξιοπιστίαν αὐτῷ συνῄδει, οὐκ ἂν ὅρκων ἐδεήθη πρὸς τὸ πιστεύεσθαι συναιρομένων. ὅθεν καὶ χρὴ συνορᾶν, ἐξ οἵας δόξης εἰς οἵαν ἐκ τοῦ βασιλεῦσιν ἀγνώμων φαίνεσθαι ἀδοξίαν κατηνέχθη. καὶ τοῖς αὐτοῖς κατασκόποις παρασχόμενοι, ἄγειν αὖθις πρὸς αὐτὸν ἐκέλευον. πρὸς ἃ, θαυμάζειν αὐτῶν, ἀντέγραφεν ὁ βασιλεὺς, εἰ δέον πρότερον τὰ εἰρημένα, εἰ οὐκ ἀληθῆ ἀποδεικνύναι, ἔπειτα καὶ περὶ τῶν ὅρκων διαλέγεσθαι· οἱ δ᾽ ἐκείνων ἀποσχόμενοι καὶ ἀντειπόντες πρὸς μηδὲν, ἐπὶ τοὺς ὅρκους καταφεύγουσιν, ὥσπερ τι προὔργου νομίζοντες ποιεῖν. [20]

2 230 ὅτι δ᾽ αὐτοῖς περὶ τῶν ἄλλων διαλέγεσθαι καταλιποῦσι, καὶ ἢ πείθεσθαι ὡς ἀληθέσιν ἢ ὡς ἐναντία ἔχουσιν ἐλέγχειν, περὶ τῶν ὅρκων μόνον εἰπεῖν τι βέλτιον ἐνομίσθη, περὶ αὐτῶν ἀποκρινεῖσθαι καὶ αὐτὸν, τἄλλα ὑπερβάντα. ἐγὼ τοίνυν, ἔγραφε, νομίζω τοὺς ὅρκους ἢ διὰ τὸ μὴ τοὺς ὀμνύοντας ἀξιόχρεως πρὸς πίστιν εἶναι γίνεσθαι, ἢ διὰ τὸ τοὺς δεχομένους ἢ φαύλους τοὺς τρόπους εἶναι, ἢ διὰ μέγεθος τῶν ἐπαγγελλομένων ἀδυνάτως ἔχειν πείθεσθαι ὅρκων χωρίς. ὅτε τοίνυν ἐμοὶ τὴν ἀξιοπιστίαν οὐ μόνον ὁ παρελθὼν χρόνος τοσοῦτος ὢν, ἐν ᾧ τὰ Ῥωμαίων πράγματα διῴκουν, (οὐδὲ γὰρ οὐδὲ διὰ ταύτην ὅρκων ἐδεήθην ποτὲ,) συμμαρτυρεῖ, ἀλλὰ καὶ αὐτοὶ οἱ μάλιστα πειρώμενοι διαβάλλειν, οὐ δύνασθε συγκρύπτειν οὕτως οὖσαν καταφανῆ, οὐδὲν ἄλλο λείπεται, ἢ δι᾽ ὑμᾶς τοὺς χαίροντας ἐν ταῖς συκοφαντίαις γίνεσθαι, καὶ διὰ τοῦτο μηδ᾽ αὐτοῖς πιστεύειν δυναμένους, οἷς αὐτοὶ συμμαρτυρεῖτε τὸ μηδέποτε ἐψεῦσθαι. ὅτι δ᾽ ὁ περὶ τῶν ὅρκων λόγος τοῦτον ἔχει τὸν τρόπον, ὥσπερ εἴρηται, καὶ αὐτόθεν μὲν καταφανές· πειράσομαι δὲ καὶ ἐκ παραδείγματος μάλιστα ἀληθεστάτου καταφανέστερον ποιεῖν. εἰ γὰρ ὁ θεὸς ἡμῶν θεός ἐστιν ἀληθινὸς, καὶ αὐτοαλήθεια καὶ καλεῖται καί ἐστι, καὶ δίκαιός ἐστι πιστεύεσθαι καὶ ὅρκων χωρίς· ὁ δὲ οὐ τῷ Ἀβραὰμ μόνον ὤμοσε καθ᾽ ἑαυτοῦ ἢ μὴν πληθυνεῖν αὐτοῦ τὸ σπέρμα, ἀλλὰ καὶ τῷ Δαυὶδ ὕστερον, (ὤμοσε γάρ, φησι, κύριος τῷ Δαυὶδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσῃ αὐτὴν,) δῆλον ὡς οὐχ ἑαυτοῦ, τῆς μικροψυχίας δὲ τῶν ἀκουόντων ἕνεκα καὶ τῆς περὶ τὰ ἐπαγγελλόμενα ἀμφιβολίας τοὺς ὅρκους ἐποιεῖτο. [5]

2 231 καὶ Παῦλος δὲ ὕστερον ὁ τῆς ἀληθείας μαθητὴς καὶ κήρυξ περὶ ὧν εἰς τρίτον οὐρανὸν ἁρπαγεὶς εἶδε, μέλλων διηγεῖσθαι, καίτοι γε ἑαυτῷ πολλὴν συνειδὼς ἀλήθειαν, ὅμως τῆς ὠφελείας ἕνεκα τῶν ἀκουόντων, εὐλογητὸς, εἶπεν, ὁ θεὸς, ὅτι οὐ ψεύδομαι, ὡς ἂν ὑπὸ μάρτυρι θεῷ ἰσχυριζόμενος λέγειν ἃ ἐρεῖ, καὶ διὰ τοῦτο ἀξιῶν πιστεύεσθαι. ἔθος γὰρ ἀεὶ τῇ ἀπιστίᾳ μεγάλα τοῖς πράγμασι λυμαίνεσθαι. ἔξεστιν οὖν ὑμῖν σκοπεῖν, ὡς σφίσιν αὐτοῖς μᾶλλον, ἢ ἐμοὶ τῶν ὅρκων ἕνεκα μέμφεσθαι προσῆκεν. ὑμεῖς δ᾽ ὥσπερ ἐν τοῖς ἄλλοις ἀειφυγίᾳ τὸ δίκαιον καταδικάσαντες καὶ τῆς Ῥωμαίων ἀπελάσαντες ἀρχῆς, τῷ φίλῳ ψεύδει κέχρησθε ἀεὶ καὶ ταῖς συκοφαντίαις, οὐδὲ τοῦτο μεμνημένοι γοῦν, ὅτι τῶν τῇδε βεβιωμένων ἅπαντες ὑφέξομεν εὐθύνας μετὰ τὴν ἐνθένδε ἀπαλλαγήν. ἐγὼ δ᾽ ὥσπερ καὶ πρότερον, οὕτω καὶ νῦν ὑπὸ μάρτυρι τῷ θεῷ λέγω, ὡς οὐδὲν ἕτερον εὐθὺς ἐξαρχῆς μετὰ τὴν βασιλέως τελευτὴν, ἢ ὅσα βασιλίδι καὶ παισὶ συμφέρει καὶ πᾶσι κοινῇ Ῥωμαίοις, διενοούμην τε καὶ πράττειν εἶχον διὰ σπουδῆς. ἐκείνων δὲ ἐξ οὐδεμιᾶς αἰτίας ἀληθοῦς, ἀλλ᾽ ὑπὸ συκοφαντίας πρὸς τὸν κατ᾽ ἐμοῦ

κεκινημένων πόλεμον, ἀναγκαίως καὶ αὐτὸς ἐξ ὧν νομίζω ἐμαυτῷ τε καὶ τοῖς συνοῦσι τὴν σωτηρίαν ἐκπορίζειν πράττω. [20]

2 232 λη′. Ἐκείνους μὲν οὖν οὕτως ἀπεδείκνυε μηδὲν ὑγιὲς αὐτοῦ κατεγνωκότας. αὐτὸς δὲ, ἐπεὶ οἱ ἐν Μελενίκῳ φίλοι ἐκάλουν, ὡς παραληψόμενον τὴν πόλιν, πέμψας στρατιὰν κατέσχεν, ἔπειτα καὶ τὸν γυναικὸς ἀδελφὸν Ἰωάννην τὸν Ἀσάνην ἄρχοντα τῆς πόλεως καθίστη· πρᾶγμα δυσέλπιστον πρὶν γενέσθαι, γενόμενον δὲ ὅμως οὐ μετρίαν παρέσχετο παραψυχήν. αὐτίκα γὰρ πρὸς Χρέλην πέμψας, ἐκέλευεν ἥκειν πρὸς αὐτὸν, ὡς ἤδη τοῦ ζητουμένου ἠνυσμένου. ὁ δ’ ἐδόκει μὲν ἥδεσθαι τοῦ βασιλέα Μελενίκον ἔχειν, καὶ πᾶσαν ἔλεγε πρόφασιν αὐτῷ περιῃρῆσθαι· ἔτι δ’ ὅμως ἀνεβάλλετο, τὸ δοκεῖν μὲν, ὡς τὰ ὄντα διαθησόμενος, μέλλων ἤδη ἅπτεσθαι πολέμου καὶ στρατείας, τῇ δ’ ἀληθείᾳ, οὐκ ἐθέλων εἰς τοὺς κινδύνους ἐμβάλλειν ἑαυτὸν, ἀλλ’ ἄνευ πόνων τὴν βασιλέως εὔνοιαν καρποῦσθαι. βασιλεὺς δὲ ὡς εἶδε χωροῦντα πρὸς ἀναβολὰς, τῆς διανοίας ἐκ τῶν εἰρημένων στοχασάμενος, Μελενίκου μὲν ἄρχοντα τὸν γυναικὸς κατέλιπεν ἀδελφὸν Ἀσάνην τὸν Ἰωάννην μετὰ στρατιᾶς, ὅσης ᾤετο ἀρκέσειν εἰς φρουρὰν τῇ πόλει· αὐτὸς δὲ τὴν ἄλλην στρατιὰν ἐν τῷ στρατοπέδῳ κελεύσας μένειν, ἅμα τοῖς υἱέσι Ματθαίῳ καὶ Μανουὴλ τριακοσίους μόνον παραλαβὼν, συντόνως τε ὁδεύσας, εἰς τὴν ὑστεραίαν, ἔνθα ὁ Χρέλης διατρίβων ἦν, ἀφίκετο. ἐκείνου δὲ ἀσμένως ὑποδεξαμένου συνδιημερεύσας αὐτῷ καὶ συνδιανυκτερεύσας, τῇ μετ’ αὐτὴν ἔχων καὶ αὐτὸν μετὰ τῆς στρατιᾶς, αὖθις εἰς τὸ στρατόπεδον ἐπανῆκε καὶ πολλῆς ἐνέπλησε τὴν στρατιὰν ἡδονῆς μετὰ Χρέλη ἀφιγμένος. [20]

2 233 ἦν γὰρ οὐ δυνατὸς μόνον καὶ ὅπλοις καὶ ἵπποις καὶ χρήμασιν, ἀλλὰ καὶ περὶ στρατηγίας κάλλιστα ἐξησκημένος καὶ οἷος τούς τε φίλους ὠφελεῖν καὶ τοὺς πολεμίους βλάπτειν μάλιστα εἰδέναι. δι’ ἃ καὶ περιμάχητος αὐτοῖς ἐδόκει ἡ ἐκείνου συμμαχία. ἐν Θεσσαλονίκῃ δὲ ὁ πρωτοστράτωρ, ὥσπερ ἔφημεν, ἀμφίβολος ὢν καὶ περὶ τῶν βασιλέων ὅτῳ πρόσθηται φανερῶς διασκεπτόμενος, μαλακώτερόν τε τῶν πραγμάτων ἥπτετο καὶ τοὺς λεγομένους Ζηλωτὰς, οἳ ὑπὲρ βασιλέως τοῦ Παλαιολόγου βασιλεῖ τῷ Καντακουζηνῷ ᾑροῦντο πολεμεῖν, αὐξανομένους κατὰ μικρὸν περιεώρα, τοῦτο μὲν, μὴ φανερὸς γένοιτο τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ᾑρημένος, δεδοικὼς, (ἡ γὰρ θυγάτηρ αὐτῷ καὶ ἡ γυνὴ, αἳ ἦσαν ἐν Βυζαντίῳ, καὶ ἡ ἄλλη περιουσία οὐκ εἴων πράττειν ἃ ᾑρεῖτο, ἐμβάλλουσαι εἰς ἀγωνίαν, μὴ δι’ αὐτὸν πολλοῖς προσομιλήσωσι κακοῖς,) τοῦτο δ’ ὅτι καὶ Θεσσαλονικέων οὐ μόνον ἡ στρατιὰ, οἳ ἦσαν οὐκ ὀλίγοι, ἀλλὰ καὶ τῶν πολιτῶν οἱ δυνατοὶ τὰ βασιλέως τοῦ Καντακουζηνοῦ ᾑρημένοι πρὸς ἀμέλειαν ἐνῆγον, οἷς ἐθάῤῥει, ὅτε βούλοιτο, περιέσεσθαι τῶν Ζηλωτῶν. ἐπεὶ δὲ ἐκεῖνοι διὰ τὴν μέλλησιν ἐκείνου ἦσαν οὐκ εὐκαταφρόνητοι καὶ τὸν δῆμον ἀνηρέθισαν κατὰ τῶν δυνατῶν, τοῦ πρωτοστράτορος ἤδη ἐγνωσμένου τὰ Καντακουζηνοῦ τοῦ βασιλέως δρᾷν, ἐπιθέμενοι ἀθρόον, ἐξελαύνουσι τῆς πόλεως περὶ χιλίους ὄντας. [20]

2 234 συμβολῆς ὀλίγης γενομένης δι’ ἀκροβολισμῶν, ἐν ᾗ καὶ τῶν πρωτοστράτορος οἰκετῶν ἐγένοντο ὀλίγοι τραυματίαι· ἑάλωσαν δὲ καὶ τῶν δυνατῶν τινες, οἳ οὐκ ἠδυνήθησαν τοῖς ἄλλοις τῇ πρώτῃ συνεκπεσεῖν ὁρμῇ. ὑφ’ ἑαυτοῖς δὲ οἱ Ζηλωταὶ τὴν πόλιν ποιησάμενοι, ἐτράπησαν εἰς τὰς οἰκίας τῶν φυγάδων καὶ αὐτάς τε καθῄρουν καὶ τὰς οὐσίας διήρπαζον, καὶ τἄλλα ἔπραττον, ὅσα ἦν εἰκὸς αὐτοὺς ἀνθρώπους ὑπὸ πενίας συνελαυνομένους καὶ εἰς ὕβριν ἐξενηνεγμένους διὰ τὴν ἀθρόαν εὐπορίαν. εἰς τοσοῦτον δὲ ἀπονοίας καὶ τόλμης ἦλθον, ὥστε καίτοι τὰ δεινότατα τολμῶντες, σταυρὸν ἐκ τῶν ἱερῶν ἀδύτων ἁρπάζοντες, ἐχρῶντο ὥσπερ σημαίᾳ καὶ ὑπὸ τούτῳ ἔλεγον στρατηγεῖσθαι, οἱ τῷ πολεμίῳ μᾶλλον τοῦ σταυροῦ ἀγόμενοι. καὶ εἴ τις πρός τινα ἔκ τινων ἰδίων ἐγκλημάτων διεφέρετο, τὸν σταυρὸν ἁρπάζων, ἐχώρει κατὰ τῆς οἰκίας, ὡς δὴ τοῦ σταυροῦ κελεύοντος. καὶ ἦν εὐθὺς ἀνάγκη ἐκ θεμελίων ἀνεσπάσθαι, ὁρμῇ τε ἀλογίστῳ καὶ κέρδους ἐπιθυμίᾳ τοῦ δήμου ἑπομένου. ἐπὶ δύο μὲν οὖν καὶ τρισὶν

ἡμέραις ἡ Θεσσαλονίκη ὥσπερ ὑπὸ πολεμίων ἐδῃοῦτο, καὶ οὐδὲν ἦν ὅ,τι μὴ τελούμενον ὡρᾶτο τῶν ἐπὶ ἁλώσει γινομένων πόλεων. οἵ τε γὰρ κρατήσαντες νύκτωρ καὶ μεθ' ἡμέραν κατὰ συστάσεις διιόντες, βοαῖς ἐχρῶντο καὶ ἀλαλαγμοῖς καὶ τὰ τῶν ἑαλωκότων ἦγόν τε καὶ ἔφερον· καὶ οἱ νενικημένοι στένοντες ἐν ἀδύτοις κατεκρύπτοντο, ἀγαπητὸν ἡγούμενοι, ὅτι μὴ αὐτίκα ἀποθνήσκοιεν. [20]

2 235 ἐπεὶ δὲ, ὧν ἔδει διεφθαρμένων, παύσαιτο ἡ ταραχὴ, οἱ Ζηλωταὶ αὐτίκα ἐκ πενεστάτων καὶ ἀτίμων πλούσιοι καὶ περιφανεῖς γεγενημένοι, πάντα ἦγον δι' ἑαυτῶν, καὶ τοὺς μέσους μετῄεσαν τῶν πολιτῶν, ἢ συνασχημονεῖν ἀναγκάζοντες αὐτοῖς, ἢ τὴν σωφροσύνην καὶ τὴν ἐπιείκειαν ὡς Καντακουζηνισμὸν ἐπικαλοῦντες. ἐν Θεσσαλονίκῃ μὲν οὖν τοιαῦτα ἐτελεῖτο. πρωτοστράτωρ δὲ ἐπεὶ μετὰ τῆς στρατιᾶς καὶ τῶν ἀρίστων ἐξηλαύνετο, εἰς Γυναικόκαστρον ἀφικόμενος, (κατεῖχε γὰρ αὐτὸ καὶ πρότερον φρουρᾷ, οἷα δὴ ὑπὸ τῷ Θεσσαλονίκης ἄρχοντι εἰωθὸς τελεῖν,) ηὐλίζετο ἐκεῖ καὶ κακῶς ἐποίει Θεσσαλονίκην λῃζόμενος καὶ πάσης ἐκράτει τῆς ἔξω τειχῶν γῆς. ἀντικαταστῆναι γὰρ πρὸς τοὺς ἔξω οὐδαμῇ οἱ ἔνδον ἦσαν δυνατοί. ἔπεμπε δὲ καὶ πρὸς Καντακουζηνὸν τὸν βασιλέα περὶ Χαλκιδικὴν ἔτι διατρίβοντα, ἅμα μὲν μηνύων, ὡς ἐκβληθείη Θεσσαλονίκης, τοῦ δήμου καὶ τῶν Ζηλωτῶν αὐτῷ ἐπιθεμένων, ἅμα δὲ καὶ ἐλπίδας οὐ φαύλας ὑποφαίνων, ὡς, εἰ παραγένοιτο ταχέως, τῶν τε ἔνδον οὐκέτι παντάπασιν ἐκπεπολεμωμένων, (ἦσαν γὰρ ἔτι, οἳ τὰ βασιλέως ᾑρημένοι δέει συνείποντο τοῖς Ζηλωταῖς,) καὶ τῶν ἔξω μέγα δυναμένων, ῥᾳδίως παραστήσαιτο τὴν πόλιν. βασιλεῖ μὲν οὖν ἐδόκει πάντοθεν περιΐστασθαι δεινὰ, ὅμως ἐπὶ τὸν πάντα ἄγοντα θεὸν τὰς ἐλπίδας τῆς σωτηρίας καὶ τῆς νίκης ἀνατιθεὶς, πρὸς Χρέλην ὅσα ἔδει διαλεχθεὶς καὶ προθεσμίαν συνθέμενος, καθ' ἣν ἔδει τὰ οἴκοι διαθέμενον ἀφικέσθαι πρὸς αὐτὸν, ἔπειτα καὶ ἐκ τῆς ἐκείνου στρατιᾶς οὐκ ὀλίγην παραλαβὼν ἅμα τοῖς οἰκείοις ἠπείγετο πρὸς πρωτοστράτορα. [20]

2 236 ἐν τῷ μεταξὺ δὲ διερχομένῳ ἡ Ῥεντίνα, φρούριόν τι Θεσσαλονίκης ἡμέρας ὁδὸν διέχον, προσεχώρησεν ἑκοντί. καταλιπὼν δὲ αὐτοῖς ἄρχοντα καὶ διακοσίους στρατιώτας φρουρὰν, αὐτὸς ἐλθὼν ἐστρατοπέδευσεν ἐν Λαγκαδᾷ οὐ μακρὰν Θεσσαλονίκης. ἡ δὲ ἐκ Βυζαντίου στρατιὰ ἅμα στρατηγοῖς τοῖς Παλαιολόγοις Ἀνδρονίκῳ καὶ Θωμᾷ ἀφιγμένοι εἰς Φεράς, παραλαβόντες καὶ Συργὴν ἄγοντα τὴν ἐκ Μακεδονίας στρατιὰν, καὶ ἔπαρχον τὸν Μονομάχον συστρατευόμενον ἅμα τοῖς οἰκείοις, τὸ ἐκείνου παραμείψαντες στρατόπεδον, ἦκον εἰς Θεσσαλονίκην. βασιλεὺς δὲ ἐκεῖ τὴν νύκτα αὐλισάμενος, ὡς μὴ δοκοίη δέει τῷ ἐκείνων ἀπανίστασθαι, εἰς τὴν ὑστεραίαν ἄρας, ἦλθεν εἰς Γαλικὸν, ποταμόν τινα ἐγγὺς Θεσσαλονίκης, ἔνθα ὁ πρωτοστράτωρ καὶ οἱ ἐκ Θεσσαλονίκης φυγάδες περὶ χιλίους ὄντες συνεγένοντο, τῶν ἵππων ἀποβάντες, ὡς προσήκει βασιλεῦσι προσιόντας πράττειν. πρῶτός τε ὁ πρωτοστράτωρ προσελθὼν πεζῇ, ἠσπάζετο τὸν βασιλέως πόδα, εἶτ' ἐφεξῆς καὶ οἱ λοιποὶ προσίεσαν ὁμοίως. βασιλεύς τε καὶ αὐτὸς πρωτοστράτορα μὲν ἀπὸ τοῦ ἵππου κύψας ἀντησπάζετο· τοὺς δ' ἄλλους προσηγόρευε παριὼν, πᾶσιν ἦθος χρηστὸν ἐμφαίνων καὶ βλέπων εὐμενές. ηὐλίσαντό τε στρατοπεδευσάμενοι ἐκεῖ τὴν νύκτα. [20]

2 237 βασιλεὺς δὲ πρωτοστράτορα καὶ τοὺς ἐν λόγῳ μάλιστα τῶν φυγάδων ἔχων περὶ ἑαυτὸν, ἠρώτα ὅ,τι δέοι ποιεῖν· αὐτοὺς γὰρ μάλιστα εἰδέναι τὰ ἐνταῦθα πράγματα καὶ ἀγωγῶν τόπον ἐπέχειν πρὸς αὐτοὺς ἄρτι ἀφιγμένους ἐξ ἀλλοδαπῆς. πρωτοστράτωρ δὲ καὶ οἱ φυγάδες, τὰ μὲν γεγενημένα, ἔφησαν, ἐνταῦθα οὐδ' αὐτὸς ἀγνοεῖς· λείπεται δὲ αὐτὸν σκεψάμενον, ὅ,τι ἂν δοκῇ συμφέρειν πράττειν. λθ'. Βασιλεὺς δὲ ἐς τὴν ὑστεραίαν ἐκκλησίαν ἐκ πάντων συναθροίσας, γνώμην πᾶσι περὶ τῶν πρακτέων προὐτίθει, καὶ ἐκέλευε τὸ παριστάμενον ἕκαστον μηδὲν ἀναδυόμενον εἰπεῖν, ὡς ἐκ πολλῶν τῶν λεγομένων ῥᾳδία ἡ τοῦ συνοίσοντος αἵρεσις γένοιτο αὐτοῖς. οἱ δ' ἀνεβάλλοντο πάντες ἐφεξῆς, καὶ οὐδεὶς τὸ παριστάμενον ἐτόλμα λέγειν φανερῶς. οἵ τε γὰρ ἐκ Βυζαντίου φυγάδες μετὰ βασιλέως ἀφιγμένοι ἄγαν ἤχθοντο πρὸς τὴν ἀποτυχίαν

τῆς Θεσσαλονίκης καὶ ἐν ἀπόρῳ εἴχοντο τοῦ τί χρὴ ἑλέσθαι· καὶ ἡ ἄλλη στρατιὰ ἐν ἀθυμίᾳ ἦσαν, οὐ κατὰ ῥοῦν χωροῦντα τὰ πράγματα ὁρῶντες βασιλεῖ· καὶ ὁ πρωτοστράτωρ ἅμα Θεσσαλονικέων τοῖς φυγάσιν, ὡς ἑώρων τοῖς ἐκ Βυζαντίου στρατηγοῖς τὴν πόλιν κατεχομένην καὶ ἄπορα ἤδη ἦν προσάγεσθαι, μᾶλλον ἐχαλέπαινον, τοὺς οἰκείους ἐννοοῦντες οἷα πείσονται. καὶ πρὸς τὴν βασιλέως γνώμην πάντες ἀφεώρων, οἰόμενοί τινα σφίσι τῶν περισχόντων κακῶν λύσιν ἐξευρήσειν. βασιλεὺς δὲ ὡς εἶδε μηδεμίαν γνώμην μηδένα βουλόμενον εἰσάγειν, „τὰ μὲν πράγματα“ εἶπεν „ὡς ἐναντίως ἢ ᾠόμεθα ἀπήντηκεν ἡμῖν, πάντες ὁρᾶτε δήπου. [20]

2 238 πρωτοστράτωρ τε γὰρ καὶ Θεσσαλονικέων οἱ τὰ ἡμέτερα ᾑρημένοι, οὓς ἔδει τὴν πόλιν ἔχοντας εὑρεῖν καὶ τὰ μέγιστα ὠφελεῖσθαι ὑπ’ αὐτῶν, δυσκόλῳ τύχῃ χρησάμενοι, ἐξελήλανται· ὅ,τε δῆμος καὶ οἱ ἐναπολειφθέντες, οὓς ἠλπίζομεν ἢ πειθοῖ προσάξεσθαι ἢ βιάσεσθαι τοῖς ὅπλοις, διά τε τὰς ἁρπαγὰς ἡμῖν ἐκπεπολεμωμένοι καὶ θαῤῥοῦντες τῇ ἐκ Βυζαντίου στρατιᾷ, οὐ προσχωρήσουσιν ἡμῖν. εἰ γὰρ ἔμελλον, οὐκ ἂν ἐπὶ τῆς πύλης αὐτῶν σχεδὸν ἐστρατοπεδευμένου ἡσύχαζον αὐτοὶ, ἀλλ’ ἢ πρεσβείαν ποιούμενοι κοινῇ, ἢ ἰδίᾳ κρύφα τινὲς αὐτῶν διαλεγόμενοι, παρῆσαν ἄν. τὸ δὲ μηδένα ἐξελθεῖν τεκμήριον τοῦ τε τοὺς πολλοὺς ἐγνωκέναι πολεμεῖν ἡμῖν, καὶ τοῦ, εἴ τινες καὶ εἶεν ᾑρημένοι τὰ ἡμέτερα, δέει τοῦ μὴ κακῶς παθεῖν συμφέρεσθαι τοῖς ἄλλοις. ὅθεν οὐδὲ ἐλπίδων ἀνονήτων ἕνεκα ἐνταῦθα οἶομαι παραμένειν δεῖν. οὐ μὴν διὰ τὸ τῆς πόλεως ἀποτετυχηκέναι, καὶ πρὸς τὰ λείποντα δίκαιον τοῦ πολέμου μαλακίζεσθαι. οὐδὲ γὰρ οὐδὲ πρὸς πάντα εὐτυχήσομεν ἀεί. σωφρόνων δέ ἐστιν ἀνθρώπων καὶ γενναίοις χρωμένων λογισμοῖς, μήτε ἐν ταῖς εὐτυχίαις τοῦ μετρίου φαίνεσθαι ἐκπίπτοντας, μήτ’ ἐν ταῖς δυσπραγίαις καταπίπτειν, ἀπαγορεύοντας τὸ ἀνορθοῦσθαι αὖθις. [20]

2 239 ἀλλὰ δέον τὰ ἐνταῦθα ὡς προσῆκον διοικησαμένους, χωρεῖν ἐπὶ τὰ πρόσω, χρηστοτέρας ἡμῖν καὶ ὡς μάλιστα ἀσφαλεῖς ὑποφαίνοντα ἐλπίδας. δέον οὖν ἐγὼ νομίζω, τῇ εἰς τὴν Ῥεντίναν καταλελειμμένῃ φρουρᾷ δύναμιν προσθέντας μείζονα, ὡς κατατρέχειν Θεσσαλονίκης δύναιντο, (ἡ γὰρ ἐκ Βυζαντίου στρατιὰ οὐ πολλῷ ὕστερον ἀποχωρήσει,) καὶ ἐν Γυναικοκάστρῳ δύναμιν ὁμοίαν καταλιπόντας τῆς αὐτῆς αἰτίας ἕνεκα, τῇ ἄλλῃ στρατιᾷ διαβάντας αὐτοὺς τὸν Ἀξιὸν, εἰς Βέῤῥοιαν γενέσθαι καὶ Ἔδεσσαν τὰ ἡμέτερα ᾑρημένας πόλεις. ἐκείνων δὲ κρατήσασιν οἵ τε Θεσσαλοὶ προσχωρήσουσιν αὐτίκα καὶ Ἀκαρνανία καὶ τὸ ἄλλο ἠπειρωτικὸν, πάλαι τὴν ἐμὴν ἄφιξιν προσδεχόμενον. τοιαύτην δὲ προσλαβοῦσι δύναμιν οὐδεὶς ἀνθίστασθαι ἔτι ἀξιώσει, ἀλλ’ ἢ ἑκόντες τῆς ἀρχῆς πάντες παραχωρήσουσιν ἡμῖν, ἢ τοῖς ὅπλοις βιασθέντες.“ τοιαῦτα εἰπόντος βασιλέως, πρωτοστράτωρ τε ἅμα τοῖς συνοῦσι καὶ οἱ ἀπὸ Βυζαντίου μάλιστα φυγάδες ἐν δεινῷ τοὺς λόγους ἐποιοῦντο καὶ φόβου ἦσαν μεστοὶ καὶ ἀγωνίας, τὸν πλάνον ὡς ἀπέραντον λογιζόμενοι, εἰ δέοι Ἀκαρνανίαν καὶ Ἤπειρον περιιέναι, τοῖς ἐκ τῆς στρατείας κακοῖς ταλαιπωροῦντας, τῶν οἴκοι μάλιστα κακῶς διακειμένων καὶ ταχείας τῆς ἐπικουρίας δεομένων. φανερῶς μὲν οὖν ἀντειπεῖν καὶ τὴν οἰκείαν, ὡς ἔχουσι περὶ τὰ εἰρημένα, γνώμην ἐκκαλύψαι ἐδεδίεσαν, τό,τε περὶ βασιλέα δυσνοεῖν καὶ τὸ ἡσσῆσθαι κατάκρας ἐν τοῖς δεινοῖς ὡς φαῦλον ἑαυτοῖς προστρίβειν οὐκ ἐθέλοντες· προφάσεις δέ τινας συνείροντες οὐκ ἀναγκαίας, διεκώλυον τὴν πρᾶξιν. [20]

2 240 ὡς δὲ ὁ βασιλεὺς ἐπέκειτο, ταύτην εἶναι μόνον φάσκων ὡς ἐν τοῖς παροῦσι λυσιτελεστάτην γνώμην· „ἀλλ’ εἰ μὲν τοῦτό σε λέληθεν“ εἶπεν „ὦ βασιλεῦ“ ὁ πρωτοστράτωρ „ὡς στρατιὰ Τριβαλῶν πολὺν ἤδη χρόνον Ἔδεσσαν περικάθηται πολιορκοῦσα, ᾗ δεῖ χωρήσαντας διὰ μάχης παρέρχεσθαι εἰς τὴν πόλιν, ἄλλος ἂν εἴη λόγος. εἰ δ’ οὐκ ἀγνοεῖς, μάλιστα θαυμάζειν ἔχω, ὅτι δὴ τοιοῦτος ὢν καὶ πολλὴν πρὸς στρατηγίαν πεῖραν ἐσχηκὼς, πρὸς τῷ παρόντι νυνὶ πολέμῳ τῷ ἐκ τῶν ὁμοφύλων, καὶ πρὸς Τριβαλοὺς παραβάλλεσθαι ἡμᾶς κελεύεις, ὅτε εἰ καὶ μόνοι ἦσαν, τῶν ἐργωδεστάτων ἦν ἀντιτάττεσθαί τινα.“ ὁ βασιλεὺς δὲ μάλιστα μὲν οὐδὲν εἰδέναι περὶ τῆς πολιορκίας ἔφασκε. τὸν γὰρ τῶν Τριβαλῶν δεσπότην πρεσβείαν ποιησάμενον πρὸς

αὐτὸν, ἔτι περὶ Θρᾴκην διατρίβοντα, σπονδὰς καὶ συμμαχίαν θέσθαι· δι’ ἃ καὶ οἴεσθαι αὐτὸν μηδεμιᾷ Ῥωμαίων πόλει πολεμεῖν. εἰ δ’ ἐκεῖνος λύσας τὰς σπονδὰς, πολέμιος ἀντὶ συμμάχου γέγονε καὶ πόλιν ἡμετέραν πέμψας πολιορκεῖ, τίνι μᾶλλον, ἢ τούτῳ προσέχειν χρὴ, ὥστε τὴν πόλιν ἀπαλλάττειν τῶν δεινῶν μάλιστα δυναμένους, καὶ ἐκείνοις τε τὴν σωτηρίαν ἐκπορίζειν καὶ σφίσιν αὐτοῖς τήν τε ἐξ ἐκείνων καὶ τῶν ἄλλων εὔνοιαν; ἐγὼ δ’ εἰ καὶ μηδὲν ἡμῖν ἔψεσθαι κέρδος ἔμελλεν ἐκ τοῦ πολέμου, τοῦτ’ αὐτὸ μόνον, τὸ Ῥωμαίων πόλιν κινδυνεύουσαν ἐξαιρεῖσθαι, τῶν μεγίστων τίθεμαι κερδῶν. δι’ ἃ οὐδὲ πρὸς ἄλλο τι τρέπεσθαι οὐκέτι συμβουλεύω, ἀλλ’ ἤδη φανερῶς ἐπιψηφίζομαι. [20]

2 241 εἰ δὲ σοί τε καὶ τοῖς συνοῦσι τὸ Τριβαλοῖς ὑπὲρ Ῥωμαίων πολιορκουμένων μάχεσθαι ἀγεννὲς δοκεῖ, ἀλλ’ ἅμα τοῖς οἴκοθεν ἑπομένοις αὐτὸς ἐπ’ ἐκείνους βαδιοῦμαι, ὑμεῖς δ’ ἐν Γυναικοκάστρῳ μένοντες, τὴν ἐπάνοδον περιμένετε ἡμῶν.“ ἐκέλευέ τε αὐτίκα τῇ σάλπιγγι τὴν ὁδοιπορίαν τῇ στρατιᾷ σημαίνειν. πρωτοστράτωρ δὲ καὶ οἱ ἐκ Βυζαντίου συνόντες βασιλεῖ φυγάδες τότε ἀπολείπεσθαι ἐνόμιζον αἰσχρὸν καὶ ἀγεννὲς, καὶ τὸ συνέπεσθαι ὑπώπτευον ὡς ἀπεράντου τῆς πλάνης ἐσομένης. διὸ αὐτοί τε ὡς εἶχον τὴν ὁρμὴν ἐπειρῶντο κωλύειν βασιλεῖ καὶ τοὺς ἄλλους κρύφα διαλεγόμενοι παρεκάλουν, ἔνδειάν τε τῶν ἀναγκαίων ὑποβάλλοντες καὶ μάχας καὶ πολέμους καὶ ὡς οὐδεμία τῶν πόλεων εἰσδέξοιτο βασιλέα ἑκοντί· καὶ ὅσα ἐνῆν πρὸς τὸ μάλιστα αὐτοὺς μὴ βασιλεῖ προθύμους ἔπεσθαι κωλύειν, εἴων ἀνεπιχείρητον οὐδέν. ἐξ ὧν οὐ μικράν τινα πτοίαν εἰς τὸ στράτευμα ἐνέβαλον καὶ πρὸς ἀποστασίαν ἔπειθον χωρεῖν. Κοτεανίτζης γάρ τις τῶν Θεσσαλονικέων ἑτέρους πείσας περὶ ἑκατὸν πρῶτος βασιλέως ἀποστὰς, εἰς Θεσσαλονίκην ἀπεχώρει. ταῦτα δὲ ἔπραττον, οὐ βασιλεῖ προῃρημένοι πολεμεῖν, ἀλλὰ τῶν οἰκείων τὴν κάκωσιν καὶ τὰς ἐκ Βυζαντίου ἀπειλὰς οὐ φέρειν ὄντες δυνατοί. οἱ γὰρ ἐκεῖσε ἄγοντες τὰ πράγματα καὶ πολεμοῦντες βασιλεῖ πρὸς μὲν ἐκεῖνον οὐχ ὅτι γε πρεσβείαν ἐποιήσαντο ἢ διειλέχθησαν περὶ τοῦτο παράπαν, ἀλλὰ καὶ αὐτοῦ καὶ δὶς, ὥσπερ ἔφημεν, καὶ τρὶς πρεσβείαν πεπομφότος, οὔτε ἀπεκρίναντο οὐδὲν, ἀλλὰ καὶ τοὺς πρέσβεις πολλὰ περιυβρίσαντες, ἐκάκουν ἐν δεσμωτηρίοις ὅσα δυνατά. [20]

2 242 πρὸς δὲ τοὺς συνόντας ὁσημέραι κρύφα διελέγοντο καὶ πλεῖστά τε ἐπηγγέλλοντο εὖ ποιήσειν ἐκείνου ἀποστάντας, καὶ τοὐναντίον, εἰ μὴ πείθοιντο, οὐ τὰ ὄντα μόνον ἀφαιρήσεσθαι καὶ κτήσεις ἑτέροις παραδώσειν, ἀλλὰ καὶ τέκνα καὶ γυναῖκας εἰς πεῖραν ἄξειν ἀλγεινῶν πολλῶν. ἃ ἐδόκει φοβερὰ τοῖς εὐγενεστέροις μάλιστα προσόδων μεγάλων ἀποστερουμένοις. ὧν καὶ τότε μεμνημένοι, κωλύειν διὰ πάντων ἐπεχείρουν βασιλέα πρὸς ὑπερορίους ἐξορμᾷν στρατείας, οἰόμενοι, ἂν κωλύσωσι, πρὸς ἕτερόν τι τρέψεσθαι λυσιτελέστερον. βασιλεὺς δὲ τοῖς ἀπ’ ἀρχῆς ἐμμένων ὡς καλῶς βεβουλευμένοις, ἄρας ἐκ τοῦ στρατοπέδου, ἦκε πρὸς Ἀξιὸν ὡς διαβησόμενος, συνείποντο δὲ καὶ οἱ ἄλλοι, οἱ μὲν ἑκόντες, οἱ δ’ ἀνάγκῃ. συμβὰν δὲ οὕτω, περὶ τὰ ὀρεινὰ ὄμβρων ῥαγδαίων καταῤῥαγέντων, ἄπορος ἐφαίνετο ὁ ποταμὸς ὑπὸ πλημμύρας. στρατοπεδευσάμενοι δὲ ἐκεῖ, περιέμενον ὡς λωφησάντων περαιωσόμενοι τῶν ὑδάτων. τὰ δὲ οὐδὲν ἧττον ἐπληθύνετο καὶ ὑποψίαν παρεῖχεν, ὡς οὐκ ἐν ὀλίγῳ δίοδον παρέξοντα. ἐπιλελοίπει τε ἤδη καὶ ὁ σῖτος τὴν στρατιάν. ὁρῶν δὲ καὶ ὁ βασιλεὺς, ὡς ὅ,τε πόρος οὐ ῥᾴδιος αὐτοῖς, καὶ τῶν ἐπιτηδείων δέοιτο ἡ στρατιὰ, ἄκων μὲν καὶ δυσχεραίνων οὐ μετρίως καὶ τὴν γεγενημένην πρότερον ἐπὶ τὸν Ἕβρον κωλύμην στρέφων ἐπὶ νοῦν, καὶ δεδοικὼς, μὴ καὶ αὖθις τὰ παρόντα κακῶν αἴτια μεγάλων καταστῇ, ἐπέλεγέ τε ἑαυτῷ, ὡς ἐν οἷς μὲν ὁ θεὸς εὐδοκεῖ, καὶ ἡ κτίσις ἅπασα ὑπηρετεῖ, οἷς δὲ ἀντιτάττεται, καὶ ἡ κτίσις δύσκολον ὁμοίως ἑαυτὴν παρέχεται. [5]

2 243 ἀνέστρεφε δ’ οὖν ὅμως εἰς Γυναικόκαστρον, γνώμην ἔχων, ὡς, τῇ στρατιᾷ σίτου πορισθέντος, αὖθις ἐπανέλθοι. ἤλπιζε γὰρ, ἄχρι τότε καὶ τὸν ποταμὸν ἐνδώσειν πρὸς τὸν πόρον. πρωτοστράτωρ δὲ καὶ οἱ λοιποὶ ἥδοντο πρὸς τὴν ἀποτυχίαν καὶ χαίροντες ἐπανῄεσαν. μ′. Τῆς

αὐτῆς δὲ ἡμέρας καὶ Ἀπόκαυκος ὁ μέγας δοὺξ ἑβδομήκοντα ναυσὶ πρὸς Θεσσαλονίκην ἦκεν ἐξ Εὐβοίας. πρὸς γὰρ τὸν βασιλέως πόλεμον οὐδὲν οἰόμενος λυσιτελήσειν, οἷα δὴ ναυτικῆς οὔσης τῆς δυνάμεως αὐτῷ, Καντακουζηνοῦ δὲ τοῦ βασιλέως ἐξ ἠπείρου στρατευομένου, τὰς νήσους περιιὼν ἐπεδείκνυτο τὴν δύναμιν καὶ προῆλθεν ἄχρι τῆς Εὐβοίας. ἐκεῖθεν δὲ ἐπεὶ ἀναστρέφειν ἦν καιρὸς, ἐδόκει δεῖν καὶ πρὸς Θεσσαλονίκην ἐλθεῖν, ἐπιδειξόμενος κἀκεῖ τὴν δύναμιν. ἐλθόντι δὲ εὐθὺς ἡ περὶ τὴν βασιλέως στρατιὰν ἐμηνύετο διχοστασία. ὁ δ' αὐτίκα πρωτοστράτορί τε καὶ τοῖς ἄλλοις τὴν ἄφιξιν αὐτοῦ ἐδήλου καὶ ἐπηγγέλλετο πολλὰ, εἰ βασιλέως ἀποσταῖεν πρὸς αὐτὸν, ἢ τὰ ἔσχατα ἠπείλει διαθήσειν τοὺς οἰκείους καὶ πᾶσαν ἐπιδείξεσθαι ὠμότητα. [20]

2 244 πρωτοστράτωρ δὲ καὶ πρότερον τὴν μετὰ βασιλέως ὀῤῥωδῶν στρατείαν διὰ τοὺς οἰκείους, ὥσπερ ἔφημεν, καὶ τὸ μὴ βούλεσθαι ὑπερορίαις καὶ πόνοις διὰ τὴν ἐκείνου χάριν προσομιλεῖν, ἄσμενός τε εὐθὺς ἐδέχετο τὸν λόγον καὶ ὅρκους ᾔτει παρὰ μεγάλου δουκὸς ἐπὶ τοῖς εἰργασμένοις πρότερον. ὁ δὲ παρεῖχε τότε χαίρων καὶ πάντα ἐπηγγέλλετο προθύμως. τοῦ πεπραγμένου δὲ εὐθὺς καὶ πρὸς τοὺς ἄλλους διαδοθέντος, ὅσοι τὰ αὐτὰ ᾑροῦντο πρωτοστράτορι, τάραχός τε ἦν εὐθὺς οὐ μικρὸς κατὰ τὴν στρατιὰν καὶ σύγχυσις δεινὴ καὶ ἀταξία, τῶν μὲν ἤδη πρὸς ἀποστασίαν χωρεῖν βεβουλευμένων, τῶν δ' ἄλλων, ὥσπερ ἦν εἰκὸς, διὰ τὴν ἐκείνων ἀποχώρησιν κλονουμένων καὶ πονηρὰς περὶ τοῦ μέλλοντος τὰς ἐλπίδας λαμβανόντων. βασιλεὺς δὲ ὡς τὸ στράτευμα ἑώρα συγχυθὲν, τοὺς μάλιστα αἰτίους τῆς ἀποστασίας περιστησάμενος, „ἄνδρες“ εἶπε „φίλοι, οὐδὲν οὕτω πρὸς ἀνανδρίαν καὶ μικροψυχίαν ἐπαγωγὸν, ὡς τὸ φιλοψυχεῖν καὶ πρὸς τὴν ἀποβολὴν τῶν ὄντων μαλακίζεσθαι. Ῥωμαῖοι δὲ οἱ πρὸ ἡμῶν οὐχ οὕτω διακείμενοι, τὴν οἰκουμένην μικροῦ δεῖν πᾶσαν παρεστήσαντο, ἀλλὰ πάντα πόνον ὑπομένοντες ὑπὲρ φιλοτιμίας καὶ τοῦ μὴ δοκεῖν ἥσσους φαίνεσθαι τῶν πολεμίων. ὅθεν οὐ μόνον ἐκ τοῦ συντυχόντος ἀπεδίδρασκον τοὺς πόνους, ἀλλὰ καὶ δυσπραγίαις χρώμενοι μεγάλαις καὶ στρατηγοὺς ἀποβάλλοντες καὶ στρατόπεδα ὁλόκληρα ἐν τοῖς πολέμοις, οὐδὲν ὑφίεσαν τῆς τόλμης, οὐδὲ τοῦ φρονήματος, ἀλλὰ πάντα μᾶλλον ᾤοντο δεῖν πρότερον ὑπομένειν ἢ δουλοῦν τοῖς πολεμίοις ἑαυτούς. [25]

2 245 ὑμεῖς δὲ οὐκ οἶδ' ὅ,τι παθόντες, ἢ τίσι χρησάμενοι ταῖς τύχαις, φοβεροὶ τοῖς πολεμίοις ὄντες καὶ ῥάβδος ὑπ' ἐκείνων κεκλημένοι σιδηρᾶ, δειλοὶ καὶ ἀγεννεῖς καὶ ἀνελεύθεροι ἀντὶ τῶν προτέρων ὤφθητε ἀθρόον, καὶ τοῖς πολεμίοις ἑκόντες ὄντες ἐγχειρίζετε σφᾶς αὐτοὺς, μηδένα πόνον περὶ τὸ χειρώσασθαι ὑμᾶς εἰσενεγκοῦσιν. οὔτε γὰρ ἐν μάχῃ ἡττήμεθα οὐδεμιᾷ αὐτῶν, οὔτ' εἰς τοσοῦτον ἡμῖν ἦκε τὰ πράγματα ἀνελπιστίας, ὥστε ἀπορεῖν ὅπῃ σωθησόμεθα, εἰ μὴ σφᾶς αὐτοὺς ἐγχειρίσομεν τοῖς πολεμίοις. ἐγὼ δὲ οὕτως ἐξαρχῆς καὶ νῦν οὐδὲν ἧττον πέπεικα ἐμαυτὸν, ὡς οὐδέποτε προησόμενος ὑμᾶς, ἀλλ' ἢ σὺν ὑμῖν παραστησάμενος τοὺς πολεμίους συμμερίσασθαι καὶ τὴν δόξαν καὶ τὴν ὠφέλειαν τὴν ἐκ τῆς νίκης, ἢ μαχόμενος πεσεῖσθαι, ἂν ἡττᾶσθαι συμβαίνῃ, ἐλευθέροις καὶ γενναίοις ἀνδράσι προσηκόντως. εἰ μὲν οὖν τὴν προτέραν εὔκλειαν ἐνθυμηθέντες ἀντιστῆναι ἐθελήσετε πρὸς τὰ δεινὰ, καὶ μὴ ἐν ἀνδραπόδων μοίρᾳ καταπλαγέντες τὴν νίκην παρέχειν ἀναιμωτὶ τοῖς πολεμίοις, ἄριστα βουλεύσεσθε καὶ προσήκοντα ὑμῖν αὐτοῖς. εἰ δ' ἄρα τοσοῦτον ἥττησθε πρὸς τῶν οἰκείων τὴν συμπάθειαν, ὥσθ' ὑπὲρ ἐκείνων καὶ τὰ αἰσχρότατα καὶ ἀγεννέστατα ὑφίστασθαι, οὐ δέον οὕτως ἀμφιβόλους φέρεσθαι καὶ δεινὰ πάσχειν κλονουμένους, ἀλλὰ συνταξαμένους φανερῶς, ἐφ' ἃ προείλεσθε χωρεῖν. οὔτε γὰρ ἄκοντας εἰλκύσαμεν ἡμῖν δουλεύειν, οὔτε νῦν κωλύσομεν, εἰ μὴ ἑκόντες ὄντες αἱρεῖσθε τὴν μεθ' ἡμῶν διατριβὴν, ἀλλὰ καὶ πρὸς ἀπόντας τὴν ἴσην καὶ ὁμοίαν ὑμᾶς διατηρήσομεν φιλίαν. [20]

2 246 ὁρῶ γὰρ, ὡς οὐ διὰ κακίαν, ἀλλ' ὑπὸ τῆς τῶν οἰκείων μαλακισθέντες μνήμης, καὶ ἃ μὴ οἴεσθε λυσιτελεῖν, πράττειν ἀναγκάζεσθε.“ τοιαῦτα εἰπόντος βασιλέως, καὶ αὐτοὶ πολλὰ ἑαυτοῖς

καταμεμψάμενοι φανερῶς, ὡς διὰ τῶν οἰκείων τὴν συμπάθειαν δειλοῖς καὶ ἀγεννέσι παρ' ἀξίαν φαινομένοις, ἔπειτα καὶ σωτηρίαν ἐπευξάμενοι καὶ δεηθέντες μηκέτι μέλλειν, ἀλλὰ πρόνοιάν τινα ποιεῖσθαι ἑαυτοῦ, ὅποι ὁ θεὸς ἡγοῖτο, ἀνεχώρουν, προσαγορεύοντες καὶ ἀσπαζόμενοι τὸν βασιλέως πόδα. ἐκεῖνος δὲ μηκέτι ἀναμίγνυσθαι ἐκέλευε τοὺς ἀπιόντας τοῖς ὑπολειπομένοις, ἵνα μὴ ταραχὴ καὶ σύγχυσις ᾖ, ἀγνοουμένων τῶν μενόντων· ἀλλὰ τὸ ὑπ' αὐτὸν τάγμα ἀκέραιον διαμεῖναν, (οὐδεὶς γὰρ αὐτῶν ἐλειποτάκτησεν,) ἄπωθεν στὰν πρὸς ἐκεῖνο τοὺς μενοῦντας χωρεῖν. αὐτίκα τε οἱ μὲν ἐχώρουν πρὸς τὸ τάγμα· οἱ λοιποὶ δὲ παριόντες ἕκαστος καὶ προσαγορεύοντες βασιλέα, ἀπηλλάττοντο. ὁ δ' ὥσπερ οὐδενός τινος γινομένου καινοῦ, ἵστατο ἀντασπαζόμενος τοὺς παριόντας, οὐδὲ ἴχνος γοῦν τι λύπης ἢ ταραχῆς φαίνων ἐν τῷ προσώπῳ. ἀπέστησαν δὲ οὐχ οἱ ἐκ Θεσσαλονίκης μόνον καὶ Βυζάντιοι καὶ ἄλλοι ὅσοι πόλεων ἑτέρων ἦσαν πολῖται, οἷς πρόφασις εὐπρεπὴς οἱ οἰκεῖοι ἦσαν, ἀλλὰ καὶ τῶν Διδυμότειχον οἰκούντων οὐ στρατιῶται μόνον, ἀλλὰ καὶ τῶν εὐγενῶν καὶ μάλιστα εὔνων δοκούντων βασιλεῖ πολλοί, οἷς καὶ Ἀπελμενὲ συνεξετάζετο πολλὰ τῆς βασιλέως εὐμενείας ἀπολελαυκὼς καὶ ἐκ μικροῦ καὶ τοῦ τυχόντος λαμπρὸς ἐς τὰ μάλιστα γεγενημένος καὶ περιφανής. [20]

2 247 ἔτι γὰρ μειράκιον ἐκεῖνον ὄντα ὁρῶν ὁ βασιλεὺς φύσεως πρὸς τὰ καλὰ ἐπιτηδείου τετυχηκότα καὶ δυνάμενον, εἰ ἄσκησιν προσλάβοι, ἄριστον παρέχειν πρὸς τὰ ἐπιτηδευόμενα ἑαυτὸν, ἐφιλονείκησε πρὸς πᾶσαν ἄριστον παιδείαν ἀποφαίνειν, καὶ πρός τε λόγους καὶ πρὸς τὰς στρατείας μάλιστα ἐξήσκησε. παρεχόμενος δὲ καὶ τὴν παρ' αὐτοῦ ῥοπὴν, οὐ πλούσιον μόνον, ἀλλὰ καὶ τῶν ἄλλων οἰκετῶν ὑπερέχοντα ἀπέφαινεν. ὁ δ' ἐν τοῖς ἄλλοις μὲν ἅπασιν ἄριστον παρεῖχεν ἑαυτὸν καὶ τῆς βασιλέως ἄξιον φιλοτιμίας· κόμπῳ δὲ φρονήματος οὐδέποτε τῆς ἀξίας ἀπολαύειν ᾤετο, ἀλλ' ὅσων ἂν τύχοι, τῶν προσηκόντων ἐνόμιζεν ἐλάσσω· ὅθεν καὶ ἀχάριστος ἐδείκνυτο πρὸς τὸν δεσπότην μεγάλων ἀξιοῦντα. ἐπεὶ δὲ καὶ ἐξ ἰδιώτου πρὸς βασιλέα μεταβάλλοι, πάντα εἶναι παρ' αὐτῷ ἠξίου, καὶ ἄρχειν τῆς στρατιᾶς καὶ πᾶσιν ἐπιτάττειν καὶ μείζοσι καὶ ἐλάττοσιν. ὧν μὴ τυγχάνων, ἐδυσχέραινεν οὐκ ἀνεκτῶς. βασιλεὺς γὰρ τοῖς μάλιστα προσήκουσι καθ' αἷμα καὶ τῶν ἄλλων τοῖς εὐγενεστέροις τὰς τοιαύτας ᾤετο ἀρχὰς προσήκειν. τότε δὲ ἐν Γυναικοκάστρῳ τῆς ἀποστασίας τῶν ἄλλων γινομένης, καὶ αὐτὸς μὲν ἐσκέψατο ἐκείνοις εἰς Βυζάντιον συναπελθεῖν, ὡς ἐκεῖθεν ὢν ἦν ἄξιος τευξόμενος. αἰσχυνόμενος δὲ ἐπὶ τοσούτοις ἀγαθοῖς ἀγνώμων φαίνεσθαι, κλέπτειν τὴν ἀποστασίαν ἐπεχείρει. [20]

2 248 εἰσελθὼν γὰρ εἰς Γυναικόκαστρον, τὴν ἐκεῖθεν ἀναχώρησιν βασιλέως περιέμενεν, ἵν' εὐπρόσωπος εἴη πρὸς τοὺς κατηγοροῦντας ὕστερον ἀπολογία, ὡς χρείας τινὸς ἕνεκα ὑπολειφθεὶς, ἀνάγκῃ τοῖς ἄλλοις συναπέλθοι, βασιλέως ἀναχωρήσαντος. οὗ τῆς διανοίας στοχασάμενος ὁ βασιλεὺς, οὐκ ἀνεχώρησεν ἐκεῖθεν, ἀλλὰ μετεκαλεῖτο πέμπων, ἄχρις οὗ φανερῶς ἀπείπατο. μα′. Ἐπεὶ δὲ καὶ πρωτοστράτωρ ἦκε συνταξόμενος, πρῶτα μὲν ὠνείδιζε τῆς ἀνανδρίας καὶ τῆς εἰς αὐτὸν ἀγνωμοσύνης, ὅτι πρῶτος αὐτὸς πρὸς τὴν ἀποστασίαν χωρήσας, καὶ τοὺς ἄλλους ἐπεσπάσατο, μάλιστα δι' αὐτὸν θορυβηθέντας καὶ σφᾶς τε αὐτοὺς οὐδὲν ἄμεινον ἀνδραπόδων παρέδοσαν τοῖς πολεμίοις, καὶ αὐτῷ, τόγε εἰς αὐτοὺς ἦκον, μεγάλων αἴτιοι κατέστησαν δεινῶν. ἔπειτα δὲ παρείχετο συγγνώμην, ὅτι μὴ πρὸς τὴν φύσιν ἀντιστῆναι δυνηθείη. οὐ γὰρ τῶν πολλῶν καὶ εὐκαταφρονήτων εἶναι τὰ τοιαῦτα, ἀλλὰ τῶν ὀλίγων καὶ μεγάλα δυναμένων, οἳ καὶ διὰ ταῦτα μάλιστα θαυμάζονται, ὡς οὐ μόνον πρὸς πραγμάτων μεταβολὰς καὶ καιροῦ δυσκολίας ἀνθιστάμενοι γενναίως, ἀλλὰ καὶ φύσεως αὐτῆς φαίνεσθαι κρείττους ἀξιοῦντες. παραστησάμενος δὲ καὶ Ἀνδρόνικον Ἀσάνην τὸν γυναικὸς ἀδελφιδοῦν, ἔτι παιδίον ὄντα, ὃν ἔτι τοῦ πατρὸς Ἀσάνη Μανουὴλ ἐν Βήρᾳ φρουρουμένου ὑπὸ κλοιοῖς, παραλαβὼν αὐτὸς ἔτρεφέ τε καὶ παιδείας προσηκούσης ἠξίου τοῖς παισὶν ὁμοίως, „τοῦτον" ἔφη πρωτοστράτορι „τὸν νεανίσκον παραλαβὼν, τῆς σῆς ὄντα παῖδα θυγατρὸς, (οὐ γὰρ ἂν δύναιτο

διὰ τὴν ἡλικίαν πρὸς πόνους ἀντέχειν καὶ ταλαιπωρίαν τῆς ἐκ τῆς στρατείας,) πάσης ἀξίου καὶ παιδείας καὶ προνοίας τῆς προσηκούσης. [5]

2 249 κἂν μὲν αὐτὸς ταχέως ἐπανέλθω πρὸς ὑμᾶς, (οἶομαι δὲ τῇ τε πανάγνῳ τοῦ θεοῦ μητρὶ πεποιθὼς καὶ τῷ μηδὲν ἐμαυτῷ συνειδέναι τῶν ἀτόπων εἰργασμένῳ, δι' ὃ δικαίως ἀπολοίμην ἄν, τάχιστά τε ἐπανήξειν καὶ δύναμιν μεγάλην περιβεβλημένος,) πάλιν ἀπολήψομαι τὸ μειράκιον. εἰ δ' ἕτερόν τι δέδοκται θεῷ περὶ ἡμῶν, ἀπόδος τῷ πατρὶ, ἐπεὶ μὴ ἡμῖν γε θεὸς τὰ περὶ αὐτοῦ ἐγνωσμένα ἄγειν ἐπέτρεψεν εἰς τέλος." ἔπειτα καὶ πρωτοστράτορα προσαγορεύσας, ἀπέπεμπε μετὰ τῶν ἄλλων. αὐτὸς δὲ ὥσπερ ἐνδεικνύμενος τὴν μεγαλοψυχίαν καὶ τὸ μὴ δεῖν καταπίπτειν ἐν ταῖς δυσπραγίαις, ἄριστον ᾑρεῖτο ἐπ' αὐτοῦ τοῦ τόπου καὶ τοὺς ἄλλους τὰ ἴσα ἐκέλευε ποιεῖν. μετὰ δὲ τοῦτο τοὺς ἐν τέλει καὶ τὴν στρατιὰν περιστησάμενος, παρεκελεύετο τοιάδε. „ἄνδρες συστρατιῶται, τὰ μὲν παρόντα πράγματα ὡς πολλῆς δυσκολίας ἐμπέπλησται καὶ ταραχῆς, πᾶσιν ὑμῖν καθέστηκε καταφανές. αἵ τε γὰρ ἐλπίδες, ἃς οἴκοθεν ἔχοντες κεκινήμεθα, ἐξερρύηκεσαν καὶ τῶν συστρατευομένων ἀπεβάλομεν πολλοὺς, οὐ μάχῃ κρατηθέντες, ἀλλ' ὑπ' αὐτῶν ἐκείνων προδοθέντες, οὓς ἠλπίζομεν ἄχρι παντὸς ἡμῖν συναγωνιεῖσθαι. [20]

2 250 ἐγὼ δὲ καὶ πρότερον μὲν οὐδέποτε δίκαιον εἶναι ἡγησάμην ὅπλοις καὶ ἵπποις καὶ πλήθει στρατιᾶς θαῤῥεῖν, ἀλλὰ τῇ πάντα συνεχούσῃ τοῦ θεοῦ ἀμάχῳ δεξιᾷ, ᾧ ῥᾴδιον καὶ τοὺς ὀλίγα δυναμένους τῶν πολεμίων κρείττους ἀποφαίνειν, καὶ τοὺς μέγα φυσῶντας καταστέλλειν, ἂν τῷ περιόντι τῆς δυνάμεως ἐξάγωνται τοῦ μέτρου· μάλιστα δὲ νυνὶ, ἡνίκα πάσης ἄλλης ἐπινοίας περιαιρεθείσης, μόνη καταλέλειπται ἡμῖν ἡ περὶ τὸν θεὸν ἐλπίς. καίτοι γε φαίη τις ἄν, ὡς οὐδὲ τῶν ἀνθρωπίνων οὐδενὸς ἠμελήσαμεν αὐτοὶ, ἀλλὰ πλήθει τε τῶν πολεμίων ὑπερέχουσαν οἴκοθεν ἔχοντες κεκινήμεθα στρατιὰν καὶ τοῖς ἄλλοις ἅπασι βελτίω, καὶ φοβεροί τινες ἄχρι νῦν καὶ ἄμαχοι τοῖς πολεμίοις ἐδοκοῦμεν, καὶ οὐδὲν οὐδέπω μέχρι νῦν ἐξ ἀβουλίας ἢ ἀπειρίας ἡμάρτηται ἡμῖν. εἰ δ' ἡμῶν τὰ δέοντα ποιούντων καὶ ὀρθοῖς χρωμένων λογισμοῖς, οἱ συστρατευόμενοι τῇ περὶ τοὺς οἰκείους συμπαθείᾳ καταμαλακισθέντες, ἀγεννῶς καὶ ἀνελευθέρως προσεχώρησαν τοῖς πολεμίοις, οὐ χρὴ τὴν ἐκείνων κακίαν τῇ ἡμῶν εὐψυχίᾳ καὶ τόλμῃ καὶ καρτερίᾳ περὶ τὰ δεινὰ λυμαίνεσθαι. ἐκεῖνοι μὲν γὰρ πρὸς οἷς ὑποστήσονται κακοῖς περιορώμενοι καὶ προπηλακιζόμενοι καὶ πάντα ὑπομένοντες, ὅσα τοὺς ὅπλα παραδεδωκότας δίκαιον, ἔτι καὶ ἡμῖν ὀλίγῳ ὕστερον οὐ φαύλην δώσουσι τὴν δίκην, αἰσχυνόμενοι τῆς προδοσίας ἕνεκα καὶ τῆς φαυλότητος τῶν τρόπων. [20]

2 251 ὑμεῖς δὲ νῦν τε ἀνδρίας καὶ καρτερίας δόξαν ἠνέγκασθε καὶ παρ' αὐτοῖς τοῖς πολεμίοις, καὶ ὀλίγῳ ὕστερον οὐκ ἐγὼ μόνον ἀμείψομαι ταῖς προσηκούσαις εὐεργεσίαις, ἀλλὰ καὶ πᾶσιν ἔσεσθε περίβλεπτοι καὶ θαυμαστοὶ, ὅτι ἐν καιροῖς μάλιστα δυναμένοις βασανίζειν γνώμας ἀνδρῶν, τὴν προσήκουσαν ἐπεδείξασθε καὶ μεγαλοψυχίαν καὶ ἀνδρίαν. οὐ δὴ διὰ τὴν ἐκείνων ἀβουλίαν καταπίπτειν ὑμᾶς δίκαιον, οὐδ' ὅτι δυσπραγίαις κεχρήμεθα σκοπεῖν, ἀλλ' εἰ μηδὲν αὐτοὶ δι' ἀτολμίαν πρὸς τὸ ἥττους φαίνεσθαι συνεισηνέγκαμεν τῶν πολεμίων. εἰ δ' ὅτι κακῶς νυνὶ πεπράχαμεν προσίσταται ὑμῖν, ἀλλ' ἐκεῖνο χρὴ σκοπεῖν, ὡς οὐδ' οἱ πάλαι Ῥωμαῖοι, περὶ ὧν μεγάλα ᾄδεται καὶ θαυμαστὰ, ἀήττητοι παντάπασι διαμεμενήκασιν, ἀλλ' ἐν πολλοῖς πολλάκις σφαλέντες καὶ ὁλόκληρα στρατόπεδα μετὰ τῶν στρατηγῶν ἀποβαλόντες, ἀνδρίᾳ καὶ τλημοσύνῃ τῇ περὶ τὰ ἔργα αὖθις ἀνεμαχέσαντο τὴν ἧτταν, οὐ μᾶλλον καταπτήξαντες, ἢ ὀργῇ τῇ πρὸς τοὺς πολεμίους σφοδρότερον ἀψάμενοι μετὰ ταῦτα τοῦ πολέμου. ὧν ἀπόγονοι καὶ ἡμεῖς ἀξιοῦντες εἶναι, μιμώμεθα τὰς ἀρετὰς καὶ νῦν μὲν ἡγώμεθα τύχαις ἀνθρωπίναις χρησάμενοι δυσπραγεῖν, μικρῷ δὲ ὕστερον πρὸς τὴν προτέραν αὖθις ἀφίξεσθαι εὐδαιμονίαν. καὶ γὰρ καὶ τῶν πρὸ ἡμῶν βασιλέων οὐκ ὀλίγοι, οἱ μὲν βαρβάροις πολεμοῦντες αἰχμάλωτοι

γεγόνασι νικηθέντες, οἱ δὲ καὶ ὑπὸ πολέμων ἐμφυλίων ἐπιβουλευθέντες, ἐξεκρούσθησαν τῆς ἀρχῆς. [20]

2 252 ἀλλ' αὖθις ἑκάτεροι τὴν σωτηρίαν οὐκ ἀπογνόντες, τῆς τε ἀρχῆς ἐπέτυχον καὶ τοὺς πολεμίους πλείω, ἢ αὐτοὶ πεπόνθασι, προσειργάσαντο κακά. εἰ δὲ καὶ πρὸς θειότερά τινα παραδείγματα ἀνάγεσθαι δεήσει, τὸν Ἰωσὴφ ἐννοήσωμεν καὶ τὴν πικρὰν ἐκείνην δουλείαν καὶ τὴν χρόνιον κάθειρξιν καὶ τὸν ἄλλον φορυτὸν τῶν ἀλγεινῶν καὶ ὡς μετὰ ταῦτα πάντα ἀντὶ δούλου καὶ δεσμώτου βασιλεὺς ἀνεδείκνυτο Αἰγύπτου. καὶ Δαβὶδ τὸν βασιλέα μετὰ τὴν πλάνην τὴν μακρὰν καὶ τὸ μυρία ὑπὸ τοῦ εὐεργετηθέντος βασιλέως ὑποστῆναι τὰ δεινὰ, ὕστερον εἰς τὴν οἰκείαν ἀνασωθέντα καὶ βεβαίως βασιλεύσαντα τῶν ὁμοφύλων. ἃ πάντα χρὴ ἐνθυμουμένους μὴ ἀθυμεῖν, ἀλλὰ μᾶλλον τὰ χρηστότερα ἐλπίζειν· βουλεύεσθαι δὲ καὶ ἃ χρὴ πράττοντας νυνὶ, μὴ τοῦ προσήκοντος διαμαρτάνειν. ὁρᾶτε γὰρ, ὡς περὶ γῆν ἀπολελείμμεθα πολεμίαν, ᾗ τό,τε προσεδρεύειν οὐκ ἀσφαλὲς, πολεμίων πάντοθεν ἐπικειμένων, καὶ τὸ εἰς τὴν οἰκείαν ἀναστρέφειν καὶ ἐγκλεισαμένους πολιορκεῖσθαι, οὐκ ἀγεννὲς καὶ ἄτιμον μόνον, ἀλλὰ καὶ κινδύνου ὑποψίαν οὐ παρέχεται μικρὰν, εἰ δεήσει τοσούτους ἐνδείᾳ πιεσθέντας ἀνάξια τῆς προτέρας δόξης ἀναγκασθήσεσθαι ποιεῖν. Μελενίκος γὰρ οὐχ ὅτι γε ἡμᾶς, ἀλλ' οὐδὲ τοὺς οἰκοῦντας τρέφειν δύναται ἀνενδεῶς. οὗ δὴ ἕνεκα αὐτός τε πρότερον ἐμαυτὸν πέπεικα καὶ ὑμῖν συμβουλεύω νῦν, πρὸς τὸν Τριβαλῶν ἄρχοντα ἐλθεῖν, πάλαι τε φιλίως διακείμενον ἐμοὶ καὶ νῦν ὀλίγῳ πρότερον σπονδὰς καὶ συμμαχίαν πεποιημένον. [20]

2 253 οὗ χρησάμενοι τῇ δυνάμει, πρός τε Διδυμότειχον ἐπανήξομεν ταχέως καὶ πρὸς τὰ ἄλλα τοῦ πολέμου οὐ μέτριά τινα ὠφελοῦσαν ἕξομεν τὴν ἐκείνου συμμαχίαν. ἐμοὶ μὲν οὖν τοιαῦτα ἔδοξε λυσιτελεῖν ἐν τῷ παρόντι. εἰ δέ τινα βελτίω γνώμην ἑτέραν ἔχει τις εἰσενεγκεῖν, αὐτός τε πεισθήσομαι ἡδέως καὶ τοῖς ἄλλοις συμβουλεύσω." ὁ μὲν οὖν βασιλεὺς τοιαῦτα εἶπεν. ἡ στρατιὰ δὲ ἅμα τοῖς ἡγεμόσι περὶ δισχιλίους ὄντες, „οὔτε παραινέσεων" εἶπον „χρεία πρὸς ἡμᾶς, ὦ βασιλεῦ, οὔτε βουλευμάτων· ἀλλ' ἃ θεῷ τε καὶ σοὶ δοκεῖ πάντα πράττειν καὶ ὑφίστασθαι παρεσκευάσμεθα. ὡς οὖν οὕτω παρεσκευασμένοις, αὐτὸς ὅποι δοκεῖ βέλτιον ἡγοῦ." πρὸς οὖν τὴν τοιαύτην βραχυλογίαν καὶ ὁ βασιλεὺς ἡσθεὶς, ἐκέλευε τῇ σάλπιγγι τὴν ἀναχώρησιν σημαίνειν καὶ συνταξάμενοι ἐχώρουν. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ ἐν Θεσσαλονίκῃ τὴν ἐσομένην ταραχὴν περὶ τὴν βασιλέως στρατιὰν εἰδὼς, (οἱ γὰρ διαλεγόμενοι κρύφα πρὸς τὸ διαλύεσθαι ἐμήνυον,) ὥσπερ ἀναθαρσήσας καί τι κατὰ βασιλέως δυνήσεσθαι ἐλπίσας διὰ τὴν προδοσίαν τῶν συνόντων, τοὺς ὁπλίτας ὅσοι ἦσαν καὶ ψιλοὺς τοξότας τῶν τριηρέων ἐξαγαγὼν καὶ ἐκ Θεσσαλονίκης ὅσους μάλιστα ἐνῆν ἱππέας τε καὶ ὁπλίτας καὶ ψιλοὺς, καὶ Συργὴν, ὃς καὶ μετὰ μικρὸν ῥὴξ ἀνεδείκνυτο Ἀρμενίας, καὶ τὸν Μονομάχον ἔπαρχον, ἔχοντας, οὓς αὐτοὶ ἐκ Φερῶν ἦκον ἄγοντες, ἔτι δὲ καὶ τὴν ἐκ Βυζαντίου καὶ Θρᾴκης στρατιὰν ἅμα τοῖς στρατηγοῖς Θωμᾷ καὶ Ἀνδρονίκῳ τοῖς Παλαιολόγοις παραλαβὼν, εὐθὺ Γυναικοκάστρου κατὰ βασιλέως ἐχώρει. [5]

2 254 οἱ δὲ ἐπεὶ ἦσαν ἐγγὺς, πρωτοστράτορι καὶ τῇ συναποστάσῃ βασιλέως ἄλλῃ στρατιᾷ περιτυχόντες καὶ πολλαπλάσιοι γενόμενοι τῶν συνόντων βασιλεῖ, ἤλαυνον ἐπ' ἐκεῖνον. οὐ μέντοι ἦσαν παρεσκευασμένοι ὡς μαχούμενοι. ᾔδεσαν γὰρ ἐκείνους τόλμῃ καὶ ἀνδρίᾳ καὶ τῇ περὶ τὰ πολέμια ἐμπειρίᾳ μᾶλλον ὑπερέχοντας αὐτῶν, ἢ ὅσον ἐκείνων αὐτοὶ τῷ πλήθει· καὶ διὰ τοῦτο συμπλέκεσθαι μὲν ἐκ παρατάξεως οὐκ ἐδοκίμαζον. πόῤῥωθεν δὲ ἐθορύβουν καὶ βοαῖς ἐχρῶντο καὶ ἀλαλαγμοῖς, οἰόμενοι τὴν τάξιν οὕτω διαλύσειν καὶ τρέψεσθαι πρὸς φυγὴν, τεταραγμένους ὑπὸ διχοστασίας. βασιλεὺς δὲ ὁ Καντακουζηνὸς οὐδ' αὐτὸς μὲν ᾤετο δεῖν συμπλέκεσθαι, εἰ μὴ παρ' ἐκείνων ἀναγκάζοιτο. πρὸς ἔθος δὲ τὴν πᾶσαν στρατιὰν συντάξας καὶ ἡγεμόνα τοῦ παντὸς Ἄγγελον τὸν πιγκέρνην ἐπιστήσας, αὐτὸς τὴν οὐραγίαν ἔχων μετὰ τῶν ἀρίστων, ἐκέλευε βαδίζειν τεταγμένως, μήτε θορυβοῦντας, μήτε πρὸς τοὺς κατόπιν ἐπιόντας

ἐπιστρεφομένους, ὡς αὐτοῦ ἀμυνουμένου, ἄν τινες ἐπίωσιν. οἱ δὲ ἐπ᾽ ὀλίγον ἀκολουθήσαντες, ἐπεὶ ἑώρων τεταγμένως ἀπιόντας καὶ δήλους ὄντας, ὡς ἀμυνοῦνται, ἂν ἐπίῃ τις αὐτοῖς, ἀπογνόντες τὴν ἐλπίδα τοῦ περιγενήσεσθαι, ἀνέστρεφον εἰς Θεσσαλονίκην, χαίροντες ὁμοῦ καὶ παιανίζοντες, ἀρκοῦσαν ἡγούμενοι τὴν νίκην, ὅτι τῆς Ῥωμαίων γῆς βασιλέα ἐξελάσαι ἠδυνήθησαν. [20]

2 255 ἐπεὶ δὲ οἱ βασιλέως ἀποστάντες ὤφθησαν Ἀποκαύκῳ τῷ μεγάλῳ δουκὶ, ὀλίγοις μὲν πολλὴν ἐπεδείκνυτο φιλοφροσύνην καὶ ἐν τοῖς μάλιστα τῶν φίλων ἦγε, τῶν δὲ ἄλλων τοὺς μὲν ἄκροις χείλεσι μόνον προσηγόρευε, τοῖς ἄλλοις δὲ προσεφέρετο εἰρωνικῶς· ἔστι δὲ οἷς καὶ ὠνείδιζε τὴν μετὰ Καντακουζηνοῦ τοῦ βασιλέως ἀποστασίαν. δῆλος δὲ ἦν πᾶσιν ἐμπικραινόμενος καὶ κακῶς ποιήσων, ἂν λάβηταί τινος προφάσεως εὐλόγου. μβ′. Πυθόμενος δὲ καὶ περὶ Ἐδεσσηνῶν, ὅτι ὑπὸ Τριβαλῶν πολιορκοῦνται χρόνον ἤδη συχνὸν, τοὺς ἱππέας ὅσοι ἦσαν ἅμα τοῖς στρατηγοῖς Παλαιολόγοις τοῖς δυσὶν ἐκέλευε συμπλέκεσθαι τοῖς Τριβαλοῖς καὶ τῆς πολιορκίας Ἐδεσσηνοὺς ἐλευθεροῦν. ἡ μὲν οὖν στρατιὰ κατὰ τὸ ἐπίταγμα ἦκον ὡς μαχούμενοι. Τριβαλοὶ δὲ μέχρι μὲν ἀκροβολισμῶν ἐνέμειναν τῷ στρατοπέδῳ, οἰόμενοι Ῥωμαίους οὐ δυνήσεσθαι αὐτοὺς τῆς πολιορκίας ἀναστήσειν. ὡς δὲ ἑώρων πλείους τε ὄντας καὶ προθύμους μάχεσθαι, δείσαντες, μὴ ὑπὸ φιλονεικίας ἀπόλωνται πλείοσιν ὁμοῦ καὶ βελτίοσι μαχόμενοι, συνταξάμενοι ἀνεχώρουν, τὸ στρατόπεδον καταλιπόντες, ὀλίγους στρατιώτας ἐν τοῖς ἀκροβολισμοῖς ἀποβαλόντες. Ῥωμαῖοι δὲ τὸ στρατόπεδον ἐπόρθησαν τῶν πολεμίων, καὶ ἵππων τε ἐκράτησαν οὐκ ὀλίγων καὶ τῆς ἄλλης ἀποσκευῆς τῆς στρατιᾶς. [20]

2 256 ἐλευθερώσαντες δὲ καὶ τῆς πολιορκίας τοὺς ἐν Ἐδέσσῃ, αὖθις ἀνεχώρουν εἰς Θεσσαλονίκην. ἐν ᾧ δὲ τὰ τοιαῦτα ἐτελεῖτο, καὶ τῶν νομάδων Τριβαλῶν τις περὶ Πρόσοικον οἰκῶν ἐν κώμῃ τοῦ Δαβὶδ προσαγορευομένῃ, Τζιμπάνος ὄνομα, τὰ περὶ Καντακουζηνὸν τὸν βασιλέα ἐν Γυναικοκάστρῳ συμβάντα πεπυσμένος, ἐπεὶ παρ᾽ αὐτῷ οἱ πρέσβεις ἐξενίζοντο, οὓς πρότερον ἔπεμψε πρὸς Κράλην κελεύων ἐμμένειν ταῖς σπονδαῖς ταῖς πρὸς αὐτὸν, οἳ Κωνσταντῖνός τε ἦσαν ὁ Παλαιολόγος, τὴν ἀξίαν πρωτοσεβαστὸς, καὶ Ἀρσένιος ὁ Τζαμπλάκων· περὶ τούτους δὴ ὁ Τζιμπάνος βαρβαρικῶς διατεθεὶς, καὶ ἵππων τῶν ἀγόντων ἐπιθυμήσας καὶ τῆς ἄλλης ἀποσκευῆς οὔσης οὐκ ὀλίγης, ἅμα ἐκείνοις καὶ τέκνα καὶ γυναῖκα καὶ βοσκήματα, ἃ ἦν αὐτῷ περιουσία, παραλαβὼν, ηὐτομόλησε πρὸς μέγαν δοῦκα ἐν Θεσσαλονίκῃ καὶ τοὺς βασιλέως πρεσβευτὰς ὥσπερ τι δῶρον προσήγαγε δεσμώτας. ὁ δὲ ἄγαν ὑπερησθεὶς, τὸν μὲν βάρβαρον ἠμείβετο φιλοτίμως, οἰκιῶν αὐτίκα καὶ κτήσεων μεγάλων, αἳ Τζαμπλάκωνι ἦσαν ἐν Θεσσαλονίκῃ, κύριον ἀποδείξας. εἰς τοὺς δεσμώτας δὲ πρότερον αὐτὸς δι᾽ ἑαυτοῦ πολλὰ ἐνυβρίσας καὶ πᾶσαν ἐπιδειξάμενος πικρίαν, πρωτοσεβαστὸν μὲν ἐκέλευεν εἰς δεσμωτήριον ἀπάγειν, Τζαμπλάκωνα δὲ τοῖς τριηράρχαις παρεδίδου, ὡς ἅμα τοῖς ναύταις ἀτάκτως ἐνυβρίσουσιν. οἱ δὲ ἐπὶ μίαν τῶν τριηρέων ἀναγαγόντες, καὶ τοῦ δήμου σχεδὸν τῶν Θεσσαλονικέων παντὸς παρόντος, τὰ μοναχῶν, ὥσπερ εἴωθεν, ἠμφιεσμένον, ἐπέθηκαν τῇ κεφαλῇ πῖλόν τι, ὃ τοῖς πολλοῖς καὶ δημώδεσι τῶν Περσῶν ἐπὶ τῆς κεφαλῆς φορεῖν ἔθος, λαμπάδας τε ἡμμένας ἀμφοτέραις κατέχειν ἀναγκάζοντες ταῖς χερσὶν, ὄπισθεν μὲν ἐλάκτιζον ἐπὶ τὸν πρωκτόν· εἶτα παριόντες, ἔμπροσθεν ἠσπάζοντο, „οὗτος“ ἐπιβοῶντες „ὁ πατριάρχης Καντακουζηνοῦ. [5]

2 257 “ μετὰ δὲ τὴν πολλὴν ἐκείνην ἐρεσχελίαν καὶ τὸν θρίαμβον τὸν ἄτιμον, ἐκέλευε καὶ αὐτὸν εἰς δεσμωτήριον ἀπάγειν. μετὰ δὲ τοῦτο τὰ ἐν Θεσσαλονίκῃ πράγματα ὡς ἂν αὐτῷ ἐδόκει ἄριστα, οἰκονομήσας καὶ πρὸς τὸν πρὸς βασιλέα πόλεμον πάντας παραθήξας, αὐτὸς μὲν ἐκ θαλάσσης, ἡ ἵππος δὲ ἐκ τῆς ἠπείρου εἰς Βυζάντιον ἀνέστρεφε. βασιλεὺς δὲ ὁ Καντακουζηνὸς μετὰ τὸ τὴν ἐκ Βυζαντίου καὶ Θεσσαλονίκης στρατιὰν αὐτοῦ ἀναχωρῆσαι πρὸς τὴν μάχην ἀπειποῦσαν, τὸ ἐπίλοιπον ὁδεύσας τῆς ἡμέρας, παρὰ τῶν Προσοίκου στενῶν τὴν εἰσβολὴν ηὐλίσατο τὴν

νύκτα. ὁ δὲ Πρόσοικος οὗτος φρούριόν ἐστι καρτερώτατον ἐπὶ λόφου ἱδρυμένον, ὃ πάλαι μὲν ὑπὸ τὴν Ῥωμαίων ἡγεμονίαν διετέλει, κατὰ δὲ τὸν βασιλέων Ἀνδρονίκων πρὸς ἀλλήλους πόλεμον πρὸς τὸν ἄρχοντα τῶν Τριβαλῶν ὑπὸ τῶν κατεχόντων ἑκόντων παρεδόθη μίσει τῷ πρὸς τὸν νέον βασιλέα. τότε δὲ ὑπὸ Μιχαήλ τινος, τοῦ Τριβαλῶν ἄρχοντος παραδόντος, ἐκρατεῖτο. ὃς δὴ Μιχαὴλ, τῶν βασιλέως οἰκείων, ὡς ὕστερον αὐτὸς ἔφασκεν, ὢν, πρὸς Κράλην αὐτομολήσειεν ἔκ τινος αἰτίας. [20]

2 258 τότε δὴ τὴν στρατιὰν ἰδὼν ἐστρατοπεδευμένην καὶ νομίσας ἐκ Ῥωμαίων οὖσαν ἐπὶ λείαν ἥκειν, πεζούς τε καὶ ἱππέας ὅσους μάλιστα ἠδύνατο ἀθροίσας, τῆς νυκτὸς προκατέλαβε τὰ στενὰ καὶ ἅμα πρωῒ παρεσκευάζετο πρὸς μάχην, ὡς τὴν δίοδον τῇ στρατιᾷ οὐκ ἐπιτρέψων. βασιλεύς τε ὁμοίως, ἐπεὶ ἐκείνους εἶδε περὶ τὰ καρτερώτατα τοῦ χωρίου ἐγκαθιδρυμένους, τὴν στρατιὰν ἐκέλευεν ὁπλίζεσθαι ὡς βιασόμενος· πρὸς ἕτερόν τι γὰρ τρέπεσθαι βέλτιον οὐκ ἐνῆν. Μιχαὴλ δὲ τήν τε στρατιὰν ἐθέλων ὅθεν εἴη μαθεῖν καὶ τὸν ἄγοντα στρατηγὸν, πλησίον τε γενόμενος τοῦ στρατοπέδου καί τινας τῶν συνήθων καὶ φίλων πόῤῥωθεν ἰδὼν, ἐκάλει τε αὐτοὺς ὀνομαστὶ καὶ ἐπυνθάνετο περὶ τοῦ στρατηγοῦ. ἐκείνων δὲ ἀπαγγειλάντων, ὡς εἴη βασιλεὺς ὁ Καντακουζηνὸς, μηδὲν μελλήσας προσῄει τε αὐτίκα καὶ ἠσπάζετο τὸν πόδα. ἔπειτα καὶ ἑαυτὸν ἀναγνωρίσας, συνήλγησέ τε πρὸς τὴν δυσπραγίαν βασιλεῖ καὶ περὶ τὰ ἄλλα προθυμότατον ἑαυτὸν παρέσχετο, χάριν τῷ θεῷ πολλὴν ὁμολογῶν, ὅτι πρὸς τοῦτο καιροῦ συντύχοι, ἐν ᾧ τὴν εὔνοιαν ἐξέσται τὴν πρὸς ἐκεῖνον φανερὰν ποιεῖν. τήν τε οὖν δίοδον εὐθὺς ἀπονητὶ παρείχετο καὶ ἐξένιζεν ἐκ τῶν ἐνόντων τὴν στρατιάν. τὴν μὲν οὖν ἡμέραν ἐκείνην ἐν Προσοίκῳ διετέλεσεν ὁ βασιλεὺς ξενιζόμενος ὑπὸ Μιχαὴλ, ἅμα δ’ ἵνα καὶ ἡ στρατιὰ πορίζοιτο τὰ ἐπιτήδεια· ἦσαν γὰρ παντάπασι τῶν ἀναγκαίων ἐνδεεῖς. ἐς τὴν ὑστεραίαν δὲ ἄρας ἐκεῖθεν καὶ Ἀξιὸν διαβὰς τὸν ποταμὸν, τῆς ἐπὶ Σκοπιὰν πόλιν, καὶ αὐτὴν πάλαι μὲν Ῥωμαίων οὖσαν, ἔτεσι δὲ πολλοῖς πρότερον ὑπὸ Τριβαλῶν κατεχομένην, εἶχετο φερούσης. [20]

2 259 ἐπεὶ δὲ ἔδει παριέναι Βελεσσὸν πόλιν, καὶ αὐτὴν ταῖς ἄλλαις παραπλησίως ὑπὸ Τριβαλῶν κατεχομένην, ἀθρόον ὡρᾶτο στρατιὰ τὴν πέραν τοῦ ποταμοῦ γῆν διερχομένη. νομίσας δὲ ὁ βασιλεὺς ὅπερ ἦν, τὸν δυνατώτατον εἶναι τῶν Τριβαλῶν Λίβερον ὠνομασμένον, (ἐκεῖ γὰρ ἐπύθετο ἐκεῖνον διατρίβειν,) τῶν συνόντων ἐκέλευέ τινα διανηξάμενον ἔφιππον, (ἄπορος γὰρ ἦν ὁ ποταμὸς ἐκεῖ,) πρὸς ἐκεῖνον ἀφικέσθαι· προσαγορεύσαντα δὲ αὐτὸν ἐκ βασιλέως, ἔπειτα καὶ γνώμην παρ’ αὐτοῦ ζητεῖν, ᾗ χρὴ διαθέσθαι τὰ κατ’ αὐτοὺς, τοῦτον συνεσκευασμένα τὸν τρόπον, ὃν ἐγένετο. Λίβερος δὲ ἐπεὶ πύθοιτο τοὺς παρὰ βασιλέως λόγους, ἡδέως τε μάλιστα ἐδέξατο καὶ τῶν οἰκείων ἕνα ἅμα τῷ ἐκ βασιλέως ἥκοντι συναποστείλας, ἀντησπάζετό τε καὶ αὐτὸς ἐκ τοῦ ὁμοίου καὶ τὸν ποταμὸν ἐδεῖτο μικρὸν ἄνωθεν παριόντα, ἔνθα εὐχερῆ μάλιστα πρὸς πόρον παρέχεται αὐτὸν, αὐτῷ συγγενέσθαι διαβάντα ἄνευ πόνου· ἔπειτα καὶ ἅπερ οἴεται λυσιτελήσειν συμβουλεύσειν. καὶ πρότερον μὲν γὰρ φιλίως διακεῖσθαι πρὸς αὐτὸν, ἐξ ὅτου βασιλέως Ἀνδρονίκου τῷ Κράλῃ συγγενομένου καὶ αὐτὸς ὡμιληκὼς αὐτῷ οὐ μικρὰν ἔσχε φιλίας ἀφορμὴν τὴν συντυχίαν. νῦν δὲ δὴ μᾶλλον οὐ φίλος εἶναι μόνον, ἀλλὰ καὶ τῶν δουλευόντων ἀκριβῶς εἶναι βούλεσθαι. ὁ μὲν οὖν βασιλεὺς κατὰ τὴν παραίνεσιν ἐκείνου μικρὸν ἀνωτέρω προελθὼν, τόν τε ποταμὸν διέβαινεν εὐχερῶς καὶ Λιβέρῳ συνεμίγνυτο. [25]

2 260 ὁ δὲ οἷά τε δεσπότῃ προσεφέρετο τῷ βασιλεῖ καὶ πᾶσαν παρείχετο τιμήν· πρὸς τὴν οἰκίαν τε ἀγαγὼν, ἐξένισεν ἐπὶ τρισὶν ἡμέραις ἅμα πᾶσαν τὴν στρατιὰν μάλα φιλοτίμως. ἔπειτα συνεβούλευε βασιλέα μὲν ἐλθεῖν εἰς Σκοπιὰν κἀκεῖ τὴν ἐκ Κράλη ἀγγελίαν περιμένειν· αὐτὸν δὲ πρότερον ἐλθόντα πρὸς ἐκεῖνον πάσῃ χρήσασθαι σπουδῇ, ὥστε πεῖσαι τὴν βασιλέως ἄφιξιν ἡπίως δέξασθαι καὶ προσηνῶς. ὃ δὴ καὶ κατὰ τὴν ἐκείνου παραίνεσιν ἐτελεῖτο, καὶ βασιλεὺς μὲν ἀφίκετο εἰς Σκοπιάν. μγ′. Λίβερος δὲ συντόνῳ χρησάμενος ὁδοιπορίᾳ ὀλίγῳ χρόνῳ περί τινα τόπον Μοράβαν ἐγχωρίως προσαγορευόμενον τῷ Κράλῃ συντυγχάνει Ἑλένην

προπέμποντι τὴν γυναῖκα πρὸς τὸν βασιλέα Μυσῶν Ἀλέξανδρον, ὄντα ἀδελφὸν, ἀφικνουμένην. ἀπαγγείλας δὲ αὐτοῖς τὰ περὶ βασιλέα τὸν Καντακουζηνὸν ὑπὸ τῶν ὁμοφύλων εἰργασμένα, καὶ ὡς προδοσίᾳ τῶν ἑπομένων τῆς Ῥωμαίων γῆς ἀπελαθεὶς, ἀφίκοιτο παρ' αὐτοὺς, ἔπειθε φιλοφρόνως δέξασθαι καὶ μεγαλοπρεπῶς, ὡς τῆς εἰς ἐκεῖνον φιλοτιμίας πολλῆς ἐκείνοις τε καὶ παιδὶ καὶ πάσῃ τῇ Τριβαλῶν ἀρχῇ τὸν ἔπειτα πάντα χρόνον εὐδοξίας ἐσομένης ἀφορμῆς. οἱ δ' αὐτίκα τε ἐπείθοντο καὶ ἀνέστρεφον ἐκ τῆς ὁδοιπορίας, ὡς ἀφιξόμενοι πρὸς βασιλέα. πέμψαντες δὲ πρὸ αὐτῶν Μπογδάνον τὸν Λιβέρου ἀδελφὸν, ἠσπάζοντό τε βασιλέα καὶ ἐδήλουν, ὡς ὀλίγῳ ὕστερον ἀφιξόμενοι πρὸς ἐκεῖνον. ὁ δ' ἐπεὶ πύθοιτο Κράλην ἅμα γυναικὶ ἀφικνουμένους πρὸς αὐτὸν, ἀντησπάζετο μὲν καὶ αὐτὸς αὐτοὺς καὶ πολλὴν ὡμολόγει τῆς φιλίας χάριν. [25]

2 261 ἀναστάς τε ἐκ Σκοπιᾶς, πρός τινα τόπον ἦλθε Ταὼ διὰ τὸ κάλλος ὠνομασμένον, ἔνθα περὶ κώμην τινὰ ἀτείχιστον Πρίστηνον προσαγορευομένην συνεμίγνυτο τῷ Κράλῃ ἀφιγμένῳ ἅμα γυναικί. οἱ δ' ἐδέξαντο μὲν βασιλέα μεθ' ὅσης ἂν εἴποις φιλοτιμίας καὶ σπουδῆς. οὐχ ἧττον δὲ καὶ αὐτοὶ διὰ τὴν ἐκείνου ἄφιξιν συνήδοντό τε καὶ συνέχαιρον ἑαυτοῖς τιμῆς τε ἠξίουν μάλιστα πολλῆς. ἐν ἅπασι γὰρ αὐτὸν προῆγεν ἑαυτοῦ καὶ ὡς κρείττονι τῶν πρωτείων παρεχώρει. ἔν τε γὰρ ταῖς ἀνακλίσεσι τὴν κρείττω καὶ ὑψηλοτέραν παρείχετο καθέδραν καὶ ἐν ὁδοιπορίαις καὶ ἐν ἅπασι τοῖς ἄλλοις προετίθει ἑαυτοῦ. ἔθους δὲ ἀρχαίου παρὰ Τριβαλοῖς κεκρατηκότος, ἐπειδάν τις τῶν εὐγενεστέρων καὶ μεγάλα δυναμένων ἔλθῃ διὰ χρόνου πρὸς τὸν ἄρχοντα αὐτῶν καὶ δέῃ ποιεῖσθαι τὴν πρώτην προσαγόρευσιν, ἀμφοτέρους ἀποβαίνοντας τῶν ἵππων, πρῶτα μὲν τοῦ ἄρχοντος τὸ στῆθος τὸν ὑποδεέστερον ἀσπάζεσθαι, ἔπειτα καὶ τὸ στόμα, καὶ μηκέτι κατὰ δευτέραν συντυχίαν ἀποβαίνειν τὸν δουλεύοντα τοῦ ἵππου, ἀλλ' ἔφιππον καὶ αὐτὸν προσαγορεύειν τὸν δεσπότην. πρὸς μὲν ἐκεῖνον πάλιν τὰ εἰωθότα ἐτελεῖτο, βασιλεῖ δὲ κατὰ τὸ Ῥωμαίων ἔθος ἐκέλευσε προσφέρεσθαι τοὺς Τριβαλούς· καὶ κατὰ πᾶσαν μὲν συντυχίαν τῶν ἵππων πάντας ἀποβαίνειν, κατὰ δὲ τὴν πρώτην μάλιστα καὶ πόῤῥωθεν ἀποβάντας καὶ προσελθόντας πεζῇ οὕτως ἀσπάζεσθαι ἐπὶ γόνυ βασιλέα. [25]

2 262 καὶ τὸ δὴ θαυμαστότερον, ὅτι εἴ ποτε συνοῦσιν ἀμφοτέροις ἐδέησέ τινα τῶν εὐγενεστέρων Τριβαλῶν προσελθεῖν, Κράλης μὲν κατὰ τὸ εἰωθὸς ἐποίει καὶ ἀπέβαινε τοῦ ἵππου πρὸς τὴν προσαγόρευσιν, βασιλεὺς δὲ μένων ἔφιππος, ἠσπάζετο τὸν προσιόντα. πρὸς δὲ τὴν οἰκίαν ἐκείνου εἰσιόντα, (εἰσῄει δὲ ὁσημέραι σχεδόν· οὐ γὰρ εἶα μένειν ἐπὶ τῆς σκηνῆς, πάσης ἡδίω διατριβῆς τὴν πρὸς ἐκεῖνον τιθέμενος ὁμιλίαν,) ἔξω μὲν τῆς πύλης τοὺς νέους τῶν εὐγενεστέρων πεζῇ θέοντας ἐκέλευεν ὑπαντᾶν, ἔνδον δὲ τῆς αὐλῆς τοὺς πρεσβυτέρους καὶ ἀξίαις ταῖς παρ' αὐτοῖς τετιμημένους, αὐτὸς δὲ ἐπὶ τὸν πρῶτον μάλιστα τῶν οἴκων μετὰ τὴν αὐλὴν προσηγόρευεν ὑπαντῶν, ἢ καὶ ἄχρι τοῦ τόπου ἔνθα τοῦ ἵππου ἀπέβαινε προΐει. οὐχ ἧττω δὲ φιλοτιμίαν καὶ ἡ τοῦ Κράλη γαμετὴ πρὸς βασιλέα ἐπεδείκνυτο, ἐν πᾶσι μάλιστα ἐκείνου οὐδαμῶς ἀπολείπεσθαι φιλονεικοῦσα. ταῦτα μὲν οὖν παρὰ πάντα τὸν χρόνον, ἐν ᾧ συνδιέτριβεν αὐτοῖς ὁ βασιλεὺς, ἐπράττετο. ἐν ἀρχαῖς δὲ τῆς ἐπιδημίας μάλιστα ἐν ἡμέραις οὐκ ὀλίγαις πότοις καὶ φιλοτησίαις ὁ τῶν Τριβαλῶν ἄρχων τὴν πρὸς βασιλέα εὔνοιαν ἐπιδειξάμενος, ἔπειτα ἐπυνθάνετο, ὅτου χάριν ἀφίκοιτο πρὸς αὐτὸν καὶ εἰ δέοιτο παρ' αὐτοῦ τινος. βασιλεὺς δὲ ἥκειν μὲν ἔφασκε τῆς εἰς αὐτὸν φιλίας ἕνεκα. οὐ γὰρ ἂν εἴη τι βέλτιον καὶ σωφρονέστερον ἀνθρώποις ὀρθοῖς χρωμένοις λογισμοῖς τοῦ βεβαίαν καὶ ἀληθῆ φιλίαν κτήσασθαι. ἔπειτα δὲ εἴγε βούλοιτο καὶ δύναιτο καὶ βοηθείας παρ' αὐτοῦ τυχεῖν, ὥστ' ἐπανελθεῖν πρὸς τὴν οἰκείαν. [20]

2 263 οἴεσθαι δὲ μηδ' αὐτὸν ἀγνοεῖν τὰ αὐτῷ συμβεβηκότα ἐν ἐννέα μάλιστα μησὶν ἤδη τοῦ παρὰ Ῥωμαίοις πολέμου κεκινημένου, ὅπως τε φθονηθείη παρὰ τῶν ὁμοφύλων μηδὲν ἠδικηκὼς, καὶ ὡς κινηθείη παρ' ἐκείνων πόλεμος ἀκήρυκτος, καὶ τὰ τελευταῖα ταῦτα δὴ, ὡς προδοθείη

παρὰ τῶν συνόντων πρὸς τοὺς πολεμίους ἀποστάντων. εἰ δὲ μὴ βούλοιτο βοηθεῖν, ἀπαγορεύειν φανερῶς, ὥστ' αὐτὸν διασκεψάμενον, ὅ, τι ἂν δοκοίη βέλτιον αὐτῷ τε καὶ τοῖς συνοῦσι πράττειν. μὴ θαυμάζειν δὲ, ὡς, εἴγε δύναιτο βοηθεῖν, εἰρήκει. οὐ γὰρ ἀδυναμίαν αὐτοῦ κατεγνωκὼς τοιαῦτα φάναι, ἀλλ' εἰδὼς, ὡς πᾶσιν ἀνθρώποις ἡ μὲν βούλησις ὁμοίως ἐπ' ἐξουσίᾳ κεῖται, τὸ δύνασθαι δὲ οὐκέτι. ἐνιότε γὰρ καὶ αὐτοὶ οἱ μεγάλα δοκοῦντες δύνασθαι ὑπό τινων κωλυμάτων τὴν τοῦ πράττειν, ἃ βούλονται, δύναμιν ἀποστεροῦνται, ἢ πολεμίων ἄλλων δυνατωτέρων ἐπικειμένων, ἢ αὐτοὶ ὁμόροις ἔθνεσί τισι μέλλοντες ἐπιστρατεύειν. διὰ τοῦτο φάναι τὸ εἰ δύναιτο· ὃ δίκαιον αὐτὸν μὴ θορυβεῖν, πολλῶν τοιούτων ἐν τῷ βίῳ συμβαινόντων. ἔφασκε δὲ ὕστερον, ἐξεπίτηδες τοιαῦτα πρὸς Κράλην εἰρηκέναι, ὡς, εἰ μὴ βούλοιτο βοηθεῖν, προφάσεως εὐπροσώπου παρὰ τῶν ἐκείνου λόγων εὐπορoίη, ὥστε τὴν μὲν βοήθειαν ἀπαγορεύειν, μηκέτι δὲ καὶ τὴν φιλίαν τὴν πρὸς αὐτόν. ἐδεδίει γὰρ, μὴ ἐκπολεμωθείη πρὸς αὐτὸν, εἰ μὴ βούλοιτο βοηθεῖν, νομίσας ἤδη διὰ τὴν ἀποτυχίαν τῆς ἐπικουρίας εἰς ὀργὴν ἐξάγεσθαι καὶ ἔχθραν. [25]

2 264 ὁ Κράλης δὲ „καλῶς ἐποίησας," εἴρηκεν „ὦ βασιλεῦ, τὸν λόγον διασαφήσας· ὑπέθραττε γὰρ οὐκ ὀλίγον καὶ ἐθορύβει τὴν διάνοιαν, ὡς ἀγνοῶν τὴν ἐμοὶ παροῦσαν δύναμιν οἰόμενον τοιαῦτα λέγεις. ἐπειδὴ δὲ τῶν τοιούτων ἀπήλλαξας ὑπονοιῶν, ἤδη σοι τὴν γνώμην καὶ αὐτὸς ποιήσω φανερὰν, ὡς δύναμίν τε ἔχω μάλιστα ἀρκοῦσαν πρὸς τοὺς πολεμοῦντάς σοι, καὶ ἡδέως ἂν ἐπικουροίην, εἴγε βούλει καὶ αὐτός." ἀποκριναμένου δὲ τοῦ βασιλέως, ὡς τῆς μὲν φιλίας ἕνεκα καὶ τῆς προθυμίας τῆς περὶ αὐτὸν πολλὰς ἂν εἰδείη χάριτας, ἀγνοοίη δὲ πρὸς ὅ, τι φέρει τὸ εἰ βούλοιτο καὶ αὐτός· μισθὸν τῆς συμμαχίας ὁ Κράλης τὰς ἀπὸ Χριστουπόλεως πρὸς τὴν ἑσπέραν ἁπάσας πόλεις Ῥωμαίοις ὑπηκόους ᾔτει, εἰ δὲ τοῦτο ἐπαχθὲς δοκοίη, τὰς γοῦν ἀπὸ Θεσσαλονίκης. οὐ γὰρ ἐπ' οὐδενὶ κέρδει χρήματά τε ἀναλώσουσι πρὸς τὸν πόλεμον ὑπὲρ αὐτοῦ τοσαῦτα καὶ διακινδυνεύσουσι πρὸς πᾶσαν τὴν Ῥωμαίων ἡγεμονίαν, οἷς οὐδ' ὑπὲρ σφῶν αὐτῶν ποτε ἐτόλμησαν πόλεμον ἄρασθαι τοσοῦτον, ὥστε πρὸς Θρᾴκην ἢ καὶ περαιτέρω προελθεῖν. οἴεσθαι δὲ ἄριστά τε καὶ λυσιτελέστατα αὐτῷ βουλεύεσθαι. εἰ γὰρ ὧν οὐκ ἔστι κύριος ἀποσχόμενος, οὐχ ἑαυτῷ καὶ τοῖς συνοῦσι μόνον, ἀλλὰ καὶ παισὶ μεγάλην ὠφέλειαν πορίσαιτο, καὶ προσέτι τοὺς πολεμιωτάτους διαφθείρας, τῶν ἐπιλοίπων πόλεων κύριος κατασταίη, ἀγαπᾷν προσῆκον καὶ μὴ πέρα τοῦ καιροῦ καὶ τοῦ μετρίου φιλονεικεῖν. [20]

2 265 ὁ βασιλεὺς δὲ „ὀρθῶς" εἶπε „περὶ τοῦ κέρδους τῆς συμμαχίας καὶ τῶν πόνων καὶ τῶν πρὸς τὸν πόλεμον ἀναλωμάτων ἐλογίσω. οὐδεὶς γὰρ εὖ φρονῶν, εἰ μή τινα πρότερον ἐκ τῶν πραττομένων ὠφέλειαν συνορᾷη, κόπτεσθαι καὶ ταλαιπωρεῖν ἕλοιτ' ἂν ἑκών. σὺ δ' εἰ μὲν οὐδεμίαν ἐμοὶ βούλει χάριν καταθεῖναι, λόγον ἂν ἔχοι μισθὸν τῆς συμμαχίας ἀπαιτεῖν, ὃν εἰ παράσχωμαι αὐτὸς, οὐδεμίαν εἴσομαί σοι τῆς ἐπικουρίας χάριν. οὐδὲ γὰρ ὁ ἀργυρίῳ τι παρά του ἐξωνούμενος χάριν ἂν εἰδείη τῷ πιπράσκοντι τοῦ παρασχέσθαι. εἰ δὲ φιλίας μόνης ἕνεκα καὶ τῆς πρεπούσης δυνάστῃ φιλοτιμίας ἕλοιο προῖκα βοηθεῖν, πρῶτον μὲν τὰ προσήκοντα βουλεύσῃ περὶ σεαυτοῦ, οὐ μισθοῦ ἕνεκα, ὅπερ πάσχουσιν οἱ πολλοὶ καὶ φαῦλοι τῶν ἀνθρώπων, ἀλλὰ φιλίας καὶ φιλοτιμίας στρατευόμενος· ἔπειτα καὶ ὧν ζητεῖς ἐξέσται πλείω ἔχειν μετὰ πολλοῦ τοῦ περιόντος. εἰ γὰρ ἐμὲ, τὸν ἄρξοντα Ῥωμαίων, γνήσιον κτήσῃ φίλον, οὐ τῶν ἐκ Χριστουπόλεως μόνον καὶ Θεσσαλονίκης ἄχρι τῆς σῆς ἡγεμονίας ὅρων πόλεων, ἀλλὰ καὶ νήσων καὶ Βυζαντίου καὶ τῆς ἄλλης Θρᾴκης ἔχειν ἐξέσται τὴν ἀρχήν· κοινὰ γὰρ οἱ σοφοί φασι τὰ φίλων· καὶ συμβήσεταί σοι μετὰ τῆς ἀπὸ τῶν ἔργων φιλοτιμίας καὶ μείζω καὶ θαυμασιωτέραν τὴν ὠφέλειαν καρποῦσθαι. εἰ μὲν οὖν ἐμοὶ πειθόμενος καὶ πᾶσαν ὑπεριδὼν μικρολογίαν, προῖκα βοηθήσεις, σαυτῷ τε καὶ ἡμῖν προσήκοντα βουλεύσῃ. [20]

2 266 εἰ δ' ἄρα οὕτως ἔγνωκας, ὡς οὐδενί τῳ τρόπῳ ἑτέρῳ βοηθήσων, εἰ μή σοι καταπροδοίημεν τὰς Ῥωμαίων πόλεις, ἀλλ' ἡμῖν γε φράσον φανερῶς, ὡς ἂν πρὸς ἕτερόν τι τῶν λυσιτελεῖν

τρεπώμεθα δοκούντων, θεοῦ συναιρομένου. ἴσθι γὰρ, ἴσθι σαφῶς, ὡς οὐ πολλὰς καὶ θαυμασίας, ἅσπερ εἴρηκας αὐτὸς, ἀλλ᾽ οὐδεμίαν καὶ τὴν φαυλοτάτην ἑκόντες ὄντες προησόμεθα, οὐδ᾽ ἀλλαξαίμην ἂν ἡδέως αὐτῆς τὴν σφετέραν καὶ τῶν παίδων σωτηρίαν. μδ′. Ὁ μὲν οὖν Κράλης ἐξεπέπληκτο μὲν τὴν τόλμαν τοῦ φρονήματος καὶ τὴν καρτερίαν τὴν ἐν τοῖς δεινοῖς· ἤχθετο δὲ οὐκ ἀνεκτῶς, ὅτι μὴ πείθειν εἶχεν. Ἑλένη δὲ ἡ γαμετὴ παροῦσα καὶ τῆς διανοίας τοῦ ἀνδρὸς καταστοχαζομένη, ὡς βαρέως φέροι τὴν περὶ τῶν πόλεων ἀπαγόρευσιν τοῦ βασιλέως, μεταστήσασα τὸν ἄνδρα καὶ τοὺς ἐν τέλει καὶ μεγάλα δυναμένους παρ᾽ αὐτοῖς προσπεμψαμένη τέσσαρας ὄντας πρὸς τοῖς εἴκοσιν, „ὡς μὲν ἐφ᾽ ἡμῖν ἐστιν,“ εἶπεν „ἀφιγμένον πρὸς ἡμᾶς τὸν Ῥωμαίων βασιλέα εὖ ποιεῖν ἢ τὸ ἐναντίον, οὐδεὶς δήπουθεν ἀντερεῖ. σκεπτέον δὲ, ὁποτέρῳ προσθεμένους, νοῦν ἔχοντα καὶ λυσιτελοῦντα δόξομεν ἑλέσθαι ἑαυτοῖς. εἰ μὲν οὖν ἑλοίμεθα κακῶς ποιεῖν, ἢ ἀποκτενοῦμεν πάντως, ἢ κεναῖς ἀποπέμψομεν, ὅ φασι, χερσὶ, μηδεμιᾶς προνοίας ἢ ἐπικουρίας ἀξιώσαντες. [20]

2 267 τὸ μὲν οὖν ἀποκτείνειν, οὐκ οἶδα εἴ τις εἰς τοσοῦτον ἀπανθρωπίας ἥκει καὶ ὠμότητος, ὡς αὐτός τε ἑλέσθαι καὶ τοῖς ἄλλοις συμβουλεῦσαι. πρὸς γὰρ τῷ θεῷ ἐχθίστην εἶναι τὴν τοιαύτην τόλμαν, καὶ παρὰ πᾶσιν ἀνθρώποις σαφῆ παρέχεται κακίας καὶ μοχθηρίας ἀπόδειξιν ὑπερβολῆς. τὸ γὰρ νῦν τε ὄντα Ῥωμαίων βασιλέα καὶ πρὶν εἰς τοῦτο ἥκειν σχήματος πολλοῖς πρότερον χρόνοις ὁμοίως ἄρχοντα, καὶ παρὰ πάντων καὶ Ἑλλήνων καὶ βαρβάρων ἀγαπώμενον καὶ περισπούδαστον ὄντα διὰ τὴν προσοῦσαν ἐπιείκειαν καὶ σύνεσιν καὶ φιλοτιμίαν ἐν πᾶσιν ἀγαθοῖς, νῦν ἥκοντα παρ᾽ ἡμᾶς διὰ πραγμάτων μεταβολὴν, πρὸς τῷ μὴ προστῆναι καὶ ἀνήκεστα διαθεῖναι οὐκ ὠμότητος καὶ ἀπανθρωπίας μόνον, ἀλλὰ καὶ ἀσεβείας ἔγκλημα ἡμῖν δικαίως περιάψαι. οὗ δὴ ἕνεκα τῶν τοιούτων αὐτή τε ἔγνωκα καὶ ὑμῖν ἀποσχέσθαι παραινῶ. τὸ δ᾽ ἀποπέμπειν ἄπρακτον ἀβουλίας ἄν τις τιθείη λογιζόμενος ὀρθῶς. οὐ γὰρ μόνον ἀγνοίας περὶ τὰ καλὰ καὶ ἀφιλοτιμίας δικαίως ἂν ἁλοίημεν παρὰ τοῖς κρίνειν τὰ τοιαῦτα δεινοῖς, ὅτι ὃν ἐπεθύμουν πολλοὶ τῶν δυναστῶν καὶ πολλὰ ἐπραγματεύοντο φίλον ἔχειν, τοῦτον ἔχοντες αὐτοὶ καὶ δυνάμενοι τῶν ἄλλων μᾶλλον τὴν παρ᾽ αὐτοῦ φιλίαν καρποῦσθαι, ἑκόντες ὄντες προηκάμεθα δι᾽ ἀγροικίαν. ἀλλ᾽ εἴ ποτε συμβαίη καὶ Ῥωμαίων ἄρξαι, μεμνημένος, ὡς οὐδεμιᾶς ἐπικουρίας τύχοι παρ᾽ ἡμῶν, ἀλλὰ τόγε εἰς ἡμᾶς ἦκον, καὶ τοῖς πολεμίοις καταπροδοθείη, (οὐδὲ γὰρ ἧττον τούτου νυνὶ τὸ ἀποπέμψαι δύναται,) ἀμυνεῖται δικαίως καὶ κακῶς ποιήσει τὰ ἡμέτερα, ἄλλων τε πολλῶν προφάσεων εὐπορήσας ἂν καὶ τὴν νῦν προδοσίαν ἐπικαλῶν. [5]

2 268 δι᾽ ἃ οὐδὲ ἀποπέμπειν ἄπρακτον οἶομαι λυσιτελεῖν. λείπεται δὴ βοηθεῖν, ἢ παραχωρήσαντι τῶν πόλεων, ὧν αἰτοῦμεν, ἢ προῖκα καὶ διὰ φιλοτιμίαν. τὸ μὲν οὖν τῶν πόλεων παραχωρεῖν αὐτὸν ἐμοὶ μὲν ἥδιστον καὶ μάλιστα βουλοίμην ἄν· ἐκεῖνος δὲ, ὡς ὁρῶμεν, τοσοῦτον ἀπέχει τοῦ διὰ τὴν παροῦσαν δυσπραγίαν κατεπτηχέναι καὶ ταπεινὰ καὶ ἀνελεύθερα φρονεῖν, ὥσθ᾽ ἡδέως ἂν, ὥσπερ ἔφη, τῆς αὐτοῦ καὶ παίδων καὶ πάντων τῶν συνόντων σωτηρίας τῆς μιᾶς καὶ φαυλοτάτης πόλεως ἀλλάξαιτο. ὅτε τοίνυν οὕτως ἔχει καὶ ἐλευθέρῳ πρέποντα ἀνδρὶ καὶ βασιλεῖ προσήκοντα ἀπεφήνατο, βέλτιον ἐμοί τε ἔδοξε καὶ ὑμῖν πᾶσι παραινῶ, ᾗ ἐκεῖνος ἀξιοῖ ποιεῖν καὶ, πᾶσαν μικρολογίαν καὶ ἀνελευθερίαν ἀποῤῥίψαντας, πάσῃ δυνάμει βοηθεῖν, καὶ τὴν Ῥωμαίων αὐτῷ ἡγεμονίαν κατακτᾶσθαι, οὐ μικρὰν ὠφέλειαν ἡγουμένους τὴν παρὰ πάντων ἡμῖν εὔκλειαν ἐσομένην καὶ τὸ φίλον κτήσασθαι καὶ σύμμαχον τοιοῦτον, ὃν πολλοὶ μὲν ἐπιθυμοῦσι, τυγχάνουσι δὲ οὐδὲ ὀλίγοι, καὶ ὃν οἱ ἔχοντες αὐτοὶ, ἀγνοήσαντες καὶ τὰ χείριστα καὶ ἀλυσιτελέστατα βουλευσάμενοι ἑαυτοῖς, ἀπεώσαντο ἑκόντες. τοῦτο δὲ μόνον παρ᾽ αὐτοῦ αἰτεῖν ὅρκοις βεβαιοῦσθαι, ὥστε σύμμαχόν τε καὶ φίλον διὰ βίου ἡμῖν εἶναι καὶ, ἃς ἔχομεν νυνὶ πόλεις αὐτοί τε καὶ πατέρες οἱ ἡμέτεροι τῆς Ῥωμαίων ἀφελόμενοι ἡγεμονίας, μηδεμίαν ἀπαιτεῖν, ὅταν ἐπὶ τῆς ἀρχῆς καταστῇ, μηδὲ πόλεμον κινεῖν περὶ αὐτῶν ἐπιχειροῦντα ἀφελέσθαι. [5]

2 269 ᾧ καὶ αὐτὸν οἴομαι συνθήσεσθαι ῥᾳδίως, δίκαιόν τε ὂν ὁμοῦ καὶ μηδ' αὐτῷ τινα αἰτίαν ἐπιφέρον, ὡς καταπροδιδοίη τὰ Ῥωμαίων." Ἑλένη μὲν οὖν ἡ Κράλη γαμετὴ τοιαῦτα συνεβούλευεν ἐπ' ἐκκλησίας. τοῦ δὲ ἀνδρὸς μετὰ τὸ παύσασθαι ἐκείνην λέγουσαν τοῖς ἐν τέλει τὴν βουλὴν προτιθεμένου, καὶ εἴ τίς τι βέλτιον ἔχει κελεύοντος τοῖς εἰρημένοις προστιθέναι, Λίβερος ὁ πρώτως βασιλεῖ συντυχὼν, τῶν ἄλλων τῶν ἐν τέλει μάλιστα ὢν ὁ δυνατώτατος καὶ φιλίως ἄγαν διακείμενος πρὸς βασιλέα, „ἀλλ' εἰ μὲν ἀτελῆ τινα" εἶπεν „ἢ πρὸς εὐδοξίαν ὀλίγα συντείνοντα τῇ Τριβαλῶν ἀρχῇ ἡ σὴ γαμετὴ Κράλαινα ἐφθέγξατο, εἶχεν ἄν τις προστιθέναι τὰ ἐνδέοντα. νῦν δ' εἰς τοσοῦτον ἥκει καὶ φρονήσεως καὶ εὐβουλίας, ὡς μήτε τὸν ἄγαν συνετώτατον δοκοῦντα εἶναι, μήτε τὸν εὐνούστατον ἡμῖν βελτίω καὶ λυσιτελέστερα δυνήσεσθαί ποτε βουλεύσεσθαι. ὅθεν αὐτός τε πέπεισμαι καὶ σοὶ παραινῶ, μηδὲν περαιτέρω πολυπραγμονεῖν, ἀλλ' εὐδοξίας πρόφασιν λογισάμενον ἡμῖν εἶναι τὴν βασιλέως ἐνθάδε ἄφιξιν, προθύμως βοηθεῖν." τοιαῦτα μὲν καὶ Λίβερος εἶπεν ὡς ἐν βραχεῖ. οἱ δ' ἄλλοι πάντες οὐδὲν προσέθεντο τοῖς εἰρημένοις, ἀλλ' ὡς καλῶς ἔχουσιν ἐπεψηφίζοντο. [20]

2 270 Κράλης δὲ καὶ αὐτὸς πολλὰς ὠμολόγει χάριτας τῇ γυναικὶ, ὅτι προσήκοντά τε αὐτῷ, ἀρχὴν μεγάλην περιβεβλημένῳ, καὶ πολλὴν οἴσοντα τὴν εὔκλειαν καὶ ἐβουλεύσατο καὶ ἔπεισε, καὶ τὴν βουλὴν ἐκύρου καὶ αὐτός. ἐν ὅσῳ δὲ τοιαῦτα Κράλης τε καὶ ἡ γυνὴ καὶ οἱ ἐν τέλει περὶ βασιλέως ἐβουλεύοντο, ὅσοι Ῥωμαίων βασιλεῖ παρῆσαν συνεπόμενοι, δείσαντες, μὴ διὰ τὴν ἐκείνου ἔνστασιν ὑπὸ Τριβαλῶν τι περὶ αὐτοὺς κακουργηθῇ, προσελθόντες ἐδέοντο βασιλέως, προσήκοντα τῷ καιρῷ ποιεῖν καὶ μὴ σφόδρα ὑπὲρ τῶν μὴ λίαν ἐνίστασθαι προσηκόντων, ἀλλὰ πρὸς τὴν ἀξίωσιν ἐνδοῦναι τοῖς βαρβάροις, μὴ διὰ ταῦτα ἐξαχθέντες πρὸς ὀργὴν ἀνήκεστα διάθωνται αὐτοὺς κακά. ὁ δὲ αὐτοῖς δριμὺ καὶ βλοσσυρὸν ἐνιδὼν ἀφίστασθαι ἐκέλευε καὶ μὴ τοιαῦτα συμβουλεύειν, ἃ πολλὴν ζῶντί τε οἴσει τὴν ἀδοξίαν καὶ μετὰ τελευτήν. οὐ γὰρ ἂν καταπροδοίη τὴν ἀρχὴν Ῥωμαίων, οὐδὲ βαρβάροις ἀνθρώποις ἑκὼν εἶναι ἐγχειρίσαι, εἰ καὶ μείζοσι πολλῷ καὶ δεινοτέροις περιέχοιτο κακοῖς. ἀλλ' οὕτω περὶ αὐτῆς ἐνστήσεται καὶ τὸ δίκαιον αὐτῇ φυλάξει, ὥσπερ ἂν εἰ αὐτοκράτωρ ὢν αὐτῆς καὶ πᾶσαν ὑφ' ἑαυτῷ πεποιημένος, πρὸς Τριβαλοὺς ἢ Μυσοὺς ἤ τινας τῶν ὁμόρων βαρβάρων διαλέγοιτο περὶ σπονδῶν. οἱ μὲν οὖν αὐτίκα πρὸς τὸ αὐστηρὸν τῆς ἀποκρίσεως ἐνδόντες, ὑπεχώρουν. με′. [20]

2 271 Ὁ Κράλης δὲ ἐκ τῆς βουλῆς πρὸς βασιλέα ἐπανήκων „νενίκηκασ" εἶπεν ὑπομειδιῶν „ὦ βασιλεῦ, καὶ πάντας ἔπεισας, πολλῶν χρημάτων καὶ πόλεων μεγάλων τὴν σὴν ἡγεῖσθαι φιλίαν προτιμοτέραν. ὅθεν καὶ πάντας τοῖς τῆς σῆς φιλίας δήσας ἀπήγαγες δεσμοῖς, καὶ πάντες ὥσπερ ἐξ ἑνὸς συνθήματος καὶ χρήματα ἀναλοῦν καὶ πάντα πόνον ὑπὲρ σοῦ προθύμως εἰλόμεθα ὑφίστασθαι. τοιγαροῦν σὲ μὲν χρεὼν τὰ κατὰ γνώμην ἐπιτάττειν, ἡμᾶς δὲ τὰ ἐπιτεταγμένα πράττειν πάσῃ προθυμίᾳ καὶ σπουδῇ." ἠξίου τε, ὥσπερ ἐβουλεύσατο μετὰ γυναικὸς καὶ τῶν ἐν τέλει, ὅρκους παρασχέσθαι τοῦ τε σύμμαχον καὶ φίλον βέβαιον διὰ βίου παντὸς αὐτοῖς μενεῖν καὶ τοῦ μηδεμίαν τῶν νυνὶ κατεχομένων πόλεων ὑπ' αὐτοῦ, ἃς αὐτός τε καὶ πατὴρ, τοῦ τε Ῥωμαίων βασιλέων πρὸς ἀλλήλους πολέμου κεκινημένου καὶ ὕστερον Ἀνδρονίκου τοῦ νέου βασιλέως ἔτι περιόντος, αὐτὸς ἔχει ἀφελόμενος, ἀπαιτήσειν καταστάντα πρὸς τὴν ἀρχὴν, ὡς προσηκούσας τοῖς Ῥωμαίων βασιλεῦσιν. ὁ βασιλεὺς δὲ πρὸς μὲν τὸ πεπεῖσθαι προῖκα καὶ φιλοτιμίας μόνης ἕνεκα καὶ φιλίας τῆς εἰς αὐτὸν ἐπικουρεῖν ἔφασκεν, οὐκ αὐτῷ μόνον, ἀλλὰ καὶ γυναικὶ καὶ τοῖς ἐν τέλει πολλὰς χάριτας ὁμολογεῖν, ὡς ψήφῳ κοινῇ τὰ τοιαῦτα ἑλομένοις. περί γε μὴν τῶν ὅρκων, οὓς ἀξιοῦσιν ἐπὶ τῷ μὴ παρενοχλεῖν ὑπὲρ τῶν ἄχρι νυνὶ κατεχομένων ὑπ' ἐκείνων πόλεων παρασχέσθαι καταστάντα ἐπὶ τῆς ἀρχῆς, μάλιστα ποιήσειν τὴν γνώμην φανεράν. [20]

2 272 εἰ μὲν γὰρ ἔτι νῦν ὑπὸ Ῥωμαίοις ἦσαν καὶ διασώζειν ἑαυτὰς ἠδύναντο, οὐκ ἂν οὐδ' αὐτὸς προήκατο, ὥσπερ οὐδὲ τὰς ἄλλας, ἀλλ' εἵλετο ἂν μᾶλλον πρότερον ἀποθανεῖν, ἢ ἀγεννές τι καὶ

ἀνελεύθερον ἀνασχέσθαι. εἰ δ' ἔτεσι πρότερον, αἱ μὲν πλείοσιν, αἱ δ' ἐλάττοσι, βασιλέων ἔτι τῶν Ῥωμαίων περιόντων, ταύτας ἀφελόμενοι ἔχετε αὐτοὶ, οὐδ' αὐτῷ τινα μέμψιν τὸ προέσθαι τὰς κατεχομένας ἐπαγάγοι. καὶ συνέθετο ὅρκους παρασχέσθαι· ἐκεῖνο μέντοι, ἔφασκε, χρὴ σκοπεῖν, ὡς ἂν μὲν ἡ εἰρήνη διασώζοιτο καὶ αἱ σπονδαὶ, αὐτῶν μὴ παρασπονδούντων. αὐτὸς γὰρ παντὶ τρόπῳ τηρήσει τοὺς ὅρκους, οὓς ὀμόσεται, οὐδ' ὑπὲρ τῆς χώρας καὶ τῶν πόλεων, αἳ πρότερον ὑπὸ Ῥωμαίοις ἦσαν, οὐδὲν παρενοχλήσει καὶ αὐτός. εἰ δ' αὐτοὶ πρὸς πόλεμον πρότεροι χωρήσουσιν ἀδικοῦντες καὶ παρασπονδοῦντες, οὐκ ἐκείνων μόνων, ὑπὲρ ὧν οἱ ὅρκοι, οὐκ ἀφέξεται, εἰ δύναιτο, ἀλλὰ καὶ τὰς ἄνωθεν ὑπηκόους Τριβαλοῖς παραστήσεται, ἂν ἐξῇ, ὥσπερ καὶ αὐτοὶ τὰς Ῥωμαίων πάσας, εἰ δύναμις πρὸς τὴν ὁρμὴν παρείη. Κράλης δὲ καὶ ὅσοι παρῆσαν τῶν Τριβαλῶν ἐξεπλήττοντό τε καὶ διὰ θαύματος ἦγον βασιλέα, ὅτι οὐδὲν ἀγεννὲς οὐδὲ πεπλασμένον διὰ τὰς περισχούσας τύχας, ἀλλὰ πάντα ἀληθῶς καὶ ὡς εἶχε διανοίας ἀπεφθέγγετο. ἡ μὲν οὖν συμμαχία τοῦτον εἶχε τὸν τρόπον. ὅρκοι δὲ ἦσαν οἱ ἐπὶ τούτοις, ὥστε βασιλέα Καντακουζηνὸν καὶ Κράλην φίλους εἶναι διὰ βίου καὶ συμμάχους, καὶ μηδένα τὴν ἀλλήλων κακοῦν μήτε τέχνῃ, μήτε μηχανῇ μηδεμιᾷ, ἀλλὰ βασιλέα μὲν τὸν Καντακουζηνὸν, ὧν ὁ Κράλης γέγονε κύριος πόλεων Ῥωμαίοις ὑπηκόων, ἢ παρὰ πατρὸς παραλαβὼν, ἢ αὐτὸς ἁρπάσας ἔτι περιόντος βασιλέως Ἀνδρονίκου, μηδεμίαν μήτε ἀπαιτεῖν, μήτε πόλεμόν τινα κινεῖν περὶ αὐτῶν· τὰς δὲ ἐπιλοίπους, ὅσαι νῦν ἔτι ὑπὸ τὴν Ῥωμαίων τελοῦσιν ἡγεμονίαν, ἔχειν αὐτὸν καὶ μηδεμίαν ἀφαιρεῖσθαι Κράλην μήτε τέχνῃ, μήτε μηχανῇ μηδεμιᾷ, ἀλλὰ συμμαχεῖν μόνον βασιλεῖ ἐπὶ τῷ ταύτας καταδουλοῦσθαι. [10]

2 273 καὶ ὅσαι μὲν αὐτῶν ἢ ὅπλοις ἁλῶσιν, ἢ ὁμολογίᾳ προσχωρήσουσι παρόντος βασιλέως, ταύτας ἔχειν βασιλέα καὶ Τριβαλοὺς ἀδικεῖν μηδέν· ἂν δ' ἀπόντος βασιλέως, ἢ αὐτὸς Κράλης ἢ ὅπλοις ἢ ὁμολογίᾳ ἢ χρήμασι τοὺς κατοικοῦντας διαφθείρας, ἢ τῶν ὑπ' αὐτὸν δυνατῶν τις πόλιν παραστήσεται τῶν Ῥωμαίοις ὑπηκόων, καὶ ταύτην εἶναι βασιλέως καὶ ἀποδιδόναι ἀπαιτοῦντι, μηδὲν πολυπραγμονοῦντας. αὐτὸν δὲ Κράλην πολέμιον εἶναι Ἄννῃ τε τῇ βασιλίδι καὶ τῷ υἱῷ Ἰωάννῃ τῷ βασιλεῖ καὶ σπένδεσθαι μηδέποτε, ἀλλὰ κακοῦν κατὰ τὸ δυνατὸν βοηθοῦντα Καντακουζηνῷ τῷ βασιλεῖ, τρόπῳ ὁποίῳ ἂν δύναιτο ἰσχυροτάτῳ. καταστάντος δὲ καὶ Καντακουζηνοῦ βασιλέως ἐπὶ τῆς ἀρχῆς, Κράλῃ συμμαχεῖν κατὰ τὸ δυνατὸν, ἄν τις ἐπίῃ ἐπ' αὐτὸν, καὶ πολέμιον ἡγεῖσθαι τὸν αὐτῷ ἐπιστρατεύσοντα. γενομένου δὲ καὶ περὶ Χρέλη τοῦ Τριβαλοῦ λόγου οὐκ ὀλίγου, καὶ Κράλη μὲν αὐτὸν ἀντιποιουμένου διὰ τὸ ὁμόφυλον, βασιλέως δὲ ὡς ἔτι Ἀνδρονίκου περιόντος τοῦ βασιλέως αὐτομολήσειεν ἰσχυριζομένου, καὶ νῦν οὐ μόνον ὑπὸ τὴν Ῥωμαίων τελοίη ἡγεμονίαν, ἀλλὰ καὶ ἰδίως αὐτῷ προσχωρήσοι καὶ ἔλοιτο πράττειν τὰ αὐτοῦ, προσέτι δὲ καὶ ὅρκους ὑποδεικνύντος, δι' ὧν συνέθετο ὁ Χρέλης δουλεύειν Καντακουζηνῷ τῷ βασιλεῖ, ἐπεὶ δίκαια ἐδόκει λέγειν, συνέθετο καὶ ὁ Κράλης καὶ προσεγράφετο καὶ αὐτὸς τοῖς ὅρκοις. [5]

2 274 οἱ μὲν οὖν ὅρκοι οὕτως ἐγράφοντο. ἔδει δὲ καὶ τὸν ἀρχιεπίσκοπον τῶν Τριβαλῶν παρεῖναι, ὡς γενησομένων ἐπ' αὐτοῦ τῶν ὅρκων. καὶ μεταπεμψαμένου τοῦ Κράλη, παρῆν καὶ αὐτὸς οὐκ ἐν μακρῷ. ἐπεὶ δὲ παρῆν ἐν τῇ οἰκίᾳ Κράλη, ἐκεῖνος μὲν ἄχρι τοῦ μέσου προελθὼν τῆς αὐλῆς, ἐπελάβετό τε τῶν χαλινῶν τοῦ ἵππου, ᾧ ὠχεῖτο ὁ ἀρχιεπίσκοπος, καὶ προήγαγεν ἄχρι οὗ εἰώθει ἀποβαίνειν, ἔπειτα προσαγορεύσας, εὐλογεῖτο παρ' ἐκείνου. βασιλέα δὲ οὐκ εἴασε τῶν οἰκημάτων προελθεῖν, ἀλλὰ κατὰ τὸ Ῥωμαίων βασιλέων ἔθος ὑπήντα τε ἔνδον τοῦ οἰκήματος καὶ προσαγορεύσας εὐλογεῖτο καὶ αὐτός. μελλόντων δὲ ἤδη εἰς τὴν ὑστεραίαν ὀμνύειν τοὺς ὅρκους, πέμψας ὁ Χρέλης πρὸς Κράλην, πίστεις ᾔτει, ὡς αὐτός τε δουλεύσων αὖθις καὶ Μελενίκον παραδώσων. Χρέλης γὰρ μάλιστα μὲν ἠβούλετο βασιλέα τὸν Καντακουζηνὸν τὴν Ῥωμαίων ἔχειν ἀρχὴν καὶ ὑπ' ἐκείνου ἄγεσθαι· διακινδυνεύειν δὲ οὐκ ἤθελεν ὑπὲρ ἐκείνου. [20]

2 275 ἐπεὶ δὲ συμβαίη τὰ κατὰ Γυναικόκαστρον περὶ βασιλέα καὶ ἀφίκοιτο εἰς Τριβαλοὺς, νομίσας ὑπὸ Κράλη βιαζόμενον ἑτέρων τέ τινων Ῥωμαίοις προσηκόντων ἀνάγκῃ παραχωρήσειν καὶ ἐκεῖνον παραδώσειν, (ᾔδει γὰρ οὐ περὶ ἐλάττονος τιθέμενον Κράλην τὴν αὐτοῦ ἀποστασίαν,) καὶ δείσας, μὴ καὶ αὐτὸς ἐκ τῆς εἰς βασιλέα παραπόληται φιλίας, ἐσκέψατο, εἰ δύναιτο Μελενίκον κατασχεῖν, ἵν' αὐτῷ πρὸς Κράλην ἀρκοῦσα παραίτησις εἴη τῆς ἀποστασίας παραδόντι. συνιδὼν δὲ, ὡς ὅπλοις μὲν οὐκ ἂν εἴη ἁλωτὸς διὰ τὴν ἄγαν φυσικήν τε καὶ κατεσκευασμένην ὀχυρότητα, σίτου δὲ ἐνδείᾳ μᾶλλον, πρῶτα μὲν ἐκώλυσε σῖτον εἰσκομίζειν, ἔπειτα δὲ ἐπέκειτο καὶ φανερῶς πολεμῶν. Ἀσάνης δὲ καὶ ἡ περὶ αὐτὸν φρουρὰ ὁρῶντες, ὡς οὐκ ἀντισχήσουσι πρὸς τὴν πολιορκίαν διὰ σίτου ἀπορίαν, (βασιλεῖ γὰρ διὰ τὰ συμβεβηκότα βοηθεῖν οὐκ ἐνῆν,) συμβὰν δέ τι καὶ ἕτερον περὶ αὐτοὺς, παρέδοσαν τὴν πόλιν Χρέλῃ. ὁ δὲ πρὸς Κράλην πέμψας, διελέγετο περὶ συμβάσεων καὶ προσεχώρει φανερῶς. Κράλης μὲν οὖν ὑπερήσθη τοῖς γεγενημένοις καὶ ὅρκους παρείχετο αὐτίκα Χρέλῃ καὶ ὑπεποιεῖτο. βασιλέα δὲ ἐλύπησεν οὐκ ὀλίγα τὸ συμβάν. εἰς τὴν ὑστεραίαν γὰρ ἐπεὶ ἦκον ὀμόσοντες τοὺς ὅρκους κατὰ τὰς συνθήκας, Κράλης μὲν ἠξίου Μελενίκον τε καὶ Χρέλην τοῖς ὅρκοις μετεγγραφῆναι ὡς προσήκοντας αὐτῷ· πρὶν γὰρ τοὺς ὅρκους γενέσθαι προσεχώρησαν. [20]

2 276 βασιλεὺς δὲ ἀντέλεγεν, ἀδικεῖν φάσκων Κράλην καὶ παρασπονδεῖν. ἐξ ὅτου γὰρ ἐγένοντο αἱ συμβάσεις, δεῖν ἑκατέρους στέργειν οἷς συνέθεντο. εἰ δ' ἄρα καὶ μέτριά τινα ἐθέλοι ἀδικεῖν, Χρέλην μὲν ἔχειν, ὁμόφυλόν τε ὄντα καὶ ὀλίγῳ πρότερον αὐτομολήσαντα Ῥωμαίοις, Μελενίκον δὲ ἐᾶν, ἐξ ἐτῶν ἤδη παλαιῶν ὑπήκοον ὄντα τοῖς Ῥωμαίων βασιλεῦσι. Κράλης δὲ οὐχ ἑτέρῳ ἔφασκεν, ἀλλ' αὐτῷ χρήσεσθαι διαιτητῇ περὶ ὧν ἀμφισβητοῦσι. τοὺς μὲν γὰρ ὅρκους τοὺς περὶ τῶν σπονδῶν τῇ προτεραίᾳ γεγράφθαι, οἷς ἐγγέγραπται, τὰς μὲν ἡρπασμένας αὐτῷ ἐκ τῆς Ῥωμαίων ἡγεμονίας πόλεις ἔχειν καὶ μηδεμίαν ἀπαιτεῖσθαι παρ' αὐτοῦ, τὰς δ' ἔτι τελούσας ὑπὸ Ῥωμαίοις βασιλέα ἔχειν· ὥστ' οὐκ ἂν ἀδικοίη, πολλαῖς πρότερον ἡμέραις ἢ γενέσθαι τὰς τοιαύτας συμβάσεις Χρέλῃ μετὰ Μελενίκου προσχωρήσαντος, ὡς ἐκ τῶν ἐκείνου γραμμάτων ἐγίνετο καταφανές. βασιλεὺς δὲ πρός τε τὸ πείθειν ὁμοῦ διὰ τὰς τοιαύτας εὑρεσιλογίας καὶ πρὸς τὸ βιάζεσθαι ἔχων ἀδυνάτως, παρεχώρησε καὶ ἄκων, καὶ ἐγένοντο οἱ ὅρκοι ἐπὶ τούτοις. μετὰ δὲ τοὺς ὅρκους ὁ Κράλης τῶν ἐν τέλει τοὺς δυνατωτάτους αὐτοῦ συναγαγὼν τέσσαρας ὄντας πρὸς τοῖς εἴκοσι, τέσσαρας μὲν αὐτὸς κατεῖχε, τοὺς δὲ εἴκοσι παρεδίδου βασιλεῖ ἅμα ταῖς ὑπ' ἐκείνους στρατιαῖς, ὡς πάντα προθύμως, ἅπερ ἂν κελεύῃ βασιλεὺς, ποιήσοντας. ἐκεῖνος μὲν οὖν ἅμα Τριβαλοῖς παρεσκευάζοντο ὡς ἀφιξόμενοι εἰς Διδυμότειχον. [20]

2 277 ἡ δὲ ἐν Θεσσαλονίκῃ στρατιὰ ἐπεὶ ἀπῆραν ἡγουμένου Συργῆ, πρὸς Ῥεντίναν ἐστρατοπεδεύσαντο. ὁ δὲ ἐν τῷ φρουρίῳ δῆμος, ἐπεὶ ἐπύθετο Καντακουζηνὸν τὸν βασιλέα πρὸς τὴν γῆν τῶν Τριβαλῶν ἀφιγμένον κατὰ συμφοράν, παρῆν δὲ καὶ Συργὴς μετὰ τῆς στρατιᾶς, ἐπιτίθενται τοῖς διακοσίοις, οὓς κατέλιπεν ὁ βασιλεὺς φρουρεῖν ἅμα ἡγεμόνι, καὶ κρατήσαντες, αὐτούς τε παρέδοσαν καὶ τὸ φρούριον Συργῇ. ὁ δὲ τῇ συνήθει χρησάμενος ὠμότητι, ἵππους τε καὶ ὅπλα ἀφελόμενος καὶ τῶν ἄλλων, ὧν εἶχον, ἀπογυμνώσας, ἔπειτα πληγὰς ἑκάστῳ διακοσίας ἐπετίθει πάντων ὁρώντων, μηδένα παραλιπὼν, τὸ ἀπ' ἐκείνου δὲ κατακλείσας ἐν δεσμωτηρίοις, καὶ τῶν πολιτῶν τοὺς δυνατοὺς, ὡς τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ᾐρημένους, πάντων ἀποστερήσας τῶν ὄντων καὶ τιμωρησάμενος οὐ μετρίως, ἐνίων δὲ καὶ καταψηφισάμενος φυγὴν, ἦλθεν εἰς Φεράς. μς'. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ ἅμα ταῖς ναυσὶν εἰς Πολύστυλον ἐλθὼν, ἐπεὶ προσεχώρει ἑκουσίως, τοὺς μὲν τῶν πολιτῶν ὅσους μάλιστα ὑπώπτευεν, ἐν ταῖς ναυσὶν εἶχεν, ὡς εἰς Βυζάντιον κομίσων· τοὺς δὲ τὰ ἐκείνου ᾐρημένους εὖ ποιήσας ἀπέλιπεν ἐκεῖ, ἄρχοντα ἐπιστήσας Γουδέλην τὸν βασιλίδος οἰνοχόον. πρὸς δὲ τοὺς ἐν Διδυμοτείχῳ πέμψας, „τὰ μὲν περὶ Καντακουζηνὸν εἰργασμένα" ἔγραφεν „ἐν Θεσσαλονίκῃ παρ' ἐμοῦ οὐδ' ὑμᾶς οἶομαι ἀγνοεῖν· οὕτω πᾶσι γνωριμώτατα διὰ μέγεθος γεγενημένα. τοίνυν

ἐπεὶ πᾶσα ἡ περὶ ἐκεῖνον ἐλπὶς περιῄρηται ὑμῶν, δέον πᾶσαν πρόφασιν καταλιπόντας εἰς Αἶνον ἥκειν ὑπαντήσοντας, ἄγοντας καὶ τὸν ἀδελφὸν (ἦν γὰρ ἐν δεσμωτηρίῳ φρουρούμενος ἐκεῖ·) εἰ μὲν οὖν καὶ Ἀσάνης βούλοιτο συνελθεῖν ὑμῖν, ἄριστ' ἂν ἑαυτῷ βουλεύσαιτο. [25]

2 278 εἰ δ' αὐτόθι μένειν ἐθελήσει, ἀλλ' ὑμᾶς γε πάντως μετὰ τοῦ ἀδελφοῦ εἰς Αἶνον ἥκειν. Ἀσάνην δὲ καὶ τὴν ἀδελφὴν καὶ παιδία τὰ ἐκείνης, ὅταν ἐν Διδυμοτείχῳ γένωμαι, προνοίας ἀξιώσειν, ἥτις καὶ αὐτοῖς ἂν δόξειεν ἀρκοῦσα ὡς ἐν τοῖς παροῦσιν. ὁ μὲν οὖν μέγας δοὺξ τοιαῦτα ἔγραφε κόμπου καὶ φρονήματος πεπληρωμένα. οἱ ἐν Διδυμοτείχῳ δὲ, ἐπεὶ πρότερον οὐδὲν ἦσαν περὶ βασιλέως πεπυσμένοι, ἐθορυβήθησαν μὲν, ὥσπερ εἰκὸς, τὸ πρῶτον· ἔπειτα ἀναθαρσήσαντες καί τι περὶ βασιλέα οἰηθέντες ἃ περὶ στρατεύματα εἴωθε συμβεβηκέναι, ὃ ταχέως ἂν διορθωθείη, πρὸς μέγαν δοῦκα τὸν Ἀπόκαυκον καὶ αὐτοὶ ἀντέγραψαν τοιαῦτα. „τὰ παρὰ σοῦ γεγραμμένα ἀναγνόντες εἰς τοσοῦτον ἀπονοίας καὶ μωρίας ἥκοντα καὶ θρασύτητος, πρῶτα μὲν ἐθαυμάσαμεν, ὅθεν εἰς τοσοῦτον ἥκεις μελαγχολίας, ἔπειτα συνιδόντες, ὡς τὰ ἴσα τετολμηκότι τῷ σῷ πατρὶ τῷ διαβόλῳ καὶ κατὰ βασιλέως τοῦ πολλὰ εὐεργετήσαντος ἄδικον χεῖρα κεκινηκότι καὶ πολεμήσαντι φανερῶς, οὐδὲ κατὰ τὴν ἀλαζονείαν καὶ τὸν κόμπον τῶν ῥημάτων τοῦ πατρὸς ἔδει ἀπολείπεσθαι, εἰκότα ἐνομίσαμεν ποιεῖν καὶ προσήκοντα φθέγγεσθαι σαυτῷ. τὴν μὲν οὖν ἐξαρχῆς ἀφάνειαν τὴν σὴν καὶ τὴν φαυλότητα καὶ τῶν τρόπων καὶ τοῦ γένους, οὐδ' αὐτοὶ ἀγνοοῦμεν, ὥσπερ οὐδὲ τῶν λοιπῶν Ῥωμαίων οὐδὲ εἷς. [20]

2 279 Μακρηνῷ γὰρ πρῶτον χρήματά τινας εἰσπράττοντι γεωργοὺς, ὀλίγου ἕνεκα ἐδούλευσας μισθοῦ, καὶ μετ' ἐκεῖνον ἄρχοντι τῷ Νικολάῳ, τῶν αὐτῶν κἀκείνῳ ἐχομένῳ ἐπιτηδευμάτων, καὶ τρίτῳ μετ' ἐκείνους τῷ Στρατηγῷ ὠνομασμένῳ, περὶ τοὺς ἄλας καὶ τὴν ἐκείνων διάθεσιν ἠσχολημένῳ τότε, ὃν καὶ τοῖς ἰδίοις χρήμασιν ἐξώσας τῆς ἀρχῆς, διαβολαῖς καὶ συκοφαντίαις καὶ ψεύδεσι μυρίοις καὶ ἐπιορκίαις ταῖς φίλαις χρησάμενος πρὸς βασιλέα τὸν πρεσβύτερον Ἀνδρόνικον, αὐτὸς ἄρχων ἀπεδείχθης τῶν ἁλῶν. καὶ μέχρι τούτου σοι τὰ τῆς εὐημερίας ἔστη. κινδυνεύοντι δὲ ἤδη ἀπολέσθαι διὰ τῶν τρόπων τὴν σκαιότητα καὶ μοχθηρίαν καὶ τὸ χρήματα μυρία τῷ δημοσίῳ ὄφλειν, ὁ ἡμέτερος βασιλεὺς ὁ Καντακουζηνὸς Συργιάννη δεηθέντος παραλαβὼν, ἐξ ἀτίμου καὶ καταφρονουμένου περίβλεπτον πεποίηκεν οὐκ ἐν μακρῷ· δι' ἃ καὶ τῶν εὐγενεστέρων οὐκ ὀλίγοι ἤχθοντο δικαίως καὶ ἐδυσχέραινον, ὅτι τὸν μηδενὸς ἄξιον μεγάλων τινῶν ἠξίωσε καὶ θαυμασίων. ὧν τὴν ὑπερβολὴν οὐδὲ αὐτὸς φέρειν δυνηθεὶς, κατὰ τοῦ μετὰ θεὸν πλάσαντος καὶ ἐκ κοπρίας ἀναγαγόντος, ὥσπερ ὁ Σατὰν κατὰ θεοῦ πόλεμον κεκίνηκας, τὸ ὑπήκοον ἐκπολεμώσας, προφάσει μὲν, ὥσπερ ἐκεῖνος, τοῦ πρόνοιάν τινα αὐτῶν ποιεῖσθαι, τῇ δ' ἀληθείᾳ φθονῶν αὐτοῖς τῆς σωτηρίας. καὶ νῦν ἔξεστιν ὁρᾷν, ὡς αἱμάτων μὲν ἀνθρωπίνων ἐνέπλησας τὰς πόλεις πάσας Ῥωμαίων· δεσμωτήρια δὲ, καίτοι πρὸς τοῖς οὖσι πολλαπλασίω κατεσκευασμένα ὑπὸ σοῦ, ὅμως ὑπὸ πλήθους τῶν δεσμωτῶν στενοχωροῦνται. [20]

2 280 ἁρπαγαὶ δὲ καὶ λεηλασίαι καὶ μυρία ἕτερα δεινὰ ὁσημέραι ἐν ταῖς πόλεσι τολμῶνται, καὶ δάκρυα πανταχοῦ καὶ κωκυτοὶ, καὶ ὁ φειδόμενος οὐδὲ εἷς. ἀλλ' ὥσπερ ὁ Σατανᾶς τοῖς μάλιστα θεῷ προσῳκειωμένοις καὶ βελτίοσι τῶν ἄλλων δεῖν ἔγνωκε πολεμεῖν, τῶν ἄλλων ἀμελῶν, οὕτω δὴ καὶ σὺ τοὺς ἀρίστους τῶν ἑκασταχοῦ πόλεων καὶ δυναμένους τὰ δέοντα συνορᾷν διαφθείρων καὶ κατακόπτων ἀπανθρώπως, τῶν πολλῶν, ὡς οὐδενὸς ἀξίων, οὐδένα λόγον ποιῇ, ὡς ὕστερον ἢ δειλίᾳ καὶ ἀπειρίᾳ τῇ πρὸς τοὺς πολέμους βαρβάροις παραδώσων ἢ αὐτὸς κατὰ σχολὴν διαφθερῶν· καὶ ὅλως κοινὴν πανωλεθρίαν τοῦ Ῥωμαίων γένους διανοῇ, εἰ μὴ θεὸς κωλύσειε, τὴν μισανθρωπίαν βδελυξάμενος. βασιλεὺς δὲ Καντακουζηνὸς ὁ ἡμέτερος καὶ σὸς δεσπότης, κἂν ἔτι πλείω καὶ δεινότερα ἀγνωμονήσῃς, ὥσπερ τῶν δούλων οἱ κακοτροπώτατοι, τὴν ἐκ προγόνων εὔκλειαν ἄχρι νῦν διασώζει καὶ τὴν ἐπιείκειαν καὶ τὴν σεμνότητα τῶν τρόπων, καὶ Ῥωμαίων συμπάντων ἄρχων, καὶ βασιλέως ἔτι περιόντος, οὐδὲν

ἧττον καὶ νῦν ἐστι βασιλεύς. εἰ δέ τι περὶ αὐτὸν συμβέβηκε καὶ δυσχερὲς, θαυμαστὸν οὐδέν· πολλὰ γὰρ ὁ παρεληλυθὼς τοιαῦτα χρόνος ἔσχηκε παραδείγματα. ἡμεῖς δὲ ἐκείνῳ τὴν πίστιν ἄδολον φυλάξομεν καὶ καθαρὰν, οὐ μόνον περιόντι, ἀλλὰ καὶ τοῖς παισὶ μετὰ τὴν τελευτὴν, καὶ οὔτε ἀγαθῶν ἐπαγγελίαι, οὔτε δεινῶν ἐπαγωγαὶ, οὔθ' ἕτερον τῶν ὄντων τι, τῆς πρὸς ἐκεῖνον πίστεως δυνήσεται ἀποστῆσαι καὶ ἀγάπης. [20]

2 281 σοῦ δὲ ἐπιστρέψει ὁ πόνος ἐπὶ τὴν κεφαλὴν καὶ ἐπὶ κορυφὴν ἡ ἀδικία σου καταβήσεται. τὴν μὲν οὖν ἀπολογίαν ἔχεις ἤδη παρ' ἡμῶν ἀξίαν τῶν γεγραμμένων. τοὺς κεκομικότας δὲ τὰ γράμματα νῦν μὲν ἀπαθεῖς ἀπεπέμψαμεν κακῶν, τοὺς περὶ τὰ τοιαῦτα κειμένους αἰδούμενοι νόμους, οἳ κακῶς ποιεῖν ἀπαγορεύουσι τοὺς πρὸς ἀπαγγελίας ἥκοντας· ἂν δὲ μετ' αὐτοὺς ἕτεροί τινες ἀφίκωνται, ἵστωσαν μὴ ἄνευ πληγῶν καὶ τιμωρίας τῆς δεούσης ἀπαλλάξοντες.“ τοιαῦτα μὲν οἱ ἐν Διδυμοτείχῳ ἀντέγραψαν Ἀποκαύκῳ τῷ μεγάλῳ δουκί. ὁ δὲ, ἐπεὶ τὰ γράμματα ἀνέγνω, πολλὰ τοῖς γεγραφόσιν ἀπειλήσας, ἀπέπλευσεν εἰς Βυζάντιον καὶ ἐδέξαντο αὐτὸν ὅ,τε πατριάρχης καὶ ἡ συνωμοσία μετὰ πολλῶν τῶν κρότων καὶ ἐπαίνων, ὡς καλῶς ἐστρατηγηκότα καὶ νενικηκότα Καντακουζηνόν. καὶ αὐτὸς ἤδη φρονήματος ὢν ἀνάπλεως διὰ τὴν στρατηγίαν, ἀνυπεύθυνον ἑαυτῷ παρείχετο τῶν πραγμάτων τὴν ἀρχὴν καὶ πάντα ἔπραττε καὶ διῴκει, ᾗ αὐτῷ ἐδόκει, τὴν ὑπόκρισιν καὶ τὸ βουλεύεσθαι ἤδη ὡς ἀνόνητον ἀποῤῥίψας. Εἰρήνη δὲ βασιλὶς ἡ Καντακουζηνὴ ἅμα Μανουὴλ Ἀσάνῃ τῷ ἀδελφῷ, ἐπεὶ οἱ παρὰ Ἀποκαύκου τοῦ μεγάλου ἥκοντες δουκὸς ἀπήγγελλον τὰ περὶ βασιλέως οἷα συμβαίη ἐν Γυναικοκάστρῳ, ὑπώπτευον μὲν καὶ μὴ παντάπασιν εἶναι ἀληθῆ, πλὴν ἐθορυβοῦντο σφοδρῶς καὶ ἐκυμαίνοντο. ἐδεδοίκεσαν γὰρ, μὴ τῶν αὐτοῖς τινες συνόντων κρύφα τὰ βασιλίδος Ἄννης πράττοντες, ὥσπερ ἑρμαίου λαβόμενοι τοῦ καιροῦ καὶ τῆς δυσπραγίας βασιλέως, στασιάζειν πείσωσι τὸν δῆμον καὶ τὴν στρατιὰν, καὶ ἀπόληται αὐτοῖς παντάπασι τὰ πράγματα διαφθαρέντα. [25]

2 282 μάλιστα δὲ ἐν ὑποψίᾳ εἶχον τόν τε Κομιτόπουλον καὶ Βατάτζην, οἱ τῶν Παλαιολόγου μὲν ἦσαν βασιλέως οἰκετῶν, τότε δὲ ὑπὸ Καντακουζηνοῦ βασιλέως εἰς ἑσπέραν ἐκστρατεύοντος ἐπὶ τῆς ἔξω Διδυμοτείχου συνοικίας ἦσαν τεταγμένοι, χιλίων ἕκαστος ἄρχοντες τοξοτῶν πεζῶν· ἦσαν δὲ καὶ πρὸς τὸν δῆμον καὶ τὴν ἄλλην στρατιὰν δυνάμενοι οὐ μικρά. μζ'. Διὰ ταύτας γοῦν τὰς αἰτίας ἐδεδοίκεσάν τε καὶ ἐσκέπτοντο, ᾗ χρὴ αὐτοὺς ὑποποιήσασθαι· ἅμα δὲ διενοοῦντο καὶ περὶ τῶν ἄλλων ὡς ἀποπειράσοντες, εἰ διὰ τὰ ἀκουσθέντα μὴ παρετράπησαν τὰς γνώμας. ἐδόκει δὴ οὖν εἰς τὴν ὑστεραίαν πάντων ἐν βασιλείοις συνελθόντων, ἐπὶ τῆς βασιλίδος τὸν Ἀσάνην πρός τε τοὺς ἡγεμόνας καὶ τὴν στρατιὰν λόγον ἀποτεῖναι καὶ ἀποπειρᾷν τῆς ἑκάστου διανοίας. καὶ ἐς τὴν ὑστεραίαν ἐπεὶ ἦσαν ἐν βασιλείοις πάντες, Ἀσάνης ὁ Μανουὴλ ἐπὶ τῆς βασιλίδος οὕτω τὸν λόγον ἐποιήσατο. „ἄνδρες συστρατιῶται, τὰ μὲν ὑπὸ παρακοιμωμένου τοῦ Ἀποκαύκου πάντες ἀκηκόατε γεγραμμένα πρὸς ὑμᾶς. τὰ μὲν οὖν παρόντα πράγματα ὡς πολλὰς ἐπιδέχεται μεταβολὰς, καὶ ῥᾴδιον καὶ ἐκ μικρᾶς αἰτίας καὶ τὸν συνετώτατον καὶ κατεστοχασμένον σφαλῆναι, καὶ τὸν ἀπερισκέπτως καὶ ὡς ἔτυχε φερόμενον καὶ ἄπιστα εὐτυχῆσαι, πάντες ἴστε πολλοῖς ὡμιληκότες πράγμασιν. [20]

2 283 οὐ μὴν διὰ τοῦτο πάντα χρὴ πιστεύειν παρακοιμωμένῳ. ᾧ γὰρ ὅ,τε βίος ἐπίπλαστος ἀεὶ καὶ σκαιωρίας καὶ ἀπάτης γέμων καὶ ὁ λόγος ἐψευσμένος καὶ οὐδὲν οὐδέποτε ἔχων ὑγιὲς, πῶς ἄν τις πιστεύσειε νυνὶ εἰρῆσθαι τἀληθῆ; εἰ δὲ καὶ ἀληθῆ τὰ εἰρημένα, ἀλλ' οὐ παντάπασιν, ἀλλὰ τοιαῦτα εἶναι τὰ γεγενημένα, οἷα βασιλεῖ μικρὰν δυσχέρειαν παρεσχημένα, ῥᾳδίως πάλιν ἐπανορθωθῆναι. ὑμῶν δὲ ἕκαστος νῦν μὲν ἄχρι τῶν πραγμάτων ἐξουρίων φερομένων οὐδεμίαν ἔσχε πρόφασιν τήν τε εὐψυχίαν καὶ τόλμαν τὴν ἐν τοῖς δεινοῖς καὶ τὴν σύνεσιν ἅμα ἐπιδείξασθαι καὶ τὴν εὔνοιαν, ἣν ἔχει περὶ βασιλέα καὶ τοὺς παῖδας. νυνὶ δὲ ἤδη τῶν πραγμάτων παρασχόντων, καὶ πάντας ὁμοῦ καὶ ἰδίᾳ ἕκαστον καὶ τὴν σύνεσιν καὶ τὴν εὐβουλίαν ἐπιδείκνυσθαι χρεὼν καὶ ἐπὶ τοῖς ἔργοις φαίνεσθαι ὁμοίους, ὡς, ἂν ἀπῶσι τὰ

πράγματα, τῶν λόγων οὐδένων ὄντων. τὰ μὲν οὖν ἔργα ὕστερον ἐπιδειξόμεθα, ἡνίκα ἂν δέῃ· νυνὶ δὲ ἀναγκαῖον γνώμην ἕκαστον εἰσάγειν, ᾗ χρὴ τραπομένους, σφᾶς τε αὐτοὺς καὶ τὴν ἄλλην πόλιν διασώζειν. οὐ γὰρ ἡσυχάσειν οἴομαι παρακοιμώμενον, ἀλλὰ ταχέως ἡμῖν ἐπιστρατεύσειν, εἴγε ὄντως ἀληθῆ τὰ περὶ βασιλέως εἴη εἰρημένα.“ Ἀσάνης μὲν οὖν τοιαῦτα ἐπαύσατο εἰπών. Κομιτόπουλος δὲ αὐτίκα ὑπὸ προθυμίας καὶ τῆς περὶ βασιλέα εὐνοίας κινηθεὶς, ἀναστὰς καὶ παρελθὼν εἰς μέσους, ἔλεξε τοιάδε. [20]

2 284 „οὐδένα ὑμῶν, ὅσοι πάρεστε νῦν, οἴομαι ἀγνοεῖν, ὡς βασιλέως ἔτι περιόντος τοῦ μακαρίου τοῖς οἰκείοις συνεξηταζόμην καὶ τοῖς πολλῆς παρ’ ἐκείνου καὶ τῆς εὐμενείας ἀπολαύουσι καὶ τῆς προνοίας. καὶ αὐτὸς δὲ οὐδὲν ἀπέλιπον, τόγε εἰς ἐμὲ ἦκον, τοῦ μὴ τὴν προσήκουσαν εὔνοιαν εὐγνώμονι δούλῳ ἐπιδείκνυσθαι. οὐ μὴν διὰ τὸ ἐκεῖνον ἐξ ἀνθρώπων γεγονέναι νυνὶ μεταβαλὼν, τοῖς ἐκείνου παισὶ δεῖν ἔγνων πολεμεῖν, ἀλλὰ τὴν ὁμοίαν γνώμην καὶ νῦν ἔτι διατηρῶ. ὁρῶν δὲ βασιλέα μὲν τὸν Καντακουζηνὸν δίκαια καὶ λυσιτελῆ τοῖς παισὶ βασιλέως ᾑρημένον πράττειν, Ἀπόκαυκον δὲ τὸν παρακοιμώμενον πολλὰς κατ’ αὐτοῦ διαβολὰς καὶ συκοφαντίας συνεσκευακότα καὶ ἄλλους προσεταιρισάμενον πονηροτέρους ἀνθρώπους καὶ διεφθορότας καὶ βασιλίδα ἐξηπατηκότας καὶ τουτονὶ τὸν πόλεμον τὸν μυρίων αἴτιον κακῶν νῦν τε ἄχρι γεγενημένον καὶ ἔτι πλειόνων ἐσόμενον πολλῷ κεκινηκότας, εἰ μὴ θεὸς ἄνωθεν κατασβέσει, ἐμίσησά τε τὴν πονηρίαν αὐτῶν καὶ βασιλεῖ μᾶλλον ἔκρινα δίκαιον προσέχειν, ὡς δίκαιά τε ἅμα καὶ βασιλέως τοῖς παισὶ συμφέροντα καὶ πᾶσιν ὁμοῦ Ῥωμαίοις διανοουμένῳ. νυνὶ δὲ, ὡς ἀκούομεν, δυσκόλοις τύχαις ἐκείνου χρησαμένου διὰ τῶν συνόντων τὴν ἀποστασίαν καὶ πρὸς τὸν Τριβαλῶν δυνάστην ἀφιγμένου, οὐ δίκαιον ἡμᾶς καταπεσεῖν, οὐδὲ πρὸς στάσεις καὶ διαφορὰς χωρήσαντας, ἀνδραπόδων δίκην σφᾶς αὐτοὺς τοῖς πολεμίοις καταπροδοῦναι, ἀλλὰ συμφρονήσαντας, ὅρκους δοῦναι βασιλίδι καὶ ἀλλήλοις, ᾗ μὴν μηδένα μήτε δι’ ἀγαθῶν πολλῶν ἐπαγγελίαν, μήτε δι’ ἐπαγωγὴν πολλῶν δεινῶν, ἢ βασιλίδι καὶ παισὶν ἢ ἀλλήλοις ἐπιβουλεύσειν· ἀλλ’ ἀμύνεσθαι τρόπῳ παντὶ τοὺς πολεμίους μίαν γνώμην ἔχοντας καὶ τὴν πίστιν ἄδολον καὶ καθαρὰν φυλάττειν βασιλεῖ. [5]

2 285 πέμπειν δὲ καὶ τὴν ταχίστην πρὸς ἐκεῖνον ἄνδρας, οἳ διδάξουσιν, ὡς ἡμεῖς ὑπὲρ ἐκείνου καὶ φιλτάτων καὶ τῆς γυναικὸς πάντα καὶ πράττειν καὶ ὑπομένειν ἐγνώκαμεν ἄχρι παντὸς, ἵν’ αὐτός τε ἥδοιτο τοιαῦτα περὶ ἡμῶν ἀκούων καὶ ἡμῖν πολλὴν εἰδείη χάριν τῆς εἰς αὐτὸν εὐνοίας. οὐδὲ γὰρ μικράν τινα οἴεσθαι ἐκεῖνον τὴν περὶ ἡμῶν φροντίδα ἔχειν χρὴ, ἀλλὰ πολλοῖς παλαίειν λογισμοῖς ὑποπτεύοντα, ὥσπερ εἰκὸς, μὴ πρὸς τοὺς ἀγῶνας ἀποκνήσωμεν.“ τοιαῦτα μὲν ὁ Κομιτόπουλος εἶπεν. εὐθὺς δὲ μετ’ ἐκεῖνον ὁ Βατάτζης ἐπῄνει τε τὰ εἰρημένα καὶ ὡς μηδενὸς ἐνδέοντα, μήτε πρὸς σύνεσιν, μήτε πρὸς εὐβουλίαν, ἐπεψηφίζετο καὶ αὐτὸς καὶ ἐπέσπευδε τοὺς ὅρκους. Εἰρήνη δὲ ἡ βασιλὶς καὶ ὁ ἀδελφὸς Ἀσάνης τὴν Κομιτοπούλου παραίνεσιν νομίσαντες θεόθεν κεκινῆσθαι, ἵν’ εἴη πᾶσι παράκλησις πρὸς τοὺς ἀγῶνας τὸ τοὺς ὑποπτευομένους τουτουσὶν οὕτως ἔχοντας εὐνοίας φαίνεσθαι πρὸς βασιλέα, τῶν πολλῶν ἀναπνεύσαντες φροντίδων καὶ ἐπιψηφισάμενοι τὴν βουλὴν, ἐπειδὴ καὶ τοῖς ἄλλοις ἅπασιν ἐδόκει, τοὺς ὅρκους ἐκέλευον τελεῖσθαι· καὶ ἐτελοῦντο, πρώτου τοῦ τῆς βασιλίδος ἀδελφοῦ ὁμωμοκότος. [20]

2 286 ἐν ᾧ δὲ ταῦτα ἐτελεῖτο, ἥκει τις ἐκ βασιλέως Μπρατίλος ὄνομα, ὃς γράμματα μὲν οὐκ εἶχε, κηρὸν δὲ ἐσφραγισμένον τῷ δακτυλίῳ τοῦ βασιλέως ἀξιοπιστίας ἕνεκα. καὶ πρῶτα μὲν προσηγόρευε βασιλίδα παραστὰς, ἔπειτα καὶ τοὺς ἄλλους ἐκ βασιλέως, διηγεῖτό τε τὰ περὶ Γυναικόκαστρον, οὐχ ὃν ἐγένετο τρόπον, ἀλλ’ ὑφειμένως μάλιστα καὶ ὡς ἂν ᾤετο οὐ σφόδρα θορυβήσειν. πρὸς τοῦτο γὰρ ἔφασκε παρὰ βασιλέως ἐκπεμφθῆναι. ἔπειτα καὶ τοῦτο προσετίθει, ὡς ταραχῆς οὐ μικρᾶς περὶ τὴν βασιλέως στρατιὰν γεγενημένης καὶ πρωτοστράτορός τε καὶ ἄλλων ἀποστάντων διὰ τὸ μὴ τὴν οἰκοι ζημίαν φέρειν δύνασθαι, περὶ Κράλη πυθόμενος ὁ

βασιλεὺς ὡς διατρίβοι ἐγγὺς, γένοιτο πρὸς αὐτὸν κατὰ φιλίαν παλαιάν. ἐκείνου δὲ ἀσμένως ὑποδεξαμένου καὶ μετὰ πολλῆς φιλοφροσύνης καὶ εὐνοίας καὶ στρατιὰν πολλήν τε καὶ ἀγαθὴν παρεσχημένου κατὰ συμμαχίαν, νῦν πρὸς ὁδοιπορίαν εἶναι οἴεσθαι καὶ ἀφίξεσθαι μετὰ μικρόν· αὐτὸν δὲ πεμφθῆναι πρότερον ἀπαγγελοῦντα τὰ γεγενημένα, ὡς ἂν μὴ διεφθαρμένως πυθόμενοι καὶ μετὰ πολλῆς προσθήκης θορυβῆσθε. ἠξίου τε μὴ μέλλειν, ἀλλὰ παρασχομένους γράμματα περὶ αὐτῶν ὅπως ἔχουσι δηλοῦντα, αὖθις εἰς βασιλέα ἀποπέμπειν. πολλὴν γὰρ αὐτῷ περὶ αὐτῶν φροντίδα εἶναι, καὶ τοῦ παντὸς τιμᾶσθαι τὸ πυθέσθαι τι περὶ αὐτῶν. ἔφασκε δὲ καὶ παρὰ βασιλέως γράμματα λαβεῖν, ἃ καὶ αὐτὸς εἶπε περιέχοντα· πρὸς τὴν ὁδοιπορίαν δὲ πολλῶν συντυγχανόντων, δείσας μὴ ἁλῷ καὶ αὐτός τε δι' ἐκεῖνα εἰς πεῖραν ἔλθῃ πολλῶν κακῶν καὶ ἡ πρᾶξις κωλυθῇ, τὰ γράμματα ἀφανίσαι, τὴν σφραγῖδα δὲ μόνην ἀξιοπιστίας ἕνεκα φυλάξαι, δυναμένην ἐπὶ τὰ κοῖλα τοῦ στόματος τοὺς ἐρευνῶντας διαδιδράσκειν. [5]

2 287 ὁ μὲν οὖν τοιαῦτα λέγων ἐπιστεύετο, καὶ πολλὴν παρείχετο παραψυχὴν καὶ τὸ πολὺ τῆς ἀθυμίας ἐπεκούφιζεν. ᾔδεισαν γὰρ αὐτὸν οὐδὲ πρότερον εὐφυῶς ἔχοντα διὰ κουφότητα περὶ τὸ πλάσματα συντιθέναι. τὰ δὲ οὐκ ἦσαν, ὡς ἀπήγγελλεν. ἀλλ' ἡνίκα ἐν Γυναικοκάστρῳ ἡ περὶ βασιλέα ἐγίνετο ἀποστασία καὶ σύγχυσις δεινὴ καὶ ἀταξία ἦν περὶ τὴν στρατιὰν, ἐπεὶ καὶ αὐτὸς παρῆν εἰς τοῦτο τεταγμένος σὺν πλείοσιν ἑτέροις τοιούτοις, ἵν' εἴ που δέοιτο βασιλεὺς ἀγγελίαν κρύφα πέμπειν, αὐτὸς διακομίζοι διὰ τὴν εὐτέλειαν λανθάνων, προσελθὼν ἐδεῖτο βασιλέως, ἐπεὶ μὴ γράφειν δύναιτο διὰ τὴν ἀκαιρίαν, σφραγῖδα παρέχειν ἐκ τοῦ δακτυλίου, ἵν' ᾖ πιστεύεσθαι ἀπαγγέλλοντι τοῖς ἐν Διδυμοτείχῳ περὶ τῶν γεγενημένων· νομίσας δὲ καὶ ὁ βασιλεὺς προσήκοντα εἰρηκέναι τῷ καιρῷ, παρεῖχε. Μπρατίλος μὲν οὖν τοιαῦτα τοῖς ἐν Διδυμοτείχῳ ἀπαγγείλας, γράμματά τε αὖθις παρὰ βασιλίδος καὶ τῶν ἄλλων λαβὼν, ᾤχετο πρὸς βασιλέα. μη'. Ὁ δὲ ἐπὶ τῆς ἔξω Διδυμοτείχου συνοικίας δῆμος οὐ πολλῷ ὕστερον οὐκ ἀνεκτὸν ἡγούμενοι, εἰ μὴ τὰ ἴσα καὶ αὐτοὶ τοῖς ἄλλοις δήμοις δρῷεν καὶ διαφθείροιεν τοὺς δυνατοὺς, τῶν ἀρχόντων αὐτοῖς μὴ συνειδότων, νυκτὸς ἐπὶ τὴν στάσιν ἀλλήλους παρορμήσαντες καὶ καθοπλισάμενοι ὡς εἶχον πάντες ἅμα ἕῳ πρὸς τὰς πύλας ἐλθόντες, ἐτειχομάχουν καὶ πάντας ἠπείλουν ἀποκτείνειν τοὺς ἔνδον, εἰ μὴ ἑκόντες προσχωροῖεν· οὕτω γὰρ ἂν μόλις φείσεσθαι μὴ ἀποκτείνειν. [5]

2 288 Ἀσάνης δὲ καὶ ἡ ἔνδον στρατιὰ ἡγησάμενοι δεινὸν, εἰ μετὰ τῶν ἐκ Βυζαντίου καὶ τῆς ἐκ τῆς ἄλλης ἀρχῆς Ῥωμαίων στρατιᾶς καὶ παρὰ τῶν οἰκείων πολιορκοῖντο, ὁπλισάμενοι καὶ αὐτοὶ καὶ ἀνοίξαντες τὰς πύλας συνεπλέκοντο τῷ δήμῳ ἐξελθόντες. ἐκεῖνοι δὲ οὐδὲ πρὸς ὀλίγον ἀντισχόντες πρὸς τὴν μάχην, ἔφευγον ὡς εἶχον, παῖδας καὶ γυναῖκας μόνας ἀναλαβόντες καὶ διεσκεδάσθησαν κατὰ τὰς ἄλλας πόλεις, μηδὲν ἐπιφερόμενοι ὧν εἶχον· πλήν τινων ὀλίγων, οἳ διὰ τὸ μὴ συμμετεσχηκέναι τῆς στάσεως τοῖς ἄλλοις μένειν συνεχωρήθησαν ἐπὶ τῶν οἰκιῶν. ἡ στρατιὰ δὲ τὰς οἰκίας τῶν φυγόντων διεπόρθουν καὶ πάντα εἰσεκόμιζον ἐντὸς τειχῶν. ὀλίγῳ δὲ ὕστερον καὶ τὰς ξυλώσεις καθαιροῦντες, ἐχρῶντο πρὸς τὸ πῦρ, ὑπὸ τῶν ἐν Βυζαντίῳ ἤδη πολιορκούμενοι. ἡ γὰρ ἐκ Βυζαντίου στρατιὰ, ἄχρι μὲν οἱ ἔξω Διδυμοτείχου πρὸς τοὺς ἔνδον ὡμοφρόνουν, οὐδὲ ἐγγὺς γενέσθαι ἐπεχείρουν, ἀλλὰ εἰσβάλλοντες, τὰ πόῤῥω διεπόρθουν καὶ ὡς τάχιστα ἀνεχώρουν. ἐπεὶ δὲ ἡ στάσις γένοιτο καὶ ἐκπολεμωθεῖεν τοῖς ἔνδον οἱ ἐκτὸς, αὐτοί τε ἐφθάρησαν παντάπασιν ἀνάστατοι γεγενημένοι, καὶ οἱ ἔνδον τὸ πολὺ τῆς δυνάμεως ὑφαιρεθέντες, ἀσθενεῖς τε ἦσαν καὶ οὐκέτι πρὸς τοὺς πολεμίους ἀξιόμαχοι. [20]

2 289 ὅθεν κἀκεῖνοι ἐπιόντες καὶ στρατοπεδευόμενοι ἐγγὺς διεκαρτέρουν. οἱ μέντοι ὑπολειπόμενοι τοῦ δήμου ἐν Διδυμοτείχῳ, τῶν οἰκημάτων ὑπὸ τῆς στρατιᾶς καθαιρεθέντων, αὐτοὶ τοὺς λίθους ἐκκαθαίροντες, πρὸς λαχανισμὸν ἐχρῶντο τῷ χωρίῳ. καὶ τέλος ἤδη εἶχε τὸ περὶ τοῦ χωρίου τούτου τῷ μητροπολίτῃ τῆς αὐτῆς πόλεως ὀλίγῳ πρότερον προειρημένον. ἔτι γὰρ Καντακουζηνοῦ τοῦ βασιλέως πρὸς τὴν εἰς τὴν ἑσπέραν ἐκστρατείαν παρασκευαζομένου,

ἐδόκει δεῖν διὰ τὸν πόλεμον περὶ τὴν ἔξω συνοικίαν τάφρον περιελαύνειν, ἵνα μὴ ῥᾳδία ἡ εἴσοδος τοῖς πολεμίοις εἴη, εἴ ποτε ἐσβάλοιεν. διανενεμημένης δὲ τῆς τάφρου κατὰ φατρίας παντὶ τῷ δήμῳ, ὥστε ἀνορύττειν, καὶ τοῖς ἐν τῷ κλήρῳ τῆς ἐκκλησίας πᾶσι παρείχετο μερίς. δυσχεραινόντων δὲ ἐκείνων διὰ τὸ πονεῖν καὶ προσαγγελλόντων τῷ μητροπολίτῃ τοὺς ἐπὶ τὰ ἔργα ἀναγκάζοντας, „οὐδὲν μὲν“ εἶπεν ἐκεῖνος „τὰ τοιαῦτα πρὸς τὸν πόλεμον λυσιτελήσει. μετ’ οὐ πολὺ γὰρ ὃ περιποιοῦνται χωρίον πρὸς λαχανισμὸν ἐπιτηδείως ἕξειν. τοῦ δὲ μὴ δοκεῖν αὐτοὺς τοῦ κοινῇ λυσιτελοῦντος ἀμελεῖν, ἐκέλευε τὰ ἐπιτεταγμένα πράττειν. ὧν ὀλίγῳ ὕστερον ἐκβάντων, ἀνεμιμνήσκοντό τε οἱ ἐν Διδυμοτείχῳ καὶ ἐθαύμαζον τὸν ἄνδρα τῆς προαγορεύσεως. οἱ μέντοι παρὰ Κράλη βασιλεῖ τῷ Καντακουζηνῷ ἐπιτεταγμένοι συμμαχεῖν, ἐπεὶ παρεσκευασμένοι ἤδη ἦσαν καὶ ἔμελλον ἔργου ἔχεσθαι, τῷ σφετέρῳ δυνάστῃ προσελθόντες, οὐ λυσιτελοῦντα ἔφασαν σφᾶς τε αὐτοὺς κἀκεῖνον βεβουλεῦσθαι περὶ ἑαυτῶν, οὕτως ἀπερισκέπτως τὸ κράτιστον τῆς αὐτῶν δυνάμεως ἐγχειρίσαντας Καντακουζηνῷ τῷ βασιλεῖ. [25]

2 290 εἰ γὰρ ἐκεῖνος διαλύσεις θέμενος πρὸς Ἄνναν τὴν βασιλίδα, κρύφα ἐπιβουλεύσειεν αὐτοῖς καὶ διαφθερεῖ μὴ προαισθομένους τὴν ἐπιβουλήν, τί λοιπὸν ἢ ἐπανελθόντα παῖδας καὶ γυναῖκας ἄγειν ἐπὶ δουλείᾳ καὶ τὴν ἄλλην ἅπασαν Τριβαλῶν ἀρχὴν ὑποποιεῖσθαι; δι’ ἃ οὐ χρῆναι χωρὶς ὁμήρων ἐκείνῳ συμμαχεῖν· ἀλλ’ εἴ τι δέοιτο τῆς αὐτῶν ἐπικουρίας, τὸν νεώτερον τῶν υἱῶν ὁμηρεύσοντα καταλείπειν παρ’ αὐτοῖς. οὕτω γὰρ προθύμως συστρατεύσεσθαι καὶ μηδεμίαν πρὸς τὸ μέλλον πονηρὰν ἐλπίδα σχήσειν. Λίβερος δὲ ἰδίᾳ ἐδεῖτο Κράλη, πείθειν βασιλέα τὴν ἐκείνου θυγατέρα Μανουὴλ τῷ νεωτέρῳ υἱῷ κατεγγυᾶν· πυθέσθαι γὰρ περὶ Συργῆ, ὡς διαλύσειε τὸν γάμον θυγατρὸς διὰ τὸν πόλεμον, ἣν ἔτι περιόντος Ἀνδρονίκου βασιλέως τούτῳ δὴ κατηγγύησε τῷ Μανουήλ. καὶ ἐδόκει κἀκείνῳ δίκαια καὶ συμφέροντα ἀξιοῦν τοὺς στρατηγούς. διὸ καὶ ἀπήγγελλε βασιλεῖ τὰ παρ’ ἐκείνων εἰρημένα καὶ συνεβούλευε πείθεσθαι αὐτοῖς, τοῦτον τὸν τρόπον προθύμως συστρατευσομένοις. ἐδεῖτό τε ἰδίᾳ καὶ περὶ Λιβέρου τῆς θυγατρὸς ἐπὶ γάμῳ συνάπτειν τῷ υἱῷ, καὶ μὴ τὸ διάφορον ἀμφοῖν τῆς εὐδοξίας, ἀλλὰ τὴν συντέλειαν, ἣν πρὸς τὰ παρόντα συντελέσειε, σκοπεῖν. πρὸς γὰρ τῷ καὶ τοῖς ἄλλοις Τριβαλοῖς πρὸς ἡδονὴν τὸν γάμον εἶναι τοῦ παιδὸς, ἔτι καὶ Λίβερον αὐτὸν οὐ σύμμαχον ἕξειν ἔτι καὶ φίλον, ἀλλὰ δοῦλον ἀκριβῶς καὶ πάντα προησόμενον προθύμως ὑπὲρ τῶν αὐτῷ λυσιτελούντων· οὕτω γὰρ ἐπαγγέλλεσθαι καὶ αὐτόν. [20]

2 291 ἐδόκει μὲν οὖν πολλὴν ἐπιείκειαν καὶ εὐγνωμοσύνην τὸ τοιοῦτο Κράλῃ συμμαρτυρεῖν, εἰ τοῦ παρ’ αὐτῷ δυνατωτάτου βασιλεῖ προστιθεμένου καὶ οὕτω φανερῶς ὑπὲρ ἐκείνου πάντα ποιήσειν ἐπαγγελλομένου, εἰ πείθοιτο μόνον τὴν ἐκείνου θυγατέρα συνοικίζειν τῷ υἱῷ, μήθ’ ὑποπτεύειν αὐτὸς, μήτε κωλύειν ἐπεχείρει, συνέπραττε δὲ μᾶλλον. τοῦτο δὲ οὐ μᾶλλον τῆς ἐπιεικείας Κράλῃ ἦν, ἢ τῆς Λιβέρου περιουσίας καὶ τοῦ μεγάλα δύνασθαι παρὰ Τριβαλοῖς, ὥστε καὶ αὐτὸν Κράλην προσκρούειν ὀῤῥωδεῖν. ὁ μὲν οὖν Κράλης τοιαῦτα πρὸς βασιλέα διεξῄει, παρόντος καὶ Λιβέρου. βασιλεὺς δὲ ἐπείθετο πρὸς ἀμφότερα λυσιτελοῦντα ὁρῶν ἐν τῷ παρόντι, καὶ τήν τε ὑποψίαν ἀπωθεῖτο, ὡς ἀδικήσειέ ποτε καὶ ἐπιβουλεύσειε τοῖς συμμάχοις. οὐ γὰρ τοιαύταις αὐτὸς ἐπίστασθαι τοὺς φίλους ἀμείβεσθαι εὐεργεσίαις, ὅπου γε καὶ τοῖς πολεμοῦσι φανερῶς οὐδέποτε ἐπιβουλεύων ἐφάνη. καὶ τὸ πρὸς Συργὴν κῆδος οὐκ αὐτὸς διαλύειν πρῶτος ἔφασκεν, ἀλλ’ ἐκείνου ἀπειπαμένου, μηδεμίαν αἰτίαν εἶναι, εἰ καὶ αὐτὸς ἑτέραν τῷ υἱῷ ἁρμόσεται. καίτοι γε οὐδ’ εἰς τοσοῦτο δεσμῶν ἥκειν τὸν γάμον, ὥστε μὴ ἐξεῖναι διαλύειν· εἰ γὰρ μέχρι ὅρκων προεχώρει, ἐξ οὐδεμιᾶς ἂν αἰτίας ἐπεχείρησε διασπᾷν αὐτός. τοιγαροῦν ἀφιέναι τὸν υἱὸν ἅμα μὲν γαμβρὸν ἐσόμενον Λιβέρῳ, ἅμα δὲ καὶ τῆς στρατιᾶς ἕνεκα τοῦ θαῤῥεῖν αὐτῷ, ὡς οὐδέποτε ἐπιβουλεύσειε· μὴ μέντοι παντάπασι διατρίβειν παρ’ αὐτοῖς, ἀλλ’ ἐπανήκειν πρὸς αὐτὸν, ἡνίκα ἂν καλοίη. [20]

2 292 Λίβερος δὲ ἐπεὶ ἀκούσειε βασιλέα πεπεισμένον πρὸς τὸ τὴν ἐκείνου θυγατέρα ἄγειν τῷ υἱῷ, προσεκύνει τε καὶ ἠσπάζετο τὸν βασιλέως πόδα, καὶ πολλὰς ὡμολόγει χάριτας ἐκείνῳ τε τῆς εὐεργεσίας καὶ Κράλῃ τοῦ συνεπιλαβέσθαι πρὸς τὸ ἔργον. τοῦτο δὲ λόγοις μόνον συνετίθετο ψιλοῖς· ὅρκοις δὲ ἢ δεσμοῖς τισιν ἄλλοις πρὸς τὸν γάμον οὐκ ἐχρήσαντο. μθ′. Μετὰ δὲ τοῦτο τὴν στρατιὰν παραλαβὼν ἤδη παρεσκευασμένην περὶ θέρους ἐκβολὰς ἅμα καὶ Κράλη μετὰ γυναικὸς παρεπομένου ἄχρι τῆς Ῥωμαίων ὅρων ἡγεμονίας, ἐκεῖνοι μὲν οὖν ἀνεχώρουν συνταξάμενοι· βασιλεὺς δὲ τὴν τεταγμένην ἔχων στρατιὰν, ἐστρατοπέδευσεν ἐν Φεραῖς καὶ διήγαγεν ἐπὶ τρισὶν ἡμέραις διαλεγόμενος Φεραίοις περὶ τοῦ προσχωρεῖν αὐτῷ. Συργὴς γὰρ μετὰ τὴν ἐπάνοδον τὴν ἐκ Γυναικοκάστρου Φεραῖς ὀλίγον ἐνδιατρίψας, ἦλθε πρὸς Βυζάντιον, κἀκεῖθεν εἰς Ἀρμενίαν ἀπεχώρησεν, Ἀρμενίων ἐπὶ τὸ σφίσιν ἄρχειν αὐτὸν προσκαλεσαμένων, ἐκ πατρῴου προσηκούσης αὐτῷ κλήρου τῆς ἀρχῆς. Φεραῖοι δὲ οὐδὲν μᾶλλον ἢ πρότερον ἦσαν βασιλεῖ τῷ Καντακουζηνῷ παρεσκευασμένοι πολεμεῖν, καὶ τοὺς προσιόντας ἐπὶ τῷ διαλέγεσθαι λίθοις ἔβαλλον καὶ βέλεσιν ἀπὸ τῶν τειχῶν. ὅθεν καὶ ἡ στρατιὰ ὡς πολεμίων ἀδεῶς τὴν χώραν διεπόρθουν. ἐν ᾧ δὲ ταῦτα ἐτελεῖτο, Βράκτος τῶν ἡγεμόνων τῆς στρατιᾶς ὁ διαφορώτατος ἐνόσησε καὶ διεκαρτέρησεν ἐκεῖ ἡ στρατιὰ ἐστρατοπεδευμένη μίαν ἡμέραν ἐπὶ δέκα. [25]

2 293 ἐπεὶ δ’ ἐκεῖνος ῥᾴων ἦν, Λίβερος κατείχετο τῇ νόσῳ καὶ ἔδει τοσοῦτον χρόνον περιμένειν ἢ καὶ πλείω. ῥαΐσαντος δὲ ἐκείνου, οἱ λοιποὶ ἐνόσουν τῶν ἀρχόντων καὶ ἡ στρατιὰ σύμπασα σχεδόν. μέλιτος γὰρ ἐμφορούμενοι καὶ κρεῶν, ὧν ἡ χώρα μάλιστα εὐπόρει, εἶτα ἀποθλίβοντες καὶ σταφυλὰς καὶ τοῦ ἀπορῥέοντος αὐτίκα ἐμφορούμενοι, εἰς πυρετοὺς ἐνέπιπτον καὶ φθόας, ἔπειτα ἀπέθνησκον κατεργαζόμενοι ὑπὸ τῆς νόσου. καὶ τῶν τε μάλιστα ἐν λόγῳ ἐτεθνήκεσαν οὐκ ὀλίγοι, καὶ τῆς στρατιᾶς ὑπὲρ πεντακοσίους καὶ χιλίους· Ῥωμαίων δὲ τῶν βασιλεῖ συνόντων οὐδὲ εἷς, οὔτε μὴν ἐνόσησεν. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ ἐπεὶ ἐπύθετο τὸν Καντακουζηνὸν βασιλέα στρατιὰν ἔχοντα ἐκ Τριβαλῶν περὶ Φερὰς ἐστρατοπεδευμένον εἶναι καὶ μέλλοντα εἰς Διδυμότειχον ἐπανήκειν, κατὰ τάχος ἔπεμπε τριήρεις εἰς Χριστούπολιν, ἅμα δὲ καὶ στρατιὰν ἐκ τῆς ἠπείρου, ὡς τὸ ἐκεῖσε τείχισμα φυλάξοντας καὶ κωλύσοντας διαβαίνειν τὴν στρατιάν. ἦν γὰρ ὁ τόπος ἐπιτηδείως ἔχων εἰς φυλακὴν τὴν ἐκ τῶν ὁπλιτῶν, οὐ διὰ τὸν ἐπιτειχισμὸν μόνον, ἀλλ’ ὅτι καὶ κρημνώδης ὢν δύσκολον τοῖς ἱππεῦσι παρείχετο τὴν δίοδον, μάλιστα εἰ καὶ ὑπό τινων κωλύοιντο. οἱ Τριβαλοὶ δὲ μάλιστα μὲν διὰ τὴν νόσον καὶ τὸ πολλοὺς ἀποθνήσκειν καθ’ ἡμέραν, οὐχ ἥκιστα δὲ καὶ διὰ τὸ πυθέσθαι τὸ τείχισμα ὑπὸ Ῥωμαίων κατεχόμενον, ἀναστρέφειν ἔγνωσαν ἐκ τῶν Φερῶν πρὸς τὴν οἰκείαν. [20]

2 294 βασιλεὺς δὲ, ἐπεὶ βιάζεσθαι οὐκ ἐνῆν οὕτω πάσχοντας κακῶς ὑπὸ τῆς νόσου, τοὺς ἐν τέλει πάντας καὶ ἡγεμόνας συναγαγὼν, παρῄνει μὴ ἀθυμεῖν, μηδὲ τὴν ἀποτυχίαν ταύτην ὥς τι τῶν δεινῶν λογίζεσθαι, ἀλλ’ ἐκεῖνο ἐνθυμουμένους, ὡς πάντα μὲν θεοῦ προνοίᾳ διοικεῖται· ἀδύνατον δέ τι τῶν μὴ δεόντων ὑπ’ ἐκείνου πράττεσθαι, πάντα στέργειν, ὡς μάλιστα λυσιτελῶς ἡμῖν πραττόμενα παρὰ θεοῦ. καὶ τὸ νῦν μὲν ἔχον, ἐπανελευσόμεθα πρὸς τὴν οἰκείαν, ὀλίγῳ δὲ ὕστερον πάλιν παρασκευασάμενοι, ἐλευσόμεθα εἰς Διδυμότειχον, ἂν φίλον ᾖ θεῷ. οἱ μὲν οὖν Τριβαλοὶ πολλὰς χάριτας ὡμολόγουν βασιλεῖ πρὸς τὴν παραίνεσιν. καὶ γάρ τοι μάλιστα χαίροντες πρὸς τὴν ἐπάνοδον, ὅμως μὴ προσκρούειν βασιλεῖ ἐβούλοντο, δοκοῦντες ἄκοντος ἀναχωρεῖν. Ῥωμαῖοι δὲ ἐν δεινῷ ἐτίθεντο καὶ οὐδὲν ἐνόμιζον ἀπεοικέναι τὴν ὁδὸν ἐκείνην, ἢ εἰ πρὸς Ἀχέροντα βαδίζειν ἠναγκάζοντο, καὶ δεινῶς ἐθορυβοῦντο καὶ ἐστασίαζον, πρὸς τοὺς ἐν Χριστουπόλει βουλόμενοι ἀποχωρεῖν. ὁρῶν δὲ ὁ βασιλεὺς τὴν διχόνοιαν αὐτῶν καὶ τὴν μελετωμένην ἀποστασίαν, περιστησάμενος ἑαυτῷ καὶ ὑπομνήσας, ὡς οὐκ ἰδίας πλεονεξίας ἢ τιμῆς ἐπιθυμίας, ἀλλ’ αὐτῶν ἕνεκα δεομένων, μὴ περιιδεῖν διαφθαρέντας καὶ δουλωθέντας Ἀποκαύκῳ τῷ παρακοιμωμένῳ, τὸν ἀγῶνα ὑπελθεῖν· ἔπειτα καὶ ὧν ἐν ἀρχῇ τοῦ

πολέμου μάλιστα διαλεχθείη πρὸς αὐτοὺς, ὡς οὔτε δίκαιον, οὔτε ἄλλως εὐσεβὲς, νῦν μὲν πάντας πρὸς τὸ βασιλέα γίνεσθαι παρακαλεῖν καὶ μίαν ταύτην ὁδὸν σωτηρίας συνορᾷν, ὕστερον δὲ, ἂν μὴ κατὰ γνώμην τὰ πράγματα ἐκβαίνῃ, καταλείποντας αὐτὸν ἐν τοῖς κινδύνοις ἕκαστον ἀναχωρεῖν, ὅποι ἂν δοκῇ συμφέρειν· αὖθις παρῄνει μὴ μικροψυχεῖν, μηδ' ἀπαγορεύειν πρὸς τοὺς πόνους καὶ τοὺς κινδύνους, ἀλλ' ἀνδράσιν πρέπουσαν γενναίοις ἐπιδεικνυμένους εὐψυχίαν τε καὶ τόλμαν, καρτερεῖν ἐν τοῖς δεινοῖς. [5]

2 295 οὐδὲ γάρ τι τῶν μεγάλων καὶ ἐπαινουμένων ἄνευ πόνων ἄν ποτέ τινι κατορθωθείη. εἰ δ' ἥττηνται παντάπασιν ἐν τοῖς δεινοῖς καὶ ἀντέχειν πρὸς αὐτὰ οὐκέτι οἷοί τε εἰσὶν, ἀλλὰ τῶν προτέρων ἐπιλελησμένοι λοιδοριῶν καὶ μέμψεων, αἷς τοὺς ἐκ Γυναικοκάστρου ἀποστάντας ἔβαλλον, πρὸς τὰ ἴσα ὥρμηνται καὶ αὐτοὶ νυνὶ, πρῶτα μὲν μέμφεσθαι καὶ αὐτοῖς δικαίως, ὡς τὰ ὑπεσχημένα παραβαίνουσι καὶ φαινομένοις κακοῖς περὶ αὐτὸν, ἡνίκα μάλιστα ἔδει συνόντας ὠφελεῖν. ἔπειτα οὐ κατασχήσειν ἄκοντας. οὐδὲ γὰρ οὐδ' ἐξαρχῆς αὐτῷ τι πρὸς ἀνάγκην τινὶ εἰργάσθαι, ἀλλ' αὐτὸς μᾶλλον καὶ ἃ μὴ κατὰ γνώμην ἦν πρὸς ἀνάγκην πράττειν ἤγετο. ἀλλ' οἷς μὲν ἡδὺ τοὺς μετ' αὐτοῦ πόνους καὶ κινδύνους καὶ θάνατον, εἰ δέοι, τῶν παρὰ τοῖς πολεμίοις δοκούντων ἀγαθῶν ἀλλάττεσθαι, ἰέναι πρὸς αὐτὸν, ἵν' εἰδείη καὶ αὐτὸς, τίσι τὰς ἀμοιβὰς τῶν πόνων ἀξίας, καιροῦ καλοῦντος καὶ θεοῦ συναιρομένου, ἀποδοίη· τοὺς δ' αὐτῷ μὴ συγκινδυνεύειν αἱρουμένους ἀποχωρεῖν. αὐτίκα τε εἰς δύο διῃροῦντο. [20]

2 296 καὶ οἱ πλείους μὲν προσκυνήσαντες βασιλέα ἀπεχώρουν· ὑπὲρ πεντακοσίους δὲ συγκινδυνεύειν εἵλοντο, οἷς καὶ πολλὴν ὁμολογήσας χάριν τῆς εἰς αὐτὸν εὐνοίας καὶ πίστεως ἀδόλου, ἀνέστρεφε μετὰ τῆς ἄλλης στρατιᾶς. τῶν δὲ ἀφεστηκότων οἱ πλείους μὲν ὁμολογίας χωρὶς προσεχώρησαν τοῖς ἐν Χριστουπόλει στρατηγοῖς καὶ προσεδέχθησαν ἀσμένως παρ' αὐτῶν· ὅσοι δὲ μάλιστα ἐν λόγῳ ἦσαν, πέμψαντες ᾐτοῦντο πίστεις παρὰ τῶν ἀρχόντων. οἱ δὲ ὤμνυον μὲν, γνώμην δὲ εἶχον, ὡς καὶ μετὰ τοὺς ὅρκους εἰς πεῖραν ἄξοντες πλείστων ἀλγεινῶν. ὧν εἴτε αὐτοὶ αἰσθόμενοι τῆς ἀπάτης ἐκ τῶν λόγων, εἴτε καὶ παρά του τῶν συνόντων μηνυθείσης, τὸν κίνδυνον διαδράντες αὖθις πρὸς βασιλέα ἐπανῆκον. βασιλεὺς δὲ αὐτοῖς τὸ ἄστατον τῆς γνώμης καὶ μικρόψυχον ὀνειδίσας, αὖθις ἐφῆκεν αὐτῷ συνδιατρίβειν. ν′. Οἱ μέντοι ἐν Χριστουπόλει στρατηγοὶ, ἐπεὶ Τριβαλῶν ἡ στρατιὰ καὶ ὁ βασιλεὺς ἀνεχώρησαν ἐκ Φερῶν πρὸς τὴν οἰκείαν, πέμψαντες ἐν Βυζαντίῳ, βασιλίδι ἀπήγγελλον καὶ μεγάλῳ δουκὶ, ὡς ἄχρι τοῦ διατειχίσματος μετὰ Τριβαλῶν ἐλθὼν ὁ Καντακουζηνὸς, διελθεῖν μὲν οὐ δυνηθείη ἡμῶν ἰσχυρῶς ἀμυνομένων. ἀναστρεφούσης δὲ τῆς στρατιᾶς, ὅσοι Ῥωμαίων αὐτῷ συνῆσαν, καταλιπόντες ἦκον πρὸς ἡμᾶς πλὴν δέκα πάντες· αὐτὸς δὲ ὑπ' αἰσχύνης ἀμυθήτου, ὅ,τι χρήσασθαι μὴ ἔχων ἑαυτῷ, πρὸς Ἄθω ἦλθε τὸ ἱερὸν ὄρος, ὡς ἐκεῖσε τὴν βασιλείαν, ἣν ἀδίκως ἥρπασε καὶ παρανόμως, ἀποθησόμενος καὶ σχῆμα μοναχῶν περιθησόμενος. εὐθὺς μὲν οὖν ἐν Βυζαντίῳ πανήγυρις ἦν λαμπρὰ καὶ ἑορτῶν ἡ χαριεστάτη. [20]

2 297 καὶ ὁ δῆμος πρὸς τὸ τῆς θεομήτορος Ὁδηγητρίας τέμενος ἐχώρουν πανδημεὶ, εὐχαριστήρια τῆς νίκης ἀποδώσοντες, καὶ οἱ ἐν τέλει μάλιστα, εἶτα καὶ οἱ ἄλλοι πεζῇ τοῖς πολλοῖς ὁμοίως. καὶ οὐδεὶς ἐτόλμα ἀπολείπεσθαι, ἀλλὰ καὶ οἳ μάλιστα ἠνιῶντο καὶ ἐδυσχέραινον τὴν βασιλέως δυσπραγίαν, κἀκεῖνοι τοῖς ἄλλοις ὁμοίως ἀνάγκην εἶχον συνεορτάζειν ἢ μᾶλλον συνασχημονεῖν, ἢ τῆς κατηφείας χαλεπὰς καὶ ἀπαραιτήτους παρείχοντο εὐθύνας. οὐ γὰρ μόνον εἴ τις Καντακουζηνῷ τῷ βασιλεῖ συμπράττων φωραθείη, ἐκολάζετο ὠμῶς, ἀλλὰ καὶ εἴ τις πρὸς τὰ πραττόμενα μὴ ἡδέως διακείμενος, ἀλλὰ ἦθος ἐμφαίνων ἀποστρεφομένου φωραθείη, τὰς ὁμοίας δίκας τοῖς ἑαλωκόσιν ἐπὶ προδοσίᾳ φανερῶς διδόναι ἦν ἀνάγκη. καὶ πολλοὶ ἐκ τοιούτων αἰτιῶν ἀπώλοντο, οὐκ ἐν Βυζαντίῳ μόνον, ἀλλὰ καὶ παρὰ ταῖς ἄλλαις πόλεσιν ἄχρι Θεσσαλονίκης. τὰ γὰρ περαιτέρω καὶ πρὸς ἑσπέραν κοινῇ οἵ τε δῆμοι καὶ οἱ δυνατοὶ τῶν πόλεων βασιλεῖ προσεῖχον Καντακουζηνῷ. ὅθεν οὐδὲ πρὸς στάσεις ἐχώρησαν καὶ πολέμους

ἐμφυλίους, ἀλλ᾽ ἐν οἷς μάλιστα αἱ ἄλλαι μεγάλαις ἐχρήσαντο συμφοραῖς καιροῖς, ἐν τούτοις αὖται πρὸς εὐνομίαν καὶ εἰρήνην διῳκοῦντο. αἱ δὲ ἀπὸ Θεσσαλονίκης ἄχρι Βυζαντίου οὐδὲν ἦν, ὅ,τι μὴ ὑπέμενον. καθάπαξ γὰρ εἰς δύο διαιρεθεῖσαι, στρατιὰ μὲν καὶ οἱ ἄλλοι ἄριστοι τῶν πολιτῶν τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ᾑροῦντο, ἐκεῖνον οἰόμενοι δυνήσεσθαι τὰς κατασχούσας στήσειν συμφοράς· οἱ δῆμοι δὲ, τῶν στασιαστῶν ἐναγόντων, οἷς ἐκ τοῦ πολέμου τὰ ἑτέρων ἔχουσι πλουτεῖν ἐνῆν, πρός τε βασιλέα Καντακουζηνὸν καὶ τοὺς παρ᾽ ἑκάστοις δυνατοὺς ὁμοίως ἐπολέμουν καὶ πολλὰ διετίθεσαν κακὰ, οὐ μόνον τὰς οὐσίας διαρπάζοντες καὶ ἀπορωτάτους ἐκ πλουσίων ἀποδεικνύντες ἐν μιᾷ καιροῦ ῥοπῇ, ἀλλὰ καὶ δεσμωτηρίοις κατακλείοντες καὶ ἄλλην πᾶσαν εἰς αὐτοὺς κάκωσιν ἐπιδεικνύμενοι. [5]

2 298 οἵ τε τὰς ἀρχὰς τῶν πόλεων ἐπιτετραμμένοι, τοῖς τῶν ὅλων ἄρχουσι πραγμάτων μάλιστα ἐξομοιούμενοι, κολαστικοί τινες καὶ ἀνήμεροι καὶ θηριώδεις ἐφιλοτιμοῦντο εἶναι. ἐκεῖνοι γὰρ εἰς τοσοῦτον ὠμότητος προῆλθον, ὡς ἄλλους τε πολλοὺς ἀπανθρώπως τιμωρήσασθαι, καὶ Πατρικιώτην ταῖς βασάνοις ἐναποθανεῖν ἐᾶσαι καλλωδίοις ἐξηρτημένον. Σιδηρᾶν δὲ μετὰ τὸ αἰκίσασθαι μέχρι ἄπνουν εἶναι, ζοφώδει τινὶ δεσμωτηρίῳ ἐναπέῤῥιψαν γυμνὸν, οἷα δὴ νεκρὸν, οὐδὲ ὁσίας ἀξιώσαντες. ὃν οὕτως ἄπνουν ἀπερῥιμμένον ἐπί τινας ἡμέρας, τῶν Περσῶν τις δοριάλωτος θείᾳ προνοίᾳ τῷ δεσμωτηρίῳ ἐκείνῳ καθειρχθεὶς, προνοίας τε ἠξίωσεν οὐ τῆς τυχούσης καὶ τῶν πολλῶν ἐκείνων ἀνεκτήσατο αἰκισμῶν. τὴν ὁμοίαν δὲ ὁ δοριάλωτος ἐκεῖνος πρόνοιαν καὶ πρὸς Συναδηνὴν ἐπεδείξατο, ἀπανθρώπως κἀκείνην αἰκισθεῖσαν ἐγγὺς θανάτου καὶ γυμνὴν εἰς ἐκεῖνο τὸ δεσμωτήριον ἀποῤῥιφεῖσαν. πᾶσι δὲ ἦν ἔγκλημα ἡ περὶ βασιλέα τὸν Καντακουζηνὸν προτέρα εὔνοια καὶ τὸ χρήματα ἐκείνου κρυπτόμενα εἰδέναι, ἃ ἠναγκάζοντο φανεροῦν. [20]

2 299 οὐ μὴν οὐδὲ τῶν εὐγενεστέρων ἀπείχοντο οὕτως αἰκίζειν ἀπανθρώπως. Ἀσανίναν γὰρ τὴν Ἀσάνη τοῦ Μιχαὴλ γαμετὴν τοῦ πρώτου τῶν Ἀσάνη τοῦ δεσπότου υἱῶν σχοινίοις αἰωρήσαντες, ἐμάστιξαν ἐφ᾽ ἱκανὸν, ἐπικαλοῦντες, ὡς συνειδείη εἰς Βυζάντιον παρὰ Καντακουζηνοῦ ἐπὶ διαφθορᾷ τινων γράμματα ἀφιγμένα, ἃ ἐκέλευον δῆλα καὶ αὐτοῖς ποιεῖν. ταῦτα μὲν οὖν ἐκ πολλῶν ὀλίγα εἴρηται, δι᾽ ἃ εἰς τοσοῦτον ἦλθον φόβου οἱ ἁπανταχοῦ τῆς Ῥωμαίων γῆς ἄριστοι τῶν πόλεων, ὡς μηδὲ τοῖς οἰκειοτάτοις ἄγαν θαῤῥεῖν τὴν προδοσίαν δεδοικότες. συμβὰν δέ τι καὶ τοιοῦτον μᾶλλον ἐξεφόβησεν. οἱ γὰρ ἐν Κωνσταντίνου τοῦ μεγάλου τοῖς βασιλείοις ὄντες δεσμῶται, ἐπεὶ τῶν νηστειῶν παρῆσαν αἱ ἡμέραι καὶ ἔδει ἀναθέσθαι τὰ κατ᾽ αὐτοὺς ἀνδρὶ πνευματικῷ καὶ ἐξομολόγησιν ποιήσασθαι τῶν πεπλημμεληκότων, ἐπεὶ μὴ ἐξῆν αὐτοῖς εἰσάγειν οἷς ἐθάῤῥουν, ᾐτοῦντο παρὰ τῶν ἀρχόντων εἰσελθεῖν, ὃν ἂν βούλοιντο αὐτοί. οἱ δέ τινα Γλύκαν ὄνομα, φαῦλον ἄνθρωπον καὶ περὶ μέθας ἠσχολημένον καὶ ἕτερα ἀτοπώτερά τινα, ἱμάτια μοναχῶν ἐνδύσαντες καὶ τὸ λεγόμενον μέγα σχῆμα περιθέντες, προσέπεμπον τοῖς δεσμώταις, οἷα πνευματικόν· ἐκέλευόν τε τοὺς λογισμοὺς τῶν ἀνδρῶν ἀνερευνᾷν, ὅ,τι περὶ Καντακουζηνοῦ διανοοῦνται καὶ εἰ συνίσασί τινας καὶ ἄλλους τὰ αὐτὰ ἐκείνοις ᾐρημένους. ὁ δὲ τὴν ὑπόκρισιν κέρδους ἕνεκα ὑπελθὼν ἡδέως καὶ γενόμενος πρὸς τοὺς δεσμώτας, μετὰ τῶν πλημμεληκότων τὴν ἐξομολόγησιν ἠρώτα ἕκαστον ἰδίᾳ καὶ περὶ Καντακουζηνοῦ τοῦ βασιλέως ὅ,τι διανοοῦνται πράττειν. [20]

2 300 ἐκεῖνοι δὲ ὑποπτεύσαντες, οὐχ ὅπερ ἦν, ἀλλὰ πνευματικὸν μὲν εἶναι ἀληθῶς, τῷ μέρει δὲ προσέχειν τῆς περὶ πατριάρχην καὶ Ἀπόκαυκον τὸν μέγαν δοῦκα φατρίας, δείσαντες ἀπέσχοντο παντάπασι τοῦ καὶ τὰ πεπλημμεληκότα ἐξομολογεῖσθαι. ὁ ἐμπαίκτης δὲ ἐκεῖνος ἐπεὶ μηδὲν ἀπώνατο τῆς πονηρίας, ἐκεῖθεν ἐξελθὼν, ἅ τε κακῶς ἐνέδυ ἀπεδύσατο ἐνδύματα, καὶ κοσμικὴν ἔχων ἐσθῆτα, τὰ συνήθη πάλιν περιῄει δρῶν. τὸ δρᾶμα δὲ τοῦτο λίαν πάντας ἐξεφόβησε καὶ πᾶσιν ἔπεισεν ὁμοίως ἀπιστεῖν. τούτων δὲ ἡ βασιλὶς οὐδὲν τοῖς πράττουσι συνῄδει, ἀλλὰ πάντα διῳκεῖτο μάλιστα μὲν Ἀποκαύκου τοῦ μεγάλου ἐπιτάττοντος δουκὸς, μετ᾽ ἐκεῖνον δὲ καὶ τῶν

ἄλλων τῶν συνωμοτῶν. πατριάρχης δὲ κατ' ἐκείνην τὴν περίοδον τῶν νηστειῶν, τῆς μεγάλης ἐνεστηκυίας παρασκευῆς, ἐν ᾗ ὁ ἐμὸς Χριστὸς ὑπὸ Ἰουδαίων συνελαμβάνετο, αὐτὸς πολλοὺς τοὺς τῷ νεῷ τῆς τοῦ θεοῦ Σοφίας διὰ τὴν ἀσυλίαν προσπεφευγότας παρεδίδου, καὶ συλληφθέντες ἤγοντο εἰς δεσμωτήρια καὶ πολλὰ καὶ δυσχερῆ ὑπέμενον. δι' ἃ δὴ πάντα, ἐπεὶ ἠγγέλλετο καὶ τότε Καντακουζηνὸν τὸν βασιλέα καταλειφθέντα μόνον ὑπὸ τῶν οἰκείων, εἰς ὄρος ἔρχεσθαι τὸ ἱερὸν ἐπὶ τῷ μοναχῶν ὑποδῦναι σχῆμα, πάντες ἔθεον πεζοὶ παρὰ τὸ τῆς Ὁδηγητρίας τέμενος, εὐχαριστίας ἀποδώσοντες τῆς ἐκείνου καταλύσεως. να′. [20]

2 301 Βασιλεὺς δὲ ὁ Καντακουζηνὸς ἐπεὶ ἐκ Φερῶν ἀνέστρεφεν εἰς Ἔδεσσαν ἐλθών, ἣν περιεστρατοπεδευμένος ὁ Κράλης ἐπολιόρκει, τὴν μὲν πολίχνην εὗρε προσχωρήσασαν ἐκείνῳ χρήμασι διαφθείραντι τοὺς ἔνδον. ἀναμιμνήσκων δὲ τῶν ὅρκων καὶ τῶν συνθηκῶν τῶν πρὸς αὐτὸν, οἷς ἐνεγέγραπτο, εἰ πόλιν τινὰ τῶν Ῥωμαίοις ὑπηκόων, καὶ ἀπόντος βασιλέως, ἢ ὅπλοις ἢ τρόπῳ δή τινι ὑποποιήσαιτο, ἀποδιδόναι βασιλεῖ, ᾗτει τὴν πολίχνην. ὁ Κράλης τε παρείχετο ἑτοίμως, φάσκων πάντα τὰ ὑπεσχημένα πράξειν καὶ ὅπλοις καὶ χρήμασι καὶ πάσῃ δυνάμει συμμαχήσειν. βασιλεὺς δὲ τότε πρὸς τὴν πολίχνην μένειν αὐτὸς ἀλυσιτελὲς ὁρῶν, (περὶ γὰρ τῆς εἰς Διδυμότειχον ἐπανόδου πᾶσα ἦν αὐτῷ ἡ σπουδὴ,) ἔκ τε τῶν οἰκείων φρουρὰν ἀξιόλογον μὴ δυνάμενος καταλείπειν, ὀλίγων τε ὄντων τῶν συνεπομένων καὶ μὴ πειθομένων χωρὶς ἐκείνου ἀπολείπεσθαι ἐκεῖ, τὴν μὲν πολίχνην ὡς ἰδίαν καὶ ἄκων κατέλιπε πρὸς Κράλην φυλάττειν ὑπ' ἀνάγκης, ἄχρις οὗ, καιροῦ καλοῦντος, αὖθις ἀπολάβῃ. αὐτὸς δὲ ἅμα Κράλῃ πρὸς τὴν Τριβαλῶν ἀνεχώρουν γῆν. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ ἐπεὶ πύθοιτο ἐκ Φερῶν ἀνακεχωρηκότα βασιλέα μετὰ Τριβαλῶν, ὑποπτεύσας τοὺς ἐν Διδυμοτείχῳ σφόδρα τεθορυβῆσθαι καὶ πρὸς διχοστασίαν ἔσεσθαι ῥᾳδίους καὶ διὰ ταῦτα παραστήσεσθαι ἐλπίσας, στρατιὰν ὅση ἦν ἐκ Βυζαντίου καὶ τῶν κατὰ Θρᾴκην πόλεων συναγαγὼν πεζήν τε καὶ ἱππικὴν, κατὰ Διδυμότειχόν τε ἐγένετο καὶ προσῆγε λόγους περὶ παραδόσεως. [20]

2 302 ὡς δ' ἐκεῖνοι παρεδέχοντο οὐδαμῇ τοὺς λόγους, τὸ μὲν τειχομαχεῖν ἀπεγίνωσκε, διά τε καρτερότητα τειχῶν καὶ εὐψυχίαν καὶ τόλμαν τῶν ἐχόντων ἀνάλωτον νομίζων· τὸ Ἐμπυθίου δὲ φρούριον περιστρατοπεδευσάμενος, ἐπολιόρκει καὶ μηχαναῖς ἐχρῆτο καὶ τειχομαχίαις, περὶ πλείονος τὸ παραστήσασθαι ποιούμενος. ἐπεχείρει δὲ κρύφα καὶ τοῖς ἐν Διδυμοτείχῳ, εἰ δύναιτο πείθειν τὴν πόλιν παραδοῦναι· ἤνυε δὲ οὐδέν. ἀφιγμένου γάρ τινος παρὰ βασιλέως καὶ μεμηνυκότος, ὡς οὐκ ἀληθῆ τὰ περὶ ἐκείνου εἰρημένα εἴη, ἀλλ' ὑποστρέψειε μὲν διὰ τὴν περὶ τὴν στρατιὰν συμβᾶσαν νόσον, αὖθις δὲ παρασκευάζοιτο ὡς ἀφιξόμενος, ἀνεθάρσησάν τε καὶ ἕτοιμοι ἦσαν ὡς ὑπὲρ ἐκείνου πάντα καὶ πεισόμενοι καὶ πράξοντες. ὁ μέγας δὲ δοὺξ ὀλίγα τῇ τοῦ Ἐμπυθίου ἐνδιατρίψας πολιορκίᾳ, ἐπεὶ πύθοιτο ἀθρόον στρατιὰν Σκυθικὴν εἰς τὴν Ῥωμαίων ἐμβεβληκυῖαν, ἀσυντάκτως ὑπὸ δέους τῆς πολιορκίας ἀπαναστὰς, πρὸς Ἀδριανούπολιν ἐχώρει σπουδῇ πολλῇ. οἱ δὲ ἐν Διδυμοτείχῳ τὴν ἀταξίαν ὁρῶντες τῆς τῶν Ῥωμαίων στρατιᾶς καὶ νομίσαντές τι περὶ αὐτοὺς συμβεβηκέναι τὸ μάλιστα οὕτω θορυβῆσαν, αὐτίκα τε ἐγένοντο εἰς τὸ στρατόπεδον, καί τινων ἐκράτησαν ὀλίγων ἐπιθέμενοι, σῖτόν τε καὶ βοσκήματα καὶ ἄλλας διαρπάσαντες ἀποσκευὰς, εἰσῆγον ἐντὸς τειχῶν. ἐξ ὅτου γὰρ οἱ ἐκ τῆς ἔξωθεν συνοικίας πόλεμον ἀράμενοι πρὸς τοὺς ἔνδον ἀνέστησαν ἡττηθέντες, οὐδ' οἱ ἔνδον γεωργίαις προσεῖχον, εἰδότες ὡς οὐδεμία τις ὠφέλεια ἐκ τούτων ἔσται, αὐτῶν πολιορκουμένων καὶ τοὺς ἐπιόντας ἀμύνεσθαι ὑπὲρ αὐτῶν οὐ δυναμένων, ἀλλὰ τὰς πλησίον πόλεις κατατρέχοντες καὶ ληϊζόμενοι διέζων. [20]

2 303 τότε δὲ παντάπασιν ὑπὸ τῆς στρατιᾶς εἰργόμενοι τειχήρεις, οὐ μετρίως ἐπιέζοντο ἐνδείᾳ. τὸ μέντοι Σκυθικὸν πᾶσαν καταδραμὸν τὴν Θρᾴκην, ἐπεὶ ληΐζεσθαι οὐδὲν ἐνῆν, πρότερόν τε ὑπὸ τοῦ πολέμου τοῦ πρὸς ἀλλήλους τῆς χώρας διεφθαρμένης καὶ τότε, εἴ τι περιῆν ἔτι, εἰς τὰς πόλεις καταφυγόντος, κεναῖς ἀναστρέψαντες χερσὶν, οὐ μακρὰν Σκοπέλου τὴν στρατοπεδείαν

ἐποιήσαντο. ὁ δὲ ἐν Σκοπέλῳ δῆμος πυθόμενοι, ὡς Σκύθαι ληϊσάμενοι μηδὲν πρὸς τὴν οἰκείαν ἐπανέρχονται, τῇ συνήθει ἀσυνεσίᾳ παραβόλως ὁρμηθέντες, ὅπλα ὡς εἶχον ἕκαστος ἀράμενοι, ἠνάγκαζον καὶ τὸν τῆς πόλεως ἡγεμόνα Μιχαὴλ παραλαβόντα καὶ τοὺς στρατιώτας, ὅσοι ἦσαν παρ' αὐτοῖς, συμπλέκεσθαι ἐγγὺς οὖσι τοῖς βαρβάροις. τοῦ δὲ πρὸς τὸ τόλμημα ἀπαγορεύοντος καὶ παραινοῦντος ἀπέχεσθαι τῆς πείρας, ὡς θανατοῦντας φανερῶς, οὐ μόνον οὐκ ἐπείθοντο τὰ βελτίω συμβουλεύοντι, ἀλλὰ παρέδοσάν τισι φρουρεῖν, ὡς ἐπειδὰν ἐκ τῆς μάχης ἀναστρέψωσιν, ἀμυνούμενοι αὐτὸν τῆς προδοσίας. οὐ γὰρ ἀδυναμίαν αὐτοῖς συνειδότα μὴ ἐθέλειν στρατηγεῖν ἐπὶ τοὺς πολεμίους, ἀλλὰ χαριζόμενον αὐτοῖς, ὡς ἐκ τῆς Διδυμοτείχου πολιορκίας τὸν μέγαν δοῦκα ἀναστήσασιν, ὅσον οὐδέπω μέλλοντα διὰ τὴν ἔνδειαν αὐτοῦ κρατεῖν. αὐτοὺς δὲ ἐκείνοις ἐπελθεῖν τε καὶ κρατήσειν, οὐ τοῦ πολεμίους εἶναι μόνον, ἀλλὰ καὶ διὰ τὴν εἰς τὸν μέγαν δοῦκα εὔνοιαν. [20]

2 304 τῷ γὰρ ἐκείνου δέει μηδὲν λυμηναμένους τὴν Ῥωμαίων, πρὸς τὴν οἰκείαν ἀναστρέφειν ἐν ὀλίγῳ χρόνῳ. τοιαῦτα οἱ κακοδαίμονες εἰπόντες καὶ νεανιευσάμενοι, ἐχώρουν κατὰ τῶν Σκυθῶν, κελεύσαντες αὐτοῖς καὶ τοὺς στρατιώτας ἕπεσθαι. οἱ δὲ εἵποντο ἀνάγκῃ, αἱρετώτερον ἡγούμενοι αὐτοὺς, εἰ δέοι, τοῖς βαρβάροις μαχομένους ἀποθνήσκειν, ἢ πανοικεσίᾳ διαφθείρεσθαι ὑπὸ τῶν δημοτῶν. ἐπεὶ δὲ ἐγγὺς τοῦ στρατοπέδου ἦσαν τῶν Σκυθῶν, βοῇ πόῤῥωθεν ἐχρῶντο καὶ ἀλαλαγμοῖς καὶ ἐχώρουν δρόμῳ κατ' αὐτῶν. οὐ γὰρ ᾤοντο ἀντισχήσειν οὐδὲ πρὸς βραχὺ, ἀλλ' ὑποπτήξαντας ἑτοίμους ἑαυτοὺς παρέχεσθαι ἀνδραποδίζεσθαι. διὸ καὶ σχοινία ἕκαστος ἐπεφέροντο τοῦ τοὺς ἁλωσομένους βαρβάρους ἕνεκα δεσμεῖν, ἵνα μὴ διαδιδράσκοιεν ἄδετοι ἀγόμενοι. οἱ Σκύθαι δὲ νομίσαντες στρατιὰν πεζὴν ἰέναι ἐπ' αὐτοὺς, τῶν ἵππων ἐπιβάντες, ἐξήγοντο τοῦ στρατοπέδου ὡς μαχούμενοι. οἱ δὲ, ὡς μόνον εἶδον τοῦ στρατοπέδου ἐξιόντας, τοῦ προτέρου φυσήματος ἐπιλαθόμενοι ἐτρέποντο πρὸς φυγήν. ὑπτίου δὲ ὄντος τοῦ πεδίου καὶ ὕλης παντάπασι ψιλοῦ, διαδρᾶναι ἠδυνήθη οὐδὲ εἷς, ἀλλὰ πάντες κατεκόπησαν ὑπὸ τῶν Σκυθῶν πλὴν τῶν ἱππέων. οὗτοι γὰρ διά τε τὸ πολὺ αὐτῶν τοὺς Σκύθας ἔτι ἀφεστάναι, ἡνίκα ἡ τροπὴ ἐγένετο, ἄλλως θ' ὅτι καὶ πρὸς τὸν πεζὸν ἠσχόληντο οἱ βάρβαροι, διασωθῆναι εἰς τὴν πόλιν ἠδυνήθησαν. οὕτως ἡ ἄνοια καὶ ἡ παράλογος ὁρμὴ πρὸς ἀνηκέστους ἐξάγει συμφοράς. [20]

2 305 Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ μετὰ τῶν Σκυθῶν τὴν εἰσβολὴν Ἀνδρόνικον Παλαιολόγον τὸν πρωτοστράτορα, ὃς ἦν γαμβρὸς αὐτῷ, ἄρχοντα συμπάσης ἀποδείξας τῆς στρατιᾶς καὶ τὸν πρὸς Διδυμότειχον ἐπιτρέψας πόλεμον, αὐτὸς εἰς Βυζάντιον ἐπανῆκε. πρωτοστράτωρ δὲ συχνὰς ἐποιεῖτο κατὰ Διδυμοτείχου ἐκδρομὰς καὶ πάλιν ἀνέστρεφε ταχέως. οὐ γὰρ ἦν, ὅ,τι κακώσειε διαφθείρας, οὐδενὸς ὄντος ἔξω τειχῶν. οἱ δὲ ἔνδον στρατιῶται, αὐτοῦ ἀναχωροῦντος, τοὺς περιοίκους ληϊζόμενοι καὶ σῖτον διαρπάζοντες καὶ βοσκήματα, διέφερον τὸν πόλεμον, οὐδὲν ἀγεννὲς οὔτε πράξαντες, οὔτε μελλήσαντες διὰ τὴν ἔνδειαν. ἐπελθόντος δὲ αὐτοῖς τοῦ πρωτοστράτορός ποτε, πέμψας ὁ μητροπολίτης ἐδήλου διὰ γραμμάτων, ὡς ἀνόνητα κόπτονται καὶ ταλαιπωροῦσι διὰ τὸν πρὸς βασιλέα πόλεμον, ᾧ δουλεύσουσι πάντως μετὰ μικρὸν, αὐτοί τε ἀπέραντα πονοῦντες καὶ τοῖς ἄλλοις αἴτιοι γινόμενοι μεγάλων συμφορῶν. παρῄνει τε, αὐτῷ πειθομένους τῶν κακῶν ἀπέχεσθαι. εἰ γὰρ οὐκ ἀποβαίη τοιαῦτα, οἷα ἐγὼ λέγω, ἔφασκεν, οὐ λελάληκε τὸ πνεῦμα τὸ ἅγιον ἐν ἐμοί. τοῦ πεμπομένου δὲ ἀπαγορεύοντος τὴν ἄφιξιν διὰ τὸ δεδοικέναι, μὴ κακῶς ὑπ' ἐκείνων πάθῃ τοιαῦτα ἀπαγγέλλων, ἐκέλευε θαῤῥεῖν, ὡς οὐδὲν ὑποστησόμενον, ἢ πληγὰς ὀλίγας. ἃ καὶ ἀπέβαινεν, ᾗ ἐκεῖνος προηγόρευεν. νβ'. Ἄννα δὲ ἡ βασιλὶς, ἐπεὶ πύθοιτο Καντακουζηνὸν τὸν βασιλέα πολλῆς εὐνοίας ἀπολαύοντα παρὰ Κράλῃ, παρασκευάζεσθαι αὖθις ὡς εἰς Διδυμότειχον ἐπανήξοντα ἅμα στρατιᾷ, τὸν Λουκᾶν ἀπολεξαμένη Γεώργιον καὶ Μακάριον τὸν μητροπολίτην Θεσσαλονίκης, πρεσβευτὰς ἔπεμπεν

εἰς Κράλην καὶ ἐπηγγέλλετο πόλεις παραδώσειν, ὅσας ἂν συμβῶσιν, εἰ μόνον Καντακουζηνὸν πέμψειε δεσμώτην πρὸς αὐτήν. [5]

2 306 ὁ δὲ ἐμέμψατό τε τὴν πρεσβείαν καὶ ἀπηγόρευε φανερῶς, ὡς οὐκ ὀλίγων μόνον πόλεων ἕνεκα, ἀλλ' οὐδὲ συμπάσης τῆς Ῥωμαίων ἀρχῆς τοιοῦτον τολμήσων ἄγος, καὶ ἀπέπεμπεν ἀπράκτους. οἱ δὲ εἰς Βυζάντιον ἐλθόντες, ὀλίγῳ ὕστερον πάλιν ἐπανῆκον. ἔφασκε δὲ ὁ Κράλης, ὡς κατὰ τὴν δευτέραν πρεσβείαν τὰς ἐκ Χριστουπόλεως ἁπάσας ἑσπερίους πόλεις παραδιδοῖεν πλὴν Θεσσαλονίκης, ὡς, εἰ μὴ Καντακουζηνὸν τὸν βασιλέα βούλοιτο παραδιδόναι, ἀλλ' αὐτὸν γοῦν εἴρξαντα κατέχειν ἐν δεσμωτηρίῳ. ὁ δὲ αὖθις ἀπέπεμπεν ἀπράκτους, ἀδύνατα εἰπὼν αἰτεῖν. Ἑλένη δὲ, ἡ τοῦ Κράλη γαμετὴ, καὶ καθήψατο πικρῶς καὶ ἀπέπεμπε πρὸς ὀργὴν, ὡς ἄδικα πρεσβεύοντας καὶ πολλὴν αὐτοῖς τὴν ἀδοξίαν οἴσοντα. ὁμοίως δὲ καὶ οἱ ἐν τέλει πάντες τῶν Τριβαλῶν ἐλοιδοροῦντό τε καὶ πολλὴν αὐτῶν κατεγίνωσκον μωρίαν, εἰ τοιαῦτα πείσειν ἤλπισαν, οὕτω μηδεμίαν ὑπερβολὴν ἐλλείποντα κακίας. πάντες γὰρ ἐφίλουν βασιλέα καὶ οὐδὲν ἠνείχοντο τῶν ἀγόντων βλάβην εἰς ἐκεῖνον, ὥστε καί τις ἐξ αὐτῶν Κοβάτζης ὠνομασμένος φανερῶς ἀντεῖπε καὶ ἠπείλησε θάνατον τοῖς πρέσβεσιν, εἰ μὴ τάχιον ἀπαλλάττοιντο. πολλήν τε αὐτῶν ἀναισθησίαν κατηγόρει, ὅτι τὸν Ῥωμαίων ὀφθαλμὸν οἰκείαις αὐτῶν χερσὶν ἐξορύξαντες αὐτοὶ, προσέτι καταπροδιδόασι καὶ πόλεις καὶ τὴν ἀρχὴν Ῥωμαίων, ἵνα τελέως κατασβέσωσιν αὐτὸν, ὥσπερ δεδοικότες μὴ ἐπανελθόντος αὖθις ἀναβλέψωσιν. [5]

2 307 ὁ μὲν οὖν οὕτω πρὸς ὀργὴν ἀπέπεμπε. Μακάριος δὲ ὁ Θεσσαλονίκης ἐπίσκοπος, ἐπεὶ ἀνηνύτοις ᾔσθετο ἐπιχειρῶν, βασιλεῖ τῷ Καντακουζηνῷ προσελθὼν, πρῶτα μὲν ἐμέμφετο τῆς περὶ βασιλέα τὸν φίλον ἀγνωμοσύνης, ὅτι τοσοῦτον φιληθεὶς καὶ οὕτω μεγάλων εὐεργετημάτων ἀπολελαυκὼς, τοῖς ἐναντιωτάτοις ἀμείψαιτο τοὺς παῖδας, τῆς ἀρχῆς ἕνεκα ἐπιβουλεύσας καὶ ἀποκτεῖναι διανοηθείς. ὧν τὴν ἀτοπίαν βδελυξάμενον καὶ θεὸν, μὴ μόνον οὐκ ἐφεῖναι εἰς τέλος τὰ βεβουλευμένα ἀγαγεῖν, ἀλλὰ καὶ τῆς περὶ βασιλέα ἀδικίας δίκας εἰσπραττόμενον, ὑπερόριον ἀποδεῖξαι καὶ πλανήτην περιιόντα, ἐπ' ἄλλοις τὴν ἐλπίδα ἔχοντα τῆς σωτηρίας. ἔπειτα συνεβούλευεν, εἰ μὴ πρότερον, ἀλλὰ νῦν γε τὸ συνοῖσον συνιδόντα, πρεσβείαν ποιήσασθαι πρὸς βασιλίδα καὶ ἱκέτην αὐτῆς τε καὶ πατριάρχου καὶ τῆς συγκλήτου βουλῆς γενέσθαι, ὥστε ἐπὶ τοῖς γεγενημένοις συγγνώμης ἀξιώσαντας, πρόνοιάν τινα ποιήσασθαι αὐτοῦ, μὴ καὶ ὑπερόριος ἀπόληται, οὐδεμιᾶς ἢ φαύλης τινὸς ἐλπίδος ἔτι ὑπολειπομένης. βασιλεὺς δὲ „οὐδὲν θαυμαστὸν", εἶπεν „εἰ μεθύων τις καὶ παραφερόμενος ὑπ' ἀναισθησίας οἴοιτο ἀστατεῖν τὴν γῆν, βεβαίως ἡδρασμένην· οὐδ' εἰ ὑπὸ μελαγχολίας κατεχόμενος οἴοιτο καὶ τοὺς ἄλλους τὰ ἴσα πάσχειν. [20]

2 308 καὶ σὺ τοίνυν τῇ κενῇ δόξῃ καὶ φιλαρχίᾳ κατάκρας ἁλοὺς καὶ προδοσίαν τὴν ἐσχάτην εἰργασμένος, οὐδὲν θαυμαστὸν, εἰ τὰ ἴσα καὶ ἐμοῦ καταψηφίζῃ, μηδὲν τοιοῦτον εἰργασμένου. οἶσθα γὰρ, ὡς ἐμοῦ τοῖς ἐν Ἄθῳ ἀρετῆς ἀντιποιουμένοις καὶ τοῦ καλοῦ καὶ ἐρασταῖς καὶ ἐργάταις γεγραφότος καὶ πολλὰ δεηθέντος, πρὸς Βυζάντιον ἐλθεῖν καὶ βασιλίδι καὶ πατριάρχῃ καὶ οἷς αὐτὸς ὀνομάζεις σύγκλητον βουλὴν διαλεχθῆναι περὶ εἰρήνης καὶ πεῖσαι κατατίθεσθαι τὸν πόλεμον, ὃν ἀδίκως κεκινήκασι κατ' ἐμοῦ μηδὲν ἠδικηκότος, συκοφαντίας πλασάμενοι καὶ διαβολὰς, μετὰ τῶν ἄλλων παρειλήφασι καὶ σὲ, ὡς ἀρετῆς ἀντιποιούμενον δῆθεν καὶ ὑπὲρ τοῦ καλοῦ καὶ τοῦ κοινῇ λυσιτελοῦντος βουλησόμενον διακινδυνεύειν. ἀλλ' ἐκεῖνοι μὲν καλῶς ποιοῦντες, τά τε δέοντα εἰρήκασι μετὰ παῤῥησίας καὶ τῶν εἰς αὐτοὺς ἡκόντων ἐνέλιπον οὐδὲν, καὶ τῶν διαφθείρειν βουλομένων καὶ διαστρέφειν ἀπὸ τῆς ἀληθείας, οὐδὲ ἐπεστράφησαν, πολλὰ ἐπαγγελλομένων εὖ ποιήσειν. ἀλλὰ τοῖς ἐξαρχῆς ἐνέμειναν λογισμοῖς καὶ τῇ περὶ τοῦ καλοῦ καὶ δικαίου κρίσει· δι' ἃ καὶ μέχρι νῦν πολλοῖς προσταλαιπωροῦσιν ἀλγεινοῖς. σὺ δ' ὑπὸ φιλαρχίας καὶ τῆς κατὰ τὴν ἀρχιερωσύνην δόξης ἡττηθεὶς αἰσχρῶς, καὶ τοὺς συμπρεσβευτὰς

μετὰ τοῦ δικαίου καὶ τῆς ἀληθείας προὔδωκας· οἷς ἁρμόσει μικρὸν ὑπαλλάξαντας τὸ ὑπὸ Παύλου τοῦ θεσπεσίου εἰρημένον περὶ Δημᾶ, καὶ περὶ σοῦ εἰπεῖν νυνὶ, ὅτι, Μακάριος ἡμᾶς ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην. [20]

2 309 ἃ ἐχρῆν μεμνημένον, καὶ ὡς νῦν ἀνοσιώτερα καὶ ἀδικώτερα πολλῷ τολμᾷς, τὸν οὐδὲν ἐμὲ ἠδικηκότα αὐτοχειρίᾳ μονονουχὶ πειρώμενος φονεύειν, χάριν ἀξίαν ἐν τούτῳ κατατιθέμενος τοῖς τὴν ἀρχιερωσύνην ἐγχειρίσασιν, αἵμασιν ἀδίκοις μολύνων τὰς χεῖρας, μὴ ἐμοῦ καταψηφίζεσθαι ἀδικίαν καὶ ἀγνωμοσύνην περὶ βασιλέα, οὐδὲν οὔτε πρότερον, οὔτε μέχρι νῦν ἀνάξιον τῆς εἰς ἐκεῖνον φιλίας εἰργασμένου. περὶ μὲν οὖν τῆς εἰς βασιλέα καὶ τοὺς παῖδας ἐμοῦ εὐγνωμοσύνης λόγον οὐδένα πρὸς σὲ ποιήσομαι νυνὶ, καθάπαξ τὰς φρένας διεφθορότα καὶ ἄδικα καὶ παράνομα καὶ λέγοντα καὶ διανοούμενον περὶ ἐμοῦ, ἀλλ' ὕστερον, ἡνίκα ἂν ἐθέλῃ θεός. περὶ δὲ ὧν εἴρηκας, ὡς δεῖ βασιλίδος ἱκέτην καὶ πατριάρχου γενέσθαι, ὡς ἂν συγγνώμην παρασχόμενοι πρόνοιάν τινα ποιήσωνται πρὶν παντάπασιν ἀπολέσθαι, ἐκεῖνο εὔκαιρον εἰπεῖν, ὅτι, μὴ κλαίετε ἐπ' ἐμὲ, θυγατέρες Ἱερουσαλὴμ, ἀλλ' ἐφ' ἑαυτὰς καὶ ἐπὶ τὰ τέκνα ὑμῶν.“ πρὸς μὲν οὖν ἐκεῖνον ὁ βασιλεὺς τοιαῦτα ἀπεκρίνατο. νγ'. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους καὶ ἐκ Θετταλίας ἦκον πρέσβεις, καλοῦντες βασιλέα καὶ δεόμενοι ἄρχειν σφῶν. καὶ πρότερόν τε γὰρ ἕτοιμοι ἦσαν ὑπακούειν καὶ τὰ ἐκείνου μᾶλλον ᾐροῦντο, ἢ βασιλίδος, καὶ τότε δὲ ὁμονοήσαντες ἔπεμψαν πρὸς αὐτὸν, καλοῦντες ἐπὶ τὴν ἀρχήν. [20]

2 310 βασιλεὺς δὲ αὐτοῖς πολλὰς ὁμολογήσας χάριτας τῆς τε προτέρας εὐνοίας καὶ τοῦ νυνὶ προσχωρεῖν ἑκόντας, ἔπειτα ἔφασκεν ἄγνωμον εἶναι δεινῶς, εἰ αὐτῶν πᾶσαν εὐνοίας ὑπερβολὴν ἐνδεικνυμένων, μὴ ὁμοίως καὶ αὐτὸς φαίνοιτο διακείμενος περὶ αὐτοὺς, μηδὲ τὴν διάνοιαν ἀποκαλύπτοι. ὅσα μὲν γὰρ ἐν Γυναικοκάστρῳ συμβαίη περὶ αὐτὸν, καὶ ὡς αὐτός τε καὶ τῶν συνόντων οἱ μάλιστα φιλοῦντες μεγάλοις κινδύνοις περισχεθεῖεν, ἀφισταμένων μὲν τῶν οἰκείων, τῶν πολεμίων δὲ ἐπικειμένων, καὶ ταραχῆς πολλῆς καὶ ἀταξίας τὸ στρατόπεδον κατεχούσης, εἰ μὴ θεὸς ἄνωθεν χεῖρα σώζουσαν ὑπερέσχεν, οὐδ' αὐτοὺς ἠγνοηκέναι οἴεσθαι. ἀνάγκῃ δὲ ἐλθὼν πρὸς Κράλην τὸν ἄρχοντα Τριβαλῶν, πολλῆς ἀπολελαυκέναι παρ' αὐτοῦ καὶ τιμῆς καὶ συμμαχίας παρὰ δόξαν. ὀλίγῳ γοῦν πρότερον στρατιὰν παραλαβὼν πολλήν τε καὶ ἀγαθὴν, ἐπὶ Διδυμότειχον σπεύδειν, ὡς τοῖς ἐκεῖσε φίλοις συνεσόμενος καὶ διαθησόμενος εὖ τὰ κατ' αὐτόν. γενομένου δὲ ἐν Φεραῖς, τούς τε ἡγεμόνας καὶ τὴν στρατιὰν νόσῳ δεινῇ περισχεθῆναι καὶ ἀποθανεῖν αὐτῶν πολλοὺς, ὡς ἐκ τῆς νόσου καὶ πρὸς ἀνάγκην ἐλθεῖν αὖθις ἀναστρέφειν εἰς τὴν Τριβαλῶν ἀρχήν. νυνὶ δὲ παρασκευάζεσθαι, ὡς ἅμα στρατιᾷ εἰς Διδυμότειχον αὖθις ἀφιξόμενος. τοῦτο γὰρ μάλιστα λυσιτελεῖν αὐτῷ πρὸς τὸ κτήσασθαι, εἰ κατὰ γνώμην εἴη θεῷ, τὴν πᾶσαν Ῥωμαίων ἡγεμονίαν. δι' ἃ οὐ δύνασθαι ἥκειν πρὸς Θετταλίαν νῦν. [20]

2 311 μᾶλλον γὰρ ἀνιάσειν, συγγινόμενος μὲν ἐπὶ μικρὸν, ἐν τάχει δὲ ἀπαίρων πρὸς Θρᾴκην αὖθις. ἀλλ' εἴγε κατὰ γνώμην αὐτοῖς εἴη ὑπ' αὐτὸν τελεῖν, νῦν μὲν ἄρχοντα αὐτοῖς τὸν Ἄγγελον Ἰωάννην ἐφιστᾷν, προσήκοντά τε μάλιστα ἐξ αἵματος καὶ δυνάμενον ἐξηγεῖσθαι καὶ διασώζειν ἀπὸ τῶν πολεμίων, ἄν τινες ἐπίωσι, καὶ συνέσει καὶ εὐψυχίᾳ καὶ ἐμπειρίᾳ τῇ πρὸς τοὺς πολέμους. αὐτὸν δὲ γενόμενον ἐν Διδυμοτείχῳ, εἰ μή τι κωλύοι δυσχερὲς, πρόνοιαν αὐτῶν ποιήσεσθαι, ὅση δυνατὴ, καὶ πᾶσαν ἐνδείξεσθαι ὑπὲρ αὐτῶν καὶ προθυμίαν καὶ σπουδήν. τοιαῦτα μὲν πρὸς τοὺς πρέσβεις ἀπεκρίνατο. ἐκέλευέ τε καὶ τοῖς ἐν Θετταλίᾳ ἀπαγγείλαντας, εἰ πείθοιντο, εἰς ἔργον ἄγειν· φιλοφροσύνην τε αὐτῷ προσήκουσαν περὶ αὐτοὺς ἐπιδειξάμενος, συνεξέπεμπε καὶ τῶν οἰκείων ἕνα Μανουὴλ τὸν διοικητὴν, ὡς τὰ εἰρημένα παρ' αὐτοῦ καὶ τοῖς ἐν Θετταλίᾳ ἀπαγγελοῦντας. ὧν καὶ γενομένων ἐν Θετταλίᾳ, ἐπεὶ ἥ τε στρατιὰ καὶ τῶν πόλεων οἱ ἄριστοι τὰ παρὰ βασιλέως εἰρημένα ἐπυνθάνοντο, πρῶτα μὲν ὡμολόγουν βασιλεῖ χάριτας πολλὰς τῆς εὐμενείας τῆς περὶ αὐτοὺς καὶ τῆς συντρόφου καὶ φίλης ἀληθείας ἐκ παιδὸς, ὅτι

καίτοι δοκῶν ἐν δυσπραγίαις εἶναι, οὐδὲν ὑπέμεινε πεπλασμένον φθέγξασθαι, οὐδ' ἀγεννὲς, ἀλλὰ δήλην αὐτοῖς πεποίηται τὴν διάνοιαν οἵα ἦν. αὐτοὺς δὲ τῷ περιόντι τῆς εἰς αὐτὸν εὐνοίας, ἐπεὶ μὴ λυσιτελεῖν αὐτῷ δοκοίη, τὸ νῦν ἔχον ἥκειν παρ' αὐτοὺς, οὐκ Ἄγγελον μόνον, κατὰ γένος τε αὐτῷ προσήκοντα καὶ ἄρχειν δυνάμενον αὐτῶν, ἀλλὰ καὶ εἴ τινα ἐκείνου πέμποι πολλῷ καταδεέστερον, δέξεσθαι προθύμως καὶ πᾶσαν ἐπιδείξεσθαι περὶ τὸν βασιλέα εὔνοιαν. [20]

2 312 τοιαῦτα μὲν καὶ οἱ ἐν Θετταλίᾳ ἀπεκρίναντο. βασιλεὺς δὲ ἐπεὶ πύθοιτο ἀπὸ τῶν πρέσβεων ἐπανελθόντων, ἔπεμπε τὸν ἀνεψιὸν Ἄγγελον Ἰωάννην, ἐπίτροπον εἶναι Θετταλίας. πᾶσι δὲ βουλόμενος καταφανὲς ποιεῖν, ὡς οὐ βασιλέως τοῖς παισὶν ἐπιβουλεύων ἥρατο τὸν πόλεμον, καὶ ὡς οὐδ' εἰ περιγένοιτο τῆς ἀρχῆς ἔγνωκεν ἀποστερεῖν, ἀλλ' ὑπὸ βασιλίδος μᾶλλον αὐτὸς ἐπολεμήθη ἀνθρώποις πειθομένης συκοφάνταις, τῷ Ἀγγέλῳ πρὸς τὴν Θετταλίας ἀρχὴν χρυσόβουλλον ποιῶν, βασιλίδα τε προσέγραφε καὶ βασιλέα Ἰωάννην τὸν υἱὸν, ὥστε Ἄγγελόν τε καὶ Θετταλοὺς τὴν δουλείαν τε κἀκείνοις ὥσπερ καὶ αὐτῷ ὁμολογεῖν καὶ μᾶλλον ἢ πρότερον ὑπείκειν. ὃ καὶ ἐπὶ λέξεως εἶχεν οὕτως· „ὡς ἀπόλοιτο ὁ φθόνος, τὸ πάντων τῶν κακῶν χείριστόν τε καὶ ἀδικώτατον, ὅγε κακῶς ἡμᾶς ἀρχῆθεν ἐξώσας τῆς ἀκηράτου τρυφῆς χειρὶ θεοῦ πλασθέντας καὶ λόγῳ τιμηθέντας, ὧ τῆς ὑπὲρ λόγον χάριτος. καίτοι μετὰ τὴν τοῦ χείρονος πεῖραν, ἵνα συνελὼν εἴπω, εἰ τῆς ἐνδίκου καταδίκης ἐκείνης ἦμεν ἐν συναισθήσει καὶ τὰ βελτίω ἐμελετῶμεν, κἂν συγγνώμης τυχόντες αὖθις ἂν ἦμεν ἐν τοῖς προτέροις. νυνὶ δ' ὥσπερ μή τι χαλεπὸν πεπραχότες ἢ πεπονθότες ἐξ ἀβουλίας, ἢ γοῦν ὑπὸ τοῦ παθεῖν οὐμενοῦν διδαχθέντες, τὸ τὰ δέοντα φρονεῖν οἱονεὶ παρῃρήμεθα, πήματα πάσχειν αὐθαίρετα κακῶς αἱρεθέντες, καὶ δεινῶς ἐγκαλινδεῖσθαι διὰ βίου τοῖς μὴ καθήκουσι καὶ τῆς ἴσης ἀξίας πρὸς θεοῦ τυχόντες, καὶ τῆς αὐτῆς ἠξιωμένοι σπουδῆς, μεμηνότος δίκην, ταυτησὶ μὲν οἰκτρῶς ἐκπεπτώκαμεν, ἀνισότητα δὲ πεπόνθαμέν τε καὶ τετιμήκαμεν. [5]

2 313 δέον γὰρ σπουδάζειν ἢ τὸν αὐτὸν ἐπὶ τοῖς ἀμείνοσι δρόμον, ἢ φιλονεικεῖν ἄλλος ἄλλον ὑπερβαίνειν, ὅπως ἂν ἐπ' ἀγαθοῖς ἀλλήλους νικῴημεν τοὐναντίον ἅπαν φαινόμεθα πράττοντες, καὶ συμβέβηκεν ἡμῖν οἷόν τι πάθος ἀτεχνῶς ἄτοπον, ὅτι κατὰ τοὺς τῆς μορφῆς χαρακτῆρας ἔπεστι διενηνοχέναι, καὶ ταῖς τῆς ψυχῆς ἕξεστι. καὶ τὴν πρώτην ἐκείνην καὶ μακαριστὴν ὄντως εὐδαιμονίαν ἀποβαλοῦσιν ἡμῖν δέδοκτο δεῖν ἐφ' ἑτέραν πολυσχιδῆ τραπέσθαι, ἀβέβαιον πάντῃ καὶ καθ' ἑαυτὴν στασιάζουσαν. ἢν εἴ τις οὐ καλοίη τύρβην κομιδῆ ματαίαν καὶ θόρυβον ἀκερδῆ, τοῦτον ἐγὼ νομίζω τελεῖν οὐκ εἰς τοὺς εὖ φρονοῦντας, οὐ φύσεως εἰς τοῦτο, φαύλης δέ τινος αἱρέσεως ζημιωσάσης αὐτόν. πολλῶν δὲ ταύτης δὴ τῆς λεγομένης τε καὶ νομιζομένης εὐδαιμονίας διαφόρως εὐμοιρησάντων, καὶ τῷ μὲν ἀπὸ γένους οἷον τιμᾶν εἰώθασιν ἄνθρωποι, τὸ βρενθύεσθαί τε καὶ ἥδεσθαι προσυπάρχοντος, τῷ δ' ἀπὸ χρημάτων, τῷ δ' ἀπὸ δόξης καὶ θεραπείας ὅτι πολλῆς, ἑτέρῳ δ' ἀπὸ στρατηγίας βίου τε κατὰ κόσμον ἐπαινετοῦ, ἄλλῳ δ' ἀπ' εὐτεκνίας καὶ φατρίας λαμπρᾶς συγγενῶν καὶ φίλων, τούτων ἁπάντων καὶ τῶν ἄλλων, ὅσα τοῖς πολλοῖς μακαρίζεται, (παρίημι γὰρ τὸ δοκεῖν περαιτέρω τῇ τῶν τοιούτων ὀνομάτων προφορᾷ φαιδρύνεσθαι,) λίαν ἱκανῶς ἐμοὶ πειραθῆναι καὶ δαψιλῶς εὐμαρῶς πως ἄν τις εἴποι κατὰ ῥοῦν θεόθεν κεχορήγηται. [5]

2 314 καὶ εἴ τῳ τῶν νῦν ἢ τῶν πάλαι ἑνὶ τῶν λεγομένων αὐχεῖν ὁπωσοῦν ἐχρῆν ἢ μέγα φρονεῖν, φαῖεν ἅπαντες ἂν ἐμοὶ χρῆναι τὸ τούτοις ἅπασι διὰ πάντων σεμνύνεσθαι ἀμέλει. καὶ ἦν μὲν ἐμοὶ πολλή τις εὐδαιμονίας σύῤῥοια καὶ ὅλβου παντοίου, μηδενὸς τυγχάνοντος κακοῦ καθ' ἥμαρ, ὥς τινι τῶν πάλαι σοφῶν ἐπῃνέθη· ἐθεώμην δ' ὥσπερ ἐξ ἀπόπτου τινὸς εἰκῆ ταῦτα τιμώμενά τε καὶ σπουδαζόμενα καὶ ῥᾷστα λυόμενα, ὡς ἔξωθεν ἀνθρώποις περιῤῥεόμενα, τύχης τινὸς ἀστάτῳ φορᾷ καὶ τὸ τῆς τρυτάνης πασχούσης, ἧς τῶν πλαστίγγων ἡ μὲν ἄνεισι κουφιζομένη, ἡ δ' αὖ καθέλκεται βαρυτέρας ἐπεντεθείσης ὁλκῆς. καὶ πάντων μὲν τῶν ἄλλων

ᾤμην ῥᾳδίαν τινὰ τὴν μεταβολὴν, ὡς ἀπὸ μὲν τῶν ἀφιξόμενος οἴκοθεν, ὑπὸ δὲ τῶν ἴσως οὐκ ἀεὶ καλούμενος, οἷα συμβαίνειν εἴωθεν· ἦν δ' ἐφθακὼς ὠνόμασα φατρίαν φίλων, οὔποτ' ᾤμην τοῖς πράγμασι συμμεταβληθῆναι, μηδὲ τοῖς τοῦ βίου καιροῖς, ἀλλ' ὥσπερ οὐκ αὐτὸς ἔμελλον ἀμωσγέπως ἐκείνων ἀφέξεσθαι, οὕτως οὐδὲ σφᾶς ἄλλο παρὰ τοῦτο παθεῖν ὑπείληφα. εἰρήσεται γὰρ τἀληθές· παγχάλεπον ἐνόμισα ἐκείνους κατ' ἐμοῦ γενέσθαι, οὓς εὖ ποιῶν οὐκ ἐπαυσάμην ἐν πᾶσιν. [20]

2 315 εἰ δὲ καὶ ὑπ' αὐτῶν τούτων μᾶλλον ἡμεῖς ἀνήκεστα ἐπεπόνθειμεν καὶ τὰ δεινότατα, φεῦ, σεσυκοφαντήμεθα καὶ διαβεβλήμεθα, τί χρὴ καὶ λέγειν; ἀλλ' ἐχρῆν, ἄρ' ἐχρῆν κατειληφέναι πάντας ἁπλανῶς καὶ ἐς προῦπτον κεῖσθαι, ὡς οὐδὲν μόνιμον, οὐδὲ βέβαιον. τῷ μέντοι πρὸ ἡμῶν δεσπότῃ τε καὶ βασιλεῖ τῷ θειοτάτῳ καὶ γενναίῳ μοι ἀδελφῷ πάλαι τὰ μέγιστ' ἀδικουμένῳ καὶ κινδυνεύοντι, (παροπτέον δὲ τὰ νῦν φειδοῖ τῶν ἀδικούντων, πλὴν τούτου, πάνυ θαυμαστῶν ὄντων,) προστεθέντες ἡμεῖς καὶ πάντα μὲν παρ' οὐδὲν θέμενοι, συγκινδυνεῦσαι δ' ἐκείνῳ καλῶς ἑλόμενοι καὶ μυρίοις ὑπὲρ ἐκείνου συμπιεσθέντες δεινοῖς, φιλίας ὅρῳ καὶ νόμοις δικαίου χρέους πειθόμενοι, περιγενέσθαι λαμπρῶς τῶν ἀδικούντων τουτονὶ πεποιήκαμεν θεοῦ, τυχόντες ἵλεω. καὶ ἦμεν αὖθις ἐν παντὶ βίῳ τοῦ ζῆν καὶ βασιλεύειν ἐκεῖνον κηδόμενοί τε καὶ περὶ πλείστου ποιούμενοι, ὡς ἴσασι ταῦτα πάντες, καὶ ἡμῶν τὸ σιγᾷν αἱρουμένων. ἐγὼ μὲν οὖν, ὡς καὶ πλειστάκις αὐτοῖς ἔργοις ἐπεδειξάμην, ὑπὸ θεῷ καὶ τὰ νῦν διισχυρίζομαι μάρτυρι, ὡς ῥᾷστ' ἂν καὶ σὺν εὐχῇ τὴν ἐμὴν ἀπεδόμην ζωὴν, εἴγε ἐξὸν ἦν ἐκεῖνον οὐκ ἐς ᾅδου ἰέναι. ἐπεὶ δὲ τοῦτ' ἐβουλόμην μὲν καὶ ὅσον τὸ ἀπ' ἐμαυτοῦ εἶχον ἐκ τοῦ ῥᾴστου πεποιηκέναι, τῷ θεῷ δ' οὕτω κέκριται καὶ τέθνηκεν, ὡς μὴ ὤφελε, βίον ἀβίωτον ἐμοὶ καταλελοιπὼς, τοῦ ζῆν καὶ ἄρχειν τὴν ἐκείνου σύζυγον καὶ τὰ φίλτατα παντὶ σθένει καλῶς ἐγὼ λίαν ἐπιμεμέλημαι, ψήφῳ τοῦ θειοτάτου βασιλέως καὶ πάντων ἐφεξῆς ὕστερον τὴν τῶν κοινῶν, ὡς καὶ πρὶν ἐγκεχειρισμένος διοίκησιν. [20]

2 316 καλῶς τοίνυν καὶ κατ' εὐχὴν καὶ ἐπὶ τὸ βέλτιον τῶν πραγμάτων ἡκόντων καὶ ἥξειν ἔτι ῥᾳδίως ἐπαγγελομένων, τῷ ἐξώλει καὶ κακίστῳ πάθει δή φημι τῷ φθόνῳ τρωθέντες, οἱ μᾶλλον, ὡς εἴρηται, παθόντες εὖ παρ' ἡμῶν, ὧν ἔξαρχος ὁ κάκιστ' ἀπολούμενος ἦν Ἀπόκαυκος, δίκην ὄφεως ὑπεψιθύρισαν τῇ βασιλίδι καὶ τοῦ ὀρθοῦ ταύτην ἐκπεπτωκέναι παρεσκευάκασι κακῶς, τὴν αὐτῆς διαστρέψαντες γνώμην· οὐ γὰρ ἂν εἴποιμι γνῶσιν καθ' ἡμῶν, βαβαὶ, καὶ ταῦτα σπουδαζόντων ὑπὲρ ἐκείνης καὶ τοῦ παιδὸς καὶ βασιλέως, καὶ μυρίους ὑπὲρ ἀμφοῖν ὑφισταμένων καμάτους. μέντοι γε καὶ κακοῖς ἐπεχείρησεν ἀμείψασθαί με, μᾶλλον δὲ θανάτῳ, τὸν ὅσῳ περὶ ἐκείνην καὶ τὰ κοινὰ ἀγαθὸν τῇ τοῦ Χριστοῦ χάριτι. ἀλλ' οἷα ἀνθ' οἵων κεκόμισμαι. ὁπηνίκα γάρ με ἐχρῆν εἰπεῖν τὸ τοῦ Παύλου, κρεῖττον ἂν εἴη λέγειν τὸ τοῦ ἀποστόλου τοῦ θεηγόρου, τὸ τὴν πίστιν τετήρηκα, τὸν δρόμον τετέλεκα, καὶ τὸ ἑξῆς τοῦ ῥητοῦ λοιπὸν εἰληφέναι θαῤῥεῖν, τότ' ἄρα ἐμοῦ μὲν σιγῶντος, αὐτὸ τοὔργον ἐβόα τοὺς ἄθλους καὶ μεγάλα ἀντὶ μεγάλων εἰσέπραττεν. οἱ δ' ὀφείλοντες, ὦ τῆς τῶν συκοφαντησάντων παραπληξίας, ἐρήμην ἡμᾶς κατεδίκασαν καὶ ἐγράψαντο πλάσαντες καθ' ἡμῶν, ὃ πρὸς βουλῆς καὶ μελέτης ἡμῖν οὐκ ἦν, οὗτοι μὰ τὸν καὶ λογισμοὺς καρδιῶν ἀκριβῶς ἐπιστάμενον. [20]

2 317 ἀλλὰ ταῦτα μὲν εἰς ἕτερόν μοι τεταμιεύσθω καιρὸν, ἡνίκα καὶ φανήσεται τἀληθὲς καλῶς θεοῦ διδόντος. νῦν δ' ὡς μὴ τῇ τοῦ λόγου ῥύμῃ συνισχημένοι, κἀντεῦθεν ταῖς τοιαύταις ἐμφιλοχωρεῖν ὑποθέσεσιν ἐπειγόμενοι, ἄτοπόν τι ποιεῖν ὑποληφθείημεν, μικροῖς λόγοις τὰ μὴ μικρὰ παραδοῦναι πειρώμενοι, ἰτέον εὐθὺ τοῦ προκειμένου. ἐπειδή ποτε βασκανίᾳ δαίμονος, ὡς διείληπται, καθ' ἡμῶν μανέντες οὐκ ἔνδικα οὓς διὰ χρόνου μακροῦ φίλους συνεστησάμεθα καὶ κοινωνοὺς ἡμῖν ἐποιησάμεθα τῆς εὐπραγίας, ἐσκαιώρησαν τὰ δεινότατα, καὶ ἦν ἐπορευόμεθα σὺν θεῷ πορείαν ὀρθήν τε καὶ τῷ κοινῷ συντείνουσαν κακοὶ κακῶς διαβεβληκότες τε καὶ κεκακουργηκότες παντάπασι προτεθύμηνται καὶ ἐπικεχειρήκασιν ἡμᾶς

ὀλέσαι σὺν τοῖς ὑπολειφθεῖσι φίλοις, τοῦ κινδύνου τέως ἐφεστῶτος ἡμῖν, τὰ πρὸς σωτηρίαν ἀθρόον βεβουλεύμεθα· οὐδὲν ἧττον ἐπὶ θεῷ μάρτυρι πεφρικότες καὶ συνδιασκεψάμενοι, καὶ ἔτι φροντίζοντες, καὶ πῶς ἂν ἐκεῖνοι σωθεῖεν οἱ καταπροδόντες ἡμᾶς, καὶ ἵνα τὰ ἐν μέσῳ πλεῖστά γε ὄντα καὶ κόρον ὡσὶ παρέχοντα παρῶ, πάντων σχεδὸν ἐν ἀνάγκῃ καὶ καιρῷ κίνδυνον ἀπειλοῦντι διαφόρως, ἀπειπόντων τε καὶ καταλελοιπότων με φίλων, συγγενῶν γνησίων καὶ θεραπόντων, ταῦτά μοι τούτοις ὀφειλόντων, μᾶλλον δ' εἰπεῖν καὶ πλείω καὶ μυρίοις καταπροέσθαι με κινδύνοις πολλάκις ῥηγμένων, κρίμασι θείοις καὶ λόγοις ἀῤῥήτοις αὐτῆς καὶ μόνης τῆς τοῦ θεοῦ δεξιᾶς ᾐσθόμην λαμπρῶς ἀντιλαμβανομένης μου καὶ ἀντωθουμένης ἰσχυρῶς τοὺς καθ' ἡμῶν, ὡς ἄν τις φαίη, ἐπενηνεγμένους ἀκροβολισμοὺς καὶ τὰς ἑλεπόλεις τηνικαῦτα πέφηνε κρείττων τῶν ἀπειλούντων πάντων, καὶ σφόδρα δεινῶν τοσούτων. [5]

2 318 καὶ ὁ περιπόθητος αὐτάδελφος τῆς βασιλείας μου κύριος Ἰωάννης ὁ Ἄγγελος, ὃς τῆς αὐτῆς ἡμῖν τοῦ γένους ῥίζης τετυχηκὼς καὶ βασιλικοῖς βρύων αἵμασι, λίαν ἐπαινετῶς ἀντεφιλονείκησε περιγεγενῆσθαι μᾶλλον ἁπάντων τῇ τῆς ψυχῆς εὐγενείᾳ, ἢ ὅσῳ περιγίνεται τῇ τοῦ σώματος. τὴν μὲν γὰρ οἶδε φύουσάν τε καὶ αὖθις μείουσαν, τὴν δ' ἄφθιτον ἀεὶ μίμνουσαν. ψυχῆς μὲν οὖν ἀνδρίαν, ἢ φρονήσεως ἑδραιότητα καὶ περὶ τοὺς φίλους στερῤῥότητα, ὥστε προκινδυνεύειν αὐτῶν αἱρεῖσθαι, σώματός τε εὐφυΐαν καὶ ὥσπερ εὐαρμοστίαν καὶ ῥώμην, μακρὸν ἂν εἴη τὰ νῦν διεξέρχεσθαι. ἐπεὶ δὲ τὰς παρ' αὐτῶν φασι τῶν ἐχθρῶν ἀξιοπιστοτέρας γίνεσθαι μαρτυρίας, εἰδεῖεν ἂν καὶ φαῖεν ταῦτα Ἰλλυριοί τε, καθ' ὧν οὐτοσὶ μέγα κεκλέϊσται, καὶ πᾶσα ἤπειρος καὶ αὐτοὶ Πέρσαι, οἳ πολλάκις τούτῳ προσβαλόντες παντελῶς ἥττους, ὡς μηδένες ἐναργῶς ἀπηλέγχθησαν. ἃ δ' ὑπήνεγκεν ἀνδρείως καὶ πέπονθεν ἐμὴν χάριν, χρημάτων ἀφαίρεσιν παντελῆ καὶ πλούτου παντὸς δήμευσιν, θεραπόντων πλῆθος, στέρησίν τε τῶν ἄλλων ἁπάντων, ὧν ἡττημένους ὁρῶμεν ἀνθρώπους· ὅπως τέ μοι συνεξῴκισται ἐς Τριβαλοὺς, καὶ ψυχὴν αὐτὴν ἑτοίμως εἶχεν ὑπὲρ ἐμοῦ θεῖναι ὁπότε ἔδει, καὶ ὅπως ἐγίνετό μοι ἀντὶ πάντων, ὁποίων τέ μοι καὶ ὁπόσων κεκοινώνηκε τῶν ἀνιαρῶν, ἐῶ λέγειν, ὡς μὴ ἀνάξια δόξω πράττων ἐκδιηγούμενος σὺν οἴκτῳ δι' ἐμαυτοῦ, ἃ τότε γενναίως ἠνέγκαμεν ἀρωγῇ τοῦ κρείττονος. [5]

2 319 βούλομαι μὲν οὖν μακροτέρᾳ διηγήσει δοῦναι τὰ τούτου. ἐπειδὴ δ' ἐλάττω τῆς ἀληθείας ἔσται πάντως ἅττ' ἂν εἴποιμεν, ἔχει τις ἐξ ὀλίγων πάνυ τῶν ῥηθέντων ὥσπερ ἐν ἐπιδρομῇ ἐς βαθεῖαν τοῦ αὐτοῦ πρακτέων ἐληλυθέναι κατάληψιν. παρείσθω γὰρ τὰ πλείω οἷς ἔργον αὐτὸ τοῦτο μόνον, τὸ γραφῆς ταῦτ' ἀξιοῦν καὶ λόγοις τιμᾷν. ἡμῖν δὲ πρὸ τούτου μελήσει καὶ αὐτοῖς ἔργοις ἀμείβεσθαι τουτονὶ τὸν περιπόθητον αὐτάδελφον τῆς βασιλείας μου τὸν φερωνύμως χάρισι βρύοντα. δικαιότατον γὰρ εὐεργετεῖσθαι παρ' ἡμῖν καὶ μεγάλων ἀμοιβῶν ἀξιοῦσθαι, οὐχ ὅτι μόνον ἐστὶν οἷος δέδεικται καὶ φορυτὸν δυσχερῶν σὺν ἡμῖν ὑπὲρ ἡμῶν μάλα ἀσμένως ὑπήνεγκεν· ἀλλ' ὅτι καὶ διὰ πάντων τῶν αὐτῷ πεπραγμένων τρανῶς ἐπαγγέλλεται συνοίσειν, ὅ,τι βέλτιον τῷ κοινῷ, καὶ νίκας ἄρασθαι κατ' ἐχθρῶν τὰ Ῥωμαίων νεμομένων ἀναίδην. διά τοι τοῦτο καὶ χάριτας ἀποχρώσας ἡ βασιλεία μου τῷδε βουλομένη ἀεὶ, ἐπιχορηγεῖ καὶ ἐπιβραβεύει νῦν καὶ τὸν παρόντα χρυσόβουλλον λόγον, δι' οὗ προστάσσει καὶ θεσπίζει καὶ διορίζεται εἶναι τὸν διαληφθέντα περιπόθητον αὐτάδελφον τῆς βασιλείας μου κύριον Ἰωάννην τὸν Ἄγγελον εἰς κεφαλὴν τῶν κάστρων καὶ χωρῶν Βλαχίας ἐφ' ὅρῳ τῆς ζωῆς αὐτοῦ, καὶ ἐπιμελεῖσθαι καὶ σπεύδειν καὶ φροντίζειν τῆς ἐπὶ τὸ κρεῖττον ἐπιδόσεως καὶ βελτιώσεως αὐτῶν, ὀφείλοντα διατηρεῖν ἀπαρασάλευτα καὶ ἅπερ ἐνόρκως ὑπεσχέθη τῇ βασιλείᾳ μου· ἃ περιττὸν μὲν ἴσως ἂν δόξειε κατὰ μέρος δηλούμενα καὶ ἀνοίκεια τάχα τῷ τούτου τρόπῳ ἀγαθῷ γε ὄντι καὶ περὶ ἡμᾶς εὐνουστάτῳ. [5]

2 320 ἐπεὶ δ' ἐπαινετόν τι χρῆμα πολλῶν ἕνεκα τὸ τρίβον ἀσφαλῆ καὶ λείαν πορεύεσθαι μηδὲν προσιστάμενον ἔχουσαν, ἤτοι γε ἀπειλοῦσαν τὰ παρ' ἡμῖν μὲν ἐκτεθέντα, ὅρκοις δὲ παρὰ

τούτου βεβαιωθέντα, κατὰ μέρος ταῦτα καὶ λεχθήτω διὰ τὸ ἀσφαλέστερον. ἔστι δὲ τάδε. ἵνα ᾖ ὁ περιπόθητος αὐτάδελφος τῆς βασιλείας μου κύριος Ἰωάννης ὁ Ἄγγελος φίλος τοῦ φίλου αὐτῆς, καὶ τοῦ ἐχθροῦ αὐτῆς ἐχθρός· ἤγουν κἂν ὁποῖον ἄρα πρόσωπον εἴη, εἰ μὲν ἔχει φιλίαν καὶ ἀγάπην ἡ βασιλεία μου μετ' ἐκείνου, ἔχῃ καὶ αὐτὸς οὕτως· εἰ δ' οὖν, διατίθηται ἀναμφιβόλως καὶ ἀπολυπραγμονήτως εἰς αὐτὸ, ὡς καὶ ἡ βασιλεία μου. ἵνα μὲν τὸ τοιοῦτο τῆς Βλαχίας κεφαλαττίκιον ἐφ' ὅρῳ παντὶ τῆς ζωῆς αὐτοῦ ἔχῃ, οὐ μὴν δὲ ἔχῃ ἐπ' ἀδείας οὗτος τοῦτο δοῦναι καὶ πρὸς παιδίον αὐτοῦ, εἰ μή πως τάξῃ τοῦτο καὶ στέρξῃ ἡ βασιλεία μου, ὡς ἐξ ἄλλης ἀρχῆς. ἵνα οὐ μόνον χρεωστῇ τοιαύτην δουλοσύνην εἰς τὴν βασιλείαν μου, ἀλλὰ καὶ εἰς τὸν βασιλέα κύριον Ἰωάννην τὸν Παλαιολόγον, ἐὰν καταστήσῃ αὐτὴ τοῦτον διάδοχον τῆς βασιλείας· ἐὰν δὲ παραχωρήσει θεοῦ ἀποθάνῃ ὁ βασιλεὺς ὁ Παλαιολόγος, χρεωστῇ τὴν τοιαύτην ὑποταγὴν εἰς ὃν ἂν καταστήσῃ ἡ βασιλεία μου σὺν θεῷ διάδοχον καὶ κληρονόμον τῆς τῶν Ῥωμαίων ἀρχῆς. [5]

2 321 φημίζηται δὲ καὶ μνημονεύηται ἐν πάσῃ τῇ χώρᾳ τῆς Βλαχίας καὶ ἡ δέσποινα Ἄννα ἡ Παλαιολογίνα καὶ βασιλεὺς ὁ υἱὸς αὐτῆς κατὰ τὴν ἐνεργουμένην συνήθειαν ἔν τε τῷ θεοφρουρήτῳ παλατίῳ τῆς βασιλείας μου καὶ ἐν αὐτῇ τῇ χώρᾳ. ἵνα καὶ ἐκεῖσε εἴτε μητροπόλεις εἶεν, εἴτε ἐπισκοπαὶ, εἴτε μοναστήρια, εἴτε ἐκκλησιαστικὰ δίκαια, ὧσιν ὑποκείμενα ὡς ἀρχῆθεν τῇ ἁγιωτάτῃ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ, νέμωνταί τε ἀναφαιρέτως καὶ τὰ προσόντα αὐτοῖς διὰ διαφόρων δικαιωμάτων. ἵνα, ἐὰν ἀποσταλῇ παρὰ τῆς βασιλείας μου εἰς τὸ δεσποτάτον ἢ ὁ περιπόθητος γαμβρὸς αὐτῆς κύριος Νικηφόρος ὁ δούκας, ἢ ἕτερος, ἔχῃ φιλίαν μετ' ἐκείνου καὶ χωρῆται ἑκάτερος εἰς τὰ δίκαια αὐτοῦ. εἰ δ' ἴσως συμβαίη διαφορά τις καὶ διένεξις ἀνὰ μέσον ἀμφοτέρων, ἀκουμβίζῃ τὰ περὶ τούτου εἰς τὴν βασιλείαν μου καὶ διορθοῖτο τοῦτο αὐτὴ, καθάπερ ἂν χορηγήσῃ ὁ θεὸς τῇ ταύτης γνώσει. περισώζηται δὲ καὶ τὰ σύνορα τῆς Βλαχίας καὶ τοῦ δεσποτάτου, ὡς τὸ πρότερον διὰ τὸ ἀσκανδάλιστον, ἵνα, ἐὰν παραλάβῃ τὰ ἐν τῷ περιορισμῷ τῆς Βλαχίας κάστρα, ἔχῃ καὶ ταῦτα εἰς τὸ κεφαλαττίκιον αὐτοῦ ὡς καὶ τὴν λοιπὴν Βλαχίαν, καθὰ δεδήλωται. [20]

2 322 εἰς δὲ τὰ ἄλλα κάστρα τὰ μετὰ τὴν Πάτραν διακείμενα, εἰ μὲν ἔχει ἀγάπην ἡ βασιλεία μου μετὰ τῶν Κατελάνων, ἔχῃ καὶ αὐτὸς, εἰ δὲ μάχην, μάχηται καὶ αὐτός· καὶ ὅσα ἂν προσέλθῃ εἰς τὴν δουλοσύνην τῆς βασιλείας μου, εἴτε ἀλλοτρόπως, εἴτε καὶ δι' αὐτοῦ τούτου τοῦ αὐταδελφοῦ τῆς βασιλείας μου, ἔχῃ ἄδειαν αὖτη τάττειν εἰς κεφαλὴν ἰδιορρύθμως, ὃν ἂν ἐθελήσειεν. ἵνα, ἐὰν θέλωσί τινες τῶν ἐν τῇ Βλαχίᾳ ἀρχόντων τυγχάνειν ὀφφικίων παρὰ τῆς βασιλείας μου ἔρχεσθαί τε καὶ εἰς προσκύνησιν αὐτῆς, ἔχωσι τοῦτο ἐπ' ἀδείας καὶ οὐδὲν κωλύωνται παρ' αὐτοῦ. ἵνα ἐπὶ μὲν ἅπασι τοῖς δυτικοῖς μέρεσιν, ἔνθα ἂν χρῄζῃ αὐτῶν ἡ βασιλεία μου, δουλεύῃ μεθ' ἑαυτοῦ τε καὶ παντὸς τοῦ φωσσάτου Ῥωμαϊκοῦ τε καὶ Ἀλβανιτικοῦ· ἀνωτέρω δὲ τῆς Χριστουπόλεως ἐὰν χρῄζῃ ἡ βασιλεία μου, δουλεύῃ μὲν μεθ' ἑαυτοῦ, φωσσάτου δὲ ὅσου ἂν δύνηται." Ἀγγέλῳ μὲν οὖν τῷ Ἰωάννῃ ἐπὶ τοιαύταις συνθήκαις παρεδίδου Θετταλίας τὴν ἀρχὴν ὁ βασιλεύς. Θετταλοί τε τόν τε Ἄγγελον ἐδέχοντο προθύμως, ὡς παρὰ βασιλέως ἥκοντα, καὶ τὰ προστεταγμένα πάντα ἐπηγγέλλοντο ποιεῖν. νδ'. Οἱ ἐν Διδυμοτείχῳ δὲ ἐπεὶ πανταχόθεν αὐτοὺς ὁ πόλεμος περιειστήκει καὶ οὐδεμία τις ἐφαίνετο ἀνακωχὴ, εἰ μὴ πρὸς αὐτοὺς ταχέως ἐπανέλθοι βασιλεὺς, τὸν Ταρχανειώτην Μανουὴλ πέμπουσι πρὸς αὐτὸν, τοῦτο μὲν καὶ τὰ κατ' αὐτοὺς διδάξοντα ὡς εἶχε, τοῦτο δὲ καὶ μᾶλλον ἐξορμήσοντα πρὸς τὴν ἐπάνοδον, ὡς τῶν κατὰ Διδυμότειχον πραγμάτων ἐκείνου πάνυ δεομένων. [20]

2 323 βασιλεὺς δὲ καὶ πρότερον μὲν ἐν μεγάλῃ ἐτίθετο φροντίδι τὸ πρὸς Διδυμότειχον ἀπαίρειν, καὶ τότε δὲ ὑπὸ τοῦ Ταρχανειώτου παρακληθεὶς, μᾶλλον τὴν ἐπάνοδον ἐπέσπευδε καὶ Κράλην ἐπὶ τὰ ἴσα παρεκάλει. καὶ παρεσκεύαστο ἤδη ἡ στρατιὰ ἡ μέλλουσα συναίρεσθαι τῷ βασιλεῖ πρὸς τὴν ἐπάνοδον. καὶ Ταρχανειώτης μὲν βασιλέα τε καὶ τοὺς περὶ αὐτὸν πολλῆς ἐμπλήσας ἡδονῆς

καὶ προθυμίας, (οὐδὲ γὰρ ἐξ ὅτου βασιλεὺς εἰς Τριβαλοὺς ἦκεν, ἀξιόχρεώς τις οἴκοθεν ἀφῖκτο πρὸς αὐτὸν δέει τῶν κατεχόντων τὰς ὁδοὺς,) αὖθις ἐπανῆκε πρὸς Διδυμότειχον διαλαθὼν τοὺς πολεμίους, καὶ ἀπήγγελλε σαφέστερον τὰ περὶ βασιλέως καὶ ὡς εἴη παρεσκευασμένος ἐπανήκειν ἅμα στρατιᾷ ὀλίγῳ ὕστερον. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ πρὸς Κράλην πέμψας, ἐδήλου τε ὅτι ἥξει ναυσὶ πρὸς τὴν Μακεδονίαν καὶ ὡς βούλοιτο συντυχεῖν αὐτῷ, συνθήκας ποιησόμενος, αἳ μάλιστα ἔσονται αὐτῷ καθ' ἡδονήν. Κράλης δὲ περὶ τῆς συντυχίας πρότερον ἐρόμενος, εἰ ἐπιτρέπει, βασιλέα, ὡς οὐκ ἐκώλυεν, ἀλλὰ μᾶλλον ἐνεδίδου, πρὸς Ἀμφίπολιν συντέθειτο ἀλλήλοις συντυχεῖν, ὁ μὲν ναυσὶν ἐκ τῆς θαλάττης, ἵππῳ δὲ ὁ Κράλης ἐξ ἠπείρου. σκοπὸς δὲ ἦν τῆς συντυχίας ἀμφοτέροις, Κράλῃ μὲν, εἰ δύναιτο Ἀπόκαυκον τὸν μέγαν δοῦκα ζωγρεῖν, ἀμυνομένῳ τοῦ πρὸς βασιλέα ἕνεκα πολέμου· Ἀποκαύκῳ δὲ, ὥστε Κράλην πείθειν, πόλεμόν τε μὴ πρὸς αὐτὸν κινεῖν, Παλαιολόγον Ἀνδρόνικον τὸν γαμβρὸν βουλόμενον βασιλέα Ῥωμαίων ἀποφαίνειν, καὶ βασιλέα εἴργειν Καντακουζηνὸν καὶ μὴ ἐᾷν εἰς τὴν Ῥωμαίων ἐπανήκειν, κώλυμα ἐσόμενον γαμβρῷ πρὸς τὴν ἀρχήν· τῶν ἄλλων γὰρ οὐδένα ἐποιεῖτο λόγον. [20]

2 324 τοῦτο μὲν οὖν, εἴτε ἀληθῶς ἐβούλετο ὁ μέγας δοὺξ, εἴτε μὴ, φανερὸν οὐκ ἐξεγένετο, τοῦ περὶ ταῦτα διακονουμένου καὶ τὰ ἀπόῤῥητα συνειδότος Χρέλη πρότερον ἀποθανόντος. πρὸς γὰρ τὸν Ἀνδρονίκου τοῦ γαμβροῦ πατέρα ἐν Φεραῖς ὁ μέγας δοὺξ τὰ τοιαῦτα διά τινων τῶν μάλιστα εὐνουστάτων ἀπαγγέλλων, κἀκείνου Χρέλῃ διαλεγομένου περὶ Μελενίκον διατρίβοντι καὶ δι' ἐκείνου τὰς Κράλη λαμβάνοντος ἀπολογίας, αὖθις ὁ μέγας δοὺξ ἐπυνθάνετό τε περὶ ὧν ἐδεῖτο, καὶ ὅσα ἦν κατὰ γνώμην αὖθις ἀπεκρίνετο. Κράλης δὲ ὡς ἀληθῶς τοιαύτην διεβεβαιοῦτο πρὸς Καντακουζηνὸν τὸν βασιλέα τὴν μεγάλου δουκὸς ἀξίωσιν εἶναι, καὶ ἐβουλεύετο, ὅ,τι δέοι πρὸς ταῦτα ἀποκρίνεσθαι, βασιλεύς τε μὴ κωλύειν συνεβούλευεν, ἀλλὰ μᾶλλον καὶ συμπράττειν, ἵνα μᾶλλον ὁ περὶ αὐτὸν Ἀποκαύκου φθόνος γίνοιτο φανερὸς, καὶ ὡς οὐκ εὐνοίᾳ τῇ πρὸς βασιλίδα καὶ βασιλέα τὸν υἱὸν τὸν ἐμφύλιον κινοίη πόλεμον, ἀλλ' αὐτῷ τὴν Ῥωμαίων ἐκ παντὸς τρόπου περιποιούμενος ἡγεμονίαν. Κράλης μὲν οὖν ἅμα βασιλεῖ τῷ Καντακουζηνῷ, ἐν τοῖς Ἀλμυροῖς προσαγορευομένοις λάκκοις ἐστρατοπεδεύετο ἐλθὼν καὶ περιέμενε τὸν εἰς Ἀμφίπολιν τοῦ μεγάλου δουκὸς κατάπλουν ὡς ἐκεῖσε συνεσόμενος. [20]

2 325 ἐν Βυζαντίῳ δὲ οἱ μὲν ἄλλοι τῶν εὐγενεστέρων καὶ μάλιστα ἐν λόγῳ, Καντακουζηνισμὸν ὑπὸ μεγάλου δουκὸς ἐπικληθέντες, δεσμωτήριά τε ᾤκουν καὶ οὐδεμιᾶς ἀπείρατοι κακοπραγίας ἦσαν. τῶν δὲ αὐτῷ συναραμένων πρὸς τὸν πόλεμον καὶ πεπεικότων βασιλίδα, ὡς ἐπιβουλεύοιτο παρὰ Καντακουζηνοῦ τοῦ βασιλέως, τῶν μὲν ἤδη παρήπτετο μετρίως καὶ καθῄρει τῶν ἀρχῶν, ἀφορμὴν παρέχων τῆς πρὸς αὐτὸν διαφορᾶς, ἵν', εἰ διαφθείρειε, μηδεμίαν μέμψιν ἔχοι, ὡς οὐ δικαίως ἀμύνοιτο αὐτοὺς, κακοὺς περὶ αὐτὸν γεγενημένους· τῶν δὲ ἔμελλεν. ἃ συνορῶντες καὶ αὐτοὶ καὶ πονηρὰν περὶ τῶν μελλόντων ἤδη ἔχοντες ἐλπίδα, ᾐσθάνοντο μὲν, ὡς σφίσι τε αὐτοῖς καὶ τοῖς ἄλλοις αἴτιοι κατέστησαν μεγάλων συμφορῶν, βοηθεῖν δὲ οὐκ εἶχον ἑαυτοῖς, πάντα ἤδη μεγάλου δουκὸς ὑφ' ἑαυτῷ πεποιημένου. Χοῦμνος δὲ Γεώργιος ὁ μέγας στρατοπεδάρχης, εἷς ὢν τῶν τὸν πόλεμον κεκινηκότων, βασιλίδι προσελθὼν, ἠρέμα κατεμέμφετο μεγάλῳ δουκὶ, ὡς εἰς οὐδὲν δέον τὰ κοινὰ καταναλίσκοντι καὶ πρὸς πόλεμον ἠπειρώτην στόλους ἐξαρτυομένῳ μηδὲν ὀνήσοντας. πρὸς τί γὰρ ὁ στόλος ἐναντιώσεται Καντακουζηνῷ, αὐτῷ τε παρὰ Τριβαλοῖς ὄντι καὶ Διδυμότειχον κατέχοντι πόλιν μακρὰν θαλάσσης ᾠκισμένην; συνεβούλευέ τε μᾶλλον τῶν τοιούτων ἀπέχεσθαι ἀνονήτων δαπανῶν, πρός τινα δὲ χωρεῖν ἐπίνοιαν τοῖς ὅλοις πράγμασι συνοίσουσαν. τοῦτο δὲ εἶναι, εἰρήνην τίθεσθαι πρὸς Καντακουζηνὸν καὶ σπονδὰς, αἳ μάλιστα δόξειεν λυσιτελεῖν. [20]

2 326 τὸ γὰρ τοσούτου πολέμου πρὸς αὐτὸν κεκινημένου καὶ πάσης σπουδῆς εἰσενηνεγμένης, μηδὲν ἡμᾶς δυνηθῆναι πλέον, ἀλλ' ἐκεῖνόν τε ἀπαθῆ κακῶν καὶ πολλῆς εὐνοίας ἀπολαύοντα παρὰ

τῷ Τριβαλῶν δυνάστῃ ἔτι διαμένειν, παρασκευαζόμενόν τε, ὡς ἀκούομεν, εἰς Διδυμότειχον ἐπανήκειν μετὰ στρατιᾶς, τούς τε ἐν Διδυμοτείχῳ μηδὲν ὑφεῖναι τῆς εἰς αὐτὸν εὐνοίας, μηδ' ὑπὸ τοῦ περιεστηκότος πολέμου πιεσθῆναι, ἀλλὰ μᾶλλον αὐτοὺς ταῖς κατὰ Θρᾴκην πάσαις πόλεσι κερβέρων εἶναι χαλεπωτέρους, πάντα διαφθείροντας ἄρδην καὶ λῃζομένους, οὐ πρὸς ἡμῶν ἔμοιγε εἶναι φαίνεται οὐδὲ πρός τι τέλος λήξειν ἀγαθόν. διό μοι καὶ παραινεῖν ἐπῆλθε, τίθεσθαι τὴν πρὸς αὐτὸν εἰρήνην. νῦν μὲν γὰρ ὑπερόριος ἐν ἀλλοτρίᾳ διατρίβων καὶ τῆς παρ' ἑτέρων δεόμενος ἐπικουρίας, ἑτοίμως ἂν ὑπακούσειε πρὸς τὴν εἰρήνην, εἰ μέτρια αἰτοίημεν. εἰ δ' οἴκοι τε γένοιτο καί τινος εὐπορήσειε δυνάμεως, δέδοικα, μὴ δεομένων ἡμῶν ἀπαναίνοιτο αὐτὸς, οἷα δὴ βεβαίας ἤδη τοῦ περιγενήσεσθαι ἡμῶν ἐλπίδας ἔχων. βασιλὶς δὲ λόγον μὲν ἔχοντα εἶπε παραινεῖν, καὶ ὕστερον ὅ,τι ἂν δοκῇ λυσιτελεῖν κοινῇ σκεψαμένους πράττειν· τὸ δὲ νῦν ἔχον, τῆς δαπάνης ἤδη γεγενημένης καὶ τὸν μισθὸν ἐχόντων τῶν τριηριτῶν, δίκαιον ποιεῖσθαι τὸν ἀπόπλουν. ταῦτα δὲ αὐτῇ εἴρηται, ὅτι τε ἐπηγγέλετο ὁ μέγας δοὺξ, εἰ πρὸς Μακεδονίαν ἀποπλεύσειε, Καντακουζηνὸν ἄξειν δεσμώτην, ὡς παραδώσειν ἐπαγγελομένου Κράλη, εἰ πρὸς αὐτὸν ἀφίκοιτο αὐτός· καὶ ὅτι πολλῶν ἤδη τῶν πρὸς βασιλέα Καντακουζηνὸν ὑπὸ τῷ τοῦ πολέμου χρόνῳ γεγενημένων δυσχερῶν, καὶ τῆς τε μητρὸς δεσμωτηρίῳ ἐναποθανούσης, καὶ Ἀνδρονίκου τοῦ υἱοῦ πολὺν ἤδη χρόνον δεσμοῖς προσταλαιπωρήσαντος, καὶ ἄλλῃ κακώσει χρημάτων τε ἀπείρων ἡρπασμένων, καὶ πολλῶν ἀτόπων ἄλλων ἐφ' ὕβρει ἐκείνου εἰργασμένων, καὶ τῶν ἐπιτηδείων μάλιστα καὶ συγγενῶν τῶν μὲν αὐταῖς οὐσίαις συναπολωλότων, τῶν δ' ἐκ περιφανεστάτων καὶ πλουσίων ἀπόρων καὶ δεσμωτῶν κατεχομένων, οὐ ῥᾳδίως ἤλπιζε Καντακουζηνὸν τὸν βασιλέα πεισθήσεσθαι πρὸς τὴν εἰρήνην, ἀλλ' ἀμυνεῖσθαι παντὶ τρόπῳ, καὶ ἴς' ἀντ' ἴσων ἀποδώσειν. [10]

2 327 ἃ ναρκᾷν αὐτὴν ἐποίει καὶ ἀποκνεῖν πρὸς τὸ βουλεύεσθαι περὶ εἰρήνης οἰομένην ἀνήνυτα πονεῖν. ἐπεὶ ὅτι γε πρὶν εἰς τοσοῦτον ἀτοπίας ἐξεληλακέναι καὶ πᾶσαν ὠμότητα καὶ ὕβριν τοὺς περὶ αὐτὴν ἐνδείξασθαι πρὸς βασιλέα, τῶν ἄλλων αὐτὴ μᾶλλον ᾑρεῖτο τὴν εἰρήνην, πολλὰ δείγματα ἐξενήνοχεν αὐτὴ πεισθεῖσα ἀκριβῶς, ὡς φθόνῳ τῷ πρὸς βασιλέα ὁ πόλεμος ἐκινήθη τὴν ἀρχὴν, ἀλλ' οὐκ ἐκεῖνος ἐπεβούλευεν αὐτῇ καὶ τοῖς παισὶν, ὡς οἱ συκοφάνται κατηγόρουν. τότε δ' οὖν ὅμως τὴν περὶ τῆς εἰρήνης ὑπερέθετο διάσκεψιν. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ, ἐπεὶ ἐφωπλισμέναι ἦσαν αἱ τριήρεις, ἀπέπλευσεν εἰς Ἀμφίπολιν, τὸ μὲν δοκεῖν, ὡς κατὰ βασιλέως Καντακουζηνοῦ τῷ Κράλῃ διαλεξόμενος καὶ πείσων προδιδόναι. ὡς δὲ διισχυρίζετο ὁ Κράλης, ἵνα μὴ πολεμοίη τῷ γαμβρῷ βασιλεῖ μέλλοντι Ῥωμαίων ἀναδείκνυσθαι. [20]

2 328 τοῦτο μὲν οὖν εἴς τι προφανὲς οὐκ ἠδυνήθη προελθεῖν· μεταξὺ γὰρ τοῦ χρόνου τριβομένου ἐτελεύτησεν ὁ Χρέλης, ὃς αὐτοῖς τῶν ἀποῤῥήτων ἐκοινώνει, καὶ ὁ μέγας τε δοὺξ εἰς Βυζάντιον ἐξ Ἀμφιπόλεως ἀπῆρε μηδενὶ θαῤῥήσας ἑτέρῳ τὰ ἀπόῤῥητα. καὶ ὁ Κράλης περὶ τῶν πόλεων ἠσχόλητο τὴν ἐπιμέλειαν, ἃς Χρέλη κατέχοντος ἐλάμβανεν αὐτὸς μετὰ τὴν τελευτήν· καὶ ἐκ τῶν πρὸς ἐπικουρίαν βασιλέως τεταγμένων τοὺς βελτίστους ἀπολεγόμενος, κατέλιπεν αὐταῖς φρουράν. αὐτὸς δὲ τοὺς ἐπιλοίπους ἔχων, μετὰ βασιλέως ἦκον εἰς Φεράς. νε′. Καὶ πρίν τι κακοῦν τὴν χώραν, πρεσβείαν πρὸς Φεραίους πέμψας, παρῄνει βασιλεῖ τὴν πόλιν ἐγχειρίζειν. ὅρκους γὰρ αὐτοῖς πρὸς ἀλλήλους γεγενῆσθαι, σύμμαχον καὶ αὐτὸν καὶ φίλον εἶναι τῶν πόλεων, αἳ προσχωρήσουσι βασιλεῖ, πολέμιον δὲ ταῖς ᾑρημέναις πολεμεῖν. εἰ μὲν οὖν καὶ αὐτοὶ πειθόμενοι προσχωρήσουσιν ἑκόντες βασιλεῖ, νῦν τε ὡς τάχιστα ἀναχωρεῖν αὐτῶν, καὶ ὕστερον μηδέποτε κακώσειν ἐπηγγέλετο· εἰ δ' ἀγνωμονοῖεν καὶ μὴ πείθοιντο, τεμεῖν αὐτοῖς τὴν γῆν ἠπείλει καὶ τὰ ἔσχατα διαθήσειν. Φεραῖοι δὲ τὴν πρεσβείαν ἀπεπέμψαντο, πάντα οἴσειν πρότερον εἰπόντες, ἢ Καντακουζηνῷ δουλεύσειν. ἐνῆγε δὲ αὐτοὺς πρὸς τοῦτο οὐχ ἧττον μὲν καὶ ἡ ἀλογία καὶ ἡ ἀκρισία, διὰ τὸ πρὸς βασιλέα ἔχθος τὰ ἔσχατα αἱρουμένους ὑπομένειν, ἐνὸν ἀποθεμένους σώζεσθαι· μάλιστα δὲ ὁ Παλαιολόγος Κωνσταντῖνος, ὃς ἦγε τὴν πόλιν τότε,

Ἀποκαύκῳ τε ἐς τὰ μάλιστα φίλος ὢν καὶ τῶν ἀπορρήτων κοινωνὸς καὶ τὴν πίστιν ἀκραιφνῆ καὶ τὴν εὔνοιαν αὐτῷ τηρῶν ὄντι κηδεστῇ Ἀνδρονίκῳ τῷ υἱῷ, καὶ ὁ μητροπολίτης, πόλεμον ἄσπονδον πρὸς βασιλέα ἐξαρχῆς εὐθὺς ἀνῃρημένος ἐξ οὐδεμιᾶς αἰτίας. [5]

2 329 βασιλεὺς δὲ, ἐπεὶ ἐκεῖνοι τὴν πρεσβείαν ἀπεπέμψαντο, συνορῶν οἳ κακῶν ὑπ' ἀναισθησίας συνελαύνονται, καὶ ὡς Ῥωμαίων τῆς ἀρχῆς πόλις μεγάλη καὶ καλὴ μέλλει ἀφαιρεῖσθαι ὑπὸ τῆς πολιορκίας ἀνάγκῃ Τριβαλοῖς δουλεύσουσα, τῶν οἰκείων πέμψας ἕνα, παρεκάλει φείδεσθαι αὐτῶν καὶ μὴ μίσει τῷ εἰς ἐκεῖνον τὰ ἀνήκεστα σφᾶς αὐτοὺς διατιθέναι, ἀλλὰ νῦν μὲν πρόνοιάν τινα αὐτῶν ποιεῖσθαι καὶ μήτε δέχεσθαι εἰς τὴν πόλιν μήτ' αὐτὸν, μήτε φρουρὰν, μήτε ἡγεμόνα, ἀλλὰ μόνον τῆς βασιλίδος Ἄννης καὶ βασιλέως τοῦ υἱοῦ φημιζομένων, εὐφημίας καὶ αὐτὸν ἅμα ἐκείνοις ἀξιοῦν καὶ μνημονεύειν ἐν τελεταῖς ταῖς ἱεραῖς, καὶ τοῦτον τὸν τρόπον τῶν ἐκ τῆς πολιορκίας ἀπαλλάττεσθαι κακῶν. οὐκέτι γὰρ ἀδικήσουσιν οὐδὲν αὐτοὺς οἱ Τριβαλοὶ διὰ τοὺς ὅρκους καὶ σπονδὰς τὰς πρὸς αὐτόν. ἀναχωρήσαντος δὲ αὐτοῦ πρὸς Θρᾴκην, ἂν μὲν καὶ τῆς ἄλλης ἀρχῆς φαίνοιτο Ῥωμαίων ἐγκρατὴς, ὑπείκειν καὶ αὐτούς. εἰ δέ τι περὶ αὐτοῦ ὕστερον βουλεύσαιτο ὁ θεὸς καὶ ἀπόλοιτο ἐξ ἀνθρώπων, τότ' ἤδη ἢ τῷ βασιλεύοντι Ῥωμαίων προσέχειν, ἂν δύνηται ἐλευθεροῦν ἀπὸ τῶν πολεμίων, ἢ σῖτον ἔχοντας καὶ ἄλλην ἀφθονίαν, ὑπομένειν τὴν πολιορκίαν. [20]

2 330 νυνὶ δὲ μὴ οὕτω κακῶς περὶ σφῶν αὐτῶν βουλεύσασθαι, ὥστε ἑκοντὶ ἑλέσθαι τὰ δεινὰ καὶ τὸν πόλεμον ἑλκῦσαι κατ' αὐτῶν, ἐνὸν συνέσει καὶ ἀγχινοίᾳ διασώζεσθαι. βασιλεὺς μὲν οὖν τοιαῦτα Φεραίοις συνεβούλευε καὶ πείθεσθαι ἐδεῖτο ὡς συνοίσουσι μεγάλως. ἐκεῖνοι δὲ ἐπεὶ ἀκούσειαν, βασιλέως μὲν πολλὰς ὕβρεις κατέχεον καὶ λοιδορίας καὶ μᾶλλον ἔφασαν ἐκείνῳ περὶ ἑαυτοῦ καὶ τῶν συνόντων βουλευτέον ἂν εἴη ὅπη σωθήσεται, ἢ περὶ ἡμῶν. τὸν δὲ πρεσβευτὴν ἀποσφάξαντες καὶ διελόντες τετραχῇ θηριωδῶς καὶ ἀπανθρώπως, τὰ τμήματα ἀνῆψαν καλλωδίοις ἐν τοῖς πύργοις. ἃ βασιλεὺς μὲν δεινὰ ἡγεῖτο καὶ πολλὴν τῶν ἀνδρῶν ἀπανθρωπίαν κατεγίνωσκε καὶ ἀβουλίαν, ἔπεμπε δὲ καὶ γράμματα αὐτοῖς διά τινος Γεωργίου ἔξω συλληφθέντος, τήν τε ὠμότητα καὶ τὴν κακοβουλίαν ὀνειδίζοντα καὶ πολλῶν προαναφωνοῦντα δεινῶν ἐπαγωγὴν, καὶ ὡς τότε τῆς παρ' αὐτοῦ δεήσονται ἐπικουρίας, ἡνίκα μηδ' αὐτῷ τοῦ ὑπὲρ αὐτῶν ἀνιᾶσθαι πλέον τι ἐξέσται. οἱ δὲ συνόντες Ῥωμαῖοι ἐν πάσῃ ἤδη καθέστασαν ἀμηχανίᾳ καὶ ἄπορον παντάπασιν ἡγοῦντο πόλιν βασιλεῖ ἑτέραν προσελθεῖν, Φεραίων τοιαῦτα τετολμηκότων. ὅθεν καὶ ἐδέοντο βασιλέως συνελθόντες μηκέτι μέλλειν, μηδὲ κατατρίβειν τὸν καιρὸν ἀνήνυτα πονοῦντας, ἀλλ' εἰς Διδυμότειχον ἐπείγεσθαι, ὡς ἅμα τοῖς οἰκείοις ἤ τινος τυγχάνειν ἀγαθοῦ, εἰ πρὸς τὸ βέλτιον αὐτοῖς τὰ πράγματα χωροίη, ἢ ἀποθνήσκειν, εἰ δεήσειεν. [20]

2 331 ἐδόκει μὲν οὖν καὶ βασιλεῖ τοῖς ἐκείνων πείθεσθαι βουλεύμασιν, οὕτω περὶ πλείστου ποιουμένων τὴν ἐπάνοδον. καὶ συνταξάμενος Κράλῃ, παραλαβών τε τὴν στρατιὰν, ὅσην αὐτὸς παρείχετο συνέπεσθαι, εἶχοντο ὁδοῦ. Κράλης δὲ ἐν Φεραῖς ὑπολειπόμενος, ἔτεμνε τὴν γῆν καὶ ἐδῄου πάντα ἄρδην διαφθείρων. βασιλεὺς δὲ ἐπεὶ γένοιτο μακρὰν Φερῶν, συνιδὼν ὡς ἡ ἑπομένη στρατιὰ τῶν Τριβαλῶν ὄχλος μόνον ἀνόνητός εἰσι, (τοὺς ἀρίστους γὰρ αὐτῶν ἀπολεξάμενος πρότερον ὁ Κράλης, φρουρὰν κατέλιπε ταῖς πόλεσιν, ἃς Χρέλη ἔχοντος μετὰ τὴν ἐκείνου τελευτὴν ἔλαβεν αὐτὸς,) ἄλλως τε καὶ τῶν ὑπολειφθέντων χρονίῳ τε στρατείᾳ τεταλαιπωρηκότων, (ἦσαν γὰρ πλέον ἢ δυσὶ πρότερον μησὶ Κράλῃ ἑπόμενοι στρατευομένῳ,) ἄλλως τε καὶ δέει ἀσχέτῳ κατεχομένων καὶ νομιζόντων, οὐκ εἰς Θρᾴκην, ἀλλ' εἰς Πάρθους ἢ Ἰνδοὺς στρατεύεσθαι, ὅθεν οὐκ ἐξέσται μηχανῇ οὐδεμιᾷ οἴκαδε ἐπανελθεῖν, καὶ διὰ τοῦτο καὶ ἵππους πολεμιστηρίους καὶ ὅπλα καὶ εἴ τι ἐπεφέροντο χρήσιμον πρὸς τὸν πόλεμον, οἴκαδε ἀποπεμπόντων, ἵνα ταῦτα γοῦν τοῖς παισὶν ὑπολειφθείη, ὡς ἐκείνων ἀπολουμένων πάντως· ταῦτα δὴ συνορῶν ὁ βασιλεὺς καὶ βουλόμενος εἰς Διδυμότειχον μὴ οὕτως ἀφικέσθαι ἀσθενὴς,

ὥσθ' ὑπὸ Βυζαντίων καὶ αὐτὸς πολιορκεῖσθαι, (οὔτ' αὐτῷ γὰρ οὔτε τοῖς συνοῦσι τοῦτο μάλιστα συνοίσειν,) ἐσκέψατο εἰς Κράλην ἀναστρέφειν καὶ στρατιὰν ἀξιόχρεων αἰτεῖν, ὥστε εἰς Διδυμότειχον φοβερὸν τοῖς πολεμίοις ἐλθόντα εἶναι, ἀλλὰ μὴ καταφρονεῖσθαι διὰ τὴν ἀδυναμίαν. [20]

2 332 ἐπεὶ δὲ καὶ τοῖς συνοῦσι Ῥωμαίοις ἐκοινοῦτο τὴν βουλήν, πάντες ὥσπερ ἐκ συνθήματος πάντα μᾶλλον ἔφασαν αἱρεῖσθαι ὑπομένειν καὶ μυρίων θανάτων κατατολμᾶν, ἢ εἰς τὴν γῆν αὖθις ἀναστρέφειν Τριβαλῶν. οὐ γὰρ ἐνόμιζον εἰς γῆν πορεύσεσθαι ἡλίῳ περιλαμπομένην καὶ ὑπὸ ἀνθρώπων οἰκουμένην, ἀλλ' εἰς ᾅδου κευθμῶνας καὶ νεκρῶν διατριβὰς καὶ ἄλλο εἴ τι δυσχερέστερον. πολλὰ δὲ βασιλέως παραινοῦντος, ὡς βελτίω καὶ λυσιτελέστερα βουλεύοιτο, καὶ δεομένου πείθεσθαι, οὐδ' ἄκροις παρεδέχοντο ὠσὶν, ἀλλὰ πάνθ' ὅσα ἄν τις εἴποι δεινὰ φορητότερα ἡγοῦντο, ἢ εἰς Τριβαλοὺς αὖθις ἀναστρέφειν. βασιλεὺς δὲ τόν τε κίνδυνον ὁρῶν, ὡς οὐ μικρὸς ἐκ τοῦ πείθεσθαι τοῖς συνοῦσιν, οὕτως ἀλυσιτελῆ καὶ βουλευομένοις καὶ πράττειν ἤδη ὡρμημένοις ἀλογίστως, ὅ,τι τε χρήσαιτο τοῖς πράγμασιν οὐκ ἔχων, τῶν συνόντων πείθεσθαι μὴ δυναμένων, πρότερον αὐτοῖς πολλὰ διαλεχθεὶς καὶ φανερὸν ποιήσας, ὡς διὰ τὴν αὐτῶν μικροψυχίαν καὶ ἀβουλίαν ἀνάξια ἑαυτοῦ καὶ τῆς στρατηγίας καὶ τῆς πείρας πράττει, ἐπείθετό τε ἄκων αὐτοῖς πρὸς τὴν βουλὴν καὶ παρεκελεύετο θαῤῥεῖν, ὡς τοῦ θεοῦ προστησομένου, ὥσπερ δὴ καὶ ἄλλοτε πολλάκις ἐν κινδύνοις οὐ μικροῖς, καὶ εἴχοντο ὁδοῦ. [20]

2 333 ἐπεὶ δὲ ἦσαν Χριστουπόλεως οὐ μακρὰν, πεζῷ περιτυγχάνουσι Ῥακοδυτοῦντι ἐκ Διδυμοτείχου ἀφιγμένῳ, ὃς παρεῖχε γράμματα βασιλεῖ παρὰ βασιλίδος τῆς γυναικὸς καὶ τῶν ἄλλων τῶν ἐν Διδυμοτείχῳ, φυλάττεσθαι παραινοῦντα καὶ μὴ ἀπερισκέπτως πρὸς αὐτοὺς χωρεῖν, εἰ μὴ δύναμιν ἄγοι μεγάλην καὶ πρὸς τοιούτους ἀξιόχρεων πολεμίους. πρωτοστράτωρ γὰρ ὁ Παλαιολόγος πολλὴν ἄγων στρατιὰν πεζήν τε καὶ ἱππικὴν ἐν Περιθεωρίῳ στρατοπεδευόμενος, τὴν αὐτοῦ ἄφιξιν περιμένει ὡς μαχούμενος. Ἀπόκαυκός τε ὁ παρακοιμώμενος ἔχων ἑβδομήκοντα τριήρεις, ἐν αἷς κατέπλευσεν εἰς Ἀμφίπολιν, ἐνταῦθα καὶ αὐτὸς ἐφορμεῖ· περὶ ὧν δέον βουλευσάμενον αὐτὸν, πράττειν ὅ,τι ἂν δοκῇ συμφέρειν. συμβέβηκε δέ τι περὶ τὰ γράμματα ἐκεῖνα θαυμαστὸν καὶ τῆς θεοῦ περὶ τὸν βασιλέα κηδεμονίας φανερῶς. ὡς γὰρ ἐν Βυζαντίῳ ἐμηνύθη, ὡς στρατιὰν ἔχων ἐκ Τριβαλῶν βασιλεὺς ὁ Καντακουζηνὸς αὖθις ἐπανέρχοιτο εἰς Διδυμότειχον, πρωτοστράτωρ τε συμπάσης πεζῆς καὶ ἱππικῆς δυνάμεως στρατηγῶν, πολλὴν ἔχων δύναμιν, εἰς Περιθεώριον ἀφῖκτο, καὶ Ἀπόκαυκος ὁ μέγας δοὺξ ἐξ Ἀμφιπόλεως ταῖς ἑβδομήκοντα ναυσὶν ἀναστρέφων τῆς αὐτῆς ἕνεκα αἰτίας, ἔγνω δεῖν περιμένειν καὶ αὐτὸς μετὰ τῆς ἄλλης στρατιᾶς καὶ βασιλεῖ τὴν ἐπάνοδον κωλύειν. τῶν ὁδῶν δὲ, ὡς ἔθος, φυλαττομένων, ἵνα μὴ λανθάνοιεν ἐκ Διδυμοτείχου ἢ βασιλέως πρὸς ἀλλήλους ἀφικνούμενοί τινες, ὁ τὰ γράμματα κατέχων ταῦτα συνελήφθη καὶ ἤχθη πρὸς πρωτοστράτορα· ἀνερευνώμενος δὲ περὶ γραμμάτων, ὡμολόγει ἔχειν καὶ παρείχετο εὐθύς. [20]

2 334 τὰ δὲ ἐδεῖτο βασιλέως τάχιστα ἥκειν πρὸς αὐτοὺς καὶ μὴ ῥᾳθυμεῖν. τῶν γὰρ ἐν Διδυμοτείχῳ τὸ μὲν στρατιωτικὸν ἱππεῖς τε καὶ πεζοὶ τὰ κατὰ Θρᾴκην χωρία ληϊζόμενοι ἀφορμὰς τοῦ βίου ἐποιοῦντο. ὁμοίως δὲ καὶ χειροτέχναι καὶ ἄλλοι, ὅσοις ὁ βίος ἦν ἐκ τῶν χειρῶν, πονοῦντες καὶ ἐργαζόμενοι, διέζων τῶν ἀναγκαίων εὐποροῦντες. οἱ μέσοι δὲ τῶν πολιτῶν πάνυ κραταιῶς ἐπιέζοντο ὑπὸ ἐνδείας μηδεμίαν οὐδαμόθεν εὐπορίαν ἔχοντες. διὰ ταῦτα οὖν ἐδέοντο βασιλέως βασιλίς τε ἡ γυνὴ ὁμοίως καὶ οἱ ἄλλοι, τάχιστα ἐπανήκειν, ὡς τῆς αὐτοῦ ἐπιδημίας τοῖς πολίταις ἐσομένης μεγάλων συμφορῶν ἀπαλλαγῆς. πρωτοστράτωρ δὲ ἐπεὶ τὰ γράμματα ἀνέγνω, περίεργόν τι δῆθεν ποιῶν καὶ ἀγχινοίας ἄξιον, ἔπειθε τὸν ἄγοντα, χρυσίον παρασχόμενος καὶ αὐτὸν ἐπαγγειλάμενος καὶ οἰκείους εὖ ποιήσειν, (Σηλυβριανὸς γὰρ ἦν,) ὥστε τὰ γράμματα μεταγραφέντα ᾗ αὐτῷ ἐδόκει, Καντακουζηνῷ ἀγαγόντα παρασχεῖν, μηδὲν ἀπαγγείλαντα τῶν εἰργασμένων, ἀλλ' ὡς ὄντα βασιλίδος τῆς γυναικός. ὁ μὲν οὖν ἐποίει κατὰ

τὰ κεκελευσμένα καὶ πρωτοστράτωρ ἄκων ὠφέλησε βασιλέα τε καὶ τοὺς περὶ αὐτόν. ὡς γὰρ τά τε γράμματα ἀνεγινώσκετο καὶ ἤκουον περὶ τῆς ἐνεδρευούσης στρατιᾶς οἱ περὶ βασιλέα, ὡς πολλαπλασίων τε αὐτῶν εἴη καὶ τοῖς πᾶσιν ἐῤῥωμένη, οἷα δὴ οὔπω χθὲς καὶ πρώην τῶν οἰκιῶν εἰς τὴν στρατείαν ἐξελθόντες, θεῷ τε πολλὰς ὡμολόγουν χάριτας τῆς εἰς αὐτοὺς προνοίας καὶ τῶν κινδύνων τῆς ἀπαλλαγῆς, καὶ βασιλίδι τῆς σπουδῆς καὶ τῆς φροντίδος τῆς περὶ αὐτοὺς, καὶ ἅσμενοι ὑπέστρεφον, τοῦ μείζονος κινδύνου τὰ δυσχερῆ πρότερον καὶ δυσάρεστα ῥᾷστα καὶ λυσιτελέστατα φαίνεσθαι ποιοῦντος. [5]

2 335 οὕτω μὲν οὖν βασιλεύς τε καὶ οἱ ἀμφ' αὐτὸν ἀπροσδοκήτων ἐῤῥύοντο κινδύνων ἐκ τῆς παρὰ τῶν πολεμίων πονηρίας μέγιστα ὠφεληθέντες. ὁ μέγας δὲ δοὺξ πυθόμενος, ὡς πάνυ φαύλην ἄγων στρατιὰν καὶ ἐς τὰ μάλιστα εὐεπιχείρητος ὢν, ἀναστρέψειεν ἐκ τῶν γραμμάτων, ἃ μεταποιήσειεν ὁ γαμβρὸς, πολλὴν αὐτῷ ἐπῆγε μέμψιν καὶ ὠργίζετο φανερῶς, ὅτι τὸν ἐχθρὸν ἐξ ἀβουλίας ὠφελήσειε. πολλοὶ δὲ καὶ τῶν τὰ ἴσα ᾑρημένων Ἀποκαύκῳ καὶ ἀπιστίας πρωτοστράτορα ἐγράφοντο, ὡς ἑκὼν εἶναι Καντακουζηνὸν ὠφελήσειεν ἰσχυριζόμενοι κρύφα τὰ ἐκείνου ᾑρημένος. ὁ δ' ὅρκοις διεβεβαιοῦτο, ὡς οὐδὲν αὐτῷ τοιοῦτον συνειδείη, ἀλλ' ὥσπερ ὑπό τινος ἀγόμενος δυνάμεως κρείττονος εἰς τοῦτο προαχθείη, νομίζων σφάλλειν Καντακουζηνὸν μετὰ βαρείας ἥκοντα δυνάμεως, εἰ πείσειεν ἀναστρέφειν ἐκφοβήσας. ταῦτα μὲν οὖν τοῦτον ἐπέπρακτο τὸν τρόπον, καὶ Καντακουζηνὸς ὁ βασιλεὺς αὖθις εἰς Κράλην ἐπανῆκεν. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ εἰς Βυζάντιον ἀπέπλευσε, καὶ ὑπεδέχοντο αὐτὸν οἱ ἐν Βυζαντίῳ μετὰ κρότων πολλῶν καὶ θαυμασίων τῶν ἐγκωμίων, σωτῆρα καὶ πρόμαχον καὶ ἐλευθερωτὴν ἀποκαλοῦντες. [20]

2 336 περιηγγέλλετό τε πανταχόθεν, ὡς Καντακουζηνὸς οὐδ' ἀντιβλέψαι δυνηθεὶς πρὸς μέγαν δοῦκα, ὑπέστρεψε τῆς οἰκείας σωτηρίας ἀπογνοὺς καὶ ἐπὶ τὸ ἱερὸν ὄρος ἀφίξεται ὄντως μοναχῶν σχῆμα ἐνδυσόμενος· ἄλλως γὰρ οὐκ ἂν ἐξέσται περιεῖναι. καὶ ἑορταὶ πανταχοῦ συνεκροτοῦντο τῶν εὐαγγελίων ἕνεκα. ὁ μέγας δὲ δοὺξ ὀλίγῳ ὕστερον μεγάλῳ στρατοπεδάρχῃ τῷ Χούμνῳ τὴν πρὸς Καντακουζηνὸν βασιλέα βουλευθεῖσαν εἰρήνην ὥς τι ἔγκλημα ἐπικαλέσας, (οὐ γὰρ διέλαθεν αὐτὸν, ἃ πρὸς βασιλίδα πρότερον εἰρήκει περὶ τῆς εἰρήνης,) κατέκλεισεν αὐτόν τε καὶ τὸν υἱὸν ἀπρόϊτον εἰς τὴν οἰκίαν· μετ' ἐκεῖνον δὲ καὶ Ἀσάνην τὸν Κωνσταντῖνον καὶ τὸν υἱὸν, καὶ ἀξίας ἀπετίννυεν αὐτοῖς ἀντιμισθίας τοῦ πρὸς τὴν τοσαύτην τῶν Ῥωμαίων φθορὰν αὐτῷ συνάρασθαι. εἶτα καὶ τοὺς ἄλλους ἐπῄει, ὥσπερ φλὸξ ἀεὶ τῶν προσαπτομένων ἐπιλαμβανομένη. νς'. Οἱ ἐν Διδυμοτείχῳ δὲ πυθόμενοι, ὡς αὖθις ὑποστρέψειεν ὁ βασιλεὺς εἰς Τριβαλοὺς, δεινὰ ἐποιοῦντο καὶ θορύβου ἦσαν μεστοὶ καὶ ταραχῆς. αἰσθομένη δὲ ἡ βασιλὶς Εἰρήνη, καὶ μεῖζον ἐπιδειξαμένη ἢ κατὰ γυναικεῖον φρόνημα, συνεκάλει πάντας καὶ παρῄνει, μὴ τὰ πραττόμενα ἡγεῖσθαι τῶν ἄγαν δεινοτάτων· ἴσως γάρ τοι μᾶλλον ἂν οὕτω λυσιτελεῖν δόξειε θεῷ· ἐκέλευέ τε διανίστασθαι καὶ μὴ καταπίπτειν, ὡς πολλῶν καὶ μεγάλων ἐλπίδων ἔτι ὑπολειπομένων. βασιλέα γὰρ πρὸς τὴν ἐπάνοδον οὐκ ἀπαγορεύσειν, ἀλλ' ἥξειν τε μετὰ μικρὸν, καὶ τῆς εἰς αὐτὸν εὐνοίας καὶ τῆς ἀνδρίας καὶ τῆς καρτερίας ἀμείψεσθαι ἀξίως. [25]

2 337 καὶ τούτοις τοῖς λόγοις ἀνεκτᾶτό τε οὐ μετρίως καὶ χρηστότερα ἐλπίζειν ἔπειθεν. ἐδόκει δὲ δεῖν κοινῇ βουλευομένοις, καὶ πρεσβείαν πρὸς Ἀλέξανδρον τὸν βασιλέα Μυσῶν ποιεῖσθαι καὶ συνθήκας τίθεσθαι ἐπὶ τούτοις πρὸς αὐτὸν, ὥστε σύμμαχον αὐτοῖς εἶναι καὶ φίλον καὶ βοηθεῖν ἐπὶ τοὺς πολεμίους καὶ μηδενὸς ἀμελεῖν ὧν προσήκει φίλῳ πρὸς αὐτούς. κἂν μὲν ἐπανέλθῃ βασιλεὺς ὁ Καντακουζηνὸς, αὐτὸν αὐτῷ τῆς συμμαχίας καὶ τῆς φιλίας τὰς χάριτας ἐκτίνειν· εἰ δὲ συμβαίη, ἢ πολέμῳ ἢ ἑτέρῳ τρόπῳ πρὶν ἐπανήκειν τελευτᾷν, αὐτῷ τὴν πόλιν παραδιδόναι καὶ τῆς ἀρχῆς ἀφίστασθαι Ῥωμαίων. τοῦτο δὲ οὐχ οὕτω καὶ ἀληθῶς αὐτοῖς ἐδέδοκτο ποιεῖν, ἀλλὰ φενακίζειν ἐπειρῶντο τὸν Μυσὸν ἕνεκα δυοῖν, τοῦ τε αὐτὸν τῆς ἐλπίδος ἕνεκα αὐτοῖς

ὠφέλειάν τινα παρέχειν, καὶ τοῦ βασιλίδα τὴν Ἄνναν καὶ Ῥωμαίους τοὺς αὐτοὺς πολιορκοῦντας πυθομένους, ὡς συμβάσεις περὶ παραδόσεως ποιοῦνται πρὸς Μυσοὺς, μὴ λίαν ἐπιτίθεσθαι, ἀλλ' ἀνακωχήν τινα παρέχειν, δεδιότας μὴ δι' ὀργὴν σφᾶς τε αὐτοὺς Μυσοῖς καὶ τὴν πόλιν παραδῶσιν. οἱ μὲν οὖν τοιαύτῃ γνώμῃ τὰς συνθήκας ἐποιοῦντο, ἀσμένως καὶ τοῦ Μυσῶν βασιλέως δεξαμένου καὶ παντὶ τρόπῳ συμμαχήσειν ἀπαγγελλομένου. τὸ δ' ἀπέβαινεν ἐναντίως, ἢ ᾠήθησαν αὐτοί. Ἀλέξανδρος γὰρ, ἐπεὶ οἱ ἐν Διδυμοτείχῳ τὰς συνθήκας ἐποιήσαντο, ὡς, εἰ μὴ Καντακουζηνὸς ὁ βασιλεὺς ἐπανήξει, παραδώσειν αὐτῷ τὴν πόλιν, νομίσας, εἰ τρόπῳ δή τινι ἐκεῖνον διαφθείρειε, βεβαίως τὴν πόλιν ἤδη ἔχειν, πάντα κάλων ἐκίνει κωλύειν τὴν ἐπάνοδον αὐτῷ ἢ, εἰ δύναιτο, καὶ διαφθείρειν· καὶ πρεσβείας πρὸς Κράλην πέμπων συχνὰς καὶ Ἑλένην τὴν ἀδελφὴν Κράλῃ συνοικοῦσαν, παρῄνει Καντακουζηνὸν τὸν βασιλέα μὴ ἀνιέναι, ἀλλὰ δήσαντας ἐν δεσμωτηρίῳ φρουρεῖν ἢ καὶ ἀποκτείνειν· οὕτω γὰρ ἂν ἐξέσται τὴν Ῥωμαίων ἔχειν ἀρχὴν ἀπονητί. [5]

2 338 Κράλης μὲν οὖν αὐτοῦ τὰς παραινέσεις φαύλας ἡγούμενος, οὐ παρεδέξατο, μάλιστα εἰς τοῦτο ἐναγούσης καὶ τῆς γυναικός. ἐκεῖνος δὲ καὶ στρατιὰν πέμψας, ὅσην ᾤετο ἀρκεῖν τοῖς ἐν Διδυμοτείχῳ πρὸς πολιορκίαν, ἐκέλευσε φυλάττειν παραστρατοπεδευσαμένους, πρόφασιν μὲν, ὡς βοηθήσοντας ἐπὶ Ῥωμαίους τοὺς πολιορκοῦντας, τῇ δ' ἀληθείᾳ, ἵν' αὐτοὶ μᾶλλον ἀκριβέστερον πολιορκοῖεν. ὅπερ δὴ καὶ κατὰ τὴν ἐκείνου γνώμην ἐτελεῖτο. τῶν γὰρ Ῥωμαίων συχνὰς μὲν ποιουμένων τὰς καταδρομὰς, τάχιστα δὲ ἀναχωρούντων, ἀδείας οἱ ἐν Διδυμοτείχῳ τυγχάνοντες, τὰς κατὰ Θρᾴκην ἐληΐζοντο πόλεις καὶ νύκτωρ καὶ μεθ' ἡμέραν καὶ ἐκ τῆς ἁρπαγῆς καὶ λεηλασίας ἐποιοῦντο τὰς τοῦ βίου ἀφορμάς. τῶν Μυσῶν δὲ ἐπελθόντων καὶ συνεχῶς ἐπικειμένων ἐφ' ἡμέραις πλείσταις, εἰς στενὸν κομιδῇ περιέστη τὰ πράγματα αὐτοῖς, πάντων ἤδη κινδυνευόντων ὑπὸ τοῦ λιμοῦ διαφθαρῆναι. Μυσοὶ γὰρ ὁμοίως Ῥωμαίους τε ἐκώλυον τοῖς ἐν Διδυμοτείχῳ ἐπιέναι καὶ αὐτοὺς τῆς πόλεως μὴ ἐξιέναι. [20]

2 339 εἰ γάρ τινες ἐξίοιεν ἐφ' ἁρπαγὴν, ὥσπερ εἰώθεσαν, (οὗτος γὰρ ἦν αὐτοῖς ἀναγκαιότατος πόρος πρὸς τὸ ζῆν,) προστυγχάνοντες οἱ Μυσοὶ, (πάντως δὲ οὐκ ἐνῆν διαλαθεῖν πολλὴν πρόνοιαν τούτου καὶ φροντίδα ποιουμένους,) ἵππους τε ἀπεστέρουν καὶ ὅπλα καὶ γυμνοὺς ἠφίεσαν ἐπανήκειν πρὸς τὴν πόλιν. εἰ δὲ προσαγγέλοιεν τοὺς ταῦτα πράττοντας οἱ ἐκ Διδυμοτείχου πρὸς τῆς στρατιᾶς τοὺς ἡγουμένους, οἱ δὲ μηδὲν εἰδέναι διετείνοντο, μηδὲ τῆς σφετέρας εἶναι στρατιᾶς τοὺς τολμῶντας τὰ τοιαῦτα, ἀλλὰ Ῥωμαίους, καὶ αὐτοὺς ἐπὶ λῃστείᾳ περιιόντας· ἐκέλευόν τε τὸ στρατόπεδον περιιέναι, εἴ τι γένοιτο γνώρισμα λαβεῖν ἐκ τῶν ἀπολομένων, καὶ τὰ ἔσχατα ἠπείλουν διαθήσειν, εἴ τινα τοιοῦτον λάβοιεν. τὰ δὲ ἦσαν οὐδαμοῦ· πρότερον γὰρ ἐξέπεμπον αὐτοὶ πρὸς Μυσίαν τοὺς τοιαῦτα εἰργασμένους. τοῦτον μὲν οὖν τὸν τρόπον ἐν στενῷ κατέστησαν κομιδῇ τοὺς ἐν Διδυμοτείχῳ· πάνυ γὰρ ὑπὸ ἐνδείας ἐπιέσθησαν. συνορῶσα δὲ ἤδη τὸν κίνδυνον ἡ βασιλὶς Εἰρήνη, ἀπανίστασθαι ἐκέλευε τῆς πόλεως, ὡς οὐκέτι δεομένης τῆς παρ' αὐτῶν ἐπικουρίας, ἀρκούσης ἤδη γεγενημένης· δι' ἣν οὐ βασιλεῖ μόνον τῷ αὐτῶν, ἀλλὰ καὶ αὐτοῖς χάριν ὁμολογεῖν πολλήν. οἱ δὲ οὐδενὶ τρόπῳ ἔφασαν ἀναστήσεσθαι, ἀλλὰ διηνεκῶς αὐτόθι μενεῖν ἐπικουροῦντας. οὕτω γὰρ αὐτοῖς εἶναι προστεταγμένον παρὰ βασιλέως τοῦ σφετέρου. ἡ τοιαύτη δὲ ἀπολογία πολλὴν ἐνέβαλε ταραχὴν καὶ ποίαν τοῖς ἐν Διδυμοτείχῳ. ἤδη γὰρ αὐτοῖς ἐφαίνετο ὁ ὄλεθρος ἐλλείπων κατ' οὐδέν. [25]

2 340 ὁ δὲ τῆς πόλεως ἀρχιερεὺς ὁρῶν ἤδη κλονουμένους καὶ πρὸς τὴν ὑπερβολὴν τῆς δυσπραγίας ἐνδιδόντας, παρελθὼν εἰς μέσους, παρεθάῤῥυνε καὶ οὐκ εἴα καταπίπτειν, κατὰ γνώμην θεῷ πάντα τὰ τῇδε πράττεσθαι εἰπὼν, καὶ τὰς τοιαύτας ἐπηρείας ὑπ' ἐκείνου παραχωρεῖσθαι, ἵνα τὸ πρὸς βασιλέα φίλτρον ὑμῶν δοκιμασθῇ· ὃς ἥξει τε μετὰ μικρὸν καὶ πάντας ἀμείψεται ταῖς προσηκούσαις εὐεργεσίαις. μηδὲ γὰρ οἴεσθε ἐκεῖνον μὴ κατὰ γνώμην βασιλεύειν θεῷ. τοῦτο γὰρ αὐτὸς σαφέστατα εἰδέναι. ἀμφισβητῶν γὰρ, ἔφασκεν, ἐν ἀρχῇ περὶ ἐκείνου, εἰ μὴ κατ'

εὐδοκίαν, ἀλλὰ μᾶλλον κατὰ παραχώρησιν θεοῦ εἰς τοῦτο ἦλθε σχήματος ἰδίᾳ πειθόμενος ἐπιθυμίᾳ καὶ ὁρμῇ, καὶ δεδοικὼς μὴ καὶ αὐτὸς συναπόλοιτο, τοῖς θεῷ συνὼν βουλευσαμένοις ἐναντία, εὐχαῖς προσανέχειν καὶ δεήσεσι τὸ θεῖον ἐκκαλεῖσθαι, ὥστε διδαχθῆναι περὶ αὐτοῦ, εἰ μὴ ὀργίζοιτο περὶ τῶν γινομένων. ἐκκαλυφθῆναι δὲ αὐτῷ παρὰ τοῦ πνεύματος, ὅτι κατ' εὐδοκίαν μᾶλλον εἴη τὸ βασιλεύειν Καντακουζηνόν. ᾧ καὶ πεισθέντα καὶ πᾶσαν ἀμφιβολίαν ἀποθέμενον ἐν Διδυμοτείχῳ μένειν τῇ βουλήσει τοῦ θεοῦ συναιρόμενον τὰ δυνατά. οὐ γὰρ ἄν τις αὐτοῦ κατηγοροίη, ὅτι τῶν ἐν τῷ παρόντι βίῳ τινὸς δέοιτο παρὰ βασιλέως. οὔτε γὰρ πρότερον, οὔτε μέχρι νῦν τοιούτου τινὸς παρά τινος ἐδεήθη. καὶ αὐτοῖς παραινεῖν νυνὶ γενναίως ἵστασθαι πρὸς τῶν δεινῶν τὰς ἐπαγωγὰς, ὡς οὐ μέχρι πολλοῦ τινος ἐσομένας, ἀλλ' ὀλίγῳ ὕστερον λυθησομένας, ἵλεων αὐτοῖς ἐπιβλέψαντος θεοῦ. [20]

2 341 τοὺς γὰρ πολιορκοῦντας τούτοις Μυσοὺς, ἐν προσχήματι φιλίας καὶ τὴν παροῦσαν ἔνδειαν ἐπαγαγόντας, ἐν ἑπτὰ ταῖς ἐσομέναις μάλιστα ἡμέραις συμπατοῦντας ὄψεσθε ἀλλήλους καὶ φυγῇ τὴν σωτηρίαν ποριζομένους καὶ τῶν περισχόντων ἀπαλλάξεσθε δεινῶν. ὁ μὲν οὖν μητροπολίτης τοιαῦτα εἶπε· πᾶσι δὲ εὐθὺς ἐπῆλθε βελτίω προσδοκᾶν καὶ τῆς ἀθυμίας ἀπηλλάττοντο· ᾔδεσαν γὰρ αὐτὸν τὰ μέλλοντα εἰδέναι μᾶλλον, ἢ τὰ παρεληλυθότα ἕτερον· καὶ ὡς προφητεύοντι προσεῖχον φανερῶς. διηπόρουν δὲ ὅ, τι ἂν εἴη τὸ Μυσοῖς αἴτιον ἐσόμενον φυγῆς. ὁ δ' αὐτὸς ἀρχιερεὺς καὶ Ἀποκαύκῳ τῷ μεγάλῳ δουκὶ ἔγραψε τοιαῦτα, ὡς ἀπορίᾳ, ὅτου ἕνεκα πεῖραν αὐτοῦ πολλάκις ἐν πολλοῖς πρότερον ἐσχηκὼς, καὶ τῶν εἰρημένων τὴν ἔκβασιν οὐκ εἰς μακρὰν, οὐδ' εἰς ἕτερόν τινα, ἀλλ' εἰς ἑαυτὸν ἰδὼν σαφέστατα γεγενημένην, νῦν ἀπιστοίη παντάπασι καὶ λόγους οἵοιτο εἰκῇ λεγομένους τὰ εἰρημένα ὑπ' αὐτοῦ. αὐτὸς δὲ καίτοι μὴ βουλομένῳ πείθεσθαι, οὐδὲν ἧττον συμβουλεύσειν, ἃ αὐτῷ τε καὶ Ῥωμαίοις ἅπασι λυσιτελήσειν οἴεται. ἐκκαλυφθῆναι γὰρ αὐτῷ παρὰ θεοῦ, ὡς οὐκ ἐκείνῳ μᾶλλον, ἀλλὰ Καντακουζηνῷ, τῷ πρὶν μὲν μεγάλῳ δομεστίκῳ, νυνὶ δὲ βασιλεῖ γεγενημένῳ, τὸ τοῖς βασιλέως παισὶν ἐπιτροπεύειν καὶ συμβασιλεύειν προσήκει. διὸ καὶ δεδόσθαι παρὰ θεοῦ· ἐκείνῳ δὲ ὑπ' ἐκεῖνον εἶναι καὶ περὶ ναῦς ἀσχολεῖσθαι καὶ θαλασσοκρατεῖν. συνεβούλευέ τε ἔχεσθαι τῶν δεδομένων καὶ μὴ ὑπὲρ τὰ ἐσκαμμένα πηδᾷν, καὶ ἐδεῖτο πείθεσθαι· μηδὲ γὰρ ἂν εἰς τέλος ἥξειν ἀγαθὸν αὐτῷ τὸ τοῖς βεβουλευμένοις ἀνθίστασθαι θεῷ. [20]

2 342 καὶ αὐτὸς γὰρ ἐν ἀρχῇ μάλιστα ἔφασκε τῆς ἀναῤῥήσεως Καντακουζηνοῦ τοῦ βασιλέως περὶ τῶν πραττομένων δυσχεραίνων καὶ ἀναλογιζόμενος, εἰ μὴ κατὰ γνώμην εἴη θεῷ τὰ εἰργασμένα, καὶ διὰ τοῦτο δεήσεσι προσκείμενος καὶ ἱκεσίαις, ἐκδιδαχθῆναι παρὰ θεοῦ αὐταῖς λέξεσιν· ὡς θέλω, εὐδοκῶ, ὁρίζω βασιλεύειν Ἰωάννην τὸν Καντακουζηνὸν, καὶ γενέσθω. ἃ τοίνυν ὁ θεὸς εὐδόκησεν, οὐδένα δίκαιον ἀνθρώπων πειρᾶσθαι καταλύειν, ὅτι μηδὲ δυνατόν. ἠξίου τε μὴ κόμπον τὰ τοιαῦτα οἴεσθαι καὶ ἄλλως ἐπίδειξιν ἀρετῆς· μηδὲ γὰρ ἂν εἰς τοσοῦτον ἀπονοίας βάραθρον ἐληλακέναι, ὡς τοιαῦτα καταψεύδεσθαι θεοῦ. ἀλλὰ τῆς τε ὠφελείας τῶν πολλῶν, ἀδίκως οὕτω καὶ παρὰ πάντα τοῦ δικαίου νόμον ἀπολλυμένων ὑπὸ τοῦ πολέμου, καὶ τοῦ αὐτὸν ἐξελέσθαι ὑφ' ἧς κατέχεται ἀπάτης, οἰόμενον Καντακουζηνοῦ τοῦ βασιλέως περιγενήσεσθαι, εἰρῆσθαι τὰ τοιαῦτα· οἷς εἰ πεισθείη, εἴσεται τὴν ὠφέλειαν οὐκ ἐν μακρῷ, εἰ δ' οὐ πεισθείη, πάντως εἴσεται ὡς ἀληθείας φίλος αὐτὸς καὶ παρ' ἐκείνης τὰ τοιαῦτα δεδιδαγμένος. τοιαῦτα μὲν ὁ Διδυμοτείχου ἔγραφε πρὸς μέγαν δοῦκα διαῤῥήδην περὶ Καντακουζηνοῦ τοῦ βασιλέως προλέγων, ὡς τῶν ἀδικούντων περιέσται. ἐκεῖνος δὲ ἐπεὶ τὰ γράμματα ἀνέγνω, οὐδὲν πλέον ἀπεκρίνατο. [20]

2 343 οὐ περὶ βασιλέως δὲ μόνον ἐκεῖνος πολλὰ τοιαῦτα προηγόρευεν, ἀλλὰ καὶ περὶ ἰδιωτῶν τινων οὐκ ὀλίγα. Βρυεννίου γὰρ τοῦ Μιχαὴλ, Παμφίλου ἄρχοντος, ἐπιβουλευθέντος τε ὑπὸ τοῦ δήμου καὶ δεσμώτου εἰς Βυζάντιον ἀπαχθέντος, δεσμωτήριόν τε ὑπὸ τῶν ἀρχόντων οἰκεῖν κατεψηφισμένου, ἐπεὶ χρόνῳ ὕστερον μικρᾶς τινος ἕνεκα αἰτίας ὁ τῆς φρουρᾶς ἄρχων ὑπὸ

μανίας ἀλόγου καὶ θυμοῦ εἰς τοσοῦτον ᾐκίσατο σφοδρῶς, ὡς νομισθῆναι καὶ ἀποθανεῖν, πρὸς τοὺς οἰκείους ἐν Διδυμοτείχῳ τῆς φήμης διαδραμούσης, κἀκείνων τοῦ ἀρχιερέως δεομένων ἀπαγγέλλειν τῇ γυναικὶ τοῦ ἀνδρὸς τὴν τελευτὴν, ἵν' ὑπὸ τῆς πρὸς ἐκεῖνον αἰδοῦς κατεχομένη, μὴ τὴν ψυχὴν ἀποῤῥήξῃ πρὸς τὴν ἀγγελίαν, ἐκεῖνος οὐ τετελευτηκέναι ἔφασκε Βρυέννιον, ἀλλὰ ζῇν· τετύφθαι μέντοι εἰς τοσοῦτον ἀπανθρωπίας, ὡς καὶ ἁλῶν δεηθῆναι, τὰς σηπεδόνας καὶ φλεγμονὰς τὰς ἐκ τῶν μαστίγων καταστελούντων. μὴ μέντοι γε ἀποθανεῖν, ἀλλὰ ζῇν καὶ τὴν ἀπανθρωπίαν τῶν αἰκισαμένων ἄλλων τέ τινων ἀποῤῥητοτέρων ἕνεκα αὐτῷ ἐπενεχθῆναι, καὶ τῆς εἰς παῖδας καὶ γυναῖκα ἐπανόδου αἰτία μάλιστα ἐκείνη ἔσται. τοῦ δεσμωτηρίου γὰρ ἀπολυθεὶς ἐπὶ τῷ ἰᾶσθαι τὰς πληγὰς, διαδρὰς ἀφίξεται ἐνθάδε. χρόνῳ δὲ ὕστερον καὶ βασιλέως παρόντος, πεσεῖται μαχόμενος ὑπὲρ αὐτοῦ. ἃ πάντα ὕστερον κατὰ τὴν ἐκείνου πρόῤῥησιν ἀπέβαινεν. ἀφεθεὶς γὰρ τοῦ δεσμωτηρίου ὁ Βρυέννιος ἐπὶ τῷ προνοίας τινὸς τυχεῖν παρὰ τῶν ἰατρῶν, καιροῦ τυχὼν διεσώζετο οἴκαδε διαδρᾶναι δυνηθείς· ὕστερον δὲ ἐν τῇ πρὸς Μομιτζίλον μάχῃ ἔπεσε μαχόμενος ἐπίπροσθεν βασιλέως. [25]

2 344 τοιαύτης ἦν ἐκεῖνος χάριτος ἠξιωμένος παρὰ θεῷ, καὶ τὰ ἐσόμενα ὡς ὁρώμενα προῄδει. οἱ μέντοι Μυσοὶ οἱ περὶ Διδυμότειχον ἐστρατοπεδευμένοι μετὰ μικρὸν παρὰ τῶν σφετέρων πυθόμενοι σκοπῶν, ὡς πλῆθος Περσικῶν νεῶν τῇ τοῦ Ἕβρου προσέσχεν ἐκβολῇ, ὑπὸ τοῦ θορύβου καὶ τῆς ταραχῆς ἀλλήλους συμπατοῦντες κατὰ τὴν ἀρχιερέως πρόῤῥησιν τάχιστα ἀνεχώρουν, καὶ ὅποι γῆς κατεδύοντο ἀγνοούμενοι. οἱ δὲ ἐν Διδυμοτείχῳ τὴν αἰτίαν ἀγνοοῦντες τῆς φυγῆς, ἐθαύμαζον ὅ,τι ποτ' ἂν εἴη τὸ οὕτω θορυβῆσαν τοὺς Μυσούς. μετὰ μικρὸν δὲ ἠγγέλλετο, ὡς Ἀμοὺρ ὁ τοῦ Αἰτίνη, φίλος ὢν ἐς τὰ μάλιστα Καντακουζηνῷ τῷ βασιλεῖ καὶ πολλὰς ἀποδείξεις τῆς εἰς αὐτὸν εὐνοίας καὶ πρότερον παρεσχημένος, (δι' ἐκεῖνον γὰρ καὶ βασιλεῖ τῷ νέῳ Ἀνδρονίκῳ πρὸς τὸν κατὰ Φωκαίας καὶ Λέσβου πόλεμον συνεπολέμησε,) πεπυσμένος περὶ αὐτοῦ, ὡς μεγάλαις χρήσαιτο κακοπραγίαις, κοινῇ τῶν Ῥωμαίων αὐτῷ πάντων ἐκπολεμωθέντων, καὶ αὐτὸς μὲν ᾤχετο ἐς Τριβαλοὺς φυγὰς, Διδυμότειχον δὲ, ὃ μόνον καταλέλειπτο γυναικί τε καὶ τέκνοις καὶ τοῖς ἄλλοις τοῖς ὑπολειφθεῖσι φίλοις καταφυγὴ δεινῶς ὑπὸ τῆς συχνῆς πολιορκίας ὑπὸ ἐνδείας ἐπιέσθη, καὶ κινδυνεύει τὸ τοῦ φίλου σκάφος αὖτανδρον ἀπολωλέναι, ὀγδοήκοντα καὶ τριακοσίας ναῦς τὰς συμπάσας ὁμοῦ παραλαβὼν, καὶ μείζους καὶ ἐλάσσους, ἐν αἷς ἐννακισχίλιοι πρὸς δισμυρίοις ἐπιβάται κατελέγοντο, παρὰ τὸ τοῦ Ἕβρου στόμα προσέσχε. [25]

2 345 πέμψας δὲ καὶ ἐκεῖνος πρέσβεις πρὸς Εἰρήνην τὴν βασιλίδα, ἀπήγγελλε τὰ ἴσα· ἐδήλου τε ὅτι ἥξει καὶ αὐτὸς μετὰ μικρόν. Εἰρήνη δὲ ἡ βασιλὶς τούς τε στρατιώτας ἔπεμπεν, ὅσοι ἦσαν, καὶ τοὺς ἄλλους τῶν εὐγενεστέρων εἰς ὑπάντησιν ἐκείνου, καὶ ἵππους ἑκατὸν, ὡς ἂν αὐτός τε χρήσαιτο καὶ μὴ πεζῇ βαδίζῃ, καὶ τοῖς ἄλλοις διαδῷ. ἀπήγγελλόν τε οἱ κεκομικότες, μὴ μέμφεσθαι τῆς ὀλιγότητος, ὡς διὰ τὸν περισχόντα πόλεμον αὐτῶν μᾶλλον ἵππων δεομένων καὶ διὰ τοῦτο τῶν παρόντων οὐ πλείους παρέχεσθαι δεδυνημένων. τοὺς μὲν οὖν ἵππους ἐδέξατο ἀσμένως καὶ βασιλίδι χάριτας τῆς εὐεργεσίας ὡμολόγει· διέδωκε δὲ τοῖς εὐγενεστέροις τῶν Περσῶν καὶ μάλιστα προήκουσι καθ' ἡλικίαν. ἐρόμενος δὲ περὶ τοῦ φίλου βασιλέως εἰ ζῇ, πολλὰ στενάζων καὶ δάκρυα τῶν ὀφθαλμῶν ὑπὸ συμπαθείας ἀφιείς, ἐπεὶ ἐπύθετο ζῆν θεοῦ βουλομένου, πρῶτα μὲν ὡμολόγει χάριτας θεῷ, πολλὴν αὐτοῖς τὴν πρόνοιαν καὶ τόλμαν ὑπὲρ βασιλέως παρεσχημένῳ, ἔπειτα δὲ καὶ αὐτοῖς τῶν αὐτῶν ἕνεκα καὶ χάριτας ὡμολόγει καὶ πολλῶν καὶ μεγάλων ὀφειλέτην ἑαυτὸν ἀπέφαινεν, ὡς κινδύνους μεγάλους καὶ πολλοὺς ὑπὲρ ἐκείνου ἐνεγκοῦσι. τὴν στρατιάν τε παραλαβὼν, πεζὸς ἐχώρει καὶ αὐτὸς εἰς Διδυμότειχον, δισχιλίους λογάδας ἔχων περὶ ἑαυτόν. δεομένων δὲ τῶν ἐκ Διδυμοτείχου ἵππῳ χρῆσθαι, καὶ παρεχομένων καὶ ἑτέρους πρὸς τοῖς ἑκατὸν, οὐκ ἐπείθετο αὐτὸς, δισχιλίους εἶναι φάμενος τοὺς εὐγενεστέρους καὶ μάλιστα ἀξίους ἵπποις χρῆσθαι. [20]

2 346 ἐπεὶ δὲ μὴ εὐποροίη πᾶσι διαδοῦναι, βέλτιον πεζεύειν καὶ αὐτὸν, ἐν τῷ συμπονεῖν αὐτοῖς ῥᾴω καὶ φορητοτέραν τὴν ἐκ τῆς ὁδοῦ ποιοῦντα ταλαιπωρίαν. οὕτω μὲν οὖν μέχρι καὶ Διδυμοτείχου ἦλθεν. ἡμέρας δὲ περιμείνας οὐ πολλὰς, ἐν αἷς ἔδει τοὺς εἰς Διδυμότειχον τὰς κατὰ Θρᾴκην πορθοῦντας κώμας σῖτον πορίζειν ἑαυτοῖς, ἐπεὶ ἐπράττετο αὐτοῖς τὰ κατὰ γνώμην καὶ σῖτον εἰσεκομίζοντο πολὺν καὶ τὰ ἄλλα ἐπιτήδεια καὶ βοσκήματα, ἐκέλευεν, ὅσα ἦσαν ἐν τῷ στρατοπέδῳ τῷ σφετέρῳ ἐκ τῆς λείας τοῖς ἐν Διδυμοτείχῳ παρέχειν· καὶ ἐπράττετο, ᾗ προσέταττεν ἐκεῖνος. πεντακοσίους τε ἐκ δισχιλίων ἐκείνων λογάδων ἀπολεξάμενος καὶ ἐννακισχιλίους ἐκ τῆς ἄλλης στρατιᾶς, ἔπεμπεν εἰς τὰς ναῦς, φρουρήσοντας ἄχρις ἐπανήξει· τὸ δὲ λοιπὸν στρατόπεδον εἰς δισμυρίους ὄντας ἐπὶ πεντακοσίοις καὶ χιλίοις τοῖς λογάσιν, ἔπεσθαι ἐκέλευεν, ὡς ἐκεῖσε ἀφιξόμενος, ἔνθα διατρίβει βασιλεύς. ᾖεσαν οὖν ἅπαντες καὶ αὐτὸς πεζῇ, πλὴν τῶν ἑκατὸν ἐκείνων, ἀδυνάτων ὄντων πεζεύειν διὰ τὸ γῆρας. καὶ γενόμενοι παρὰ τὸ ἐν Χριστουπόλει τείχισμα, ἐπεὶ ἀντέχειν οὐχ οἷοί τε ἦσαν οἱ φρουροῦντες πρὸς τοσαύτην δύναμιν, πολλαχοῦ διατεμόντες, ἐκείνων ἐκλιπόντων, διέβησάν τε καὶ ηὐλίσαντο ἐγγὺς τὴν νύκτα. νζ′. [20]

2 347 Φεραῖοι δὲ πυθόμενοι περὶ τῆς στρατιᾶς τῆς Περσικῆς, ὅτι μέλλει διιέναι κατ’ αὐτοὺς, καὶ τήν τε βλάβην δείσαντες, ἣν κακώσειν ἔμελλεν αὐτοῖς τὴν χώραν, ἄλλως τε καὶ μίσει τῷ πρὸς βασιλέα δυσχεραίνοντες, μὴ ὑπὸ τῶν Περσῶν ὠφεληθείη, ἔγνωσαν δεῖν παράγειν τὸν ἄρχοντα τῆς στρατιᾶς, καὶ γράμματα πλασάμενοι ὡς ἐκ βασιλέως ἔπεμπον πρὸς αὐτόν. ἃ μετὰ τὸ προσαγορεύειν πολλὴν ὁμολογοῦντα χάριν τῆς εἰς αὐτὸν εὐνοίας, ὅτι πολλὴν ὑπέμεινε καὶ πόνον καὶ δαπάνην δι’ αὐτὸν, ἔπειτα ἐκέλευεν ἀναστρέφειν, ἐξ οὗπερ ἂν ἐγγένοιτο τοῖς γράμμασι τόπου περιτυχεῖν, μὴ καὶ ἄκων βλάψῃ νομίζων ὠφελεῖν. ἐκεῖνον γὰρ ἐν ἐσχατιαῖς τῆς Τριβαλῶν διατρίβειν γῆς, ὅθεν οὐ ῥᾴδιον ἐπανελθεῖν νυνί. εἰ δ’ αὐτοὶ χωροῖεν πρὸς ἐκεῖνον διὰ μέσης τῆς γῆς τῶν Τριβαλῶν, δέος μὴ αὐτῶν ὁ ἄρχων ἀντὶ φιλίας, ἣν ἐνδείκνυται πρὸς αὐτὸν νυνὶ, πρὸς ἔχθραν καὶ ὀργὴν μεταστραφῇ καὶ διάθηται κακῶς, ὡς αἴτιον πολέμου βαρβαρικοῦ καὶ φθορᾶς αὐτῷ γεγενημένον. τοιαῦτα μὲν οὖν τὰ γράμματα ἐκέλευεν. Ἀμοὺρ δὲ ἐπεὶ ἀνέγνω, τῶν μὲν συνεσκευασμένων ὑπώπτευεν οὐδὲν, νομίσας δὲ ἐκ βασιλέως εἶναι ἀληθῶς, ἀμφιβόλοις λογισμοῖς ἐπάλαιεν, εἰ δεῖ ἀναστρέφειν κατὰ τὰ κεκελευσμένα, ἢ ἥκειν πρὸς αὐτὸν, ὡς δυσχερὲς ὂν αὖθις εἰς ἀναζήτησιν ἐκείνου μετὰ τοσαύτης στρατιᾶς ἐλθεῖν. τοιαῦτα δὲ αὐτῷ λογιζομένῳ τῆς νυκτὸς, χειμὼν ἐξαίσιος ἐπιγενόμενος, ὡς καὶ διακοσίους τῷ στρατοπέδῳ ὑπὸ κρύους ἐναποθανεῖν, ἠγάγκασεν ἀναστρέφειν, πολλὰ καὶ τῶν γραμμάτων πρὸς τὴν ἐπάνοδον συναραμένων. [20]

2 348 ἐλθὼν δὲ εἰς Βήραν, ἔνθα αὐτῷ ὡρμίζοντο αἱ νῆες κατὰ τὸν Ἕβρον ποταμὸν, εὗρε κατ’ ἐκείνην τὴν νύκτα καὶ τῶν ἐν ταῖς ναυσὶ τριακοσίους ἀποθανόντας· αἰχμαλώτων δὲ πλὴν ὀλίγων πάντας, ὀλίγους ὄντας καὶ αὐτοὺς διὰ τὸ μὴ τὴν στρατιὰν πρὸς λείαν ἐπιπλέον διασκεδασθῆναι τῆς προκειμένης ἕνεκα στρατείας Ἀμοὺρ τὸν σατράπην οὐκ ἐᾷν. εἰς Διδυμότειχον δὲ πρὸς βασιλίδα τὴν Εἰρήνην γράμμασι δηλώσας τῆς ἐπανόδου τὴν ἀνάγκην καὶ παραιτησάμενος, ὡς διὰ τὸν χειμῶνα μὴ πρὸς αὐτὴν ἐπανήκει προσκυνήσων, ἀπέπλευσεν εἰς τὴν οἰκείαν. μετὰ δὲ τοῦτο, ἐπεὶ ὁ χειμὼν ἐπεκράτει σφοδρότατος κατ’ ἐκεῖνο τοῦ ἔτους, οἵ τε ἐκ Βυζαντίου καὶ τῆς ἄλλης Θρᾴκης ἡσύχαζον καὶ οὐκ ἐπῄεσαν τοῖς ἐν Διδυμοτείχῳ, ἀλλ’ ἀναγκαίως διεχείμαζον ἐν ταῖς οἰκίαις. ἐκεῖνοι δὲ ὑπ’ ἐνδείας ἀναγκαζόμενοι καὶ τῶν ἄλλοις φοβερωτάτων κατατολμᾷν, πεζοί τε ὀλίγῳ πλείους διακόσιοι καὶ ἱππεῖς ἐλάττους τούτων πρὸς ἁρπαγὴν τῆς πόλεως ἐξελθόντες, οὕτως ὑπὸ σφοδροῦ κατελήφθησαν χειμῶνος, ὡς ἀναγκασθῆναι αὐτόμολοι πρὸς τοὺς πολεμίους ἀφικέσθαι, ἐκλείποντες ἤδη ὑπὸ κρύους. οἱ μὲν οὖν πεζοὶ πάντες ὁμοῦ πρὸς Λίτιτζαν πολίχνην ἐλθόντες, ἐπεὶ ὁ τῆς πόλεως ἄρχων τὰ βασιλέως κρύφα ᾐρημένος ἦν, ἐν μιᾷ οἰκίᾳ τοὺς ἄνδρας κατακλείσας, ὡς φρουρεῖσθαι δῆθεν, πυρί τε ἀνακτησάμενος καὶ τῇ ἄλλῃ

τῶν ἀναγκαίων χορηγίᾳ, μετὰ τρίτην ἡμέραν, ἑκὼν εἶναι, ἐνεδίδου αὐτοῖς πρὸς τὸν δρασμόν· καὶ διαδράντες ὁμοῦ πάντες αὖθις εἰς Διδυμότειχον ἐπανῆκον. [20]

2 349 ὅθεν καὶ αἰτίαν ἔσχε παρὰ τοῖς πολεμοῦσι βασιλεῖ. οἱ μέντοι γε ἱππεῖς ἄλλοι ἄλλοσε διασκεδασθέντες, οἱ μὲν καὶ φιλανθρώπου τινὸς ἐπέτυχον ξενίας καὶ ἀπαθεῖς κακῶν πρὸς τὰς οἰκίας ἐπανῆκον, τῶν βασιλέως φίλων πρὸς τὴν σωτηρίαν συναραμένων· οἱ πλείους δὲ αὐτῶν ὀλίγῳ προσηνέστερον ἐξενίσθησαν παρὰ τῶν ὑποδεξαμένων, ἢ οἱ περὶ Ὀδυσσέα παρὰ Κύκλωπος. ἀπέθανε μέντοι ἐξ αὐτῶν οὐδείς, ἀλλὰ χρόνῳ ὕστερον κατ' ὀλίγους εἰς Διδυμότειχον αὖθις ἐπανῆκον γυμνοὶ μετὰ πεῖραν ἀλγεινῶν πολλῶν. ἔαρος δὲ ἤδη ἀρχομένου, οἵ τε ἐκ Διδυμοτείχου ἐπῄεσαν ταῖς κατὰ Θρᾴκην πόλεσι καὶ κακῶς ἐποίουν ληϊζόμενοι, ὡς καὶ πολλὰς αὐτῶν, πρὸς τὰς συνεχεῖς ἐφόδους καὶ τὰς ληστείας ἀπειρηκυίας, τῇ βασιλίδι Εἰρήνῃ ἐθέλειν προσχωρεῖν, κἂν οἱ ἐν Διδυμοτείχῳ μὴ ἐδέχοντο, ἀπολεῖσθαι φάσκοντες, εἰ πείθοιντο. οὔτε γὰρ εὐπορεῖν φρουρῶν, οἳ αὐτὰς φυλάξουσιν, αὐτοί τε λιμῷ ταλαιπωρήσειν, εἰ μὴ ληΐζεσθαι ἐξέσται τοὺς περιοίκους· ἑτέρα γὰρ αὐτοῖς πρὸς τὸ ζῆν εὐπορία οὐδεμία ἦν. οἵ τε ἐκ Βυζαντίου Διδυμότειχον ἐκάκουν ὅσα δυνατά. βασιλεύς τε ὁ Καντακουζηνὸς παρεσκευάζετο αὖθις, ὡς εἰς Διδυμότειχον ἐπανήξων, καὶ ὁ Κράλης παρείχετο μὲν στρατιὰν ἐπικουρήσουσαν, ὀλίγην δὲ καὶ φαύλην. καὶ διὰ τοῦτο βασιλεὺς πολλοῖς ἐστρέφετο λογισμοῖς καὶ φροντίδων ἦν ἀνάπλεως, εἰ δεήσει πάλιν ἢ τὴν Ῥωμαίων δείσαντας δύναμιν αὖθις ἀναστρέφειν εἰς Τριβαλοὺς, ἢ μετὰ τοσούτων καὶ οὕτω φαύλων πρὸς πᾶσαν τὴν ἀρχὴν Ῥωμαίων διακινδυνεύειν. [20]

2 350 μεγίστη δὲ ἦν αὐτῷ τῶν δυσχερειῶν, ὅτι τῶν χρημάτων, ἃ οἴκοθεν ἦλθεν ἔχων, ἀναλωθέντων πρός τε τοὺς συνόντας ὄντας τοσούτους, (πάντες γὰρ διετρέφοντο ἐκ τῶν βασιλικῶν ἐπὶ δυσὶν ἔτεσιν, ἐν οἷς τῆς Ῥωμαίων γῆς ἀπελαθέντες ἦσαν ὑπερόριοι,) καὶ πρὸς Τριβαλοὺς τοὺς τῶν στρατοπέδων ἡγουμένους διὰ φιλοτιμίαν, ἐν ἀπόρῳ εἴχετο τοῦ τί χρὴ δρᾷν, εἰ μὴ ἐξέσται τὴν πολεμίαν διελθόντας εἰς Διδυμότειχον ἐλθεῖν. οὔτε γὰρ ἐξῆν ἐκεῖθεν χρήματα μεταπέμπεσθαι, οὔτε παρὰ Τριβαλῶν δανείζεσθαι, τῶν μὲν πάντῃ δεδουλωμένων καὶ συζώντων ἐσχάτῃ ἀπορίᾳ, τῶν ἐχόντων δὲ δανείζειν οὐ βουλομένων διὰ τὸ βασιλέα ὁρᾷν μείζοσιν ἀεὶ ταῖς δυσπραγίαις κεχρημένον καὶ ὑποπτεύειν, μὴ καὶ παντάπασι διαφθαρείη πρὶν οἴκαδε ἐπανήκειν. οὗ δὴ ἕνεκα πολλῇ μὲν ἐκυμαίνετο τρικυμίᾳ λογισμῶν τὴν ἔνδειαν ἐννοῶν, ὑφ' ἧς περισχεθήσεται, καὶ τὸν ἄφυκτον κίνδυνον, αὐτὸς καὶ οἱ περὶ αὐτόν. ἐξέφαινε δὲ πρὸς οὐδένα τὰ ἀπόῤῥητα καὶ μόνου θεοῦ ἐδεῖτο, τοῦ λύειν τὰ τοιαῦτα δυναμένου. αὐτίκα δέ τις προσελθὼν Ἄρμπενος ὠνομασμένος, ἐκ Χλερηνοῦ πρότερον Ῥωμαίοις ὑπηκόου πόλεως, πατρῴαν τε ὡμολόγει εὔνοιαν τῷ βασιλεῖ, καὶ αὐτὸς οὐδὲν ἧττον ἔφασκε βούλεσθαι νυνὶ χρήσιμον ἑαυτὸν αὐτῷ παρέχειν καὶ βοηθεῖν τρόπῳ ὁποίῳ ἂν δύναιτο δυνατωτάτῳ· θαυμαστὸν δὲ οὐδὲν, εἰ τηλικούτῳ ὄντι καὶ θαυμασίῳ καὶ μεγάλῳ οὐδενὸς ἄξιος ὢν αὐτὸς καὶ ἀφανείᾳ πολλῇ συζῶν ἐπαγγέλλεται βοηθεῖν, εἰ καὶ μῦς ποτε κατὰ τὸν μῦθον λέοντα ἐῤῥύσατο πολλῶν καὶ χαλεπῶν δεσμῶν. [5]

2 351 συνεβούλευέ τε, ὡς, εἰ βούλοιτο, ἐπεὶ πρὸς Κράλη προσπεμφθείη Βερῥοιώταις, διαλεξόμενος αὐτοῖς περὶ παραδόσεως τῆς πόλεως καὶ πείσων ὑποσχέσεσι πολλαῖς, γράφειν καὶ αὐτὸν τοῖς φίλοις καὶ δι' ἐκείνων καὶ τοὺς ἄλλους πείθειν δέχεσθαι εἰς τὴν πόλιν, ἣ μεγάλη τε οὖσα καὶ πολυάνθρωπος καὶ στρατιᾷ καὶ τοῖς ἄλλοις ἅπασιν ἐῤῥωμένη, οὐ μετρία γένοιτ' ἂν παραψυχὴ πρὸς τὰς περισχούσας δυσπραγίας. αὐτὸς γὰρ, καίτοι ὑπὸ Κράλην τελῶν, μᾶλλον βούλοιτο Βέῤῥοιάν τε καὶ τὰς ἄλλας ἑσπερίους πόλεις αὐτῷ μᾶλλον ἢ Κράλῃ προσχωρεῖν· ἐκείνῳ γὰρ ἀνάγκη δουλεύειν, βασιλεῖ δὲ μᾶλλον εὐνοεῖν. βασιλεὺς δὲ ἀκούσας, ὑπερήσθη μὲν ἐπὶ τοῖς εἰρημένοις καὶ τῶν πολλῶν ἀνέπνευσε φροντίδων, τὸ θεῖον αὐτοῦ πρόνοιάν τινα πεποιῆσθαι οἰηθεὶς καὶ τὸν ἄνδρα πρὸς τοιαῦτα κεκινηκέναι. ἤρετό τε, εἰ τοὺς ἐν λόγῳ μάλιστα εἰδείη

Βερῥοιωτῶν καὶ πρὸς οὔστινας αὐτῶν συμβουλεύει γράφειν. τοῦ δὲ, πάντας μὲν εἰδέναι, εἰρηκότος, τοὺς ἀρίστους δὲ ἐκλεξαμένου, ἐπείθετό τε ὁ βασιλεὺς, ὡς καλῶς βεβουλευμένῳ, καὶ ἔγραφεν αὐτίκα. Ἄρμπενος δὲ συνεβούλευεν, εἰ δύναιτο, καὶ Κράλην πείθειν ἐνδοῦναι αὐτῷ καὶ φανερῶς ὑπὲρ αὐτοῦ διαλεχθῆναι Βερῥοιώταις· βασιλεῖ τε γὰρ τὰ μέγιστα λυσιτελήσειν τὸ τοιοῦτο καὶ αὐτῷ τὴν συντυχίαν μηδένα κίνδυνον ὕστερον ἂν ἐπαγαγεῖν, εἰ ἡ πόλις προσχωροίη βασιλεῖ. [20]

2 352 ἐπείθετό τε ὁ βασιλεὺς αὐτίκα καὶ πρὸς Κράλην ἐλθὼν ἐπυνθάνετο, εἰ βούλοιτο πρὸς Βέῥῥοιαν πέμπειν Ἄρμπενον. τοῦ δὲ συνθεμένου, „ἐβουλόμην“ εἶπε „γράφειν καὶ αὐτὸς αὐτοῖς καὶ παραινεῖν εἰς τὴν πόλιν δέχεσθαι. ἐννοῶν δὲ, οἷα δράσειαν Φεραῖοι τὸν πρεσβεύοντα ἀπεκτονότες, πρὸς τὴν ἐπιχείρησιν ἀμβλύνεσθαι, δεδοικὼς μὴ καὶ ἄλλῳ τῳ κακῶν ὁμοίων αἴτιος καταστῇ. συνεβούλευέ τε μᾶλλον γράφειν αὐτὸς ὑπὲρ αὐτοῦ· ἅμα δὲ καὶ Ἀρμπένῳ ἐπιτρέπειν Βερῥοιώταις τὰς πρὸς ἀλλήλους αὐτῶν συνθήκας καὶ τοὺς ὅρκους φανεροὺς ποιεῖν, καὶ ὡς εἴη καὶ σοὶ πρὸς ἡδονὴν τὸ προσχωρεῖν αὐτοὺς αὐτῷ. ὁ δὲ τὰ μὲν γράμματα ἐπέτρεπεν αὐτὸν ὑπαγορεύοντα γράφεσθαι, οἷ ἂν δοκῇ αὐτῷ συμφέρειν. Ἄρμπενον δὲ ἐκέλευεν ὑπὲρ βασιλέως Βερῥοιώταις διαλέγεσθαι καὶ φανερὸν αὐτοῖς ποιεῖν, ὡς οὐδὲν ἡγοῖτο διαφέρειν αὐτῷ τε προσχωρεῖν καὶ βασιλεῖ. οὕτω μὲν οὖν ἡ ἐπίνοια αὐτοῖς εἰς τέλος ἥκει. Ἄρμπενος δὲ εἰς Βέῥῥοιαν ἐλθὼν, τά τε Κράλη γράμματα παρείχετο ἀναγινώσκεσθαι ἐπ’ ἐκκλησίας καὶ τὰ βασιλέως τοῖς ἐπιτηδείοις κρύφα διεδίδου. Βερῥοιῶται δὲ καὶ πρότερον μὲν τὰ βασιλέως ᾐρημένοι οἵ τε ἄριστοι ὁμοίως καὶ ὁ δῆμος ἦσαν, καὶ τότε δὲ ὑπὸ τοῦ Τριβαλῶν πολέμου πιεζόμενοι, (πολλὰς γὰρ αὐτοῖς καὶ συνεχεῖς ἐποιοῦντο τὰς ἐφόδους, καὶ κακῶς ἐποίουν τὴν χώραν ληϊζόμενοι,) καὶ συνορῶντες ἤδη, ὡς ἐν χρῷ κινδύνου καθεστᾶσι δουλεύειν Τριβαλοῖς ἀναγκαζόμενοι, ἄλλως τε καὶ ὑπὸ τῶν ἀρίστων ἐναγόμενοι, (πλὴν γὰρ ὀλίγων τὰ βασιλέως ἦσαν πάντες ᾐρημένοι,) ἐψηφίσαντο τὴν βασιλέως κάθοδον· αὐτίκα τε ᾑροῦντο πρέσβεις, ἐκ μὲν τῶν ἀρίστων Ἀστραπήρην, τοῦ δήμου δὲ Ἀλληλούϊαν, ἐκ τῶν κατειλεγμένων δὲ τῷ κλήρῳ τῆς ἐκκλησίας Σύρον ὠνομασμένον, καὶ ἔπεμπον πρὸς βασιλέα, τάχιστα δεόμενοι ἥκειν πρὸς αὐτούς. [10]

2 353 οἱ πρέσβεις δὲ ἐπεὶ ἦκον, τήν τε ἀρχαίαν εὔνοιαν τῆς πόλεως ἐδήλουν βασιλεῖ καὶ ὡς, τοῦ πολέμου τοῦδε τοῦ συγγενικοῦ Ῥωμαίοις κεκινημένου, μετέωροι αὐτοὶ ἦσαν καὶ τὴν αὐτοῦ ἐπιδημίαν ἦγον δι’ εὐχῆς καὶ πρόθυμοι ἦσαν αὐτῷ προσνέμειν ἑαυτοὺς καὶ τὸν πόλεμον συγκατεργάζεσθαι. ἐπεὶ δὲ ἐκ προδοσίας τῶν συνόντων συμβαίη περὶ αὐτὸν τὰ δυσχερῆ καὶ ἔλθοι ὑπερόριος πρὸς Τριβαλοὺς, μάλιστα μὲν βεβουλῆσθαι εὐθὺς ἐξαρχῆς εἰς τὴν πόλιν προσκαλεῖσθαι· δεδοικότας δὲ μὴ διὰ ταῦτα μειζόνων αὐτῷ συμφορῶν αἴτιοι καταστῶσι, τοῦ Κράλη διὰ φθόνον καὶ τὸ λαβεῖν αὐτὸν τὴν πόλιν ἐπιβουλεύσαντος, τῆς πείρας ἀποσχέσθαι ἄχρι νῦν. καιροῦ δὲ ἥκοντος νυνὶ καὶ Κράλη μὴ δοκοῦντος δυσχεραίνειν, ἥκειν καὶ αὐτοὺς σὺν ἡδονῇ πολλῇ καὶ προθυμίᾳ παραληψομένους. συνεβούλευόν τε μὴ μέλλειν, μηδὲ ὑπερτίθεσθαι τὸν καιρὸν, μή τι συμβὰν ἕτερον λυμήνηται τῇ πράξει. βασιλεὺς μὲν οὖν τῇ τε πόλει πολλὰς ὡμολόγει τῆς εὐνοίας χάριτας καὶ τοῖς πρέσβεσι τῆς εἰς αὐτὸν σπουδῆς· Κράλῃ δὲ ἀπήγγελλεν, ὅσα οἱ ἐκ Βερῥοίας πρέσβεις εἴποιεν. [25]

2 354 θαυμάσας δὲ ἐκεῖνος, ὅτι μὴ τοὺς περὶ βασιλέως λόγους, ὡς καὶ αἱ λοιπαὶ τῶν πόλεων, ἀπαγορεύοιεν, ἐπέκρινε καὶ αὐτὸς εἰς πέρας ἄγεσθαι τὸ ἔργον. Ἑλένη δὲ ἡ τούτου γαμετὴ καὶ πολλὴν εἰσῆγε τὴν σπουδὴν καὶ παρῄνει βασιλεῖ, μὴ τὸν καιρὸν προΐεσθαι, ἀλλὰ πάντα δεύτερα ἡγησάμενον, μόνου ἔχεσθαι τοῦ Βέῥῥοιαν ὑποποιεῖσθαι. ἀναγκαίαν μὲν γὰρ καὶ τὴν εἰς Διδυμότειχον ἐπάνοδον εἶναι, οὐχ ἧττον δὲ λυσιτελήσειν καὶ τὸ Βέῥῥοιαν κατασχεῖν, πολλὰ δυναμένην πρὸς τὸν πόλεμον συνάρασθαι. συνεβούλευέ τε μὴ τὴν παρασκευαζομένην αὐτῷ ἔπεσθαι περιμένειν στρατιὰν, ἀλλὰ Γερμανοὺς παραλαβόντα, ὅσους Κράλης τε παρέξεται καὶ

αὐτὴ, ἀεὶ πρὸς τὰς στρατείας παρεσκευασμένους ὄντας διὰ τὸ μισθοφορεῖν, ἅμα τοῖς οἰκείοις σπεύδειν ἐπὶ Βέῤῥοιαν. κἂν μὲν δέχωνται, ὥσπερ ἐπαγγέλλονται, εἰ δέοιτο καὶ τῆς στρατιᾶς ἐκείνης πρὸς ἐπικουρίαν, ὕστερον ἥξειν παρασκευασθεῖσαν. εἰ δὲ μεταβαλόντες ἀποπέμποιεν, ἀναστρέψαντα χρῆσθαι τῇ στρατιᾷ ἤδη παρεσκευασμένῃ καὶ ἀποπειρᾶν πρὸς τὴν ἐπάνοδον. τοιαῦτα μὲν ἡ Κράλη ὑπετίθετο γαμετὴ τῷ βασιλεῖ, καὶ αὐτή τε παρείχετο τοὺς ἰδίους μισθοφόρους Λατίνους καὶ τὸν ἄνδρα ἔπειθε. νη′. Βασιλεὺς δὲ Κράλῃ τε πολλὰς τῆς φιλίας χάριτας ὁμολογήσας καὶ γαμετῇ καὶ τῆς φιλίας ἅμα καὶ τῆς περὶ αὐτὸν σπουδῆς, τοὺς μισθοφόρους ἔχων ἅμα τοῖς συνοῦσι Ῥωμαίοις, ἦκεν εἰς τὴν Βέῤῥοιαν· καὶ ἐδέξαντο προθύμως ἀνοίξαντες τὰς πύλας, παρείχοντό τε ἑαυτοὺς πρὸς τὰς στρατείας ὑπὸ φιλοτιμίας προθυμοτάτους καὶ χωρὶς ἀναλωμάτων. [5]

2 355 αὐτίκα δὲ Σέρβιά τε προσεχώρουν ἑκοντὶ περὶ τὰ μεθόρια Θετταλίας κειμένη πόλις, καὶ Πλαταμὼν, ἑτέρα παραθαλασσία, καὶ φρούρια οὐκ ὀλίγα, τὸ μὲν Πέτρα προσαγορευόμενον, ἕτερον δὲ Σωσκὸς καὶ Σταρίδολα τρίτον. βασιλεὺς δὲ ὡς ἐν βραχεῖ ἐκ τῶν προσθεμένων πόλεων στρατιὰν οὐκ ὀλίγην συναγαγὼν, μεταπεμψάμενος δὲ καὶ τὸν ἀνεψιὸν Ἄγγελον Ἰωάννην, τὴν Θετταλικὴν ἵππον ἄγοντα, ἐπεστράτευσε Θεσσαλονίκῃ καὶ ἐστρατοπέδευσεν ἐν Γαλυκῷ ἐλθὼν, οὐ πολὺ ἄπωθεν τῆς πόλεως. ἤλπιζε γὰρ αὐτῷ τοὺς ἐπιτηδείως ἔχοντας καταπράξεσθαι τὴν εἰς Θεσσαλονίκην εἴσοδον· ἦσαν γὰρ αὐτῷ διειλεγμένοι περὶ τούτου. τὸ δὲ οὐκ ἀπήντα, ὥσπερ ἤλπιζεν. οἱ Ζηλωταὶ γὰρ καὶ ὁ δῆμος ὑποπτεύσαντες, μὴ ἄνευ τῶν ἐπὶ παραδόσει διαλεγομένων ἀφικέσθαι, πολλὴν ἐποιοῦντο σπουδὴν περὶ τῆς πόλεως τὴν φυλακήν· δι’ ἃ οὐκ εἶχον οἱ τὰ βασιλέως ῥηρημένοι τῶν δοκούντων πράττειν τι. ἡ μὲν οὖν Θεσσαλονίκης ἅλωσις οὕτως ἐκωλύετο· βασιλεὺς δὲ παρέμενεν ἔτι ἐν τῷ στρατοπέδῳ, πρὸς τὴν πρᾶξιν οὐ παντάπασιν ἀπειρηκώς. Κράλης δὲ ἐπεὶ Βέῤῥοιά τε καὶ αἱ ἄλλαι πόλεις προσεχώρησαν βασιλεῖ καὶ ἤδη ἑαυτῷ ἀμύνειν ἑώρα δυνατὸν, ἐξ οὐδεμιᾶς μεταβαλὼν αἰτίας, τὴν προτέραν φιλίαν εἰς πικρίαν μεταμείψας, ἑαυτῷ τε ἐμέμφετο τοῦ μὴ βασιλέα παρακατέχειν καὶ πάντα τρόπον τὴν δύναμιν ἐπειρᾶτο καταλύειν. [20]

2 356 καὶ πέμψας ἀνεκαλεῖτο τοὺς ἰδίους μισθοφόρους, οὐ τὴν ἀπέχθειαν ἐκφαίνων, ἀλλ’ ἑτέρας τινὰς προφασιζόμενος αἰτίας· Μιχαήλ τε Μονομάχῳ μεγάλῳ κονοσταύλῳ τὴν ἀξίαν ὄντι, Θεσσαλονίκης τότε ἄρχοντι, συνεβούλευε πέμψας κατὰ βασιλέως χωρεῖν καὶ μὴ σφόδρα δεδιέναι, ἄλλως τε ἔτι ὀλίγην κεκτημένον δύναμιν καὶ τὸ κράτιστον τῆς παρούσης ὑφαιρούμενον ὑπ’ αὐτοῦ νυνὶ, (τοὺς γὰρ καταφράκτους Λατίνους, οὓς ἄγει, ἀνακεκλῆσθαι ὑπ’ αὐτοῦ, ἰδίους ὄντας,) καὶ μὴ αὐξάνεσθαι ἐᾷν, ἀλλὰ προεπιχειρεῖν ἕως ἐστὶν ἀδύνατος. εἰ γὰρ μὴ κωλύοιτο ὑπ’ αὐτῶν, ἀλλὰ σωζόμενοι μόνον ἀγαπῷεν, τάχιστα ἐπάξεσθαι αὐτὸν, μεγάλην περιβεβλημένον δύναμιν. Μονομάχος δὲ καὶ οἱ ἐν Θεσσαλονίκῃ τοιαῦτα πεπυσμένοι καὶ οἰόμενοι, βασιλεῖ συνεπιθήσεσθαι αὐτοῖς καὶ Κράλην, ἐσκέπτοντο εἰ χρὴ ἐπὶ μάχην ἐξιέναι. Γερμανοὶ δὲ ἐπεὶ τὰ παρὰ Κράλη ἀκούσειαν προστεταγμένα, πολλὴν μὲν ἐκείνου κακοήθειαν κατεγίνωσκον καὶ τρόπων εὐκολίαν, βασιλεῖ δὲ προσελθόντες, ἀπήγγελλόν τε ὅσα προσταχθεῖεν, καὶ ἐδέοντο μὴ θορυβεῖσθαι, ἀλλὰ θαῤῥεῖν, ὡς καὶ αὐτῷ Κράλῃ, ἂν ἐπίῃ, μαχεσομένους ὑπὲρ αὐτοῦ· οὕτω γὰρ εἶναι νόμιμον αὐτοῖς καὶ εἰ πράττοιεν, οὐ κακῶς ἀκούσειν παρὰ τοῖς οἰκείοις. εἰ γὰρ ὑπὸ τοῦ τὸν μισθὸν παρέχοντος, ἔφασαν, ἑτέρῳ τῳ προσταχθείημεν ἐπικουρεῖν, οἴκοι μὲν καὶ ἐν ἀσφαλείᾳ καθεστῶτι, ῥᾳδίως ἀποσταίημεν ἄν, τοῦ τὸν μισθὸν παρέχοντος κελεύοντος· στρατευομένῳ δὲ καὶ πρὸς μάχην παρατεταγμένῳ, οὐχ ἡμῶν εἶναι ἀπολείπειν. [20]

2 357 προδοσίαν γὰρ ἄντικρυς τὸ πρᾶγμα εἶναι· οὗ τῶν πάντων οὐδὲν ἀτολμητότερον ἡμῖν, οὐδὲ μείζω φέρει τὴν αἰσχύνην. δι’ ἃ οὐδὲ σὲ καταλείψομεν ἐνθάδε, ὥσπερ ἐκέλευσεν ἐκεῖνος, ἀλλ’ ἐν ἀσφαλείᾳ οἴκοι καταστήσαντες ἀναχωρήσομεν. συνεβούλευόν τε μὴ μέλλειν, ἀλλ’ εἰς

Βέῤῥοιαν τάχιστα ἐπανήκειν· Κράλην γὰρ δῆλον ἤδη εἶναι ᾑρημένον πολεμεῖν. βασιλεὺς δὲ αὐτοῖς τῆς εἰς αὐτὸν εὐνοίας καὶ τῶν τρόπων τῆς εὐγενείας ἐπαινέσας, ἐπείθετό τε καὶ ἀνέστρεφεν, ᾗ ἐκεῖνοι συνεβούλευον, μηδὲν τῶν μελετωμένων πρᾶξαι δυνηθεὶς διὰ τὴν Κράλη μάλιστα μεταβολήν. ἡ δὲ ἐν Θεσσαλονίκῃ στρατιὰ, ὡς ἐπύθοντο βασιλέα ἀναστρέφοντα, τῆς πόλεως ἐξελθόντες, εἵποντο μὲν καὶ παρεῖχον δόκησιν, ὡς προσβαλοῦντες, οὐκ ἐτόλμων δὲ συμμίγνυσθαι. τῆς αὐτῆς δὲ ἡμέρας καὶ ἐκ τῶν ἐν Θεσσαλονίκῃ φίλων γράμματα πρὸς βασιλέα ἦκε, μηνύοντα ὡς τῆς αὐτῆς ἡμέρας Ἀπόκαυκος ὁ μέγας δοὺξ ναυσὶν ἑβδομήκοντα Ῥωμαίων Θεσσαλονίκῃ προσχοίη καὶ συμμαχίδας ἄγων Περσικὰς δύο καὶ τριάκοντα, καὶ τοὺς ἐκ Βυζαντίου καὶ Θρᾴκης καὶ Μακεδονίας ἱππέας οὐ πολλῷ ὕστερον προσδοκίμους εἶναι ἥξειν. τοὺς μὲν οὖν φίλους τῆς ἀγγελίας ἕνεκα ἐπῄνεσεν ὁ βασιλεύς· αὐτὸς δὲ παρὰ τὸν Ἀξειὸν ἐλθὼν καὶ πειρώμενος διαβαίνειν, οὐ συνεχωρεῖτο πλημμυροῦντος τοῦ ποταμοῦ ἐξ ὄμβρων ῥαγδαίων ἀθρόον κατενεχθέντων. [20]

2 358 ἐδόκει δὲ δεινὸν τῷ βασιλεῖ καὶ πολλῆς ἄξιον φροντίδος. τό,τε γὰρ παριέναι τὸν ποταμὸν διὰ τῆς Κράλῃ ὑπηκόου ῥέοντα, οὐ μικρὰν παρεῖχεν ὑποψίαν, ἐκείνου δοκοῦντος ἐκπεπολεμῶσθαι, ἄλλως τε καὶ οὐ μακρὰν, ἀλλ' ἐγγύς που μετὰ στρατιᾶς ἐστρατοπεδευμένου· καὶ τὸ μένειν ἐστρατοπεδευμένους, τῶν ὑδάτων περιμένοντας ἀμβλυνθῆναι τὴν ὁρμὴν, οὐ πρὸς αὐτῶν ἔσεσθαι ὑπώπτευεν. ἐδεδίει γὰρ, μὴ, ὥσπερ ἦν εἰκὸς, τῶν τε ἐκ Θρᾴκης καὶ Μακεδονίας ἱππέων, πολλαπλασιόνων ὄντων ἢ ὧν ἦγεν αὐτὸς, καὶ τῶν ἐκ τῶν τριηρέων ὁπλιτῶν καὶ ψιλῶν καὶ Περσῶν τῶν συμμάχων ἐπελθόντων, οὐχ οἷόστε ᾖ ἀμύνεσθαι ἐκ παρατάξεως, πολλῷ τῷ μέτρῳ καταδεεστέρους ἄγων. συμβὰν δέ τι καὶ ἕτερον μᾶλλον ἐθορύβει. πρὸς γὰρ τὴν Ἀξειοῦ περαίαν στρατιὰ ἐλθοῦσα Τριβαλῶν, πέμποντες πρὸς βασιλέα, κατὰ συμμαχίαν μὲν ἔφασκον ἥκειν τὴν αὐτοῦ, εἰ δέοιτο αὐτῶν τῆς ἐκ Θεσσαλονίκης στρατιᾶς ἐπιθεμένης. ἦσαν δὲ οὐδὲν ἐννοοῦντες δίκαιον, ἀλλ' εἴθ' ὑπὸ Κράλη λάθρα προσπεμφθέντες, εἴτε καὶ παρ' ἑαυτῶν αὐτοὶ τῆς τοῦ δεσπότου γνώμης στοχασάμενοι, ὡς πολεμεῖν ἔγνω βασιλεῖ, γνώμην ἦκον ἔχοντες, ὡς εἰ μάχη συναφθείη, προσθησόμενοι τοῖς ἔχουσι τὸ πλέον καὶ τοὺς νενικημένους διαρπάσοντες, ὅπερ καὶ μᾶλλον ἐδόκει τῶν δεινοτάτων βασιλεῖ, εἰ παρ' αὐτὴν τὴν συμβολὴν Ῥωμαίοις τε ὁμοῦ καὶ Τριβαλοῖς προσέχειν ἀναγκάζοιτο ἑκατέρωθεν παρατεταγμένοις. [25]

2 359 ὅμως οὕτως ἔχοντι δυσκολίας καὶ φροντίδος περὶ τῶν πρακτέων, ἐδόκει δεῖν αὐτοῦ αὐλίσασθαι τὴν νύκτα. τοὺς ἐν τέλει δὲ μάλιστα καὶ Ἄγγελον τὸν ἀνεψιὸν, προσέτι δὲ καὶ τοὺς υἱοὺς Ματθαῖον καὶ Μανουὴλ συναγαγών· (ἦσαν γὰρ οὐδενὸς λειπόμενοι πρὸς σύνεσιν καὶ εὐβουλίαν, καίτοι μήπω τὴν μειρακικὴν ὑπερβάντες ἡλικίαν, διὰ φύσεως μέγεθος καὶ εὐφυΐαν τὴν πρὸς τὰ καλὰ, ἄλλως θ' ὅτι καὶ βασιλεῖ τῷ πατρὶ πολὺν ἤδη συστρατευόμενοι χρόνον, οὐ περὶ τὰ πολέμια μόνον ἀγαθοὶ καὶ εὐψυχίας καὶ τόλμης καὶ καρτερίας τῆς πρὸς τὰ δεινὰ οὐδὲν ἐλλείποντες, ἀλλὰ καὶ νοῆσαι τὰ δέοντα καὶ καταπράξασθαι ἐν καιρῷ κινδύνων ὀξεῖς καὶ βουλεύσασθαι ἑτέροις ἦσαν ἱκανοί· δι' ἃ καὶ ὁ πατὴρ αὐτοῖς πρὸς τῶν βουλευμάτων τὰ μάλιστα σπουδῆς δεόμενα ἐχρῆτο καὶ ἐπείθετο οὐκ ὀλιγάκις, οὐ χαριζόμενος· οὐ γὰρ εἴα τῶν πραγμάτων ἡ ἀνάγκη· ἀλλὰ νομίζων μάλιστα λυσιτελεῖν·) μετ' ἐκείνων δ' οὖν καὶ τῶν ἐπιλοίπων ἄχρι πόῤῥω βουλευόμενοι νυκτῶν, ἐδόκει βασιλεῖ τε πρῶτον, ἔπειτα καὶ τοῖς ἄλλοις ἅπασι μὴ μένειν, ἀλλὰ τὸν κουφότερον τῶν κινδύνων προτιμᾷν καὶ παριόντας τὸν Ἀξειὸν ἄχρις ἂν ἐξῇ, πόρον ζητεῖν ᾗ διαβατὸς ἔσται, βέλτιον λογισαμένους αὖθις Τριβαλοῖς περιτυχεῖν, οὓς ἴσως ἂν καὶ δύναιντο τρόπῳ δή τινι ἀποσκευάζεσθαι, ἢ Ῥωμαίοις καὶ βαρβάροις τοῖς συμμάχοις. τοῖς μὲν οὖν ἐδέδοκτο τοιαῦτα. νθ'. [20]

2 360 Ἔξω δὲ τῆς σκηνῆς προσελθών τις ἐκ τῆς κατὰ τὴν περαίαν Ἀξειοῦ κώμης καταντικρὺ οὗ ηὐλίζοντο, ἔνθα καὶ ἡ Τριβαλῶν διενυκτέρευε στρατιὰ, Γαυρόβου προσαγορευομένης, ἐδεῖτο βασιλεῖ συντυχεῖν, ὡς περί τινων ἀναγκαίων διαλεξόμενος. ἐπεὶ δὲ εἰσήγετο πρὸς βασιλέα,

πρῶτα μὲν ἀρχαίας τινὸς εὐεργεσίας χάριτας ὀφείλειν ὡμολόγει βασιλεῖ, ἔπειτα ἐμήνυεν, ὡς ἡ στρατιὰ Τριβαλῶν, ἧς ἡγεῖται Μποζίκης τις προσαγορευόμενος καὶ Στέφανος δεύτερος, ἐκ πεζῶν καὶ ἱππέων ἠθροισμένη, πεμφθείη μὲν παρὰ Κράλη ἐπὶ τῷ βλάπτειν βασιλέα, ὅσα δύναιτο. αὐτοὶ δὲ οὕτως εἶναι παρεσκευασμένοι, ὡς, εἰ ἀκατίοις χρῷτο ἡ βασιλέως στρατιὰ πρὸς τὴν διάβασιν, τοῖς πρώτως διαβᾶσιν ἐπιτίθεσθαι καὶ διαφθείρειν· ἔπειτα ἀνείργοντας τοὺς ἄλλους πρὸς τὸν πόρον, αὐτοὺς μὲν διαμένειν ἀπαθεῖς κακῶν· βασιλέα δὲ μετὰ τῶν συνόντων ὑπὸ τῆς ἐκ Θεσσαλονίκης στρατιᾶς διαφθείρεσθαι ῥᾳδίως εὐεπιχείρητον γενόμενον. τὴν μὲν οὖν ἐπιβουλὴν οὕτως ἔφασκεν εἶναι συνεσκευασμένην παρὰ Τριβαλῶν, αὐτὸν δὲ εἰδέναι πόρον ἀγνοούμενον τοῖς πολλοῖς, ᾗ διαβατὸς ὁ ποταμὸς ῥᾳδίως ἔσται· ὃν ἔφασκεν ὑποδείξειν χάριν βασιλεῖ κατατιθέμενος. ἐπαινέσας δὲ ὁ βασιλεὺς τὸν ἄνθρωπον καὶ ἐπαγγειλάμενος εὖ ποιήσειν, ἐπεὶ καὶ ἡ ἡμέρα ἤδη διεφαίνετο, ἄραντες ἐκ τοῦ στρατοπέδου, διῄεσαν τοῦ ποταμοῦ τὴν ὄχθην, οἷ ὁ ἄνθρωπος ἡγεῖτο. ὁμοίως δὲ καὶ οἱ Τριβαλοὶ ἐκ τῆς περαίας ἀντιπαρήρχοντο καὶ αὐτοὶ τὸν ποταμόν. [20]

2 361 ἐπεὶ δὲ εἰς τὸν πόρον ἦλθον, Τριβαλοὶ μὲν ἐκ τῆς περαίας παρετάσσοντο ὡς κωλύσοντες καὶ βέλεσιν ἐχρῶντο πόῤῥωθεν. βασιλεὺς δὲ μετὰ τῶν ἀρίστων ὁρμῇ χρησάμενοι παραβόλῳ καὶ σωμάτων ἀφειδήσαντες, διέβαινον βαλλόμενοι καὶ κωλυόμενοι, ὡς ἐνῆν, ὑπὸ τῶν Τριβαλῶν. διαβάντας δὲ ὑπέμειναν οὐδ’ ἐπὶ μικρὸν, ἀλλ’ ἔφευγον τραπόμενοι κατὰ κράτος. βασιλεὺς δὲ οὔτ’ ἐπιδιώκειν εἴα, οὔτε ἀποκτείνειν, ἄγνοιαν τῆς ἐπιβουλῆς ὑποκρινάμενος. ἐβούλετο γὰρ μηδεμίαν Κράλῃ πρὸς τὸν πόλεμον πρόφασιν παρέχειν. ἡ δὲ ἄλλη στρατιὰ διέβαινε κατὰ σχολὴν μηδὲν ζημιωθεῖσα. βασιλεὺς δὲ φιλοτίμως ἀμειψάμενος τὸν ἡγησάμενον πρὸς τὸν πόρον, πρὸς Βέῤῥοιαν ἐπανῄει, πολλὰς αὐτοῦ τε καὶ τῆς στρατιᾶς τῆς σωτηρίας θεῷ χάριτας ὁμολογῶν· ἐν χρῷ γὰρ εἴπερ ποτὲ κατέστησαν κινδύνου. τῆς αὐτῆς δὲ ἡμέρας καὶ ἡ ἐκ Θρᾴκης καὶ Μακεδονίας στρατιὰ ἅμα τοῖς ἐκ τῶν τριηρέων ὁπλίταις καὶ ψιλοῖς καὶ Πέρσαις τοῖς συμμάχοις πρὸς Ἄξιὸν ἦκον ἐπὶ βασιλέα. πυθόμενοι δὲ, ὡς διαβὰς πρὸς Βέῤῥοιαν ἐπανέλθοι, ὑπέστρεφον εἰς Θεσσαλονίκην ἀνιώμενοι, ὅτι ὑστερήσειαν. βασιλεύς τε τότε μᾶλλον ἀκριβέστερον συνεώρα τὴν περὶ αὐτὸν πρόνοιαν τοῦ θεοῦ. ἐπεὶ δὲ ἐγένετο ἐν Βεῤῥοίᾳ, Γερμανοὺς τῆς εἰς αὐτὸν εὐνοίας ἀμειψάμενος εὐεργεσίαις, ἀπέπεμπεν εἰς Κράλην καὶ τοὺς περὶ τὴν διάβασιν Ἀξιοῦ κωλύοντας προσήγγελλεν ὡς ἀδικήσαντας καὶ παρὰ τὰς σπονδὰς καὶ τοὺς ὅρκους αὐτῶν τοὺς εἰς ἀλλήλους εἰργασμένους. [20]

2 362 Κράλης δὲ οὔπω φανερῶς ἐξενηνεγμένος πρὸς τὸν πόλεμον, θέλων βασιλέα θεραπεύειν, ἐπεὶ μὴ διὰ τῆς ἐπιβουλῆς ἐξεγένετο διαφθείρειν, Μποζίκην καὶ Στέφανον τοὺς ἡγουμένους τῆς στρατιᾶς ἔπεμπε πρὸς βασιλέα, ὡς δίκας τῆς ἀγνωμοσύνης δώσοντας, ὅτι βασιλεῖ τῷ φίλῳ, αὐτοῦ μὴ συνειδότος, πολεμοῖεν, καὶ ἐπέτρεπε βασιλεῖ τὴν ψῆφον τὴν κατ’ αὐτῶν, ὡς δικαίως πᾶν ὁτιοῦν καταψηφισομένῳ. βασιλεὺς δὲ αὐτοῖς τὴν ἀγνωμοσύνην ὀνειδίσας καὶ ὡς ἄδικά τε ὁμοῦ καὶ ἀνάξια τῆς Κράλη πρὸς αὐτὸν τολμήσαιεν φιλίας, ἔπειτα συγγνώμην τε παρείχετο καὶ ἀπέλυεν, εὖ ποιήσας. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ, ἐπεὶ τῆς μάχης τε ὑστέρει καὶ πρὸς Βέῤῥοιαν ἐλθεῖν ἐπὶ βασιλέα ἦν ἀδύνατος, Κράλην μὲν, πολλὰ τὰ μὲν πέμπων δῶρα, τὰ δὲ ὑπισχνούμενος, ἐκπολεμοῦν ἐκείνῳ ἐπεχείρει, καὶ οἴκοθεν ἤδη πρὸς τοῦτο ὡρμημένον· πρὸς βασιλέα δὲ Συναδηνόν τινα πέμψας ὄνομα, ὅρκοις τοῖς φρικωδεστάτοις διεβεβαιοῦτο, μηδεμίαν ἔχειν πρὸς αὐτὸν ἀπέχθειαν, μηδὲ ὅ,τι φέρει πρὸς αὐτὸν φθορὰν μήτε βούλεσθαι, μήτε ζητεῖν ἐκ τρόπου παντὸς, ἀλλὰ φορᾷ τινι τῶν πραγμάτων καὶ αὐτὸν συνενεχθῆναι πρὸς τὸν πόλεμον. τῶν πραγμάτων δὲ εἰς τοῦτο νῦν ἡκόντων, μαθεῖν ἐθέλειν ὅ,τι βούλοιτο περὶ ἑαυτοῦ, ἢ πρὸς ὅ,τι τρέπεσθαι ἐσκέψατο. βασιλεὺς δὲ αὐτὸν τῆς ἀναιδείας ἐκπλαγεὶς, τοιαύτην ἐποιεῖτο τὴν ἀπολογίαν πρὸς τοὺς λόγους. „τὸ μὲν ὅρκοις, ὦ παρακοιμώμενε, πείθειν περὶ πράγματος ὁτουοῦν, οὐ τοῦ παρόντος καιροῦ. [20]

2 363 ἦν γάρ ποτε χρόνος, ὅτ' ἐγὼ πολλὴν περὶ σὲ τὴν εὐμένειαν ἐπιδεικνύμενος, καὶ μὴ μόνον τοῖς δι' ὅρκων γινομένοις λόγοις, ἀλλὰ καὶ τοῖς χωρὶς τούτων θαῤῥῶν, ἐλάνθανον ἀκονῶν κατ' ἐμαυτοῦ καὶ ῥοπὴν μεγάλην προστιθεὶς τῷ μέλλοντι τῇ δυνάμει χρῆσθαι κατὰ τοῦ πολλὰ εὐηργετηκότος· καίτοι γε καὶ κατ' ἐκείνους τοὺς καιροὺς οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρὶς ἐπιορκῶν ἑάλως καὶ δεινὰ συσκευαζόμενος κατὰ τοῦ καὶ βλέμματι μόνῳ δυναμένου τῆς μοχθηρίας κολάζεσθαι ἀξίως. ἐξ ὅτου δὲ καιροῦ τυχὼν ἐπιτηδείου, καὶ πάντα καὶ θεοῦ φόβον καὶ ἀνθρωπίνην ἀπέῤῥιψας αἰδῶ καὶ πολλὰς πλασάμενος διαβολὰς, τὸν πόλεμον τουτονὶ κεκίνηκας τὸν πολλῶν αἴτιον κακῶν νῦν τε ἄχρι γεγενημένον καὶ ἔτι πλειόνων ἐσόμενον καὶ δεινοτέρων, ὡς ὁρῶ, οὐκ ἔστιν ὅτῳ κέχρησαι μᾶλλον, ἢ ψεύδει καὶ ἐπιορκίαις, αἷς καὶ τῶν συνετωτέρων ἐξηπάτησας πολλοὺς καὶ σοὶ παρέπεισας προσέχειν τῆς ἀληθείας ἀποστάντας, οὓς καλῶς ποιῶν τῆς τε σοὶ προσούσης πονηρίας καὶ τῆς ἐκείνοις ἀβελτηρίας ἀξιώτατα ἡμείψω. ὅτι δὲ οὔτε πρὸς ἀπέχθειαν ἐμοὶ, οὔτε πρὸς τὸ κακῶς παθεῖν ἢ καὶ ἀποθανεῖν, εἰ οἷόντε, πάντα καὶ διανοῇ καὶ πράττεις, οὐκ οἶδα εἴτ' αὐτὸς εἰς τοσοῦτον ἀναισθησίας ἥκεις, ὡς μετὰ τοσαύτας ἐναργεῖς τῶν πραγμάτων ἀποδείξεις, δι' ὧν ἐμοὶ πολεμιώτατος ἐφάνης, οἴεσθαι καὶ μέτριός τις εἶναι καὶ ἐπιεικὴς, εἴτε τοσαύτῃ νομίζεις κεχρῆσθαι πονηρίᾳ καὶ ὀφθαλμῶν ἀπάταις καὶ φενακισμοῖς, ὡς πάντας οἴεσθαι λανθάνειν τοσαῦτα καὶ τηλικαῦτα κακουργῶν. [20]

2 364 περὶ μὲν δὴ τῶν τοιούτων ἔστι δικαστήριον ἕτερον καὶ κριτὴς ἀδέκαστος καὶ φοβερὸς καὶ μάρτυρες ἄγγελοι, πάντα τὰ πραττόμενα ἀνθρώποις εἰδότες φανερῶς, κἂν μυρίοις τοίχοις ἢ παραπετάσμασιν ἢ ζόφῳ σκοτεινῷ ἢ βαθείᾳ περικαλύπτωνται ὁμίχλῃ, ἐφ' ὧν ὑπὲρ τῶν πρὸς ἀλλήλους δικασόμεθα ἀδικημάτων. ἐκεῖνο δέ μοι τῆς θαυμαστῆς σου στρατηγίας ἔπεισι γελᾶν, ὅτι πάντας καὶ τοὺς πάλαι βεβοημένους ἐπὶ στρατηγίαις παριὼν καινήν τινα καὶ θαυμασίαν καὶ σοὶ προσήκουσαν ἐπίνοιαν ἐξεῦρες, δι' ἧς σοι τῶν πολεμίων ὀλίγα πονήσαντι κρατεῖν ἐξέσται, ἣν εἰ Σκηπίων Ἀφρικανὸς καὶ Πομπήϊος ὁ μάγνος καὶ Σύλλας καὶ εἴ τις ἄλλος ὑμνεῖται στρατηγὸς ᾔδεσαν Ῥωμαίων, οὐκ ἂν ἐκόπτοντο τοσαῦτα καὶ πολλοὺς ὑπέμενον πόνους καὶ κινδύνους, ἔθνη μεγάλα καὶ πολυάνθρωπα καταδουλούμενοι. εἰ γὰρ ἐξέσται σοι τὴν διάνοιαν τῶν πολεμίων ἐξ αὐτῶν καταμανθάνειν, αὐτός τε ἀήττητος μέχρι παντὸς διαμενεῖς καὶ τὴν Ῥωμαίων βασιλείαν οὐκ ἐν πολλῷ τῷ χρόνῳ μεγάλην τινὰ καὶ θαυμασίαν ἀποδείξεις, ὥσπερ δὴ καὶ ποιεῖς. ἔδει μὲν οὖν πρὸς τοσαύτην ἄνοιαν μηδένα ποιεῖσθαι λόγον. ἐγὼ δέ σοι τὴν ἀρχαίαν τάξιν τηρῶν καὶ χαριζόμενος ἐν πᾶσιν, εἰ μέλλοιμι καὶ αὖθις τῆς εὐεργεσίας ἀμοιβὰς ταῖς πρότερον ὁμοίας δέχεσθαι, τὴν ἐμὴν διάνοιαν ποιήσω φανεράν. [20]

2 365 ἐγὼ νομίζω οὐδὲν εἶναί σοι σπουδαιότερον καὶ λόγου ἀξιώτερον πολλοῦ, ἢ τοῦ πρὸς ἐμὲ πολέμου. τριῶν δὲ ὄντων, οἷς ἄν τις ἐπιχειρήσειε, τούτων οὐδὲν οἴομαι σοὶ λυσιτελεῖν. ἢ γὰρ εἰς Βυζάντιον ἀνάγκη ἀναστρέφειν, ἢ μένειν ἐν Θεσσαλονίκῃ, ἢ ἥκειν πρὸς ἐμὲ μαχούμενον. τοῦ μὲν οὖν τοσαῦτα χρήματα ἀναλωκότα καὶ πολλὰ φυσήσαντα καὶ νεανιευσάμενον καὶ τὴν Ῥωμαίων πᾶσαν ἡγεμονίαν συγκυκήσαντα παρὰ τοσοῦτον ἐγγὺς ἐλθεῖν τῶν πολεμίων, ἔπειτα ὥσπερ ἐπιλαθόμενον τῶν κόμπων τῶν προτέρων, κεναῖς ἐπανέρχεσθαι χερσὶ, μηδὲ θέαν γοῦν τῶν πολεμίων ὑπομείναντα, καὶ ταῦτα στρατιὰν ἄγοντα πολλὴν καὶ ἀγαθὴν καὶ τῶν πολεμίων πολλαπλασίω, οὐδὲν ἂν εἴη καταγελαστότερον, οὐδὲ μᾶλλον ἀδοξίαν οὐ Ῥωμαίοις οἷσον, (ἐκεῖνοι γὰρ ἀεὶ γενναῖοι πρὸς τὰς μάχας καὶ τόλμης καὶ εὐψυχίας οὐδὲν ἐλλείποντες,) ἀλλὰ σοὶ τῷ στρατηγῷ. καὶ πάντες εὐθὺς τὸ Χαβρίου τοῦ τῶν Ἀθηναίων στρατηγοῦ ἐροῦσιν, ὡς φοβερώτερόν ἐστιν ἐλάφων στρατόπεδον ἡγουμένου λέοντος, ἢ λεόντων ἡγουμένου ἐλάφου. εἰ δὲ μένειν ἐν Θεσσαλονίκῃ διανοήσῃ, πρῶτον μὲν τὸ κέρδος οὐχ ὁρῶ τῆς διατριβῆς. ἔπειτα μεγάλων ἀναλωμάτων χρεία πρὸς τοσαύτην στρατιὰν, καὶ ταῦτα ναυτικὴν, ἣν ἐκ τῶν δημοσίων τρέφεσθαι ἀνάγκη. καὶ τῆς ἠπειρώτιδος δὲ στρατιᾶς τοὺς ἐκ Βυζαντίου καὶ τῆς

ἄλλης Θρᾴκης τρέφειν δεήσει μισθοφόρους τε οὐκ ὀλίγους ὄντας καὶ τοὺς ἄλλους, ἂν τῶν οἰκιῶν ἔξω χρόνον διατρίβωσι πολύν· ἢ κατεξαναστήσονταί σου, ὡς ἑκοντὶ βουλομένου διαφθείρειν, ἢ τά γε δεύτερα, ἂν μέτρια δοκιμάζωσι ποιεῖν, οἰχήσονται ἀπολιπόντες, βαλάντια κενὰ ἐπιδεικνύντες καὶ τὴν ἀπορίαν προβαλλόμενοι. [5]

2 366 οὐ μὴν δὲ, ἀλλὰ καὶ οἱ ἐκ Μακεδονίας καὶ Θεσσαλονίκης πάντες χρήματα αἰτήσουσι καὶ ἄλλας δωρεὰς, ἃς δίκαιον παρέχειν τὸν τὴν Ῥωμαίων ἄγοντα ἡγεμονίαν. πρὸς τούτοις δὲ καὶ πρὸς Κράλην πολλῶν δεήσει δώρων καὶ χρημάτων, ὥστε πείθειν πόλεμον αἴρεσθαι ἐμοί. οὐ γὰρ ἀρκέσουσιν αἱ πόλεις, ἃς προήσῃ. ἃ πάντα οἶομαι συνορῶντα, εἰ μὴ παντάπασιν ἔξω καθέστηκας φρενῶν, οὐκ ἂν ἐλέσθαι τὴν ἐπιπλεῖον ἐν Θεσσαλονίκῃ διατριβὴν, καὶ ταῦτα μηδὲν μέγα μέλλοντα κατορθοῦν. λείπεται δὴ τὸ τρίτον, παρασκευασάμενον ἥκειν ἐπ’ ἐμὲ, ὡς περὶ τῶν ὅλων διακινδυνεύσοντα. τοῦτο δ’ εὐχῆς ἔργον εἴη ἂν ἐμοὶ καὶ μάλιστα καθ’ ἡδονὴν, εἰ μόνον περὶ Βέῤῥοιαν τρεῖς ἡμέρας διατρίψεις, ἄχρις ἂν παρασκευασάμενος καὶ αὐτὸς ἀπαντήσω πρὸς τὴν μάχην. εἰ γὰρ μετὰ ταύτας τὰς ἡμέρας οὐ μαχέσομαι ἐλθὼν ἐπὶ τὸ στρατόπεδον τὸ σὸν, αἰσχύνης ἄξιος ἂν εἴην, ὃ πάσης ἄλλης ἐμοὶ βαρύτερον ζημίας. μόνον δέομαί σου στρατηγεῖν αὐτὸν ἐπὶ τὸν πόλεμον καὶ μὴ ἄλλους ὠθήσαντα πρὸς τοὺς κινδύνους, αὐτὸν ἔξω καθῆσθαι τῶν ἀγώνων θεατὴν, ὥσπερ οἱ τοὺς γυμνικοὺς ἀγῶνας διατιθέντες. [20]

2 367 σοὶ μὲν οὖν οὕτω πανταχόθεν περιέστηκε τὰ πράγματα στενὰ καὶ συμβέβηκέ σοι τὸ τοῦ μύθου. ἰξευτῇ γάρ φασί τινι στρουθίου κεκρατηκότι, φωνῇ χρησάμενον τὸ στρουθίον ἀνθρωπίνῃ, προσειπεῖν, ὡς ἄρα πέπρωται αὐτῷ, δήσαντι μὲν καὶ κατέχοντι, τὸν παῖδα ἀποθνήσκειν, ἀπολελυκότι δὲ, τὴν γυναῖκα, ἀβουλίᾳ δὲ τῇ μεγίστῃ χρησαμένῳ καὶ κτείναντι, αὐτὸν αὐτίκα ἀποθνήσκειν. τὸν ἰξευτὴν δὲ τὴν πανταχόθεν ἀπορίαν συνιδόντα, μέγα ἀνοιμῶξαι καὶ τὴν ἡμέραν ἐκείνην ἐπαράσασθαι, ἐν ᾗ τὸ στρουθίον εἶλεν, ὡς μεγάλων αἴτιον αὐτῷ συμφορῶν γεγενημένην. τοῦτο δ’ οἶμαι τὸν συντεθεικότα τὸν μῦθον διὰ τούτου βούλεσθαι δηλοῦν, ὡς πολλοὶ τῶν ἀνθρώπων, ἐκ τοῦ μείζοσιν ἢ καθ’ ἑαυτοὺς πράγμασιν ἐπιχειρεῖν, ἀκουσίοις καὶ μεγάλαις περιπίπτουσιν ἀνάγκαις· αἳ καὶ σοὶ μάλιστα συνέβησαν ἐκ τοῦ τοιούτου. ἐμοὶ δὲ τοὐναντίον ἅπαν πάντα εὔπορα καθέστηκεν. ἄν τε γὰρ πρὸς Βυζάντιον ἐπανίῃς, σοῦ κατόπιν καὶ αὐτὸς ἐπ’ ἐκεῖνο βαδιοῦμαι· ἄν τε μένῃς ἐν Θεσσαλονίκῃ, οὐδεμία τις ἔμοιγε ἔσεται βλάβη ἡ ἀπορία, τῆς ἐμοὶ συνούσης στρατιᾶς ἐν οἰκίαις διαγούσης καὶ τρεφομένης ἐκ τῶν προσόδων, ἃς ἐτησίους ἔχουσιν. εἰ δὲ καὶ εἰς χεῖρας ἐμοὶ ἰέναι σοὶ φίλον, κἀμοὶ φίλτερον οὐδὲν ἔσται, οὐδὲ μᾶλλον αἱρετὸν, μόνον εἰ αὐτὸς στρατηγοίης πρὸς τὸν πόλεμον. σὺ μὲν οὖν ὅ,τι διανοοῦμαι πράττειν ἤρου περὶ ἐμαυτοῦ· ἐγὼ δέ σοι καὶ ἃ σὲ δίκαιον ποιεῖν προσέθηκα, μᾶλλον δὲ ἀναγκαῖον. τούτων γὰρ χωρὶς οὐδὲν ἕτερον ἐξέσται πράττειν. [20]

2 368 “ τοιαῦτα μὲν ὁ βασιλεὺς πρὸς τὴν ἐρώτησιν ἐκείνου ἀπεκρίνατο. ξ′. Δοὺξ δὲ ὁ μέγας ἐπεὶ πύθοιτο παρὰ Συναδηνοῦ τὰ εἰρημένα, ἐδυσχέρανε μὲν ἐπιπολὺ, τὴν ἀπορίαν ἤδη καὶ αὐτὸς τὴν πανταχόθεν συνορῶν· ὅμως τῶν περὶ αὐτὸν τοὺς μάλιστα ἐν λόγῳ συναγαγὼν καὶ πάντα ἔκφορα θέμενος, ὅσα ὁ βασιλεὺς διαλεχθείη, ἐπέτρεπεν ἕκαστον ὅ,τι ἂν δοκῇ συνοίσειν λέγειν. οἱ μὲν οὖν ἄλλοι, καὶ πρὶν Καντακουζηνὸν, ἔφασαν, τοιαῦτα εἰρηκέναι, αὐτοὺς πρὸς ἀλλήλους περὶ ὧν πράττειν δέον νυνὶ βουλευομένους, πρὸς τὴν ἴσην ἀπορίαν πανταχόθεν ἄγεσθαι. πολλῶν γὰρ ἀναλωμάτων χρεία πρὸς τοσαύτην στρατιὰν καὶ οὕτω πολυδάπανον, εἰ μέλλοιμεν ἐνταῦθα διακαρτερεῖν· πρὸς ἃ οὐκ ἐξαρκέσειν τὰ κοινὰ ἡμῖν χρήματα οἰόμεθα. Μονομάχος δὲ ὁ μέγας κονοσταῦλος, συνέσει τε τῶν ἄλλων ὑπερέχων καὶ πρὸς στρατηγίας οὐδενὸς λειπόμενος τῶν τότε, καὶ διὰ ταῦτα καὶ παρὰ βασιλέως Ἀνδρονίκου πολλῆς ἀπολαύων εὐμενείας καὶ πόλεων διοικήσεις καὶ στρατοπέδων ἡγεμονίας πιστευόμενος ἀεὶ, „τὸ κολακείαισ“ εἶπε „καὶ ἀπάταις χρῆσθαι καὶ ἕτερα μὲν φρονεῖν περὶ τῶν πραγμάτων, ἄλλα δὲ λέγειν, χαριζόμενον τοῖς ἄρχουσιν, οὐ μόνον ἀγεννῶν καὶ ἀνελευθέρων εἶναι νενόμικα ἀνθρώπων, ἀλλὰ καὶ τοῖς

πράγμασι τὰ ἔσχατα λυμαίνεσθαι. πολλοὶ γοῦν Ῥωμαίων καὶ βασιλεῖς καὶ στρατηγοὶ πολλοῖς καὶ μεγάλοις συνεσχέθησαν δεινοῖς διὰ τὴν νόσον ταύτην καὶ τῷ ὑπηκόῳ προσδιέφθειραν καὶ ἑαυτούς. [20]

2 369 ὅτε τοίνυν οὕτω δεινὴ ἡ ἐκ τῆς κολακείας βλάβη, δέον αὐτὴν καὶ ἡμᾶς ἀποθεμένους, ἄνευ τινὸς περικαλύμματος, ἃ σφίσι τε αὐτοῖς καὶ τοῖς ἄλλοις ἅπασι Ῥωμαίοις οἰόμεθα συμφέρειν λέγειν. εἰ δέ τις ἐκ τῶν λόγων ἕψεται ἀνία, οὐ χρὴ τοῖς λόγοις προσλογίζεσθαι, οὐδὲ τῇ γνώμῃ τοῦ εἰπόντος, ἀλλ' αὐτῇ τῇ φύσει τῶν πραγμάτων. οὐ γὰρ τὰ πράγματα πέφυκε γίνεσθαι οἷοίπερ οἱ λόγοι, ἀλλὰ τῇ τῶν πραγμάτων φύσει ἐξ ἀνάγκης καὶ οἱ λόγοι συνεξομοιοῦνται. εἰ γὰρ ἐξῆν, πρὸς ἡδονὴν τῶν λόγων γινομένων, καὶ τὰ πράγματα συμμεταβάλλεσθαι, οὐδὲν ἂν ἦν ἀνοητότερον τοῦ μὴ τοῦτον τὸν τρόπον αἱρουμένου συμβουλεύειν. νυνὶ δὲ, ὡς ὁρῶμεν, οὐ μικρά τις ἡ ζημία ταύτης τῆς ἡδονῆς, ἀλλὰ θάνατος τῶν ἑλομένων. τοῦ πολέμου τοίνυν τοῦ ἐμφυλίου τούτου κεκινημένου, δύναμιν μεγάλην περιβεβλημένος ὁ Καντακουζηνὸς ἐνθάδε ἦκεν εὐθὺς ἐξαρχῆς, πρὸς ἣν οὐδὲ ἀντιβλέπειν σύμπαντες ἠδυνήθημεν ἡμεῖς. ἐν Γυναικοκάστρῳ δὲ τῆς περὶ αὐτὸν συμβάσης ἀποστασίας καὶ τοιαύτης περισχούσης κακοπραγίας, οἵα καὶ τὸν μάλιστα καρτερικώτατον ἐθορύβησεν ἂν δικαίως, ἐκεῖνος οὐκ ἀπεῖπε πρὸς τὴν συμφορὰν οὐδὲ ἐνέδωκεν, ἀλλ' ἅμα τοῖς περιλειφθεῖσιν ἀπεχώρει πρὸς Τριβαλοὺς συντεταγμένος, ὥσπερ μηδενὸς καινοῦ γεγενημένου, ἡμῶν μάλιστα ἐπικειμένων καὶ θορυβούντων μετὰ τὴν τοσαύτην ταραχὴν καὶ τοῦ περὶ αὐτὸν στρατοπέδου τὴν διχοστασίαν. [25]

2 370 ἐπεὶ δὲ ἐγένετο ἐν Τριβαλοῖς, οὕτω πάντας ἐξήρτησεν ἑαυτοῦ καὶ τοσαύτην ἐπεδείξαντο τὴν εὔνοιαν οἱ δυνατοὶ τῶν Τριβαλῶν, ὡς δοκεῖν οὐκ ἔπηλυν εἶναι καὶ συμφοραῖς χρησάμενον πρὸς αὐτοὺς καταφυγεῖν, ἀλλ' ἐκ πατρῴου κλήρου τὴν ἀρχὴν αὐτῷ προσήκειν ἐκείνων, καὶ πάντες ὡς δεσπότῃ προσεῖχον καὶ πάντα ἔπραττον ὑπὲρ αὐτοῦ. δῆλον δέ· καὶ γὰρ ἡμῶν πρεσβείαν καὶ ἄπαξ καὶ δὶς πρὸς αὐτοὺς πεποιημένων καὶ πολλῶν παραχωρούντων πόλεων ὑπὲρ τοῦ τοῦτον διαφθείρειν, οὐκ ἐδέξαντο, ἀλλ' ὥσπερ ἐκ συνθήματος κοινοῦ τὴν ἐκείνου σωτηρίαν τοῦ τὴν σφετέραν αὔξειν ἀρχὴν προείλοντο. νυνί τε ὀλίγῳ πρότερον, ἐπεὶ Βερρόιῶται εἰσεδέξαντο, οὕτως ἠύξητο ἐν χρόνῳ βραχεῖ, ὥστ' εἰ μὴ σὺ ἐπικαιρότατα ἐγένου πρὸς ἡμᾶς καὶ τὴν φορὰν ἀνέστειλας τῆς εὐτυχίας, πολλῶν ἂν ἦν κύριος πόλεων ἄχρι νῦν. αἱ γὰρ κατὰ τὴν ἑσπέραν πᾶσαι μάλιστα αὐτῷ προσέχουσι, καὶ νῦν μὲν Θετταλία τέ ἐστιν αὐτῷ ὑπήκοος καὶ αἱ περὶ Βέρροιαν πολίχναι καὶ τὰ φρούρια. ἂν δ' αὐτὸς ὑπ' ἀνάγκης ἀναχωρήσῃς, (μένειν γὰρ ἡ δαπάνη οὐκ ἐάσει ἐπιπλεῖστον,) Ἀκαρνανία ῥᾷστα προσχωρήσει καὶ ἡ ἄλλη ἤπειρος. πάλαι γὰρ προσδέχονται αὐτοῦ τὴν ἄφιξιν, καὶ πολλὴν αἱ περὶ αὐτὸν ἐνδείκνυνται τὴν εὔνοιαν, ὥσπερ οἶδα σαφῶς αὐτὸς πολὺν παρ' ἐκείνοις διατρίψας χρόνον. εἴτε μὲν οὖν ἐκείνῳ προσχωρήσαιεν καὶ μὴ Τριβαλοῖς, (δυοῖν γὰρ θάτερον ἀνάγκη,) καὶ ὑπ' ἐκείνῳ μὲν γεγενημέναι ὑπὸ τὴν Ῥωμαίων αὖθις τελέσουσιν ἡγεμονίαν· ἂν δὲ Κράλης αὐτὰς ὑποποιήσηται, τῷ μεγίστῳ μέρει ἡ Ῥωμαίων ἀρχὴ ἐλάττων ἔσται ἑαυτῆς. [20]

2 371 ὅμως εἰ καὶ τοῦτο γένοιτο, τὸ βέλτιστον δοκοῦν, ἀλυσιτελέστατον ἡμῖν φανεῖται. μέγας γὰρ ἤδη γεγενημένος καὶ πολλὴν ἐκεῖθεν ἄγων δύναμιν, οὐ μόνον Μακεδονίας ἔσται ἄρχων ἐν ὀλίγῳ, ἀλλὰ δέδοικα, μὴ καὶ ἡμῖν ἐπέλθῃ φοβερός. πολλοὶ γὰρ τῶν δοκούντων εὔνων εἶναι βασιλίδι νῦν, ἐκείνῳ προσχωρήσουσι. στρατιᾶς τε γὰρ τὸ πλεῖστον καὶ οἱ ἄλλοι τῶν Ῥωμαίων ἄριστοι ἐκείνῳ μάλιστα προσέχουσιν, ὥσπερ ἀγνοοῦμεν οὐδ' αὐτοί. ἃ προσήκειν οἶομαι σκοπεῖν καὶ μὴ περιμένειν τὴν ἀνάγκην, ἀλλὰ διαλέγεσθαι αὐτῷ περὶ εἰρήνης καὶ τὸν πόλεμον καταλύειν. νῦν μὲν γὰρ ἔτι τῶν πραγμάτων ἐπαμφοτεριζόντων καὶ ἀδήλου τοῦ μέλλοντος ὄντος ἑκατέροις, πεισθήσεται ῥᾳδίως, καίτοι καὶ πρότερον, ὡς ἀκούω, πρὸς τοῦτο καὶ οἴκοθεν κεκινημένος. ἂν δὲ δύναμίν τινα προσλάβηται καὶ ἐν ἐλπίσι γένηται τοῦ πάντως περιέσεσθαι

ἐν τῷ πολέμῳ, δέδοικα, μὴ ξητοῦντες τότε τὴν εἰρήνην, ἀνήνυτα πονῶμεν καὶ σφίσι τε αὐτοῖς μεγάλων αἴτιοι κινδύνων καὶ τοῖς ἄλλοις φαινώμεθα Ῥωμαίοις. ἄν τε γὰρ ἡμῶν περιγένηται πάντων αὐτῷ προσχωρησάντων, πρὸς τῷ αἰσχρῷ καὶ κίνδυνον οὐ τὸν τυχόντα ἔχει· ἄν τε πρὸς τὸν πόλεμον ἀντίσχωμεν, μεγάλας ὑποστήσονται συμφορὰς αἱ πόλεις ὑφ' ἑκατέρων πολιορκούμεναι καὶ ἐξανδραποδιζόμεναι καὶ τὰ ἔσχατα ὑπομένουσαι, καὶ ἡ Ῥωμαίων ἀρχὴ αὐτὴ ἑαυτῇ περιπεσεῖται καὶ διαφθαρήσεται ὑπ' ἀνονήτου φιλονεικίας. [20]

2 372 εἰ μὲν οὖν παρὰ βασιλίδος καὶ πατριάρχου καὶ τῶν ἄλλων, ὅσοι τῶν πραγμάτων ἄρχουσιν, ἀνυπεύθυνον ἔχεις τὴν ἀρχὴν καὶ πρὸς τὰ φαινόμενα λυσιτελεῖν ἔξεστι βουλεύεσθαι, πρεσβείαν ἤδη πρὸς ἐκεῖνον ποιοῦ περὶ εἰρήνης καὶ μηδέν σε θορυβείτω. βέλτιστά τε γὰρ ὁμοῦ καὶ λυσιτελέστατα καὶ βασιλίδι καὶ πᾶσι τοῖς ἄλλοις κοινῇ βουλεύσῃ. εἰ δὲ προσκρούειν ἐκείνοις οὐκ ἐθέλεις, τὴν περὶ τῆς εἰρήνης ἣν ἔχουσι γνώμην ἀγνοῶν, ἀλλ' ἐμοὶ δέομαι τριήρη μίαν παρασχεῖν, ὡς ἂν γενόμενος ἐν Βυζαντίῳ καὶ συμβουλεύσας, ὅσα μοι δοκῶ βελτίω εἶναι, ὀλίγων εἴσω ἡμερῶν τὴν περὶ τῆς εἰρήνης ἐκείνων ψῆφον φέρων ἐπανήξω.“ Μονομάχος μὲν οὖν τοιαῦτα περὶ τῆς εἰρήνης διειλέχθη μετὰ παῤῥησίας· ἦν γὰρ ἐκ τῶν τρόπων πλείστην παρὰ πᾶσι τὴν αἰδῶ καρπούμενος, καὶ οἱ μὲν ἄλλοι οἱ παρόντες εὖ μὲν ἔφασαν ἐκεῖνον βεβουλεῦσθαι, καὶ ἐπείθοντο· τὴν δὲ τοῦ δέχεσθαι ἢ μὴ τὴν εἰρήνην δύναμιν τῷ μεγάλῳ ἀνετίθεσαν δουκί. ἐκεῖνος δὲ ἦθος μόνον τοὺς λόγους ἀποσειομένου δείξας καὶ, ποία τις ἂν εἰρήνη γένοιτο πρὸς Καντακουζηνόν; εἰπὼν, ἄλλο δὲ μηδὲν προσθεὶς, διέλυσε τὸν σύλλογον, μηδὲν πρὸς Μονομάχον μήτε πρὸς ὀργὴν, μήτε πρὸς ὕβριν φάμενος, ὥσπερ εἰώθει πρὸς τοὺς ἄλλους, εἴ τις περὶ τοιούτων ποιοῖτο λόγους πρὸς αὐτόν. ξα′. Πρὸς Κράλην δὲ πρεσβείας ποιούμενος συχνὰς, ἔπεισε καὶ φανερῶς, χρήματα πολλὰ τὰ μὲν διδοὺς, τὰ δὲ ἐπαγγελλόμενος, πόλεμον ἄρασθαι πρὸς Καντακουζηνὸν τὸν βασιλέα. [25]

2 373 καὶ πρῶτα μὲν πρέσβεις πέμψας εἰς Βέῤῥοιαν, ὁμήρους ᾔτει τοὺς παῖδας τῶν ἀρίστων, πρόφασιν μὲν, ὡς σπουδάζων ὑπὲρ βασιλέως, μὴ παρ' ἐκείνων ἐπιβουλευθῇ, τῇ δ' ἀληθείᾳ, Βεῤῥοιώτας αὐτῷ ἐκπολεμῶσαι διανοηθεὶς, ὡς κακῶς περὶ αὐτῶν βουλευσαμένῳ καὶ τοὺς παῖδας ἰδίας ἕνεκα ὠφελείας καταπροεμένῳ Τριβαλοῖς. βασιλέως δὲ πρὸς μὲν τοὺς ὁμήρους φανερῶς ἀπαγορεύσαντος, τῆς δὲ περὶ αὐτὸν εὐνοίας καὶ προνοίας ὡμολογηκότος χάριτας πολλὰς, θαῤῥεῖν τε εἰπόντος, ὡς οὐδὲν αὐτῷ ἐκ Βεῤῥοιωτῶν ἀπαντήσει δυσχερὲς, μιᾷ γνώμῃ σπουδαζόντων ὑπὲρ αὐτοῦ καὶ πᾶσαν ἐνδεικνυμένων εὔνοιαν, ἐκεῖνος ἐτρέπετο πρὸς δευτέραν πεῖραν καὶ μετεκαλεῖτο βασιλέα πρὸς αὐτὸν, ὡς περί τινων ἀναγκαίων βουλευσόμενον μάλιστα διατρίβοντα ἐγγύς. ἔφασκε γὰρ ἐκ Παιόνων τῆς ἀρχῆς νεώτερά τινα κεκινῆσθαι, καὶ πολὺν αὐτῷ τὸν θόρυβον παρέχειν. δι' ἃ ᾠήθη ἀναγκαῖον κοινῇ σκεψαμένους, (οὐδὲ γὰρ ἑτέρῳ μᾶλλον πεποιθέναι βασιλέως διά τε τὴν προσοῦσαν εὔνοιαν καὶ τὴν περὶ τὰ τοιαῦτα σύνεσιν πολλὴν καὶ ἐμπειρίαν,) ἃ δοκεῖ λυσιτελεῖν ἑλέσθαι. βασιλέως δὲ οἱ φίλοι κρύφα τὴν ἐπιβουλὴν ἐμήνυον, (ἐβουλεύσατο γὰρ, εἰ δύναιτο συλλαμβάνειν,) καὶ παρῄνουν φυλάττεσθαι ὡς δύσνουν. βασιλεὺς δὲ, ἵνα μηδεμίαν πρόφασιν δοκῇ παρέχειν πρὸς τὸν πόλεμον, ἄγνοιαν ἁπάντων ὑπεκρίνετο. [20]

2 374 πέμψας δὲ Μανουὴλ τὸν νεώτερον τῶν υἱῶν καὶ Ἄγγελον τὸν ἀνεψιὸν, ἐδήλου, ὡς αὐτὸς ἀδύνατος εἴη τὴν πόλιν ἄρτι προσχωρήσασαν καὶ οὔπω πρὸς τὴν αὐτοῦ εὔνοιαν βεβαίως ἡδρασμένην καταλείπειν, ἄλλως τε καὶ τῶν πολεμίων ἐπικειμένων καὶ προσδοκίμων ὄντων αὐτοῖς ἐπιστρατεύσειν. τὸν υἱὸν δὲ πέμψειε καὶ τὸν ἀνεψιὸν, ἵνα δι' αὐτῶν πυθόμενος περὶ ὧν αὐτῷ δέοι συμβουλεύειν, γνώμην ἐξενέγκῃ τὴν μάλιστα αὐτῷ συνοίσουσαν. ὁ δ' ἐπεὶ βουλεύεσθαι εἶχε περὶ οὐδενὸς, (σκήψεις γὰρ καὶ προφάσεις τὰ τοιαῦτα ἦσαν καὶ τῆς ἐπιβουλῆς περικαλύμματα,) περὶ ἄλλων τινῶν αὐτοῖς διαλεχθεὶς ἥκιστα συμβαινόντων οἷς ἠξίου πρότερον, οἴκαδε ἀπέπεμπεν. ὕστερον δὲ ὀλίγῳ, ἐπεὶ ἐπιβουλεύων ἀνύειν ἠδύνατο οὐδὲν, τὸ

προσωπεῖον ἀποθέμενος, κατήγγελλε φανερῶς τὸν πόλεμον. πέμψας γὰρ πρεσβείαν πρὸς βασιλέα, τὴν πρὸς αὐτὸν εἰρήνην καὶ τὰς σπονδὰς διέλυε καὶ τοὺς ὅρκους, βασιλίδι φάσκων συμμαχήσειν, εἴ τι δύναιτο· αὐτὸν δὲ περὶ ἑαυτοῦ βουλεύεσθαι ἄττα ἂν λυσιτελεῖν δοκῇ. οἱ μὲν οὖν πολλοὶ πρὸς τὴν ἀγγελίαν τοῦ Τριβαλικοῦ πολέμου ἐθορυβοῦντο οὐ μετρίως· βασιλεὺς δὲ καὶ τῶν περὶ αὐτὸν οἱ ἄριστοι πολλὰς ὡμολόγουν χάριτας θεῷ τῆς προνοίας τῆς περὶ αὐτούς. εἰ μὴ γὰρ αὐτὸς ἄνωθεν διέσωζε χεῖρα ὑπερέχων, τί ἐκώλυε Κράληνα, ἡνίκα ἔχων ἐν χερσὶν αὐτοὺς καὶ ῥᾷστα δυνάμενος, διαφθείρειν; καίτοι γε πολλῷ πλειόνων ὑπὸ τῶν τὰ Ῥωμαίων διοικούντων καὶ χρημάτων καὶ πόλεων παρεχομένων, (ἃ γὰρ αὐτοὶ νυνὶ κατέχουσι καὶ ἔτι πολλῷ πλείω ἔχειν ἐξῆν, πολυπραγμονήσαντα μηδὲν,) τότε μὲν οὐδὲν εἴργαστο τοιοῦτον, ἀλλὰ καὶ ἅπαξ καὶ δὶς πρὸς τὴν πρεσβείαν ἀπηγόρευε τὴν παρ' αὐτῶν· νυνὶ δὲ ὅτε βλάπτειν δύναιτο μηδὲν, ἐκεῖνα πράττειν ἐπιχειρεῖ, πᾶσαν ἐπίνοιαν κινῶν, ἃ τότε θᾶττον ἢ λόγος αὐτῷ ἐξῆν ἀνύττειν. [5]

2 375 ὅθεν δῆλον εἶναι, ἔφασκον, ὡς οὐδὲ τότε τοῦ ἐκείνου ἤθους ἡ περὶ αὐτοὺς εὐγνωμοσύνη ἦν, ἀλλὰ τῆς τοῦ κρείττονος ἐπικουρίας. νυνὶ δὲ ὅτε ἐν ἀσφαλείᾳ καθέστασαν αὐτοὶ, τὴν οἰκείαν γνώμην φανερὰν ποιεῖν. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ, ἐπεὶ τὴν πρὸς βασιλέα μάχην ἀπηγόρευεν, ἀφανῶς ἐπιβουλεύειν, ὥσπερ καὶ πρότερον, ἐπεχείρει καὶ παντοίας συνέῤῥαπτεν ἐπιβουλάς. πρὸς γὰρ Βερῥοιώτας κρύφα πέμψας, ἔγραφε τοιαῦτα· ὡς εἰδείη μὲν αὐτοὺς οὐχ ἑκοντὶ προσκεχωρηκότας Καντακουζηνῷ, κοινῷ πολεμίῳ τῶν Ῥωμαίων ἀναφανέντι καὶ τῶν βασιλέως ἐπιβούλῳ παίδων· ἀλλ' ὑπὸ τοῦ Τριβαλῶν πολέμου πιεζομένους ὡσθῆναι ἐπὶ τοῦτο δι' ἀνάγκην, νομίσαντάς τι ὑπὸ τούτου ὠφελεῖσθαι διὰ τὸ Κράληνα πυνθάνεσθαι σπονδὰς ἔχειν πρὸς αὐτὸν καὶ συμμαχίαν. τοῦτο δὲ οὐδὲν ἕτερον ἦν, ἢ ἀπάτη καὶ φενακισμός. Κράλης γὰρ ἤδη φανερῶς ἡμῖν προσθέμενος, ἐκείνῳ ἔγνωκε πολεμεῖν. εἰ μὲν οὖν μεταβαλόντες τὰ κοινῇ τε πᾶσι καὶ σφίσιν αὐτοῖς λυσιτελοῦντα ἔλοισθε, (ταῦτα δέ ἐστι, κατέχειν τοῦτον καὶ τὸν κίνδυνον μὴ ἐᾷν διαδιδράσκειν· οὐ πολλῷ γὰρ ὕστερον ἀφιξόμεθα ἐπ' αὐτὸν πανστρατιᾷ,) ἄριστα βουλεύσεσθε ὑπὲρ ὑμῶν αὐτῶν· πολλῶν γὰρ ἀπολαύσετε καὶ μεγάλων τῶν παρὰ βασιλέως τε τοῦ νέου καὶ ἐμοῦ εὐεργεσιῶν. [20]

2 376 ἢν δ' ἀπειθῆτε καὶ ἐκείνῳ προστιθέμενοι ταῖς γνώμαις, γνώσεσθε πολεμεῖν ἡμῖν, εἰς τοσοῦτον ἀβουλίας ἥξετε, ὡς μετὰ πεῖραν πολλῶν ἀνιαρῶν εἴσεσθε, ὡς βέλτιον ἦν πείθεσθαι ἡμῖν, πρὶν εἰς ταῦτα ἥκειν. Βερῥοιῶται δὲ φανερὰ τῷ βασιλεῖ πρότερον ποιήσαντες τὰ γράμματα, „οὐδὲν θαυμαστὸν," ἀντέγραφον „Ἀπόκαυκε, εἰ τοῦ πολλὰ εὐηργετηκότος καὶ τρόπον τινὰ δεδημιουργηκότος καὶ αὐτὸς κατεξαναστὰς, ὥσπερ ὁ τοῦ ψεύδους πατὴρ καὶ σὸς διδάσκαλος κατὰ θεοῦ τοῦ πεποιηκότος, καὶ βλασφημίας ἀφίης κατ' αὐτοῦ πολλάς· καὶ γὰρ κἀκεῖνος κατὰ θεοῦ. οὐδὲ γὰρ κατὰ τἆλλα βασκάνου καὶ πονηροῦ δαίμονός τινος ἀποδέεις τῶν ἐξητασμένων ἐπὶ φθορᾷ, αἵμασιν ἀνθρώπων χαίρων καὶ στρεβλώσεσι καὶ τρυφὴν ποιούμενος τὰς ἑτέρων συμφοράς. ἃ μὲν οὖν γέγραφας, ἀκριβῶς ἔχεται τοῦ φίλου ψεύδους, καὶ τούτου χάριν, ὡς πολλῶν ἄξια βαράθρων, ἀπερῥίψαμεν. ἓν δὲ μόνον πεισθησόμεθα ἀκριβῶς, οὐ κατὰ τὴν σὴν διάνοιαν, ἀλλ' ὡς ἡμῖν προσήκει. βασιλέα γὰρ οὐ μόνον πάσῃ δυνάμει καθέξομεν παρ' ἑαυτοῖς, ἀλλὰ καὶ ὑπὲρ δύναμιν, εἰ οἷόντε εἰπεῖν· δεῆσαν δὲ στρατεύειν ἐφ' ὑμᾶς, καὶ αὐτοὶ συνεψόμεθα καὶ συναγωνιούμεθα προθύμως. [20]

2 377 εἰ δέ ποτε συμβαίη διαστῆναι καὶ τοῖς σώμασιν, ἀλλ' οὐ ταῖς διανοίαις καὶ τῷ βουλομένῳ τῆς ψυχῆς. ἐκείνοις γὰρ οὕτω συνεσόμεθα, ὡς καὶ νύκτωρ καὶ μεθ' ἡμέραν οὐδὲν ἄλλο μᾶλλον προὔργου ποιησόμενοι, ἢ τῆς ἐκείνου πρὸς ἡμᾶς εὐμενείας ἄξιοι φανῆναι. τῶν ἀπειλῶν δὲ τῶν σῶν τοσοῦτον ἀπέχομεν ἐπιστρέφεσθαι, ὥστ' αὐτῷ σοι παραινοῦμεν μᾶλλον τὴν ἀπὸ θεοῦ δίκην δεδοικέναι, καὶ νῦν τε μεγάλας συμφορὰς ἐκδέχεσθαι σαυτῷ τε καὶ παισὶν, οὕτως ἀδικώτατα οὐ περὶ βασιλέα μόνον, ἀλλὰ κοινῇ περὶ Ῥωμαίους καὶ διανοηθέντι καὶ πράττοντι

ἄχρι νῦν, καὶ μετὰ τελευτὴν, τὴν ἐν ᾅδου καταδίκην, ἣ λησταῖς καὶ ἀνδραποδισταῖς καὶ φονεῦσιν, οἷος σὺ, ἡτοίμασται. οὐ γὰρ ἐπιλήσεται κύριος τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλέγχους ἐν τοῖς λαοῖς. ἡμεῖς δὲ ὡς δίκαιά τε ὁμοῦ καὶ συμφέροντα πᾶσιν ᾑρημένοι, οὐχ ὅτι τιμωρίας, ἀλλὰ καὶ ἀμοιβὰς τῶν τρόπων ἐκδεχόμεθα παρὰ θεοῦ.“ τοιαῦτα μὲν ἀντέγραφον αὐτῷ οἱ Βερῥοιῶται. ἐκεῖνος δὲ ἐπεὶ τῆς πρώτης πείρας ἀπετύγχανεν, ἐτράπετο ἐπὶ δευτέραν, καὶ Ἀλουσιάνον τινὰ δεσμώτην κατεχόμενον, ὡς τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ᾑρημένον, ἀγαθὸν περὶ τοξείας ὄντα, (θήραις γὰρ ἡσχόλητο καὶ ἀκριβῶς ἐξήσκητο περὶ ταῦτα,) ἔπεισεν εὖ ποιήσειν πολλὰ ἐπαγγειλάμενος αὐτὸν καὶ γένος, εἰ βέλει τρώσειε λάθρα βασιλέα δηλητηρίῳ κεχρισμένῳ, οἷς χρῆσθαι εἴωθεν ἐπὶ θηρία. παρῄνει τε θαῤῥεῖν, ὡς ῥᾷστα καὶ σὺν οὐδενὶ πόνῳ τὸ πρᾶγμα διανύσοντα. ἤκουε γὰρ, βασιλέα Καντακουζηνὸν εἰωθέναι μάλιστα ἀρχομένης τῆς νυκτὸς ἐπί τινος ἑστάναι τόπου τὴν ἐσθῆτα ἀποδύντα, εὐφυῶς πρὸς τὸ τὴν ἀπὸ τοῦ θέρους ἀλέαν καταψύχειν ἔχοντα, ἐφ’ οὗ δύναιτ’ ἂν βάλλεσθαι ῥᾳδίως. [25]

2 378 ἃ ἐδίδασκε τὸν τοξότην ἐκεῖνον, οὐδὲ αὐτὸν τὸν τόπον ἀγνοοῦντα. ὁ δὲ τὸ ἀπολύεσθαι τῶν δεσμῶν ποιούμενος περὶ πλείστου καὶ τῶν εὐεργεσιῶν τὸ μέγεθος ἐννοῶν, ἃς αὐτῷ ἐπηγγέλλετο ὁ μέγας δοὺξ, ὑπέσχετο τὴν ἐπιχείρησιν. καὶ γενόμενος ἐν Βερῥοίᾳ, νυκτὸς ἤδη ἐπιγενομένης, παρὰ τὸν τόπον τε ἐγένετο καὶ βάλλειν ἐπεχείρει βασιλέα συνήθως ἑστῶτα καὶ τοῖς συνοῦσι προσδιαλεγόμενον· καὶ μέλλοντι ἤδη ἔργου ἔχεσθαι καὶ τείνειν τὸ τόξον, τὸ βέλος ἐξέπιπτε τῆς νευρᾶς λαθόν. ἐκεῖνος δὲ μὴ ἔχων ὅπως ἀνέλοιτο τὸ βέλος, (ἐπὶ τοῦ τείχους γὰρ τῆς πόλεως ἦν ἑστὼς, τὸ δὲ κατέπιπτεν ἐντὸς,) ἐδεδίει δὲ, μὴ φωραθείη τοιαῦτα κακουργῶν, περιμείνας ἄχρι παρελθεῖν τὸν βασιλέα, τὸ βέλος ἀνελόμενος, οἴκαδε ἀνεχώρει, γνώμην ἔχων, ὡς αὖθις εἰς τὴν ὑστεραίαν ἐπιχειρήσων. ἐπιγενομένης δὲ καὶ τῆς δευτέρας νυκτὸς, ἐκεῖνός τε αὖθις τοῖς ἴσοις ἐπεχείρει, καὶ τὸ βέλος, τῶν χειρῶν ὁμοίως ἐκπεσὸν, ἄπρακτον ἐποίει ἐπανήκειν. ἐπεὶ δὲ καὶ ἡ τρίτη ἥκει, ὁ μὲν ἐχώρει πρὸς τὸ ἔργον αὖθις καὶ σπουδὴν ἐποιεῖτο πλείστην, μὴ τὰ ἴσα ταῖς προτέραις νυξὶ παθεῖν. ἔλκοντι δὲ τὸ τόξον ἤδη ἐῤῥήγνυτο ἀθρόον ἡ νευρὰ, ὥσπερ τινὸς αὐτὴν διατεμόντος· ἦν δὲ, ὡς ἔφασκε, καινὴ ἔτι καὶ δυσπαθεστάτη. τούτου δὲ γεγενημένου, ἔννοιά τις αὐτὸν εἰσῄει, μὴ μάτην τά τε νῦν καὶ τὰ πρότερα γεγενῆσθαι, ἀλλὰ θείαν τινὰ δύναμιν εἶναι τὴν φρουροῦσαν βασιλέα, ὑφ’ ἧς σφάλλεται αὐτὸς τοιούτοις ἀνοσίοις ἔργοις ἐγχειρῶν. [20]

2 379 αὐτίκα τε τὸ βέλος ἔχων καὶ τὸ τόξον, τοῖς βασιλέως προσέπιπτε ποσὶ καὶ πάντα ὅσα συμβαίη διηγεῖτο ἀπαρχῆς, τὸ παραπεπεῖσθαι πολλαῖς ὑποσχέσεσι παρὰ μεγάλου δουκὸς, εἰ δυνηθείη ἀνελεῖν· τὸ βέλος ὡς δὶς ἐκπέσοι τῶν χειρῶν, καὶ τὰ τελευταῖα νῦν τῆς νευρᾶς τὴν ῥῆξιν, ἣν ὑποσταίη κατ’ οὐδένα λόγον. καὶ ἐδεῖτο συγγνώμης τινὸς τυχεῖν, ὡς οὐ κατὰ βασιλέως μᾶλλον, ἢ κατὰ θεοῦ χεῖρα ἄδικον κεκινηκώς. εἰ δὲ καὶ τιμωρίας ἄξιος κριθείη, πάντα οἴσειν, ὅσα ἂν βασιλεὺς ἐπιψηφίσαιτο, ὡς δίκαια. τοιαῦτα διηγουμένου τοῦ ἀνθρώπου, οἵ τε ἄλλοι οἱ παρόντες πολλὰς ἠφίεσαν φωνὰς εὐχαριστηρίους θεῷ ἐπὶ τῇ παραδόξῳ τοῦ βασιλέως σωτηρίᾳ· πολλοὶ δὲ καὶ εἰς δάκρυα φανερῶς ἐνήγοντο, εἰς ἔννοιαν ἐρχόμενοι τῆς δικαιοκρισίας τοῦ θεοῦ, καὶ ὡς οὐδὲν τῶν ὄντων λέληθε τὴν πρόνοιαν αὐτοῦ. καὶ βασιλεὺς αὐτὸς μετὰ στεναγμῶν ὡμολόγει χάριτας πολλὰς θεῷ, ὅτι οὕτω φιλανθρώπως ῥύεται ἐκ τῶν ἀδίκως ἐπιβουλευόντων· τὸν δὲ ἄνθρωπον οὐ συγγνώμης ἠξίου μόνον, ἀλλὰ καὶ δωρεῶν πολλῶν, ὅτι μὴ συνέκρυπτε τὰ τοῦ θεοῦ παράδοξα, φθονήσας τοῖς πολλοῖς τῆς ὠφελείας. ξβ′. Δοὺξ δὲ ὁ μέγας ἐπεὶ μάθοι καὶ ταύτην ἐσκαιωρημένην τὴν ἐπιβουλὴν εἰκῆ, ἐβουλεύετο μετὰ τῶν συνόντων, ὅ,τι δέοι πράττειν. [20]

2 380 Μονομάχος δὲ ὁ μέγας κονοσταῦλος, ἐπεὶ πρότερον περὶ εἰρήνης πολλὰ διαλεχθεὶς, ἔγνω μὴ καθ’ ἡδονὴν τοὺς λόγους δουκὶ τῷ μεγάλῳ γεγενῆσθαι, περὶ εἰρήνης μὲν τὸ δεύτερον οὐδὲ ἐπεμνήσθη, συνεβούλευε δὲ, ἢ καθημένους ἐν Θεσσαλονίκῃ κρύφα διαλέγεσθαι καὶ

διαφθείρειν τοὺς συνόντας βασιλεῖ, ἐφ' οἷς πολλοῦ τε χρόνου καὶ μεγάλων δεήσονται ἀναλωμάτων, ἢ εἰ ταῦτα δυσχερῆ διὰ τὴν ἔνδειαν τῶν χρημάτων, παρασκευασαμένους ἰέναι ἐπ' ἐκεῖνον, ὡς ἐν ταύτῃ τῇ μάχῃ περὶ τῶν ὅλων διαγωνισομένους πρὸς αὐτόν. ἐκεῖνον γὰρ εἰδέναι οὐκ ἂν ἀποστησόμενον τῆς μάχης, οὐδὲ ὑπομενοῦντα τειχῶν ἐντὸς πολιορκεῖσθαι, κἂν εἰδείη καὶ σαφέστατα ἐκείνην τὴν ἡμέραν μαχόμενος πεσεῖσθαι, μάλιστα ἐπαγγειλάμενον μετὰ τρίτην ἡμέραν ἐπὶ τὸ ἡμέτερον ἥξειν στρατόπεδον μαχούμενον. οἱ μὲν οὖν ἄλλοι πάντες συνεπεψηφίζοντο καὶ οὐδ' αὐτοί τι τούτων χωρὶς πράττειν ἔφασαν προσῆκον εἶναι. τῷ μεγάλῳ δὲ δουκὶ ἥ τε μάχη φοβερὰ ἐδόκει, καὶ τὸ διατρίβειν ἐν Θεσσαλονίκῃ χρόνον πολὺν διὰ τὸ τῶν ἀναλωμάτων, ὧν ἐδεῖτο, πλῆθος οὐκ ἀνεκτὸν, καὶ τὸ μηδὲν ὅλως δοκοῦντας ἄξιον λόγου πεπραχότας ἀναστρέφειν αἴσχιστον. ἐβούλετο δὲ μάλιστα τό,τε διακινδυνεύειν πρὸς βασιλέα παραιτεῖσθαι, καὶ πρόσχημά τι εὐδοξίας ἔχοντα ἐπανελθεῖν. Μονομάχος δὲ τῆς αὐτοῦ διανοίας καταστοχασάμενος καλῶς, ἤρετο, εἰ καὶ αὐτὸς αὐτοῖς βούλοιτο συνεῖναι καὶ στρατηγεῖν· τοῦ δὲ ἀπειπαμένου, „οὐκοῦν" ἔφασκεν „εἰ καὶ σοὶ συνδοκεῖ, τὴν στρατιὰν ἔχων αὐτὸς, ἐλευσόμεθα ἄχρι Βερῥοίας, καὶ μήτε στρατοπεδευσάμενοι ἐγγὺς, μήτε τῶν ἵππων ἀποβάντες, ἀλλὰ μικρὸν ἐνδιατρίψαντες, τάχιστα ἀναχωρήσομεν. [5]

2 381 οὕτω γὰρ τήν τε μάχην ἡμῖν ἐκκλίνειν περιέσται, (οὐ γὰρ ἀρκέσει γε ὁ χρόνος τοῖς πολεμίοις παρασκευασαμένοις ἐπιέναι,) τήν τε ἀδοξίαν ἀποτρίβεσθαι, τοῖς πολεμίοις ἐπελθοῦσι καὶ ποιήσασι τειχήρεις." οὕτω μὲν οὖν ὁ Μονομάχος εἶπεν· ἀρίστη δὲ τῷ μεγάλῳ δουκὶ ἐφαίνετο ἡ γνώμη καὶ ἐπεψηφίζετο αὐτίκα καὶ ἐχειροτονεῖτο ὁ Μονομάχος ἐπὶ πᾶσι στρατηγός. ὃς τήν τε πεζὴν ἅμα καὶ τὴν ἱππικὴν Ῥωμαίων ἔχων δύναμιν, ἐγγὺς τειχῶν ἐγένετο Βερῥοίας, ὅσον μὴ ἀπὸ τοῦ τείχους βάλλεσθαι. τὸ Περσικὸν δὲ διεσκέδαστο ἐπὶ λεηλασίαν καὶ ἐν ἡμέρᾳ μιᾷ τὴν περὶ Βέρῥοιαν ἅπασαν ἐπῆλθε γῆν καὶ τὰ μέγιστα ἐκάκωσεν. ἀνθρώπους τε γὰρ ἠνδραποδίσαντο καὶ ἀπέκτειναν πολλοὺς καὶ βοσκημάτων ἤλασαν ἀγέλας καὶ οἰκίας ἐνέπρησαν τὰς ἐπὶ τὰς κώμας καὶ τῶν ἄλλων, ὅσα προσήκει πολεμίους, οὐδενὸς ἠμέλουν. βασιλεὺς δὲ ἐκ Βερῥοίας πρὸς Μονομάχον πέμψας πρεσβευτὴν, πολλὴν αὐτῶν ἀγνωμοσύνην κατηγόρει, ὅτι τοσαύτην ἄγοντες Ῥωμαίων στρατιὰν καὶ καθ' ἑαυτὴν δυναμένην ἀντιτάττεσθαι αὐτῷ, οἱ δ' ὥσπερ οὐκ ἐκείνης ἐξαρκούσης πρὸς τὸν πόλεμον, ἐπήγαγον αὐτῷ καὶ τοὺς βαρβάρους, ἵνα μᾶλλον τὰ Ῥωμαίων διαφθείρωσιν. [20]

2 382 ἐκεῖνο μέντοι χρὴ σκοπεῖν, ὅπως μηδεμίαν αὐτῷ μέμψιν ὕστερον ἐπάγωσιν, ἂν τοῖς παρ' αὐτῶν ἠργμένοις τέλος ἐπιθήσειεν αὐτός. ἐπηγγέλλετό τε παρεσκευασμένος εἶναι πρὸς τὴν μάχην, ἢν μόνον ἡ προθεσμία ἥξει. ὁ δ' ἀπεκρίνατο, παρ' αὐτῷ εἶναι πράττειν, ὅσα ἂν δοκῇ λυσιτελεῖν, ὥσπερ δῆτα καὶ αὐτοὶ ποιοῦσιν. ἄχρι δὲ μέσης ἡμέρας ἐκεῖ περιμείνας, ἱστάμενος πρὸ τῶν τειχῶν, ἀναστρέψας ἤλαυνεν ὀπίσω τῆς ἡμέρας τὸ λοιπόν. νυκτὸς δὲ ἐπιγενομένης, ηὐλίσαντο, ἅμα προσδεχόμενοι καὶ τοὺς βαρβάρους, ἀναστρέφοντας ἀπὸ τῆς λείας. καὶ ἐς τὴν ὑστεραίαν τὸν ἐν Πύδνῃ πύργον εἷλον ἐξ ἐφόδου φρουρὰν ἐκ βασιλέως ἔχοντα. ἐν οἷς καὶ ἐκ τῶν βασιλέως οἰκετῶν ὁ Πεπαγωμένος ἦν Θεόδωρος, ὃν γυμνὸν καὶ τετραυματισμένον ὕπαιθρον δήσαντες ἐν μέσῳ θέρει, τοῦ μεγάλου δουκὸς οὕτω προστεταχότος, ἐπεὶ ὑπὸ τοῦ ἄγαν ἐκτηκόμενος φλογμοῦ ὕδωρ ᾔτει δίψει κατεχόμενος ἀσχέτῳ, ὁ μέγας δοὺξ ἐκέλευε διδόναι, εἰ τὸν δεσπότην ἐπὶ πάντων ἀτιμάσειεν. ὁ δ' εἵλετο μᾶλλον ἀποθνήσκειν, ἢ παροινεῖν εἰς βασιλέα. Μονομάχος δὲ ἐπανήκων, ἄλλα τε ἐπήγγελλε μεγάλῳ δουκὶ, καὶ ὡς Καντακουζηνὸς αὐτῷ πρὸ τῶν τειχῶν Βερῥοίας ἱσταμένῳ πέμψειε μηνύσας, ὀνειδίζων ἄλλα τε καὶ ὅτι Πέρσας ἀγάγοιμεν συμμάχους ἐπ' αὐτόν· ἠπείλησέ τε τέλος αὐτὸς ἐπιθήσειν τοῖς ἠργμένοις ὑφ' ἡμῶν. [20]

2 383 ἃ σκέπτεσθαι προσῆκον· οὐ μάτην γὰρ αὐτῷ ᾠνίχθαι τὰ τοιαῦτα· σκεπτομένοις δὲ οὐδὲν ἕτερον ἐκ τῶν λόγων ἀνεφαίνετο, ἢ ὡς βούλοιτο καὶ αὐτὸς ἐπὶ συμμαχίᾳ Ἀμοὺρ τὸν φίλον καλεῖν καὶ

διὰ τοῦτο τὰ τοιαῦτα προειπεῖν, ἵν' ὕστερον ἔχῃ δήπου καταφυγὴν, εἴ τις αἰτιῷτο τῆς ἐπὶ τοὺς ὁμοφύλους τῶν βαρβάρων ἐπαγωγῆς, ὡς αὐτῶν προτέρων τούτοις ἐπ' ἐκείνων χρησαμένων. οὗ δὴ ἕνεκα ἐδόκει δεῖν τριήρεις πέμψαντας τὴν θάλασσαν φρουρεῖν παραπλεούσας, (ἀπέστησαν γὰρ καὶ οἱ ἐν Πλαταμῶνι βασιλέως, δείσαντες μὴ ὑπὸ μεγάλου δουκὸς ἁλῶσι στόλῳ ἐπελθόντος,) ἵνα μὴ ἐξῇ Καντακουζηνῷ πρεσβείαν πέμπειν πρὸς Ἀμούρ. καὶ ἐτελεῖτο κατὰ τὰ βεβουλευμένα. ξγ'. Βασιλεὺς δὲ ἐπεὶ πύθοιτο τὰς τριήρεις παραπλεούσας, Πρίγγυπί τινι ὠνομασμένῳ τὴν πρὸς Ἀμοὺρ πρεσβείαν ἀναθεὶς, μηδενὸς ἑτέρου συνειδότος, καὶ κελεύσας οἰκίας ἔνδον ἀκάτιον κατασκευασάμενον, ἵνα μὴ πολλοὶ συνειδεῖεν, εἰς Σμύρναν ἀποπλέειν ἐξέπεμπε, γράμμασι κελεύσας Ἀμοὺρ τάχιστα παρασκευασάμενον ἥκειν πρὸς αὐτόν. Πρίγγυψ μὲν οὖν ἐποίει κατὰ τὰ κεκελευσμένα καὶ τὸ ἀκάτιον ἔνδον οἰκίας κατασκευασάμενος, ἱστία τε ἐνθέμενος καὶ τὴν ἄλλην ἀποσκευὴν, ἔπειτα νυκτὸς ἐφ' ἁμάξης ἐπὶ θάλασσαν καταγαγὼν, ὡς ποῤῥωτάτω μάλιστα τῶν φρουρουσῶν νεῶν καὶ τῶν αὐτῶν κατειλεγμένων, ἀνήγετο ἐμβάς· καὶ πνεύματι χρησάμενος ἐπιφόρῳ, τάς τε φρουρούσας διέλαθε τριήρεις καὶ εἰς Σμύρναν κατήγετο ὀλίγῳ ὕστερον, τοῦ πνεύματος ἀεὶ κατὰ πρύμναν ἱσταμένου. [20]

2 384 Ἀμοὺρ δὲ ἐπεὶ τὰ βασιλέως γράμματα δέξαιτο καὶ τὴν πρεσβείαν, κόνιν μὲν κατεχέατο τῆς κεφαλῆς καὶ θεῷ πολλὰς ὡμολόγει χάριτας τῆς ἀγγελίας. ἦν γὰρ πρότερον ἀκηκοὼς, ὡς Καντακουζηνὸς ὁ βασιλεὺς τελευτήσειε διατρίβων περὶ Τριβαλούς· οὕτω γὰρ ἦν προστεταγμένον ὑπὸ μεγάλου δουκὸς, τοὺς ἐπὶ τὴν Ἀσίαν διαβαίνοντας ἐκ συνθήματος πάντας λέγειν. αὐτίκα τε παρεσκευάζετο στόλον νεῶν, ὀλίγῳ δεουσῶν διακοσίων. καὶ ὁ μέγας δοὺξ ἐπεὶ ἀγνοεῖν τὰ γεγενημένα οὐκ ἐνῆν, πολλῶν Ἀσίαθεν τὴν παρασκευὴν τοῦ στόλου ἀγγελλόντων, πρεσβείαν ἐκ Θεσσαλονίκης ἐποιεῖτο πρὸς Ἀμοὺρ, καὶ χρήματα τὰ μὲν ἐδίδου, τὰ δὲ καὶ ἐπηγγέλλετο, εἰ μὴ πόλεμον κινοίη πρὸς αὐτὸν, μηδὲ συμμαχοίη Καντακουζηνῷ. ὁ δ' ἀπεπέμψατο τὴν πρεσβείαν, ἀδύνατα φάμενος αἰτεῖν. αὐτὸν γὰρ παντὶ σθένει συμμαχήσειν βασιλεῖ. δεομένων δὲ τῶν πρέσβεων τὰ δῶρα δέχεσθαι, οὐ κατεδέξατο, ἀνελευθέρου φήσας εἶναι καὶ χρήμασι δεδουλωμένου νῦν μὲν φιλίας ἕνεκα δῶρα φαίνεσθαι δεχόμενον, ὕστερον δὲ ὀλίγῳ πολεμοῦντα. παρασκευασάμενος δὲ ἐν βραχεῖ καὶ χρήματά τε πολλὰ ταῖς ναυσὶν ἐνθέμενος καὶ τὰ ἄλλα ἐπιτήδεια, ὡς χρονίσων εἰς τὴν βασιλέως συμμαχίαν, ἀνήγετο ἐκ Σμύρνης καὶ προῆλθεν ἄχρις Εὐβοίας καιροῦ τυχών ἐπιτηδείου. ἀνέμων δὲ ἐκεῖ πνευσάντων ἐναντίων, ἔμεινεν ἐπὶ συχνὰς ἡμέρας. δοὺξ δὲ ὁ μέγας ἐπεὶ μάθοι τοὺς βαρβάρους ἐπιόντας, δύο τῶν τριηρέων ἐν Θεσσαλονίκῃ καταλιπὼν, ἀπέπλευσε ταῖς ἐπιλοίποις εἰς Βυζάντιον, δείσας μὴ ὑπό τε τῶν βαρβάρων καὶ βασιλέως ἐν Θεσσαλονίκῃ πολιορκοῖτο. [20]

2 385 Ἀμοὺρ δὲ Εὐβοίᾳ ἐνδιατρίβων διὰ τῶν ἀνέμων τὴν ἀντίπνοιαν, ἐδυσχέραινεν οὐκ ἀνεκτῶς. συμβὰν δέ τι καὶ ἕτερον οὐ μετρίως ἔπειθεν ἀγανακτεῖν. ἐκ γὰρ Πτελεοῦ πλοίου συλληφθέντος καὶ τῶν αἰχμαλώτων ἀγομένων πρὸς αὐτὸν, ἐπυνθάνετο, εἴ τι εἰδεῖεν περὶ βασιλέως. οἱ δ' ἔφασαν, ὅτι τινῶν ἐκ Θεσσαλονίκης ἀφιγμένων πρὸς αὐτοὺς πύθοιντο, ὡς ὁ μέγας δοὺξ πολλὴν ἄγων δύναμιν ἱππικήν τε ἅμα καὶ πεζὴν καὶ Πέρσας κατὰ συμμαχίαν, βασιλεῖ τῷ Καντακουζηνῷ ἐπιστρατεύσειεν ὄντι ἐν Βερῥοίᾳ· πλέον δὲ μηδὲν εἰδέναι. ὁ δὲ ἐκ τῶν λεγομένων στοχαζόμενος ἐν ἀγῶνι εἶναι βασιλέα, μᾶλλον ἐδυσχέραινεν, ὅτι μὴ ταχέως εἶχε βοηθεῖν. ἐκ τῶν ἀρίστων δὲ τῶν Περσῶν ἐκκλησίαν συναθροίσας καὶ παρελθὼν αὐτὸς εἰς μέσους, ἔλεξε τοιάδε. „πολλὴν ἄνοιαν ἐγὼ καὶ ἀνανδρίαν ἐκείνου καταψηφισαίμην ἄν, ὅστις ἐπί τι ὡρμημένος, μὴ πάντα δεύτερα ἡγοῖτο, μηδὲ πᾶσαν φαίνοιτο σπουδὴν ἐπιδεικνύμενος, ὥστε ἄγειν εἰς ἔργον τὰ βεβουλευμένα. εἰ γὰρ μέλλοι τοῖς μὲν ἐκ τοῦ ῥᾴστου περιγινομένοις ἐπιχειρεῖν, ἂν δέ τι συμβαίνῃ κώλυμα, ἢ παντάπασιν ἀπαγορεύειν, ἢ ἀμελεῖν μαλακιζόμενον καὶ περιμένειν τὴν ἀπὸ τῶν πραγμάτων ἔκβασιν ἀποκνοῦντα πρὸς τοὺς πόνους, οὐδὲν διοίσει τῶν πολλῶν, οὐδὲ μέγα τι καὶ λόγου ἄξιον κατορθώσειεν ἄν ποτε. [20]

2 386 ἂν δὲ καὶ περί τινων μεγάλων ᾖ ἡ ἐπιχείρησις καὶ ἡ παρασκευὴ θαυμασία καὶ μεγάλη ἡ δαπάνη, ἔπειτα ἀβουλίᾳ τοῦ στρατηγοῦ καὶ ἀτολμίᾳ μηδὲν ἄξιον ἑαυτῆς ἡ στρατιὰ ἐκείνη πράττῃ, οὐ παρὰ τῶν ἄλλων μόνον, ἀλλὰ καὶ παρ' αὐτῶν, ὧν ἄγει, πολλὰ δίκαιος λοιδορεῖσθαι καὶ περιυβρίζεσθαι, ὅτι τῇ σφετέρᾳ ἀτολμίᾳ τῶν ἐκ τῶν ἔργων ἐπαίνων καὶ τῶν ἄθλων τῶν ἀπὸ τῶν πόνων αὐτοὺς ἀποστερεῖ. ἡ μὲν οὖν ὑπόθεσις τῆς ἡμετέρας στρατείας ταυτησὶ οὐδεμία τίς ἐστιν ἑτέρα, ἢ βασιλεῖ τῷ Καντακουζηνῷ ἥκειν ἐπὶ συμμαχίᾳ, ὑπὸ Ῥωμαίων κοινῇ πολεμουμένῳ διὰ φθόνον, καὶ πρότερον μὲν χρόνον ἤδη πολὺν ἐπὶ Τριβαλοὺς ὑπερορίῳ διατρίψαντι, νυνὶ δὲ ἤδη θεοῦ τοῦ μεγάλου πρὸς τὴν Ῥωμαίων ἐπανήκοντι συναιρομένου, καὶ πόλεις πολλὰς καὶ χώραν οὐκ ὀλίγην, ὡς ἀκούομεν, ὑφ' ἑαυτῷ πεποιημένῳ. συμβαίνει δὲ, ὥσπερ ὁρῶμεν, ἐκεῖνόν τε οὐδὲν ἡμῶν ἀπολελαυκέναι τῆς δυνάμεως, καὶ ἡμᾶς εἰκῇ καὶ μάτην τὸν τοσοῦτον πλοῦν καὶ τὴν δαπάνην πεποιῆσθαι. τὸ μὲν οὖν ὑπὲρ ἐκείνου κινδυνεύειν, ὡς ῥᾳστώνης πάσης ἥδιον καὶ πολλὴν ἡμῖν οἴσει τὴν εὐδοξίαν καὶ τὸ θαυμάζεσθαι παρὰ πάντων, καὶ ὑμεῖς ἔργοις αὐτοῖς ἐμοὶ συμμαρτυρεῖτε. προθυμότατα γὰρ συνεστρατεύσατε καὶ οὐκ ἀναγκαζόμενοι ὑπ' ἐμοῦ, ἀλλ' εἰ δεῖ τι καὶ μεῖζον εἰπεῖν, ἐπὶ τοῦτό με αὐτοὶ παρακαλοῦντες. [20]

2 387 ἐγὼ δὲ τόγε εἰς ἐμὲ ἦκον, οὔτε εὐδοξίας χάριν, οὔτε κέρδους τινὸς ἐπιθυμίᾳ τὸ ὑπὲρ ἐκείνου πονεῖν καὶ κινδυνεύειν ᾔρημαι, ἀλλ' ἀνάγκην ἔχω πάσης βιαιοτέραν, ὥσπερ ὑπὲρ ἐμαυτοῦ ἀμύνεσθαι τοὺς ἐπιόντας καὶ τῆς φίλης ἀντέχεσθαι ζωῆς μέχρι καὶ τοῦ δυνατοῦ. οὐ γὰρ ὥσπερ οἱ πολλοὶ τὸ βασιλέως φίλος προσαγορεύεσθαι εἱλόμην μόνον, ἀλλ' οὕτως αὐτῷ συντέτηκα, ὥστ' εἰ συμβαίη τῶν ἀνηκέστων ἐκεῖνόν τι παθεῖν, ἀβίωτον ἡγησόμενος τὸν βίον καὶ αὐτός. καὶ διὰ ταύτην τὴν φιλίαν βασιλεῖ τε τῷ Ἀνδρονίκῳ πρὸς τὸν κατὰ Λέσβου καὶ Φωκαίας πόλεμον συνεπολέμησα χρόνον οὐκ ὀλίγον, καὶ πρότερον ἑνὸς ἔτους ὀγδοήκοντα καὶ τριακοσίαις ναυσὶ διέβην ἐπὶ Θρᾴκην, γνώμην ἔχων, ὡς πᾶσι μαχούμενος ἀνθρώποις καὶ πᾶσαν κάκωσιν οἴσων καὶ αὐτὸς, ἄχρις ἂν πρὸς τὴν οἰκείαν ἐπαναγάγω, ὥσπερ ἴστε καὶ αὐτοὶ συστρατευόμενοι. νυνὶ δὲ ἐν τούτῳ καθέστηκε τὰ πράγματα ἡμῖν, ὥσθ' ἡμᾶς μὲν ὑπὸ τῶν ἀνέμων ἐνταῦθα κατεχομένους, ἀπράκτους εἶναι, ἐκεῖνον δὲ ὑπὸ Ῥωμαίων, ὡς ἀκούομεν, πολιορκεῖσθαι. δέδοικα δὲ, μὴ καί τι τῶν ἀνηκέστων συμβῇ περὶ αὐτόν. εἰκὸς γὰρ καὶ χρημάτων ἀπορεῖν καὶ στρατιᾶς ἀξιομάχου πρὸς τοὺς πολεμίους, ἄρτι ἐκ τῆς πλάνης ἐπανήκοντα, καὶ οὐκ ἐξαρκοῦντος τοῦ καιροῦ πρὸς τὸ δύναμιν κτήσασθαι βεβαίαν. οἱ πολέμιοι δὲ καὶ ὅπλοις βιάζεσθαι δύναιντ' ἄν, ὄντες πολλοὶ, καὶ χρήμασι τοὺς συνόντας διαφθείρειν, τῶν κοινῶν Ῥωμαίοις χρημάτων ὑπ' ἐξουσίαν Ἀποκαύκῳ τῷ μεγάλῳ δουκὶ κειμένων, καὶ πάντα ἀναλώσοντι ἀφειδῶς, ἵνα μόνον βασιλέως περιγένοιτο. [20]

2 388 οἶδε γὰρ σαφέστατα, ὡς, ἕως μὲν ἂν ἐκεῖνος περιῇ, ἄπιστος αὐτῷ τῶν Ῥωμαίων ἡ ἡγεμονία καὶ ἀμφίβολος, πάντων τῶν ἀρίστων ὑπ' ἐκείνου μᾶλλον αἱρουμένων ἄρχεσθαι. ἂν δ' ἐκεῖνος τρόπῳ δή τινι ἐξ ἀνθρώπων οἴχοιτο, βεβαίαν εἰς τὸν ἔπειτα αὐτῷ ἐσομένην χρόνον τὴν ἀρχήν· δι' ἃ συμπάντων χρημάτων ἀφειδήσει. ἃ πάντα ἐννοοῦντας, ταχεῖαν ποιεῖσθαι τὴν βοήθειαν προσῆκον. ἄν τε γὰρ ἀπόληται βασιλεὺς ὑπὸ τῶν πολεμίων περισχόντων, οὐδεμίαν ἡμῖν ἀθυμίας καὶ λύπης ὑπερβολὴν ἐλλείψει πρὸς τῷ καὶ κακῶς ἀκούειν ὑπὸ πάντων, ὅτι ἀνανδρίᾳ καὶ μαλακίᾳ τῇ περὶ τοὺς πόνους καταπροδέδοται τοῖς πολεμίοις ἡμῖν ὁ φίλος. ἄν τε περιγένηται ἡμῶν χωρὶς, τὸ μεῖζον τῆς φιλοτιμίας παρῃρήμεθα. τὸ μὲν οὖν πρὸς ἀνέμους ἀντιπνέοντας καὶ θάλασσαν ἐξοιδοῦσαν καὶ μαινομένην ἀπομάχεσθαι, μελαγχολώντων σαφῶς καὶ θανατώντων ἐπ' οὐδεμιᾷ φιλοτιμίᾳ. ὅθεν οὐδὲ πρὸς τοσοῦτον κίνδυνον ἀποδύεσθαι ὑμᾶς κελεύω. ἑτέραν δὲ ὑφηγήσομαι αὐτὸς, πόνον μὲν ὀλίγον ἔχουσαν, εὔκλειαν δὲ καὶ εὐδοξίαν ἀκροτάτην. τριῶν γὰρ τῶν μεγίστων δείγματα ἡμῖν ἐξενεγκεῖν ἐξέσται, ἀνδρίας καὶ δικαιοσύνης καὶ φρονήσεως. τὸ μὲν γὰρ ὑπὸ τῶν ἀνέμων καὶ θαλάσσης κωλυομένους ἑτέραν

ἐξευρεῖν ὁδὸν, δι’ ἧς ἡμῖν ἀνυσθείη τὸ προκείμενον, φρονήσεως δικαίως ἄν τις τιθείη· δικαιοσύνης δὲ, τὸ πάντα χρήματα ἡγήσασθαι δεύτερα τῆς τοῦ φίλου σωτηρίας· ἀνδρίας δ’, ὅτι οὔθ’ ἡ περὶ τὴν ὁδοιπορίαν οὖσαν μακρὰν ταλαιπωρία, οὔθ’ ὅτι διὰ πολλῶν ἐθνῶν, οἳ μέλλουσιν ἡμῖν μαχεῖσθαι, διιέναι μέλλοντες, ἀπέστημεν τοῦ δέοντος καταπλαγέντες. [5]

2 389 τί οὖν ἐστιν ὃ λέγω; ὡς ἐπεὶ ταῖς ναυσὶν ἀδυνατοῦμεν εἰς Μακεδονίαν ἔρχεσθαι, ταύτας μὲν ὡς ἀχρήστους ἐνταυθοῖ πυρὶ καταπιμπρᾷν, αὐτοὺς δὲ τὰ ὅπλα ἔχοντας, ἰέναι διὰ τῆς ἠπείρου πρὸς βασιλέα. τοῦτο γὰρ ἐκείνῳ τε μεγάλην οἴσει τὴν ὠφέλειαν καὶ ἡμῖν τὴν εὐδοξίαν οὐ μικράν. οὐ χρὴ δὲ τὰ ἐν μέσῳ σκῶλα καὶ προσκόμματα λογιζομένους ἀποκνεῖν πρὸς τὸν ἀγῶνα. οὐδεὶς γάρ ποτε ἀνακείμενος καὶ ῥέγχων τρόπαιον ἔστησεν ἀπὸ τῶν πολεμίων· ἀλλὰ πρὸς τὸ τῶν πόνων τέλος ἀφορᾷν, ὡς πολλὴν οἴσει καὶ μεγάλην τὴν φιλοτιμίαν. ταῦτα μὲν οὖν ἐμοὶ δίκαιά τε ἔδοξε καὶ συμφέροντα ὁμοῦ καὶ αὐτός τε ποιήσω πρῶτος καὶ τοῖς ἄλλοις συμβουλεύσω. εἰ δέ τισιν ὑμῶν πρὸς τὸ τῶν πόνων καὶ τῶν κινδύνων ἀφορῶσι μέγεθος, οὐ μάλιστα δοκεῖ τοιούτοις ἐπιχειρητέον εἶναι, ἀλλ’ ἐγὼ πρῶτος τήν τε ναῦν ἐμπρήσω καὶ τὰ ὅπλα ἔχων βαδιοῦμαι· συνέψεται δὲ καὶ ὅστις εἴλετο ἐμοὶ συγκινδυνεύειν. οἱ δὲ λοιποὶ, τὰς ναῦς ἔχοντες, ὅ,τι φίλον ὑμῖν καὶ λυσιτελὲς δοκεῖ, ποιεῖτε. [20]

2 390 “ οὕτω πρὸς τοὺς ἐν τέλει τῶν Περσῶν Ἀμοὺρ διαλεχθεὶς, πάντας μὲν ἔπεισεν ὡς δίκαιά τε ὁμοῦ καὶ λυσιτελοῦντα συμβουλεύει. εἵλοντο δὲ ἑξήκοντα μόνον ναύαρχοι συγκινδυνεύειν μετὰ τῶν πληρωμάτων. οἱ δὲ ἄλλοι ἰσχυρίζοντο, ὡς ὀλίγῳ ὕστερον οὐρίων τυχόντες τῶν ἀνέμων ἐλεύσονται εἰς τὴν Μακεδονίαν αὖθις τῷ σατράπῃ συνεσόμενοι. οὕτω μὲν οὖν ἐδέδοκτο κοινῇ, καὶ ἐκ τῆς Εὐβοίας εἰς τὴν Λοκρίδος παράλιον ἐλθόντες, οἱ ἄλλοι μὲν ἡσύχαζον ἐν ταῖς ναυσὶν, Ἀμοὺρ δὲ καὶ οἱ ἑξήκοντα ναύαρχοι, οὓς ἔδει πρὸς τὸ τόλμημα συναίρεσθαι ἐκείνῳ, ἀνελκύσαντες τὰς ναῦς καὶ ὅπλα τε ἀναλαβόντες καὶ ἄλευρα ἐπιφερόμενοι, οἷς ἔμελλον διατραφήσεσθαι πρὸς τὴν ὁδὸν, καὶ Ἀμοὺρ αὐτὸς τοῖς ἄλλοις ὁμοίως πᾶσιν, ηὐλίσαντο αὐτοῦ τὴν νύκτα παρὰ τὸν αἰγιαλὸν, ὡς ἅμα ἕῳ τὰς ναῦς ἐμπρήσαντες, τῆς εἰς Βέῤῥοιαν ἔχωνται φερούσης. τῆς νυκτὸς δὲ ἐκείνης τῶν ἐναντίων πνευμάτων παυσαμένων, οὐρίων δὲ ἐπιπνευσάντων, τὰς ἀνειλκυσμένας καθελκύσαντες καὶ ἅμα πάσαις ἄραντες ἱστία, εἰς τὴν ὑστεραίαν προσέσχον οὐ μακρὰν Θεσσαλονίκης ἐν λιμένι τοῦ Κλωπᾶ προσαγορευομένῳ, τοῦτο μὲν οἰόμενοι καὶ μέγαν δοῦκα ἐν Θεσσαλονίκῃ εἶναι καὶ βουλόμενοι εἰ τύχοι πρὸς ἐκεῖνον ναυμαχεῖν, τοῦτο δ’ ὅτι καὶ ἡ ἀντιπέραν παράλιος τῆς Βοτιαίας ἀλίμενος τὰ πολλά ἐστι καὶ τοσοῦτον ἐν ταὐτῷ στόλον ὑποδέχεσθαι μὴ δυναμένη. ξδ′. Τὸ μὲν οὖν Περσικὸν αὐτίκα, ἐπεὶ ἐπύθοντο τὸν μέγαν δοῦκα ἀποπεπλευκέναι εἰς Βυζάντιον, τὰ περὶ Θεσσαλονίκην ἅπαντα ἐπιδραμόντες χωρία ἐληΐζοντο καὶ ἠνδραπόδισαν οὐκ ὀλίγους. [20]

2 391 Ἀμοὺρ δὲ εἰς τὴν ὑστεραίαν πεντήκοντα ναῦς ἀπολεξάμενος, ἔπεμψεν εἰς Πύδναν, ὡς ἐκεῖθεν τοὺς μὲν ἡμίσεις ἥξοντας εἰς Βέῤῥοιαν, ὡς ἅμα βασιλεῖ ἐλευσομένους εἰς Θεσσαλονίκην, τοὺς ἐπιλοίπους δὲ ἐπανήξοντας ταῖς ναυσί. βασιλεὺς δὲ ἐπεὶ πύθοιτο τοὺς βαρβάρους Πύδνᾳ προσχόντας, διὰ σπουδῆς μὲν ἐποιήσατο πάσης τὴν ὑπὸ Κράληνν τελοῦσαν χώραν μηδὲν ζημιωθῆναι, καὶ πέμψας ἐκέλευε πάντας εἰς τὰς πόλεις καὶ τὰ φρούρια εἰσάγεσθαι, τὴν ἔφοδον μηνύων τῶν βαρβάρων. καὶ ἠνδραποδίσθη γε ἐξ ἐκείνων οὐδὲ εἷς· οὔτε μὴν ἐκ τῆς ὑπὸ βασιλέα τελούσης χώρας. αὐτὸς δὲ Θετταλῶν τε τοὺς ἀρίστους καὶ Βερῥοιωτῶν τῆς εἰς αὐτὸν εὐνοίας ἀξίαις τε ἀμειψάμενος καὶ εὐεργεσίαις ταῖς προσηκούσαις, ἔπειτα καὶ τὴν ἄλλην στρατιὰν προνοίας τῆς δεούσης ἀξιώσας, καὶ Μανουὴλ τὸν νεώτερον τῶν υἱῶν Βερῥοίας καὶ τῶν ἄλλων πολιχνίων, ἃ προσεχώρησαν αὐτῷ, ἀποδείξας ἄρχοντα, συστήσας δὲ αὐτῷ καὶ Ἄγγελον τὸν ἀνεψιὸν, ὃς Θετταλίας πρότερον ἐνεχειρίσθη τὴν ἀρχὴν, καὶ κελεύσας, ἤν τι δέωνται, ἑκάτερος ἀλλήλοις ἐπιμαχεῖν, τύπον τε ἐκθέμενος αὐτοῖς ἡμέρου καὶ ἀνεπαχθοῦς ἀρχῆς, καὶ τὰ ἄλλα εὖ

διοικησάμενος, πρεσβείαν ἐποιεῖτο καὶ πρὸς Κράλην. ἐδήλου τε, ὡς, εἰ καὶ ἐκείνῳ αἱ πρὸς αὐτὸν ἀπαγορευθεῖεν σπονδαὶ καὶ ἡ συμμαχία, ἀλλ᾽ αὐτὸς μεμνημένος τῆς τιμῆς καὶ τῆς φιλίας, ἧς ἀπέλαυσε διάγων παρ᾽ αὐτῷ, μήτε κεκινῆσθαι πρὸς ὀργὴν, μήτε διαλελυκέναι τὰς σπονδὰς, ἄτοπον εἶναι ἡγησάμενος, μὴ ἔργοις αὐτοῖς θέσθαι φανερὸν, εἰς οἷον ὄντα περὶ τὸ ἀμείβεσθαι τοὺς φίλους εἴλετο αὐτὸς ἐπιδείξασθαι τοσαύτην εὔνοιαν. [5]

2 392 καὶ νῦν μὲν τῆς Περσικῆς στρατιᾶς ἐλθούσης πρὸς αὐτὸν καὶ δυναμένης βλάπτειν, αὐτούς τε κωλῦσαι κελεύσας μὴ κακοῦν τὴν χώραν, ὡς φιλίαν οὖσαν καὶ συμμαχίδα· καὶ ὕστερον ὅ,τι ἂν δύναιτο ὠφελήσειν. ἐπ᾽ αὐτῷ δὲ εἶναι ἢ εὐγνωμονεῖν περὶ αὐτὸν φίλον ἀγαθὸν μάλιστα ἐσόμενον, ἢ αἱρεῖσθαι πολεμεῖν ἐπ᾽ οὐδεμιᾷ προφάσει εὐλόγῳ καὶ δικαίᾳ. ἐπὶ τούτοις δὲ καὶ προσηγόρευεν αὐτόν τε καὶ Ἑλένην τὴν γυναῖκα, ὡς ἅμα στρατιᾷ τῇ Περσικῇ βαδιούμενοι εἰς Διδυμότειχον. ταῦτα δὴ πάντα ἐφ᾽ ἡμέραις πεντεκαίδεκα διαπραξάμενος, τὴν ἐκ Θετταλίας καὶ Βερροίας ἔχων στρατιὰν ἅμα τοῖς ἄλλοις, οἳ αὐτῷ συνῆσαν πρότερον καὶ τῶν Περσῶν συνεπομένων, ἦκεν εἰς Θεσσαλονίκην. ἐν δὲ ταύταις ταῖς ἡμέραις ἡ ἐν ταῖς ναυσὶ τῶν Περσῶν οὖσα στρατιὰ, ἄλλα τε ἐκάκου τὴν χώραν, ὅσα εἰκὸς βαρβάρους καὶ πολεμίους, καὶ δύο κώμας τετειχισμένας καὶ πύργους ἐχούσας διεπόρθησε, τῶν ἐχόντων ταύτας γεωργῶν ὑπὸ δέους παραδεδωκότων σφᾶς αὐτοὺς καὶ ἀνδραποδισθέντων. Ἀμοὺρ δὲ ἐπεὶ ἐπύθετο ἐγγὺς εἶναι βασιλέα, αὐτὸς μὲν ἔφιππος μετὰ ὀλίγων τῶν ἀρίστων, (οὐ γὰρ εὐπόρουν ἵππων,) πᾶσα δὲ ἡ στρατιὰ πεζῇ ἑπόμενοι, εἰς ὑπάντησιν τοῦ βασιλέως ἦεσαν. [20]

2 393 ἐπεὶ δὲ ἦσαν ἤδη οὐ μακρὰν ἀλλήλων, τοῦ ἵππου ἀποβὰς ὁ Ἀμοὺρ, προσεκύνει τε τὸν βασιλέα καὶ ἐβάδιζε πρὸς αὐτὸν πεζός. πέμψας δὲ ὁ βασιλεὺς, ἐκέλευε τοῦ ἵππου ἐπιβαίνειν καὶ ἐπείθετο πολλὰ πρότερον περὶ τοῦ πεζὸς ἐλθεῖν φιλονεικήσας. προσαγορεύσαντες δὲ ἀλλήλους, ἦεσαν εἰς τὰς σκηνὰς καὶ ἐστρατοπεδεύσαντο οὐ πολὺ ἄπωθεν Θεσσαλονίκης ἐν ἑπτὰ ἡμέραις. πρεσβείαν δὲ Ἀμοὺρ πρὸς τοὺς ἐν Θεσσαλονίκῃ πεποιημένου καὶ παραινοῦντος προσχωρεῖν ἑκόντας βασιλεῖ καὶ τὴν πόλιν παραδιδόναι, τούς τε αἰχμαλώτους ἀπολύσειν αὐτοῖς, εἰ πείθοιντο, ἐπαγγελλομένου, ἀπεκρίναντο οὐδὲν ἐπιεικές. δείσαντες δὲ οἱ Ζηλωταὶ, μὴ οἱ τὰ βασιλέως ἔνδον ἠρημένοι, καιροῦ λαβόμενοι ἐπιτηδείου καὶ τὸν δῆμον ἀναπείσαντες, τεθορυβημένον ὑπὸ τῶν βαρβάρων, ἄλλως τε καὶ ἐλπίσαντα τοὺς αἰχμαλώτους αὐτοῖς ἀπολυθήσεσθαι, ἐπίθωνται καὶ κρατήσωσιν αὐτῶν, ἔγνωσαν ἐπὶ ὠμότητα καὶ φόνους χωρεῖν, ἵνα δι᾽ αὐτῶν καὶ τοὺς ἄλλους ἐκφοβῶσι. καὶ Παλαιολόγον τέ τινα ἐκ τῶν ἀρίστων, οἴκοι σχολάζοντα διὰ τὸ ὑποπτεύεσθαι καὶ μηδεμίαν αἰτίαν τοῦ ἀποθανεῖν παρεσχημένον, ἐξαρπάσαντες ἀπέσφαξαν ἐπὶ τῆς δημοσίας ἀγορᾶς, καὶ τὴν κεφαλὴν ἀποτεμόντες, ἔπειτα καὶ τὸ σῶμα διελόντες τετραχῆ, τὰ μὲν τμήματα ἐν ταῖς πόλεως πύλαις ἀπηώρησαν ἑκάστῃ τμῆμα· τὴν κεφαλὴν δὲ δόρατι ἐνθέμενοι καὶ τὰ ἔγκατα σύροντες ἀνηλεῶς περιῄεσαν τὴν πόλιν. Γαβαλᾶν δέ τινα ἐκ τῶν μέσων πολιτῶν τὰ ὦτα πρότερον ἐκτεμόντες καὶ τὴν ῥῖνα, καὶ τὰ ἄλλα μέλη διαλωβησάμενοι, ἔπειτα ἀπέκτειναν. [20]

2 394 ἑτέρων δὲ οὐκ ὀλίγων τοιούτων ῥῖνας καὶ ὦτα ἐκτεμόντες, ἔπειτα κατεδίκασαν ἀειφυγίαν, καὶ ἀνοίξαντες τὰς πύλας, ἐξήλαυνον τῆς πόλεως. τῶν δὲ ὀδυρομένων καὶ τὴν αἰτίαν δεομένων ἐκδιδάσκεσθαι, δι᾽ ἣν τοιαῦτα ὑπομένειν κατεκρίθησαν, οὐδὲν πλέον ἀπεκρίναντο οἱ Ζηλωταὶ, ἢ ὅτι εἰδεῖεν αὐτοὺς τὰ Καντακουζηνοῦ σαφέστατα ἠρημένους. οἱ μὲν οὖν οὕτως ὀδυρόμενοι, ἐπεὶ πρὸς οὐδὲν ἕτερον εἶχον χρῆσθαι ἑαυτοῖς, εἰς τὸ τῶν βαρβάρων ἀπεχώρουν στρατόπεδον πρὸς βασιλέα. βασιλεὺς δὲ ἐπεὶ τὸ προσάγεσθαι τὴν πόλιν ἄπορον ἑώρα, Μανουὴλ μὲν τὸν υἱὸν καὶ Ἄγγελον τὸν ἀνεψιὸν τήν τε ἐκ Θετταλίας καὶ Βερροίας ἔχοντας στρατιὰν, ἐκέλευεν εἰς τὰς ἰδίας ἀρχὰς ἀποχωρεῖν. αὐτὸς δὲ ἀπολειφθεὶς μεθ᾽ ὧν ἦγεν οἴκοθεν, καὶ Περσῶν τοῖς ἀρίστοις διακοσίοις ἵπποις παρασχόμενος, καὶ ἐκ τῆς ἄλλης στρατιᾶς ἑξακισχιλίους ἐπιλέκτους πεζοὺς παραλαβὼν, ἅμα Ἀμοὺρ ἐκ τῆς ἠπείρου εἰς Θρᾴκην ἀπεχώρουν. τὴν δὲ ἄλλην στρατιὰν

ἐκέλευον ἐν ταῖς ναυσὶν εἰς Περιθεώριον ἐλθεῖν, ὡς ἐκεῖ συμμίξοντας ἀλλήλοις. ἐπεὶ δ' οἱ μὲν ἐκ θαλάττης, οἱ δ' ἐκ τῆς ἠπείρου πάλιν ἐν ταὐτῷ ἐγένοντο, Περιθεώριον ἐπολιόρκουν περιστρατοπεδευσάμενοι. Ἀβδηρῖται δὲ προσῆλθον ἑκοντὶ δεσμώτην ἀγαγόντες καὶ Γουδέλην τὸν τῆς βασιλίδος Ἄννης οἰνοχόον, ὃν ἐπὶ τῆς ἀρχῆς αὐτῶν κατέστησεν ὁ μέγας δοὺξ μετὰ τὴν βασιλέως εἰς Τριβαλοὺς ὑπερορίαν προσκεχωρηκότων δέει. [20]

2 395 ἐπαινέσας δὲ αὐτοὺς ὁ βασιλεὺς καὶ τοῦ τότε τῷ καιρῷ προσήκοντα πεποιηκέναι μὴ φιλονεικήσαντας ἐπιχειρεῖν τοῖς ὑπὲρ δύναμιν, καὶ τοῦ αὖθις ἐπανήκοντι προσκεχωρηκέναι μελήσαντας μηδὲν, ἐκείνοις μὲν ἄρχοντα ἐπιστήσας, οἴκαδε ἀπέπεμπε· Γουδέλῃ δὲ τά τε ἴδια κελεύσας ἀποδοθῆναι καὶ οἴκοθεν πλείω παρασχὼν, ἔπειτα καὶ Ἰάκωβον τὸν Βρουλᾶν ὄντα ἐκ τῶν οἰκετῶν καὶ Σαλατίνην ἐκ τῶν Περσῶν ἕνα ἅμα ἐκείνῳ ἐξέπεμπεν εἰς Βυζάντιον πρὸς βασιλίδα πρέσβεις. ἡ πρεσβεία δὲ ἦν περὶ εἰρήνης. καὶ πρῶτα μὲν ἐμαρτύρετο τὸν θεὸν, ὡς οὐ μόνον αὐτῇ οὐκ ἐπιβουλεύσειεν ἔργῳ ἢ βασιλεῖ τῷ υἱῷ, ἀλλ' οὐδὲ μέχρι λογισμῶν αὐτῷ τι περὶ αὐτὴν προσκεκρουκότι συνειδείη. αὐτὴν δὲ ὑπὸ συκοφαντῶν ἀνθρώπων καὶ οὐδὲν ὑγιὲς, οὔτε ποιεῖν, οὔτε λέγειν μεμελετηκότων παραχθεῖσαν ἔφασκε τὸν ἐμφύλιον τουτονὶ πόλεμον κεκινηκέναι, ὃς ἄχρι νῦν πολλῶν τε καὶ μεγάλων αἴτιος Ῥωμαίοις κατέστη συμφορῶν καὶ ἔτι μειζόνων ἔσεται, ἂν μὴ καταλυθῇ. καὶ αὐτὸν δὲ μεγάλαις μὲν χρήσασθαι συμφοραῖς διὰ τὸν πόλεμον, καὶ κινδύνοις φοβεροῖς περισχεθῆναι θάνατον ἀπειλοῦσι· τοῦ θεοῦ δὲ ὅμως ἵλεω τυχόντα, τῶν κινδύνων τε ἐκείνων ἀπηλλάχθαι, καὶ νῦν ἐπανήκειν τοῦ κρείττονος συναιρομένου. συνορῶντα δὲ ὡς τά τε μέλλοντα κακὰ ἐκ τοῦ πολέμου πᾶσαν ὑπερβήσεται ὑπερβολὴν, καὶ τὰ ἐκ τῆς εἰρήνης ἀγαθὰ ὁμοίως μεγάλα τε καὶ δυνάμενα τὴν Ῥωμαίων ἡγεμονίαν κινδυνεύουσαν ἀνακτᾶσθαι, τὴν πρεσβείαν πεποιῆσθαι τὴν περὶ τῆς εἰρήνης ταύτην καὶ δεῖσθαι αὐτῆς, μὴ περιορᾷν διὰ τήν τινων μοχθηρίαν καὶ ἀγνωμοσύνην τὴν Ῥωμαίων ἡγεμονίαν διαφθειρομένην. [5]

2 396 καὶ ἐξαρχῆς γὰρ ἄχρι νῦν πολλὰ συμβεβηκέναι τὰ δεινὰ καὶ χαλεπὰ, καὶ τὴν χώραν ἅπασαν καὶ τὰς πόλεις διεφθάρθαι ὑπ' ἀλλήλων πολιορκουμένας καὶ διαφθειρομένας ἐπιδρομαῖς καὶ λεηλασίαις· μέτρια δὲ ὅμως εἶναι, οἷα δὴ Ῥωμαίων Ῥωμαίοις ἐπιόντων καὶ οἰκτόν τινά ποτε καὶ τῶν ἀτυχούντων λαμβανόντων. τὰ προσδοκώμενα δὲ τοσούτῳ καὶ δεινότερα καὶ φοβερώτερα, ὡς τὰ παρελθόντα, πρὸς αὐτὰ παραβαλλόμενα, εὐτυχίας τόπον ἐπέχειν πρὸς ἀκροτάτην κακοπραγίαν. βάρβαροι γὰρ ἤδη εἶναι Πέρσαι οἱ τὸν πρὸς Ῥωμαίους ἐπιτετραμμένοι πόλεμον κἀκείνῳ συμμαχήσοντες, οἷς τὸ φονεύειν τρυφὴ καὶ τὸ ἐξανδραποδίζεσθαι καὶ ἀποδίδοσθαι ἐπὶ δουλείᾳ κέρδους ἥδιον παντὸς, καὶ οἶκτος οὐδὲ εἷς, οὐδὲ ἔλεος τῶν ἀτυχούντων, οἷα δὴ φύσει πολεμίων ὄντων διὰ τὴν περὶ τὸ σέβας ἀκροτάτην ἐναντιότητα. καὶ τούτου ἔλεγε τοῦ κακοῦ οὐκ ἐκεῖνον ἦρχθαι πρῶτον, ἀλλ' Ἀπόκαυκον τὸν παρακοιμώμενον, ὃς αὐτῷ εἰς Βέῤῥοιαν ἐπιστρατεύσας καὶ πολλὴν καὶ ἀγαθὴν ἄγων στρατιὰν Ῥωμαίων, οὐκ ἀγαπητὸν ᾠήθη, εἰ μὴ καὶ Πέρσας ἐπαγάγοι, οἳ πολλὰ ἐκάκωσαν τὴν χώραν ἐκείνην, κτείνοντες καὶ ἐξανδραποδιζόμενοι τοὺς προστυχόντας καὶ πυρὸς ἔργον πάσας κώμας πεποιημένοι. [20]

2 397 ᾧ διδασκάλῳ κεχρημένος ἐπὶ τὴν τοιαύτην τετράφθαι πεῖραν, καὶ μηδεμιᾶς διὰ ταύτην εἶναι ἄξιος αἰτίας, εἰ μὴ δυνάμενος πρός τε βαρβάρους ὁμοῦ καὶ Ῥωμαίους ἀντιτάττεσθαι, τοῖς ὁμοίοις καὶ αὐτὸς ἐχρήσατο συμμάχοις. ἃ συνορῶσαν καὶ αὐτὴν ὡς δεινὰ καὶ τήν τε ἀρχὴν διαφθεροῦντα καὶ πρὸς τὸ μέλλον ἐκεῖ κριτήριον μεγάλην οἴσοντα τὴν καταδίκην, εἰ διὰ φιλονεικίαν καὶ ψευδεῖς συκοφαντίας καὶ διαβολὰς τὸ Χριστιανῶν αἷμα προϊεμένη φαίνοιτο χεῖσθαι ὑπὸ τῶν βαρβάρων, πεισθῆναι πρὸς τὴν εἰρήνην, πρὶν ὑπὸ τῶν βαρβάρων τι διεφθάρθαι. περιμενοῦσι γὰρ Ῥωμαίων οὐδένα ἀδικοῦντες, ἄχρις ἐπανήξουσιν καὶ οἱ πρέσβεις. τὸ δὲ ἐφ' ὁποίοις δεῖ γενέσθαι, οὐ τοῦ παρόντος εἶναι καιροῦ δηλοῦν, ἀλλ' εἰ μόνον πείθοιτο,

πρέσβεις πέμπειν πρὸς αὐτὸν, οἳ διαλέξονται, ὅσα ἂν αὐτῇ καὶ πατριάρχῃ καὶ τοῖς ὑπολειφθεῖσιν ἔτι τῶν πραγμάτων ἄρχουσι βέλτιστά τε εἶναι δοκῇ καὶ λυσιτελέστατα ἑαυτοῖς. πεποιθέναι δὲ αὐτὸν, ὡς τοῦ θεοῦ διδόντος χαίροντες ἐπανήξουσι καὶ τὰ πᾶσι κοινῇ Ῥωμαίοις συνοίσοντα κατωρθωκότες. τοιαύτη μὲν ἦν ἡ βασιλέως τοῦ Καντακουζηνοῦ πρεσβεία πρὸς Ἄνναν τὴν βασιλίδα. Ἀμοὺρ δὲ καὶ αὐτὸς ἰδίᾳ συνεβούλευεν ἔχεσθαι τῆς εἰρήνης, ὡς τὰ μέγιστα λυσιτελούσης. αὐτὸς μὲν γὰρ καὶ πρότερον φίλος εἶναι βασιλεῖ τῷ Καντακουζηνῷ ἐκ πολλῶν ἐτῶν, καὶ διὰ τὴν αὐτοῦ φιλίαν βασιλεῖ τε τῷ Ἀνδρονίκῳ οὐ μόνον εἰς τὸν κατὰ Φωκαίας πόλεμον συμμαχίαν παρεσχῆσθαι, ἀλλὰ καὶ ὕστερον ἐπὶ Ἀλβανούς. [20]

2 398 καὶ ἐξ ἐκείνων τῶν χρόνων εἰς τὴν Ῥωμαίων οὐδέποτε ἐμβεβληκέναι, Ῥωμαίους πάντας ἡγούμενος ὑπὸ Καντακουζηνὸν τελεῖν τὸν βασιλέα, καὶ ἔτι τὴν ἰδιώτου τύχην στέργοντα. νυνὶ δὲ οὐκέτι φίλος εἶναι βασιλέως, ἀλλὰ δοῦλος, καὶ οὕτω παρεσκευάσθαι, ὡς οὐ πέμπων στρατιὰν βοηθεῖν, ἀλλ' αὐτὸς παρεῖναι καὶ τὴν ἴσην ἐπιδείκνυσθαι σπουδὴν, ἣν ἂν καὶ ὑπὲρ ἑαυτοῦ τὸν πόλεμον αἱρούμενος ἐποιεῖτο. δι' ἃ συνεβούλευεν αἱρεῖσθαι μᾶλλον τὴν εἰρήνην, τοῦ βασιλέως μάλιστα τὰ εἰς αὐτὸν γεγενημένα πρότερον διὰ τῶν ἀρχόντων τὴν ἀγνωμοσύνην ἀφιέντος καὶ τὸν πόλεμον κατατίθεσθαι ἐθέλοντος. οὐ μόνον γὰρ εἴ τι τῆς Ῥωμαίων ἡγεμονίας κατελίπετο, ἀκέραιον διασωθήσεται, ἀλλὰ καὶ τὰ διεφθορότα ὑπὸ τοῦ πολέμου δυνατὸν πάλιν ἀνακτᾶσθαι. αὐτὸν δὲ ἀντὶ πολεμίου σύμμαχον ἐξέσται καὶ φίλον ἔχειν. τοιαῦτα μὲν καὶ ὁ Ἀμοὺρ διεπρεσβεύετο. ξε'. Ὁ μέγας δὲ δοὺξ ἐπεὶ πύθοιτο τὰ τῆς πρεσβείας, Σαλατίνην μὲν τὸν Ἀμοὺρ πρεσβευτὴν φιλοτίμως τε ὑπεδέξατο καὶ μετὰ μικρὸν ἐξέπεμψε δῶρα παρασχών. Βρουλᾷ δὲ τὸ γένειον περικείρας καὶ τὴν κεφαλὴν, ἔπειτα καὶ τοὺς μυκτῆρας διαῤῥήξας καὶ τὰς κνήμας, ἀσβόλῳ τε τὸ πρόσωπον περιχρίσας, εἵλκυσε διὰ τῆς ἀγορᾶς οὕτως ὕφαιμον. πρὸς δὲ τὴν πρεσβείαν οὕτως ἀπεκρίνατο. [20]

2 399 Ἀμοὺρ μὲν ἔγραφε πολλὰς κατὰ βασιλέως ὕβρεις καὶ χαλεπάς· αὐτοῦ δὲ καθήπτετο μετρίως, ὅτι Καντακουζηνῷ ἀκολουθεῖν αἱροῖτο, ἀνάξια ποιῶν τῆς σφετέρας εὐδοξίας· πλέον δὲ οὐδέν. βασιλεῖ δὲ ἔφασκεν, ὡς οὐ δέοιντο αὐτοῦ, οὔτε συμβασιλεύειν τοῖς βασιλέως παισὶ καὶ Ῥωμαίων ἄρχειν, οὔτ' αὐτοῖς ὁμοίως δοῦλον εἶναι. ἔτι γε μὴν οὐδ' αὐτῶν εἰ βούλοιτο δοῦλον εἶναι, καὶ δουλείαν τὴν αἰσχίστην εἰς ἱπποκόμους καὶ μαγείρους τεταγμένον, ἀλλὰ πολεμήσειν ἄχρι παντὸς καὶ τάχιστα διαφθερεῖν. καὶ γὰρ τὸ περιεῖναι μέχρι νῦν, οὐχ ἡ σύνεσις, οὐδ' ἡ στρατηγία περιέσωσεν, ἀλλὰ τὸ πόῤῥω ποῦ ἐν Τριβαλοῖς πλανήτην διατρίβειν. νυνὶ δ' ἐπεὶ ἐγένετο ἐγγὺς, εἴσεσθαι τὴν ταχίστην, ὅτι βέλτιον ἦν αὐτῷ θητεύειν παρὰ Τριβαλοῖς, ἢ ἐγγὺς τῆς Ῥωμαίων γενόμενον βασιλείας, ἀμφισβητεῖν περὶ αὐτῆς. Βρουλᾶν δὲ μετὰ τὰς ποινὰς ἐκείνας τὰς ἀνημέρους τῷ ἐν τοῖς Κωνσταντίνου βασιλείοις τοῦ μεγάλου δεσμωτηρίῳ καθεῖρξαν. ὃς καὶ μικρὸν ὕστερον ἀνῃρέθη μετὰ τῶν ἄλλων συνδεσμωτῶν, τοῦ δήμου τῶν Βυζαντίων ἐπιθεμένου μετὰ τὴν Ἀποκαύκου τελευτὴν, ὥσπερ ὕστερον εἰρήσεται ὀλίγῳ. ταῦτα δὲ αὐτῷ ἐπράττετο, ἐκ παντὸς τρόπου τὸν πόλεμον κατασκευάζοντι καὶ βουλομένῳ βασιλίδα τε ὁμοῦ διὰ τὸν φόβον τῶν τολμωμένων ἀπάγειν τῆς εἰρήνης καὶ Καντακουζηνὸν τὸν βασιλέα πρὸς ἔχθραν ἄσπονδον καὶ ἄμυναν ἐκκαλεῖσθαι. [20]

2 400 ᾔδει γὰρ σαφέστατα τὴν εἰρήνην αὐτὸν ἀπάξουσαν τῶν πραγμάτων τῆς ἀρχῆς, καὶ οὐχ ὅτι πρῶτον εἶναι συγχωρήσουσαν Ῥωμαίων, ἀλλ' οὐδὲ πολλοστὸν ἀπὸ τοῦ πρώτου. διὸ καὶ πολλῶν αἱμάτων καὶ ἀνδραποδισμῶν καὶ φθορᾶς ἀμυθήτου τῶν Ῥωμαίων τὴν τοιαύτην ἠλλάττετο ἀρχήν. βασιλέα δὲ οὐδὲν ἐκώλυσε τῶν παρανόμων ἔργων τουτωνὶ τῆς εἰρήνης ἀποσχέσθαι, ἀλλὰ πᾶσαν ἐπίνοιαν ἐκίνει, ὥστε κατατίθεσθαι τὸν πόλεμον. ᾔδει γὰρ οὐδὲν ἐπιεικὲς ἐκ τούτου συμβησόμενον Ῥωμαίοις. ἐπεὶ δὲ ὁ Ἀμοὺρ ἐπανῆκε πρεσβευτὴς, ἀπήγγελλε μὲν ὅσα συμβαίη περὶ Βρουλᾶν καὶ τὰς παρὰ τῶν ἀρχόντων Ῥωμαίοις πρὸς τὴν πρεσβείαν ἀποκρίσεις, παρείχετο δὲ καὶ τὰ γράμματα τὰ πρὸς Ἀμούρ. ὁ δὲ ὡς ἦσαν ἐσφραγισμένα ταῦτα

ἔχων, ἦκεν ὡς βασιλέα· μεμφομένου δὲ ἐκείνου, εἰ περὶ αὐτοῦ τι φαῦλον ᾠήθη ὑποπτεύειν, οὐ τοιαύτην ἔφασκεν ἐκεῖνος γνώμην ἔχων μὴ λελυκέναι τὴν σφραγῖδα· ἀνόητος γὰρ ἂν εἴη παντάπασιν, εἰ τὴν βασιλέως περὶ αὐτοῦ διάνοιαν ἀγνοοίη· εἰδὼς δὲ ὡς τοῖς παρὰ Ῥωμαίοις ἄρχουσιν ὥσπερ τι τῶν ἀναγκαιοτάτων αἱ πρὸς βασιλέα ὕβρεις ἐπιτηδεύονται, τούτου χάριν μὴ ἑτέρῳ παρασχέσθαι ἀναγιγνώσκειν, ἵνα μὴ εἰς πολλῶν ἐμπέσῃ τὸ βλάσφημα ἀκοὰς, ἀλλ' ἀγαγεῖν πρὸς αὐτὸν, ἵν' εἰ μέν τι χρήσιμον ἐγγεγραμμένον ᾖ, λόγον τινὰ ποιήσωνται αὐτοῦ· εἰ δὲ τὰ συνήθη ταῦτα, ὕβρεις καὶ λοιδορίαι, ἐπὶ τὰς τῶν γεγραφότων τρέπωνται κεφαλάς. [20]

2 401 ἐπαινέσαντος δὲ αὐτὸν τοῦ βασιλέως ἐπὶ τούτῳ, ἔπειτα ἀνεγινώσκετο τὰ γράμματα, καὶ ἦν οὐδὲν ὑγιὲς ἐγγεγραμμένον, ἀλλὰ πρός τε βασιλέα ὕβρεις αἰσχραὶ καὶ ἀγεννεῖς καὶ μέμψεις πρὸς Ἀμοὺρ, ὅτι αὐτῷ ἀνέχοιτο ἀκολουθεῖν καὶ τὴν εὐγένειαν περιυβρίζοι. βασιλεὺς δ', ἐπεὶ οἱ ἐν Βυζαντίῳ οὐδεμίαν ἐλπίδα παρείχοντο εἰρήνης, ἀναγκαίως καὶ αὐτὸς ἐχώρει πρὸς τὸν πόλεμον καὶ ἠνάγκαζεν αὐτῷ τὰς πόλεις προσχωρεῖν ἢ ἑκούσας ἢ βιαζομένας. βασιλίδι δὲ Εἰρήνῃ ἐν Διδυμοτείχῳ μηδὲν ἕτερον περὶ βασιλέως πεπυσμένῃ, ὅτι μὴ πρὸς Βέῤῥοιαν διατρίβει προσχωρήσασαν, ἀπήγγελλεν ὁ ἀρχιερεὺς Διδυμοτείχου, ὅτι ὁ βασιλεὺς ἤδη τῆς Χαλκιδέων εἴη ἐπιβὰς, καὶ ἐπιστεύετο αὐτίκα. ἦσαν γὰρ οὐδὲν μικρὸν περὶ ἐκείνου πεπυσμένοι, ἀλλ' ὡς πάντα τὰ ἐσόμενα εἰδότι προσεῖχον ἀκριβῶς. καὶ ἦσαν εὐθὺς ἐν κρότοις καὶ ἑορταῖς, καὶ τῆς ἐπανόδου βασιλέως πολλὰς θεῷ προσῆγον τὰς εὐχαριστίας. μετὰ τρίτην δὲ ἡμέραν ἐξ ἐκείνου καὶ ὁ Μουζάλων ἦκε παρὰ βασιλέως καὶ ἀπήγγελλε πάντα ὡς ἐγένετο· καὶ πάλιν ἦσαν ἐν ταῖς ὁμοίαις ἑορταῖς ἤδη βεβαιότερον. Γλάβας δὲ Γεώργιος, ὃς τῶν εἰς Διδυμότειχον τεταγμένων ἄρχειν εἷς ἦν, ἐλθὼν πρὸς τὸν ἀρχιερέα, εὐχὴν ᾔτει παρ' αὐτοῦ, ὡς εἰς βασιλέα ἀφιξόμενος· δεδοικέναι γὰρ, μὴ πρὶν ἐκεῖνον ἐπανήκειν τελευτήσας, τῆς ἡδίστης ὄψεως βασιλέως ἀποστερηθῇ. [20]

2 402 ὁ δ' ἐπέτρεπε μὲν πρὸς ἐκεῖνον ἀφικέσθαι· παρῄνει δὲ θαῤῥεῖν, ὡς ὄψεται βασιλέα καὶ εἰς τήνδε τὴν πόλιν ἐπανήκοντα καὶ πρός τινας ὑπηρεσίας χρήσιμος ἐκείνῳ ἔσται. μετὰ δέ τινα χρόνον, ἡνίκα καὶ αὐτὸν ἴδῃ πρὸς τὰ ἐκεῖθεν δικαιωτήρια κληθέντα, παρασκευάζεσθαι καὶ αὐτὸν, ὡς μετὰ μικρὸν ἀπολείψοντα τὸ ζῆν· οὕτω γὰρ εἶναι δεδογμένον παρὰ θεῷ. ταῦτα μὲν οὖν, ὥσπερ εἴρηται, ὕστερον ἀπέβαινε. βασιλέως δὲ Περιθεώριον πολιορκοῦντος καὶ κλίμακας καὶ μηχανὰς κατασκευάζοντος πρὸς τὴν τειχομαχίαν, τὰ ἐν τῇ Μερόπῃ φρούρια προσεχώρησαν, ἥ τε Ἁγία Εἰρήνη προσαγορευόμενον καὶ ὁ Ποβισδός. καὶ ἐλθόντες πρὸς βασιλέα, ἡγεμόνα ἐδέοντο αὐτοῖς παρασχεθῆναι· σὺν τούτοις δὲ καὶ ἕτεροι νομάδες τὸ αὐτὸ οἰκοῦντες ὄρος ἐν κώμαις ἀτειχίστοις, οἳ διὰ τὴν πρὸς βασιλέα εὔνοιαν (ἦσαν γὰρ καὶ πρότερον ὑπ' ἐκεῖνον τεταγμένοι, βασιλέως Ἀνδρονίκου ἔτι περιόντος,) τῶν ἄλλων πρῶτοι παρεγένοντο καὶ παρεῖχον ἑαυτοὺς ἑκόντες βασιλεῖ. σκεπτομένῳ δὲ περὶ αὐτῶν πρὸς ὅ,τι χρήσαιτο καὶ τίνα ἐπιστήσειεν ἄρχοντα αὐτοῖς, ἐδόκει δεῖν Μομιτζίλῳ τὴν ἀρχὴν αὐτῶν παρέχειν, οὐ μόνον διὰ τὸ ὁμόφυλον νομίσας διακείσεσθαι αὐτῷ εὐνοϊκῶς τοὺς νομάδας ἐκείνους, ἀλλ' ὅτι καὶ εὐψυχίας καὶ τόλμης πρὸς τὰς μάχας οὐδὲν ἐνέλιπε καὶ πρὸς λῃστείας καὶ ἁρπαγὰς ἄριστα ἐξήσκητο. ἦν γὰρ δὴ ὁ Μομιτζίλος οὗτος τὸ γένος μὲν Μυσὸς, διὰ δὲ λῃστείας καὶ ἁρπαγὰς ἐκεῖθεν ἐλαθεὶς, πρὸς Ῥωμαίους τε ἐγένετο καὶ ὑπὸ βασιλέως Ἀνδρονίκου τοῖς στρατιώταις κατελέχθη. [25]

2 403 χαίρων δὲ ἀεὶ λῃστείαις καὶ πολλὰ τὴν Μυσίαν κακουργῶν διὰ τὸ μάλιστα ἔμπειρον τῶν τόπων εἶναι, παρῃνεῖτο μὲν πολλὰ ὑπὸ τῶν τὰ μεθόρια τῆς Μυσῶν καὶ Ῥωμαίων ἡγεμονίας ἀρχόντων, μὴ τοιαῦτα κακουργεῖν, σπονδῶν οὐσῶν, καὶ πόλεμον κινεῖν. ὁ δὲ οὐ πάνυ πείθεσθαι ἠδύνατο, ἀλλ' ἐπί τινα χρόνον ἡσυχάζων, τοῖς ὁμοίοις πάλιν ἐπεχείρει. μέλλων δὲ ἤδη τῆς κακουργίας διδόναι δίκας, ἐπεὶ Μυσοῖς τε ἀπηχθάνετο διὰ τὰς λῃστείας καὶ Ῥωμαίοις οὐκ ἐθάῤῥει βουλομένοις συλλαμβάνειν, ἀπεχώρησεν εἰς Τριβαλοὺς καὶ διέτριψεν ἐκεῖ χρόνον τινὰ συχνόν. ἔπειτα ὡς βασιλεὺς ὁ Καντακουζηνὸς εἰς Περιθεώριον ἐκ Βεῤῥοίας ἐπανῆκε,

πρότερον ὀλίγον χρόνον Κράλη ἀποστὰς, προσεχώρησε τότε βασιλεῖ. εἰδὼς δὲ αὐτὸν ὄντα ἐπιτήδειον πρὸς τοιαύτην ἡγεμονίαν, τά τε φρούρια ἐνεχείρισε καὶ τὰς κατὰ τὴν Μερόπην ἄλλας κώμας οὐκ ὀλίγας οὔσας. ἐξ ὧν οὐκ ὀλίγη χεὶρ συνελέγετο λῃστρική· ἦσαν γὰρ ἱππεῖς μὲν τριακοσίων ὀλίγῳ πλείους, πεζοὶ δὲ ὑπὲρ τοὺς πεντακισχιλίους· ὧν ἁπάντων αὐτῷ ἐνεχείρισε τότε τὴν ἀρχὴν καὶ προσέταττε κακοῦν τὰς πόλεις, αἳ μὴ προσχωροῖεν βασιλεῖ. ξς′. Ἐκεῖνος δὲ ἐπεὶ Περιθεώριον οὐδὲν ἤνυε πολιορκῶν, τὰς μὲν παρεσκευασμένας μηχανὰς ἐνέπρησε πυρὶ, τοῦ δὲ στόλου παντὸς εἰς τὴν οἰκείαν ἀποπλεύσαντος, αὐτὸς ἅμα Ἀμοὺρ ἑξακισχιλίους ἐπιλέκτους ἄγοντες Περσῶν, ἦκον εἰς Διδυμότειχον. [20]

2 404 οἱ δὲ ἐν Διδυμοτείχῳ ἑορτὰς ἦγον δημοσίας τῆς βασιλέως ἐπανόδου καὶ παντοῖοι ἦσαν ὑφ' ἡδονῆς. ἐδόκουν γὰρ ὡς ἐξ ᾅδου τοὺς περὶ βασιλέα αὖθις εἰς τὸν βίον ὑποδέχεσθαι. ὀλίγας δὲ ἡμέρας ἐνδιατρίψας Διδυμοτείχῳ, ἐξῆλθεν εἰς Ῥοδόπην· καὶ τὰ κατὰ τὴν Μόῤῥαν πολίχνια πάντα προσεχώρησαν εὐθὺς, πλὴν ἑνὸς, Ἐφραὶμ προσαγορευομένου. τὰ μὲν οὖν προσχωρήσαντα οὐδὲν δυσχερὲς ὑπέμενον παρὰ Περσῶν, Ἐφραὶμ δὲ ἐκάκωσαν οὐκ ὀλίγα. οἷς ἐπιστήσας ἄρχοντα τὸν γυναικὸς ἀδελφὸν Ἀσάνην τὸν Ἰωάννην, αὖθις ἀνέστρεφεν εἰς Διδυμότειχον. πρὸς δὲ τὰς ἐν τῇ Θρᾴκῃ πόλεις πέμψας στρατιὰν ἅμα Ῥωμαίων καὶ Περσῶν, ἠξίου προσχωρεῖν· ὡς δ' οὐ προσεχώρουν, ἐκάκου ὅσα δυνατὰ, καὶ κῶμαι πᾶσαι ἐπορθοῦντο καὶ οἱ ἀνδραποδιζόμενοι ἐπιπράσκοντο πρὸς τοὺς οἰκείους· ἀπέθνησκον δὲ καὶ πλεῖστοι. βασιλεὺς δὲ ἠνιᾶτο μὲν πρὸς τὰ τοιαῦτα οὐκ ἀνεκτῶς, θεραπεία δὲ τοῦ κακοῦ οὐδεμία ἐξευρίσκετο. οὔτε γὰρ αἱ πόλεις προσεχώρουν, ὥστε αὐτῶν ἀποσχέσθαι τοὺς βαρβάρους, οὔτε ἀποχρῶσαν πρὸς τοὺς πολεμίους εἶχε δύναμιν ἐκ Ῥωμαίων, ὥστε ἀποπέμπεσθαι τοὺς Πέρσας, ὡς ἅμα τοῖς συνοῦσι Ῥωμαίοις τὸν πόλεμον διοίσων. διὸ καὶ ἄκων μὲν καὶ ἀχθόμενος ἐπὶ τῇ τῶν Ῥωμαίων συμφορᾷ, κατεῖχε δὲ ὅμως δι' ἀνάγκην. ἔτι δὲ ἐν Ῥοδόπῃ ἑτέρας οὔσης ἐπαρχίας Ῥωμαίοις ὑπηκόου Στενιμάχου καὶ Τζεπαίνης προσαγορευομένης, αἷς ἦσαν ἱππεῖς χιλίων οὐκ ἐλάσσους μαχιμώτατοι καὶ πλῆθος πεζῶν, ἐδόκει δεῖν στρατεύειν ἐπ' αὐτούς. [20]

2 405 καὶ ἅραντες ἐκ Διδυμοτείχου, ἦλθον ἄχρι Μόῤῥας. ἐκεῖ δὲ νοσήσαντος Ἀμοὺρ, περιέμενον εἴ πως γένοιτο ῥαΐσαι. ὡς δὲ ἐφαίνετο αὐξάνειν μᾶλλον τὸ κακὸν, καὶ ἀπορία ἦν οὐκ ἰατρῶν μόνον, ἀλλὰ καὶ τῶν πρὸς τὴν νόσον ἀναγκαίων, ἀνέστρεφον εἰς Διδυμότειχον. οἱ δὲ ἐν Βυζαντίῳ φανερῶς μὲν ἀντιτάττεσθαι πρὸς τὴν στρατιὰν τὴν Περσικὴν οὐκ ἦσαν δυνατοί. πέμψαντες δὲ στρατιὰν πρὸς τὴν Ἀδριανοῦ, ἐφρούρουν, ὧν ἦρχεν ὁ Σφραντζὴς, μάλιστα τῶν ἐν τῇ Θρᾴκῃ πόλεων μείζω καὶ ἀναγκαιοτέραν οὖσαν. καὶ τῶν ἄλλων ἐποιοῦντο πρόνοιαν ὅση δυνατὴ, ὥστε μὴ ἀποστῆναι πρὸς Καντακουζηνὸν τὸν βασιλέα ἀπ' αὐτῶν. Σφραντζὴς οὖν πυθόμενος περὶ βασιλέως, ὡς ἐπιστρατεύσειε Στενιμάχῳ, καὶ νομίσας ὡς εἴη δυνατὸν ἐκείνου ἀπόντος ἄχρις ἐπανήξῃ τὰ περὶ Διδυμότειχον κακώσαντα αὖθις εἰς Ἀδριανούπολιν ἐλθεῖν, παραλαβὼν ὅσους ἦγεν, ἦλθεν ἐπὶ Διδυμότειχον. συνέβη δὲ τῆς αὐτῆς ὥρας καὶ βασιλέα ἐκ τῆς Μόῤῥας ἐπανήκειν μετὰ τῆς στρατιᾶς, καὶ γενομένης συμπλοκῆς, οἱ πλείους μὲν τῶν ἐπελθόντων ἔπεσον καὶ ἑάλωσάν τινες ὀλίγοι. ἀπέθανε δὲ καὶ ὁ στρατηγός. Ἀμοὺρ δὲ καὶ αὐτὸς ἦλθεν ἐν χρῷ κινδύνου κατ' ἐκείνην τὴν μάχην. ἐκεῖνος γὰρ, καίτοι μικρὸν τῆς νόσου ῥαΐσας, ὡς ἐγένετο ἡ συμπλοκὴ τῶν στρατοπέδων, ὁπλισάμενος ἐχώρει μετὰ τῶν προτάκτων· κοντοῖς δὲ τῶν πολεμίων τρισὶ περιτυχὼν, παρὰ δόξαν διεσώθη, πρὸς τὰς πληγὰς τῶν ὅπλων ἀντισχόντων, καὶ πολλὰς ὠμολόγει βασιλεῖ χάριτας τῆς σωτηρίας. [20]

2 406 εἰωθότα γὰρ ὅπλων μάχεσθαι χωρὶς, ὁ βασιλεὺς ἡμέραις ὀλίγαις πρότερον τῆς μάχης παρῄνει μὴ ἄφρακτον εἰσιέναι εἰς τὰς μάχας, εἰ μὴ βούλοιτο θανάτου αἴτιος καταστῆναι ἑαυτῷ· ὅσῳ γὰρ ἄν τις ἀγωνίζοιτο εὐψύχως, τοσούτῳ πεσεῖται ῥᾷστα πληγῇ τινι περιτυχὼν καὶ κατεργασθεὶς ῥᾳδίως. ᾧ καὶ πειθόμενος, καίτοι ἄνοπλος τὸν ἵππον ἐπιβὰς, αὖθις ἀναστρέψας, ἀνελάμβανε τὰ ὅπλα, τῶν βασιλέως παραινέσεων μνησθείς. βασιλίδι δὲ τῇ Ἄννῃ καὶ πατριάρχῃ καὶ μεγάλῳ

δουκὶ καὶ τοῖς ἄλλοις τοῖς ἐν τέλει ἐδόκει δεῖν πρὸς Ἀλέξανδρον πρεσβείαν ποιεῖσθαι τὸν Μυσῶν βασιλέα, ὥστε συμμαχεῖν αὐτοῖς ἐπὶ Καντακουζηνὸν τὸν βασιλέα. ἐκάκου γὰρ ἡ τῶν Περσῶν στρατιὰ καὶ τὴν ἐκείνου. ὁ δὲ ὑπέσχετο, ἂν μισθὸν αὐτῷ παρέχωσι τῆς συμμαχίας τὰς κατὰ Στενίμαχον καὶ Τζέπαιναν πόλεις καὶ μείζους καὶ ἐλάττους καὶ τὴν ταύταις ἐγκαθιδρυμένην στρατιάν. ἦσαν δὲ ἐννέα, ἡ Τζέπαινα καὶ ὁ Κροτζιμὸς, ἡ Περιστίτζα, ἡ Ἁγία Ἰουστίνα, ἡ Φιλιππούπολις, πόλις θαυμασία καὶ μεγάλη, ὁ Στενίμαχος, ὁ Ἀετὸς, ὁ Μπέαδνος, ὁ Κόσνικος. στρατιὰ δὲ πρότερον μὲν ὑπὲρ τοὺς πεντακοσίους καὶ χιλίους ἦσαν· τότε δὲ ὑπὸ τοῦ Ῥωμαϊκοῦ πολέμου κἀκείνων διεφθαρμένων, ὀλίγῳ πλείους χιλίων ἦσαν, πάντες μαχιμώτατοι καὶ οὐδένων ἄλλων τῶν παρὰ Ῥωμαίοις στρατευομένων λειπόμενοι εἰς εὐψυχίαν. [25]

2 407 οἱ δὲ, ὡς ἐπύθοντο τὴν ἀξίωσιν Ἀλεξάνδρου, παρείχοντο προθυμότατα τὰς πόλεις, δείσαντες, ὡς ἔοικε, μὴ Καντακουζηνῷ τῷ βασιλεῖ κἀκείνων προσθεμένων, πολεμίους ἔχωσιν ἀντὶ συμμάχων καὶ ὑπηκόων· καὶ ὡς ἐν συγκρίσει προτιμήσαντες Ἀλέξανδρον μᾶλλον ἔχειν σύμμαχον ἐσόμενον, ἢ τὸν πολεμοῦντα Καντακουζηνὸν τὸν βασιλέα. οὕτω πᾶσαν ἐπεδείκνυντο σπουδὴν καὶ προθυμίαν ὑπὲρ τοῦ Ῥωμαίων τὴν ἀρχὴν μὴ ἐλασσοῦσθαι. ἐπεὶ μέντοι τὰς πόλεις εἶχεν ὁ Ἀλέξανδρος, ἀπῄτουν οὗτοι τὴν συμμαχίαν κατὰ τὰς συνθήκας. ὁ δ' ἔφασκε μὴ δύνασθαι, ἄχρις ἂν οἱ Πέρσαι ἐνδιατρίβωσι τῇ Θρᾴκῃ· ἂν δέ τινι τρόπῳ δύνωνται πείθειν ἀποχωρεῖν εἰς τὴν Ἀσίαν, τότ' ἤδη Καντακουζηνῷ ἐπιστρατεύσειν προθυμότατα. τοῦτο μὲν οὖν ἑτέρας ἐδεῖτο παρασκευῆς καὶ πραγματείας οὐ τῆς τυχούσης. ὅμως οὐκ ἔχοντες, ὅτῳ χρήσονται ἑτέρῳ, ἐτράπησαν ἐπὶ τοῦτο, καὶ κρύφα προσπέμποντες διελέγοντο Ἀμοὺρ, χρήματα δώσειν ἐπαγγελλόμενοι πολλὰ, εἰ πειθόμενος αὐτοῖς οἴκαδε ἀναχωρήσειεν. ὡς δὲ οὐδὲν τῶν βεβουλευμένων ἠδύναντο ἀνύειν, τὰς τοιαύτας ὑποσχέσεις ψόφους κενοὺς ἐκείνου λογιζομένου, ἐφ' ἑτέραν ἐτράποντο ἐπιβουλὴν καὶ Μαυρομμάτην τινὰ ἐκ Φιλαδελφείας ὄντα, ὃς ὑπὸ Καντακουζηνοῦ τοῦ βασιλέως προσετέτακτο τὴν καθ' ἡμέραν τῶν ἐπιτηδείων χρείαν τῷ Ἀμοὺρ ἀποπληροῦν, τοῦτον δὴ ἔπεισαν ὑποσχέσεσι μεγάλαις τὴν Περσῶν στρατιὰν τρόπῳ δή τινι πείθειν ἀναχωρεῖν πρὸς τὴν οἰκείαν. [20]

2 408 ὁ δὲ ἤδη ἐπιτήδειός τε εἶναι Πέρσαις δοκῶν διὰ τὴν ὑπηρεσίαν, ἄλλως θ' ὅτι καὶ Περσιστὶ διαλεγόμενος εὔνους αὐτοῖς ἐδόκει, στοχαζόμενος ὡς ἄχθοιντο διὰ τὴν χρονίαν τῶν οἰκιῶν ἀποδημίαν, συνεβούλευε τοῖς ἡγουμένοις μάλιστα τῆς στρατιᾶς, ὡς οὐ δέον οὕτω τοσοῦτον χρόνον ταλαιπωρεῖν ἐπὶ τῆς ξένης, ἀμελήσαντας τῶν οἴκοι, ἀλλ' ἅμα πάντας προσελθόντας τῷ Ἀμοὺρ δεῖσθαι περὶ ἐπανόδου· ἰσχυρίζεσθαί τε ὡς οὐκέτι δύναιντ' ἂν ἐπὶ τῆς ξένης διατρίβειν, τῶν οἴκοι μάλιστα ἐπιμελείας δεομένων. οὐ γὰρ ἐπὶ τούτοις ἐνταῦθα ἀφικέσθαι, ὥστε μέχρι παντὸς συνεῖναι βασιλεῖ, ἀλλ' ἐπιμαχήσαντας ὅσον ἔξεστιν, αὖθις ἀναστρέφειν. νυνὶ δὲ εἶναι οὐ μετρίαν τὴν διατριβὴν ἐπὶ δέκα μησὶν ἐν τῇ Ῥωμαίων γεγενημένην· ἢν δ' ἐπιχειρῇ καὶ αὖθις, ἔφασκε, κατέχειν, ἀλλ' ὑμεῖς μὴ πείθεσθε, ἀλλ' ἀπαγορεύσατε φανερῶς τὴν ἐπιπλέον διατριβήν. Ἀμοὺρ γὰρ οὕτως ἔγνωκεν, ὡς ἐνταῦθα συνεσόμενος βασιλεῖ, ἕως ἂν τῶν πολεμίων παρασκευάσῃ περιγενέσθαι, καὶ τούτου μόνου πολλὴν ποιεῖται τὴν φροντίδα· σωτηρίας δὲ ὑμῶν καὶ ἀνακωχῆς τῶν πόνων λόγος οὐδείς. ἂν δὲ νεῶν ἀπορίαν προφασίζηται, ἐν αἷς ἀποπλεύσητε εἰς Ἀσίαν, ἐγὼ ὑμῖν καὶ ταύτην τὴν ἀπορίαν λύσω. ἐκ Βυζαντίου γὰρ ἐλεύσονται πολλαὶ, ἐν αἷς περαιώσεσθε. πρὸς τῷ καὶ χάριν ἐκείνους ὑμῖν εἰδέναι, καὶ χρήματα παρασχέσθαι τῆς ἀναχωρήσεως. τοιαῦτά τε παρῄνει καὶ ἔπειθε, κατὰ γνώμην ὄντα καὶ αὐτοῖς. [20]

2 409 καὶ τῷ σφετέρῳ σατράπῃ προσελθόντες Ἀμοὺρ, περὶ τῆς ἐπανόδου διελέγοντο, ὥσπερ ὑπὸ Μαυρομμάτου ἐδιδάχθησαν. Ἀμοὺρ δὲ πρῶτα μὲν ἐξεπέπληκτο δεινῶς τοὺς λόγους καὶ ἐθαύμαζεν ὅθεν εἰς τοιαῦτα προαχθεῖεν· ἔπειτα ἐπεχείρει πείθειν, ὡς δέον ἔτι περιμένειν

ἐπικουροῦντας βασιλεῖ. ἀναγκαίαν γὰρ εἶναι τὴν αὐτῶν παρουσίαν, πολλῶν αὐτίκα ἐπικεισομένων πολεμίων, ἂν αὐτοὶ ἀναχωρῶσι, μάλιστα δι' αὐτοὺς ἀμυνομένων· ἤνυε δὲ οὐδέν. ἔφασαν γὰρ ἀναφανδὸν, ὡς, εἰ μὴ βούλοιτο σὺν αὐτοῖς κἀκεῖνος οἴκαδε ἀναχωρεῖν, ἀλλ' αὐτοὶ πρὸς Βυζάντιον ἐλθόντες, (πίστεις γὰρ λαβεῖν ἐκεῖθεν τοῦ μὴ ἐπιβουλευθῆναι ὑπ' αὐτῶν,) περαιώσονται πρὸς Βιθυνίαν· εἶτα διὰ Φρυγίας καὶ Λυδίας ἀφίξονται εἰς Ἰωνίαν. ἐρομένου δὲ αὐτοῦ, τίνι χρώμενοι διαλλακτῇ τὰς πρὸς Βυζαντίους ποιήσαιντο συνθήκας, οὐκ ἔφασαν κατάδηλον ποιήσειν ὀμωμοκότες ἀποκρύπτειν. ἐπὶ πεντεκαίδεκα μὲν οὖν ἡμέραις ὁ Ἀμοὺρ τοῖς Πέρσαις διετέλεσε διαλεγόμενος καὶ πείθειν ἐπιχειρῶν μὴ ἀπαίρειν εἰς Ἀσίαν. ἐπεὶ δὲ ἀνήνυτα πονῶν ἑώρα, ἀπήγγελλε πάντα βασιλεῖ μετὰ πολλῆς τῆς ἀθυμίας καὶ ἐμαρτύρετο θεὸν, ὡς αὐτὸς μὲν τοιαύτῃ γνώμῃ πρὸς αὐτὸν ἀφίκοιτο, ὡς αὐτῷ συνδιατρίψων ἄχρις ἄν τι τοῦ νυνὶ πολέμου πέρας γένοιτο, καὶ ὡς ἐκείνους ἐκλέξοιτο συνεῖναι οἷς μάλιστα ἐθάῤῥει, ὅτι πάντα κίνδυνον ὑποστήσονται τῆς εἰς αὐτὸν εὐνοίας. [20]

2 410 νυνὶ δὲ τοὐναντίον ἅπαν γεγενῆσθαι. τὸ γὰρ στρατόπεδον ὑπό τινων ἐνταῦθα τὰ βασιλίδος φρονούντων διεφθάρθαι καὶ πρὸς τὴν οἰκείαν ἀναχωρεῖν πεπεῖσθαι. πολλὰ δὲ ἐν πεντεκαίδεκα ἡμέραις περὶ τοῦ μένειν αὐτοῖς διαλεχθέντα, μηδὲν πλέον ἠνυκέναι, πάντων ὁμοῦ πρὸς τὴν ἐπάνοδον ὁρμῇ τινι κατασχεθέντων παραβόλῳ· ἐξετάσαντα δὲ πολλὰ περὶ τοῦ τοιαῦτα πεπεικότος, μηδαμῶς δυνηθῆναι ἐξευρεῖν. τὸ μὲν οὖν αὐτὸν μόνον παραμένειν, ἀπελθούσης τῆς στρατιᾶς, ἀσύμφορον ἡγεῖσθαι. οὐδεμία γὰρ ὠφέλειά τις ἔσται τῆς παρουσίας τῆς αὐτοῦ. εἰ δ' αὐτῷ λυσιτελέστερον δοκεῖ καὶ ἐπιψηφίσαιτο καὶ αὐτὸς, τὸ νῦν μὲν ἔχον εἰς τὴν οἰκείαν ἐπανελθεῖν μετὰ τῆς στρατιᾶς· ἐκεῖ δὲ δίκας τὰς ἐσχάτας παρ' αὐτῶν τῆς εἰς αὐτὸν καὶ βασιλέα λαβόντα προδοσίας, (μάλιστα γὰρ ἐκεῖ τοῦτο εἶναι ἀνυστὸν αὐτῷ,) ἔπειτα ἑτέρους ἔχοντα τοὺς μάλιστα πιστοτάτους καὶ μέχρι παντὸς αὐτῷ βουλησομένους συγκινδυνεύειν, κατὰ τάχος ἐπανήκειν, εὖ διαθέμενον τὰ κατὰ τὴν οἰκίαν, ἐπιτρόπους καταστήσαντα τῆς ἀρχῆς καὶ διαδόχους μετὰ τελευτὴν, ὡς οὐ ταχέως αὖθις ἐπανήξοντα, ἀλλ' ἢ συγκατεργασόμενον τὸν πόλεμον, ἢ ἐνταῦθα ἐν τῷ μάχεσθαι πεσούμενον. ξζ'. Βασιλεὺς δὲ ἠνιᾶτο μὲν πρὸς τὴν ἀναχώρησιν ἐκείνου· ᾔδει γὰρ ἐπιθησομένους πανταχόθεν πάντας. ὁρῶν δὲ ὡς ἀδύνατον τὴν Περσῶν παρακατέχειν στρατιὰν, πρὸς τὴν ἐπάνοδον ἤδη ὡρμημένην, Ἀμοὺρ μὲν τῆς εἰς αὐτὸν εὐνοίας πολλὰς ὡμολόγει χάριτας· συνεβούλευε δὲ, ἐπεὶ μὴ πείθειν οἷόστε ἐγένετο, πρεσβείαν πρὸς βασιλίδα πέμπειν εἰς Βυζάντιον καὶ ὁμοίους τοῖς προτέροις περὶ τῆς εἰρήνης ποιεῖσθαι λόγους καὶ τὴν ἀβουλίαν ὀνειδίζειν αὐτοῖς, ὅτι διὰ ταύτην τῇ Ῥωμαίων ἡγεμονίᾳ πολλῆς αἴτιοι γεγένηνται φθορᾶς, καὶ ἔτι πλείονος, ἂν μὴ πείθωνται, γενήσονται. [5]

2 411 παραινεῖν τε αὖθις τὸν πόλεμον καταλύειν, καὶ μὴ διὰ φιλονεικίαν ἔχουσαν οὐδὲν ὑγιὲς περιορᾷν ὀσημέραι τοὺς ὁμοφύλους ἐξανδραποδιζομένους καὶ κτεινομένους καὶ τὰ ἔσχατα ὑπομένοντας. ἐκεῖνοι δὲ (καὶ γὰρ οὐδένα αὖθις, ὥσπερ καὶ πρότερον, ποιήσονται τῆς εἰρήνης λόγον,) ἐπὶ τὸ πείθειν αὐτὸν αὐτίκα τρέψονται ἀφίστασθαι ἐκείνου, καὶ πέμψαντες ἀξιόχρεών τινα, ὃν οἰήσονται τοῦτο κατεργάσεσθαι δυνήσεσθαι, παρέξονται καὶ χρήματα πολλὰ τῆς ἀναχωρήσεως μισθὸν καὶ ναῦς, αἷς χρήσεται πρὸς τὴν διάβασιν. καὶ τῇ τε στρατιᾷ τὸ σπουδαζόμενον ἔσται ἠνυκὼς, καὶ τὰ χρήματα λαβὼν ἀμείψεται τοὺς προθύμως συστρατευσαμένους. οὐ γὰρ δίκαιον ὁμοίως πᾶσιν ὀργίζεσθαι καὶ δίκας ἀπαιτεῖν, ἀλλὰ τοὺς μὲν αἰτίους τῆς αὐθαδείας μέτρια κολάζειν, ἵνα μὴ παράδειγμα τοῖς ἄλλοις γίνωνται ἀναισχυντίας, τοὺς δὲ λοιποὺς ἀξίως ἀμείβεσθαι τῶν πόνων, ἵνα τῇ τε κολάσει τῶν ἀγνωμόνων ἐκφοβῇ, καὶ τῇ περὶ τὰς εὐεργεσίας φιλοτιμίᾳ πρὸς εὔνοιαν ἐφέλκηται. ὁ μὲν οὖν ἐπείθετο αὐτίκα καὶ τῆς παραινέσεως εὐχαριστήσας βασιλέα, πρεσβείαν ἔπεμπε πρὸς βασιλίδα καὶ διελέγετο περὶ εἰρήνης αὖθις. [20]

2 412

Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ μετὰ τῶν συναρχόντων περὶ μὲν τῆς εἰρήνης οὐδένα λόγον ἐποιήσαντο, ἀλλὰ πρῶτον μὲν ἐκείνου κατηγόρουν, ὅτι σατράπης ὢν καὶ δύναμιν τοσαύτην κεκτημένος καὶ παρὰ Ῥωμαίων καὶ βαρβάρων τιμώμενος τοσοῦτον, ὥσπερ ἀνδράποδον ἔποιτο Καντακουζηνῷ τοσοῦτον χρόνον ἐπὶ ξένης ταλαιπωρῶν ἐπὶ κέρδει μὲν οὐδενὶ, ἀδοξίᾳ δὲ ἐσχάτῃ, ᾗπερ περιβέβληκεν αὐτὸν ἑκών· τὸ δὲ δὴ μέγιστον, ὅτι καὶ δορυφόρου τάξιν ἐπέχειν οὐκ ἠσχύνθη πρὸς Καντακουζηνὸν, ἀλλ' ἐπὶ τὴν ἐκείνου σκηνὴν ἐρχόμενος, ἀγρυπνοίη νύκτωρ, ὡς ἂν ἐκεῖνος ῥέγχῃ μηδὲν ὑφορώμενος δεινόν. ταῦτα μὲν οὖν εἰς τοσοῦτον ἀδοξίας ἄγοντα αὐτὸν, εἰ φίλον ἐκείνῳ τοιαῦτα ὑπομένειν, οὐδ' αὐτοῖς μελήσειν περὶ τῆς ἐκείνου ὕβρεως. νυνὶ δὲ εἰ ἀρκοῦσα ἔδοξεν ἡ ἐπὶ τοσοῦτον χρόνον ἐπὶ τῆς ξένης ταλαιπωρία καὶ δέοιτο ἐπανελθεῖν πρὸς τὴν οἰκείαν, ξυλλήψεσθαι οὐκ ὀλίγα καὶ αὐτούς. εἴτε γὰρ διὰ Βιθυνίας καὶ Φρυγίας ἐπὶ τὴν Ἰωνίαν βούλοιτο ἐλθεῖν, ἀδεᾶ τὸν πόρον παρασχεῖν αὐτοὺς ἐπὶ τὸν Ἑλλήσποντον ἢ τὸν κατὰ τὸ Βυζάντιον πορθμόν· εἴτε ναυσὶ πρὸς τὴν οἰκείαν ἀποπλεῦσαι, τριήρεις παρασχέσθαι καὶ ναῦς ἑτέρας, τὴν στρατιὰν δυνησομένας ὑποδέξασθαι. ἐπεὶ δὲ χρεία καὶ χρημάτων αὐτῷ ἀμείβεσθαι τοὺς ἐπὶ τοσοῦτον αὐτῷ χρόνον συστρατευομένους, παρέξειν ὅσα ἂν συμβῶσι. τοιαῦτα μὲν ὁ μέγας δοὺξ ἀπεκρίνατο πρὸς τὴν πρεσβείαν. ὁ βάρβαρος δὲ πρὸς τὴν κατὰ τοῦ δεσπότου κατηγορίαν βουλόμενος ἐνίστασθαι „δοκεῖτέ μοι" ἔφη „πολέμιοι μόνον εἶναι πολλῶν, φίλοι δὲ οὐδενός. [20]

2 413 εἰ γὰρ μὴ τοῦτο ἦν, οὐκ ἂν οὕτως ἦτε πόριμοι μηχανὰς μὲν καὶ ἐπιβουλὰς ἐξευρίσκειν κατὰ τῶν πολεμίων, τῇ τε γλώττῃ χρώμενοι ἀφειδῶς πρὸς ὕβρεις, ὥσπερ διὰ τοῦτο ταύτην κεκτημένοι, καὶ πᾶσαν ἄλλην ἐπιδεικνύμενοι πονηρίαν, τῶν δὲ φίλοις προσηκόντων ἐπιστάμενοι οὐδέν. ὅθεν ὑπὸ τῆς ἄγαν περὶ ταῦτα ἀπειρίας καὶ τοῦ ἐμοῦ δεσπότου κατηγορήκατε ἀδοξίαν, ὅτι πρὸς τὴν βασιλέως σκηνὴν ἐλθὼν, ἀπὸ τῶν ἐπιβουλευόντων πολλῶν ὄντων ἀγρυπνῶν ἐφύλαττεν, ὑπὸ τῆς περὶ βασιλέα ἡττώμενος εὐνοίας καὶ πάθει μόνῳ τῶν πάντων παθῶν ἡδίστῳ τε ἅμα καὶ ζηλωτῷ δεδουλωμένος. ἐρωτήσω δὲ ὑμᾶς, τίς βέλτιον περί τε τὸ προσῆκον καὶ τὸ δίκαιον καὶ πρὸς φιλοτιμίαν ἐβουλεύσατο, σατράπης ὁ ἐμὸς δεσπότης, ὃς τῆς εἰς βασιλέα ἕνεκα φιλίας τοσοῦτον εἵλετο πόνον καὶ ἀδοξίαν, ὡς ὑμεῖς φατε, ἢ ὑμεῖς; οἳ πολλῶν καὶ μεγάλων ἀπολελαυκότες βασιλέως εὐεργετημάτων, ἔπειτα πάντων ὥσπερ ἐπιλελησμένοι καὶ πολλὴν ἐπιδειξάμενοι ἀγνωμοσύνην καὶ ἀχαριστίαν, διαβολαῖς χρησάμενοι καὶ συκοφαντίαις, τὸν πόλεμον κεκινήκατε τὸν μέχρι τε νῦν πολλῶν κακῶν αἴτιον γενόμενον ὑμῖν καὶ ἔτι μειζόνων, ὡς ὁρῶ, ἐσόμενον· καὶ οὐδ' αὐτὸ τοῦτο γοῦν αἰσθανόμενοι, ὥσπερ οἱ μαινόμενοι, ὅτι τὰς ἰδίας σάρκας κατεσθίετε. ἦ δῆλον, ὡς ἐκεῖνος μὲν γενναίου καὶ μεγαλόφρονος καὶ νόμους φιλίας ἀνδρὸς εἰδότος ἔργα εἵλετο ποιεῖν, ὑμεῖς δὲ πονηροτάτων καὶ σκαιῶν τοὺς τρόπους καὶ ἓν τοῦτο μόνον καλῶς εἰδότων, πολεμεῖν καὶ διαφθείρειν τοὺς προστυχόντας, ὠφελεῖν δὲ οὐδένα;" ὁ μέγας δὲ δοὺξ ἐξ ἀγχινοίας δῆθεν συγχέειν τὸν βάρβαρον ἐθέλων, „οὐκοῦν ὁμολογεῖσ" εἶπε „τὸν σὸν δεσπότην δοῦλον εἶναι Καντακουζηνῷ;" ὁ δὲ „καὶ μάλιστα" εἶπε „καὶ τὴν ἀκριβῆ δουλείαν, καθ' ἣν οἱ ἀγαθοὶ τοὺς τρόπους ἡττῶνται τῶν καλῶν καὶ ἄχθονται ἀποσπώμενοι τοῦ δουλεύειν τοῖς τοιούτοις, ὥσπερ καὶ ὑμεῖς μοχθηρίας καὶ φθόνου καὶ πανουργίας πεφύκατε δοῦλοι ἀκριβῶς. [10]

2 414 ταύτην γὰρ κἀγὼ δουλείαν ὁμολογῶ εἶναι ἀληθῶς, καθ' ἣν δουλοῦται ἡ ψυχή· τὴν δὲ ἐκ τῶν χρημάτων καὶ αἰχμαλωσίας, οὐ ψυχῆς εἶναι, ἀλλὰ σώματος βιαζομένου ἀκουσίως. διόπερ ἐκείνην πάντες τε μισοῦμεν ἐπίσης καὶ παντὶ τρόπῳ ἐπιχειροῦμεν διαφεύγειν." θαυμάσαντες δὲ ἐκεῖνοι τῆς συνέσεως τὸν βάρβαρον, „ἀλλὰ ταῦτα μὲν" εἶπον „ἐῶμεν. οὐ γὰρ αὐτοῦ δεῖσθαι τῆς πρὸς τὰ βελτίω παραινέσεως· ἐφ' ἃ δὲ μάλιστα τρεψώμεθα ἡ σπουδή." καὶ αὐτίκα τὸν Λουκᾶν Γεώργιον ᾑροῦντο πρεσβευτὴν πρὸς τὸν Ἀμοὺρ, εὐφυῶς τε ἔχοντα πρὸς τὰς πρεσβείας καὶ ἄλλως ἐπιτήδειον ὄντα τῷ σατράπῃ· ἦν γὰρ καὶ πρότερον ὡμιληκὼς καὶ δοκῶν ἐν

συνηθείᾳ εἶναι. ἐπεὶ δὲ ἦκον πρὸς ἐκεῖνον καὶ ἀπήγγελλον τὰ τῆς πρεσβείας, Ἀμοὺρ μὲν ἀκκίζεσθαι ἐδόκει καὶ ἀπηγόρευεν ἐπιπολύ· ἔπειτα ὡς ἐπιπλεῖον ἐγίνοντο οἱ λόγοι καὶ ἐδεῖτο ὁ Λουκᾶς, ἐπηγγέλλετο ἀναχωρήσειν, βασιλίδι τε χάριν πολλὴν κατατιθέμενος ἐν τούτῳ καὶ αὐτῷ, ὄντι τῶν ἐπιτηδείων· ἄλλου γὰρ πρεσβεύοντος ἔφασκεν οὐκ ἂν πεισθῆναι. [20]

2 415 καὶ συνέβησαν εἰς Αἶνον τὰς τριήρεις ἐλθεῖν, αἷς χρήσεται πρὸς τὸν ἀπόπλουν, ἀγούσας καὶ τὰ χρήματα, ἃ ἐπηγγείλαντο αὐτῷ. Λουκᾶς μὲν οὖν τὰ μέγιστα κατεργασάμενος, ὡς ἐδόκει, ἐπανῆκεν εἰς Βυζάντιον, καὶ παρεσκευάζοντο αἵ τε νῆες καὶ τὰ χρήματα. Ἀμοὺρ δὲ μετὰ Καντακουζηνοῦ τοῦ βασιλέως εἰς τὴν Τραϊανούπολιν κατεσκαμμένην οὖσαν ἐκ πολλῶν ἐτῶν στρατοπεδευσάμενος, τὰς ἐκ Βυζαντίου περιέμενε τριήρεις. βασιλεὺς δὲ, ὀλίγῳ πρότερον τῶν Κουμουτζηνῶν προσχωρησάντων, Ματθαῖον ἔπεμψε τὸν πρεσβύτερον τῶν υἱῶν κατέχειν τὴν πολίχνην· ἐλθόντι δὲ καὶ ἄλλα φρούρια προσεχώρησαν περὶ ἐκείνην ᾠκισμένα, τό,τε προσαγορευόμενον Ἀσώματος καὶ ἡ Παραδημὼ, τό,τε Κρανοβούνιον καὶ Στυλάριον, ἃ καὶ μεγάλην ὕστερον πρὸς τὸν πόλεμον ὠφέλειαν εἰσήνεγκε. ξη′. Τότε δὲ νοσηλευομένου τοῦ υἱοῦ, ἐδόκει δεῖν ἐν ὅσῳ διαμέλλουσιν αἱ τριήρεις παραγίνεσθαι πρὸς ἐκεῖνον καὶ τῆς τε νόσου ἕνεκα ἐπισκεψάμενον καὶ περὶ ἄλλων ὧν ἐδεῖτο ὁμιλήσαντα, αὖθις ἀναστρέφειν. καταλιπὼν οὖν τὴν στρατιὰν ἐπὶ τοῦ στρατοπέδου, πεντήκοντα μόνους ἔχων Ῥωμαίων καὶ δύο τῶν Περσῶν, ἐβάδιζεν εἰς Κουμουτζηνὰ διὰ τὸ μηδεμίαν ἐν τῷ μεταξὺ πολεμίων ὑποπτεύειν ἔφοδον. ἐπεὶ δὲ ἐπεγένετο ἡ νὺξ, ηὐλίσαντο ἐπί τινι κώμῃ ἀοικήτῳ, λείψανα τῆς ἀρχαίας συνοικίας ὀλίγα τινὰ ἐχούσῃ. [25]

2 416 συνέβη δὲ τῆς αὐτῆς νυκτὸς καὶ στρατιὰν Περσῶν πεζὴν ἄρτι περαιωθεῖσαν ἐκ τῆς Ἀσίας ἐπὶ λείαν, τοῖς ἐκεῖ αἰγιαλοῖς προσχεῖν, ἀποβᾶσαν δὲ ἐπὶ μὲν τῶν νεῶν τὴν φυλακὴν ἑκατὸν καταλιπεῖν, τοὺς ἐπιλοίπους δὲ, ὄντας περὶ χιλίους, ἐπὶ τὴν λεηλασίαν ἐξελθεῖν· γενομένους δὲ ἔνθα ηὐλίζετο ὁ βασιλεὺς, καὶ πόῤῥωθεν ἡμμένην πυρὰν ἰδόντας, ἐλθεῖν ἐπὶ τὸ χωρίον, πᾶσαν ποιουμένους πρόνοιαν ἀγνοηθῆναι, ὥστε κατασκέψασθαι, οἵτινες εἶεν οἱ χρώμενοι ἐκείνῳ τῷ πυρί· οὕτω γὰρ αὐτοὶ διηγοῦντο ὕστερον. ἐπεὶ δὲ ἐγένοντο ἐγγὺς, στρατιὰν ἰδεῖν πλήθει ὑπερέχουσαν, ὡς ἔδοξεν, αὐτῶν πολύ. εὐθὺς μὲν οὖν εἰσῄει δέος, μὴ αἰσθομένοις αὐτοῖς τοσούτοις οὖσιν οὐχ οἷοίτε ὦσιν ἀντισχεῖν, ἀλλὰ διαφθαρῶσι κρατηθέντες. ἔπειτα ὡς ᾐσθάνοντο ἀγνοηθέντες, ἐβουλεύσαντο διελόμενοι τετραχῇ καὶ περιελθόντες τὸ στρατόπεδον, προσβάλλειν ἀπροσδοκήτοις πανταχόθεν. οἰηθῆναι γὰρ διὰ τὸ ἀπροσδόκητον καταπλήξαντας περιγενέσθαι, καὶ πλειόνων ὄντων. οἱ βάρβαροι μὲν οὖν ἐποίουν κατὰ τὰ βεβουλευμένα, καὶ περιεκάθηντο τὸ στρατόπεδον, ἀναμένοντες τὸ σύνθημα. τῷ στρατηγοῦντι δὲ αὐτῶν ἐδόκει, μὴ πρὸς τοσαύτην στρατιὰν οὕτω διακινδυνεύειν, ἀγνοοῦντα ὅθεν τε εἴη καὶ τὸν ἀριθμόν· καὶ πέμψας δύο τῶν βαρβάρων πρὸς τὸ ὕδωρ, (ᾔδεσαν γὰρ οὖσαν ἐκεῖ πηγὴν,) ἐκέλευεν, εἰ δύναιντο, τῶν ἐκ τοῦ στρατοπέδου συλλαμβάνειν τινὰ, ὥστε παρ’ αὐτοῦ τι βέβαιον περὶ τῆς στρατιᾶς μαθεῖν. [20]

2 417 οἱ μὲν οὖν οὕτως ἐνήδρευον πρὸς τῇ πηγῇ, παιδίου δὲ ἑνὸς τῶν βασιλεῖ συνόντων ἐλθόντος ἐπὶ τὸ ἀρύσασθαι, ὥρμησαν μὲν οἱ βάρβαροι κατασχεῖν. μὴ δυνηθέντες δὲ διὰ τὸ διαδρᾶναι φυγῇ χρησάμενον, πρὸς τὸν στρατηγὸν ἐλθόντες, ἀπήγγελλον τὸ συμβὰν, ὡς ἤδη ἐγνωσμένων. τοῖς βαρβάροις δὲ τότε μᾶλλον ἔδοξεν ἡ στρατιὰ πλήθει τε αὐτῶν ὑπερέχουσα πολλῷ καὶ ἀπὸ μόνης φοβερὰ τῆς ὄψεως, ὥστε καὶ ἀπεγίνωσκον τὸ διὰ μάχης αὐτοῖς ἰέναι, ἀγαπητὸν ἡγούμενοι, ἂν ἐκεῖθεν ἀπαθεῖς κακῶν ἀπαλλαγῶσι, καὶ ἡσύχαζον, τὴν ἀναχώρησιν περιμένοντες τῆς στρατιᾶς. βασιλεὺς δὲ ἐπεὶ τὸ παιδίον τεθορυβημένον ἐλθὸν ἀπήγγελλεν, ὡς πρὸς τῇ πηγῇ διώκοιτο ὑπό τινων, Πέρσας δὲ τοὺς διώκοντας εἶναι οἰηθῆναι, τὸ μὲν ἀπεπέμψατο ὡς ὑπὸ φάσματός τινος ἐκπεπληγμένον, ἐκέλευε δὲ τοὺς ἑωθινοὺς ὕμνους ᾄδειν θεῷ· ἤδη γὰρ περὶ ὄρθρον ἦν ἡ νύξ. ἐπεὶ δὲ ἐκεῖνοι ἐτελοῦντο, τῶν ἵππων ἐπιβάντες

ἀνεχώρουν τοῦ χωρίου, μηδὲν τῶν περισχόντων κακῶν εἰδότες. ἤδη δὲ ὄντες οὐ μακρὰν, θορύβου ἤκουον καὶ ἀλαλαγμοῦ Περσῶν ἐφ' οἷ ἐστρατοπεδεύοντο χωρίου. βασιλεὺς δὲ πέμψας τοὺς συνόντας δύο Πέρσας, ἐκέλευε πλησίον γενομένους μανθάνειν, οἵτινες εἶεν, παρ' αὐτῶν. τῶν δὲ ἐπιδραμόντων ἄτερος μὲν ἑάλω τῶν πεμφθέντων, ὁ δὲ λοιπὸς τετραυματισμένος ἐπανελθὼν, ἀπήγγελλεν, ὡς εἴη στρατιὰ Περσῶν πολλὴ, ἀγνοουμένη ὑπ' αὐτῶν· οἱ μέντοι βάρβαροι παρὰ τοῦ κρατηθέντος γνόντες, ὡς εἴη βασιλεὺς ὁ Καντακουζηνὸς πεντήκοντα μόνους ἄγων στρατιώτας, ἐξεπλήττοντό τε τὸ γεγενημένον καὶ θεὸν ᾤοντο αὐτοῦ χεῖρα ὑπερέχειν καὶ ῥύεσθαι οὕτω κινδύνων χαλεπῶν. [20]

2 418 βασιλεὺς δὲ οὐδὲν πλέον μαθεῖν δεδυνημένος, ἢ ὅτι Περσικὴ στρατιὰ ἡ ἐπελθοῦσα ἦν, ἦλθεν εἰς Κουμουτζηνὰ πρὸς τὸν υἱὸν, καὶ ὁμιλήσας ὅσα ἔδει, ταχέως ἐπανέστρεφεν εἰς τὸ στρατόπεδον. ἐπανιόντι δὲ ἠγγέλλετο, ὡς ἐκ Βυζαντίου ψιλοὶ τοξόται ἐν πεντηκοντόροις τέσσαρσιν ἐλθόντες, καὶ ἑτέρων ἐκ τῆς Θρᾴκης ἐπιγενομένων πεζῶν, Ἀσώματον τὸ φρούριον πολιορκοῖεν. ἐδόκει δὴ οὖν ἅμα τοῖς συνοῦσι πεντήκοντα βοηθεῖν ἐπὶ τοὺς τὸ φρούριον πολιορκοῦντας. ἐκεῖνοι δὲ ἐπεὶ ἐπιοῦσαν εἶδον τὴν στρατιὰν, ἐπὶ γεωλόφου τινὸς ἠμύνοντο ἀνελθόντες· καὶ οἱ περὶ βασιλέα δὶς καὶ τρὶς ἐπιχειρήσαντες, ἐκείνου ἀπαγορεύοντος διὰ τὸ μὴ μάχεσθαι μετὰ συνέσεως πρεπούσης στρατιώτῃ, οὐκ ἠδυνήθησαν κρατῆσαι διὰ τὴν ἐκ τοῦ τόπου ὀχυρότητα καὶ τὸ ἀμύνεσθαι αὐτοὺς τοῖς βέλεσι συχνοῖς. ὡς δὲ ἐτραυματίζοντο οἵ,τε ἵπποι καὶ οἱ στρατιῶται, ἐκέλευεν ὁ βασιλεὺς ἔπεσθαι αὐτῷ, εἰ βούλοιντο κρατεῖν τῶν ἀντιτεταγμένων. καὶ ἐδόκουν ἀναχωρεῖν καταλιπόντες· ἐκεῖνοι δὲ οὐ συνιδόντες τὴν ἀπάτην καὶ νομίσαντες, ἀπειπόντας τὴν πρὸς αὐτοὺς μάχην ἀναχωρεῖν, τοῦ λόφου κατελθόντες, ἐχώρουν ἐπὶ τὰς ναῦς. οἱ δὲ αὐτίκα ἐπιδραμόντες, ἐπεὶ πρὸς τὸ πεδίον ἦσαν, ἀπέκτεινάν τε οὐκ ὀλίγους καὶ τοὺς πλείστους αὐτῶν εἶλον, ὀλίγων τινῶν διαφυγεῖν δεδυνημένων. [25]

2 419 βασιλεὺς δὲ εἰς τὸ στρατόπεδον πρὸς Τραϊανούπολιν ἐπανελθὼν, ἐπεὶ καὶ ἡ στρατιὰ ἐκείνη ἡ περικαθημένη τῆς νυκτὸς, ὥσπερ εἴρητο, ἦκε πρὸς Ἀμοὺρ, γνωρίσας οἷα συμβαίη περὶ αὐτὸν καὶ ὅπως ἐκ κινδύνων φανερῶν ὑπὸ θεοῦ ῥυσθείη αὐτός τε καὶ οἱ περὶ αὐτὸν ἅπαντες, πολλὰς ὡμολόγουν χάριτας θεῷ τῆς σωτηρίας καὶ τῆς προνοίας τῆς περὶ αὐτούς. παρῄνει τε ὁ βασιλεὺς τοῖς συνοῦσι μηδέποτε ἀμελεῖν τῆς φυλακῆς μάλιστα νυκτὸς, τοῖς συμβεβηκόσι παραδείγμασι χρώμενος. εἰ γὰρ μὴ θαῤῥοῦντες αὐτοὶ τοῖς τε ἐν Τραϊανοῦ στρατοπεδευομένοις καὶ τοῖς ἐν Κουμουτζηνοῖς μετὰ τοῦ υἱοῦ, τὴν προσήκουσαν ἑαυτῶν ἐποιοῦντο φυλακὴν, οὐκ ἂν τοιούτοις περιέπιπτον κινδύνοις, ὧν εἰ μὴ θεὸς ἐῤῥύετο φιλανθρώπως, κἂν πεπονθότες ἦσαν ἄξια δακρύων. ταῦτα μὲν οὖν τὸν τρόπον τοῦτον συνηνέχθη. Ἀμοὺρ δὲ, ἐπεὶ αἵ,τε Βυζαντίηθεν τριήρεις ἦκον καὶ τριάκοντα ἐκ τῶν σφετέρων εἰς τὴν Αἶνον, βασιλεῖ ἐπαγγειλάμενος ἐν πεντεκαίδεκα ἡμέραις πέμψειν στρατιὰν, αὐτός τε ἐπανήξειν μετ' ὀλίγον καταστησάμενος τὰ οἴκοι, καὶ μέχρι παντὸς αὐτῷ συνδιατρίψειν ἄχρις ἂν ὁ πόλεμος καταλυθῇ, καὶ συνταξάμενος εὐθὺς ἀπέπλευσεν. εἴσω δὲ τριῶν καὶ δέκα ἡμερῶν, ἣν ἐπηγγείλατο στρατιὰν ἔπεμψε πρὸς βασιλέα. τότε μὲν οὖν δυσχερείας ἔδοξε πολλῆς ἡ ἀναχώρησις Ἀμοὺρ αἰτία γεγονέναι βασιλεῖ· ὕστερον μέντοι τῆς περὶ αὐτὸν τοῦ θεοῦ κηδεμονίας οὐ μικρὸν καὶ αὕτη δεῖγμα ἐφαίνετο γεγενημένη. τριήρεις γὰρ τέτταρες καὶ εἴκοσι Λατινικαὶ ἔκ τε Ῥοδίων καί τινων παρεσκευασμέναι, ἐπέπλευσαν τῇ Σμύρνῃ καὶ τὸ πρὸς τῷ λιμένι φρούριον εἶλον, καὶ ναῦς ἐνέπρησαν οὐκ ὀλίγας Περσικάς. [20]

2 420 Ἀμοὺρ δὲ παρὼν καὶ ἀμυνόμενος, ὡς μάλιστα ἐνῆν, οὐκ ἴσχυσε περιγενέσθαι τῆς Λατινικῆς δυνάμεως. ἄχρι γὰρ νυνὶ ὑπ' ἐκείνων ὁ Σμύρνης ἔχεται λιμήν. ἔλεγε δὲ ὁ βασιλεὺς, ὡς, εἰ συνέβαινεν Ἀμοὺρ κατὰ τὴν Θρᾴκην διατρίβοντος ἁλῶναι Σμύρναν, οὐκ αὐτὸς μόνον, ἀλλὰ καὶ πάντες ἄνθρωποι τῆς εἰς βασιλέα ἕνεκα εὐνοίας τὴν πόλιν Ἀμοὺρ ἀπολωλεκέναι ἂν ὑπώπτευσαν. νυνὶ δὲ ἐκείνου μετὰ τῆς στρατιᾶς ἐκεῖ παρόντος, μηδεμίαν πρὸς αὐτὸν αἰτίαν

εἶναι τῆς ἁλώσεως. δι' ἃ πολλὰς ἀπεδίδου θεῷ εὐχαριστίας τῆς περὶ αὐτὸν κηδεμονίας, ὅτι καὶ ἃ δοκεῖ συμβαίνειν δυσχερῆ, πρὸς τὸ λυσιτελοῦν ὕστερον ἀποδείκνυται οἰκονομούμενα. ἀλλὰ ταῦτα μὲν ὀλίγῳ ὕστερον. τότε δὲ Ἀμοὺρ ἀναχωρήσαντος, εὐθὺς ὑπὸ πάντων τῶν περιοίκων πόλεμος δεινὸς βασιλέα περιίστατο. ὅ,τε γὰρ Κράλης τὸ κράτιστον ἄγων τῆς οἰκείας στρατιᾶς ἄχρι Ζιχνῶν ἀφῖκτο, γνώμην ἔχων, ὡς κατὰ Θρᾴκην ἐπιθησόμενος βασιλεῖ. καὶ ὁ τῶν Μυσῶν βασιλεὺς Ἀλέξανδρος ἦκεν ἐπὶ Στίλβνον πανστρατιᾷ, Παλαιολόγῳ τῷ νέῳ συμμαχήσων βασιλεῖ, ὥσπερ ἦν ὑπεσχημένος. πατριάρχης τε ἐκκλησίαν ἀπὸ πάντων Βυζαντίων ποιησάμενος καὶ πολλὰ Καντακουζηνοῦ τοῦ βασιλέως καθαψάμενος, ὡς ἀδίκως καὶ παρανόμως τοῖς παισὶν ἐπιβουλεύοντος βασιλέως, οὗ πολλῶν ἀπέλαυσε καὶ μεγίστων εὐεργεσιῶν, ἔπειτα ἑαυτὸν πατέρα καὶ κηδεμόνα τοῦ νέου βασιλέως ἀνακηρύξας, καὶ ὡς διὰ τὴν ἐκείνου σωτηρίαν κινδύνοις καὶ μάχαις καὶ αὐτὸς ἔγνω παραβάλλεσθαι καὶ καταλύειν τὸν κοινὸν πολέμιον, πάντας παρώρμησε πρὸς τὸν Καντακουζηνοῦ τοῦ βασιλέως πόλεμον, τοὺς μὲν ἑκόντας, ἔστι δ' οὓς καὶ δι' ἀνάγκην, δείσαντας τὸ ὑποπτεύεσθαι. [5]

2 421 καὶ πάντες κοινὴν ἐκστρατείαν ἐποιήσαντο πεζοί τε καὶ ἱππεῖς· παρῆσαν δὲ καὶ τῶν συγκλητικῶν ὅσοι ἦσαν ἔτι ἄδετοι. τοὺς πλείους γὰρ αὐτῶν ὁ μέγας δοὺξ, τοὺς μὲν ἐν δεσμωτηρίοις εἶχεν ὑπὸ κλοιοῖς, ἐν οἷς καὶ Ἀνδρόνικος Ἀσάνης ὁ Καντακουζηνοῦ τοῦ βασιλέως ἐξητάζετο πενθερός· ἔστι δ' οὓς καὶ ἐν ταῖς οἰκίαις ἐφρούρει ἀπροΐτους. αὐτὸς δὲ ἦν τῆς στρατιᾶς αὐτοκράτωρ στρατηγός. οἳ καὶ βασιλέα τὸν νέον ἔχοντες Ἰωάννην, ἦκον εἰς Ἡράκλειαν τῆς Θρᾴκης· πέμψαντες δὲ καὶ πρὸς Μομιτζίλον, ὃς τῶν κατὰ Μερόπην φρουρίων καὶ τῶν ἄλλων νομάδων ὑπὸ Καντακουζηνοῦ τοῦ βασιλέως ἐνεχειρίσθη τὴν ἀρχὴν, ἔπεισαν ὑποσχέσεσι πολλαῖς πόλεμον πρὸς ἐκεῖνον ἄρασθαι. ἦν γὰρ ἤδη ἐν λόγῳ τινὶ ὁ Μομιτζίλος καὶ δύναμιν περιβεβλημένος ἱκανήν. οὕτω μὲν οὖν ὁ πόλεμος πανταχόθεν βασιλέα περιίστατο καὶ ὑποπτεύειν δεινὰ εἰσῄει. αὐτὸς δὲ, ὥσπερ εἴωθεν, ἀεὶ πρὸς τοὺς κινδύνους μεγαλοψυχῶν καὶ τῶν δεινῶν τὰς ἐπιφορὰς ὁμαλῶς καὶ πρᾴως διαφέρων, πρὸς μὲν Ἀλέξανδρον τὸν Μυσῶν βασιλέα πρεσβείαν ἐποιεῖτο καὶ παρῄνει ἡσυχίαν ἄγειν, ὡς οὐ πολλῷ ὕστερον ἐκείνῳ αἰτίου συμφορῶν πολλῶν τοῦ πρὸς αὐτὸν πολέμου γενησομένου. [5]

2 422 αὐτὸς δὲ γενόμενος πρὸς τὴν Χαλκιδικὴν, τὴν Γρατιανοῦ πόλιν ἐπολιόρκει οὖσαν οὐ μεγάλην, ὀχυροτάτην δὲ ἔκ τε φύσεως τοῦ τόπου καὶ τῶν τειχῶν τῆς κατασκευῆς, ἄλλως δὲ εὐφυῶς πρὸς πάντα ἔχουσαν καὶ ὥσπερ μητρόπολιν οὖσαν τῆς Χαλκιδικῆς. πρὸς μὲν οὖν τειχομαχίαν οὐκ ἐπεχείρει· ᾔδει γὰρ ἀνάλωτον ὅπλοις καὶ χειρῶν βίᾳ ἐσομένην. δεσμωτῶν δὲ οὐκ ὀλίγων ἐκ τῶν πολιτῶν ἐν τῇ ταύτης ἀκροπόλει φρουρουμένων διὰ τὴν πρὸς ἐκεῖνον εὔνοιαν, πέμψας κρύφα διελέγετο αὐτοῖς, εἰ δύναιντο κρατήσαντες τῆς ἀκροπόλεως, παραδιδόναι τὴν πόλιν. καὶ ἐπηγγέλλοντο καὶ αὐτοὶ προθύμως ὑπελθεῖν τὴν ἐπιχείρησιν, καὶ σύνθημα τῆς ἐφόδου ἔδοσαν, νυκτὸς μὲν φρυκτὸν ἀνίσχειν, ἡμέρας δὲ καπνὸν δεικνύειν τῆς ἐπιχειρήσεως σημεῖον. διὰ ταύτην μὲν οὖν τὴν αἰτίαν ὁ βασιλεὺς, καίτοι περιῤῥεόμενος πανταχόθεν ὑπὸ τοῦ πολέμου, οὐκ ἀνίστατο ἐκ τῆς πολιορκίας, ἀλλ' ἐφιλονείκει πρὸς πάντα ἀντικαθίστασθαι ὁμοίως. ὑφ' ὃν δὲ ταῦτα χρόνον ἐτελεῖτο, καὶ ἡ Λατινικὴ δύναμις, ἣ ὀλίγῳ ὕστερον Σμύρνῃ ἐπελθοῦσα ἐκράτησε τειχομαχίᾳ, ἐν τέσσαρσι καὶ εἴκοσι τριήρεσι, περὶ Παλλήνην πεπυσμένοι πρός τινα λιμένα Λογγὸν ἐγχωρίως προσαγορευόμενον ναῦς ἑξήκοντα ἐφορμεῖν Περσικὰς, ἐπέθεντό τε καὶ ἐκράτησαν αὐτῶν κενῶν. [20]

2 423 τὸ γὰρ Περσικὸν, μὴ δυνάμενον ἀντικαθίστασθαι πρὸς ναυμαχίαν, τὰς ναῦς καταλιπόντες διεσώζοντο εἰς τὴν γῆν. Λατῖνοι δὲ ἀνελκύσαντες τὰς ναῦς καὶ πυρὶ παραδόντες ἀνεχώρουν. οἱ Πέρσαι δὲ ἀπολειφθέντες ἀπορίᾳ νεῶν, ἔγνωσαν δεῖν ἐπὶ Χερῤῥόνησον τῆς Θρᾴκης διὰ τῆς ἠπείρου ἀναχωρεῖν, ὡς ἐκεῖθεν εἰς Ἀσίαν περαιωσόμενοι εὐπορήσαντες νεῶν. ξθ'. Κράλης δὲ ἐν Ζίχνᾳ ἐστρατοπεδευμένος, ὥσπερ ἔφημεν, ἐπὶ τῷ Καντακουζηνῷ τῷ βασιλεῖ πολεμεῖν, ἐπεὶ

πύθοιτο τὸ περὶ τοὺς Πέρσας συμβὰν καὶ ὡς διὰ τῆς αὐτῆς ὁδοῦ ἐπὶ Χερρόνησον μέλλουσιν ἰέναι, τὸ κράτιστον τῆς περὶ αὐτὸν ἀπολεξάμενος στρατιᾶς καὶ στρατηγὸν αὐτοῖς ἐπιστήσας τὸν εὐψυχίᾳ καὶ τόλμῃ καὶ ἐμπειρίᾳ τῶν παρ' αὐτῷ δυνατῶν δοκοῦντα ὑπερέχειν Πρεάλιμπον ὠνομασμένον, ἐκέλευσε συμπλέκεσθαι τοῖς βαρβάροις, οἵπερ ἂν συντύχωσι. καὶ πρός τινα τόπον Στεφανιανὰ λεγόμενον περιτυχόντες, καθίσταντο πρὸς μάχην. οἱ Πέρσαι δὲ, ἐπεὶ πεδίον ἦν, ἐφ' οὗ Τριβαλοῖς ἔμελλον ἰέναι ἐς τὰς χεῖρας, δείσαντες τὴν ἔφοδον τῶν ἱππέων, ἀνεχώρουν πρὸς τὸ ὄρος καὶ τὰς δυσχωρίας· ἦν γὰρ ἐγγύς. ὁρῶντες δὲ οἱ Τριβαλοὶ δυσπρόσοδον τὸ χωρίον καὶ νομίσαντες, εἰ διὰ τῶν στενῶν εἰσωθοῖεν ἑαυτοὺς, ἵππους τε ἀπολεῖν πολλοὺς, περιτοξευομένους ὑπὸ τῶν βαρβάρων, καὶ αὐτοὺς τραυματισθήσεσθαι, ἀποβάντες τῶν ἵππων, ἐβάδιζον πεζοὶ ἐπὶ τοὺς πολεμίους, δυσέργως καὶ μετὰ βίας ἐπὶ τὸ ἄναντες ἰόντες διὰ βαρύτητα τῶν ὅπλων. [25]

2 424 οἱ Πέρσαι δὲ ἰδόντες οὕτω πεζοὺς ἐπὶ τὴν ἄνοδον βιαζομένους, περιεργότερόν τι μᾶλλον ἔγνωσαν, ἢ ἀνδρειότερον, ποιεῖν, καὶ ὑποκρινάμενοι φυγὴν, μᾶλλον ἀνεχώρουν πρὸς τὸ ὄρος, οἱ δ' ἐφείποντο μὴ συνιδόντες τὴν ἀπάτην. ἐπεὶ δὲ ἀπέστησαν ἑκάτεροι τῶν ἵππων οὐκ ὀλίγον, οἱ Πέρσαι συστραφέντες ἐναντίον μὲν οὐκ ἐχώρουν Τριβαλῶν, ἀλλ' ἐκπεριελθόντες ἑκατέρωθεν, ἔθεον ἐπὶ τοὺς ἵππους. ἄνοπλοι δὲ καὶ κοῦφοι ὄντες, φθάσαντες τοὺς Τριβαλοὺς, ἐκράτησαν τῶν ἵππων καὶ ἐπέβησαν αὐτοί· Τριβαλοὶ δὲ, τῶν ἵππων ἀφῃρημένων, ἕτοιμοι ἦσαν πρὸς σφαγήν. ἔπεσον γὰρ οἱ πλείους κτεινόμενοι ὑπὸ τῶν Περσῶν, ἑάλωσάν τε οὐκ ὀλίγοι· οἱ λοιποὶ δὲ μόλις διεσώθησαν πεζοὶ ἐπὶ τὸ ὄρος διασκεδασθέντες. Κράλης δὲ ἐπεὶ ἐπύθετο τὴν ἧτταν τῆς οἰκείας στρατιᾶς, δείσας ἀνεχώρει καὶ αὐτὸς, τοῦ πρὸς βασιλέα πολέμου ἐπιλελησμένος διὰ τὴν συμβᾶσαν συμφοράν. οὐ μὴν ἠμέλει γε, ἀλλὰ καὶ οἴκοι καθήμενος ἐπολέμει. οἱ Πέρσαι δὲ μετὰ τὴν νίκην πυθόμενοι Καντακουζηνὸν τὸν βασιλέα τὴν Γρατιανοῦ πολιορκεῖν, πρεσβείαν πέμψαντες τόν τε ἐμπρησμὸν τῶν νεῶν ἐδήλουν τῶν σφετέρων καὶ τὴν ἧτταν Τριβαλῶν, καὶ ὡς αὐτοὶ φιλίως διακείμενοι πρὸς αὐτὸν, ἐπὶ Χερρόνησον ἐγνώκασι χωρεῖν, ἵν' ἐκεῖθεν περαιωθῶσιν εἰς Ἀσίαν. ἠξίουν τε μηδὲν αὐτοῖς παρενοχλεῖν μέλλουσι διὰ τῆς ἐκείνῳ ὑπηκόου διιέναι. εἰ δέ τι δέοιτο αὐτῶν κατὰ τῶν πολεμίων, προθύμους εἶναι συμμαχεῖν, εἰ χρήματα παράσχοιτο, ὅσα ἂν συμβῶσιν· ἦσαν δὲ τρισχίλιοι καὶ ἑκατόν. [20]

2 425 βασιλεῖ μὲν οὖν ἐδόκει ἀναγκαιοτάτη εἶναι ἡ τῆς Περσικῆς συμμαχία στρατιᾶς καὶ μάλιστα ἐπὶ καιρὸν γεγενημένη, τοσούτων πολεμίων ἐπιόντων πάντοθεν καὶ οὕτω δυνατῶν· οὐδέπω γὰρ ᾔδει Κράλην πρὸς τὴν οἰκείαν ἐκ Ζιχνῶν ἀνακεχωρηκότα. χρημάτων δὲ οὐκ εὐπορῶν, οὐ μετρίως ἠνιᾶτο· ὅμως τοῖς πρεσβεύουσι δῶρα παρασχόμενος, ἔπεισε συνθέσθαι ἐπὶ χρήμασι ῥητοῖς συμμαχεῖν αὐτῷ τὴν στρατιὰν ἡμέρας τεσσαράκοντα. τὰ χρήματα δὲ μὴ αὐτίκα ἀπαιτεῖν, ἀλλὰ μετὰ πεντεκαιδεκάτην τῆς ἀφίξεως ἡμέραν· γνώμην δὲ εἶχεν, ὡς ἐν ταύταις ἐκ Διδυμοτείχου μεταπεμψόμενος. οὕτω μὲν οὖν μετὰ τῶν πρέσβεων συμβάσεις θέμενος, ἔπεμπεν εἰς τὸ στρατόπεδον καὶ τῶν οἰκείων συνεκπέμψας ἕνα, ὥστε κατὰ τάχος ἀγαγεῖν πρὸς αὐτὸν τὴν στρατιάν. εἰς τὴν ὑστεραίαν δὲ μετὰ τῶν πρέσβεων τὴν ἐκ βασιλέως ἀναχώρησιν οἱ ἐν ἀκροπόλει τῆς Γρατιανοῦ δεσμῶται τοῖς φυλάττουσι μέσης ἡμέρας ἐπιθέμενοι καὶ κρατήσαντες, ἐκάλουν βασιλέα καπνὸν ἐπιδεικνύντες, ὥσπερ ἦν συντεθειμένον. βασιλεὺς δὲ ἐπεὶ τὸ σύνθημα εἶδεν, ὀξέως ἐπιβοηθήσας εἶλε τὴν πόλιν ἐκ τῆς ἄκρας. καὶ τά τε ἄλλα ἥσθη οὕτω πόλιν καλὴν ἀπονητὶ καὶ χωρὶς κινδύνων κατασχὼν, καὶ χρημάτων εὐπόρησεν οὐκ ὀλίγων, ὧν μάλιστα ἐδεῖτο. Ἀγγελίτζης γάρ τις ἐκ τῶν φαύλων καὶ ἀσήμων πολιτῶν, πρότερον ὑπωπτεύετο θησαυρὸν χρημάτων εὑρηκέναι, ἀδήλου δὲ ὄντος τοῦ πράγματος, οὐδεὶς ἠνώχλει. [20]

2 426 κατὰ δὲ τὸν χρόνον τούτου τοῦ δεινοῦ πολέμου, εἰς τοὐναντίον ἅπαν τῶν πραγμάτων περιτραπέντων, καὶ τῶν μὲν ἀρίστων ἐκβληθέντων καὶ εἰργομένων ἀπανταχοῦ, ἀρχόντων δὲ

τῶν φαύλων καὶ οὐδὲν ἄμεινον τῶν πολλῶν διακειμένων, καὶ ὁ Ἀγγελίτζης οὗτος ἄρχων ἀπεδείχθη τῆς Γρατιανοῦ διὰ τὸ πρὸς Καντακουζηνὸν τὸν βασιλέα ἔχθος. καιροῦ δὲ τυχὼν ἐχρῆτο τῷ πλούτῳ καὶ φανερὸς ἦν ἔχων, ὥσπερ ὑπωπτεύετο, τὸν θησαυρόν. κατασχόντος δὲ τὴν πόλιν βασιλέως, ἐπεὶ μὴ ἐξῆν ἀρνεῖσθαι, τοῦ πράγματος οὕτω φανεροῦ γεγενημένου, μετὰ τὸ πάντα ὅσα ἦν ἐν τῇ οἰκίᾳ ἀφαιρεθῆναι ὄντα οὐκ ὀλίγα καὶ περὶ τῶν κρυπτομένων ἠρευνᾶτο καὶ παρέσχετο πολλά. ἃ ἐξήρκεσε βασιλεῖ πρός τε ἄλλας δαπάνας ἀναγκαίας καὶ πρὸς τὸ Πέρσαις τοῖς συμμάχοις ἀποδοῦναι ὃν ὑπέσχετο μισθόν. ὑπὸ δὲ τὸν χρόνον τοῦτον καὶ ὁ Διδυμοτείχου ἐτεθνήκει ἀρχιερεύς· πέμπτῃ δὲ ἡμέρᾳ μετὰ τὴν ἐκείνου τελευτὴν καὶ Γλάβας ὁ Σκουτέριος ἐτεθνήκει, ὥσπερ ἦν ὁ ἀρχιερεὺς προειρηκὼς, ὃ μάλιστα ἐλύπησε τὸν βασιλέα. ἦν γὰρ περὶ ἐκεῖνον πολλὴν τὴν αἰδῶ καὶ τὸ σέβας κεκτημένος. Ἀλέξανδρος δὲ ὁ Μυσῶν βασιλεὺς, ἐπεὶ οἱ Καντακουζηνοῦ τοῦ βασιλέως πρέσβεις ἦκον πρὸς αὐτὸν καὶ ἀπήγγελλον τὰ τῆς πρεσβείας, λόγον μὲν οὐδένα ἐποιήσατο πρὸς τὰ εἰρημένα· στρατιὰν δὲ ἔχων ἦλθεν ἄχρι Μόῤῥας, τὰ ἐκεῖ πολίχνια, εἰ δύναιτο, παραστησόμενος ὑπήκοα ὄντα βασιλεῖ. ἓν δὲ αὐτῶν Ὑπερπυράκιον ὠνομασμένον, καὶ πρὶν ἐκεῖνον ἥκειν, ἄρχοντα εἰσεδέξαντο πεμφθέντα παρὰ Ἀλεξάνδρου· ἔμελλον δὲ καὶ φρουράν. [25]

2 427 ἃ παρὰ τῶν πρεσβέων μαθὼν ὁ βασιλεὺς, ἐπεὶ καὶ ἡ στρατιὰ παρῆν ἡ Περσικὴ καὶ περὶ τοῦ Κράλη ἐπυνθάνετο, ὡς ἀναστρέψειεν εἰς τὴν οἰκείαν διὰ τὴν πληγὴν τῆς στρατιᾶς, εὔθυμος γενόμενος καὶ Ματθαῖον τὸν υἱὸν ἄρχοντα τῆς τε Γρατιανοῦ καὶ τῶν ἄλλων, αἳ ὑπήκοοι ἦσαν ἐν τῇ Χαλκιδικῇ, καταλιπὼν, ὡς εἶχε τάχους, πρὸς Μόῤῥαν ἐπὶ τοὺς Μυσοὺς ἐχώρει. αἰσθόμενος δὲ Ἀλέξανδρος, ἐπεὶ μὴ ἀντικαθίστασθαι ἠδύνατο πρὸς μάχην, σπουδῇ πολλῇ διέβαινε τὸν Ἕβρον ἀτάκτως καὶ πεφυρμένως, καὶ ἐστρατοπεδεύετο ἐκεῖ, ὡς τοῦ ποταμοῦ κωλύσοντος βασιλέα μὴ συμπλέκεσθαι αὐτοῖς. ἀπώλοντο δὲ κατὰ τὸν πόρον στρατιῶταί τε ὀλίγοι καὶ ἵπποι πλεῖστοι καὶ ἀποσκευαὶ, οὐ μόνον ὑπὸ τοῦ ῥείθρου, ἀλλ' ὅτι καὶ οἱ ἐν προτάκτοις ὑπὸ βασιλέως τεταγμένοι, ἔτι τῶν Μυσῶν διαβαινόντων, ἐπέκειντο αὐτοῖς. Ὑπερπυράκιον δὲ αὖθις ἀνεσώσατο ὁ βασιλεὺς, τοῦ παρὰ Ἀλεξάνδρου ἄρχοντος διαδρᾶναι δυνηθέντος ἅμα τῷ πυθέσθαι βασιλέα ἥκοντα. Ἀλέξανδρος δὲ τοῖς βασιλέως πρέσβεσιν αὐτίκα χρηματίσας καὶ θέμενος σπονδὰς, ἐξέπεμψε, μηδὲν ἠδικηκέναι εἰρηκὼς, δι' ὃ δικαίως ἀμυνεῖται βασιλεὺς, καὶ ἀνέστρεφεν εἰς τὴν οἰκείαν. ο′. Βασιλεὺς δὲ ἀσμένως ἀποσκευασάμενος καὶ Ἀλέξανδρον, παρεσκευάζετο ὡς τοῖς εἰς Ἡράκλειαν ἐπιστρατεύσων ἅμα τῷ νέῳ συνοῦσι βασιλεῖ. [20]

2 428 Μομιτζίλος δὲ ὑπὸ τῶν ἐν Βυζαντίῳ πεπεισμένος πόλεμον ἄρασθαι πρὸς βασιλέα, ἐπεὶ εἰς Διδυμότειχον ᾔσθετο ἀφιγμένον, Ἀβδηρίταις ἐπεστράτευσεν, ἐν οἷς ὡρμίζοντο αἱ πρότερον παρὰ Ἀμοὺρ πεντεκαίδεκα νῆες πρὸς βασιλέα κατὰ συμμαχίαν ἀφιγμέναι, ἃς ἐφύλαττον πεντήκοντα καὶ διακόσιοι Περσῶν· οἱ λοιποὶ δὲ συνῆσαν βασιλεῖ. ἐξ ὧν ὁ Μομιτζίλος κατὰ τὴν ἔφοδον ἐκείνην ἐνέπρησε τρεῖς, τῶν ἄλλων περισωθεισῶν· Περσῶν δὲ ἀπώλετο οὐδείς. πρὸς δὲ τοὺς βασιλεῖ συνόντας τις ἐλθὼν, ὡς ναῦς τε συμπάσας ἐμπρήσειε Μομιτζίλος ἐπελθὼν καὶ τοὺς φύλακας ἀποκτείνειε, διαδρᾶναι δυνηθέντος μηδενὸς, ἀπήγγελλεν. οἱ δ' ἦσαν ἐν τοῖς ὅπλοις εὐθὺς καὶ ὥρμηντο Μομιτζίλῳ ἐπιέναι. βασιλέως δὲ κωλύειν πειρωμένου, ὡς μετὰ τὴν ἐξ Ἡρακλείας ἐπάνοδον ἐπιστρατεύσοντας ἐκείνῳ μετὰ τῆς προσηκούσης ἐπιμελείας καὶ σπουδῆς, καὶ ἀναγκαιοτέραν τὴν εἰς Ἡράκλειαν στρατείαν ἐκ πολλῶν ἀποδεικνύντος, οὐδὲν ἀναγκαιότερον ἔφασαν ἐκεῖνοι τοῦ ἀμύνεσθαι ὑπὲρ τοῦ φόνου τῶν ὁμοφύλων. ὁρῶν δὲ ὁ βασιλεὺς, ὡς μὴ δύναιτο κατέχειν, καὶ τὴν Ῥωμαίων συνεξέπεμπε στρατιὰν, ἅμα μὲν κακώσουσαν τὰ Μομιτζίλου ἤδη φανερῶς ἀφεστηκότος, ἅμα δὲ καὶ περὶ τῶν βαρβάρων δεδοικὼς, μὴ διαφθαρῶσιν ὑπ' ἐκείνου, ἀξιόμαχον στρατόπεδον ἤδη κεκτημένου καὶ πρὸς τόλμαν καὶ εὐψυχίαν οὐδενὸς τῶν τότε λειπομένου. [20]

2 429 Μομιτζίλος δὲ, ὅπερ ἐγένετο, ὑπωπτευκὼς, ὡς οὐκ ἂν ἀνάσχοιτο τὴν ὕβριν ὁ βασιλεὺς, ἀλλ᾽ ἐπ᾽ αὐτὸν πέμψοι στρατιὰν, τήν τε χώραν συνέστειλεν εἰς τὰς πόλεις καὶ τὰ φρούρια καὶ αὐτὸς παρεσκεύαστο ὡς ἐπὶ μάχην. ὁρῶν δὲ τὴν Περσῶν καὶ Ῥωμαίων στρατιὰν δυνατωτέραν οὖσαν, ἢ ὥστε διακινδυνεύειν πρὸς αὐτὴν, τὸ νῦν μὲν ἔχον ἔγνω ἡσυχάζειν καὶ ἐπὶ λεηλασίαν τρέπεσθαι ἐᾷν, ἀναστρέφουσι δὲ ἐπιτίθεσθαι καὶ βλάπτειν, ἤν τι δύνηται. καὶ τὴν στρατιὰν ἔχων, κατὰ τὸ Περιθεώριον ὑπὸ βασιλίδα ἔτι τελοῦν διέτριβεν ἐλθὼν καὶ τὴν ἀνάζευξιν περιέμενε τῆς στρατιᾶς. βασιλεῖ δὲ τῷ Καντακουζηνῷ ἐν Κουμουτζηνοῖς τὴν ἐπάνοδον τῆς στρατιᾶς καὶ αὐτῷ ἐκδεχομένῳ, ἐδόκει δεῖν προελθεῖν ἐπὶ μικρὸν, εἴ πως ἐγγένοιτο παρά του τι περὶ τῆς στρατιᾶς πυθέσθαι. καὶ προῆλθεν ἄχρι πόλεως Μεσήνης παλαιᾶς, ἐκ πολλῶν ἐτῶν κατεσκαμμένης, ὅσον ἑξήκοντα ἔχων ἑπομένους στρατιώτας. ἐκεῖ δὲ τοῦ ἵππου μετὰ τῶν συνόντων ἀποβὰς, σκοποὺς μὲν ἔπεμπε πρότερον φυλάττειν πόῤῥωθεν. νυσταγμῷ δὲ ληφθεὶς, ὕπνωττεν ἐπὶ μικρόν· ὑπνώττοντι δὲ ἠκούετο λέγουσα φωνή· „ἔγειραι ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός.“ ἀνέστη μὲν οὖν αὐτίκα ὑπὸ τῆς φωνῆς θορυβηθεὶς, καὶ τοῖς παροῦσι διηγεῖτο. ἅμα δὲ καὶ οἱ σκοποὶ ἀπήγγελλον ἐλθόντες, ὡς προσελαύνει στρατιά· ἀκριβῶς δὲ οὐκ εἶχον εἰδέναι ὅθεν εἴη. βασιλεὺς δὲ καὶ οἱ περὶ αὐτὸν ᾠήθησαν μὲν εἶναι τὴν οἰκείαν, ὑποστρέφουσαν ἐκ τῆς λεηλασίας, ὅμως ὑπὸ τῆς κατὰ τοὺς ὕπνους τεθορυβημένος φωνῆς, τούς τε νεμομένους ἵππους ἐκεῖ τῆς στρατιᾶς ἐκέλευε τοὺς νομέας ἀπάγειν εἰς Κουμουτζηνὰ, καὶ Μανουὴλ τὸν Ταρχανειώτην ἐκ τῶν παρόντων ὀλίγους ἐκέλευεν ἀπολεξάμενον, εὐθὺ τῆς ἐρχομένης στρατιᾶς χωρεῖν καὶ κατασκέπτεσθαι ὅθεν εἴη· αὐτὸς δὲ ἀνελάμβανε τὰ ὅπλα μετὰ τῶν συνόντων. [5]

2 430 οὕπω δὲ ὡπλισμένων παντελῶς, τεθορυβημένος ἐπανῆκεν ὁ Ταρχανειώτης, πολεμίους εἶναι φάσκων τοὺς ἐπιόντας. οὕπω δὲ πᾶν εἴρητο ἔπος, καὶ οἱ πολέμιοι παρῆσαν. ἦν δὲ ὁ Μομιτζίλος, χιλίους ἄγων ἐπιλέκτους, παρά τινων κατασκόπων, οὓς ἔπεμψεν αὐτὸς, περὶ βασιλέως πεπυσμένος, ὅτι ἐν Μεσήνῃ τὸ νῦν ἔχον διατρίβει. ἦν γὰρ ὀλίγον ἐν ᾧ διεῖχε Περιθεώριον Μεσήνης. βασιλεὺς μὲν οὖν τοὺς περὶ αὐτὸν συναγαγὼν, ἐβάδιζεν εὐτάκτως διὰ Μεσήνης τὴν ἄγουσαν εἰς Κουμουτζηνά. ὁρῶν δὲ ὁ Μομιτζίλος οὐκ εὐθὺς ἐπὶ φυγὴν τραπέντας, ἀλλὰ βάδην καὶ τεταγμένως ἀπιόντας, ἔδεισε μή, τινων ἐνεδρευόντων ἐν τοῖς ἐρειπίοις τῆς πόλεως, τροπὴ γένηται περὶ αὐτὸν, ἀτάκτοις καὶ διεσκεδασμένοις ἀθρόον ἐπελθόντων, καὶ συνεῖχε καὶ αὐτὸς τὴν στρατιὰν σχολαίως πορευομένην ἐν λόχοις τρισίν. ἐπεὶ δὲ βασιλεὺς καὶ οἱ περὶ αὐτὸν ἔξω τῶν ἐρειπίων ἦσαν καὶ ἐνέδρας ὑποψία οὐδεμία ἦν, ἤλαυνον οἱ περὶ Μομιτζίλον ἐπ᾽ ἐκείνους ἀκρατῶς. τραπομένων δὲ ἁπάντων εἰς φυγὴν, ἐπεὶ οἱ προδραμόντες τῶν πολεμίων ἐγγὺς ἦσαν βασιλέως, (τῶν ἄλλων γὰρ αὐτὸς τελευταῖος ὑπελείπετο,) συστραφεὶς ἠμύνετο τοῖς πρώτως φθάσασι, καὶ ἔπιπτεν ὁ βασιλέως ἵππος τοῖς πολεμίοις συμβαλόντος. [20]

2 431 τῶν οἰκετῶν δὲ εἷς παρὼν, Λαντζαρέτος ὄνομα, τοῦ ἵππου ἀποβὰς, παρείχετο τὸν ἵππον βασιλεῖ, ἅμα δὲ καὶ συνήρατο ἐπιβῆναι. ἐπιβαίνοντα δὲ ξίφει τις ἔπληξεν ἐπιστὰς κατὰ τῆς κεφαλῆς, ἔβλαπτε δὲ οὐδὲν, τοῦ κράνους πρὸς τὴν πληγὴν γενναίως ἀντισχόντος. ἐξ ἐκείνου δὲ διὰ πάσης ἀμυνόμενος τῆς ὁδοῦ καὶ πλήττων καὶ πληττόμενος, (παρῆλθον γὰρ αὐτὸν πολλοὶ τῶν πολεμίων,) ἦλθεν εἰς Κουμουτζηνὰ, παραδόξως διασωθεὶς, Λαντζαρέτον δὲ ξίφεσι καὶ δόρασι κατατραυματίσαντες καὶ νομίσαντες ἀπεκτονέναι, (δεκάκις γὰρ ἐτραυμάτισαν πρὸς τοῖς ὀκτὼ,) ἀπέλιπον ἐμπνέοντα. βασιλεὺς μὲν οὖν οὕτως ἐκ τοῦ τοσούτου κινδύνου, μηδενὸς ἂν προσδοκήσαντος, διεσώζετο, καὶ ὁ Μομιτζίλος οὐδὲ βραχὺ προσμείνας ἀνεχώρει. Λαντζαρέτον δὲ πέμψας ὁ βασιλεὺς ἤγαγεν εἰς Κουμουτζηνὰ ἐμπνέοντα ἔτι· καὶ πολλῆς ἀξιωθεὶς ἐπιμελείας, ἐν ὀλίγῳ χρόνῳ ὑγιής τε καὶ σῶος αὖθις ἦν, μηδὲν τῶν μελῶν ὑπὸ τῶν πληγῶν ἀποβαλὼν, πολλῆς τε εὐμενείας καὶ τιμῆς ἀπέλαυε παρὰ βασιλέως, καὶ μειζόνων, ἢ ἐτύγχανε, δοκῶν εἶναι ἀξιώτερος διὰ τὴν ἐπιδεδειγμένην πρὸς ἐκεῖνον εὔνοιαν. ἔπεσον δὲ καὶ

τῶν ἄλλων τέτταρες, ὧν εἷς ὁ Βρυέννιος Μιχαὴλ ἦν, ᾧ πεσεῖν μαχόμενον ἔμπροσθεν βασιλέως ὁ Διδυμοτείχου ἀρχιερεὺς πολλῷ χρόνῳ πρότερον προεῖπεν· ἑάλωσαν δὲ καὶ ἕτεροι τοσοῦτοι. Μομιτζίλος δὲ μετὰ μικρὸν, τῆς αὐτῷ ἐπελθούσης στρατιᾶς ἀνακεχωρηκυίας, τῶν ἑαλωκότων δύο, τόν τε Ἀπελμενὲ καὶ Θεόδωρον τὸν Καβαλλάριον, πρὸς βασιλίδα τὴν Ἄνναν πέμψας, μισθοὺς ᾔτει τῆς συμμαχίας καὶ τῆς πρὸς τὸν πολέμιον, αὐτῷ γεγενημένης μάχης. [25]

2 432 ἡ δὲ ἀσμένως τε ἐδέχετο τὴν αἴτησιν καὶ δεσπότην ἀπεδείκνυ. πρεσβείαν δὲ καὶ πρὸς βασιλέα πέμψας ἐδεῖτο τυχεῖν συγγνώμης, ἀγνώμων οὕτω φανεὶς καὶ κακῶς ἀμειψάμενος τὸν εὐεργέτην· ἐπηγέλλετό τε μηδὲν ἀγνωμονήσειν ἔτι. βασιλεὺς δὲ τό,τε τιμωρεῖσθαι ὡς ἀμήχανον ὁρῶν καὶ τὸ πολέμιον ἔχειν Μομιτζίλον βλάπτειν δυνάμενον ὡς ἀλυσιτελὲς, διηλλάττετό τε καὶ παρείχετο συγγνώμην, προσήκοντα ὑπομένων τῷ καιρῷ. πεπυσμένος δὲ αὐτὸν καὶ παρὰ βασιλίδος δεσπότην γεγονέναι, τὴν σεβαστοκράτορος αὐτὸς παρείχετο ἀξίαν, καὶ ἔδοξε τὰ τούτου μᾶλλον ἢ τὰ βασιλίδος προελέσθαι, καὶ ἔστεργε τὸ ὑπὸ βασιλεῖ τετάχθαι δῆθεν ἐπ' ὀλίγον χρόνον. τοῦ χρόνου δὲ ἐν τούτοις παρῳχηκότος, ὃν οἱ βάρβαροι ἐπηγγείλαντο συμμαχήσειν βασιλεῖ, ἐμέμνηντο ἐπανόδου. βασιλεὺς δὲ καὶ αὖθις ἐπεχείρει συνεῖναι πείθειν· μὴ πειθομένους δὲ ἀπέλυε, καὶ ἐπεραιοῦντο εἰς Ἀσίαν δι' Ἑλλησπόντου. οα′. Καὶ βασιλεὺς ὁ νέος Παλαιολόγος ἐνόσησεν ἐν τούτῳ τῷ χρόνῳ κατὰ τὴν Ἡράκλειαν νόσημα δεινὸν, ὃν ἔχων ὁ πατριάρχης μετά τινων συγκλητικῶν εἰς Βυζάντιον ἀνέστρεφεν. Ἀπόκαυκος δὲ ὁ μέγας δοὺξ μετὰ τῆς στρατιᾶς ὑπελείπετο αὐτοκράτωρ στρατηγὸς, καὶ παρεσκευάζετο, ὡς τοῖς κατὰ Διδυμότειχον ἐπιθησόμενος. [20]

2 433 ἐπύθετο γὰρ Καντακουζηνοῦ τοῦ βασιλέως ἀποχωρῆσαν τὸ Περσικόν· ἅμα δὲ καὶ ὁ τῶν Μυσῶν βασιλεὺς ὑπέσχετο συμμαχήσειν τὰς πρὸς βασιλέα διαλύσας σπονδὰς, καὶ ἔπεμπε μετ' οὐ πολὺ τὴν συμμαχίαν. βασιλεὺς δὲ τῶν γιγνομένων ἀγνοῶν οὐδὲν, ὡς ἐνῆν καὶ αὐτὸς πρὸς τὴν ἔφοδον παρεσκευάζετο, καὶ Ματθαῖον μὲν τὸν υἱὸν ἐπὶ τῆς Χαλκιδικῆς καταλιπὼν μετὰ στρατιᾶς ὅσης ᾤετο ἀρκέσειν, εἴ τινες αὐτῷ ἐπίοιεν, Ἰωάννην δὲ Ἀσάνην τὸν γυναικὸς ἀδελφὸν τοῖς ἐν Μόῤῥᾳ προσχωρήσασι πολιχνίοις ἄρχοντα ἐπιστήσας καὶ φρουρὰς ἀφεὶς, αὐτὸς εἰς Διδυμότειχον μετὰ τῶν ἐπιλοίπων ἐπανῆκε. δοὺξ δὲ ὁ μέγας, σύμπασαν ἔχων τὴν Ῥωμαίων στρατιὰν, ἐξ Ἡρακλείας εἰς Ἐμπυθίου τὸ φρούριον ἦκε, καὶ περιστρατοπεδευσάμενος ἐπολιόρκει, καὶ τειχομαχίας ἐποιεῖτο καὶ προσῆγε μηχανάς. ἐν αἷς πολλοὶ τῶν ἔξωθεν μαχομένων ἔπιπτον· ἦν γὰρ καρτερώτατον τὸ φρούριον ἐκ τῶν τειχῶν τῆς κατασκευῆς. ὁρῶν δὲ ὡς οὐκ ἂν εἴη βίᾳ ἁλωτὸν, ἀπεγίνωσκε καὶ τὴν πολιορκίαν. τῶν γὰρ ἐπιτηδείων οἱ πολιορκούμενοι εὐπόρουν. τούτων δὲ πραττομένων, καὶ ὁ Μομιτζίλος αὖθις ἐπολέμησε πρὸς βασιλέα καὶ τὰς ἐν Χαλκιδικῇ ἑκάκου πόλεις, ὅσα δυνατὰ, τὴν ἐκ βασιλίδος προελόμενος ἀξίαν καὶ δεσπότην ἑαυτὸν προσαγορεύσας. ὁ μέγας δὲ δοὺξ πέμψας πρὸς βασιλέα τὸν Συναδηνὸν πρεσβευτὴν, ὃς πρότερον καὶ Βερροίᾳ ἐνδιατρίβοντι ἐπέμφθη, ἐμήνυεν, ὡς, εἰ καὶ δοκοίη πολιορκεῖν καὶ τειχομαχίας ποιεῖσθαι πρὸς τὸ Ἐμπυθίου φρούριον, ἀλλ' οὐ βούλεσθαι λαβεῖν, ἔτι τῆς ἀρχαίας εὐνοίας ἴχνη ἀποσώζων· βουλομένῳ γὰρ ῥᾷστα ἂν ἡλίσκετο. [20]

2 434 νυνὶ δὲ βούλεσθαι αὐτῷ συγγίνεσθαι καὶ περί τινων διαλέγεσθαι ἀποῤῥήτων, ὧν οὐκ ἔξεστι χρήσασθαι ἑτέροις μηνυταῖς, εἴγε καὶ αὐτῷ βέλτιον δοκοίη. τὸ μὲν οὖν οὕτως, ὡς ἔχει, βασιλικῶς ἐσκευασμένῳ συντυχεῖν, οὐ ῥᾴδιον αὐτῷ· τὸ δ' αὖθις ἰδιωτικὴν μεταλαβεῖν ἐσθῆτα, οὐκ ἂν αὐτὸν οἴεσθαι βουλήσεσθαι. περὶ ὧν σκέπτεσθαι ἐδήλου ὅπως ἑκάτερα ἔσται. βασιλεὺς δὲ πρὸς τὰ τοιαῦτα πλάσματα ἀχθεσθεὶς ἀντεμήνυεν, ὡς οὐ δέον πρὸς αὐτὸν ἐπιπλεῖον ψεύδεσι χρῆσθαι καὶ ἀπάταις· πεῖραν γὰρ αὐτοῦ ἤδη ἐσχηκέναι ἐν πολλοῖς, ὅθεν καὶ παντάπασιν ἀπιστεῖν· ἀλλ' εἰ μᾶλλον δύναιτο ἐλεῖν τὸ φρούριον, μὴ ἀμελεῖν. οὐ γὰρ ἂν εἴη λυσιτελῶς βεβουλευμένος τῇ ἀρχῇ, εἰ, παρὸν τοὺς πολεμίους βλάπτειν, ἀπόσχοιτο ἑκών. ἀλλ' οὐκ ἂν

οἴεσθαι τοῖς συνοῦσι φίλον εἶναι τὸ τειχομαχεῖν, πολλοῖς ὁσημέραι ἀποθνήσκουσιν. ὅτι δὲ βουλομένῳ συντυχεῖν οὐ ῥᾴδιόν ἐστιν ὁρᾶν βασιλικῶς ἐσκευασμένον, καὶ αὐτὸν εἰδέναι μάλιστα· οὐδὲ γὰρ οὐδὲ τοῖς ὀφθαλμιῶσιν εὔκολον πρὸς ἥλιον ἀτενίζειν, ἀλλ᾽ ὁ ζόφος ἡδὺ καὶ τὸ καμμύειν τοὺς ὀφθαλμοὺς ἀδυνάτως ἔχουσιν ὁρᾶν τὸ φῶς. τοῦ δὲ μάλιστα ἐν ἐπιθυμίᾳ εἶναι τῆς εἰρήνης, ὁρῶντα τὰς περισχούσας τοὺς Ῥωμαίους συμφοράς, οἴεσθαι δὲ μὴ πρὸς μηδὲν τὴν συντυχίαν φέρειν ἄλλο τὴν αὐτῶν, ἐπίνοιάν τινα ἐξευρήσειν, δι᾽ ἧς αὐτός τε οὐκ ὄψεται αὐτὸν βασιλικῶς ἐσκευασμένον, καὶ αὐτὸς οὐδὲν ἧττον ἢ πρότερον ἔσται βασιλεύς. [20]

2 435 ταύτην δὲ εἶναι τὸ καταφράκτους ἀλλήλοις συντυχεῖν, ὥστε τοῖς ποσὶ μὲν κνημῖδας περικεῖσθαι, κράνει δὲ τὴν κεφαλὴν περικαλύπτειν, καὶ τὸ ἄλλο εἶναι ὡπλισμένον σῶμα, ὥστε ἀγνοεῖσθαι εἴτε βασιλικὴν ἐσθῆτα ἔνδον ἔχει, ἢ ἰδιωτικήν. ἐπῄνει μὲν οὖν ὁ μέγας δοὺξ τὴν γνώμην, καὶ ἐπηγγέλλετο ποιήσειν κατὰ τὰ συντεθειμένα. ἐν τούτῳ δὲ τῷ χρόνῳ καὶ πρωτοστράτωρ ὁ γαμβρὸς ἀπεπνίγη πρὸς τῷ Ἕβρῳ πολιορκοῦσι τὸ Ἐμπυθίου φρούριον. κατὰ γὰρ μεσημβρίαν, θέρους ἤδη λήγοντος, διανηχόμενος τὸν ποταμὸν ἐν παιδιαῖς, ἀπεπνίγη τῷ ῥεύματι συναρπασθείς. μεγίστην μὲν οὖν ἐνόμισε συμφορὰν τοῦ γαμβροῦ τὴν τελευτὴν καὶ ἐπένθησεν ἐφ᾽ ἱκανόν. ὀλίγῳ δὲ ὕστερον ἀναστήσας τὴν στρατιὰν, ἐπορεύετο εἰς Διδυμότειχον. πρὶν δὲ ἐγγὺς εἶναι, τὸν Μάκρης ἀρχιερέα πρὸς βασιλέα πέμψας, ἐδήλου, ὅτι ἀφίξοιτο μετὰ μικρὸν οὐ μᾶλλον πολέμιος, ἢ φίλος καὶ διαλεξόμενος περὶ ὧν πρότερον μηνύσειεν. ἔπεμπέ τε καὶ κηρὸν ἐσφραγισμένον τῷ βασιλέως δακτυλίῳ, ὃν εἶχεν ἀφελόμενος αὐτὸς μετὰ τῶν ἄλλων ἐν τῷ τοῦ πολέμου χρόνῳ, ὥσπερ τι ἐνέχυρον ἐκεχειρίας καὶ ἀνακωχῆς πολέμου. βασιλεὺς δὲ ἀληθεύειν ἐκεῖνον οἰηθεὶς, ὡπλίσατο μὲν, ὥσπερ ἦν συντεθειμένον, καὶ περιέμενε τὴν ἐκείνου συντυχίαν, ὀλίγους τινὰς ἔξω καταλιπὼν, τῆς δ᾽ ἄλλης στρατιᾶς μηδένα τειχῶν ἐκέλευεν ἔξω εἶναι, δεδιὼς μὴ παρά τινός τι τῶν νεωτέρων τολμηθῇ καὶ πρόφασις γένοιτο τοῦ μὴ τὸν πόλεμον καταλυθῆναι. [20]

2 436 ὁ μέγας δὲ δοὺξ, πρὶν τῆς πόλεως ἐγγὺς ἐλθεῖν, τῶν περὶ αὐτὸν τοξότας τινὰς πέμψας, εἶτα καὶ τὴν ἄλλην στρατιὰν, ἐκέλευε τοῖς κατὰ τὸ Διδυμότειχον ἐπιέναι. οἱ δὲ ἐπέκειντο ἀθρόον καὶ ἔβαλλον συχνοῖς τοῖς βέλεσιν, ἔπειτα καὶ πῦρ ἐνίεσαν ἐν ταῖς οἰκίαις ταῖς πρὸς τῆς πόλεως. ἐπεὶ δὲ ἐκεῖνοι μάχης ἦρχον, καὶ οἱ ἐκ Διδυμοτείχου ἠμύνοντο ἐξελθόντες καὶ τραυματίας ἀποδείξαντες πολλοὺς, ἀπεσκευάσαντο μηδὲν πλέον δυνηθέντας. βασιλεὺς δὲ τὸν Μάκρης ἀρχιερέα πρὸς τὸν μέγαν δοῦκα αὖθις πέμψας, ὠνείδιζεν αὐτῷ τὴν φίλην πανουργίαν καὶ τὸ ψεῦδος· ἐκεῖνος δὲ ἐπεὶ τῆς ἀπάτης ἀπώνατο οὐδὲν, μετὰ μέσην ἡμέραν ἐκεῖθεν ἀνεχώρει καὶ ηὐλίσατο τὴν νύκτα οὐ μακράν. εἰς τὴν ὑστεραίαν δὲ, τοὺς ἱππέας αὐτὸς ἔχων καὶ τὸ ὁπλιτικὸν καὶ τὸ ψιλὸν, ἐχώρει κατὰ Μόῤῥας καὶ ἐκάκωσε τὰ μέγιστα τὴν χώραν πάντα πυρὶ παραδιδούς· τῶν πολιχνίων δὲ ἴσχυσεν οὐδενὸς περιγενέσθαι, φρουροῖς ὑπὸ βασιλέως πάντων κατεχομένων, ἐκεῖθεν δὲ εἰς Βυζάντιον ἀνεχώρει. Μομιτζίλος δὲ ἐκ τοῦ πρὸς ἀλλήλους τῶν Ῥωμαίων πολέμου ηὐξημένος καὶ μέγας ἤδη γεγενημένος καὶ νομίσας ἑαυτῷ ἀρκεῖν πρὸς τὸ συστήσασθαι ἡγεμονίαν ἰδίᾳ, ὁμοίως Καντακουζηνοῦ τε ἀφίστατο τοῦ βασιλέως καὶ Ἄννης τῆς βασιλίδος, καίτοι τὰ παρ᾽ ἐκείνης πεμφθέντα τοῦ δεσπότου ἐπίσημα ἠμφιεσμένος, καὶ ὁμοίως ἑκατέροις ἐπολέμει, καὶ πόλεις καὶ κώμας ὑπεποιεῖτο. [20]

2 437 μάλιστα δὲ Ματθαίῳ λυπηρὸς ἦν τῷ βασιλέως υἱῷ, ἐπεκδρομὰς καὶ λεηλασίας ποιούμενος συχνάς. ἤθροισε γὰρ ἱππέας τετρακισχιλίων ὀλίγῳ ἐλάσσους, πάντας ἀριστίνδην ἐξειλεγμένους, καὶ ἀνυπόστατός τις ἐδόκει εἶναι διά τε εὐψυχίαν καὶ τὴν αὐτοφυῆ τῶν χωρίων ὀχυρότητα, ὧν ἦρχεν. οβ′. Οἱ ἐν Βυζαντίῳ δὲ μετὰ τὸν μέγαν δοῦκα τῶν πραγμάτων ἔφοροι, ὁρῶντες ἤδη τὴν τῶν Ῥωμαίων κινδυνεύουσαν ἡγεμονίαν καὶ διῃρημένην εἰς μυρία τμήματα, καὶ πόλεις μὲν μεγάλας καὶ πολλὰς ὑπὸ Μυσοῖς καὶ Τριβαλοῖς γεγενημένας, Θρᾴκην δὲ πᾶσαν ἀνδραποδισθεῖσαν ὑπὸ τῶν Περσῶν, καὶ πόλεις μόνας περιλειπομένας, καὶ αὐτὰς οὐδαμῶς

ἐπιεικέστερα τῶν ἐν ταῖς κώμαις προσδοκώσας πείσεσθαι, καὶ ἐν δεινῷ τὴν τηλικαύτην συμφορὰν τιθέμενοι, οὐκέτι ἀνεκτὸν ἡγοῦντο, ἀλλὰ βασιλίδι συνεβούλευον σπονδὰς τίθεσθαι καὶ εἰρήνην πρὸς Καντακουζηνὸν τὸν βασιλέα. ἄν τε γὰρ, ἔφασαν, ἐκείνου περιγενώμεθα, οὐχ ἕξομεν ὧν ἄρξομεν, πάντων ἄρδην ἀπολωλότων· ἄν τε ἡττηθῶμεν, πρὸς τοῖς ἄλλοις καὶ ἑαυτοὺς συναπολοῦμεν. καὶ ἐδόκουν δίκαια καὶ λυσιτελῆ βουλεύεσθαι καὶ βασιλίδι· μάλιστα δὲ πρὸς τοῦτο Γαβαλᾶς ὁ μέγας ἐνῆγε λογοθέτης καὶ τοὺς ἄλλους ἔπειθεν. [20]

2 438 ὁ μέγας δὲ δοὺξ, ἐπεὶ ταῦτα ἀγνοεῖν οὐκ ἦν, σπουδῇ πολλῇ ἐχώρει πρὸς Βυζάντιον, τῶν ἄλλων ἁπάντων ἀμελήσας. ἐπεὶ δὲ ἦν ἐντὸς, οὐ πρὸς βασιλίδα ἦκεν, ὥσπερ εἴωθε, προσαγορεύσων, ἀλλ' ἐν Ὁδηγητρίας τῆς θεομήτορος γενόμενος τῷ τεμένει καὶ προσκυνήσας, ἔπειτα εἰς τὸν ἐν Μαγγάνοις ἦκε πύργον, ὃν περιόντος μὲν Ἀνδρονίκου τοῦ βασιλέως εἶχε, τοῦ Βυζαντίου περιβόλου ὄντα ἕνα, ἐν δὲ τοῖς τοῦ ἐμφυλίου πολέμου χρόνοις ἐπισκευάσας καὶ ὀχυρώτατον ἀπεργασάμενος, ὡς μάλιστα ἐνῆν, ὅπλα τε ἐνθέμενος καὶ τὰ ἄλλα ἐπιτήδεια, ὥστε δυνήσεσθαι καὶ πρὸς πολιορκίαν καὶ τειχομαχίας ἀντισχήσειν, κατεῖχε φρουρὰν εἰσαγαγών. τότε δὲ εἰς ἐκεῖνον ἐλθὼν, διήγαγε τὴν νύκτα. εἰς τὴν ὑστεραίαν δὲ τοῦ πατριάρχου πρὸς αὐτὸν ἐλθόντος, πρῶτα μὲν ὠνείδιζε τὴν εὐκολίαν καὶ τὴν πρὸς αὐτὸν μεταβολήν. οἴεσθαι γὰρ, ἔφασκε, τὰς ἀμφοτέρων συντακείσας ψυχὰς ἑκατέρων τὰ σώματα κινεῖν, καὶ ταὐτὰ καὶ ἴσα ἀμφοτέρους καὶ βουλεύεσθαι καὶ αἱρεῖσθαι· νυνὶ δὲ τοὐναντίον ἅπαν πεφηνέναι. ἀκηκοέναι γὰρ πεπεῖσθαι καὶ αὐτὸν τοῖς περὶ τῆς πρὸς Καντακουζηνὸν εἰρήνης διαλεγομένοις, ἅπερ οὐκ ἐχρῆν ποιεῖν· εἰδέναι γὰρ σαφέστατα αὐτὸν', ὡς, εἰ μὴ ἐκεῖνος τοῦ πρὸς Καντακουζηνὸν πολέμου ἤρχετο πολλὰ πραγματευσάμενος καὶ πᾶσαν μηχανὴν κεκινηκὼς, πάλαι ἂν ἐπεκάθητο Παλαμᾶς τοῖς πατριαρχικοῖς θρόνοις, αὐτοῦ ἐκβεβλημένου. νυνὶ δὲ πρὸς τῷ τῆς ἐκκλησίας ἄρχειν, καὶ τῶν πολιτικῶν πραγμάτων οὐδὲν ἧττόν ἐστι κύριος, περίβλεπτος ἐν πᾶσι Ῥωμαίοις γεγενημένος καὶ πατὴρ καὶ κηδεμὼν βασιλέως προσαγορευόμενος· ἃ ἐχρῆν σκοπεῖν, καὶ μὴ, προσδοκωμένης ἄλλων ὠφελείας, τὴν οἰκείαν προΐεσθαι σωτηρίαν. [20]

2 439 πρὶν μὲν γὰρ τὸν πόλεμον κεκινῆσθαι μέχρι καθαιρέσεως ἔστησεν ἂν τὴν ὀργὴν ὁ Καντακουζηνός· νυνὶ δὲ μετὰ τὸ τοσαῦτα ἐκεῖνον ἐφύβριστα καὶ δεινὰ ὑπομεμενηκέναι, ὧν, ἔφασκεν, οὐδὲν ἧττον αἴτιος ἦσθα καὶ αὐτὸς, μὴ φιλάνθρωπόν τινα καὶ ἀνεκτὴν οἵου τῶν τοσούτων κακῶν ἔσεσθαι τὴν τιμωρίαν, ἀλλὰ θάνατόν τε ἐφύβριστον σαυτοῦ καὶ τοῦ γένους ἐξώλειαν παντός. οὕτω γὰρ ἀκηκόαμεν ἐκ πολλῶν τῶν ἐκεῖθεν ἀφιγμένων, ὡς μεγάλην καθ' ἡμῶν τῶν πεπολεμηκότων ἔχει τὴν ἀπέχθειαν. δι' ἃ αὐτός τε ἔγνωκα μέχρι παντὸς ἐκείνῳ πολεμεῖν, καὶ σοὶ τὰ ἴσα συμβουλεύω, καὶ μὴ τὰ πόῤῥω καὶ μηδὲν ὀνήσοντα πολυπραγμονεῖν, ἀλλ' ἡμῶν αὐτῶν πρόνοιαν ποιεῖσθαι, ὅπως σωθησόμεθα. τοῦτο δὲ κατ' οὐδένα τρόπον ἕτερον περιέσται, ἢ ἀεὶ σπουδάζουσι τὸν πρὸς ἐκεῖνον εἶναι πόλεμον. τὴν γὰρ λεγομένην εἰρήνην μηδὲν ἕτερον οἵου εἶναι, ἢ φανερὰν ἡμῶν τε αὐτῶν καὶ παίδων καὶ οἰκείων διαφθοράν." τοιαῦτα μὲν ἔλεγε πρὸς πατριάρχην, καὶ ἔπειθεν, οὐδ' αὐτὸν πρὸς τὴν εἰρήνην πάνυ ὡρμημένον, ἀλλὰ λέγουσι τοῖς ἄλλοις ἀναγκαίως συνεπόμενον. ἔπειτα ἐχρῆτο καὶ πρὸς βασιλίδα πρεσβευτῇ, ἐμήνυέ τε βασιλίδι δι' αὐτοῦ, ὡς ἀποροίη, ὅτου ἕνεκα αὐτὸς μὲν ὑπὲρ αὐτῆς καὶ παίδων ἕλοιτο πάντα κίνδυνον καὶ πόνον, αὐτοῖς δὲ μὴ τὴν ἴσην ἔδοξε σπουδὴν ἐπιδείκνυσθαι περὶ ἑαυτῶν. [20]

2 440 αὐτὸς γὰρ εὐθὺς μετὰ τὴν βασιλέως τελευτὴν, ἰδὼν τὸν Καντακουζηνὸν ἄδικα καὶ βίαια διανοούμενον καὶ οὐ μόνον βασιλείας, ἀλλὰ καὶ ζωῆς αὐτῆς ἀποστερεῖν βουλόμενον αὐτὴν καὶ παῖδας, καίτοι πολλὰ πρότερον ὑπ' ἐκείνου εὐεργετηθεὶς καὶ δίκαιος ὢν ὑπὲρ ἐκείνου πάντα κίνδυνον αἱρεῖσθαι, ἀμειβόμενος τῆς εὐποιίας, ὁ δὲ μᾶλλον εἵλετο ὑπὲρ αὐτῶν διακινδυνεύειν, ἢ τιμὰς τὰς πρώτας καρποῦσθαι παρ' αὐτῷ, τῶν ἀτόπων ἔργων βδελυττόμενος τὴν κοινωνίαν· πόλεμόν τε ἤρατο πρὸς ἐκεῖνον φανερῶς, τῶν ἄλλων πάντων ἀποκνούντων

καὶ τὴν δύναμιν πεφρικότων, καὶ ἐς τοσαύτην συνήλασεν ἀπορίαν, ὥστε πρότερόν τε Τριβαλῶν πρὸς ἐπικουρίαν δεηθῆναι, καὶ τὰ τελευταῖα νῦν Περσῶν. αὐτὸς δὲ σπουδῇ πολλῇ καὶ ἀγχινοίᾳ εἰς τοὐναντίον αὐτῷ ἅπαντα περιτρέψαι, καὶ πολεμίους αὐτῷ ἀντὶ συμμάχων πάντας ἀποδεῖξαι, καὶ νῦν εἰς τοσοῦτον ἀπορίας ἀγαγεῖν, ὥστε ἐπαγγείλασθαι τὴν βασιλείαν ἀποθέμενον βίον ἰδιώτου ζῆν. ὅτε δὲ πολλὰ καμὼν καὶ ἀγωνισάμενος καὶ κινδύνους τοσούτους ὑπομείνας ἤγαγεν εἰς τέλος ἀγαθὸν τὴν ἐπιχείρησιν, τότ' αὐτοὶ ὑπ' ἀβουλίας ἅπαντα ἀνέτρεψαν. πυθόμενον γὰρ αὐτὸν, ὡς βουλεύσαιντο εἰρήνην τίθεσθαι πρὸς ἐκεῖνον καὶ σπονδὰς ἐπὶ τῷ βασιλέα εἶναι, πάντα καταλιπόντα ἐνθάδε ἥκειν, καὶ οἴκοι γενόμενον τὸ μέλλον ἀποσκοπεῖν. δεδιέναι γὰρ πρὸς αὐτὴν ἐλθεῖν, μὴ, ἃ αὐτοῦ ἀπόντος λόγοις ἐψηφίσαντο, ἔργοις παρόντος τελεσθῇ, καὶ ἀπόληται αὐτὸς τὴν ἐναντίαν γνώμην ἔχων. [20]

2 441 εἰ μὲν οὖν, ἔφασκε, τῶν τοιούτων ὡς ἀλυσιτελεστάτων ἀπόσχησθε καὶ αὐτοὶ, καὶ τὸν πόλεμον, ὥσπερ ἐξαρχῆς, ἔλοισθε πρὸς Καντακουζηνὸν (τοῦτο γὰρ ἡμῖν λυσιτελέστατόν ἐστι,) καὶ αὐτὸν ἕτοιμον εἶναι, πίστεις παρ' αὐτῆς δεξάμενον, ὡς οὐδὲν αὐτῷ ἀπαντήσει δυσχερὲς, πράττειν μετὰ τῶν ἄλλων ὅσα ἂν οἴωνται συμφέρειν. εἰ δ' ἄρα ἄλλως ἔγνωκεν αὐτὴ καὶ τὴν εἰρήνην αἱροῖτο μᾶλλον, ἢ πολλῶν ἡμῖν ἔσται καὶ μεγάλων αἰτία συμφορῶν, σκεψάμενον καὶ αὐτὸν πράττειν ὅ,τι ἂν δοκῇ λυσιτελεῖν. πάντως δὲ δύνασθαι καὶ αὐτὸν μᾶλλον τῶν ἄλλων εὖ διαθέσθαι τὰ καθ' ἑαυτόν. τοιαῦτα μὲν καὶ πρὸς βασιλίδα διὰ τοῦ πατριάρχου ἐπρεσβεύετο. παραγενομένου δὲ καὶ Γαβαλᾶ τοῦ μεγάλου λογοθέτου πρὸς αὐτὸν, τὰ μέγιστα ἔφασκεν ἐξηπατῆσθαι περὶ αὐτοῦ, νομίζων πολὺ τοὺς ἄλλους παρελαύνειν συνέσει τε καὶ τῇ περὶ τὸ πράγμασι μεγάλοις χρῆσθαι ἐμπειρίᾳ. τὸ γὰρ αὐτὸν ὑπὸ Καντακουζηνοῦ τοσαῦτα εὐεργετηθέντα, ἔπειτα τὸν κατ' ἐκείνου πόλεμον συσκευασάμενον καὶ τὴν ἐπιβουλὴν, καὶ πολλῶν αὐτῷ καὶ μεγάλων αἰτιώτατον συμφορῶν καὶ ὕβρεων γεγενημένον, ἔπειτα νῦν οἴεσθαι, εἰ γένοιτο εἰρήνη πρὸς αὐτὸν, ἡμέρου πειράσεσθαι καὶ προσηνοῦς, ἀλλὰ μὴ αὐτὸν καὶ γένος καινῷ τινι τρόπῳ καὶ ἀξίως τῆς πρὸς ἐκεῖνον ὕβρεως διαφθερεῖν, οὐ σωφρονοῦντος ἄν τις τιθείη, οὐδὲ ὀρθῶς τὰ πράγματα λογιζομένου. [20]

2 442 πολὺ γὰρ μᾶλλον αὐτοῖς τὸν πόλεμον λυσιτελεῖν, ἢ τὴν εἰρήνην. πολεμοῦσι μὲν γὰρ ἐξέσται διασώζεσθαι μέχρι παντὸς καὶ ἄρχειν τῶν πραγμάτων. ἂν δ' ἐλάσσω γίνωνται τῶν ὄντων, οὐ χρὴ διὰ τοῦτο τὴν οἰκείαν αὐτοὺς καταπροΐεσθαι σωτηρίαν. βέλτιον γὰρ ὀλίγων ἄρχειν, ἢ ἐκείνων αὐξανομένων ὑπ' ἄλλοις εἶναι, αὐτοὺς δὲ ἀποθνήσκειν ἀκλεῶς. εἰρήνην δὲ πρὸς ἐκεῖνον ποιουμένους, οὐκ ἔσθ' ὅ,τι τῶν κινδύνων ἐξαιρήσεται. συνεβούλευέ τε αὐτῷ προσθέμενον αὖθις τὸν πόλεμον ἀνακινεῖν καὶ τοὺς ὅρκους ἀνανεοῦν τοὺς πρὸς ἀλλήλους, λαμβάνειν τε τὴν αὐτοῦ θυγατέρα πρὸς γάμον καὶ κοινῇ τόν τε πόλεμον ἀναδέχεσθαι καὶ τὴν Ῥωμαίων ἀρχὴν ἰθύνειν. ἐπὶ τούτοις ἔπειθε, καὶ ἐψηφίσαντο κοινῇ τὸν πόλεμον, ὤμνυόν τε τοὺς ὅρκους, ὥστε Γαβαλᾶν μὲν πρὸς τὸν πόλεμον τῷ μεγάλῳ συναίρεσθαι δουκὶ, καὶ μηδέποτε περὶ εἰρήνης μήτ' αὐτὸν βουλεύσεσθαι, μήθ' ἑτέρῳ λέγοντι πεισθήσεσθαι· ἐκεῖνον δὲ αὐτῷ ἐκδοῦναι τὴν θυγατέρα, καὶ κατὰ μηδεμίαν πρόφασιν τὸν γάμον κωλυθῆναι, ἀλλὰ κἂν ὑπὸ τῆς ἱερᾶς νόσου τὰ μέλη διαλωβηθῇ, κἂν ἐπιληψία ἢ μελαγχολία ἢ ὁποιαδήποτε νόσος ἐπιγένηται αὐτῷ, μηδὲν εἶναι τῶν τοιούτων κώλυμα τῷ γάμῳ. ογ'. Ἐπεὶ δὲ καὶ τὰ κατὰ Γαβαλᾶν διῴκει ᾗ μάλιστα ἐβούλετο, συστήσας τῷ πατριάρχῃ, ἔπεμπε πρὸς βασιλίδα. οἱ δὲ ἐλθόντες πρῶτα μὲν ἀπήγγελλον τοὺς ἐκείνου λόγους βασιλίδι, ἔπειτα συνεβούλευον, ὡς δικαία εἴη ἡ ἀξίωσις καὶ ὁ πόλεμος μᾶλλον αἱρετέος. [20]

2 443 Καντακουζηνῷ δὲ οὐδένα ἕτερον δυνήσεσθαι ἀντιστήσεσθαι, ἢ τὸν μέγαν δοῦκα, ὡς ἐκ τῶν πραγμάτων γέγονε καταφανές. ὅθεν δίκαιον ἐκεῖνον εὐνοοῦντα ἑαυτῇ καὶ συναιρόμενον ἔχειν πρὸς τὸν πόλεμον. τοῦτο δ' οὐκ ἂν γένοιτο ἑτέρως, εἰ μὴ ὁ πόλεμος αὖθις ἐπιψηφισθείη. ἀσυμβάτως γὰρ ἐκεῖνον πρὸς Καντακουζηνὸν ἔχειν διαβεβαιοῦσθαι. εἰ μὲν οὖν πείθοιτο καὶ

αὐτὴ, εὖ ἂν ἔχοι· εἰ δὲ μὴ, σκεπτέον μὴ ἀθρόον ἔνδον Βυζαντίου ὁ Καντακουζηνὸς ἀναφανῇ ὑπὸ τοῦ μεγάλου δουκὸς προσκεκλημένος. τοῦτο γὰρ ἂν εἴη μόνον ἀντίῤῥοπον τῶν πρὸς ἐκεῖνον ὕβρεων καὶ τῶν ἄλλων κακῶν, ὧν κατὰ τὸν τοῦ πολέμου χρόνον πρὸς ἐκεῖνον ἐνεδείξατο. ἡ βασιλὶς δὲ καὶ πρότερον μὲν ἐκ πολλῶν τῶν ἀνδρῶν στοχαζομένη τὴν κακοβουλίαν καὶ τὴν μεγάλου δουκὸς κακοτεχνίαν καὶ τὸ περὶ μηδενὸς ἐκείνῳ μέλειν, ἢ ὅπως αὐτὸς ἄρχῃ τῶν πραγμάτων, τότε δὲ καὶ μάλιστα τὴν ἀτοπίαν ἐκ τῶν λόγων συνιδοῦσα, μὴ ἔχουσα δὲ οἵστισιν ἑτέροις χρήσαιτο, (οἱ γὰρ ἄλλοι τῶν εὐγενῶν καὶ καθ' αἷμα προσηκόντων βασιλεῖ δεσμωτηρίοις πάντες ἢ ἐν ταῖς οἰκίαις ἦσαν κατακεκλεισμένοι, οἷς αὐτὴ οὐκ ἐθάῤῥει εὐνοήσειν, εἰ ἀπολυθεῖεν τῶν δεσμῶν,) συνετίθετο καὶ αὖθις καὶ ἄκουσα πρὸς τὸν πόλεμον. μάλιστα δὲ ἀκούσασα Καντακουζηνὸν ἠναγκάσθαι παρὰ μεγάλου δουκὸς ἀποθέσθαι τὴν βασιλείαν καὶ ἰδιώτου σχῆμα ἀναλαβεῖν, ἠρέμα ἐθέλγετο καὶ πρὸς τὸ ἐξαπατᾶσθαι μάλιστα ἐνήγετο. [20]

2 444 ἐπιψηφίζεται δὴ καὶ αὖθις ὁ πρὸς βασιλέα πόλεμος καὶ ὁ μέγας δοὺξ ἥπτετο πάλιν τῶν πραγμάτων, οὐ μὴν, ὥσπερ πρότερον, μοναρχικῶς, ἀλλὰ μετριώτερόν πως. ἐδεδίει γὰρ ἤδη τοῖς συνάρχουσι προσκρούειν, ὁρῶν αὐτοῖς τὰ πράγματα ὑπενδιδόντα καὶ Καντακουζηνὸν αὐξανόμενον τὸν βασιλέα, μὴ τραχύτερον χρώμενος τῇ ἀρχῇ ἐπαχθὴς εἴη, καὶ βουληθεῖεν ὑπὸ βασιλέως μᾶλλον ἄρχεσθαι, ἢ αὐτοῦ. ἐκεῖνος δὲ ἐπεὶ ἑώρα οὐκ ὀλίγον τῆς πρὶν ἀφῃρημένος ἐξουσίας καὶ περὶ τῶν μελλόντων δεδιὼς, μὴ παντάπασι καταγνωσθεὶς ἀπόληται, ἢ εἰρήνης πρὸς βασιλέα γενομένης, ἢ ἑτέρων ἀντ' αὐτοῦ ἀρχόντων, ἐσκέψατο βασιλίδα καὶ πατριάρχην πείθειν καὶ τοὺς ἄλλους πρεσβείαν ποιεῖσθαι πρὸς βασιλέα περὶ τοῦ ἀποθέσθαι τὴν βασιλείαν, ὥσπερ δῆθεν πρὸς αὐτὸν ὑπέσχετο, ὡς ἐν τῷ μεταξὺ τῆς πρεσβείας χρόνῳ, ὥσπερ τινὸς ἐκεχειρίας οὔσης, τισὶ τῶν ὑπὲρ βασιλέως δεδεμένων περὶ συμβάσεων διαλεχθῇ, ὡς ἢν μὲν μετὰ τὴν πρεσβείαν πάλιν αὐτῷ τὰ πράγματα ἐγχειρισθῇ καὶ ὁ πρὸς βασιλέα πόλεμος, (ᾔδει γὰρ οὐδὲν ὑγιὲς εἰπὼν,) μηδὲν κινοίη τῶν δεδογμένων, ἀλλ' ἔχοιτο τοῦ πολέμου, ὥσπερ ἐξαρχῆς· ἢν δὲ προπηλακίζηται καὶ ἀφαιρῆται τὴν ἀρχὴν, τὰ βασιλέως πράττοι. τοιαύτῃ μὲν δὴ γνώμῃ ἐβεβαίου τὰ εἰρημένα, καὶ ἔπειθε βασιλίδα καὶ τοὺς ἄλλους πρεσβείαν ποιεῖσθαι πρὸς τὸν βασιλέα. καὶ ᾑροῦντο πρέσβεις ἐκ βασιλίδος μὲν καὶ τῆς συγκλήτου Γεώργιός τε ὁ Πεπαγωμένος καὶ ὁ Συναδηνὸς, ὃς καὶ πρότερον πρὸς Διδυμότειχον εἰς βασιλέα ἦκε παρὰ τοῦ μεγάλου δουκὸς πεμφθεὶς, παρὰ δὲ τῆς ἐκκλησίας καὶ πατριάρχου ὁ τῆς Φιλίππου μητροπολίτης καὶ ὁ σακελλίου Καβάσιλας. [25]

2 445 ἔγραφόν τε καὶ τὰ πρεσβευόμενα ἐν γράμμασιν ἰδίᾳ μὲν οἱ συνάρχοντες μετὰ τοῦ μεγάλου δουκὸς, ἰδίᾳ δὲ ὁ πατριάρχης, καὶ ὑπεσημήναντο οἰκείαις ὑπογραφαῖς τὰ γράμματα, ἵν' ᾖ πιστά. ἦσαν δὲ τὰ μὲν τῶν ἀρχόντων οὕτως ἔχοντα· ὡς „ἐπεὶ καλῶς ποιῶν αὐτὸς, ὡς ἀδυνάτοις ἐπιχειροῦντος καὶ ἀθεμίτοις κατέγνως σεαυτοῦ καὶ τῆς γεγενημένης διὰ σὲ φθορᾶς ἐν τοῖς Ῥωμαίοις ἐννοῶν τὸ μέγεθος, ᾔτησας τὴν βασιλείαν ἀποθέσθαι καὶ εἰς ἰδιώτου σχῆμα μεταβάλλειν, ὥσπερ ἡμῖν ἐγνώρισε σαφῶς ὁ περιπόθητος καὶ γνησιώτατος τῷ κρατίστῳ καὶ ἁγίῳ βασιλεῖ ἡμῶν ὁ μέγας δοὺξ, δίκαιά τε ὁμοῦ καὶ συμφέροντα καὶ σαυτῷ καὶ τοῖς ἄλλοις βεβουλεῦσθαι κρίναντες, ἐπῃνέσαμέν τε τῆς εὐβουλίας καὶ τὴν πρεσβείαν πεποιήμεθα ταύτην, ἵν' ὅπερ ᾔτησας αὐτὸς, τὸ πέρας λάβῃ. ἵνα δὲ μηδεμίαν ἔχῃς ὑποψίαν, ὥς τι μετὰ τὴν ἰδιωτείαν ἀπαντήσει δυσχερὲς ἢ δυνάμενον λυπεῖν, τὰ γράμματα ταῦτα ἀπεστάλκαμεν, καὶ ταῖς ἡμετέραις ὑπογραφαῖς ἐπιβεβαιωθέντα ἀσφαλείας ἕνεκα καὶ τοῦ θαῤῥεῖν αὐτοῖς, ὡς ἀκίνητα μενεῖ." ἔπειτα καὶ συντάξεις ἐκ τῶν δημοσίων ἔγραφον, οἷς χρήσεται αὐτὸς καὶ παῖδες καὶ οἰκεῖοι. τοιαῦτα μὲν τὰ τῶν ἀρχόντων περιεῖχε γράμματα. τοῦ πατριάρχου δὲ ἦσαν οὕτως. „εὐλογητὸς ὁ θεὸς ὁ μὴ θέλων τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὥστε ἐπιστρέψαι καὶ ζῆν αὐτόν. [20]

2 446 ὅτι μὲν γὰρ κακῶς σεαυτῷ ὁμοίως καὶ τοῖς ἄλλοις ἐβουλεύσω τὸν ἐμφύλιον πόλεμον κεκινηκὼς, ἀθετήσας μὲν ὅρκους τοὺς πρὸς βασιλέα καὶ τὴν φιλίαν ἐκείνην τὴν θαυμαστὴν, ὑφ' ἧς παρ' ὅλον τὸν ἐκείνου βίον πολλῶν ἀπέλαυσας καὶ μεγάλων ἀγαθῶν, καὶ τοῖς παισὶν ἐπιβουλεύσας περὶ τῆς ἀρχῆς, τοῖς Ῥωμαίοις δὲ πολλῶν καὶ μεγάλων αἴτιος κατέστης συμφορῶν, ὧν διὰ μέγεθος οὐδ' οἱ ἐν ἐσχατιαῖς οἰκοῦντες γῆς ἀνήκοοί εἰσιν, οὐδ' αὐτὸς ἀγνοεῖς. ἐπειδὴ δὲ τῶν τετολμημένων εἰς συναίσθησιν ἐλθὼν καὶ τῶν ἀτόπων ἐπιχειρήσεων, σεαυτοῦ κατεγνωκὼς μετεμελήθης καὶ ὑποστρέφεις καλῶς, ὅθεν ἐξῆλθες κακῶς, τὴν βασιλείαν αἰτῶν ἀποσκευάσασθαι καὶ εἰς ἰδιώτου σχῆμα μεταβαλεῖν, ὥσπερ ἀκριβῶς ἐξεγένετο μαθεῖν παρὰ τοῦ περιποθήτου καὶ γνησιωτάτου τῷ κρατίστῳ καὶ ἁγίῳ μου αὐτοκράτορι τοῦ μεγάλου δουκὸς, αὐτός τε ἡδονῆς ἐπλήσθην, ὅσης ἐπὶ τοῖς τοιούτοις εἰκὸς, καὶ ἡ τοῦ θεοῦ ἐκκλησία τὰς ἀγκάλας αὐτῆς διανοίξασα, δέχεταί σε μετὰ πάσης πνευματικῆς ἀγάπης καὶ ἡδονῆς, καὶ ὅσον οὔπω ἥξειν καὶ σὲ προσδοκῶμεν εἰς ἡμᾶς, ἵν' ὁμοῦ τε ἡ τοῦ ἐπιτιμίου λύσις γένηται, ᾧ καθυπεβλήθης, καὶ ἀλλήλοις συνησθῶμεν κατὰ τὸ ἀρχαῖον ἔθος ὁμιλήσαντες." τοιαῦτα μὲν ἔγραφε καὶ ὁ πατριάρχης. οἱ πρέσβεις δὲ ἐπεὶ Παμφίλου ἄχρι ἦλθον, πέμψαντες ἐδήλουν βασιλεῖ, ὡς ἥκοιεν μὲν ἐπὶ πρεσβείᾳ, προσταχθεῖεν δὲ παρὰ τῶν πεπομφότων, μὴ βασιλέα προσαγορεύειν ἐν ταῖς διαλέξεσιν αὐτῶν. [20]

2 447 εἰ μὲν οὖν τὸ τοιοῦτον ἀνεκτὸν αὐτῷ, δῆλον ποιεῖν, ἵν' ἐλθόντες ἀπαγγέλλωσι τὰ τῆς πρεσβείας. εἰ δὲ μέλλοι διὰ τὴν ὑπεροψίαν ἀπελαύνειν πρὸς ὀργὴν, μηδὲ τὴν ἀρχὴν ἀφικνεῖσθαι πρὸς αὐτὸν, ἀλλ' ἀναστρέφειν ἐκ Παμφίλου. ὁ βασιλεὺς δὲ ποιούμενος περὶ πλείστου τὸ ἐκ Βυζαντίου τισὶν ἀξιολόγοις συντυχεῖν καὶ διαλεχθῆναι περὶ τῶν κατ' αὐτὸν ἁπάντων, ὅτι τε ὑπὸ συκοφαντῶν διαβληθείη καὶ οὐδεμίαν πρόφασιν αὐτὸς παράσχοι τῷ πολέμῳ, ἀλλ' ἐκ πρώτης ἡμέρας ἄχρι νῦν ἀναγκαίως ὑπὲρ σωτηρίας αὐτοῦ τε ἀμύνεται καὶ τῶν συνόντων, ἅμα δὲ καὶ ἐλπίσας εἰρήνης ἕνεκα ἥκειν, ἐκέλευεν ἀφικέσθαι πρὸς αὐτὸν, ὡς οὐδένα λόγον τῆς προσηγορίας ποιησόμενος. τοῦ γὰρ κοινῇ λυσιτελοῦντος ἕνεκα οὐ τοιαῦτα μόνον ἕτοιμος εἶναι ὑπομένειν, ἀλλὰ καὶ λοιδορίας καὶ εἴτι χαλεπώτερον ἕτερον δοκεῖ. εἰ μὲν γὰρ ἀπὸ τῶν τοιούτων ὄφελός τι γένοιτο Ῥωμαίοις, καὶ πολλὴν αὐτοῖς εἰδήσειν χάριν ὑπὲρ τούτων. εἰ δ' ἄρα καὶ τὰ δεύτερα νικῴη καὶ ἀσύμβατοι ἀναχωρῶσιν, οὐδ' οὕτως αὐτῷ τινα ἀδοξίαν ἀπὸ τῆς προσηγορίας ἀπολείψειν. ἦκον μὲν οὖν οἱ πρέσβεις ἐπὶ τούτοις καὶ ἀπήγγελλον τὰ κατὰ τὴν πρεσβείαν· ἅμα δὲ καὶ τὰ γράμματα παρεῖχον, παρετήρουν τε τὸ μὴ βασιλέα ἐν ταῖς διαλέξεσι προσαγορεύειν. οδ'. Βασιλεὺς δὲ ἐπεὶ τῶν τε λόγων ἤκουε καὶ τὰ γράμματα ἀνέγνω, πρὸς τοὺς ἐγγεγραμμένους λήρους διαχυθείς, νῦν μὲν ἀπέλυε τοὺς πρέσβεις ἀναπαύλης τινὸς τυχεῖν ἐφ' ἧς ἐξενίζοντο οἰκίας. [20]

2 448 εἰς τὴν ὑστεραίαν δὲ ἐκκλησίαν ἐκ τῶν παρόντων ποιησάμενος, μετεκαλεῖτο καὶ τοὺς πρέσβεις, καὶ πρὶν ἀπολογίαν τινὰ περὶ ὧν ἐπρέσβευον ποιήσασθαι, τὰ κατ' αὐτὸν εἰς μέσον προὐτίθει ἐρευνᾶν. καὶ πάντα ἐξητάζετο μετὰ τὴν βασιλέως τελευτὴν, ἐφ' οἷς ἀπεδείκνυεν αὐτὸν ἐπὶ τῶν πρέσβεων ὀρθῶς καὶ δικαίως καὶ τοῖς τε βασιλέως παισὶ καὶ τοῖς ἄλλοις ἅπασι Ῥωμαίοις μάλιστα λυσιτελῶς πεπολιτευμένον. ἐκέλευέ τε καὶ τοὺς πρέσβεις ἀδεῶς λέγειν, εἴ τι ἔχοιεν κατηγορεῖν, ὡς λόγον ὑπὲρ πάντων ποιησόμενος. καὶ ἐπ' ἐνίοις ἀντιλεγόντων καὶ ἐγκαλούντων, ἃ ἐνόμιζον ἀδικεῖν, ὑπὲρ πάντων ἐποιεῖτο λόγον. τοῦτο μὲν οὖν εἰς ἕκτην ἐφεξῆς ἡμέραν ἐτελεῖτο, καὶ διὰ πολλῶν τῶν ἀποδείξεων τὰ ἔσχατα ἠδικημένος ἀπεδείκνυτο ὁ βασιλεὺς, δοὺξ δὲ ὁ μέγας καὶ οἱ ἄλλοι οἱ τὸν πόλεμον κεκινηκότες οὐ συκοφάνται μόνον καὶ ἀγνώμονες δεινῶς περὶ αὐτὸν καὶ μοχθηρίας ὑπερβολὴν ἐλλελοιπότες οὐδεμίαν, ἀλλὰ καὶ τῶν φόνων καὶ τῶν ἀνδραποδισμῶν καὶ τῶν μεγάλων συμφορῶν, αἳ Ῥωμαίους κατέσχον ἐπὶ τῶν χρόνων τοῦ πολέμου, μάλιστα αἰτιώτατοι γεγενημένοι. μετὰ δὲ τὴν ἕκτην πρὸς τὴν ἀπολογίαν καθίστατο τὴν περὶ τῆς πρεσβείας, καὶ εἶπε τοιάδε. „οὐδὲν οὕτω καὶ πόλιν δημοκρατουμένην

καὶ βασιλείαν μάλιστ’ ἂν ῥᾳδίως καταλύειν δύναιτο, ὡς ἀνδρῶν ἀπουσία συνετῶν καὶ τὰ δέοντα βουλευομένων. εἰ μὲν γὰρ τοιούτων ἢ πολιτῶν ἡ πόλις, ἢ ἀρχόντων ἡ βασιλεία εὐπορoίη, κἂν τύχῃ τινὶ σφαλῶσι, ῥᾳδίως δύναιντ’ ἂν ἐπανασώζειν τὴν προτέραν τύχην. [20]

2 449 ἂν δ’ ἅπαξ ἀποστερηθῶσι τῶν τοιούτων, οὐδὲν ἔσται κώλυμα, μὴ εἰς ἔσχατον κακοπραγίας τάχιστα ἀφῖχθαι. ὃ νῦν ἐγὼ τὴν Ῥωμαίων μάλιστα ὀδύρομαι ἡγεμονίαν, ὅτι πολλῶν καὶ θαυμασίων ἀνδρῶν πρότερον εὐποροῦσαν νῦν εἰς τοῦτο περιέστησεν ὁ πάντα καταλύων χρόνος, ὥστε ἡγεμόνας τῶν πραγμάτων ἔχειν μηδὲν ἄμεινον τῶν πολλῶν διακειμένους. τὸ γὰρ ὑπὲρ τηλικούτων πρεσβείαν ποιουμένους καὶ πρὸς ἐμὲ τὸν πολὺν ἤδη χρόνον ἄρξαντα αὐτῶν, καὶ οὗ, εἰ μὴ ἐπίφθονον εἰπεῖν, καὶ βλέμματος ἀπολαύειν προσηνοῦς ἐν μεγίστης ἦγον εὐτυχίας μέρει, ἔπειτα μηδὲν μήτε ἐρευνήσαντας, μήτε σκεψαμένους οὕτως ἀπερισκέπτως καὶ θρασέως τὰ ἐπελθόντα γράφειν, οὐκ ἐκείνων μάλιστ’ ἄν τις κατηγορήσειε προσήκοντα εἰργασμένων ἑαυτοῖς, ἢ ὅσῳ τὴν περιφανῆ πρότερον καὶ εὐτυχῆ Ῥωμαίων θρηνήσειεν ἡγεμονίαν ὑπὸ τοιούτοις, φεῦ, ἀνδραπόδοις ἀγομένην. περὶ μὲν οὖν ἐκείνων ὀλίγος ἐμοὶ λόγος γένοιτ’ ἄν, τοιαῦτα καὶ φαυλότερα πράττειν οὖσιν ἀξίοις. Ἀποκαύκου δὲ τοῦ παρακοιμωμένου οὐ τὴν μοχθηρίαν μόνον καὶ φιλοψευδὲς, ἀλλὰ καὶ τὴν ἰταμότητα καὶ τὴν ἀναισχυντίαν ἔπεισι θαυμάζειν, ὅτι, καίτοι μέλλων ἐπὶ τοσούτων ἐλέγχεσθαι σαφέστατα ψευδόμενος, ὅμως ἐπὶ τῷ μὴ δοκεῖν εἰκῇ καὶ μάτην τὸν πόλεμον κεκινηκέναι, μηδ’ ἀνήνυτα πονεῖν, εἵλετο τῆς ἐπ’ ὀλίγον εὐδοξίας τὴν διὰ βίου αἰσχύνην ἀνταλλάττεσθαι. [20]

2 450 δέον μέντοι μηδὲ τὸ ἐκείνου πάνυ θαυμαστὸν ἡγεῖσθαι. ᾧ γὰρ ὁ βίος ὅλος πανουργία καὶ ἐπιορκία καὶ ἀπάτη, καὶ ῥᾷον ἂν ἀναπνεύσειε χωρὶς ἀέρος, ἢ τούτων, οὐδὲν θαυμαστὸν, εἰ θεὸν ψευδόμενος διηνεκῶς, εἵλετο καὶ πρὸς ἀνθρώπους τῷ ψεύδει χρῆσθαι. ἐμοὶ δ’ ἐξαρχῆς τε ᾑρημένῳ τὴν ἀλήθειαν καὶ εἰς τόδε χρόνου περὶ πλείστου ποιουμένῳ καὶ πάσης ἄλλης ἀνθρωπίνης εὐημερίας προτιμῶντι τἀληθὲς εἰρήσεται, συμμαρτυρήσει δὲ καὶ Συναδηνὸς οὗτος, ὃς ἐμοὶ τοὺς λόγους σύνοιδεν, ἀξιόχρεως ὢν πρὸς πίστιν. παρ’ ἐκείνου γὰρ ἀφῖκτο· τὸ γὰρ Ἐμπυθίου φρούριον πολιορκῶν πρεσβείαν τε πρός με διὰ τούτου ἐποιεῖτο, καὶ βούλεσθαι ἔλεγε συντυχεῖν περί τινων διαλεξόμενος, κακούργως καὶ ταῦτα καὶ ἀξίως ἑαυτοῦ ὑποκρινόμενος, ὡς ἐδείκνυτο σαφῶς ἀπὸ τῶν πραττομένων. συνθεμένου δὲ ἐμοῦ, (ᾠήθην γὰρ αὐτὸν περὶ εἰρήνης ἐθέλειν διαλέγεσθαι, ἧς ἐγὼ μάλιστα ἐπιθυμῶ, καὶ τῶν περὶ ἐκείνης λόγων, κἂν ὦσι πρὸς ἀπάτην συνεσκευασμένοι, ὀλίγα πολυπραγμονῶν ἐξέχομαι,) μὴ δύνασθαι αὐτὸς ἔλεγε βασιλικῶς ἐσκευασμένῳ συντυγχάνειν· ἀδυνατώτερον δὲ εἶναι πάλιν, τὴν βασιλικὴν σκευὴν ἀποτίθεσθαι ἐμέ. πρὸς ἃ ἐπίνοιάν τινα ἐδεῖτο ἐξευρίσκειν. ἐγὼ δ’, ὅπερ ἔφην, τῆς εἰρήνης τῆς ἐπιθυμίας ἕνεκα, ἀλλὰ τὴν ἀπορίαν, εἶπον, ῥᾷστα ἰασαίμην ἂν ἐγώ· ὡπλισμένοι γὰρ συμμίξομεν ἀλλήλοις, ἀγνοούμενοι εἰ βασιλικὰς, ἢ ἰδιωτικὰς ἔνδον ἔχομεν ἐσθῆτας. [20]

2 451 εἰ οὖν τοῦτο συνθήκη τοῦ τὴν βασιλείαν ἐστὶν ἀποθέμενον ἰδιωτικῶς ζῇν, ὥσπερ ἐκεῖνος καταψεύδεται, κρίνατε ὑμεῖς. εἰ δ’ ἑτέρως, ἢ ὥσπερ αὐτὸς εἰρήκειν, ἔχει, ὁ Συναδηνὸς παρὼν ἐξελεγχέτω. ἀλλ’ οὐκ ἂν δύναιτο. πρὸς μὲν οὖν τοὺς ὀνομαζομένους ἄρχοντας, οἳ δικαιότερον ἂν μᾶλλον ἀνδράποδα καὶ δοῦλοι καλοῖντο, καὶ τὴν παρακοιμωμένου ψευδολογίαν ἀρκέσει καὶ τὰ εἰρημένα, τήν τε ἄνοιαν ἐκείνων καὶ φαυλότητα καὶ τὴν ἐκείνου μοχθηρίαν ἀπελέγχειν. πρὸς δὲ τὴν πρὸς πατριάρχην ἀπολογίαν ἤδη τρέψομαι. ἂν δ’ ὑπὸ τῶν λόγων ἀπελέγχηται ψευδόμενος καὶ ἐπιορκῶν αὐτὸς, καὶ τῶν αἱμάτων καὶ τῶν φόνων αἴτιος καὶ τῶν μυρίων κακῶν, ἃ τοὺς ταλαιπώρους Ῥωμαίους τοσοῦτον ἤδη κατέχει χρόνον, ὧν αὐτὸς ἐν τοῖς γράμμασιν αἴτιον ἐμὲ γεγενῆσθαι λέγει ἐπιθυμήσαντα τῆς βασιλείας, μὴ ἐμοὶ τὸν ἔλεγχον προσλογίζεσθαι καὶ τὴν αἰσχύνην τὴν ἀπὸ τῶν λόγων, ἀλλ’ ἐκείνῳ τῷ πρὸς τούτους καταστήσαντι. λέγει τοίνυν, ὡς ἐγὼ τοὺς πρὸς βασιλέα ὅρκους παραβὰς καὶ τὴν θαυμαστὴν ἐκείνην φιλίαν ἀθετήσας, ὑφ’ ἧς παρὰ πάντα τὸν ἐκείνου βίον πολλῶν ἀπέλαυσα καὶ μεγάλων

ἀγαθῶν, ἐπεβούλευσα τοῖς παισὶ καὶ βασιλίδι τῇ γαμετῇ μετὰ τὴν τελευτήν. εἰ μὲν οὖν ἀκολασίαν κατηγόρει, ἢ ἀσυνεσίαν, ἢ δειλίαν, ἤ τι τῶν ὅσα πρόσκαιρον ἔχει τὴν μέμψιν καὶ ἡ ὕβρις εἰς τὸ σῶμα διαβαίνει, ἤνεγκα ἂν σιγῇ τὴν κατηγορίαν αἰδοῖ τῇ πρὸς αὐτόν. [20]

2 452 εἰ δ' ἐπιορκίας διώκει, ἢ οὐδὲν ἀσεβείας διενήνοχεν, (ἐπιορκία γάρ, φησιν, ἄρνησις θεοῦ,) τί λοιπὸν, ἢ μετὰ παῤῥησίας ἀπολύεσθαι τὰ ἐγκλήματα καὶ αὐτὸν ἀποδεικνύναι τοσοῦτον τῇ ἐπιορκίᾳ ἐνεχόμενον, ἢ ὅσον ἐμαυτὸν μάλιστα ἀφεστηκότα. πρὸς μὲν οὖν βασιλέα τὸν μακάριον ἐκεῖνον τὸν πάντ' ἐμοὶ φίλτατον καὶ κεφαλῆς τιμιώτερον αὐτῆς, οὗ καὶ ζῶντος μάλιστα περιειχόμην, καὶ πάντα πόνον ὑπὲρ ἐκείνου τρυφὴν ἡγούμην, καὶ μετὰ τὴν τελευτὴν ἀνεπίληστον τὴν μνήμην περιφέρω, οὔτ' ὀμωμοκέναι φαίην ἄν, οὔτ' ἐπιωρκηκέναι· οὐδὲ γὰρ ὅρκων ἐδεήθη ποτὲ τοῦ μηδὲν φαῦλον ὑποπτεύειν ἕνεκα περὶ ἐμοῦ. αἱ γὰρ καθημέραν πράξεις μυρίων ὅρκων ἦσαν ἰσχυρότεραι, τὴν πρὸς ἐκεῖνον ἐμοῦ πίστιν καὶ φιλίαν καθαρὰν ἀποδεικνῦσαι. τοὺς γὰρ ὅρκους οὐ παρ' ὧν δυσχερὲς ὑποπτεύομεν οὐδὲν, ἀλλ' οἷς μάλιστα ἀπιστοῦμεν, εἰώθαμεν ποιεῖσθαι προσαναγκάζειν. οὐ μὴν διὰ τοῦτο ἐγκλημάτων ἀπολύεσθαι δικαιῶ, ἂν τοῖς ἐκείνου φαίνωμαι παισὶ μετὰ τὴν τελευτὴν ἐπιβεβουλευκώς· ὁμοίως γὰρ ἄν τις ἐνέχοιτο τοῖς ἐγκλήμασι τῆς ἀδικίας, ἄν τ' ὀμωμοκὼς, ἄν τε χωρὶς ὅρκων ἀδικοίη. τοῦτο μὲν οὖν μετὰ τῶν ὅρκων τὴν ἀπόδειξιν ἐξετάσομεν· νυνὶ δ' αὐτὸ τοῦτο ψεύδεσθαι καὶ συκοφαντεῖν τὸν πατριάρχην φαίην ἄν, φάσκοντα ἠθετηκέναι τοὺς πρὸς βασιλέα ὅρκους. εἰ δὲ τοὺς πρὸς βασιλίδα λέγει καὶ βασιλέα τὸν υἱὸν, πρῶτον μὲν οὐδ' αὐτοῖς πρότερον ὀμώμοκα· οὐδὲ γὰρ ἐκάλει χρεία τις· τὸν ἴσον δὲ λόγον καὶ περὶ αὐτῶν, ὥσπερ καὶ περὶ βασιλέως, φημὶ δίκαιον εἶναι σώζεσθαι, τὸ καὶ χωρὶς ὅρκων τινὰ μηδὲ αὐτοῖς ἐξεῖναι ἐπιβουλεύειν, μηδὲ παραιρεῖσθαι τὴν ἀρχὴν, εἰ μὴ φανερῶς αἱροῖτο ἀδικεῖν. [5]

2 453 εἰ δὲ τοὺς ὕστερον ἐπ' αὐτοῦ γεγενημένους λέγει, ἐγὼ μὲν οὐδένα περὶ ἐκείνων ποιεῖσθαι λόγον ἐβουλόμην αἰδοῖ τῇ πρὸς αὐτόν. εἰ δ' ἐκεῖνος ἀναγκάζει τῶν τοιούτων τὴν ἐξέτασιν, εἰ μᾶλλον ἐκεῖνος ἀπὸ τῶν τοιούτων φαίνοιτο ἐπιορκῶν, στέργειν δίκαιον. ἐγὼ γὰρ μετὰ τὴν βασιλέως τελευτὴν ὀλίγῳ ὕστερον, ὁρῶν αὐτὸν τῶν πολιτικῶν πραγμάτων ἄρχειν ἐπιχειροῦντα καὶ ὑποκνιζόμενον εἰς φιλοτιμίαν καὶ δόξαν ἀρχικὴν, τό,τε ἐνδιδόναι πρὸς τὴν ἔφεσιν ὡς ἀλυσιτελὲς ὁρῶν, (ὑπώπτευον γὰρ ἐκ τούτου πολλὰς ἀναφυήσεσθαι διχοστασίας καὶ στάσεως ἀφορμὰς,) τό,τε κωλύειν φανερῶς τὴν ἐπιχείρησιν φθονερὸν καὶ μοναρχικὸν δοκοῦν, καὶ τοιούτοις ἀμφιβόλοις λογισμοῖς ἐπιπολὺ παλαίσας, τέλος ἔδοξα μᾶλλον, εἰ καὶ μὴ τοῖς πράγμασιν, ἀλλ' ἐμαυτῷ λυσιτελεῖν, ἀποσχέσθαι τῶν πραγμάτων τῆς ἀρχῆς καὶ διάγειν κατ' ἐμαυτὸν, καὶ μὴ τοῖς Ῥωμαίοις αἴτιος κακῶν ὀφθῆναι ἀνηκέστων. καὶ αὐτῷ χρησάμενος πρεσβευτῇ πρὸς βασιλίδα, ἀπειπάμην τὴν ἀρχήν. ἡ δὲ τῷ ἀδοκήτῳ τὴν ἀκοὴν καταπλαγεῖσα, καὶ τῆς κατεχούσης συμφορᾶς οὐκ ἀποδέουσαν νομίσασα τὴν ἐμοῦ ἐκ τῶν πραγμάτων ἀναχώρησιν, παντοία ἦν δεομένη, ὀνειδίζουσα, παρακαλοῦσα, πάντα κινοῦσα κάλων, ὥστε πείθειν τῶν πραγμάτων αὖθις ἔχεσθαι. [20]

2 454 καὶ τῶν τοιούτων πάντων αὐτὸς ἦν παρ' ἀμφοτέρων πρεσβευτής. ἐπεὶ δὲ ὑπὸ τῶν πολλῶν ἐκείνης λόγων ἐπικλασθεὶς καὶ πρὸς τὴν ὀρφανίαν τῶν παίδων βασιλέως ἀπιδὼν καὶ χηρείαν τὴν ἐκείνης, καὶ ὡς μάλιστα πολλῆς δέονται τῆς προστασίας, ἣν ἐμὲ δίκαιον ἐπιδείκνυσθαι, ἀξίας βασιλεῖ τῆς φιλίας χάριτας τὴν εἰς τοὺς παῖδας ἀποδιδόντα κηδεμονίαν, κἂν εἰ μέλλοιμι κινδύνοις περιπίπτειν, ἐπειθόμην μὲν, οὐ μὴν οὕτως ἀπερισκέπτως, ὥσθ' ὕστερόν τινα καταγινώσκειν ἔχειν ἀβουλίαν· ἀλλὰ καὶ πατριάρχου συμπαρόντος, πολλὰ πρότερον διειλέχθην βασιλίδι περὶ τοῦ μὴ δεῖν προσέχειν συκοφάνταις, οἳ πολλοὶ φυήσονται διαβολὰς καὶ συκοφαντίας κατ' ἐμοῦ συῤῥάπτοντες· οὐ γὰρ ἐάσει γε ὁ φθόνος ἠρεμεῖν. ἀλλ' εἰ μέν τι τοιοῦτον κατηγοροῖεν, ὁποῖον ἂν καὶ αὐτὴν ἐκ τῶν λεγομένων τὸ ψεῦδος συνιδεῖν, ἀποπέμπεσθαι πρὸς ὀργὴν καὶ μισεῖν τοὺς συκοφάντας. ἂν δ' ἐφάπτηται τῆς ψυχῆς καὶ

ἀμφιβολίαν ἐμποιῇ, μὴ ἄρα ἀληθῆ τὰ κατηγορημένα εἴη, μὴ καταψηφίζεσθαι αὐτίκα, μηδὲ πρὸς τὸ ἀμύνεσθαι χωρεῖν, ἀλλὰ καλεῖν ἐπὶ τὴν δίκην καὶ καιρὸν παρέχειν πρὸς ἀπολογίαν. κἂν μὲν ἀδικῶν καὶ ἐπιορκῶν ἐλέγχωμαι, διδόναι δίκας, ἂν δ' ἀπολύωμαι τὰ ἐγκλήματα, τοὺς κατηγόρους τοῦθ' ὅπερ εἰσὶν ἡγεῖσθαι, συκοφάντας. [20]

2 455 ἡ βασιλὶς μὲν οὖν πρὸς τοὺς λόγους οὐκ ἐπείθετο, οὐδὲ δικῶν ἔφασκε καὶ ἐλέγχων πρὸς ἐμὲ δεήσεσθαι, ἀλλ' ἀνυπεύθυνον παρείχετο τὴν ἀρχήν. ἐμοῦ δὲ οὐκ ἀνιέντος, ἀλλὰ βιαζομένου τὴν περὶ τῆς δίκης ἐπαγγελίαν, ἐπείθετο ἀναγκασθεῖσα, καὶ ὅρκους ἀλλήλοις παρειχόμεθα ἐπὶ τοῦ πατριάρχου, τὴν μὲν μηδεμίαν κατ' ἐμοῦ ἀπόφασιν ἐξενεγκεῖν ποτε, πεισθεῖσαν συκοφάνταις, ἀλλ' ἐπὶ τὴν δίκην καλεῖν καὶ ἐλέγχους ποιεῖσθαι τῶν ἀδικημάτων· ἐμὲ δὲ μηδέποτε περὶ αὐτὴν ἀγνωμονήσειν, μηδ' ἐπιβουλεύσειν αὐτῇ καὶ τοῖς παισὶ πρὸς τὴν ἀρχὴν, ἀλλὰ πᾶν ὁτιοῦν ὑπέρ τε αὐτῶν καὶ τῆς κοινῆ Ῥωμαίων ὠφελείας πράττειν. ἐγὼ δὲ καὶ τούτων οὕτω κατεσκευασμένων, ἔτι τὴν γυναικείαν δεδιὼς ἀσθένειαν, μὴ οὐχ οἵατε ᾖ οὕτω μεγαλοφροσύνην καὶ λογισμῶν ἐπιδείκνυσθαι περιουσίαν, ἀλλ' ἀπατηλοῖς καὶ περιέργοις λόγοις καὶ συκοφαντίαις παραχθεῖσα πρὸς τὸν κατ' ἐμοῦ πόλεμον ὁρμηθῇ ἡ βασιλὶς, τὸν πατριάρχην μόνον παραλαβὼν καὶ πολλῶν ὑπομνήσας εὐεργετημάτων ὑπηργμένων παρ' ἐμοῦ, ἔπειτα ἐδεόμην τῶν ὑπὲρ ἐμοῦ δικαίων ἔχεσθαι καὶ βασιλίδι παραινεῖν, ἐπεὶ συνεῖναι τὸν πάντα χρόνον μέλλει Βυζαντίῳ ἐνδιατρίβων, μὴ πείθεσθαι τοῖς συκοφάνταις, μηδὲ πρὸ δίκης ἐμοῦ καταψηφίζεσθαι, ὡς τῆς ἐκ τούτου ὠφελείας οὐκ εἰς μόνον ἐμὲ διαβαινούσης, ἀλλ' εἰς ἅπαντας κοινῆ Ῥωμαίους· ὧν δίκαιον αὐτὸν ἁπάντων προνοεῖν, ποιμένα καὶ κηδεμόνα καὶ διδάσκαλον ὑπὸ θεοῦ κεχειροτονημένον. [20]

2 456 ὁ δ' αὐτίκα ὤμνυεν ἀναστὰς, ὡς οὐδὲν ἧττον ἢ πατὴρ παιδὸς προνοήσειε γνησίου καὶ τῶν ὑπὲρ ἐμοῦ δικαίων οὕτως ἀνθέξεται, ὡσπερανεὶ αὐτὸς παρῆν, καὶ τοὺς συκοφάντας, εἴ τινες ὀφθεῖεν, μάλιστα μὲν ἀπελέγξειν ψευδομένους, καὶ παντὶ σθένει τῆς ἐκ τούτων βλάβης ἀπείρατον διατηρήσειν. εἰ δ' οὖν, ἀλλὰ τοῦτό γε πάντως ἐμοὶ φυλάξειν τὸ μὴ πρὸ δίκης καταψηφισθῆναι. δεῆσαν δὲ καὶ δὶς καὶ τρὶς περὶ τῶν αὐτῶν διαλεχθῆναι, τοσαυτάκις ὤμνυε τὰ ἴσα οὐχ ἱερεῦσι μόνον πρέποντα, ἀλλὰ καὶ ἰδιώταις ὅρκον. ὁ οὖν θαυμαστὸς οὗτος κηδεμὼν καὶ τοῦ δικαίου φύλαξ, πρὶν δέκα ἐξήκειν ἡμέρας μετὰ τὴν ἐμὴν ἐκ Βυζαντίου ἀναχώρησιν, τῷ παρακοιμωμένῳ πεισθεὶς συκοφαντήσαντι, ὅτι βούλομαι κατάγειν αὐτὸν τοῦ θρόνου καὶ ἀντεισάγειν Παλαμᾶν, ἐκίνει τὸν ἐμφύλιον πόλεμον αὐτὸς, σαφέστατα εἰδὼς, ὡς συκοφαντεῖ. ἀμυνόμενος δὲ ἐμὲ τῆς εἰς αὐτὸν, ὡς ᾤετο, ἀγνωμοσύνης, καὶ βασιλίδα ἐξηπάτα ὑπ' οὐδενὸς ἑτέρου δυναμένην τοῦτο πάσχειν, καὶ τὸν πόλεμον ἐκίνει, φεῦ, ὁ τὴν εἰρήνην τοῖς ἄλλοις παρέχων καὶ τοῦ εἰρηνικοῦ καὶ πρᾴου μαθητὴς, μήτε ὅρκους αἰδεσθεὶς, οὓς χθὲς καὶ πρώην ὁμωμόκει, μήτε τῆς Ῥωμαίων συμφορᾶς, ἧς ἔμελλον διὰ τὸν πόλεμον πειράσεσθαι, εἰς ἔννοιαν ἐλθὼν, ἀλλὰ πρὸς ἓν μόνον βλέπων, ὅπως ἐμὲ ἀνέλῃ τὸν οὐδὲν ἠδικηκότα. καὶ οὐδὲ μέχρι νῦν κόρον ἔσχηκε τῶν ἐπιβουλῶν καὶ συκοφαντιῶν, ἀλλὰ καὶ μετὰ τὴν τοσαύτην τῶν αἱμάτων χύσιν καὶ τὴν αἰχμαλωσίαν τῶν δυστυχῶν Ῥωμαίων καὶ τὰς διαρπαγὰς καὶ τὰς λεηλασίας καὶ τὴν κοινὴν πανωλεθρίαν, ὡς εἰπεῖν, οὐ πρὸς ἔλεον κατεκάμφθη, οὐδὲ οἶκτον ἔλαβέ τινα τῶν ἀτυχούντων, ἀλλὰ πάντα μᾶλλον φορητότερα αὐτῷ, ἢ ἡ πρὸς ἐμὲ εἰρήνη. [5]

2 457 ἀλλ' ἴσως ἐρεῖ, ὥσπερ δῆτα πυνθάνομαι καὶ λέγειν, βουλόμενος βασιλίδα μᾶλλον ἐρεθίζειν πρὸς τὸν πόλεμον, ὡς, ἕως μὲν ὀρθοῖς ἑώρα καὶ δικαίοις ἐμὲ χρώμενον λογισμοῖς καὶ τὰ συνοίσοντα τοῖς βασιλέως βουλευόμενον παισὶν, εὔνους ἦν καὶ αὐτὸς καὶ ἐνέμενε τοῖς ὅρκοις. ἐπεὶ δ' ἐξετράπην τῶν δεόντων καὶ εἰλόμην ἀδικεῖν, δίκαια ποιῶν αὐτὸς ἀμύνεται ὑπὲρ τῶν βασιλέως παίδων. καὶ τίς τούτων ἡ ἀπόδειξις, ὦ 'γαθέ; εἰ μὲν γὰρ ἀρκεῖ μόνον εἰπεῖν, καὶ τοῦτ' ἀρκεῖν ἡγεῖσθαι πρὸς ἀπόδειξιν τοῦ πράγματος, ὡς λαμπρὸς εἶ καὶ τὰ μέγιστα εὐτύχηκας, οὕτως ἀπόνως τῶν ἐχθρῶν περιγινόμενος. ἀλλ' οὐ συγχωρήσουσι τὰ καθημέραν πλάσματα καὶ

τὸ πρὸς τὰ φαῦλα κατάφωρον τῶν ἔργων, τοιαύτην ἔχειν δόξαν παρὰ τοῖς πολλοῖς. εἰ δὲ τοῦτο μὲν μελαγχολῶντος οὐχ ὅτι λέγειν, ἀλλὰ καὶ οἴεσθαι, λοιπὸν τοίνυν χωρεῖν πρὸς τοὺς ἐλέγχους. εἰ μὲν οὖν ἐμοί τι σύνοιδεν αὐτὸς τοιοῦτον, ἐξελεγχέτω φανερῶς· εἰ δ' ἑτέρων φησὶν ἀκηκοέναι, παραγέτω τοὺς μάρτυρας. ἀλλ' οὐκ ἂν ἔχοι, εἰ μὴ συκοφαντεῖν αὖθις ἀνεξέλεγκτα ἐθέλοι. ἐγὼ δὲ τὴν ἀπὸ τῶν ἔργων παρέξομαι ἐναργεστάτην μαρτυρίαν. οὔτε γὰρ πρὶν τὸν πόλεμον κινηθῆναι παρ' αὐτῶν, οὔτε βεβουλευμένος, οὔτε πράξας τι πρὸς ἐπιβουλὴν τῶν βασιλέως παίδων ἂν φανείην, οὔτ' εὐθὺς ἠργμένου, ἀλλὰ μετὰ τὴν τῆς μητρὸς καὶ τοῦ υἱοῦ εἱρκτὴν καὶ τὴν ἀποστέρησιν τῶν ὄντων καὶ τὴν δήμευσιν τῶν φίλων καὶ τῶν συγγενῶν, οὐ πρὸς τὸ ἀμύνεσθαι ἐτρεπόμην, ἀλλ' ὁρῶν οἷ κακῶν ὁ πρὸς ἀλλήλους τελευτήσει πόλεμος, ἠχθόμην μὲν κινουμένου καὶ τοὺς παροξύνοντας ἐν αἰτίαις ἦγον. [5]

2 458 αὐτὸς δὲ, ὡς εἶχον, μάλιστα ἐσπούδαζον καταλύειν, καὶ πρεσβείαν ὑπὲρ τῆς εἰρήνης ἐποιούμην, καὶ τὴν δίκην ἀπῄτουν, καὶ οὐ παρῃτούμην τὸ μὴ διδόναι δίκας, ἂν ἐλέγχωμαι ἐπιορκῶν. αὐτοῖς δὲ τοσοῦτον ἐμέλησε τοῦ τὰ δίκαια ποιεῖν ἢ πρόνοιάν τινα ποιεῖσθαι τοῦ καταλύεσθαι τὸν πόλεμον, ὥστε ἐπὶ τοῖς πρότερον γεγενημένοις ἐμὲ πολλὰ περιυβρίσαντες καὶ λοιδορησάμενοι ἐπ' ἐκκλησίας, ἔπειτα ἐρεσχελήσαντες καὶ τοὺς πρέσβεις κακώσαντες, ὡς μάλιστα ἀπέπεμψαν ἀπράκτους. μετὰ τοῦτο δὲ ὥσπερ ἔργοις αὐτοῖς βουλόμενοι καταφανὲς ποιεῖν, ὅτι τοῦ δικαίου μὲν οὐδένα ποιοῦνται λόγον, οὐδὲ προφάσεώς τινος ἕνεκα εὐπροσώπου εἵλοντο τὸν πόλεμον, ἀλλ' ἐμὲ ἀποκτείνειν ἐκ παντὸς τρόπου ἠρημένοι πρόσχημα τοῦ πολέμου τὸν ὑπὲρ βασιλίδος ποιοῦνται ζῆλον, θεσπίσματα πεπόμφασι πανταχῇ τῶν πόλεων πᾶσαν εἴσοδον ἐμοὶ πρὸς αὐτὰς ἀπαγορεύοντα καὶ κοινὸν πολέμιον ἀποδεικνύντα. καὶ οὐ μέχρι τούτου ἔστησαν τὴν ἀτοπίαν, ἀλλὰ καὶ ἐνθάδε διατρίβοντι ἐκέλευον τῆς πύλης μὴ προβαίνειν, ἀλλ' οἴκοι καθήμενον, τὴν ἀναιροῦσαν ψῆφον περιμένειν. [20]

2 459 τί οὖν με πρὸς ταῦτα ποιεῖν ἐχρῆν, πρὸς αὐτῆς τῆς ἀληθείας; συγκαλυψάμενον περιμένειν τὴν σφαγήν; ἀλλ' οὐκ ἂν ἔδοξα σωφρονοῦντος χρῆσθαι λογισμοῖς, οὕτως ἀκλεῶς καὶ ἀτίμως ἀποθνήσκων, ἀλλὰ καταπλαγέντα πρὸς τὴν ἀθρόαν τῶν πραγμάτων μεταβολὴν, δοῦλα φρονεῖν καὶ ἀνελεύθερα, καὶ παραδιδόναι παρακοιμωμένῳ ἐμαυτὸν, ὥστ' ἐπ' ἐξουσίας ἔχειν κακῶς ποιεῖν καὶ εἰς δεσμωτήρια ἄγειν, ὥσπερ τὰ ἀνδράποδα ἐκεῖνα, οἳ σφᾶς αὐτοὺς ἐκείνῳ παραδεδωκότες, οἱ μὲν οἰκοῦσι δεσμωτήρια, δημεύσεις πρότερον ὑπομείναντες καὶ ἄλλων πεῖραν δυσχερῶν πολλῶν, οἱ δ' ἐν Καρὸς μοίρᾳ ἄγονται καὶ φέρονται, πᾶν τὸ προσταττόμενον ὑπ' ἐκείνου ποιεῖν ἔχοντες ἀνάγκην. καὶ ποίων οὐ θανάτων ἀντάξια μυρίων ταῦτα; ἢ πότε ἂν ὁ ἥλιος ἐπεῖδε μείζονα καὶ παραδοξοτέραν ἀτοπίαν, ὥστε τὸν ἐκ κοπρίας, ὅ φασιν, ἄνθρωπον, ὑπ' ἐμοῦ γεγενημένον καὶ μέγα σεμνυνόμενον, ἂν καὶ βλέμματος ἐτύγχανε προσηνοῦς, ἢ λόγου τινὸς δοκοῦντος εὐμενῶς εἰρῆσθαι, τοῦτον ὑβρίζειν ἔχειν εἰς ἐμὲ καὶ τῇ αὐθαδείᾳ καὶ κακοτροπίᾳ χρῆσθαι; δι' ἃ δὴ πάντα σώζειν ἐμαυτὸν εἰλόμην καὶ τοὺς συνόντας· καὶ ὃ πολλάκις ὁ μακάριος τῷ ὄντι βασιλεὺς ἐκεῖνος ἠνάγκαζε ποιεῖν, ὥσπερ πάντες ἴσασι σαφῶς, τοῦτ' ἔπραττον ὑπ' ἐκείνων μάλιστα εἰς τοιαύτην ἀνάγκην συνενηνεγμένος, τῆς κοινῆς ἐμαυτοῦ τε καὶ τῶν ὅλων σωτηρίας ἕνεκα. [20]

2 460 καὶ ἐξ ἐκείνου ἄχρι νῦν οὐδέποτε ἐπαυσάμην περὶ εἰρήνης δεόμενος αὐτῶν. ἀλλ' ἀνθέρικον δοκῶ θερίζειν· πάντα γὰρ αὐτοῖς μᾶλλον, ἢ ἡ εἰρήνη, ἀνεκτά. σκεψώμεθα δὴ πότερος ἀδικῶν φαίνεται καὶ ἐπιορκῶν, ὁ τήν τε ἀρχὴν τοῖς ὅρκοις ἐπιμείνας, ἄχρις οὗ κατὰ κράτος κατελύθησαν ὑπὸ τῶν πολεμούντων, καὶ μέχρι νῦν δεόμενος περὶ εἰρήνης καὶ τὸν πόλεμον ἐθέλων καταθέσθαι, ἢ ὁ μήτε πρότερον, μήθ' ὕστερον τῶν δεόντων μηδὲν φαινόμενος ποιεῖν ἐπεὶ δέ μοι καὶ τὴν γεγενημένην φθορὰν ὑπὸ τοῦ πολέμου προστρίβεται ὁ πατριάρχης, σκεψώμεθα, τίς αἴτιος αὐτῆς. πρῶτον μὲν γὰρ οἶομαι πάντα ὁντινοῦν τῷ ἄρχοντι πολέμου τὴν αἰτίαν τῶν γινομένων ἀναθήσειν· ἀμυνομένῳ γὰρ οὐδέποτε οὐδεὶς ἐνεκάλεσεν, ὅτι διασώζει

ἑαυτόν. ἔπειτα ἐξετάσωμεν καὶ τὰ κατὰ μέρος, παρὰ τίνων δημεύσεις καὶ σφαγαὶ καὶ ἐξορίαι καὶ δεσμωτήρια καὶ στρεβλώσεις. οὐχὶ παρ' αὐτῶν; οὐ δακρύων ἐνέπλησαν τὰς πόλεις πάσας; οὐχ αἱμάτων; οὐχ ὥσπερ κοινοὶ τῶν Ῥωμαίων πολέμιοι περιόντες τοὺς ἑκασταχοῦ ἀρίστους διαφθείρουσιν; οὐ τά τε κοινὰ καὶ τὰ ἴδια τῶν Ῥωμαίων χρήματα ἀνάλωσαν εἰς οὐδὲν δέον; ἐῶ γὰρ λέγειν τὰ ἡμέτερα τοσαῦτα ὄντα, ἃ εἰ μὴ αὐτοὶ διέφθειρον τὸν πόλεμον κεκινηκότες, ὑπὲρ τῆς κοινῆς ὠφελείας ἂν ἀνάλωτο, ὥσπερ παρεσκευαζόμην, ἴστω θεὸς ὁ πάντων τῶν ἀδήλων καὶ κρυφίων γνώστης. οὐ πόλεις, τὰς μὲν αὐτοὶ παραδεδώκασι Μυσοῖς, τὰς δ' ἑκοντὶ προεῖντο Τριβαλοῖς; οὐ βαρβάρους αὐτοὶ πρῶτοι τοῖς Ῥωμαίοις ἐπήγαγον Μακεδονίαν κατατρέχοντες καὶ ἐξανδραποδιζόμενοι, ὡς πολεμίαν; οὐ Θρᾴκην πᾶσαν ταῖς συχναῖς αὐτοὶ στρατείαις ἀοίκητον ἀπέδειξαν; οὐ χθὲς καὶ πρώην Μῴῤῥαν διέφθειρον, ὡς ὑπ' ἐμοὶ τελοῦσαν; οὐ τὰς κοινὰς προσόδους πάσας ἐποίησαν ἀπολιπεῖν; οὐ τῆς στρατιᾶς τὸ μὲν, ὡς πολέμιον, αὐτοὶ διέφθειραν, τοῦ δὲ ἠμέλησαν, ὡς ὑπόπτου, ὀλίγον δὲ ἔτι τὸ λειπόμενον καὶ φαῦλον; ἐμοὶ δὲ τί τοιοῦτον εἴργασται; πλὴν ὅτι ἀμύνομαι ἐπιόντας καὶ Μυσοὺς καὶ Τριβαλοὺς, καὶ τὴν Ῥωμαίων ὑπολειπομένην ἐπάγουσι δύναμιν μὴ δυνάμενος ἀντικαθίστασθαι, ἐξ ἀνάγκης βαρβάρους συμμάχους προσκαλοῦμαι, ὥσπερ ἐδιδάχθην ὑπ' αὐτῶν. [10]

2 461 ὁπότερος οὖν τῆς φθορᾶς καὶ τῆς λεηλασίας αἴτιος, μᾶλλον δὲ αὐτουργός; οὐχ οὗτοι; συμβαίνει δὲ αὐτοῖς ὡσπερὰν εἴ τις εἰς οὐρανὸν τοξεύων, ἔπειτα περιπειρόμενος ὑπὸ κατιόντων τῶν βελῶν, οὐχ ἑαυτῷ, ἀλλ' οὐρανῷ προσλογίζοιτο τὴν αἰτίαν τῆς πληγῆς. ὅτι μὲν οὖν τήν τε κατὰ τὰς πόλεις ἀμύθητον Ῥωμαίων δυστυχίαν αὐτοὶ εἰργάσαντο καὶ τοῦ ἀνδραποδισμοῦ καὶ τῆς λεηλασίας τῆς ἄλλης χώρας αἰτιώτατοι αὐτοὶ, μηδ' ἄκροις ὠσὶ παραδεχόμενοι τὴν εἰρήνην, ἵν' ἐμὲ ἀνέλωσι μόνον, ἐκ τούτων δῆλον. ἔπεισι δέ μοι τοῦ πατριάρχου, εἰ δεῖ μὴ μᾶλλον τὴν πονηρίαν, ἢ ἀπραγμοσύνην λέγειν, θαυμάζειν, ὅτι, πολλὰ πολλάκις ἐμοῦ περὶ εἰρήνης δεηθέντος καὶ μάλιστα αὐτοῦ, οἷα δὴ προστάτου τῆς εἰρήνης καὶ καθημέραν εἰρήνην πᾶσιν ἐπιλέγοντος, τότε μὲν οὐδέποτε ἐκάμφθη, οὐδὲ τὰ σπλάγχνα ἔφασκεν ἀνοιγνύναι τὴν ἐκκλησίαν, ἀλλ' ἦσαν σκληρότερα χαλκοῦ, νυνὶ δ' ὅτε τῶν πλασμάτων καὶ ψευδολογιῶν ἀκήκοε παρακοιμωμένου, ὅτι καθ' ἡδονὴν μάλιστά εἰσιν αὐτῷ, ἐξαίφνης πρᾷος καὶ ἥμερος ἀνεφάνη. [5]

2 462 καίτοι γε ἐροίμην αὐτὸν, ὁποίαν τινὰ λέγει τὴν ἐκκλησίαν ταύτην. εἰ μὲν γὰρ τὴν καθόλου τῶν ἐπισκόπων ἀδελφότητα, ἴστω μηδέποτε ἐμοὶ τὰ σπλάγχνα κλείσασαν ἐκείνην, ἀλλ' ἀνεῳγμένα μοι εἰς τόδε ἐξαρχῆς διατηροῦσαν· οἱ πλείους γὰρ ἐμοὶ φρονοῦσιν ἴσα, καὶ πολλὴν αὐτῶν ὠμότητα καταγινώσκουσι τῶν πολέμων καὶ τῶν φόνων ἕνεκα. εἰ δ' αὐτὸν καὶ τοὺς συνόντας τινὰς λέγει, πρῶτα μὲν οὐδ' αὐτοὶ τοῖς γινομένοις πάντες ἥδονται, ἀλλὰ τῆς ἀπάτης καὶ τῆς εἰς τὰ φαῦλα συναρπαγῆς θρηνοῦσιν ἑαυτοὺς, ἔπειτα οὐδ' ἐκκλησία εἰσὶν οὗτοι, ἀλλὰ τὸ κοινὸν τῶν πεπιστευκότων ἄθροισμα ἐκκλησία προσηγόρευται· ὧν ὥσπερ ἐξαίρετα οἵ τε ἐπίσκοποί εἰσι καὶ τῶν μοναζόντων οἱ λογάδες· ὧν μάλιστα τὸ ἄριστον καὶ τῶν ὀρθῶν ἐχόμενον λογισμῶν, ἐμοὶ προσέχουσιν, ὡς δίκαια καὶ λυσιτελοῦντα τῶν Χριστιανῶν τῇ ἐκκλησίᾳ καὶ προῃρημένῳ ἐξαρχῆς καὶ πράττοντι. οὔτε γοῦν μοι πρότερον κέκλεικε τὰ σπλάγχνα ἡ ἐκκλησία, οὔτε νῦν ἀνοίγνυσιν, ἀλλ' αὐτὸς ἐπιορκήσας καὶ συκοφαντήσας καὶ τὸν πόλεμον κεκινηκὼς, ἃ πρότερον οὐκ ἠδυνήθη διὰ τῶν πολλῶν αἱμάτων καὶ τῶν ἀνηκέστων καταπράξασθαι κακῶν, τὸ ἐμὲ διαφθεῖραι, ταῦτα νῦν ἐλπίσας ἐκ τῶν ψευδολογιῶν τοῦ φίλου, ἤνοιξεν, ὥς φησι, τὰ σπλάγχνα, οὐχ ἵνα φιλανθρώπως δέξηται, (τοῦτο γὰρ ἐκ πολλοῦ δεόμενος αὐτὸς οὐκ εἰσακούομαι,) ἀλλ' ἵνα καταπίῃ. [5]

2 463 ταῦτα μὲν οὖν εἰ καὶ τραχύτερόν πως δοκεῖ εἰρῆσθαι, συγγνώμη τῷ πάθει. ψυχὴ γὰρ ὑπὸ πολλῶν ἀδικημάτων πιεσθεῖσα καὶ κατώδυνος τοιαῦτα ἂν ἐξενέγκοι καὶ πολλῷ τραχύτερα. πρὸς τοῖς ἄλλοις δὲ καὶ τὸ ἐπιτίμιόν φησιν ἐμοὶ λύσειν χαριζόμενος. εἰ μὲν οὖν εἰδὼς, ἃ δεῖ

περὶ τῶν ἐπιτιμίων, τοιαῦτα πλάττεται καὶ οἴεται ἐξαπατᾷν, συγγνώμη πολλὴ τὸ εἰωθὸς ποιοῦντι· εἰ δ' ἀγνοεῖ τὴν δύναμιν, ἣν ἔχει περὶ τὰ τοιαῦτα, ὅπερ οἶομαι καὶ μάλιστα, ἐγὼ διδάξω. τῶν ἀνθρώπων οἱ μὲν ὀρθῶς βιοῦσι καὶ νόμοις προσέχουσι θεοῦ καὶ περὶ τὴν πίστιν ἀσφαλεῖς εἰσιν, οἱ δὲ τοὐναντίον ἅπαν. ὅσοις οὖν ἢ ἀσέλγειαι ἢ ἐπιορκίαι ἢ φόνοι ἤ τι τῶν ἀπηγορευμένων ἕτερον τολμᾶται ἢ περὶ τὴν πίστιν σφάλλονται, δόγμασι προσέχοντες πονηροῖς καὶ διεφθαρμένοις, οὗτοι τῆς μερίδος ἑαυτοὺς ἠλλοτριώκασι τοῦ Χριστοῦ· οὐδεμία γὰρ κοινωνία φωτὶ πρὸς σκότος. οἱ ἀρχιερεῖς δὲ τῶν θείων θεληματων εἰσὶν ἐκφάντορες καὶ διδακτικοὶ καὶ προνοητικοὶ τῶν ἄλλων. πρῶτοι οὖν ἐκεῖνοι παρὰ τοῦ πνεύματος διδασκόμενοι τοὺς ἀπὸ θεοῦ κεχωρισμένους διὰ τὴν περὶ τὰ φαῦλα ἐπιμονὴν, διδάσκουσι τοὺς ἄλλους, μὴ αὐτοῖς συναναμίγνυσθαι, μηδὲ συνεσθίειν, μηδὲ συνεύχεσθαι, ὡς ἀπὸ θεοῦ κεχωρισμένοις, ἵν' ἢ ἐκεῖνοι ἐπιστρέφωσιν ἀπὸ τῶν φαύλων, αἰσχυνόμενοι τὸν χωρισμὸν, ἢ οὗτοι μὴ βλάπτωνται ἐκ τῆς ἐκείνων συνδιαγωγῆς. [5]

2 464 ῥᾷον γὰρ ἄν τις μεταλάβοι κακίας, ἢ μεταδῷ τῆς ἀρετῆς. εἰ δ' ἐκεῖνο προβάλλεται, τί οὖν ὁ Χριστὸς εἶπε „πάντα ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ;" ἀλλ' αὐτοῦ τοῦ μακαρίου Πέτρου ἀκουέτω, πρὸς ὃν ἡ ἐξουσία δέδοται, Κλήμεντι τῷ διαδόχῳ παραγγέλλοντος διαῤῥήδην, ὅτι „λύσεις, ἃ προσῆκον, ὁμοίως καὶ δήσεις," ὡς τὸν μὲν Χριστὸν πρὸς ἐκεῖνον ἀπολύτως εἰπεῖν τὸν λόγον, εἰδότα ἀκριβῶς, ὡς οὐδὲν δήσει τῶν ἀξίων μὴ δεδέσθαι· Πέτρον δὲ αὖθις, παρ' αὐτοῦ τοῦ διδασκάλου ἐμπνεόμενον, καὶ τὸν διορισμὸν προσθεῖναι τοῦ ὅσα δεῖ, δείσαντα, ὡς ἔοικε, μὴ ὕστερόν ποτε ἡ τοιαύτη ἐπεισέλθῃ νόσος, καὶ νομίσωσιν οἱ ἀρχιερεῖς ἐξουσίαν ἔχειν χωρίζειν, οὓς ἂν ἐθέλωσιν, ἀπὸ θεοῦ ἰδίων ἕνεκα ἐγκλημάτων καὶ παθῶν. ὃ νῦν πέπονθε καὶ οὗτος τὴν οἰκείαν ἀγνοήσας δύναμιν. δῆλον οὖν, ὡς, ἄν τις ἄξια ποιῇ χωρισμοῦ θεοῦ, καὶ πρὶν τοὺς ἀρχιερέας φανερὸν ποιεῖν τοῖς ἄλλοις, ἐκεῖνος ἀπὸ θεοῦ κεχώρισται, ὥσπερ τῷ τῆς Ἀλεξανδρέων ἡγουμένῳ ἐκκλησίας Πέτρῳ τῷ μακαρίῳ Ἀρεῖος ὁ κατὰ Χριστοῦ μανεὶς, καὶ πρὸ τῆς συνόδου τῆς ἱερᾶς καὶ τῆς ἐκτομῆς τοῦ λοιποῦ τῆς ἐκκλησίας σώματος, ἐκτετμημένος παρὰ θεοῦ ἀπεκαλύφθη καὶ γεέννης ἄξιος καὶ τῆς ἐν ᾅδου καταδίκης· ἄν τε μηδὲν τοιοῦτον εἰργασμένος φαίνηται, ἀλλὰ νόμοις θεοῦ προσέχων καὶ ταῖς ἐντολαῖς, αἳ μάλιστα μέλος εἶναι Χριστοῦ ποιοῦσιν, οὐκ ἂν ἀπ' ἐκείνου χωρισθείη, ἂν πάθους ἕνεκα ἰδίου οἱ ἀρχιερεῖς χωρίζωσιν. [5]

2 465 ὁ γὰρ μέγας λαμπτὴρ τῆς οἰκουμένης Ἰωάννης ὁ χρυσοῦς τὴν γλῶτταν, τῆς ποίμνης ἀδίκως ὑπὸ τῶν ἐπισκόπων ἀπελαθεὶς καὶ πολλοῖς κακοῖς προσομιλήσας καὶ ἀφορισμῷ καὶ ἀναθέματι ὑποβληθεὶς, οὐδὲν ἀπέβαλε τῆς δόξης· ἀλλ' ἐκεῖνος μὲν εἰς ἀεὶ Χριστῷ σύνεστι συνδοξαζόμενος, οἱ ἐκτεμόντες δὲ μᾶλλον ἑαυτοὺς τῆς δόξης ἠλλοτρίωσαν τοῦ θεοῦ, φθόνῳ καὶ συκοφαντίᾳ καὶ διαβολῇ καὶ μυρίοις ἄλλοις πάθεσιν ἐκδότους ἑαυτοὺς πεποιηκότες. εἰ μὲν οὖν τι καὶ αὐτὸς ἐμοῦ τοιοῦτον ἔχει κατηγορεῖν, οἷον εἶναι ἄξιον ἀπὸ θεοῦ χωρίζειν, λεγέτω καὶ δεικνύτω, καὶ τήν τε ἐπιτίμησιν οἵσω πρᾴως καὶ πρὸς τῶν ἡμαρτημένων τὴν ἐπανόρθωσιν πᾶσαν ἐπιδείξομαι σπουδήν. εἰ δ' οἰκείας ἀβουλίας ἕνεκα καὶ φθόνου καὶ συκοφαντίας, ὅτι μὴ παρέσχον κατασφάττειν ἐμαυτὸν, ἀπὸ θεοῦ χωρίζειν ἔγνω, σκοπείτω, μὴ οὐ δι' ἐμοῦ μᾶλλον, ἢ ἑαυτοῦ τὸ ξίφος ὤθησεν· οὐ γὰρ, Διονύσιος ὁ μέγας, ἔπεσθαί, φησι, τὸ θεῖον ταῖς παραλόγοις τῶν ἀρχιερέων ὁρμαῖς. [20]

2 466 εἰ δέ τις δέον εἶναι λέγοι, κἂν ὅπως ποτὲ εἶχε τὰ τοῦ πράγματος φροντίδος ἀξίαν ἡγήσασθαι τὴν ἐπιτίμησιν, καὶ περὶ τὴν διάλυσιν σπουδὴν πολλὴν εἰσενεγκεῖν, ἀλλ' ἐμοὶ κἂν τούτῳ τῶν δεόντων παραλέλειπται οὐδὲν, ἀλλὰ πολλὰ πολλάκις περὶ τῶν τοιούτων δεηθέντι, οὐδὲν οὐδέπω, οὔτε πρότερον, οὔτε νῦν ἐπιεικὲς ἐλέχθη. ὡς μὲν οὖν εὐθὺς ἐξαρχῆς ἐγώ τε τὰ δίκαια εἱλόμην καὶ τὰ κοινῇ λυσιτελοῦντα ἔπραττον, καὶ οὗτοι πολλὰς συκοφαντίας καὶ διαβολὰς πλασάμενοι τὸν πόλεμον κεκινήκασι, καὶ πολλὰ Ῥωμαίους εἰργάσαντο κακὰ, μᾶλλον δὲ

συμπάντων αἴτιοι κατέστησαν, τὰ μὲν αὐτοχειρίᾳ πεποιηκότες αὐτοὶ, τὰ δ' ἐμὲ ἀναγκάζοντες οὐκ ἐθέλοντα, μάλιστ' ἄν τις ἐκ τῶν εἰρημένων σαφέστατα κατίδοι. ὅτι δὲ καὶ νῦν οὐ τὴν εἰρήνην ἠρημένοι οὐδ' ἔλεόν τινα λαβόντες τῶν πιπτόντων καθ' ἡμέραν, ἀλλ' ἐμὲ πρὸς τοῖς ἄλλοις ὑποχείριον λαβεῖν βουλόμενοι καὶ τὴν σύμπασαν αὐτοὶ Ῥωμαίων ἀρχὴν ἔχειν, (τοῦτο γὰρ αὐτοῖς σπουδάζεται περὶ πλείστου, ἕτερον δὲ οὐδὲν,) τὴν πρεσβείαν ταυτηνὶ πεποίηνται, ἐκ τῶν πρεσβευομένων αὐτῶν δῆλον. εἰ γάρ τι ἐπιεικὲς καὶ λυσιτελὲς ἐνενόουν τῷ κοινῷ, οὐκ ἂν οὕτως ἐκείνῳ τῷ συκοφάντῃ καὶ ἀεὶ καταψευδομένῳ ῥᾷστα πειθόμενοι ὑπάγειν ἐπεχείρουν ἑαυτοῖς καὶ καταδουλοῦν ἐμέ· ὃς εἰ μή τι ἄλλο, διὰ τὸ γοῦν ἐπὶ τοσοῦτον χρόνον τὰ Ῥωμαίων διοικεῖν, βέλτιον ἂν τοῖς πράγμασι χρησαίμην καὶ λυσιτελέστερον αὐτῶν. πατριάρχῃ μὲν οὖν καὶ τοῖς ἄλλοις οὐδενὸς ἐμέλησεν ἑτέρου, ἢ ὃ προὔθεντο ἐξαρχῆς εὐθὺς, τὸ διαφθείρειν ἐμὲ καὶ ποιεῖν ἐκ μέσου, ἵν' ἄρχειν ἀδεῶς ἔχοιεν αὐτοί. [20]

2 467 ἐγὼ δὲ τοῦ κοινῇ λυσιτελοῦντος ἕνεκα, ὥσπερ καὶ ἀεὶ, καὶ βούλομαί τε καὶ περὶ πλείστου ἄγω τὴν εἰρήνην, εἴ γε βούλοιντο καὶ αὐτοὶ τῶν πλασμάτων καὶ ψευδολογιῶν ἀποστάντες παρακοιμωμένου διαλύσεις τίθεσθαι. εἰ δ' αὖθις αὐτοὶ τὸν πόλεμον κινοῖεν, μὴ ἐμοὶ τὰ ἐσόμενα κακὰ ἐκ τοῦ πολέμου προσλογίζεσθαι, ἀλλ' ἑαυτοῖς, πολλῷ τῶν προϋπηργμένων δεινότερα, ὡς ὁρῶ, ἐσόμενα. ἐκεῖνοι μὲν γὰρ Μυσοῖς καὶ Τριβαλοῖς πόλεις καὶ χώρας καταπροϊέμενοι συμμάχους ἐποιήσαντο, οἷς ἐπ' ἐμὲ διανοοῦνται χρῆσθαι. οἷς ἀνθίστασθαι οὐκ ἂν δυναίμην μετὰ Ῥωμαίων τῶν παρόντων· λείπεται δὴ κἀμὲ συμμαχίαν ἑαυτῷ πορίζειν, ἣ τοῖς πολεμοῦσιν ἀντιστήσεται καὶ διαφθερεῖ. οὐ γὰρ ἑκὼν εἶναι προήσομαι τὴν ἐμαυτοῦ καὶ τῶν συνόντων σωτηρίαν. αὕτη δὲ οὐδαμόθεν ἄλλοθεν παρέσται, ἢ ἐξ Ἀσίας Περσική· οἳ βάρβαροί τε ὄντες καὶ ἀπ' ἐναντίας ἡμῖν περὶ τὸ σέβας διακείμενοι οὐδεμίαν φειδὼ ποιήσονται τῶν ἐμπιπτόντων ταῖς χερσὶν, ἀλλὰ τοὺς μὲν ἀποκτενοῦσι, τοὺς δὲ ἐπὶ δουλείᾳ ἀποδώσονται. εἰ μὲν οὖν τινα τῶν μελλόντων διαφθείρεσθαι ἔλεον λαβόντες πρὸς τὴν εἰρήνην ἐθέλωσι χωρεῖν, κἀγὼ μάλιστα βουλοίμην ἄν, καὶ ἐν ἡμέραις πεντεκαίδεκα πεμπέτωσαν τοὺς ἐροῦντας, ὅτι διαλύεσθαι συνέθεντο, ὡς ἂν πέμψας κἀγὼ κωλύσω τοὺς βαρβάρους μὴ περαιοῦσθαι πρὸς τὴν Θρᾴκην· παρεσκευασμένοι γάρ εἰσιν. [20]

2 468 ὕστερον δὲ ἐφ' οἵστισιν ἡ εἰρήνη ἔσται θησόμεθα συμβάσεις πρὸς ἀλλήλους. εἰ δ' αὖθις ψηφισάμενοι πολεμεῖν μηδὲν ἀποκρινοῦνται πλέον, ἐγὼ μὲν μετὰ τὴν προθεσμίαν οὐδενὸς ὧν ἔγνωκα λυσιτελεῖν ἐμαυτῷ ἀφέξομαι, καὶ θεὸν μαρτυρόμενος καὶ ἀνθρώπους, ὡς ἄκων εἰς τὸν πόλεμον χωρῶ καὶ τῶν ἐσομένων κακῶν οὐδενὸς τό γε εἰς ἐμὲ ἧκον αἴτιός εἰμι. αὐτοὶ δ' εἰ μή τι ἄλλο, τῶν γοῦν πόλεων πρόνοιάν τινα ποιείσθωσαν τῶν αὐτοῖς προσεχουσῶν, ἵνα μὴ παντάπασι διαφθαρῶσιν ὑπὸ τῶν βαρβάρων· τὴν γὰρ ἐκείνων συμφορὰν ἐν τοσαύτῃ φροντίδι τίθεμαι, ὅσην καὶ τῶν ὑπ' ἐμέ." τοιαύτην ὁ βασιλεὺς πρὸς τοὺς πρέσβεις ὑπὲρ ὧν ὁ πατριάρχης κατηγόρει τὴν ἀπολογίαν θέμενος, ἔπειτα γράψας καὶ τὰ ἴσα πρός τε πατριάρχην καὶ τοὺς ἄλλους, καὶ Χρυσοβέργην τὸν Ἰωάννην συνεξέπεμπεν αὐτοῖς εἰς βασιλίδα πρεσβευτήν. οε′. Ἔτι δ' ἐν Διδυμοτείχῳ τῶν πρέσβεων διατριβόντων, ἦκον ἐκ Φερῶν πρὸς βασιλέα πρεσβευταὶ, πρῶτα μὲν παραιτούμενοι ἐφ' οἷς πρὸς αὐτὸν ἠγνωμονήκασι, μὴ μόνον οὐ πειθόμενοι τὰ βελτίω συμβουλεύοντι, ἀλλὰ καὶ τὸν ἥκοντα παρ' αὐτοῦ πρεσβευτὴν ἀπεκτονότες, ἔπειτα δὲ καὶ τὰς συμφορὰς ἐξετραγῴδουν, αἷς περιπεπτώκασιν ἐξ ἀβουλίας, καὶ ἐδέοντο σφίσι βοηθεῖν, ὡς, εἰ μὴ παρ' αὐτοῦ τινος ἐπικουρίας τύχοιεν, ἄρδην ἀπολούμενοι. μετὰ γὰρ τὴν βασιλέως ἐκεῖθεν ἀναχώρησιν περιστρατοπεδευσάμενος ὁ Κράλης, τὴν μὲν χώραν ἔτεμε καὶ ἐδῄωσε κατὰ κράτος, τὴν πόλιν δὲ εἰς τοσοῦτον ἤγαγεν ἀπορίας πολιορκῶν ἐπὶ συχνόν τινα χρόνον ἐφεξῆς, ὡς κινδυνεύειν ἤδη παρανάλωμα λιμοῦ γενέσθαι. [25]

2 469 Φεραῖοι δὲ ἐν χρῷ κινδύνου ἤδη καθεστῶτες, μόλις τὰ λυσιτελοῦντα συνεώρων, (παθὼν γὰρ νήπιος ἔγνω,) καὶ ἐπεψηφίσαντο Καντακουζηνῷ τῷ βασιλεῖ προσχωρεῖν, ὡς τῆς εἰς ἐκεῖνον

φιλίας ἀνήσοντα Κράλην τὴν πολιορκίαν· ὅπερ καὶ ἐγίνετο. μετὰ γὰρ τὴν βασιλέως εὐφημίαν καὶ τὴν μνήμην τὴν ἐν τοῖς ἱεροῖς ἀνακωχήν τινα παρέσχετο ὁ Κράλης τοῦ πολέμου, καὶ οὐ πολὺ τῆς πόλεως ἄπωθεν ἐστρατοπεδεύετο ἐλθών. ὅσοι δὲ βασιλέως ἦσαν φίλοι τῶν ἐν τέλει Τριβαλῶν, συνεβούλευον Φεραίοις τάχιστα ἐλθόντας πρὸς ἐκεῖνον ἄρχοντα τῇ πόλει δέχεσθαι, ὡς ἀφεξομένου παντάπασι τοῦ Κράλη, εἰ τοιαῦτα γένοιτο. τούτου μὲν οὖν ἕνεκα ἦκον οἱ Φεραῖοι καὶ ἐδέοντο βασιλέως δεδακρυμένοι πέμπειν σφίσιν ἄρχοντα καὶ ἀπαλλάττειν τοῦ κινδύνου. βασιλεὺς δὲ τό,τε ἄστατον τῆς τῶν ἀνθρώπων τύχης συνορῶν, (οἱ γὰρ πρὶν μεγάλα φυσῶντες καὶ οὐδ' ἄκροις ὠσὶ δεχόμενοι τὴν ὑπὸ βασιλεῖ δουλείαν, ἀλλὰ καὶ τὸν πρεσβευτὴν ὡμῶς καὶ ἀπανθρώπως κατατεμόντες καὶ πολλὴν ἐπιδειξάμενοι αὐθάδειαν καὶ θρασύτητα, νῦν ἥκουσι ταπεινοὶ καὶ δεδακρυμένοι, ὑπὸ μεγάλων πιεσθέντες συμφορῶν, καὶ δεόμενοι ἐκεῖνα, ἃ εἰ τότε αὐτοῦ συμβουλεύοντος ἐπείθοντο, οὐκ ἂν εἰς τοιαύτας κατέστησαν ἀνάγκας,) ἔπειτα ἐννοῶν καὶ οἵας πόλεως πάντα ἀρίστης ἡ Ῥωμαίων ἡγεμονία ἀποστερεῖσθαι μέλλει, ἐδάκρυσε μὲν ἐπὶ μικρὸν, εἶτα ἐχρημάτιζε τοῖς πρέσβεσι, καὶ τῶν τε ἡμαρτημένων παρείχετο συγγνώμην καὶ χρηστότερα ἐλπίζειν ὑπετίθει, ὡς πᾶν ὁτιοῦν ὑπὲρ αὐτῶν ποιήσων. [5]

2 470 ἐκείνους μὲν οὖν οὕτως ἐψυχαγώγει λόγοις ἐκ τῆς πολλῆς ἀθυμίας ἀνακτώμενος. τοὺς ἐκ Βυζαντίου δὲ αὖθις πρέσβεις μετακαλεσάμενος, „ὁρᾶτε" εἶπεν „οἵων συμφορῶν Ῥωμαίοις ὁ πόλεμος κατέστη. τὰς γὰρ ἑσπερίους ἤδη πάσας πόλεις ἐποιήσαντο ὑφ' ἑαυτοῖς οἱ Τριβαλοί. δέδοικα δὲ μὴ, τούτου μηκυνομένου, καὶ Μακεδονίας ἄρξωσι παντάπασιν. ἤδη γὰρ οὐκ ὀλίγας ἔχουσι. Φεραῖοι δὲ ὥσπερ ἠκούσατε παρὰ τῶν πρέσβεων, εἰ μή τινος παρ' ἡμῶν ἐπικουρίας τύχωσιν, οὐκ ἂν ἔτι πρὸς τὸν πόλεμον ἀντέχειν δύναιντο, λιμῷ καὶ πολιορκίᾳ πιεσθέντες. ἔξεστιν οὖν ὑμῖν ἤδη τὸ τοῦ πολέμου κέρδος συνορᾷν, ἐγὼ δὲ ὑμῶν θαυμάζω, ὅθεν οἴεσθε δύνασθαι βασιλείαν ἔχειν, τῶν συνεχόντων αὐτὴν εὐποροῦντες οὐδενός. οὔτε γάρ ἐστιν ἐν ὑμῖν, ὃς ἂν τῶν ἄλλων ἄρχειν δύναιτο καὶ πρόνοιαν ποιεῖσθαι τῶν κοινῶν, εἰ μή πού γε φαίητε παρακοιμώμενον. οὔτε γὰρ βασιλεὺς διὰ τὴν ἡλικίαν τὴν Ῥωμαίων ἄγειν δύναται ἀρχὴν, ἥ τε βασιλὶς ἡ τούτου μήτηρ οὐ διὰ τὴν γυναικείαν ἀσθένειαν μόνον, οὐ γὰρ ἂν ἐξαρκοίη πρὸς τοσοῦτον πραγμάτων ὄγκον, ἀλλὰ καὶ τὸ τὴν ἐξουσίαν ὑπὸ τῶν ἀρχόντων περιῃρῆσθαι, ὥσπερ ἐν φρουρᾷ διάγει τοῖς βασιλείοις, ὀλίγον ἀποδέουσα τῶν ἐν δεσμωτηρίῳ διαγόντων. [20]

2 471 τί γὰρ ἐκείνων διενήνοχεν, εἰ μηδὲν μήτε βουλεύσασθαι, μήτε πρᾶξαι τῶν δεόντων δύναται, ἀλλὰ τοῖς ἐψηφισμένοις ὑπὸ τῶν ἀρχόντων ἔπεσθαι ἀνάγκην ἔχει; τάς τε πόλεις ἀπολωλέκατε, τὰς μὲν αὐτοῖς Μυσοῖς παραδεδωκότες, ἵν' ἔχητε συμμάχους ἐπ' ἐμὲ, τῶν δ' ὑπὸ Τριβαλοῖς δεδουλωμένων. καὶ αἱ λειπόμεναι δὲ, ἔτι πρὸς ἐμέ τε καὶ ὑμᾶς διῃρημέναι, τὰ μὲν αὐταὶ ἐφ' ἑαυταῖς στασιάζουσαι καὶ διαφθειρόμεναι, τὰ δ' ὑφ' ἡμῶν ἔξωθεν πολιορκούμεναι καὶ ἐξανδραποδιζόμεναι καὶ τὰ δεινότατα ὑπομένουσαι, εἰς ἐσχάτην ἀπορίαν ἦλασαν, καὶ ὀλίγου ἀποδέουσι τῶν ὑπὸ πολεμίοις γενομένων. χρημάτων τε πόρος οὐδαμόθεν· τά τε γὰρ ἀποκείμενα ἀνάλωται, καὶ τὰ κειμήλια ἀποδέδοται τὰ βασιλικὰ εἰς τοὺς καλοὺς ἀποστόλους, ὅθεν ὄνησις οὐδεμία περιγίνεται· ἐῶ γὰρ τὰ ἡμέτερα τοσαῦτα ὄντα λέγειν· καὶ αἱ πρόσοδοι ἐκλελοίπασι τῶν κοινῶν τῆς χώρας διεφθαρμένης. πρὸς τούτοις δὲ καὶ οἱ μέγα δυνάμενοι καὶ βασιλεῖ συμπράττοντες πρὸς τὴν ἀρχὴν οἱ μὲν διὰ τὴν εἰς ἐμὲ εὔνοιαν χρημάτων ἀποστερηθέντες καὶ πρὸς πεῖραν πολλῶν πρότερον κακῶν ἐλθόντες, νῦν οἰκοῦσι δεσμωτήρια, οἱ δ' ὅτι ἐμνήσθησαν εἰρήνης, ὁρῶντες οἷ κακῶν ὁ πόλεμος χωρήσει, καίτοι γε κἀκεῖνοι τούτου αἰτιώτατοι γεγενημένοι, ἄπρακτοι κάθηνται ἐν ταῖς οἰκίαις, οὕτω προστεταγμένον ὑπὸ παρακοιμωμένου. ὥσπερ ἀκούω καὶ πρωτοστράτορα τὸν Συναδηνὸν πεπονθέναι νῦν. [20]

2 472 καὶ ἡ στρατιὰ δὲ ἡ μὲν διέφθαρτο δοκοῦσα εὐνοεῖν ἐμοὶ, ἡ δὲ ὑποπτευομένη ἀμελεῖται, τὸ λειπόμενον δὲ ὀλίγον. πόθεν οὖν οἴεσθε τὴν ἀρχὴν συστήσεσθαι ὑμῖν μηδὲν ἔχοντες τῶν σώζειν δυναμένων; ἃ πάντα χρὴ καὶ ὑμᾶς σκεψαμένους, καὶ βασιλίδι καὶ πατριάρχῃ καὶ τοῖς

ἄλλοις ἀπαγγείλαντας, τὴν εἰρήνην ψηφίσασθαι κοινῇ, καὶ μὴ διὰ κακοβουλίαν καὶ τὰ μικρὰ λείψανα ταῦτα, ἃ τῆς Ῥωμαίων ὑπολέλειπται ἡγεμονίας, διαφθεῖραι.“ τῶν πρέσβεων δὲ πρὸς οὐδὲν ἕτερον ἀντειπόντων τῶν εἰρημένων, ἢ ὅτι ἡ βασιλὶς οὐχ ὥσπερ ἤγγελτο αὐτῷ, τοῖς βουλεύμασι τῶν ἀρχόντων ἔπεσθαι ἀνάγκην ἔχει, ἀλλ’ αὐτὴ τῶν πραγμάτων οὖσα κυρία, τὰ δοκοῦντα πράττει, πάντων δουλευόντων ἀκριβῶς, „οὐδὲν ἂν“ εἶπεν „εἰκῇ καὶ μάτην ἐξενήνεκτο παρ’ ἐμοῦ, εἰ μὴ σαφέστατα ᾔδειν ὥσπερ ἔχει εἰρησόμενον. εἰ δ’ αὐτοὶ ἀγνοεῖτε, πεῖραν ἐγὼ ποιήσομαι τοῦ πράγματος, ἐξ ἧς ἔσται καὶ ὑμῖν καταφανὲς εἰρημένον, ὥσπερ ἔχει. Χρυσοβέργῃ γὰρ τῷ παρ’ ἐμοῦ πρεσβεύοντι λόγους ἀναθήσω τινὰς, ὥστ’ αὐτοὺς μόνος μόνῃ βασιλίδι ἀπαγγέλλειν, ὥσπερ εἴωθα καὶ πρότερον ποιεῖν. εἰ μὲν οὖν ὑπὸ τῶν ἀρχόντων τοῦτο πράττειν συγχωρηθῇ, εὔδηλον, ὡς ἔξεστιν αὐτῇ πράττειν ἅττα ἂν ἐθέλῃ. ἂν δ’ ἐπ’ αὐτῶν κελεύωσι τοὺς λόγους ἀπαγγέλλειν, μηδεμίαν ἑτέραν ἀπόδειξιν ζητεῖν τοῦ τἀληθῆ περὶ αὐτῆς εἰρῆσθαι.“ τοιαῦτα εἰπὼν συνεξέπεμπεν αὐτοῖς ἅμα καὶ τὸν Χρυσοβέργην, πεντεκαίδεκα προθεσμίαν ἡμερῶν πρὸς διάσκεψιν διδούς. [20]

2 473 ἐκεῖνος δὲ Φεραίοις τε ἄρχοντα ἐφίστη, καὶ πρεσβείαν ἔπεμπε πρὸς Κράλην, καὶ ὑπεμίμνησκε τῶν ὅρκων καὶ τῶν συνθηκῶν τῶν πρὸς αὐτόν. οἷς αὐτὸς ἐμμένων, ἠξίου κἀκεῖνον μὴ διαλύειν, ἀλλ’ ἀφίστασθαι, Φεραίων αὐτῷ προσχωρησάντων, καὶ μήτε πολεμεῖν, ἀλλὰ καὶ ὅσα δυνατὰ συναίρεσθαι πολλὰ κεκακωμένοις ὑπὸ τοῦ πολέμου. αὐτοῖς τε Φεραίοις ἐλπίδας ὑπετίθει χρηστοτέρας, ὡς τάχιστα ἀφιξόμενος παρ’ αὐτοὺς καὶ προνοίας τῆς δεούσης ἀξιώσων. τοιαῦτα μὲν ἐπαγγειλάμενος ἐξέπεμπε κἀκείνους. οἱ ἐκ τοῦ Μομιτζίλου δὲ ἀπιοῦσι συντυχόντες τοὺς μὲν καὶ συνέλαβον αὐτῶν, οὓς ὕστερον ἀπέλυσαν γυμνοὺς, οἱ δὲ μόλις διαδρᾶναι δυνηθέντες, αὖθις πρὸς βασιλέα ἐπανῆκον, πᾶσαν ἀπολέσαντες ἀποσκευήν. ἐφ’ οἷς ἄγαν ἤχθετο ὁ βασιλεὺς ὁρῶν τὴν πόλιν κινδυνεύουσαν, καὶ ἐζήτει ὅπως ἀμύνοιτο Μομιτζίλον βλάπτοντα τὰ μέγιστα. οἱ ἐκ Βυζαντίου δὲ πρεσβευταὶ ἐπεὶ πρὸς βασιλίδα ἐπανῆκον, ἀπήγγελλόν τε τοῖς ἄρχουσι τὰ περὶ τῆς πρεσβείας, καὶ τὰ πρὸς πατριάρχην γράμματα παρείχοντο. οἱ δὲ ἤχθοντο ἀποτυχόντες ὧν ἐνόμιζον κατωρθωκέναι. μεταπεμψάμενοι δὲ καὶ Χρυσοβέργην ἠρώτων, εἴ τι ἀπαγγέλλειν ἔχει. ὁ δὲ περὶ μὲν τῆς κοινῆς ἔφη πρεσβείας οὐδὲν ἔχειν πλέον τῶν τοῖς γράμμασιν ἐγγεγραμμένων ἀπαγγέλλειν, ἰδίᾳ μέντοι πρὸς βασιλίδα λόγους τινὰς ἔχειν, οὓς ἐκελεύσθη μηδενὸς ἑτέρου παρόντος, πρὸς μόνην ἐκείνην λέγειν. οἱ δ’ ἐκέλευον λέγειν πρὸς αὐτοὺς καὶ μὴ ληρεῖν ἀδύνατα ἀξιοῦντα. [25]

2 474 τοῦ δὲ μηδενί τῳ ἑτέρῳ ἐξειπεῖν ἂν διισχυριζομένου, ἠπείλουν μαστιγοῦν καὶ ἔκφορα τὰ ἀπόῤῥητα ποιεῖν προσαναγκάσειν. ὡς δὲ οὐδὲν ἐνεδίδου πρὸς τὰς ἀπειλὰς, καὶ τὰς πληγὰς ἐπῆγον. ὁ δ’ οὐδὲν ἧττον ἔφασκεν ἀποκρύψειν, ἂν καὶ δεινότερα τολμῶσιν· εἰδότα γὰρ οἷα πρὸς Βρουλᾶν τῆς εἰρήνης ἕνεκα πρότερον τετόλμηται ἐλθόντα, οὕτως ἥκειν παρεσκευασμένον, ὡς πᾶσαν οἴσοντα κάκωσιν καὶ παροινίαν. ὁ μὲν οὖν οὕτως ἀπτόητος ὡρᾶτο καὶ πρὸς καρτερίαν παρεσκευασμένος τῶν δεινῶν. οἱ δ’ ἐπεὶ ἑώρων ἀδυνάτοις ἐπιχειροῦντες, πολλὰ εἰς αὐτὸν καὶ τὸν πέμψαντα ὑβρίσαντες, ἔπειτα ἐξήλαυνον τῆς πόλεως αὐθημερὸν μηδένα περὶ τῆς πρεσβείας λόγον ποιησάμενοι. ὁ δὲ πρὸς βασιλέα τὰ γεγενημένα ἀπήγγελλεν ἐλθών· κἀκεῖνος ἤδη τὴν εἰρήνην ἀπογνοὺς, ἐστράτευσεν ἐπὶ Γαρέλλαν. Κοντοστέφανος δὲ ὁ ταύτης ἄρχων προσεχώρησεν ἑκὼν τῷ βασιλεῖ καὶ παρέδωκε τὴν πόλιν· ἐν ᾗ καὶ Καταβοληνὸς Ἰωάννης πρὸς βασιλέα ἦλθε, τῶν οἰκετῶν τῆς βασιλίδος ὤν. ὃν ἔπεμπεν εἰς Βυζάντιον αὐτίκα, μηδενὸς, ὧν εἶχεν, ἀποστερηθέντα, ἠξίου τε αὖθις καταλύεσθαι τὸν πόλεμον καὶ μὴ διὰ τὴν πρὸς ἀλλήλους αὐτῶν φιλονεικίαν τὰ ἀνήκεστα δεινὰ Ῥωμαίους ὑπομένειν. πατριάρχης δὲ καὶ οἱ λοιποὶ οὐδὲν ἧττον, ἢ πρότερον, ἠροῦντο πολεμεῖν. ος’. [20]

2 475 Βασιλεὺς δὲ καὶ τὴν μεγάλην εἶλε Καρύαν φρούριόν τι ὁμολογίᾳ. ἔνθα διατρίβοντι καὶ πρωτοκυνηγὸς ὁ Βατάτζης προσεχώρησε μετὰ τῶν συγγενῶν ὄντων οὐκ ὀλίγων· καὶ τό τε

Πολύβοτον, πόλιν Θρᾳκικὴν ὑπὸ τῶν συγγενῶν κατεχομένην, προσῆγε βασιλεῖ, καὶ Τηρίστασιν τὸ φρούριον, ὃ πρότερον αὐτὸς ἔτι βασιλέως Ἀνδρονίκου περιόντος οἰκείοις ἀναλώμασιν ἐτείχισεν. ἔφασκέ τε, ὡς ἐν μὲν ταῖς ἀρχαῖς τοῦ πολέμου μάλιστα, νομίσας περὶ βασιλέα ἠγνωμονηκέναι καὶ τοῖς ἐκείνου παισὶν ἀδίκως ἐπιβουλεύειν καὶ παραιρεῖσθαι τὴν ἀρχὴν, ἀποστῆναί τε αὐτοῦ διὰ τὴν νομιζομένην ἀδικίαν καὶ πολεμεῖν ἁπάσῃ δυνάμει. τοῦ χρόνου δὲ τριβομένου καὶ τῶν Ῥωμαίων ἀπολλυμένων ἀκλεῶς ὑπὸ τοῦ πολέμου, ὁρῶν ὡς βασιλεῖ μὲν τά τε Ῥωμαίοις κοινῇ συνοίσοντα καὶ τοῖς βασιλέως σπουδάζεται παισὶ, παρακοιμωμένῳ δὲ καὶ τοῖς ἄλλοις τοῖς ἄγουσι τῶν Ῥωμαίων τὴν ἡγεμονίαν, οὐδέν ἐστι προὔργου, ἢ πάντας διαφθείραντας ἐκείνους ἄρχειν, βασιλέως δὲ τοῦ παιδὸς ὀλίγα ἢ οὐδὲν φροντίζοντας, καὶ τῆς τῶν ἄλλων σωτηρίας, συνιδών τε ἐκ τῶν γινομένων ὡς ἐκεῖνοι ἀδικοῖεν καὶ διαφθείροιεν φαυλότητι τρόπων τὴν ἀρχὴν Ῥωμαίων, ἀποστῆναί τε ἐκείνων καὶ προσχωρῆσαι βασιλεῖ, καίτοι γε μεγάλας ἀφορμὰς ἔχων τῆς πρὸς αὐτοὺς εὐνοίας. τῷ τε γὰρ υἱῷ συνῴκισε τὴν πατριάρχου θυγατέρα, καὶ τὴν αὐτοῦ τῷ μεγάλου δουκὸς υἱῷ ἐξέδωκε πρὸς γάμον. ἀλλὰ καὶ οὕτως ἔχων συγγενείας πρὸς αὐτοὺς καὶ οἰκειότητος, βδελύξασθαί τε τοὺς τρόπους καὶ τὴν παρὰ βασιλεῖ διατριβὴν ἑλέσθαι μᾶλλον. [20]

2 476 βασιλεὺς δὲ ἀσμένως τε ἐδέξατο καὶ τῶν τε λόγων καὶ τῆς κρίσεως χάριν ὡμολόγει· καὶ τῆς εἰς αὐτὸν εὐνοίας καὶ τοῦ προσκεχωρηκέναι ἀμειβόμενος, αὐτῷ μὲν τὴν μεγάλου στρατοπεδάρχου παρείχετο ἀξίαν, τοῖς ἄλλοις δὲ τῶν συγγενῶν ἑκάστῳ ἀναλόγως καὶ τιμὰς παρείχετο καὶ προσόδους ἐτησίους. εἶτα σὺν ἐκείνῳ εἰς Τηρίστασιν ἐλθὼν, ἐκείνην τε παρελάμβανεν ἐκείνου παραδιδόντος, καὶ τὰ περὶ αὐτὴν πολίχνια καὶ τὰ φρούρια προσεχώρουν. Καλλιούπολις δὲ καὶ Ἐξαμίλιον ἀντεῖχον καὶ πᾶσαν δεῖν ᾤοντο μᾶλλον ὑπομένειν πολιορκίαν, ἢ προσχωρεῖν τῷ βασιλεῖ. ἔτι δὲ αὐτῷ περὶ Χερρόνησον διατρίβοντι Σουλιμὰν, τῶν κατὰ τὴν Ἀσίαν σατραπῶν εἷς, εἰς Χερρόνησον μετὰ στρατιᾶς περαιωθεὶς, συνεγένετο τῷ βασιλεῖ ἐν Αἰγὸς ποταμοῖς, καὶ ἵππους τε παρείχετο καὶ ὅπλα δῶρα καὶ στρατιὰν οὐκ ὀλίγην συμμαχεῖν. φιλοφρονηθεὶς δὲ ὑπὸ βασιλέως καὶ αὐτὸς, ἀνέστρεφεν εἰς τὴν Ἀσίαν. βασιλεὺς δὲ τὰ μήπω προσχωρήσαντα πολίχνια ἐπήει καὶ κατεδουλοῦτο, καὶ πρὸς Μυριόφυτον ἐλθὼν ηὐλίσατο τὴν νύκτα ἐν οἰκίᾳ μεγάλῃ διωρόφῳ. εἴθιστο δὲ διά τε τὴν βραχύτητα τῆς ἡμέρας· χειμὼν γὰρ ἦν· καὶ τὸ ἀνάγκην ἔχειν ἄχρι νυκτὸς ἔφιππον εἶναι, (οὐ γὰρ ἦν ὅποι τῶν ἵππων ἀποβάντας ἄριστον αἱρεῖσθαι, τῆς Θρᾴκης ἁπάσης ὑπὸ τοῦ πολέμου ἀοικήτου γενομένης πλὴν τῶν πόλεων,) ἀρχομένης εὐθὺς ἡμέρας ἀριστᾷν καὶ οὕτω διημερεύειν. [20]

2 477 οἱ περὶ αὐτὸν δὲ κατὰ τὸ ἔθος ἀναγκάζοντες ποιεῖν, οὐκ ἠθέλησε, δεῖσθαι μὲν τροφῆς εἰπὼν, ἀναχωρεῖν δὲ ἐπείγεσθαι οὕτως αὐτομάτως· αὐτίκα τε ἐπέβησαν τῶν ἵππων, κελεύσαντος ἐκείνου, καὶ πρὸς ἑτέραν πολίχνην οὐ πολὺ διέχουσαν Μυριοφύτου, Χώραν προσαγορευομένην, ἦλθον, ἔτι μήπω προσχωρήσασαν. πέμψας τε ὁ βασιλεὺς προσηγόρευε τοὺς πολίτας καὶ παρῄνει προσχωρεῖν. οἱ δ' ἀντὶ προσηγορίας κακῶς ἥκειν ἔφασαν αὐτόν. αὐτοὺς δὲ ἀμυνεῖσθαι προθυμότατα, ἂν ἐπίῃ, ἀπὸ τῶν τειχῶν. τοῦ πρεσβευομένου δὲ κατηγοροῦντος, ὅτι ἀνοήτως καὶ θρασέως ἀποκρίνοιντο βασιλεῖ προσαγορεύοντι, ἕτερον ἔφασαν ἐκεῖνοι βασιλέα ἔχειν, αὐτὸν δὲ ἐν οὐδένων ἄγειν μοίρᾳ, καὶ ὕβρεις αὐτίκα κατέχεον αὐτοῦ πολλάς. ἔτι δὲ περὶ τὰς ὕβρεις ἐκείνων ὄντων, σεισμὸς ἐγίνετο ἐξαίσιος οἷος, καὶ τά τε τείχη κατέπιπτε τῆς πόλεως καὶ τῶν οἰκιῶν ὑπὲρ τὰς δύο μοίρας, καὶ κατεχώσθησαν ὑπό τε τῶν τειχῶν καὶ τῶν οἰκιῶν ὑπὲρ τριακοσίους. ὅσοι δὲ διέφυγον τὸν κίνδυνον, βασιλεῖ προσέδραμον ἐξελθόντες, καὶ ἐδέοντο μὴ σφᾶς καὶ τέκνα περιιδεῖν ὑπὸ τῶν βαρβάρων ἀνδραποδισθέντας ἄν. τῆς αὐτῆς δὲ ὥρας ὑπὸ τοῦ σεισμοῦ ἐκείνου καὶ ἡ οἰκία, εἰς ἣν ηὐλίσατο ὁ βασιλεὺς τὴν νύκτα, κατέπεσεν ἐκ θεμελίων, καὶ ἡ περὶ βασιλέα τοῦ θεοῦ πρόνοια ἐγίνετο καταφανὴς, οὕτως ἐκ προδήλου κινδύνου ῥυσαμένου. εἰ γὰρ, ὥσπερ οἱ περὶ αὐτὸν παρῄνουν, ἀριστᾷν ἐπείθετο ἐκεῖ, οὐδὲν ἂν

ἐκώλυε μὴ αὐτόν τε καὶ τῶν συνόντων οὐκ ὀλίγους ὑπὸ τῆς οἰκίας καταχωσθῆναι· οὕτως ἦν βραχὺς ὁ μεταξὺ χρόνος παρεληλυθώς. [20]

2 478 τῆς δὲ περὶ αὐτὸν στρατιᾶς ὡρμημένης τὴν πολίχνην, ὡς πολεμίαν, διαρπάζειν, καὶ τῶν Περσῶν τοὺς ὑπολειπομένους ἀνδραποδίζειν ἐπιχειρούντων, ἐκώλυσεν ὁ βασιλεὺς ἐλθὼν καὶ περιέσωσε τὴν πολίχνην. καὶ διπλᾶς ἀπεδίδου τὰς εὐχαριστίας τῷ θεῷ, τοῦ τε ἀπὸ τῆς καταπεσούσης οἰκίας αὐτὸν καὶ τοὺς συνόντας περισωθῆναι, καὶ τοῦ τὴν Χώραν οὕτως ἑτοίμην προκειμένην ἐπὶ τὴν διαρπαγὴν περισῶσαι δυνηθῆναι. ἔπειτα αὐτοῖς τῶν εἰς ἐκεῖνον ὕβρεων συγγνώμην παρασχόμενος καὶ ἄρχοντας ἐπιστήσας, οἳ τὰ τείχη ἀναστήσουσιν, ἀπῆρεν ἐκεῖθεν πρὸς τὰς ἄλλας πόλεις. οἱ δὲ ἐπιτεταγμένοι πρὸς τὸν τειχισμὸν κατὰ τὸ βασιλέως πρόσταγμα πολλὴν εἰσενεγκάμενοι σπουδὴν, ἐν ὀλίγῳ χρόνῳ τῶν προτέρων ἀνέστησαν βελτίω καὶ ἐῤῥωμενέστερα. ἐπεὶ δὲ οὐδενὸς ἐνέδει πρὸς ἀπαρτισμὸν αὐτοῖς, ἐπιβουλεύσαντες οἱ κατὰ τὴν πολίχνην, ἐξήλασαν τοὺς βασιλέως αὖθις καὶ βασιλίδι προσεχώρησαν· καὶ πρὸς πολλῶν δυσχερῶν ἐλθόντες πεῖραν, ἄχρις οὗ καὶ Βυζαντίου βασιλεὺς ἐκράτησε, διέμειναν πολιορκούμενοι καὶ κακῶς πάσχοντες ὑπὸ τῶν περιοικίδων πόλεων. οζ′. Βασιλὶς δὲ ἡ Ἄννα καὶ ὁ πατριάρχης, ηὐξημένον ὁρῶντες ἤδη Καντακουζηνὸν τὸν βασιλέα καὶ πόλεις τε ὑποποιησάμενον πολλὰς καὶ στρατιὰν οὐκ ὀλίγην ἔχοντα, νομίσαντες ἀπορίᾳ τοῦ κωλύσοντος αὐτὸν ηὐξῆσθαι, τὸν μέγαν δοῦκα στρατηγὸν αὖθις ἐψηφίσαντο, καὶ ἐπέτρεψαν τὸν πρὸς ἐκεῖνον πόλεμον. [25]

2 479 ὁ δ’ εὐθὺς τὴν στρατιὰν ὅση ἦν παραλαβὼν, ἦλθεν εἰς Ἡράκλειαν. πυθόμενος δὲ περὶ βασιλέως, ὡς Χαριουπόλει ἐνδιατρίβει ὀλίγῳ πρότερον προσχωρησάσῃ, Λογγῖνόν τινα τοῦ δεσμωτηρίου ἐξαγαγὼν, ὃς τῆς εἰς βασιλέα ἕνεκα ἐδέδετο εὐνοίας, καὶ μετεωρίσας πολλαῖς ἐπαγγελίαις, εἰ δυνηθείη βασιλέα ἀνελεῖν, ἔπειτα προφάσεως ἕνεκα εὐπροσώπου καὶ γράμματα παρέσχετο πρὸς βασιλέα. ἐδήλου δὲ τὰ γράμματα τοιαῦτα, ὡς πρότερον μὲν αὐτῷ Διδυμοτείχῳ ἐνδιατρίβοντι ἐπιστρατεύσας, συντεθείη συγγενέσθαι. τοῦ καιροῦ δὲ κωλύσαντος τὴν συντυχίαν, ἐκεῖνον μὲν οἴκαδε ἐπανελθεῖν, αὐτὸν δὲ καιροῦ λαβόμενον ταῖς ὑπὸ βασιλέα τελούσαις πόλεσιν ἐπιστρατεῦσαι, ἃ οὐκ ἐχρῆν ποιεῖν. ὑφ’ ὧν ἀναγκασθέντα καὶ αὐτὸν, καίτοι βουλόμενον οἴκοι διατρίβειν, εἰς Ἡράκλειαν ἐλθεῖν μετὰ τῆς στρατιᾶς. εἰ μὲν οὖν αὐτῷ πειθόμενος εἰς τὴν οἰκίαν ἐπανέλθοι, κάλλιστ’ ἂν ἔχοι· παύσαιτο γὰρ ἂν καὶ αὐτὸς τὴν στρατιὰν ἀνονήτοις πόνοις κατατείνων· εἰ δ’ ἑτέρως ἔγνωκε, πλέον μὲν οὐδὲν ἐρεῖν, αὐτὸν δὲ εἰδέναι ὅτῳ ἔγνωκεν ἀντικαθίστασθαι. τὸν αὐτὸν γὰρ εἶναι, ὃν πάλαι οἶδε. βασιλεὺς δὲ ἐπεὶ τὰ γράμματα ἀνέγνω, τὸν ἄρχοντα Ἀπρίων, ὃς παρ’ αὐτῷ ἦν, τῆς πόλεως προσχωρησάσης, ἔπεμπε πρὸς αὐτὸν, τοιαῦτα ἀντεπιστείλας· „ἀνέγνων σου τὰ γράμματα, παρακοιμώμενε, καὶ τὴν μὲν ἐγκειμένην μεγαλαυχίαν καὶ τὸν τῦφον θαυμάζειν μάλιστα ἐπῆλθε· πάνυ γὰρ ἀνάρμοστα τῇ ἡλικίᾳ πράττεις. [20]

2 480 δέον γὰρ διὰ τὸ γῆρας τοῦ τολμήματος καὶ τῆς εἰς τὰς μάχας εὐψυχίας ὑφιέναι, σὺ δ’ ἐν ἥβῃ μὲν ἦσθα δειλότερος λαγὼ, νυνὶ δ’ ἐν βαθεῖ γήρᾳ συῶν οὐδαμῶς ἀμβλυτέραν ἔχεις τὴν ὁρμήν. εἰ μὴ τοῦτο φαίης, ὡς νέος στρατιώτης ὢν, ὥσπερ εἰκὸς, ἐκτήσω καὶ νέον τῦφον. τῆς ἀληθείας δέ σε καὶ πάνυ ἐπαινῶ. ἀεὶ γὰρ εἰωθὼς παρὰ τὸν βίον καταψεύδεσθαι καὶ αὐτοψεῦδος ὢν, νῦν με μάλιστα εἰδέναι σε εἰπὼν, πάνυ μάλιστα ἐφθέγξω τἀληθές. οἶδα γὰρ σαφῶς, ἐξ οἵας τύχης ἀνειλόμην, καὶ ὡς ἠξίωσα μειζόνων, ἢ προσῆκε. βασιλέως δὲ διὰ τὴν προσοῦσαν μοχθηρίαν καὶ τῶν τρόπων τὴν φαυλότητα δεσμωτηρίῳ κατακλείσαντος πρὸς ὀργὴν, αὐτὸς ἐξήγαγον παραιτησάμενος καὶ πρὸς τὴν προτέραν τύχην ἐπανήγαγον. καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις ὕστερον βουλομένου τοῦ βασιλέως τῆς πονηρίας κολάζεσθαι ἀξίως, αὐτὸς παρῃτούμην διαλύων τὴν ὀργὴν καὶ πολλῶν καὶ μεγάλων ἠξίουν ἀγαθῶν. καὶ πολλάκις καὶ βασιλέως περιόντος, καὶ μετὰ τὴν τελευτὴν προσκεκρουκότος, ὧν οὐδὲ σὲ οἴομαι ἐπιλελῆσθαι, οὐδένα

τῶν προσκρούσεων λόγον ἐποιούμην, οἷόν τινι ζώῳ τῶν ἀχθοφόρων, πρὸς μὲν τὸ ἀχθοφορεῖν κεχρημένος μόνον, τῶν δ' ἄλλων εἴ τι πρόσεστι δυστροπίας ἀμελῶν. ὅτι δὲ εἰς τοσοῦτον ἔμελλες ἀτοπίας ἐκπεσεῖσθαι, τοῦτο μόνον σαφῶς οὐκ ᾔδειν. [20]

2 481 ᾤμην γάρ σε οὐδὲ σαρκῶν φείσεσθαι, καιροῦ καλοῦντος, ὑπὲρ ἐμοῦ, τὸ πλῆθος μεμνημένον καὶ τὸ μέγεθος τῶν εὐεργεσιῶν. σὺ δ' ἀντὶ τούτων ἐχρήσω τοῖς ἐναντιωτάτοις, καὶ μοχθηροὺς ἀνθρώπους καὶ τὰς γνώμας διεστραμμένους ἀπατηλοῖς καὶ περιέργοις λόγοις ὑπελθὼν καὶ ταῖς τῶν μεγίστων ἐπαγγελίαις ἐξαπατήσας, τουτονὶ τὸν πόλεμον οὐδὲν ἧττον κοινῇ κατὰ Ῥωμαίων, ἢ κατ' ἐμοῦ κεκίνηκας· οὓς ἀξιώτατα ἡμείψω τῆς τε ἐκείνων ἀβελτηρίας καὶ τῆς σοὶ προσούσης πρὸς τοὺς φίλους ἀπιστίας ζόφον πάντων καταψηφισάμενος, ὥσπερ ἦσαν ἄξιοι. σὲ μὲν οὖν, ὥσπερ ἔφης, πάντων μάλιστα ἐγὼ γινώσκω· σὺ δ' ἐμὲ πάνυ μοι δοκεῖς ἠγνοηκέναι. εἰ γὰρ ὅστις ᾔδεις ἐγὼ, οὐκ ἂν οὕτως ἠγνωμόνεις· ἐπεὶ δὲ μετὰ τῶν ἄλλων καὶ οἴκαδε παραινεῖς ἐπανελθεῖν, δοκῶ μοι διὰ τὴν ἀρχαίαν φιλίαν σοὶ πεισθήσεσθαι καὶ μὴ πρὶν παύσεσθαι πρὶν ἐντὸς γενέσθαι τῆς οἰκίας. Ῥωμαίων δὲ ὄντι βασιλεῖ κελεύσματι θεοῦ οὐδεμία μᾶλλον ἑτέρα, ἢ ἡ Ῥωμαίων ἡγεμονία οἰκία πρεπωδεστέρα, ἣν εἰσελθεῖν πᾶσαν ἐπιδείξομαι σπουδὴν, ᾗ αὐτὸς τῶν φίλων ὢν παραινεῖς. πολλὰ δὲ μεταμεληθεὶς, ὅτι σε ὄντα γέροντα παρεσκεύακα τοσοῦτον πόνον ὑπομεῖναι καὶ πρὸς Ἡράκλειαν ἐλθεῖν, ἔγνων δεῖν σε τῶν πόνων ἀναπαύειν, καὶ εἰς τετάρτην ἡμέραν αὐτὸς ἀφίξομαι πρὸς σὲ, καὶ εἴ σοι βέλτιον δοκεῖ διαγωνίσασθαι πολλῆς ἀναπαύλης ἀπολαύσαντι, οὐδὲ ταύτην σοι τὴν χάριν ἀποκνήσω καταθεῖναι. [20]

2 482 " τοιαῦτα μὲν ἀντέγραφε καὶ βασιλεύς· μετὰ δὲ τετάρτην ἐξ ἐκείνης ἦλθεν εἰς Ἡράκλειαν καὶ περιέμεινε πρὸ τῶν πυλῶν ἑστὼς ἐφ' ἱκανόν· ἐπεὶ δὲ οὐδεὶς ἀντεπεξῄει, τὸ λοιπὸν ὁδεύσας τῆς ἡμέρας, ηὐλίσατο τὴν νύκτα παρὰ ποταμὸν προσαγορευόμενον Ἁλμυρὸν, μεταξὺ Σηλυβρίας καὶ Ἡρακλείας. εἰς τὴν ὑστεραίαν δὲ ἐστρατοπέδευσαν παρὰ τὸ Δαφνίδιον λεγόμενον, ἔνθα βασιλεὺς μὲν ἔμεινε παρὰ τὸ στρατόπεδον ἅμα ὀλίγοις τῶν Ῥωμαίων· ἡ λοιπὴ δὲ στρατιὰ μετὰ τῆς Περσικῆς τὰ περὶ Βυζάντιον κατέδραμον πάντα ἄχρι Προποντίδος καὶ ἐκάκωσαν ἐς τὰ μάλιστα. ἀπέκτειναν τε γὰρ οἱ βάρβαροι πλείστους καὶ ἠνδραποδίσαντο, φεύγοντές τε πρὸς τὴν θάλασσαν καὶ πλείους ἐμπίπτοντες ἐν τοῖς λέμβοις, ἢ ὅσους φέρειν ἦσαν δυνατοὶ, ἄλλως τε καὶ ὑπὸ τοῦ θορύβου ἀτακτοῦντες, ἀπεπνίγοντο ἀνατρεπόμενοι. καὶ παντοῖος ἦν ὁ ὄλεθρος κατὰ τὴν ἔφοδον ἐκείνην· βοσκημάτων τε γὰρ ἤλασαν πλῆθος οὐκ ὀλίγον καὶ ἀνθρώπους αἰχμαλώτους τὸ βαρβαρικὸν, καὶ τὰς πλείστας τῶν κωμῶν ἐνέπρησαν. αἰτία δὲ μάλιστα τῆς τοσαύτης φθορᾶς ἐγένετο ὁ μέγας δούξ. πολλὰ γὰρ μεγαλαυχήσας καὶ φυσήσας ὅτε ἐξήλαυνε Βυζαντίου, καὶ θαῤῥεῖν κελεύσας, ὡς οὐδεὶς ἀντιστήσεται τῶν πολεμίων, ἀλλὰ πάντας ἄρδην ἐπιφανεὶς διαφθερεῖ, ἐπεὶ ἐναντίως, ἢ αὐτὸς ἐπηγγέλλετο, ἀπέβαινε, καὶ τειχήρης κατὰ τὴν Ἡράκλειαν ἐγένετο, καίτοι δυνάμενος τὴν προσήκουσαν περὶ τὴν χώραν πρόνοιαν ποιεῖσθαι τὴν ἔφοδον ἀπαγγέλλων, ὁ δ' οὐδὲν ἐποίει τῶν δεόντων, ὥσπερ δεδοικὼς μὴ τῶν πολεμίων ἥττων γεγονέναι ὑποπτεύοιτο· καὶ διὰ τὴν τοιαύτην ἄνοιαν πολλοῖς αἴτιος ἐγένετο μεγάλων συμφορῶν. [5]

2 483 ἐκεῖνος δὲ τὴν μὲν εἰς Βυζάντιον αὐτοῦ ἐπάνοδον νομίζων ἀναγκαίαν εἶναι, ὑποπτεύων δὲ τὴν ἤπειρον, ὡς μεστὴν κινδύνων διὰ τὸ ἐπικρατεῖν τοὺς πολεμίους, διὰ τῆς θαλάσσης ἀνέστρεφε τριήρει, τὴν στρατιὰν ἐκεῖ καταλιπών. καὶ αἰσχίστη ἔδοξεν ἡ ἀναχώρησις καὶ ἀποδέουσα πολλῷ τῶν ἀπειλῶν. βασιλεὺς δὲ ὀκτὼ ἡμέρας περὶ τὸ Βυζάντιον διατρίψας καὶ κακώσας ἐς τὰ μάλιστα, ἀνέστρεφεν εἰς Θρᾴκην, καὶ πᾶσαι πόλεις αὐτίκα προσεχώρουν, τὴν ἐκ Βυζαντίου βοήθειαν ἀπογινώσκουσαι, πλὴν Αἴνου καὶ Ἐξαμιλίου καὶ Καλλίου πόλεως. τοὺς ἐν ἁπάσαις δὲ ἄρχοντας συναγαγὼν, οἳ παρὰ βασιλίδος ἦσαν ἐπιτετραμμένοι τὰς ἀρχὰς, καὶ πολλὴν περὶ αὐτοὺς ἐπιείκειαν καὶ ἡμερότητα ἐπιδειξάμενος, κελεύσας τε μηδενὸς ἀποστερηθῆναι τῶν ἐνόντων, ἐνίοις δὲ καὶ ἀναλώματα καὶ ἵππους παρασχόμενος ὅσοι μὴ εὐπόρουν, εἰς Βυζάντιον

ἀπέπεμπε, περὶ τῆς εἰρήνης αὖθις οὐ βασιλίδος μόνον, ἀλλὰ καὶ πατριάρχου καὶ τῶν ἄλλων δεόμενος ἀρχόντων, τἀναντιώτατα τοῖς ἐκεῖσε ἄρχουσι διὰ σπουδῆς πολλῆς τιθέμενος ποιεῖν. ἐκείνων γὰρ οὐ μόνον τοὺς φανερῶς τἀκείνου ᾑρημένους, ἀλλὰ καὶ εἴ τις ἦθος ὑποφαίνοι πρὸς τὰ πραττόμενα ἀγανακτοῦντος, πικρῶς καὶ ἀπανθρώπως κολαζόντων, οὗτος τοῖς συλλαμβανομένοις ἐκ τῶν προσκειμένων βασιλίδι παρείχετο καὶ δῶρα, καὶ πρὸς ὕβρεις αἰσχρὰς καὶ ἀνελευθέρους οὐ μόνον ἐκείνων τετραμμένων, ἀλλὰ καὶ τοὺς ἄλλους ἅπαντας ἐκκαλουμένων, οὗτος πᾶσαν αὐστηρίαν ἐπεδείκνυτο, εἴ τις πατριάρχῃ ἢ μεγάλῳ δουκὶ ἢ ἑτέρῳ τῶν ἀρχόντων ὕβριν ἐπενέγκοι. [5]

2 484 βασιλίδα γὰρ ἀεὶ καὶ βασιλέα τὸν υἱὸν διὰ πάσης ἦγον εὐφημίας, αὐτοῦ κελεύοντος, ὥσπερ ἂν εἰ μὴ πρὸς ἐκείνους ἐπολέμουν, ἀλλ᾽ ὑπ᾽ ἐκείνους ἦσαν τεταγμένοι. οη′. Βασιλεὺς δὲ ἐπεὶ τὰς κατὰ τὴν κάτω Θρᾴκην πόλεις πλὴν ὀλίγων ὑπεποιήσατο ἁπάσας, ἐπὶ τὴν Ἀδριανοῦ ἐχώρει, καὶ Βιζύην καὶ τὰς μέχρι Πόντου καὶ ἐκάκου κατατρέχων καὶ ληϊζόμενος μὴ προσχωρούσας. προσπέμπων δὲ καὶ κρύφα διελέγετο τοῖς οὖσι φίλοις, ἐν τῇ Ἀδριανοῦ δὲ πρότερόν τε ἦσαν οὐκ ὀλίγοι, καὶ τότε ἐπεγένοντο ὁρῶντες ἤδη τὴν Ῥωμαίων ἡγεμονίαν πρὸς ἐκεῖνον ἀποκλίνασαν, οἳ καὶ πέμψαντες ἐκάλουν, ὡς δυνάμενοι, εἰ μόνον ὀφθείη, μιᾶς τῶν πυλῶν κρατήσαντες εἰσάγειν εἰς τὴν πόλιν. βασιλεὺς δὲ αὐτοὺς τῆς προθυμίας ἐπαινέσας καὶ τῆς εὐνοίας τῆς περὶ αὐτὸν, ἐκέλευε μὴ πρότερον ἐπιχειρεῖν, πρὶν ἐκεῖνον ἴδωσι τοῖς τείχεσιν ἐφεστηκότα. ἐδεδίει γὰρ, μὴ κατάφωροι γεγενημένοι, σφᾶς τε αὐτοὺς καὶ τὴν πρᾶξιν ἀπολέσωσιν. ἅμα δὲ καὶ ἡμέραν συνετίθετο, ἐν ᾗ αὐτόν τε παρεῖναι ἔδει, καὶ τοὺς πράττοντας τὴν ἅλωσιν πρὸς τὸ ἔργον εἶναι παρεσκευασμένους. [20]

2 485 ἐκεῖνοι δὲ πρὶν βασιλέα ἥκειν, κατὰ συστήματα περιιόντες, ἐπεί τισιν αὐτῶν συνέβη Βράνῳ περιτυχεῖν, ὃς τὴν φυλακὴν τῆς πόλεως εὐθὺς ἐξαρχῆς διὰ τῶν ἀρίστων τὴν φθορὰν παρὰ βασιλίδος ἐπιστεύθη. ἐκεῖνος γὰρ τῆς στάσεως ἦρξε τὸν δῆμον τοῖς ἀρίστοις ἐπαγαγών. τοῦτον οὖν ἰδόντες παριόντα καὶ κατασχεῖν μὴ δυνηθέντες τὴν ὁρμὴν, (ἄκρατον γὰρ ἐκείνῳ τὴν ὀργὴν ἐφύλαττον διὰ τὴν πρὸς αὐτοὺς γεγενημένην ὕβριν καὶ φθοράν,) ἀμελήσαντες τῶν βασιλέως παραινέσεων ἐπέθεντο, ἤδη δὲ τῆς προδοσίας φανερᾶς γεγενημένης, καὶ οἱ λοιποὶ προσεβοήθουν δείσαντες τὸν κίνδυνον. πολλοὶ δὲ ὄντες ἅμα καὶ τοῦ δήμου ἐνδιδόντος, (ἐπιέζοντο γὰρ ὑπὸ τοῦ πολέμου κραταιῶς,) περιεγένοντο τῶν πολεμίων, καὶ τοὺς μὲν συνελάμβανον αὐτῶν, οἱ δὲ ἦσαν ἀφανεῖς ἄσμενοι τὸν κίνδυνον διαφυγόντες. Ἀπόκαυκος δὲ Μανουὴλ ὁ τοῦ μεγάλου δουκὸς υἱὸς, τῆς πόλεως ἔχων τὴν ἀρχὴν, ὡς ἑώρα τοὺς τὰ βασιλέως πράττοντας περιγενομένους ἐκλιπὼν τὴν πόλιν, ἦλθεν εἰς Βουκέλου φρούριόν τι οὐ μακρὰν ἐκείνης ᾠκισμένον. ὁ Βράνος δὲ συλληφθεὶς τά τε κλεῖθρα παρείχετο τῆς πόλεως, καὶ ἐδεῖτο μὴ ἀποθανεῖν. οἱ δὲ, ὡς ἤδη καθαρῶς τῆς πόλεως ἦσαν ἐγκρατεῖς, ἐτράποντο ἐφ᾽ ἁρπαγὴν, καὶ τήν τε Βράνου καὶ τὰς ἄλλων διήρπαζον οἰκίας. ἔπειτα καὶ πρὸς πότους καὶ φιλοτησίας διὰ τὴν νίκην ἑαυτοὺς ἐξέδωκαν. οἱ νενικημένοι δὲ μεθύοντας καὶ παραφερομένους αὐτοὺς ὁρῶντες, ἀναθαρσήσαντες καὶ ἐπιθέμενοι ἀόπλοις καὶ μεθύουσιν, ἐκράτησάν τε ῥᾷστα καὶ ἀπέκτειναν αὐτῶν πολλούς· ἐνίους δὲ ἐξήλασαν τῆς πόλεως, τοὺς δὲ λοιποὺς ἤγαγον εἰς δεσμωτήρια ὑπὸ κλοιοῖς· καὶ ἡ πόλις αὖθις ὑπὸ Βράνῳ ἦν καὶ τοῖς πράττουσι τὰ βασιλίδος. [5]

2 486 καὶ Ἀπόκαυκον τὸν σφῶν ἄρχοντα πέμψαντες ἤγαγον ἐκ Βουκέλου. βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο τὰ γεγενημένα, οὐ μετρίως ἤχθετο, οὐ μόνον τῆς πόλεως ἀποτυχὼν, ἀλλὰ καὶ τῶν φίλων ἀπολλυμένων ἐκ τῆς ἀβουλίας. Ἀπόκαυκος δὲ Μανουὴλ ὁ τοῦ μεγάλου δουκὸς υἱὸς πρὸς βασιλέα κρύφα πέμψας, πρῶτον μὲν ἔφασκε καὶ αὐτὸν ἀκούοντα παρά τε τῶν ἄλλων καὶ τοῦ πατρὸς, αὐτοῦ πολλὰ καὶ δεινὰ κατηγορούντων, πείθεσθαι καὶ αὐτὸν καὶ νομίζειν ἐκείνους ἀληθεύειν· χρόνῳ δὲ πρότερον πολλῷ ἀκριβῶς τῶν γινομένων τὰς αἰτίας ἐξετάζοντα, τοῦτον μὲν ἀδίκως πολεμούμενον εὑρίσκειν, ἐκείνους δὲ τὰ ἔσχατα ἀδικοῦντας οὐκ αὐτὸν μόνον,

ἀλλὰ καὶ σύμπαντας Ῥωμαίους οὕτως ἐξανδραποδιζομένους καὶ ἀπολλυμένους ἄρδην διὰ τὴν ἐκείνων φιλαρχίαν καὶ ἀγνωμοσύνην. ὅθεν καὶ ἀγανακτεῖν οὐκ ἀνεκτῶς πρὸς τῶν πραττομένων τὴν ἀτοπίαν. ἐλπίζοντα δέ τινα ταχέως λύσιν τῶν κακῶν γενήσεσθαι, φέρειν τὴν μετ' ἐκείνων διατριβήν. νυνὶ δὲ ἐκείνων μὲν ὁρῶντα τὴν ἀπόνοιαν, καὶ ὡς οὐδὲ τῶν κακῶν ἤδη περιστάντων τὰ δέοντα περί τε σφῶν αὐτῶν καὶ τῶν ἄλλων ἔγνωσαν βουλεύεσθαι, ἀλλ' ἀπωθοῦνται τὴν εἰρήνην, μάλιστα ὑπ' αὐτοῦ παρακαλούμενοι τοῦ τοσαῦτα καὶ πρότερον καὶ μέχρι νῦν ἀδικουμένου, καὶ τῶν εἰς αὐτὸν τοσούτων καὶ τηλικούτων δεινῶν γεγενημένων παρεχομένου ἀμνηστίαν, τήν τε ἐκείνων βδελυξάμενον ἀγνωμοσύνην καὶ τὴν αὐτοῦ θαυμάσαντα μεγαλοψυχίαν καὶ καρτερίαν καὶ τὸ οὕτω τῆς κοινῆς ὠφελείας ἕνεκα τὰ καθ' ἑαυτὸν προΐεσθαι ἑτοίμως, μὴ ἐκείνοις ἐπιπλέον δύνασθαι συνεῖναι, ἀλλὰ τὰ αὐτοῦ ἧρῆσθαι μᾶλλον, καὶ ἐξ αὐτῆς τὰ αὐτοῦ πράττειν, καὶ προκινδυνεύειν αὐτοῦ μάλιστα βούλεσθαι καὶ τοῦ δικαίου. [10]

2 487 τοιαῦτα μὲν Ἀπόκαυκος ὁ τοῦ μεγάλου δουκὸς υἱὸς πρὸς βασιλέα κρύφα διελέγετο. βασιλεὺς δὲ ὁμοίως ἐπῄνει τε τῆς αἱρέσεως τοῦ ἀγαθοῦ, καὶ χάριτας τῆς εἰς αὐτὸν εὐνοίας ὡμολόγει, καὶ ἀφορμὰς παρείχετο τοῦ πράττειν ὅ,τι δύναιτο ὑπὲρ αὐτοῦ προθύμως. μετ' οὐ πολλὰς δὲ ἡμέρας ἀποστάντα πρὸς αὐτὸν, ἐπεὶ μὴ καὶ τὴν πόλιν ἠδύνατο προσάγειν, τοὺς συναιρομένους οὐκ ἔχων πρὸς τὸ ἔργον, (πρότερον γὰρ ὀλίγῳ ἅπαντες οἱ βασιλέως φίλοι ὑπ' ἀνοίας διεφθάρησαν,) ἀσμένως τε ἐδέξατο ὁ βασιλεὺς, καὶ τιμῆς ἠξίωσε καὶ εὐμενείας πλείστης. μετὰ τοῦτο δὲ ἐπεὶ ἡ Ἀδριανοῦ ἀνεπιχείρητος ἐδόκει, Βιζύῃ ἐπεστράτευσεν ὁ βασιλεὺς καὶ ἐπόρθει τὴν χώραν· πρεσβείαν δὲ ἔπεμπε πρὸς τὴν πόλιν, παραινῶν αὐτῷ παραδιδόναι καὶ μὴ κενῆς ἐλπίδος ἕνεκα τοσαύτην ζημίαν ὑπομένειν, διαφθειρομένων τῶν ἀγρῶν· μετὰ γὰρ τῶν κακῶν τὴν ἐπιφορὰν παραδώσουσιν ἀνάγκῃ πιεσθέντες. Βιζύϊοι δὲ οὔτε ἐπηγγέλλοντο σφᾶς αὐτοὺς καὶ τὴν πόλιν παραδιδόναι, οὔτε πρὸς τὴν εἰωθυῖαν ἀναισχυντίαν ἐτράποντο καὶ τὰς ὕβρεις, ἀλλ' εὐφήμως καὶ σωφρόνως ἀπείπαντο τὴν πρεσβείαν. [25]

2 488 νομίσας δὲ ὁ βασιλεὺς ἀρχὴν προσχωρήσεως εἶναι τὴν εὐγνωμοσύνην, (συνεώρα γὰρ ὑπενδιδόντας πρὸς τὰς συνεχεῖς ἐφόδους καὶ τὴν κάκωσιν,) ἔγνω δεῖν τὴν στρατιὰν ἀπάγειν τὴν ταχίστην, ἵνα μήτε ἡ χώρα διαφθείροιτο μέλλουσα γίνεσθαι μετ' ὀλίγον ὑπ' αὐτὸν, αὐτοί τε τυχόντες ἀδείας τὰ δέοντα βουλεύσαιντο περὶ σφῶν, καὶ ἀνέστρεφεν εἰς Ἄπρων. οθ'. Ἔνθα διατρίβοντι Ἀμζᾶς τις ὄνομα προσελθὼν, ἐμήνυεν, ὡς ἅμα τινὶ ἑτέρῳ Σκαράνῳ προσαγορευομένῳ ὀλίγῳ πρότερον ἐκ Βυζαντίου προσέλθοιεν φυγάδες. αὐτὸν μὲν οὖν ἀδόλως προσελθεῖν καὶ ἀπανούργως, Σκαράνον δὲ οὐχ ὁμοίως, ἀλλὰ πολλαῖς ὑποσχέσεσι καὶ δωρεαῖς παρὰ μεγάλου δουκὸς πεισθέντα, εἰ αὐτὸν ἀνέλοι. νομίσαντα δὲ Σκαράνον ξυλλήψεσθαι αὐτῷ διὰ τοῦ γένους τὴν πρὸς τὰς σφαγὰς καὶ τοὺς φόνους ἑτοιμότητα, (ἐκ Περσῶν γὰρ Ἀμζᾶς τὸ γένος ἦν,) ἐκκαλύψαι τὸ ἀπόῤῥητον. τὸν δὲ ἡγησάμενον δεινὸν τὴν κατὰ βασιλέως συγκρύπτειν ἐπιβουλὴν, τόν τε ἄνθρωπον μηνύειν καὶ τὴν γνώμην. Σκαράνος μὲν οὖν αὐτίκα συνελαμβάνετο, κελεύσαντος βασιλέως· ἀγόμενον δὲ οἱ περὶ βασιλέα ὥρμηντο ἀνελεῖν, βασιλεὺς δὲ ἠπείλησεν, ἀπιστίας εἰς αὐτὸν τὸν φονεύσοντα κρινεῖν· ἀπόδειξις γὰρ ἂν εἴη τοῦ ἑαυτῷ τὴν πρᾶξιν συνειδέναι τὸ τοῦτον ἀνελεῖν, ἵνα διαφύγῃ τοὺς ἐλέγχους. [20]

2 489 οἱ μὲν οὖν οὕτως ἀνεχώρουν δείσαντες τὴν ἀπειλὴν, Σκαράνος δὲ ὅμως ἐῤῥύετο τοῦ θανάτου. παραστησάμενος δὲ ὁ βασιλεὺς ἠρώτα εἰ εἴη ἀληθῆ, ὅσα Ἀμζᾶς αὐτοῦ κατηγοροίη. ὁ δὲ συνωμολόγει, πολλαῖς ὑποσχέσεσι καὶ δωρεαῖς ὑπὸ μεγάλου δουκὸς παραπεπεῖσθαι πρὸς τὸ ἀνελεῖν αὐτὸν, καὶ ἐπὶ τούτῳ ἥκειν· ἦν γὰρ γενναῖός τε τὴν ψυχὴν καὶ πολεμικὸς καὶ τὴν ῥώμην τοὺς ἄλλους ὑπερέχων. τὸν μὲν οὖν ἐκέλευεν ὁ βασιλεὺς φυλάττεσθαι, ὡς ἐς τὴν ὑστεραίαν πλείω ποιησόμενος ἐξέτασιν περὶ αὐτοῦ· νυκτὸς δὲ ἐκέλευε τῶν οἰκετῶν τοῖς πιστοτάτοις τοῦ στρατοπέδου ἐξαγαγόντας ἀπολύειν· Ἀμζᾶν δὲ φιλοτίμως ἠμείψατο ὁ βασιλεὺς

τῆς μηνύσεως τῆς ἐπιβουλῆς. παρασκευαζομένῳ δὲ αὖθις Βιζύῃ ἐπιστρατεύειν ἐδόκει δεῖν πρότερον πρεσβείαν ποιεῖσθαι πρὸς αὐτούς, καὶ παρῄνει ἑκουσίως προσχωρεῖν καὶ μὴ τὴν ἀνάγκην περιμένειν· τότε γὰρ οὐκ αὐτοῖς, τῇ ἀνάγκῃ δὲ τὴν χάριν εἰδήσειν τῆς αὐτῶν καταδουλώσεως. καὶ πρότερον γὰρ ἐπιστρατεύσας, ὅτι σωφρόνως ἀπεκρίναντο, ταχέως ἀπεχώρησε, καιρὸν αὐτοῖς παρέχων τοῦ τὰ δέοντα συμβουλεύσασθαι ὑπὲρ αὐτῶν· καὶ νῦν εἰ προσχωροῖεν ἑκουσίως, οὐδεμίαν ὑποστήσεται κάκωσιν ἡ χώρα. εἰ δ’ ἀγνωμονοῖεν ἔτι, τὴν ἐπαγωγὴν αὐτῷ μὴ προσλογίζεσθαι τῶν κακῶν. Βιζύϊοι δὲ ἐπεὶ ἐδέξαντο τὴν πρεσβείαν, ἐκκλησίαν συναθροίσαντες ἐβουλεύοντο ὅ,τι δέοι πράττειν. [20]

2 490 καὶ ἐδόκει πᾶσι ψήφῳ κοινῇ προσχωρεῖν τῷ βασιλεῖ, ἀδίκως τε πολεμουμένῳ καὶ ἀπελαυνομένῳ τῶν Ῥωμαίων τῆς ἀρχῆς καὶ δυναμένῳ βλάπτειν· καὶ Παλαιολόγον Γεώργιον τὸν ἄρχοντα αὐτῶν ἐκέλευον, εἰ μὴ βούλοιτο σὺν αὐτοῖς προσιέναι βασιλεῖ, πᾶσαν ἔχοντα τὴν ἀποσκευὴν εἰς Βυζάντιον ἀποχωρεῖν. κἀκεῖνος αὐτοῖς πολλὴν ὁμολογήσας τῆς εὐγνωμοσύνης χάριν, ἀπεχώρει μὴ βουλόμενος προσιέναι βασιλεῖ, συνείπετο δὲ καὶ ὁ μητροπολίτης δείσας πατριάρχην. Βιζύϊοι δὲ δύο τε τῶν ἀρίστων ἀπολεξάμενοι καὶ τοῦ δήμου καὶ τῆς ἐκκλησίας τοσούτους ἑτέρους, πρὸς βασιλέα πρέσβεις ἔπεμπον καὶ τὴν πόλιν παρεδίδουν· ἔφασαν δὲ καὶ αὐτοὶ πρότερον μὲν ὑπὸ τῶν ἀρχόντων ἐξηπατημένοι, ἀγνωμοσύνην τε αὐτοῦ κατηγορεῖν καὶ ἐπιβουλὴν καὶ προδοσίαν ἐγκαλεῖν τῶν βασιλέως παίδων. ἐπεὶ δὲ τοῦ χρόνου τριβομένου, ἐκεῖνοι συκοφαντοῦντες ἀπεδείκνυντο καὶ τὰ μέγιστα ἠδικηκότες, αὐτὸς δὲ ἀδικούμενος καὶ ἐπιβουλευόμενος καὶ οὐδὲν ἐπιεικὲς ἀκούων, ἔπειτα καὶ τὴν κοινὴν ὁρῶντες πανωλεθρίαν, ἢ ὀλίγου δεῖν Ῥωμαίους ἅπαντας διέφθειρεν, ἀκούοντές τε καὶ αὐτὸν ἀεὶ δεόμενον περὶ εἰρήνης, ἐκείνους δὲ αἱρουμένους τὸν τοσούτων αἴτιον πόλεμον κακῶν, δεινὰ μὲν ἡγεῖσθαι τὰ πραττόμενα καὶ προθυμεῖσθαι, εἴ τις δύναμις ἐνῆν, λύσιν τινὰ ἐξευρίσκειν τῶν κακῶν. ἐπεὶ δ’ αὐτοῖς τοῦτο οὐκ ἐν ἐφικτῷ, τοὺς μὲν ἄλλους ἅπαντας τῆς συμφορᾶς οἰκτείρειν, αὐτοὺς δὲ τὰ λυσιτελῆ βουλευομένους ἑαυτοῖς, ψήφισμα ποιήσασθαι προσχωρεῖν ἑκόντας καὶ τὴν πόλιν παραδιδόναι καὶ μὴ τῆς ἑτέρων ἀνοίας ἀποτίνειν αὐτοὺς δίκας. [20]

2 491 τοιαῦτα μὲν οἱ Βιζύϊοι ἐπρέσβευον. βασιλεὺς δὲ τῆς εὐβουλίας ἐπαινέσας, τοῖς τε πρέσβεσι δῶρα παρασχὼν, ἦλθε πρὸς τὴν πόλιν, ἑπομένους ἔχων καὶ τοὺς πρέσβεις, καὶ ὁ δῆμος ἅπας μετὰ τῶν ἀρίστων ἐξῆλθεν ὑπαντήσων. ἐπεὶ δὲ ἐγένετο ἐγγὺς πυλῶν, πρῶτα μὲν ἐκέλευεν Ἄνναν τὴν βασιλίδα εὐφημεῖν, καὶ μετ’ ἐκείνην βασιλέα τὸν υἱὸν, τρίτους δὲ μετ’ ἐκείνους αὐτόν τε καὶ Εἰρήνην βασιλίδα τὴν γυναῖκα, καὶ ἐτελεῖτο ἡ εὐφημία κατὰ τὰ κεκελευσμένα. τὸν ἴσον δὲ τρόπον κἀν ταῖς ἄλλαις πόλεσιν ἐποίει· καὶ κατὰ τὰς ἱερὰς μυσταγωγίας ὁμοίως τὴν τῶν βασιλέων μνήμην ἐκέλευε ποιεῖσθαι. εὐθὺς μὲν οὖν προσεχώρουν καὶ τὰ περὶ Βιζύην πολίχνια ὄντα οὐκ ὀλίγα, καὶ πᾶσιν ὁ βασιλεὺς ἐφίστη ἡγεμόνας καὶ διῴκει, ᾗ αὐτῷ ἐδόκει ἄριστα. Βιζύης δὲ ἄρχοντα κατέστησε τὸν γυναικὸς ἀδελφὸν Ἀσάνην τὸν Μανουήλ. ἦν γάρ τινα καὶ οἰκειότητα πρὸς τὴν πόλιν ἀρχαίαν ἔχων. πρωτοστράτωρ γὰρ ὁ τούτου πενθερὸς ἐκεῖ τὴν οἰκίαν ἔχων ἐξαρχῆς κτήσεις τε πλείστας καὶ μεγάλας εἶχεν ἐν αὐτῇ, καὶ τῶν συγγενῶν καὶ τῶν οἰκείων ἐκεῖ πολλοὶ κατῴκουν, ὑφ’ ὧν ἤγετο σχεδὸν ἡ πόλις. διὰ ταύτην δὴ τὴν οἰκειότητα πρὸς πρωτοστράτορα τὸν γαμβρὸν αὐτοῖς ἐπέστησεν ἄρχειν Ἀσάνην τὸν Μανουήλ. πρωτοστράτωρ γὰρ μετὰ τὴν ἐν Γυναικοκάστρῳ τοῦ βασιλέως ἀναχώρησιν ὑπὸ μεγάλου δουκὸς πολλὰ φενακισθεὶς, καὶ εἰς τοὺς πρώτους τῶν φίλων τεταγμένος, πρωτοβεστιάριός τε ὀλίγῳ ὕστερον ἀναδειχθεὶς, ἔπειτα εἰς τὴν οἰκίαν κατεκλείσθη καὶ ζόφον κατεκρίθη τοῖς ἄλλοις ὁμοίως φίλοις, καὶ χρόνον οὕτω συχνὸν διανύσας φρουρούμενος ἐν τῇ οἰκίᾳ, ὕστερον ἐτελεύτησε, πένης καὶ ἄτιμος ἐξ εὐπόρου καὶ περιφανοῦς γεγενημένος. [5]

2 492 πατριάρχῃ δὲ τῷ Ἱεροσολύμων ἄρτι τότε ἐκ Βυζαντίου διαδράντι, ὑποπτευομένῳ καὶ πάσχειν μέλλοντι κακῶς καὶ ἀφιγμένῳ πρὸς αὐτὸν, ὁ βασιλεὺς τὴν Βιζύης ἐνεχείρησεν ἐκκλησίαν,

ὥστε τὰ τοῖς ἱεροῖς κανόσιν ἐνδεδομένα πράττειν, ἐπεὶ ταύτης ὁ ἀρχιερεὺς ἀπεχώρει τὴν βασιλέως ἀποσειόμενος ἐπιδημίαν. ἐπεὶ δὲ πάντα διῴκητο τὰ κατὰ τὴν πόλιν βασιλεῖ, αὖθις ἀνέστρεφεν εἰς Χαριούπολιν καὶ τὰς μήπω προσχωρησάσας πόλεις τοῖς τε ὅπλοις ἐβιάζετο καὶ λόγοις πιθανοῖς ἐπεχείρει πείθειν προσχωρεῖν αὐτῷ. δοὺξ δὲ ὁ μέγας, ἐπεὶ τὸ διατρίβειν τειχῶν ἔξω ἀπηγόρευεν, (αἱ μὲν γὰρ τῶν πόλεων Καντακουζηνῷ προσεχώρησαν τῷ βασιλεῖ, αἱ δὲ πολιορκούμεναι καὶ κακῶς πάσχουσαι ταῖς καθημεριναῖς ἐφόδοις ἀμφίβολοι ἤδη ἦσαν· ἐπικουρίας γὰρ οὐδεμιᾶς παρ' αὐτοῦ ἐτύγχανον, συχνὰς ποιούμενοι τὰς πρεσβείας καὶ τὴν κακοπραγίαν ὀδυρόμενοι,) ἵνα μὴ δοκοίη, ὥσπερ ἐν μεγάλῳ κλύδωνι τοὺς οἴακας τῆς ἀρχῆς καταλιπὼν ἀργὸς καθῆσθαι πρὸς τὸ διασώζειν ἀπειπών, ἐσκέψατό τι περιεργότερον, ἵνα τοῖς πολλοῖς δοκοίη ἀναγκαίων τινῶν πέρι Βυζαντίῳ ἐνδιατρίβειν· καὶ ὃς οὐδέπω πρότερον οὐδένα τοῦ ἀγαθοῦ καὶ δικαίου λόγον ἐποιήσατο, δικαιοσύνην ἐκήρυξε καὶ εὐθύτητα περὶ τὰς δίκας· καὶ καθήμενος ἐν τῇ μονῇ Χριστοῦ τοῦ σωτῆρος καὶ εὐεργέτου ἐδίκαζε διὰ πάσης τῆς ἡμέρας, περὶ συμβόλαια καὶ ἰδιωτικὰς ἀμφισβητήσεις ἀσχολούμενος. [5]

2 493 ἐφρόνει δὲ Ῥαδαμάνθυος οὐδὲν ἧττον ἐπὶ τούτοις, ὃς καὶ τὴν νεκρῶν δίκην ἐλέγετο ἐπιτετράφθαι διὰ τὴν δικαιοσύνην, ἀγνοῶν ὡς οὐδὲν ἀγεννέστερον καὶ καταγελαστότερον στρατηγοῦ ὑπὸ πολέμου τοσούτου περιῤῥεομένου καὶ συμβολαίοις σχολάζοντος, ἵνα τοὺς καθ' ἕκαστον ἰδιώτας ὠφελοίη τῶν κοινῶν καταμελῶν. π'. Γαβαλᾶς δὲ ὁ μέγας λογοθέτης, τοῦ χρόνου τριβομένου, ἐπεὶ τὸν γάμον τῆς θυγατρὸς ὁ μέγας δοὺξ κατὰ τοὺς ὅρκους οὐκ ἀπεδίδου, ἐδυσχέραινέ τε οὐ μετρίως τὴν τριβὴν καὶ μεγάλῳ δουκὶ περὶ τοῦ γάμου διελέγετο, ἀξιῶν ποιεῖν κατὰ τοὺς ὅρκους. ὁ δ' ἔφασκε μὲν καὶ αὐτῷ διὰ σπουδῆς εἶναι καὶ προὔργου παντὸς, τὴν νύμφην δὲ καὶ τὴν μητέρα ἀπαναίνεσθαι διὰ τὴν πολυσαρκίαν. συνεβούλευέ τε φαρμακείαις χρήσασθαί τισιν, εἴ πως γένοιτο, τῶν ἐγκάτων συνεσταλμένων, λεπτότερον φανῆναι καὶ ἐπέραστον τῇ νύμφῃ· πάνυ γὰρ ἔχειν ἀηδῶς πρὸς τὴν ἀσυμμετρίαν τῶν σαρκῶν. [20]

2 494 ὁ δ' ὑπώπτευε μὲν σκήψεις εἶναι καὶ προφάσεις τὰ τοιαῦτα καὶ εἰρωνείαν ἀκριβῶς· τῷ δὲ κατάκρας ἠττῆσθαι τῷ τῆς κόρης ἔρωτι, ἃ καὶ ὀλίγα φρενῶν μετέχων συνῆκεν ἄν τις, αὐτὸς ἐβούλετο ἀγνοεῖν καὶ ἐδόκει δεῖν τοῖς καταγελαστοτάτοις ἐπιχειρητέα εἶναι διὰ τὴν κόρην. διαλεχθεὶς δέ τινι ἰατρῷ ἐξ Ἰταλίας ἀφιγμένῳ περὶ τῆς πολυσαρκίας, ἔπειθε μεγάλοις μισθοῖς ἐπαγγελλόμενον καὶ αὐτὸν, εὐσταλὲς τὸ σῶμα καὶ σύμμετρόν τισι ποιήσειν φαρμακείαις, καὶ δὴ τἆλλα πάντα δεύτερα ἡγούμενος, λουτροῖς ἐσχόλαζε καὶ ἐμέτοις καὶ κενώσεσι γαστρὸς, ᾗ τῷ ἰατρῷ ἐδόκει. ὀλιγοσιτία τε προσεῖχε καὶ τἆλλα πάντα ἐπετήδευεν, ὅσα πρὸς λεπτότητα συναίρεται. ἐξ ὧν ἠτόνει μὲν καὶ ἀδρανὴς ἦν, καὶ παρελύετο τὴν ῥώμην, ἡ γαστὴρ δὲ ὀλίγα πρὸς τὸν ὄγκον ἐνεδίδου. ὑποπτεύσας δὲ ὁ μέγας δοὺξ, ὡς ὕστερόν ποτε ἀπαγορεύσας πρὸς τὰς φαρμακείας εἴσεται σαφῶς τὴν εἰρωνείαν, καὶ δείσας, μὴ διὰ τὸ περιορᾶσθαι πρὸς τὸν κατ' αὐτοῦ πόλεμον αὖθις ἐκτραπῇ καὶ πείσῃ βασιλίδα τίθεσθαι σπονδὰς πρὸς Καντακουζηνὸν τὸν βασιλέα περὶ εἰρήνης, ὃ τῶν κινδύνων αὐτῷ ὁ φοβερώτατος ἐδόκει, ἐσκέψατο τρόπῳ δή τινι διαφθείρειν καὶ αὐτόν· καὶ τῶν συνειδότων τὰ ἀπόῤῥητα αὐτῷ τινας προσέπεμπε μηνύοντας δι' εὔνοιαν δῆθεν τῷ μεγάλῳ λογοθέτῃ, ὅτι βασιλὶς μάλιστα ὀργίζοιτο αὐτῷ, τὴν δὲ αἰτίαν ἀγνοεῖν. οἳ καὶ τοιαῦτα προσαγγέλλοντες ἐξεφόβουν. [20]

2 495 ἔπειτα καὶ ὅρκους ᾐτοῦντο δῆθεν ὑπὲρ τοῦ μηθενὶ καταδήλους ποιεῖν τοὺς τὰ ἀπόῤῥητα μηνύσαντας. οὕτω μὲν οὖν ἐκεῖνοι ἐκακούργουν τὴν πεπλασμένην δήλωσιν τῶν ἀποῤῥήτων· Γαβαλᾶς δὲ οἰόμενος εἶναι ἀληθῆ τὰ εἰρημένα, πανταχόθεν ἐκυμαίνετο καὶ περιηντλεῖτο λογισμοῖς, καὶ σύννους καὶ ὠχρὸς ἐφαίνετο καὶ ταῖς φροντίσι συντετηκώς. δοὺξ δὲ ὁ μέγας, τῶν πραττομένων ἄγνοιαν ὑποκρινόμενος, ἠρώτα τὴν αἰτίαν τῆς συννοίας καὶ τῆς ὠχριάσεως. ὁ δὲ οὐδὲν ὑπωπτευκὼς περὶ ἐκείνου φαῦλον, οἷα δὴ κηδεστῇ καὶ ἀλγήσοντι ὑπὲρ ἐκείνου, πᾶν

τὸ ἀπόῤῥητον ἐξέφαινε καὶ ἐπικουρίας τυχεῖν τινος ἐδεῖτο καὶ γνώμην εἰσηγεῖσθαι, ᾗ χρησάμενος ἔξω ἔσται τῶν κινδύνων. οὐδὲν γὰρ ἦν τὸ μέσον τοῦ ὑποπτευθῆναι τότε καὶ διαφθαρῆναι. δοὺξ δὲ ὁ μέγας ἔφασκε μὲν τοιαῦτα καὶ αὐτὸς ἀκηκοέναι περὶ αὐτοῦ, ἡγεῖσθαι δὲ μὴ ἀληθῆ, ὅμως ὑπετίθει τὴν οὐσίαν παρὰ τοῖς φίλοις ἐκτιθέναι. τὴν γὰρ πολιτευομένην νυνὶ παρὰ Ῥωμαίοις ἔφασκε συκοφαντίαν καὶ διαβολὴν πάντα ὀντινοῦν φυλάττεσθαι χρεών. καὶ γὰρ αὐτὸς τῶν κοινῶν ἁπάντων ἄρχων καὶ τῆς πρώτης παρὰ Ῥωμαίοις ἀπολαύων τιμῆς καὶ εὐπραγίας οὐ μάλιστα αὐτοῖς θαῤῥεῖν, ἀλλὰ τὰ πλείω καὶ πολυτελέστερα τῶν ὄντων, ἔν τε Ἐπιβάταις τῷ φρουρίῳ καὶ πρὸς τῷ ἐν Μαγκάνοις πύργῳ ἔχειν. αὐτὸν δὲ ἐπεὶ μὴ συμβαίη φρούριόν τι ἔχειν, ᾧ χρήσαιτο πρὸς τοιαύτας τῶν πραγμάτων μεταβολὰς, ἑτέρῳ τρόπῳ τινὶ τῆς οὐσίας προνοεῖν, ἵν’ εἴ τι συμβαίη δυσχερὲς, (οὐ γὰρ μάτην παρὰ βασιλίδος ὑποπτεύεσθαι,) τὴν γοῦν οὐσίαν ἔχῃ καὶ μὴ ἀμφοτέρων, οὐσίας τε ἅμα καὶ ἀρχῆς τῶν πραγμάτων, ἀποστερηθῇ. [20]

2 496 ὁ μὲν οὖν τοιαῦτα συνεβούλευε. λογοθέτης δὲ ὁ μέγας τὴν ἐπιβουλὴν μὴ συνιδὼν ἐπείθετό τε καὶ τὰ ὄντα πρὸς τοὺς φίλους ἐξετίθει. ὁ δ’ αὐτίκα προσέπεμπε τοὺς βασιλίδι τὰ πραττόμενα μηνύσοντας, ὡς αὐτοῦ μὴ συνειδότος. παρῄνουν τε οἱ προσαγγέλλοντες, μὴ τοιαῦτα περιορᾶν· οὐ γὰρ ἐπ’ ἀγαθῷ τὴν οὐσίαν τὸν μέγαν λογοθέτην ἐκτιθέναι, ἀλλ’ ἢ στάσιν βουλεύεσθαι ποιεῖν ἐπὶ τῷ Καντακουζηνὸν βασιλέα δέχεσθαι, ἢ ἀφίστασθαι διανοεῖσθαι πρὸς ἐκεῖνον. ἡ βασιλὶς δὲ τὰ περὶ μεγάλου λογοθέτου εἰρημένα ἐξετάζουσα, ὡς ἐπυνθάνετο παρὰ πολλῶν εἶναι ἀληθῆ, (κρύφα γὰρ παρὰ τῶν συνειδότων πρὸς πολλοὺς διεδόθη τὸ ἀπόῤῥητον, τοῦ μεγάλου δουκὸς οὕτω συσκευάσαντος,) ἠγανάκτει καὶ ἀποστασίαν εἶναι ᾤετο τὸ πρᾶγμα φανερῶς, καὶ ἐβουλεύετο ὅ,τι δέοι χρῆσθαι τῷ μεγάλῳ λογοθέτῃ. ἐπεὶ δὲ ἤδη πέρας εἶχεν ἡ ἐπιβουλὴ, καὶ λογοθέτης τε ὁ μέγας πᾶσαν ἐκθέμενος τὴν οὐσίαν ἐκάθητο δεσμωτήριον περιμένων, καὶ ἡ βασιλὶς ὠργίζετο πρὸς τὴν ἀποστασίαν, πλασάμενος ὁ μέγας δούξ τινα τῶν δημοσίων χρείαν, εἰς Ἱερὸν τὸ πρὸς ἐμβολὰς τοῦ Πόντου ἀπέπλεε τριήρει, τοὺς δὲ πρῶτον τὴν βασιλίδος δῆθεν ὀργὴν μηνύσαντας τῷ μεγάλῳ λογοθέτῃ κατέλιπεν ἐπιθεῖναι τέλος τῇ ἐπιβουλῇ· προσελθόντες γὰρ ἐκεῖνοι αὖθις δεδακρυμένοι καὶ κατηφεῖς, ἐμήνυον ὡς ἐκείνῃ τῇ νυκτὶ πρὸς ἔσχατον κινδύνου ἥξει, βασιλίδος μάλιστα ἐξωργισμένης, καὶ πρόνοιάν τινα αὐτοῦ ἐκέλευον ποιεῖσθαι. [20]

2 497 τῆς αὐτῆς δὲ ὥρας καὶ ἑτέρους ἐκ συνθήματος παρεσκεύαζον, ἀφικνουμένους παρὰ τὴν οἰκίαν τὴν ἐκείνου, ἀνωνύμως οὕτως εἰ αὐτὸς αὐτόθι εἴη ἐρωτᾷν, ὥς τι δεινὸν τοῦ λόγου προσημαίνοντος. οὐ γὰρ εἰώθεσαν ἐκείνῳ πρότερον οὕτω προσφέρεσθαι Ῥωμαῖοι, ἀλλὰ πολλὴν τὴν θεραπείαν προσῆγον καὶ τὴν κολακείαν. Γαβαλᾶς δὲ ἤδη τὸν ὅλεθρον ἐκ πάντων τεκμαιρόμενος καὶ δείσας, μὴ καὶ παραπόλοιτο, τινῶν πρὸς ἔχθραν ἐπελθόντων, ὑπότρομος καὶ περιδεὴς εἰς τὸν τῆς θεοῦ Σοφίας γενόμενος νεὼν, οὐδ’ οὕτω σώζεσθαι ἐπείθετο, ἀλλὰ φιλοψυχῶν πολλὰ, τὴν ἐσθῆτα ἀποδὺς, σχῆμα μοναχῶν περιεβάλετο, οὕτως οἰόμενος μόλις ἑαυτῷ τὴν σωτηρίαν ἐκπορίσειν· τοσοῦτον ἐξεπέπληκτο ταῖς ἀπειλαῖς καὶ τὰς φρένας κατεσείσθη. ὁ μέγας δὲ δοὺξ ἐπεὶ πύθοιτο πᾶσαν κατὰ νοῦν τὴν κακουργίαν ἀποβᾶσαν, ἐκ τοῦ Ἱεροῦ ἐπανελθὼν, αὐτίκα πρὸς τῆς τοῦ θεοῦ Σοφίας τὸν νεὼν ἀφῖκτο, καὶ τὸν μέγαν λογοθέτην εὑρηκὼς τὰ μοναχῶν ἠμφιεσμένον, ἐκόπτετο πολλὰ καὶ τὴν χηρείαν ἀπωδύρετο τῆς θυγατρὸς καὶ ἀπαραμύθητα ἐπένθει. λογοθέτης δὲ ὁ μέγας πολλοῖς παρεμυθεῖτο λόγοις, οὐδὲν καινὸν συμβεβηκέναι φάσκων, εἰ τῶν ἀνθρωπίνων ἀεὶ πραγμάτων ἄλλοτε ἄλλως φερομένων καὶ ἀστατούντων, νῦν μὲν βελτιόνων, νῦν δὲ χειρόνων ἐπειράθη καὶ αὐτός· καὶ ἐδόκει τὸ πολὺ τῆς λύπης διὰ τὴν ἐκείνου παραμυθίαν ἀποτίθεσθαι. [20]

2 498 ὕστερον δὲ ὀλίγῳ πρὸς τὴν τῆς παμμακαρίστου μονὴν ὁ μέγας ἀφῖκτο λογοθέτης, τῆς βασιλίδος κελευούσης· φωραθεὶς δὲ διαδιδράσκειν μέλλων καὶ τὰ μοναχῶν ἀπαμφιέννυσθαι,

εἰς δεσμωτήριον ἐνεβλήθη. οὕτω μὲν οὖν καὶ τοῦτον ἀπεσκευάσατο ὁ μέγας δοὺξ, μεγάλα μὲν πρὸς τὸν Καντακουζηνοῦ συναράμενον τοῦ βασιλέως πόλεμον, ἀξίων δὲ ἀπολελαυκότα παρ' ἐκείνου ἀμοιβῶν, ἧς ἐπήγαγεν ἀμυθήτου φθορᾶς ὁ πόλεμος Ῥωμαίοις. πα′. Βασιλεὺς δὲ ὁ Καντακουζηνὸς πυθόμενος, ὡς βασιλὶς πρεσβείαν ποιοῖτο πρὸς Ὀρχάνην ἐπὶ συμμαχίᾳ, πέμψας καὶ αὐτὸς ἔπραττεν, ὅπως αὐτῷ μᾶλλον, καὶ μὴ Βυζαντίοις πρόσθοιτο. καὶ εἵλετο Ὀρχάνης τὴν πρὸς Καντακουζηνὸν τὸν βασιλέα μᾶλλον συμμαχίαν, καὶ πέμψας Χατζὴν τὸν εὐνοῦχον, ἐτέλει τὰς σπονδάς. ὄντος δὲ οὐ μακρὰν αὐτοῦ, ἀλλὰ τῆς ἐκ Παφλαγονίας ἄχρι Φρυγίας παραλίου ἄρχοντος, ῥᾳδίως μετεπέμπετο Καντακουζηνὸς ὁ βασιλεὺς τὴν συμμαχίαν ἡνίκα ἔδει· ὃ καὶ μάλιστα ἐκάκωσε τὰ πράγματα Ῥωμαίων. ὡς ἐπιπλεῖον γὰρ, καὶ βασιλέως μὴ δεομένου, περαιούμενοι οἱ Πέρσαι τὰς μήπω βασιλεῖ προσχωρησάσας πόλεις ἐκάκουν ὡς πολεμίας. τότε δὲ ἐκ τῆς Ὀρχάνη στρατιᾶς ἔχων συμμαχίαν, ταῖς πρὸς τὸν Πόντον πόλεσιν ἐπεστράτευσε καὶ εἶλε πάσας πλὴν Σωζοπόλεως. εἶλε δὲ καὶ τὴν ἐν τῇ Δέρκῃ τῇ λίμνῃ πόλιν καὶ φρούριόν τι ἕτερον οὐ μακρὰν Βυζαντίου, Ἐμπυρίτην προσαγορευόμενον· εἶτα ἀνέστρεφεν εἰς τὴν οἰκείαν. [20]

2 499 ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους καὶ Μανουὴλ ὁ νεώτερος τῶν βασιλέως υἱῶν Βερῥοίᾳ ἐνδιατρίβων, ὄναρ ἔγραφεν ἰδεῖν τοιοῦτον. ἐδόκει ἐπὶ κλίνης αὐτὸς ἑστάναι· βασιλέα δὲ τὸν πατέρα τήβεννον ἔχοντα καὶ χιτῶνα περιπόρφυρα καὶ ἱερατικὸν ἐπιτραχήλιον χρυσοῦν, πρὸς αὐτὸν ἐλθεῖν, δύο δὲ ἑτέρους ἑκατέρωθεν αὐτῷ παρέπεσθαι, ὧν ἄτερος μὲν οὐ γνώριμος ἦν, εἶχε δὲ τὸ προφήτου Ἠσαΐου βιβλίον ἀνεῳγμένον· Λαντζαρέτος δὲ ὁ δεύτερος τὸ βασιλέως ξίφος εἶχεν ἐν χερσί. βασιλέα δὲ κηρὸν αὐτῷ παρεσχημένον καὶ σφραγῖδα, ἄμφω ἐρυθρὰ, „σφράγισον" πρὸς τὸν υἱὸν εἰπεῖν. τοῦ δὲ σφραγίσαντος, ζῶντα λέοντα ἐντυπωθῆναι τῷ κηρῷ, ἄστρον λαμπρότατον τῷ δεξιῷ κατέχοντα ποδὶ καὶ πρὸς τῷ ὤμῳ ἕτερον μικρὸν ἔχοντα ἐγκεκολαμμένον ἄστρον. βασιλέα δὲ εἰπεῖν „ἀνάστησον αὐτόν." ἀναστήσαντος δὲ τοῦ υἱοῦ, τὸν τὸ βιβλίον Ἠσαΐου κατέχοντα εἰπεῖν, „ὁ θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου, ὡς δόξαν μονοκέρωτος αὐτοῦ ἔδεσθαι ἔθνη ἐχθρῶν αὐτοῦ, καὶ ταῖς βολίσιν αὐτῶν κατατοξεύσει καὶ τὰ πάχη αὐτῶν ἐκμυελιεῖ. ἀνακλιθεὶς ἀνεπαύσατο ὡς λέων καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν; οἱ εὐλογοῦντές σε εὐλογημένοι, καὶ οἱ καταρώμενοί σε κεκατήρανται." ταῦτα δὲ ἐδόκει τῷ βιβλίῳ ὄντα ἐγγεγραμμένα ἀναγινώσκειν. βασιλεὺς δὲ αὖθις τῷ υἱῷ προσέταττε σφραγῖσαι. [20]

2 500 σφραγίσαντος δὲ, πάρδαλις ἐξῆλθε ζῶσα, καὶ χάρτην εἶχε θατέρῳ τῶν ποδῶν, ᾧ ἐνεγέγραπτο, ἰδοὺ θηρίον ἕτερον ὡσεὶ πάρδαλις, καὶ ἐξουσία ἐδόθη αὐτῷ. κελεύσαντος δὲ βασιλέως τῷ κατέχοντι τὸ βιβλίον τοῦ θηρίου τὴν προφητείαν λέγειν, τὰ ἴσα εἶπε. βασιλεὺς δὲ καὶ τρίτον ἐκέλευε σφραγῖσαι τῷ υἱῷ· καὶ σφραγίσαντος, ἐξῆλθε γαλῆ ζῶσα καὶ αὐτὴ, τὴν γλῶτταν δὲ τῶν ὀδόντων προβεβλημένη, ἐδόκει λείχειν τὴν γῆν. τοῦ βασιλέως δὲ υἱοῦ εἰς ὕψος αἴροντος, ἡ γλῶσσα τῆς γαλῆς μηκύνεσθαι ἐδόκει καὶ τὴν γῆν ὡσαύτως περιλείχειν. ὁ τὸ βιβλίον δὲ κατέχων, βασιλέως κελεύοντος, τὴν προφητείαν λέγειν· „ἰδοὺ θηρίον" εἰπεῖν „ἕτερον, καὶ εἶπον αὐτῷ· ἀνάβηθι, φάγε σάρκας πολλάς." μετὰ τοῦτο δὲ ὁ βασιλεὺς σφραγῖδα πράσινον ἑτέραν παρεῖχε τῷ υἱῷ καὶ ἐκέλευε ταύτῃ σφραγίζειν τὸν κηρόν· καὶ σφραγίσαντος, ἐξῆλθε πελαργὸς ζῶν, σκύφον ἔχων ὑέλινον τῷ ποδί· ἐδόκει δὲ ὁ σκύφος ὄξος ἔχειν. ὁ τὸ βιβλίον δὲ κατέχων εἶπεν „ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος· ὄψονται εἰς ὃν ἐξεκέντησαν." αὖθις δὲ ὁ τοῦ βασιλέως υἱὸς ἐσφράγισε κελευσθείς· καὶ ἱπποκένταυρος ἐξῆλθε, τῇ δεξιᾷ χειρὶ δόρυ κατέχων. ὁ δὲ τὰς προφητείας λέγων „ἰδοὺ καὶ ἕτερον θηρίον" εἶπεν „ἔκθαμβον καὶ περισσῶς ἰσχυρόν." μετὰ τοῦτο δὲ ὁ βασιλεὺς „εὐλογητὸς ὁ θεὸς ἡμῶν" εἶπε „πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. δόξα σοι, ὁ θεὸς, ὅτι ζῶντες εἴδομεν τὰς προφητείας ἀποβάσας. [20]

2 501 “ ἐδόκει δὲ κελεύειν τῷ υἱῷ συγκρύπτειν τὰ ζῶα. τὰ δὲ εὐθὺς ἐδόκουν σφραγῖδες γεγενῆσθαι ἐκ κηροῦ, ἃς ὡς ἐνῆν συγκρύπτων ταῖς χερσὶ, μετὰ βασιλέως ἐξῄει τοῦ πατρὸς, τὸ ἱερατικὸν ἐπιτραχήλιον ἀποθεμένου· ἐν τούτοις δὲ τοῦ ὕπνου ἀποστῆναι. τοιαῦτα μὲν ἡ ὄψις τῷ βασιλέως υἱῷ ἐδήλου· περὶ οὗ δὲ ἦν, οὐδέπω μέχρι νῦν ἐγένετο φανερόν. ταῦτα μὲν οὖν ὁ βασιλέως υἱὸς πρὸς τὸν πατέρα ἔγραφεν ἑωρακέναι κατὰ τοὺς ὕπνους. βασιλεὺς δὲ ὀλίγον Διδυμοτείχῳ ἐνδιατρίψας, σύμπασαν Ῥωμαίων, ὅσοι ὑπ’ αὐτῷ ἦσαν, στρατιὰν συναγαγὼν καὶ Περσικὴν ὀλίγην ἐπαγόμενος, ἐπεστράτευσεν αὖθις Βυζαντίῳ, καὶ πρὸς τὴν Γυρολίμνης λεγομένην πύλην ἐλθὼν, οὐκ ὀλίγον μέρος τῆς ἡμέρας διετέλεσεν. ἐκ Βυζαντίου δὲ οὐδεὶς ἐξῆλθε τῶν πυλῶν, ἀλλ’ ἐπὶ τῶν τειχῶν ἦσαν παρατεταγμένοι, ὡς ἀμυνούμενοι, ἂν ἐπίωσι. δοὺξ δὲ ὁ μέγας μόνος ἅμα ὀλίγοις πρὸ τῶν πυλῶν ἔστη ἐξελθών. γνωρίσας δὲ ὁ βασιλεὺς, ὡς ἐκεῖνος εἴη, ἔπεμπε τοὺς διαλεξομένους. ὁ δ’ εἰσῄει πρὸς τὴν πόλιν, αἰσθόμενος ὡς ἐγνωρίσθη, καὶ οἱ πρὸς αὐτὸν ἐρχόμενοι ἀνέστρεφον. βασιλεὺς δὲ, ἐπεὶ περὶ δείλην ἡ ἡμέρα ἤδη ἦν, παρὰ τὴν τῆς Καμήλου καλουμένην γέφυραν ἐστρατοπεδεύσατο ἐλθών· καὶ εἰς τὴν ὑστεραίαν ὀλίγοι μὲν εἰς τὸ στρατόπεδον μετὰ βασιλέως ὑπελείποντο, τὸ πολὺ δὲ τῆς στρατιᾶς καὶ Ῥωμαίων καὶ Περσῶν ἐτράποντο ἐπὶ λεηλασίας. καὶ Ῥωμαῖοι μὲν βοσκήματα καὶ ἄλλην λείαν ἤλαυνον, τὸ Περσικὸν δὲ ἠνδραπόδιζον καὶ τοὺς ἀνδρώπους. καὶ ἦν οὐ τοῖς πάσχουσι μόνον τὸ κακὸν ἀπαραμύθητον, ἀλλὰ καὶ βασιλεῖ καὶ τοῖς συνοῦσιν ἅπασι Ῥωμαίοις ἔλεος δεινὸς εἰσῄει, τοιαῦτα τῶν ὁμοφύλων δυστυχούντων· ἀναγκαίως δὲ τοῦ πολέμου εἴχοντο. [25]

2 502 πράττειν γὰρ ἑτέρως οὐκ ἐνῆν, τῶν ἐν Βυζαντίῳ τὴν εἰρήνην οὐ παραδεχομένων. πβ′. Οἱ ἐν Γαλατᾷ δὲ τῷ φρουρίῳ ὄντες Λατῖνοι, ὁρῶντες μὲν τὴν ὑπὸ τοῦ ἐμφυλίου πολέμου τοῖς Ῥωμαίοις ἐγγινομένην ἀμύθητον φθορὰν, ἀγνοοῦντες δὲ, εἰ μᾶλλον οἱ ἐν Βυζαντίῳ, ἢ Καντακουζηνὸς ὁ βασιλεὺς παρέχεται τὰς αἰτίας τοῦ πολέμου, καὶ τοῖς μὲν ἐν Βυζαντίῳ συνόντες ὁσημέραι καὶ πολλὰ Καντακουζηνοῦ τοῦ βασιλέως ἀκούοντες κατηγορούντων, ὅτι βασιλεύειν ἐπιθυμήσας τοῖς βασιλέως ἐπιβουλεύσειε παισὶ, πατριάρχης δὲ μετὰ τῶν ἐπιλοίπων ἀντισταίη καὶ κωλύσειε, μὴ τὸν παῖδα διαφθείρειν πολεμήσας, ἢ οὐδὲν ἂν ἐκεῖνον ἐκώλυε πάλαι διεφθάρθαι, Καντακουζηνοῦ δὲ τοῦ βασιλέως οὐ μόνον τὴν πρὸς βασιλέα τὸν Ἀνδρόνικον ἐννοοῦντες σύμπνοιαν, ἀλλὰ καὶ τὴν προσοῦσαν ἐπιείκειαν καὶ ἡμερότητα, καὶ τὸ πᾶσιν ἑαυτὸν παρέχεσθαι ἡδύν τε ἐν ὁμιλίαις καὶ φιλότιμον πρὸς τὰς εὐεργεσίας καὶ τῆς εἰς αὐτὸν εὐνοίας τῶν φίλων μνημονευτικὸν, καὶ νομίζοντες, οὐκ ἂν οὕτω ῥᾳδίως περὶ βασιλέα τὸν φίλον ἠγνωμονηκέναι, πιστεύειν μὲν οὐκ εἶχον τοῖς αὐτοῦ κατηγοροῦσι τὰ τοιαῦτα, οὔτε μὴν παντάπασιν ἀπιστεῖν τοῖς θρυλλουμένοις οὕτως ὑπὸ πολλῶν· διὰ δὴ ταῦτα περὶ πλείστου τιθέμενοι σαφές τι περὶ τοῦ παρὰ Ῥωμαίοις κεκινημένου πολέμου γνῶναι, δεῖν ἔγνωσαν, ἐπεὶ ἐγγὺς ἦν ἐστρατοπεδευμένος, πέμπειν πρὸς αὐτόν τινας, οἳ διαλεξόμενοι τὰς αἰτίας εἴσονται σαφῶς, ἐξ ὧν ὁ πόλεμος κεκίνητο. [5]

2 503 καὶ πέμπουσι δύο τινὰς, τῆς τῶν μενουρίων τάξεως μοναχοὺς, συνετοὺς μὲν καὶ ἄλλως, οὐ μὴν ἀλλὰ καὶ σοφίας τῆς παρὰ Ῥωμαίοις εἰς ἄκρον ἐληλακότας καὶ τὰ Ἀριστοτέλους κάλλιστα ἐξησκημένους. ἦν δὲ ὁ μὲν ἕτερος αὐτῶν ἐκ Σαβωΐας τῆς πατρῴας οἰκίας Ἄννῃ τῇ βασιλίδι, τῶν μενουρίων ἡγούμενος· διὸ καὶ τότε πρὸς βασιλέα παρὰ τῶν ὁμοφύλων ἐπέμφθη, ἵν’ ὡς μάλιστα τὰς αἰτίας ἐξετάσῃ τοῦ πολέμου, τῇ πρὸς βασιλίδα τὴν Ἄνναν οἰκειότητι οὐ μόνον βασιλεῖ μὴ χαριζόμενος, ἀλλὰ καὶ ἀντιλέγων καὶ ἀπελέγχων, ὅσα δυνατά· ὁ δὲ λοιπὸς τῶν ἐξεταζομένων ἀκροατὴς ἐσόμενος μόνον ἥκει, ἵνα μὴ ἐκεῖνος αὖθις χαριζόμενος ἑαυτῷ, ἀποκρύπτειν ἐθελήσῃ τἀληθῆ. ἐλθόντες δὲ εἰς τὸ στρατόπεδον καὶ βασιλέα προσαγορεύσαντες, ἥκειν μὲν ἔφασαν καὶ ὁμιλίας ἕνεκα καὶ συντυχίας τῆς πρὸς αὐτὸν, οὕτως ἐγγὺς ἐστρατοπεδευμένου. τὸ μάλιστα δὲ πεῖσαν εἶναι ἀφικέσθαι, ὅτι χρόνον ἤδη συχνὸν τοῦ πρὸς ἀλλήλους Ῥωμαίοις πολέμου τουτουΐ κεκινημένου καὶ διαφθειρομένων ὁσημέραι τῶν πόλεων

ὑπ᾽ ἀλλήλων στασιαζόντων καὶ τῆς ἄλλης χώρας ὑπὸ Ῥωμαίων καὶ βαρβάρων τῶν κατατρεχόντων καὶ πλείστων καὶ ἀνηκέστων τελουμένων καὶ πολλῶν καθ᾽ ἡμέραν κτεινομένων καὶ ἐξανδραποδιζομένων, οὔτε λύσις τῶν κακῶν οὐδεμία ἐξευρίσκεται, οὐδ᾽ αὐτὸ τοῦτο ἔξεστι τἀληθὲς μαθεῖν, ὅθεν τε ἤρξατο ὁ πόλεμος τὸ πρῶτον κἀκ τίνων τῶν αἰτίων οὔπω μέχρι νῦν καταλυθῆναι ἠδυνήθη, ἀλλ᾽ οὕτως ἔπεισι πάντα ὥσπερ φλὸξ καταναλίσκων. [25]

2 504 καίτοι γε ἀκηκοέναι ἐκ πολλῶν, ἄλλων ἄλλως ὡς ἕκαστος ἀπεχθείας ἢ εὐνοίας πρὸς ὑμᾶς τοὺς βασιλέας ἔχουσι διηγουμένων· οἷς οὐ δίκαιον πιστεύειν κεκρικέναι, τοῖς σφετέροις αὐτῶν πάθεσι συμμεταβάλλεσθαι ἀξιοῦσι καὶ τὰ πράγματα. διὸ καὶ δεῖσθαι μάλιστα αὐτοῦ αὐτὸν ἐξηγήσασθαι, ὡς ἔσχεν ἕκαστα σαφέστατά τε εἰδότα τῶν ἄλλων μᾶλλον καὶ τἀληθὲς οὐ βουλησόμενον ἀποκρύπτειν, οἷα δὴ ἀληθείας τε ἐχόμενον, ὥσπερ ἀκούομεν, ἐξαρχῆς, ἄλλως τε καὶ πολλῶν ὄντων τῶν δυνησομένων ἀπελέγχειν, ἂν φαίνηται μὴ λέγειν ᾗρημένος τἀληθῆ. βασιλεὺς δὲ οὐ τοῦ παρ᾽ αὐτὸν ἀφῖχθαι μόνον, ἀλλὰ καὶ τῆς αἰτήσεως ἐπῄνει καὶ χάριτας οὐ τὰς τυχούσας ὡμολόγει. πάλαι γὰρ ἔφασκεν ἐπιθυμεῖν τῶν πρὸς ἀλήθειαν, ἀλλ᾽ οὐ πρὸς ἔριν καὶ φιλονεικίαν ἀκούειν βουλησομένων. πρὸς γὰρ τοῖς ἄλλοις οἷς ἐπήνεγκεν ὁ πόλεμος αὐτῷ κακοῖς καὶ τοῦτο τῶν ἐπαχθῶν ἡγεῖσθαι, τὸ μηδέποτε συνετῶν τινων ἀκροατῶν τυχεῖν, οἳ δικάσουσιν αὐτῷ περὶ τοῦδε τοῦ πολέμου. νυνὶ δὲ αὐτοῖς κατὰ τύχην ἀφιγμένοις παρέχεσθαί τε δεομένοις, ὧν αὐτὸς τυχεῖν ἐν μεγίστης εὐχῆς ἦγε μέρει, ἄλλως τε καὶ δυναμένοις τόπον δικαστῶν κατέχειν παρ᾽ αὐτῷ, οὐ μόνον διὰ τὴν σοφίαν καὶ τὴν σύνεσιν, ἀλλ᾽ ὅτι καὶ ἐπ᾽ αὐτῷ τούτῳ ἥκοιεν, ἵν᾽ ἐκ τῶν λεγομένων τἀληθῆ περὶ τοῦ πολέμου γνοῖεν, ἥδιστά τε ἅπαντα αὐτὸν ἐκθήσεσθαι καὶ χάριν εἰδήσειν τῆς αἰτήσεως. [20]

2 505 ἐδεῖτό τε αὐτῶν, μηδὲν ὑποστειλαμένους ἐξελέγχειν, ἂν φαίνηται ἐπιορκῶν καὶ ἀδικῶν καὶ ἢ τοῖς βασιλέως παισὶ τοῦ φίλου ἐπιβουλεύων, ἢ τοῦ πολέμου αἴτιος καὶ τῆς Ῥωμαίων ἀμυθήτου φθορᾶς γεγενημένος. ἀρξάμενός τε ἀπ᾽ ἀρχῆς εὐθὺς διηγεῖτο ἕκαστα, τήν τε αὐτοῦ καὶ βασιλέως Ἀνδρονίκου εὔνοιαν καὶ φιλίαν πρὸς ἀλλήλους ἀκριβῆ, καὶ ὡς μετὰ τὴν ἐκείνου τελευτὴν πολλὴν πρόνοιαν αὐτὸς ποιήσαιτο, οὐ τῶν βασιλέως μόνον παίδων καὶ γυναικὸς τῆς βασιλίδος, ἀλλὰ καὶ τῆς Ῥωμαίων ὠφελείας, οὐ χρήματα μόνον ἕτοιμος ὑπὲρ ἐκείνων ἀναλίσκειν ὧν, ἀλλὰ καὶ ζωὴν τὴν φίλην, εἰ καιρὸς καλοίη, ῥᾷστα προησόμενος· ὅπως τε ὑπὸ παρακοιμωμένου ἐπιβουλευθείη οὐδεμιᾶς αἰτίας ἕνεκα, ἢ φθονήσαντος αὐτῷ καὶ φθείρειν διανοηθέντος, ἵν᾽ αὐτὸς ἄρχῃ τῶν πραγμάτων· καὶ ὡς πατριάρχην καὶ τοὺς ἄλλους ἐξαπατήσειε, ψεύδη πλασάμενος καὶ συκοφαντίας, ἃ οὐδὲ ἐνεθυμήθη· καὶ ὡς ἐκεῖνοι τῶν ἰδίων ἕνεκα, ὡς ᾤοντο, διαφορῶν, σαφέστατα εἰδότες, ὅτι ψεύδονται καὶ συκοφαντοῦσιν, ὑπὲρ βασιλίδος δῆθεν καὶ τῶν παίδων τὸν πόλεμον κινοῖεν πολλὰ ἐξαπατήσαντες· καὶ οἵαν ἀγνωμοσύνην καὶ ἀπανθρωπίαν οὐ περὶ αὐτὸν μόνον καὶ μητέρα καὶ τοὺς οἰκείους ἐπιδείξαιντο, ὕβρεσιν ἀτόποις καὶ φαύλοις προσηκούσαις καὶ ἀνελευθέροις χρησάμενοι ἀνθρώποις, καὶ τὸν οὐδ᾽ ἐν ἐσχατιαῖς γῆς ἀγνοούμενον αὐτοῦ πλοῦτον εἰς ἀξιόχρεων οὐδὲν, ἀλλ᾽ εἰκῇ καὶ μάτην διαφθείραντες, ἀλλὰ καὶ περὶ τοὺς φίλους καὶ τοὺς ὁπωσδήποτε ἐπιτηδείους· καὶ ὅσους αὐτῶν ἀπέκτειναν, τοὺς δὲ ἐν δεσμωτηρίοις ἔχουσιν ἄχρι νῦν, μεγάλῃ δυσπραγίᾳ καὶ δεσμοῖς ἀφύκτοις προσταλαιπωροῦντας· καὶ ὡς κοινοὶ πολέμιοι φανεῖεν αὐτοῦ τε καὶ τῶν παρὰ Ῥωμαίοις ἀρίστων πάντων, οὐ μόνον ὅσον ἐν εὐγενέσιν ἦν, ἀλλὰ καὶ μονάζουσι καὶ ἐπισκόποις, ἔτι δὲ καὶ στρατιώταις καὶ τοῖς τῶν πολιτειῶν ἑκάστης πόλεως προέχουσιν. [10]

2 506 ὧν δὴ πάντων ἔφασκεν αὐτοῦ διὰ τὴν περισχοῦσαν τοὺς Ῥωμαίους συμφορὰν ἀμνημονοῦντος καὶ τιθεμένου παρ᾽ οὐδὲν, καὶ οὐχ ἅπαξ, οὐδὲ δὶς καὶ τρὶς, ἀλλὰ καὶ πολλάκις τοσαυτάκις ἐξαρχῆς τε εὐθὺς καὶ μέχρι νῦν πρεσβείας ποιουμένου καὶ δεομένου περὶ εἰρήνης, οὐ μόνον ἐπιεικὲς οὐδὲν ἀποκρίνασθαι ἐκείνους, ἀλλὰ τούς τε πρέσβεις αἰκίζεσθαι καὶ ἀτιμοῦν καὶ

δεσμοῖς κατέχειν, καὶ αὐτοῦ πολλὰς καταχέειν ὕβρεις καὶ διὰ τοιούτων τὰς ἀπολογίας ποιεῖσθαι πρὸς τοὺς πρέσβεις, πάντα μᾶλλον ἀνεκτὰ ἡγουμένους, ἢ περὶ εἰρήνης διαλέγεσθαι ἢ ἀκούειν. τῆς τε βαρβαρικῆς πρὸς τοὺς ὁμοφύλους, ἔφασκεν, ἐπαγωγῆς οὐκ ἐκεῖνον ἦρχθαι, ἀλλ᾽ αὐτοὺς, πρώτους ἐπ᾽ αὐτὸν ἐπενεγκόντας· καὶ οὐ μόνον τούτου ἕνεκα, ἀλλὰ καὶ τρόποις ἑτέροις χρῆσθαι τοῖς βαρβάροις καταναγκάζοντας. χρήματα γὰρ ἐκεῖνοι παρεχόμενοι καὶ πόλεις προϊέμενοι καὶ τὴν Ῥωμαίων ἡγεμονίαν μεγάλων καὶ θαυμασίων τινῶν ἀποστεροῦντες, οὐ Κράληνμόνον ἔπεισαν τὸν Τριβαλῶν δυνάστην, ἀλλὰ καὶ Ἀλέξανδρον τὸν βασιλέα Μυσῶν αὐτῷ πολεμίους εἶναι, ἕκαστον καθ᾽ ἑαυτὸν ἀξιόχρεων πρὸς μάχην ὄντα σύμπασιν ὁμοῦ Ῥωμαίοις, ὑφ᾽ ὧν πρὸς ἀνάγκην καὶ αὐτὸν συνελαυνόμενον, τῇ συμμαχίᾳ χρῆσθαι τῇ βαρβαρικῇ, ἄλλως τε σαφῶς εἰδότα, ὡς εἰ ἀπώσοιτο αὐτὸς, ἐκείνους χρησομένους ἐπ᾽ αὐτόν. [5]

2 507 οὐ γὰρ διὰ τὸ μὴ βούλεσθαι ἐκείνους μὴ χρῆσθαι τοῖς βαρβάροις, ἀλλὰ διὰ τὸ μὴ πείθειν δύνασθαι μᾶλλον ἐκείνῳ αἱρουμένους συμμαχεῖν. οὔπω γὰρ χθὲς καὶ πρώην πρὸς Ὀρχάνην τὸν Πέρσην πρεσβείαν πεποιημένοι, ἐδέοντο σφίσι συμμαχεῖν, πολλὰ ἐπαγγελλόμενοι παρέξειν χρήματα. τὸν δὲ μᾶλλον ἑλέσθαι τὸ ἐκείνῳ προῖκα συμμαχεῖν, ἢ πολλὰ παρ᾽ ἐκείνων χρήματα λαμβάνειν. οὐ μὴν ἀλλὰ καὶ πρότερον ὀλίγῳ τὸν Ἀσάνην Ἰσαάκιον τὸν πανυπερσέβαστον πρὸς Σουλιμᾶν τὸν Καρασῆ Φρυγίας σατράπην ἀφικέσθαι καὶ δεῖσθαι αὐτοῦ χρήματα πολλὰ λαβόντα συμμαχεῖν ἐπ᾽ ἐκεῖνον. τὸν δὲ μηδὲ αὐτὸν πεπεῖσθαι. καὶ αὖθις τὸν παρακοιμώμενον τῆς αὐτῆς ἕνεκα αἰτίας ἐπὶ τὸν αὐτὸν ἐλθεῖν· τὸν δὲ τοσοῦτον δεῆσαι πείθεσθαι αὐτῷ, ὥστ᾽ οὐδὲ θέας γοῦν ψιλῆς ἠξιωκέναι. ἐκείνη μὲν οὖν ἡ ἡμέρα καὶ οὐκ ὀλίγον τῆς νυκτὸς καὶ ἡ ἐπιοῦσα ἡμέρα καὶ νὺξ ὁμοίως ἀνάλωτο ἐν τοῖς τοιούτοις, βασιλέως μὲν τὰ κατ᾽ αὐτὸν διηγουμένου καὶ ἀποδεικνύντος ἑαυτὸν, ἀνάγκῃ πρὸς τὸν πόλεμον φερόμενον, τῶν Λατίνων δὲ ἀντιλεγόντων ἐπ᾽ ἐνίοις καὶ ἃ οἱ ἐν Βυζαντίῳ ἐγκαλοῦσιν ἐπαγόντων καὶ γυμναζόντων ὡς μάλιστα τὸν λόγον, ἵνα τἀληθὲς μὴ διαδρᾶναι δυνηθείη. [20]

2 508 πγ′. Μετὰ δὲ τὸ παύσασθαι τῶν περὶ τούτων λόγων, ὁ τῶν μενουρίων ἡγούμενος Ἀρῆγος ὠνομασμένος, δίκαιον, εἶπε, τὸν ὀρθῶς βιοῦν προῃρημένον καὶ ἀληθείας καὶ δικαιοσύνης καὶ ὀλίγον γοῦν πεποιημένον λόγον, μηδέποτε καταψηφίζεσθαι μηδενὸς, πρὶν ἂν αὐτοῦ περὶ τῶν κατηγορουμένων τὴν ἀπολογίαν ἐγγένηται ἀκούειν ποιουμένου. καὶ ὃ τῶν παλαιῶν τις βασιλέων ἔφασκε, τὸ δεῖν τὴν ἑτέραν τῶν ἀκοῶν ἀκεραίαν μάλιστα τῷ κατηγορουμένῳ διασώζειν, τοῦθ᾽ ἡγεῖσθαι εἶναι κοινὸν παράγγελμα ἀνθρώποις τὰ μέγιστα λυσιτελοῦν κατὰ τὸν βίον. ἐγὼ γάρ σου πολλὰ καὶ δεινὰ κατηγορούντων τινῶν ἀκηκοὼς, ὅτι τε τῆς θαυμαστῆς ἐκείνης βασιλέως πρὸς σὲ φιλίας ἀμνημονήσας, ἐπεβούλευσας μηδὲν ἀδικοῦσι τοῖς παισὶ, καὶ τὴν Ῥωμαίων ἄγων αὐτὸς ἡγεμονίαν ἐν ἰδιώτου σχήματι, οὐκ ἐνόμισας τὴν δόξαν ἐξαρκεῖν, εἰ μὴ ἐκείνους ἀποκτείνας τὸ κράτος ἅπαν περιστήσεις εἰς σεαυτὸν, καὶ ὡς πατριάρχου καὶ τῶν ἄλλων πρὸς τὴν ἐπιχείρησιν ἐναντίων γενομένων, ἐκμανεὶς πρὸς τὴν ἀποτυχίαν, τόν τε πόλεμον κεκίνηκας τουτονὶ καὶ τοὺς βαρβάρους ἐπήγαγες Ῥωμαίοις, καὶ τὴν εἰρήνην οὐδ᾽ ἄκροις καταδέχῃ τοῖς ὠσὶν, ἀλλ᾽ ὅτι μὴ εὐθὺς ἐξαρχῆς ὑπεῖξαν δουλωθέντες, πάντα ἀνατρέπειν καὶ διαφθείρειν ἔγνως, καὶ τῶν φόνων καὶ τῶν ἀνδραποδισμῶν οὐδένα ποιῇ λόγον, οὕτως ἐκπεπολέμωμαι καὶ αὐτὸς καὶ πρὸς τοσοῦτον ἔχθος ἐξηγόμην, ὥσθ᾽ ἡδέως ἂν εἴ τις ἀποσφάττειν ἠδυνήθη, τὴν χεῖρα κατεφίλουν καὶ πολλῶν σωτῆρα καὶ εὐεργέτην ἂν ἐνόμιζον, οὐ μόνον διὰ τὴν γεγενημένην ὑπὸ τοῦ πολέμου φθορὰν ἐν τοσούτῳ χρόνῳ καὶ τὴν μεγάλην κακοπραγίαν τῶν Ῥωμαίων, ἧς αἰτιώτατον εἶναι ὑπελάμβανον, ἀλλ᾽ ὅτι καὶ αὐτὸς ἐκ Σαβωΐας ὢν τῆς πατρῴας ἀρχῆς τῇ βασιλίδι, φίλτρον τι τρέφω πρὸς τοὺς ἐκείνης παῖδας διὰ τὴν ἐκ τοῦ γένους κοινωνίαν, καὶ πρὸς τὴν κακοπραγίαν καὶ αὐτὸς συνάχθομαι. [10]

2 509

καίτοι γε οὐ παρὰ τῶν φίλων μόνον, ἀλλὰ καὶ τῶν μάλιστά σοι πολεμούντων πολλοὺς καὶ θαυμασίους ἐπαίνους ἤκουον διεξιόντων. καὶ τήν τε φύσιν ὡς θαυμασίαν καὶ τὴν ἄσκησιν ἐξαιρόντων τὴν πρὸς τὰ καλὰ, ὡς πολλῷ τῷ μέσῳ τοὺς ἄλλους ὑπερβέβληκε Ῥωμαίους, οἷς οὐκ ἐνόμιζον προσέχειν δεῖν, τοῖς μὲν διὰ φιλίαν, τοῖς δὲ δι' ἔχθραν ἀμφοτέροις ψευδομένοις. ἔστι γὰρ ὅτε καὶ αὐτοὶ οἱ πολεμοῦντες αὔξουσι τοῖς ἐγκωμίοις τοὺς ἐχθροὺς, ἵν' ἢ ἡττηθέντες ὑπὸ μεγάλων, ἢ νικήσαντες, μέγιστα δόξωσι κατωρθωκέναι. νυνὶ δέ μοι τοὐναντίον ἅπαν περιέστη. τοῖς τε γὰρ ἐγκωμιάζουσιν ἐκείνοις οὐκ ὀλίγα μέμφομαι, ὡς τὸ πολὺ συγκρύπτουσι τῶν ἀγαθῶν, καὶ ἐμαυτῷ τῆς ἀκρισίας. καὶ δὴ μεταβαλὼν ἀντὶ ἐχθροῦ καὶ κατηγόρου τῶν τε μάλιστα γεγένημαι φιλούντων, καὶ πολλῶν καὶ θαυμασίων τῶν ἐπαίνων κρίνων ἄξιον, οὐ παρὰ Ῥωμαίοις διατρίβων, ἀλλὰ καὶ γενόμενος εἰς Ἰταλίαν, ὥσπερ μετ' ὀλίγον οἴομαι, τὴν προσοῦσαν μεγαλοφυΐαν καὶ τὴν εὐγνωμοσύνην καὶ τὴν ἐπιτηδειότητα πρὸς τὰ καλὰ κηρύξω πᾶσι φανερῶς. [5]

2 510 περὶ μὲν οὖν τῶν κατὰ τὸν πόλεμον ἁπάντων ὡς εὐθὺς ἐξαρχῆς ἄχρι νῦν οὐδεμίαν πρόφασιν αὐτὸς παρέσχες, ἀλλ' ἄκων ἐπὶ ταῦτα πρὸς τῶν πολεμούντων συνωθῇ, πέπεισμαί τε ἀκριβῶς, καὶ πρὸς ἄλλους ὑπὲρ σοῦ διαλεχθείην ἂν αὐτός. ἐπεὶ δ' αὐτὸς ἐκέλευσας περὶ πάντων, ὧν ἂν θέλοιμεν, πυνθάνεσθαί σου ἀδεῶς, τί περὶ τῆς εἰρήνης νῦν διανοῇ; ἆρ' ἑτοίμως ἔχεις πρὸς αὐτὴν, εἴ τινος ἐπιεικοῦς ἀπολογίας τύχοις, ἢ πρὸς τὴν ἐκείνων ἀγνωμοσύνην παντάπασιν ἀπέγνως πρὸς τὰς διαλύσεις καὶ αὐτός;" βασιλεὺς δὲ αὐτὸν τῆς τε παῤῥησίας ἐπαινέσας καὶ τῆς περὶ τὰ πράγματα ἀδόλου διαίτης καὶ δικαίας, καὶ ἀντιφιλεῖν αὐτὸν καὶ αὐτὸς εἰπὼν διὰ τὴν προσοῦσαν σύνεσιν καὶ τὴν εὐφυΐαν τὴν πρὸς τὰ καλὰ, εἶτα ἀπεκρίνατο καὶ περὶ τῆς εἰρήνης, ὡς ἐπ' ἐκείνοις εἴη τοῖς πολεμοῦσι καὶ ἡ τοῦ πολέμου καὶ ἡ τῆς εἰρήνης αἵρεσις. αὐτόν τε γὰρ συνθήσεσθαι ῥᾷστα πρὸς τὰς διαλύσεις, ἂν ἐθέλωσιν ἐκεῖνοι, καὶ πολεμήσειν κατὰ δύναμιν, ἂν ἐκεῖνοι τὰ δίκαια μὴ θέλωσι ποιεῖν. ἐκεῖνοι γὰρ πρότεροι πολέμου ἦρξαν διαβαλόντες καὶ συκοφαντήσαντες, καὶ τήν τε μητέρα ὀλίγου δεῖν ἀπέκτειναν αὐτοχειρίᾳ, ἐν δεσμωτηρίῳ νοσοῦσαν προνοίας ἀξιώσαντες μηδεμιᾶς, καὶ τὸν υἱὸν οὔπω δώδεκα ἔτη γεγονότα καὶ μηδὲν αὐτοὺς ἠδικηκότα, διὰ τὴν πρὸς ἐμὲ ἀπέχθειαν ὑπὸ δεσμοῖς κατέστησαν τοσοῦτον χρόνον, καὶ τοὺς φίλους ἅπαντας διέφθειραν καὶ τοὺς οἰκείους, καὶ οὐδὲν ἀπέλιπον παροινίας, οὐδὲ ὕβρεως. [5]

2 511 ἐῶ γὰρ λέγειν τὴν τοσούτου πλούτου διαρπαγὴν ἐμοῦ τε καὶ τῶν συγγενῶν, οὓς ἔδει, τοσαύτην κακίαν συνειδότας ἑαυτοῖς καὶ ὡς τῆς ἀμυθήτου φθορᾶς Ῥωμαίων αἰτιώτατοι γεγένηνται, ἔλεον τῶν ὁσημέραι διὰ τὴν αὐτῶν κακίαν καὶ μοχθηρίαν λαβόντας κτεινομένων, πρώτους τῇ εἰρήνῃ προσδραμεῖν καὶ τὸν πόλεμον σπουδάζειν καταλύειν. ἐπεὶ δ' ἐκείνοις οὐδενὸς ἑτέρου μέλει, ἢ τοῦ τῶν πραγμάτων μόνον ἄρχειν, ἄν τινα περιλειφθῶσι, τῶν δ' ἀρχομένων οὐδεμίαν πρόνοιαν ποιοῦνται, ὥσπερ ἐξαρχῆς αὐτὸς ὑπὲρ τῆς κοινῆς σωτηρίας πάντα ἐπραγματευόμην, οὕτω καὶ νῦν, ἃ πᾶσι μέλλει κοινῇ συνοίσειν, πάντα ἐρῶ. ἐξέσται δὲ αὐτοῖς, ἢ αἱρεῖσθαι τὰ βελτίω, ἂν πρόνοιάν τινα ποιῶνται τοῦ κοινοῦ, ἢ τὸν πόλεμον ἀσπάζεσθαι, ἂν τῶν ἄλλων πάντων, ἃ νομίζουσιν αὐτοῖς ἰδίᾳ διαφέρειν, προτιμῶσι. φημὶ τοίνυν, ὡς ἐὰν μὲν ἐθελήσωσι βασιλέα δέχεσθαι καὶ τοῖς παισὶ συνάρχοντα βασιλέως, οὐδ' αὐτὸν πολυπραγμονήσειν μηδὲν περὶ τῶν κατὰ τὸν πόλεμον γεγενημένων, ἀλλ' ἀμνηστίαν τε αὐτοῖς παρέξειν τῶν κακῶν, καὶ τῶν ἡρπασμένων μηδενὸς ἀποστερήσειν, ἄν τε τῶν οἰκείων ὦσιν ἢ τῶν φίλων ἢ τῶν συγγενῶν. ἔτι τε οὐδ' ὧν αὐτοῖς ἡ βασιλὶς παρέσχετο κατὰ τὸν τοῦ πολέμου χρόνον, οὔτε τῶν τιμῶν, ἂν δοκῶσι παρ' ἀξίαν, οὔτε τῶν κτήσεων, εἴτε ἐκ τῶν δημοσίων ἦσαν, ἢ τῶν ἐμοὶ προσηκουσῶν· ἀλλὰ πάντα στέργειν καὶ μηδεμίαν αὐτοῖς μηδέποτε βλάβην ἐπάγειν, ἀμυνόμενον τῶν κατὰ τὸν πόλεμον κακῶν. [5]

2 512

εἰ δὲ τοῦτ' αὐτοῖς μήτε δίκαιον εἶναι φαίνεται, μήτε ἀνεκτὸν, πάντα ἐπιτρέψομεν τῇ δίκῃ. χρήσομαι δὲ οὐχ ἑτέροις δικασταῖς τισιν, ἀλλ' αὐτῇ βασιλίδι καὶ πατριάρχῃ καὶ τῶν τε μοναχῶν καὶ ἐπισκόπων τοῖς λογάσι καὶ τῶν Ῥωμαίων, εἴ τινες ἔτι κατελείφθησαν, τοῖς ἀρίστοις, οὐ μὴν ἀλλὰ καὶ τῶν ἑκασταχοῦ πολιτειῶν τοῖς συνετωτέροις. κἂν μὲν αὐτὸς ἀδικῶν καὶ ἐπιορκῶν καὶ βασιλέως τοῖς παισὶ φαίνωμαι ἐπιβουλεύων, ὥσπερ οὗτοι κατηγόρησαν, μηδεμίαν ἄλλην εἶναι τῆς ἀδικίας τιμωρίαν, ἢ θάνατον ἄτιμον καὶ ἀκλεᾶ. εἰ δ' αὐτοὶ τὴν τοιαύτην καταδίκην παραιτοῦνται, ἀπηνὲς εἶναι νομίζοντες ἀνθρώπου θάνατον καταψηφίζεσθαι, ἀλλ' αὐτὸς κατ' ἐμαυτοῦ, καὶ πρὶν γενέσθαι τὴν δίκην, κυρώσω τὴν ψῆφον, ἵν' αὐτοὶ μετὰ τὸ τοῖς ἀδικήμασιν ἁλῶναι μηδεμίαν περὶ τῆς τιμωρίας μέμψιν ἔχωσιν. ἂν δ' αὐτοὶ τἀναντία πάντα φαίνωνται, οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ, ἀλλὰ τῶν λεγομένων μαρτυρίας ἐναργεῖς ἐμοῦ παράγοντος, οὐ παρὰ τῶν ᾐρημένων τὰ ἡμέτερα, ἵνα μὴ χαρίζεσθαι ἐμοὶ δοκῶσιν, ἀλλ' οἷς αὐτοὶ συνεργοῖς παρὰ πάντα τὸν πόλεμον ἐχρῶντο, μᾶλλον δὲ αὐτῆς βασιλίδος καὶ πατριάρχου τοῖς πλείοσιν ἐμοὶ συμμαρτυρούντων, (οὐ γὰρ ἂν δύναιντο ἔξαρνοι γίνεσθαι πρὸς ἃ ἐμοὶ συνίσασι σαφῶς,) δίκαιον μὲν τοὺς σεσυκοφαντηκότας καὶ ἐπιβουλεύσαντας ἀδίκως καὶ τοσούτων κακῶν αἰτίους Ῥωμαίοις γενομένους, τὰ ἴσα πάσχειν, ἂν ἡττῶνται. [5]

2 513 ἐγὼ δὲ ὥσπερ ἐν τοῖς ἄλλοις, κἀν τούτοις φιλοτιμίαν τινὰ ἐπιδεικνύμενος, ἐμὲ μὲν ἡττώμενον τιμῶμαι ἀποθνήσκειν, ἂν δ' αὐτοὶ ἁλίσκωνται, μηδὲν ὑπομένειν ἀηδὲς, ἀλλ' αὐτὸ τοῦτο μόνον συκοφάνται ἀποδείκνυσθαι, ἐμὲ δὲ μετὰ τὴν νίκην βασιλέα κοινῇ ἀνακηρύττεσθαι ὑπὸ Ῥωμαίων καὶ συνάρχοντα βασιλέως τοῖς παισίν. εἰ δὲ τὸ βασιλικὴν ἐσθῆτα ἔχοντα δεδοίκασι πρὸς τὴν δίκην ἀπαντᾷν, ἢ τὸ στρατιὰν ἔχοντα ὑποπτεύουσιν εἰς Βυζάντιον ἐλθεῖν, ἐγὼ καὶ ταύτας ἰάσομαι τὰς ἀπορίας. οὐ πλείους γὰρ ἔχων εἰσελεύσομαι τῶν δέκα, τά τε βασιλικὰ ἐπίσημα ἀποθέμενος ἰδιωτικὴν μεταμφιάσομαι σκευήν. τοῦ κοινῇ γὰρ ἕνεκα λυσιτελοῦντος καὶ τοῦ Ῥωμαίους τῶν ἐκ τοῦ πολέμου δεινῶν ἀπαλλαγῆναι, οὓς ἐγὼ μάλιστα φιλῶ, κἂν οἱ συκοφάνται οὗτοι καὶ πρὸς τοῦτο διαβάλλωσι, μισεῖν φάσκοντες καὶ πολεμεῖν αὐτοῖς καὶ διαφθείρειν, οὐ μόνον τοιαῦτα, καὶ ἐπαχθέστερα δὲ πολλῷ προθύμως ὑπομένειν ἔγνωκα· ἄλλως θ' ὅτι οὐδὲ πρὸς τὴν εὐδοξίαν ἐμοὶ τοῦτο οὐδ' ὀλίγα λυμανεῖται. ἂν μὲν γὰρ ἡττώμενος ἀποθνήσκω, οὐδεμία ὄνησις ἐκ τοῦ βασιλικὴν ἐσθῆτα ἔχειν περιέσται· ἂν δὲ τῶν κατηγορούντων κρείττων φαίνωμαι, οὐδὲν λυπήσει τὸ ἀποθέσθαι πρὸς βραχὺ, μέλλοντα ὀλίγῳ ὕστερον αὖθις ἀναλαμβάνειν μετὰ πλείονος τῆς δόξης καὶ τῆς εὐφημίας καὶ τῆς ψήφου τῆς κοινῆς. [20]

2 514 οὐδὲ γὰρ οὐδὲ νυκτὸς ἑκάστης ἀποτιθέμενος ἐπὶ τῷ κατακλίνεσθαι, οὔτ' ἀνίας, οὔτε ἀδοξίας αἰσθάνομαί τινος. διόπερ οὐδὲ νῦν περὶ τῆς σκευῆς μακρὸν ποιήσομαι τὸν λόγον, ἀλλ' ὡς ἂν αὐτοῖς ἀρέσκῃ πράττειν ἕτοιμος ἐγώ. εἰ δὲ καθάπαξ ἁλόντες τῷ φθόνῳ καὶ τῷ ἔχθει τῷ πρὸς ἐμὲ, τούτων μὲν οὐδὲν ἡγοῦνται ἐξαρκεῖν, οὐδὲ ἐπ' οὐδεμιᾷ προκλήσει βασιλέα δέχονται, ἀλλὰ καθάπαξ ἀπεγνώκασι πρὸς τοῦτο καὶ πάντων μᾶλλον ἀπώλειαν καταψηφίζεσθαι αἱροῦνται, ἢ ἐμοὶ δουλεύειν ὑπομένειν, ἐκείνων μὲν οὐδένα λόγον ἐχρῆν ποιεῖσθαι οὕτω μαινομένων. τῆς δὲ κοινῆς τῶν ἄλλων σωτηρίας ἕνεκα, ἵνα μὴ δοκῶ καταπροΐεσθαι φιλοψυχῶν αὐτὸς, ἑκοντὶ αἱροῦμαι ἀποθνήσκειν. οὐδὲ γὰρ ἀποδέει τούτου τὸ τὴν ἀρχὴν ἀποθέμενον, ὅσην ἔχω, καὶ τὰς πόλεις παραδόντα καὶ τὴν στρατιὰν, αὐτὸν ἐν ἰδιώτου σχήματι ἀφανείᾳ πολλῇ συζῆν ἐν γωνίᾳ παραβύσαντά τινι. πλὴν οὐχ ἁπλῶς καὶ τοῦτο οὐδὲ λόγου τοῦ προσήκοντος ἐκτὸς, ὡς δοκεῖν τοῖς τε Ῥωμαίοις καὶ τοῖς ἄλλοις Ἕλλησι καὶ βαρβάροις, ὅτι ἀδικῶν καὶ ἐπιορκῶν καὶ μὴ δυνάμενος ἀντέχειν πρὸς τὸν πόλεμον, δείσας παρεχώρησα τῆς ἀρχῆς αὐτοῖς, τὸ ζῆν ἀκλεῶς τῆς μετ' εὐκλείας προτιμήσας τελευτῆς· ἀλλὰ πρῶτον μὲν ψήφισμα βούλομαι γενέσθαι καὶ πρόγραμμα κοινὸν τῆς τε ἐκκλησίας καὶ συγκλήτου καὶ συμπάντων κοινῇ Ῥωμαίων, ὡς οὐκ ἀδικῶν, οὐδὲ ἐπιορκῶν, οὐδὲ κακὸς περὶ τοὺς βασιλέως τοῦ φίλου παῖδας ἐλεγχθεὶς, ἀλλὰ τοῦ

κοινῇ τῆς σωτηρίας ἕνεκα ἀπέστην τῆς ἀρχῆς καὶ τοῦ λελύσθαι τοὺς ἐμφυλίους, ὑφ' ὧν διαφθείρονται, πολέμους. [5]

2 515 ἔπειτα τοὺς ἐν δεσμωτηρίοις πάντας διὰ τὴν εἰς ἐμὲ κατεχομένους εὔνοιαν ἀφεῖναι τῶν δεσμῶν, καὶ τὴν οὐσίαν ἀποδοῦναι, ὅσης ἀπεστέρησαν, καὶ πρὸς τοὺς παῖδας τῶν ἀποθανόντων ποιεῖν ὁμοίως. ἄτοπον γὰρ τῶν μὲν συμφορῶν καὶ τῶν δυστυχημάτων αἴτιον αὐτοῖς ὀφθῆναι, πρὸς δὲ τὸ πρὸς τὴν ἀρχαίαν μηδὲν φροντίσαι τύχην ἐπανελθεῖν. πρὸς τούτοις δὲ καὶ τοῖς συνοῦσι, καὶ συγκλητικοῖς καὶ στρατιώταις, καὶ τοῖς ἄλλοις τοῖς προσήκουσιν ἐμοὶ καθ' αἷμα, πρῶτον μὲν πίστεις δι' ὅρκων δοῦναι, ὡς οὐδὲν κακώσουσιν, ἀμυνόμενοι τῆς εἰς ἐμὲ εὐνοίας, ἔπειτα δὲ καὶ τούτοις ἀποδοῦναι, ἃ ἀφῄρηνται καὶ χρήματα καὶ κτήσεις. πρὸς τούτοις δὲ καὶ προνοίας ἕκαστον ἀξιῶσαι πρὸς ἀξίαν. εἰ μὲν γὰρ ἔμελλον εἶναι βασιλεὺς αὐτὸς, ἀξίως ἂν τῶν πόνων ἠμειψάμην καὶ οὐκ ἂν ἐκείνων ἐδεήθην προνοεῖν αὐτῶν· ἐπεὶ δ' ἑκὼν εἶναι παραιτοῦμαι, δίκαιον αὐτοὺς ἐν ἀσφαλείᾳ τε ὁμοῦ καὶ εὐπορίᾳ τῶν πρὸς τὸν βίον ἀπολιπεῖν. κἂν ταῦτα γένηται, ὥσπερ ἀξιῶ, τὴν βασιλείαν ἀποθέμενος αὐτὸς καὶ τὴν ἀρχὴν, καὶ τὰς πόλεις παραδοὺς, ἢ πρὸς Ἄθῳ τῷ ἱερῷ ἢ πρὸς ἑτέρῳ μέρει τῆς Ῥωμαίων γῆς, (οὐ γὰρ αἱροῦμαι ὑπερόριος εἶναι ἐφ' ἑτέρας,) ἀφανείᾳ συζήσω τὸν πάντα βίον κατ' ἐμαυτὸν διάγων, ὅπως ἂν οἷός τε ὦ. [20]

2 516 " πδ′. Τοιαῦτα μὲν βασιλεὺς πρὸς τὸν Ἀρῆγον διειλέχθη περὶ τῆς εἰρήνης. ἐκεῖνος δὲ μέχρι πολλοῦ κάτω νεύων, ἐθαύμαζε σιγῇ τὴν καλοκαγαθίαν βασιλέως καὶ ὥσπερ ἐξεπέπληκτο πρὸς τὸ μέγεθος τῶν εἰρημένων. ἔπειτα ἀνενεγκὼν, „ὡς μὲν οὐδὲν ἐνέλιπεσ" εἶπεν „οὔτε εὐγνωμοσύνης, οὔτε δικαιοσύνης ἐν τοῖς εἰρημένοις, οὐδὲ τὸν σφόδρα ἀναισχυντοῦντα οἴεσθαι δυνήσεσθαι ἀντειπεῖν. ἃ δὲ αὐτῷ περὶ τῆς εἰρήνης εἴρηται εἰδέναι βούλεσθαι, εἰ πρὸς αὐτοὺς ὡς ἐπιτηδείους μόνον διειλέχθη, ἢ εἰ βούλοιτο μηνύεσθαι καὶ τοῖς ἐν Βυζαντίῳ, εἴ πως γένοιτο κἀκείνους τῶν δεόντων σκεψαμένους τι τῶν μεγάλων συμφορῶν Ῥωμαίους ἀπαλλάττειν. βασιλεὺς δὲ ἀπαγγέλλειν τε ἐκέλευε καὶ προὔργου παντός. ἵνα δὲ μᾶλλον βέβαια δοκῇ τὰ εἰρημένα καὶ πιστὰ, ἐκέλευε καὶ γράφειν, καὶ ἐπεὶ γεγραμμένα ἦσαν πάντα, ὅσα διειλέχθη, ἐρυθραῖς ὑπεσημαίνετο ὑπογραφαῖς καὶ σφραγῖδα χρυσῆν ἐκέλευεν αἰωρεῖν, δεῖγμα τοῦ φυλάξειν τὰ ἐγγεγραμμένα βεβαίως καὶ ἀναμφιβόλως. Ἀρῆγος δὲ ἐπεὶ τὰ γράμματα εἶχεν ἐν χερσὶ, πολλὰς βασιλεῖ χάριτας ὁμολογῶν, ὡς τὰ μέγιστα εὐηργετημένος, καὶ μέλλων ἤδη ἀπιέναι, ἐδεῖτο βασιλέως ἀπαγαγεῖν τὴν στρατιάν. τὴν μὲν γὰρ εἰρήνην οὐκ ὀλίγων ἡμερῶν δεήσεσθαι πρὸς διάσκεψιν. τὴν στρατιὰν δὲ ἠρεμεῖν μὴ δύνασθαι, ἀλλὰ πάντα ἐπιέναι καὶ διαφθείρειν. [20]

2 517 εἰ δὴ αὐτὸς τὴν ἀπολογίαν περιμένων ἐνταῦθα καθεδεῖται, κινδυνεύσει μετὰ τὴν εἰρήνην ὑπολείπεσθαι οὐδὲν, περὶ οὗ ἂν δόξειε γενέσθαι ἡ εἰρήνη. βασιλεὺς δὲ τοῦτό τε καὶ εἴ τι μεῖζον ἕτερον αὐτοῦ αἰτοῦντος πρόθυμος εἶναι ἔφασκε ποιεῖν, καὶ ἐπηγγέλλετο, ὡς ἐς τρίτην ἐξ ἐκείνης, πάσης γενομένης ἐν ταὐτῷ τῆς στρατιᾶς, (διεσκέδαστο γὰρ ἐπὶ τὴν λείαν,) ἀναστήσων τὸ στρατόπεδον. οὕτω μὲν οὖν Ἀρῆγος βασιλεῖ συνταξάμενος, ἔχων καὶ τὰ γράμματα, ἀπεχώρει. καὶ γενόμενος ἐν βασιλείοις, τά τε γράμματα παρείχετο πατριάρχῃ καὶ μεγάλῳ δουκὶ, καὶ περὶ εἰρήνης διειλέχθη πρὸς αὐτοὺς, πολλὰ ἀδικήσειν φάσκων καὶ βασιλέα καὶ Ῥωμαίους, εἰ μὴ ἐπὶ μιᾷ τινι προκλήσει πεισθεῖεν διαλύεσθαι. ἐκεῖνον μὲν οὖν εὐφυῶς ἀπεσκευάσαντο, φάμενοι ὀλίγῳ ὕστερον ἀποκρινεῖσθαι περὶ ὧν ἐπρέσβευε. δοὺξ δὲ ὁ μέγας, ἐπεὶ πύθοιτο βασιλέα παρὰ Ἀρήγου εἰς τρίτην ἡμέραν ἀπάξοντα τὴν στρατιὰν, πᾶσι Βυζαντίοις πόλεμον κατήγγελλε πρὸς Καντακουζηνόν. καὶ αὐτὸς παρεσκευάζετο δῆθεν καὶ κατέλεγε τοὺς στρατιώτας, πᾶσι δὲ θείοις οἴκοις καὶ φροντιστηρίοις ἱεροῖς καὶ παντὶ γένει καὶ ἀξιώματι ἱερέων παρήγγελλε λιτὰς, ὡς τὸ θεῖον ἱλεωσομένους τοῖς τῷ ἀποστάτῃ συμβαλοῦσιν. ἐκείνην μὲν οὖν τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν πᾶσαν παρασκευαζόμενος διήγαγεν. ἐς τὴν τρίτην δὲ ἐν

ἀρίστου τῇ ὥρᾳ, ἐπεὶ πύθοιτο παρὰ τῶν σκοπῶν βασιλέα ἀπηρκότα, (ἐπλήρου γὰρ ἐκεῖνος τὰ ὑπεσχημένα,) τὰς πύλας ἀνοίξας ἐξεχεῖτο μεθ' ὁρμῆς τινος ἀσχέτου καὶ παραβόλου καὶ συνέταττε τήν τε ἱππικὴν καὶ τὴν πεζὴν δύναμιν πρὸ τῶν τειχῶν. [20]

2 518 ὡς δὲ ἐπανῆκον οἱ σκοποὶ, οὓς αὐτὸς προέπεμπε τοὺς πολεμίους δῆθεν κατασκεψομένους, καὶ ἀπήγγελλον ἅμα πρωῒ ἐκείνους οἰχομένους, ἠνιᾶτο μὲν πρὸς τὴν ἀποτυχίαν καὶ πολλὰ ἑαυτὸν τῆς βραδυτῆτος κατεμέμφετο καὶ τῆς τριβῆς καὶ ἐδυσχέραινεν οὐκ ἀνεκτῶς. πέμψας δὲ καὶ πρὸς πατριάρχην ἐμήνυεν, ὡς Καντακουζηνὸς αἰσθόμενος τὴν ἔφοδον καὶ συνιδὼν ὡς οὐκ ἂν ὑποστησόμενος τὴν δύναμιν, ᾤχετο ἀποδρὰς ἅμα πρωΐ. τί οὖν προσήκει πράττειν, φυγῇ τῶν πολεμίων χρησαμένων; πατριάρχης δὲ ἐμήνυε· „φεύγει ὁ ἀσεβὴς, μηδενὸς διώκοντος· νίκα καὶ μὴ ὑπερνίκα.“ καὶ ἐκέλευεν ἀναστρέφειν πολλῷ τῶν πολεμίων κρείττους γενομένους. καὶ ἀνέστρεφε λυπούμενος, ὅτι μὴ συμβαλεῖν ἐξεγένετο τοῖς πολεμίοις. βασιλεὺς δὲ, ἐπεὶ μὴ ἀγνοεῖν τὰ πραττόμενα ἐνῆν, πολλῶν ἐκ Βυζαντίου ὁσημέραι μηνυόντων, τό,τε Ῥήγιον εἶλεν ἐξ ἐφόδου ἐπελθὼν καὶ Ἀθύραν καὶ Δαμοκράνειαν καὶ Σηλυμβρίαν. κελεύσας δὲ Ἀπάμειαν, φρούριόν τι κατεσκαμμένον, τειχισθῆναι, καὶ στρατιὰν καταλιπὼν ἐν Ῥηγίῳ καὶ Ἀπαμείᾳ καὶ Ἐμπυρίτῃ καὶ τῇ πρὸς τῇ Δέρκῃ λίμνῃ πόλει, ὡς ἂν ταῦτά τε φρουροῖεν, ἐγγυτέρω Βυζαντίου τῶν ἄλλων ὄντα, καὶ ἐπεκδρομὰς ποιοῖντο συνεχεῖς κατὰ τοῦ Βυζαντίου καὶ λῃστείας, τὴν ἄλλην ἔχων στρατιὰν αὐτὸς ἀνεχώρησεν εἰς Διδυμότειχον· ἡ δὲ ἐν τοῖς φρουρίοις τούτοις στρατιὰ τὰ μέγιστα ἐκάκωσε Βυζαντίους, καὶ ὀλίγη οὖσα· σχεδὸν γὰρ νύκτωρ τε καὶ μεθ' ἡμέραν πάντα διέφθειρον καὶ ἐληΐζοντο, ἔχοντες καὶ Περσικὴν ὀλίγην δύναμιν ἀναμεμιγμένην μετ' αὐτῶν, οἳ πολλοὺς ἀπέκτεινον καὶ ἐξηνδραποδίζοντο καὶ πρὸς ἕω ἀπεδίδοντο ἐπὶ δουλείᾳ. [5]

2 519 καὶ σχεδὸν ἐν ὀλίγῳ χρόνῳ πάντα τὰ περὶ Βυζάντιον ἀοίκητα ὑπ' ἐκείνων ἀπεδείχθη. πατριάρχης δὲ καὶ ὁ μέγας δοὺξ εἰδότες, ὡς Ἀρῆγος ἀπαιτήσει λόγον περὶ τῆς πρεσβείας, καὶ τὴν μὲν εἰρήνην ἀναφανδὸν αἰδούμενοι ἀπαγορεύειν, τρόπῳ δέ τινι σκεψάμενοι τὸν Λατῖνον ἀπατᾷν, ἵνα μὴ δοκοῖεν ἑκοντὶ τοῖς Ῥωμαίοις αἴτιοι αὐτοὶ καθίστασθαι τοσαύτης συμφορᾶς, πρὸς βασιλέα τὸν Καντακουζηνὸν ἔγραψαν τοιάδε· „ὡς ἡμεῖς πολύν τινα λόγον περὶ τοῦ μὴ Ῥωμαίους ὑπὸ τοῦ πολέμου διαφθείρεσθαι ποιούμενοι, ὀλίγῳ πρότερον ἐπέμψαμεν πρός σε πρεσβείαν, ἅπερ αὐτὸς πρὸς τὸν περιπόθητον καὶ γνησιώτατον τῷ βασιλεῖ τὸν μέγαν δοῦκα ᾔτησας ἐπαγγελλόμενοι ποιήσειν. ταῦτα δὲ ἦν, ἀποθέμενον τὴν βασιλείαν, ἐν ἀσφαλείᾳ εἶναι καὶ μηδὲν προσδοκᾷν πείσεσθαι δεινὸν διὰ τὴν ἀγνωμοσύνην τὴν πρὸς βασιλίδα καὶ τὰς συμφορὰς, ἃς ἐπήγαγες Ῥωμαίοις πολεμῶν. σὺ δὲ, ὡς ἔοικεν, ἔτι φόνων καὶ αἱμάτων ὀρεγόμενος πλειόνων καὶ τὰς συμφορὰς τοῖς ταλαιπώροις Ῥωμαίοις αὔξειν, ἵν' ἃ προείλου ἐξαρχῆς, ἡττηθεὶς ὑπ' οὐδενὸς, εἰς τέλος δόξῃς ἀγαγεῖν, μεταβαλὼν ἀπράκτους ἀπέπεμψας τοὺς πρέσβεις, ἠρνημένος ἃ ἐφθέγξω. τότε μὲν οὖν ἀνεξέλεγκτα ἐψεύσω, φάσκων τὸν μέγαν δοῦκα εἰρηκέναι περὶ σοῦ μὴ ἀληθῆ. [20]

2 520 νυνὶ δὲ οὐδεμίαν σοι τοιαύτην ἔξεστι καταφυγὴν εὑρεῖν καὶ πρὸς ἀναβολὰς χωρεῖν τῶν εἰρημένων. τά τε γὰρ γράμματα ἐλέγξουσι τὰ σὰ ὄντα παρ' ἡμῖν καὶ ὁ πρεσβευτὴς Λατῖνος, ἀξιόχρεως ὢν πρὸς πίστιν. ἃ τοίνυν ἔγραψας αὐτὸς, ὡς ἀποθήσῃ τε τὴν βασιλείαν καὶ τὴν ἀρχὴν καὶ τὰς ἀδίκως κατεχομένας καὶ τυραννουμένας πόλεις παραδώσεις, αὐτὸς δὲ μονάζοντος βίον ζήσεις ἐν Ἄθῳ τῷ ἱερῷ ἢ ἄλλοθί που, ὅπη ἂν δοκῇ, καθήμενος, στέργομεν καὶ αὐτοὶ, καὶ οὐδὲν ἄλλο λείπεται, ἢ διδόναι προθεσμίαν, καθ' ἣν ἡμῖν τὰς πόλεις παραδώσεις. περὶ δὲ προγραμμάτων καὶ δικαιωμάτων καὶ τῶν ἐν δεσμωτηρίοις κατεχομένων, εἰ ἀπολυθήσονται, ἢ εἰ ἀποδώσομεν αὐτοῖς τὰ δικαίως ἀφῃρημένα, καὶ περὶ προνοίας τῶν σοὶ συνόντων μηδένα λόγον σὺ ποιοῦ. ἡμεῖς γὰρ ἱκανοὶ περὶ τῶν τοιούτων σκέπτεσθαι καὶ ποιεῖν, ἅττα ἂν δοκῇ λυσιτελῆ καὶ δίκαια.“ τοιαῦτα γράψαντες καὶ οἰκείαις καὶ αὐτοὶ ὑποσημηνάμενοι

ὑπογραφαῖς, τὸν Λατῖνον μεταπεμψάμενοι, πάντα, ἔφασαν, ἅ τε αὐτὸς ἠξίου καὶ Καντακουζηνὸς ἱκέτευε, πεποιηκέναι, καὶ ἐδείκνυσαν τὰ γράμματα ὑπογεγραμμένα, ὡς αὐτοῖς τῶν περὶ τῆς εἰρήνης λόγων πάντων περιειλημμένων· ἅμα δὲ καὶ παρείχοντο αὐτῷ. ὁ δὲ διαλέκτου τε τῆς Ἑλληνικῆς καὶ γραμμάτων ὢν ἄπειρος παντάπασι, τοῖς λόγοις ἀρκεσθεὶς καὶ ταῖς ὑπογραφαῖς, πολλὰς αὐτοῖς ὁμολογήσας χάριτας τῆς εὐγνωμοσύνης καὶ τῶν Ῥωμαίων τῆς κηδεμονίας, ἀπεχώρει. [20]

2 521 καὶ σπουδῇ πολλῇ πρὸς Διδυμότειχον ἦκεν ἔχων καὶ τὰ γράμματα. συντυχὼν δὲ βασιλεῖ καὶ προσφθεγξάμενος, „ἰδού σοι“ εἶπεν „εὐαγγέλια κομίζων ἥκω περὶ τῆς εἰρήνης. πάντα γὰρ, ὅσαπερ αὐτὸς ᾔτου, πατριάρχης τε καὶ ὁ μέγας δοὺξ μετὰ τῶν ἄλλων τῆς συγκλήτου κατεπράξαντο προθύμως καὶ γράμμασι καὶ αὐτοὶ τὴν διάλυσιν βεβαίαν τοῦ πολέμου μάλιστα πεποίηνται.“ παρείχετό τε καὶ τὰ γράμματα αὐτίκα. βασιλεὺς δὲ ἐπεὶ ἀνέγνω, μικρὸν ὑπομειδιάσας, „ἀνέγνωσ“ εἶπε „τὰ γράμματα, ἃ τοσαύτην ἔχων ἥνυσας ὁδὸν, ἢ ἁπλῶς οὕτω καὶ ἀπεριέργως, τῇ φίλῃ καὶ συντρόφῳ χρώμενος ἁπλότητι, μηδὲν εἰδὼς τῶν ἐγγεγραμμένων, ἦκες ἔχων;“ τοῦ δὲ μηδὲν περινενοημένον, μηδὲ φαῦλον περὶ αὐτῶν εἰπόντος οἰηθῆναι, ἀλλ’ ἀπεριέργως καὶ ἁπλῶς τοῖς τε λόγοις καὶ ταῖς ὑπογραφαῖς πεισθῆναι πατριάρχου, ὥσπερ ἂν δικαίως ἐποίει καὶ πρὸς Πάπαν, καὶ ταῖς μεγάλου δουκὸς καὶ τῶν ἄλλων τῶν ἐν τέλει, καὶ πάσῃ σπουδῇ καὶ προθυμίᾳ πρὸς αὐτὸν ἐλθεῖν, ὡς πάντων ἤδη ἠνυσμένων, ἃ αὐτὸς ἠγεῖτο περὶ πλείστου· πάντα ὁ βασιλεὺς καθ’ ἕκαστον ἐξηγεῖτο καὶ τὴν δύναμιν ἡρμήνευε τῶν γεγραμμένων. τοῦ δὲ πρὸς τὴν ἀπάτην ἀγανακτοῦντος καὶ τὴν ἐκείνων ἀναισχυντίαν καὶ τὸ κακόηθες τῶν τρόπων ἐκπληττομένου, „οὐ χρὴ θαυμάζειν,“ εἶπεν ὁ βασιλεὺς „οὐδ’ ἀνιᾶσθαι ἀπατώμενον, εἰ αὐτὸς μὲν πρὸς ἀλήθειαν εἵλετο ζῆν, ἐκείνοις δὲ ψεύδους καὶ συκοφαντίας καὶ ἀπάτης ἐμέλησε παρὰ τὸν βίον· ἀλλ’ ἐκ τούτων μάλιστα τῶν ὀλίγων καὶ περὶ τῶν ἄλλων τῶν κατὰ τὸν τοῦ πολέμου χρόνον εἰργασμένων συνορᾷν ὁποῖα ἦν. [25]

2 522 οὐδὲ γὰρ οὐδεμιᾶς ἐφείσαντο ὑπερβολῆς ἀπάτης καὶ ψεύδους εἰς δεῦρο ἐκ τῆς βασιλέως τελευτῆς, ἐξ ὧν βασιλίδα τε ἔπεισαν τὸν πόλεμον ἐλέσθαι τὴν ἀρχὴν καὶ μέχρι νῦν ἐξαπατῶντες οὐκ ἐῶσι διαλύεσθαι ἐμοί. ἐκείνοις μὲν οὖν τοιαῦτα ᾠρημένοις καὶ τὸν πόλεμον ἀνάπτουσι, θεός τε τὰς ἀμοιβὰς ἀντιμετρήσειε τῆς προαιρέσεως ἀξίας, καὶ Ῥωμαῖοι πάντες εἴσονται, ὡς οὐ δι’ αὐτὸν ὁ πόλεμος καὶ ἡ φθορὰ καὶ οἱ ἀνδραποδισμοὶ, ἀλλὰ δι’ ἐκείνους γίνεται. αὐτὸν δὲ καὶ χάριν αὐτοῖς ἐξαπατήσασιν εἰδέναι, ὅτι πρὸς ἡμᾶς ἀφικέσθαι παρεσκεύασαν. τοιαῦτα πρὸς Ἀρῆγον περὶ τῶν γραμμάτων ὁ βασιλεὺς διαλεχθεὶς, ἐτράπετο ἐφ’ ἕτερα, ἃ προσήκει φίλοις πρὸς ἀλλήλους. πε′. Ἐν ᾧ δὲ ταῦτα ἐτελεῖτο, καὶ ὁ μέγας δοὺξ ἐστράτευσε κατὰ Ἐμπυρίτου τοῦ φρουρίου καὶ πολιορκήσας ἐν τρισὶν ἡμέραις καὶ ἀποπειράσας τῶν τειχῶν, ἐπεὶ μηδὲν ἤνυε, τῶν ἔνδον εὐρώστως ἀμυνομένων, αὖθις εἰς Βυζάντιον ἀπῆρε. καὶ πρὸς τῷ Ἱερῷ γενόμενος, κατὰ τὸ στόμα τοῦ Πόντου κειμένῃ πόλει, ἐπεχείρει, ὥσπερ ἔφασκε, τοὺς κατ’ ἐμπορίαν πλέοντας ἐπὶ τὸν Πόντον πάντας φόρους ἀπαιτεῖν. τοῦτο δὲ ἦν ἀδύνατον, μὴ θαλασσοκρατοῦντα. ἐκεῖνος δὲ ἤδη συνορῶν, ὡς τὰς μὲν κατὰ τὴν ἤπειρον πάσας πόλεις ὑπεποιήσατο πλὴν ὀλίγων ὁ βασιλεὺς, ἔμελλε δὲ μετὰ μικρὸν κἀκείνας, καὶ Βυζάντιον πολιορκοίη ταῖς συχναῖς ἐφόδοις, καὶ δεδοικὼς, μὴ βασιλίς τε καὶ οἱ ἄλλοι, τὴν ἀνάγκην συνιδόντες, ὡς οὔτε στρατιᾶς δύναιντ’ ἂν ἔτι εὐπορεῖν οὔτε χρημάτων, οἷς χρώμενοι πολεμοῖεν βασιλεῖ, τρέψονται πρὸς τὴν εἰρήνην, ἐσκέψατο ἐξαπατᾷν καὶ φενακίζειν. [20]

2 523 καὶ ἀναφανδὸν ἐδημηγόρει, ὡς πόρον χρημάτων μέγιστον ἐξεύροι, ἐξ ὧν οὐ Καντακουζηνῷ μόνον, ἀλλὰ καὶ πᾶσι πολεμίοις ἀντιτάξαιτο. πᾶσι γὰρ τοῖς ὁθενδήποθεν ἐμπόροις φόρους ἐπιθήσειν πρὸς ἀνάγκην, ἐξ ὧν ἔσονται Ῥωμαίοις πρόσοδοι πολλαπλασίους τῶν πώποτε οὐσῶν. καὶ ἀφικόμενος πρὸς Ἱερὸν, ἵνα διαπλέειν μηδενὶ ἐξῇ, ἂν μὴ παρέχῃ χρήματα, ὁλκάδα μυριοφόρον ἐπ’ ἀγκυρῶν ὁρμίσας κατὰ μέσον τὸ ῥεῦμα, ὁπλίτας ἐγκαθίδρυσε πολλοὺς καὶ

ἐκέλευε χρήματα λαμβάνειν παρὰ τῶν ἐμπόρων. οἱ δ' οὐδὲν μᾶλλον ἢ πρότερον ἐλάμβανον. ἀναλωμάτων γὰρ πρότερον πολλῶν καὶ τριήρεων ἡ ἐπιχείρησις ἐδεῖτο, ὥστε ἄρχειν τῆς θαλάσσης, μέγα δυνηθέντας καὶ κρείττους γενομένους τῶν πλεόντων· μὴ ῥᾳδίας δὲ οὔσης πρὸς ταῦτα τῆς παρασκευῆς, καὶ οἱ θαυμαστοὶ ἐκεῖνοι πόροι καὶ αἱ πρόσοδοι ἀπώλλυντο. τῶν συγκλητικῶν δὲ οἱ πολλοί, ὅσοι μὴ διὰ τὸ πρὸς βασιλέα ἔχθος, ὥσπερ ἐν ὀνείροις, ἐπείθοντο πλουτεῖν, εἰδότες ὡς ἀνηνύτοις ἐπιχειρεῖ, τὴν μεγαλοφυΐαν ἐθαύμαζον πρὸς εἰρωνείαν καὶ τῶν πάλαι βασιλέων κατεγίνωσκον πολλὴν κουφότητα, ὅτι τοσοῦτον ἐν χερσὶ πλοῦτον ἔχοντες ἠγνόουν. βασιλεὺς δὲ ὁ Καντακουζηνὸς οὐκ ὀλίγας διατρίψαντα ἡμέρας παρ' αὐτῷ Ἀρῆγον αὖθις οἴκαδε ἀπέπεμπε, κελεύσας ἀποκρίνεσθαι μηδὲν τοῖς πέμψασι· μόνῳ δὲ τῷ μεγάλῳ δουκὶ εἰπεῖν, ὡς οὔτε πρότερον, οὔτε νῦν ἐπιλάθοιτο τῆς φίλης ἀπάτης καὶ πανουργίας καὶ στρεβλότητος, ἀλλὰ τῷ περιόντι τῆς περὶ ταῦτα σχέσεως καὶ θεὸν νομίζοι δύνασθαι ἐξαπατᾶν. [20]

2 524 καὶ γὰρ πάντα μᾶλλον διανοούμενος, ἢ ἐκ παρατάξεως μάχεσθαι πρὸς αὐτὸν, ἱκεσίας καὶ ἱλασμοὺς παραγγέλλειν πρὸς θεὸν τοῖς ἱερεῦσιν ὑπὲρ αὐτοῦ, ὡς μέλλοντος μαχεῖσθαι. ἀλλ' εἰδέναι σαφῶς, ὡς οὔτε θεὸς, ἃ πράττει καὶ διανοεῖται, ἀγνοεῖ, καὶ οἱ ἄνθρωποι δὲ, εἰ μὴ πρότερον, ἀλλ' ὕστερόν γε τὰς ἀπάτας αὐτοῦ καὶ τὰς πανουργίας πάσας συνορῶσι. τί γὰρ μὴ τῇ προτεραίᾳ τὴν στρατιὰν ἐξῆγε πρὸς τὴν μάχην, ἀλλὰ μετὰ τὸ πυθέσθαι αὐτὸν ἀπάγοντα τὴν στρατιάν; τότε μὲν οὖν λελυπηκέναι εἶπεν αὐτὸν, φυγομαχήσας οὐκ ὀλίγα· ἵνα δὲ μὴ ἐπιπλέον διὰ τὴν φυγὴν λυπῇ, ὅσον οὔπω πάλιν ἐπελεύσεσθαι καὶ μηνύειν διὰ τοῦτο, ἵνα μήτε λυποῖτο ἐπιπλέον καὶ παρασκευάζοιτο πρὸς μάχην. Ἀρῆγος μὲν οὖν ἦλθεν εἰς Γαλατᾶν καὶ οὐδὲ λόγου τινὸς ἠξίωσε τοὺς πέμψαντας. δοὺξ δὲ ὁ μέγας, ἐπεὶ πύθοιτο ἐπανήκοντα, κατέπλεεν ἐξ Ἱεροῦ καὶ μετεκαλεῖτο τὸν Ἀρῆγον, ὡς περὶ τῆς πρεσβείας ἐρωτήσων. ὁ δ' οὔτε παρεγένετο καὶ κατηγόρει φανερῶς, ὅτι καὶ φόβον πάντα θεοῦ καὶ ἀνθρώπων ἀποθέμενοι αἰδὼ, τοιαῦτα πράττουσιν, οἷα πᾶς τις ἂν μισοίη συνιδών· ἔφασκέ τε, ὡς πρὸς τὰς τοιαύτας ἀπολογίας, οἵας αὐτοὶ ποιοῦνται ἀνερυθριάστως, βασιλέα μόνον ἐξαρκεῖν δεόντως ἀποκρίνεσθαι. [20]

2 525 διὸ καὶ μετ' ὀλίγον ἧξει, ἔργῳ τὰς ἀποκρίσεις δώσων. παρήγγελλέ τε αὐτοῖς παρασκευάζεσθαι, ὡς μαχουμένους πρὸς τοῖς τείχεσιν. ἐκεῖνοι μὲν οὖν τὰ εἰωθότα πράξαντες, οὐδὲν καινὸν ἐνόμιζον ποιεῖν. βασιλεὺς δὲ αὖθις ἦκεν εἰς Βυζάντιον πανστρατιᾷ καὶ πρὸ τῆς Χαρσίας πύλης οὐκ ὀλίγον διετέλεσεν ἑστώς. ἐπεὶ δὲ οὐδεὶς ἀντεπεξῄει, ἀναστρέψας ἐστρατοπέδευσεν ἐν τῇ Πετρογεφύρᾳ καλουμένῳ τόπῳ, ποταμοῦ τε παραῤῥέοντος καὶ ἄφθονον τροφὴν τοῖς ἵπποις παρέχοντος τοῦ τόπου. καὶ ἡ στρατιὰ ἐκάκου τὸ Βυζάντιον, ὅσα μάλιστα ἐνῆν. Ἀρῆγος δὲ αὖθις ἐλθὼν πρὸς βασιλέα, ὑπὲρ βασιλίδος λόγους ἐποιεῖτο, ὡς οὐδαμῶς αἰτία τοῦ πολέμου εἴη, ἀλλὰ πατριάρχης καὶ οἱ ἄλλοι, οἳ ταύτην βουλομένην οὐκ ἐῶσι χωρεῖν πρὸς τὴν εἰρήνην, πείθοντες, ὡς, ἂν ἑνί γέ τῳ τρόπῳ περιέσῃ, ἐκείνην τε ἀποκτενεῖς αὐτίκα καὶ τὰ τέκνα. ὧν ἀκούουσαν, καίτοι καὶ ἄλλως οὐχ ἑαυτῆς κυρίαν οὖσαν, ὥστε πράττειν, ἅττα ἂν δοκῇ συμφέρειν, πάντα ἐκείνοις ἐπιτρέπειν πρὸς ἀνάγκην. βασιλεὺς δὲ τοῖς ἐν Βυζαντίῳ φίλοις κρύφα διαλεχθεὶς, ἐπεὶ οὐκ ἦν αὐτοῖς εὔκαιρον πράττειν τι ὑπὲρ αὐτοῦ, αὖθις ἀνεχώρει. οὐδὲν γὰρ ἦν, ὃ λήψεται ἐκτὸς τειχῶν. καὶ πρὸς τὴν Ἀδριανοῦ ἐλθόντι, ἐκείνη τε ἡ πόλις προσεχώρει, τοῦ ταύτης ἄρχοντος Παρασπονδύλου πράττοντος, καὶ τὰ ἄλλα φρούρια, ἃ περὶ αὐτὴν ὡς περὶ μητέρα ᾤκουν. [20]

2 526 καὶ ἡ Τζερνομιάνου δὲ καὶ αὐτὴ προσεχώρησεν, ἀντέχειν πρὸς τὸν πόλεμον μὴ δυναμένη, ἧς ἦρχεν ὁ Ἱέραξ, τῶν οἰκετῶν ὢν βασιλέως Ἀνδρονίκου, καὶ πολλὰ πρὸς τὸν πόλεμον κατὰ Καντακουζηνοῦ τοῦ βασιλέως πράξας καὶ εἰπών. ἐν τῇ Ἀδριανοῦ δὲ καὶ ἕτερός τις ἦν τῶν βασιλέως Ἀνδρονίκου οἰκετῶν, Μαγκαφᾶς ὠνομασμένος. τούτους δὴ οὖν τοὺς τρεῖς, Μαγκαφᾶν τε καὶ Ἱέρακα καὶ Παρασπόνδυλον, ὁ βασιλεὺς μεταπεμψάμενος, οὐκ ἀγνοεῖν μὲν

ἔφασκεν, ὡς παρὰ τὸν τοῦ πολέμου χρόνον πάντα πάσῃ προθυμίᾳ καὶ σπουδῇ πρὸς αὐτὸν ὑπὲρ βασιλέως ἐπολέμησαν. οὐ μέντοι διὰ τοῦτο πρὸς αὐτοὺς ὀργίζεσθαι, ἀλλὰ καὶ ἐπαινεῖν, τὴν προσήκουσαν οἰκέταις ἐπιδεδειγμένους προθυμίαν. οὐδὲ γὰρ οὐδὲ παρακοιμωμένῳ καὶ τοῖς ἄλλοις ὅτι ἐπολέμησαν ὀργίζεσθαι, ἀλλ' ὅτι σεσυκοφαντήκασί τε ἐξαρχῆς καὶ ἄχρι νῦν συκοφαντοῦσι, ψεύδει ψεῦδος συῤῥάπτοντες καὶ τὸν πόλεμον οὐκ ἐῶντες καταλύεσθαι. οὐ μὴν ἀλλὰ κἀκείνοις τοσαύτην πρὸς αὐτὸν ἀγνωμοσύνην ἐπιδεδειγμένοις, εἰ τῶν δόλων καὶ τῶν συκοφαντιῶν ἠθέλησαν ἀποστάντες διαλύεσθαι πρὸς αὐτὸν περί τε τῶν κοινῶν καὶ τῶν καθ' ἑαυτοὺς, οὐδεμίαν ἂν ἐνεδείξατο πικρίαν, οὐδὲ ἐπεμνήσθη τῶν κατὰ τὸν πόλεμον γεγενημένων παρ' αὐτῶν τοσούτων ἀλγεινῶν, ἀλλ' ἡδέως ἂν εἶδε καὶ εὐμενῶς, καὶ τῆς ἀρχαίας ἠξίωσε φιλίας καὶ συνηθείας πρὸς αὐτόν. πρὸς δὲ αὐτοὺς οὐδὲ ἴχνος μήνιδος φέρειν ἢ ὀργῆς, οὐδὲ προσκεκρουκέναι αὐτῷ νομίζειν, ὅτι ὑπὲρ βασιλέως αὐτῷ τοσαῦτα ἐπολέμησαν, (τὰ γὰρ δίκαια καὶ τὰ προσήκοντα δούλοις εὐγνώμοσι πεποιηκέναι,) ἄλλως θ' ὅτι οὐδ' αὐτός ἐστι πολέμιος τῶν βασιλέως παίδων καὶ διαφθείρειν ἐκείνους ἐκ παντὸς τρόπου ᾑρημένος, ἀλλὰ πρότερόν τε τὰ μάλιστα ἐκείνοις καὶ Ῥωμαίοις συνοίσοντα σπουδάζειν, καὶ νῦν οὐδὲν ἧττον μετὰ τὸν τοσοῦτον πόλεμον καὶ τὴν ἄφατον ἀγνωμοσύνην καὶ μανίαν, ἣν οἱ ὑπὲρ ἐκείνων δῆθεν, τῇ δ' ἀληθείᾳ κατ' ἐκείνων τὸν πόλεμον κεκινηκότες ἐνεδείξαντο. [5]

2 527 ἐκκαλύψειν γὰρ ἤδη τὸ ἀπόῤῥητον αὐτοῖς, ὡς εἴη βεβουλευμένος, εἴγε καὶ κατὰ γνώμην εἴη θεῷ, εἰ περιγένοιτο τῶν πολεμούντων καὶ κύριος τῶν βασιλέως παίδων κατασταίη, πᾶσαν τὴν ἀρχὴν Ῥωμαίων ὑφ' ἑαυτὸν πεποιημένος, μὴ τῆς πατρῴας ἀρχῆς ἀποστερεῖν, ἀλλὰ διοικήσαντα τὰ πράγματα ἄχρις ἂν βασιλεὺς ὁ νέος Ἰωάννης πρὸς ἡλικίαν εὔφρονα ἀφίκηται καὶ δυναμένην ἄγειν τὴν ἀρχήν· ἔπειτα αὐτῷ παραδιδόναι τὴν ἡγεμονίαν. τούτου γοῦν ἀληθῶς οὕτω κεκριμένου παρ' αὐτῷ, οὔτε τοῖς πρότερον ὀργίζεσθαι ὑπὲρ ἐκείνου πεπολεμηκόσιν, οὔτε τοὺς συνόντας καὶ συγκατακτωμένους τὴν ἀρχὴν πρὸς βασιλέα τὸν νέον οἴεσθαι ἐξαμαρτάνειν, εἰ μέλλουσιν ἐκείνῳ μᾶλλον τὴν ἀρχὴν συνδιασώζειν. ὧν ἕνεκα καὶ πρὸς αὐτοὺς οὔτε περὶ τῶν πρὶν γεγενημένων ἀπεχθάνεσθαι, οὔτε τὸν ἔπειτα χρόνον, ἂν αὐτῷ βούλωνται συνεῖναι, βασιλεῖ τῷ νέῳ οἴεσθαι πολεμίους γεγενῆσθαι, ἀλλ' ἐπ' αὐτοῖς τὴν αἵρεσιν εἶναι ἑκατέρου. [20]

2 528 ἄν τε γὰρ βούλωνται συνεῖναι, ἡδέως ἔχειν· ἄν τε πρὸς Βυζάντιον ἀναχωρεῖν, οὐδὲν κωλύσειν, ἀλλὰ καὶ δῶρα παρασχόμενον, μετ' εὐμενείας ἀποπέμψειν. τοιαῦτα μὲν ὁ βασιλεὺς πρὸς ἐκείνους διειλέχθη, καὶ τριῶν ἡμερῶν παρείχετο προθεσμίαν, ὡς ἐν ταύταις διασκεψάμενοι τὰ δοκοῦντα ἕλοιντο λυσιτελεῖν. οἱ δὲ πολλὰς ὁμολογοῦντες χάριτας τῆς εὐμενείας βασιλεῖ καὶ τῆς περὶ αὐτοὺς προνοίας, ἐπισκεψαμένοις ἐδέδοκτο μᾶλλον συνεῖναι βασιλεῖ, μετὰ τὴν τρίτην προσελθόντες ἀπήγγελλον τὴν γνώμην, ὡς μᾶλλον αἱροῦνται τὸ αὐτῷ συνδιατρίβειν καὶ πρόθυμοι εἶναι πάντα κίνδυνον ὑπὲρ αὐτοῦ καὶ πόνον ὑπομένειν, ὡς τὰ βελτίω καὶ λυσιτελοῦντα καὶ Ῥωμαίοις κοινῇ καὶ τοῖς βασιλέως παισὶ καὶ πράττοντι καὶ βουλομένῳ. τοὺς γὰρ ἐν Βυζαντίῳ τῶν πραγμάτων ἄρχοντας εἰδέναι καὶ αὐτοὶ οὐδὲν ὑγιὲς διανενοημένους, ἀλλ' ἐπὶ κοινῇ κακοπραγίᾳ πάντα πράττοντας καὶ φθορᾷ. τοῦ δὲ μηδὲν δεινὸν περὶ αὐτῶν ὑπονοεῖν ἐδέοντο βασιλέως καὶ πίστεις δι' ὅρκων παρασχέσθαι, ὡς οὔτε ἀποστήσονται, οὔτε ἐπιβουλεύσουσιν αὐτῷ συνόντες, ἀλλὰ πᾶσαν ἐπιδείξονται εὔνοιαν καὶ σπουδὴν περὶ αὐτόν. βασιλεὺς δὲ αὐτοῖς τὴν αἵρεσιν αὖθις προετίθει, ὡς οὐ κωλύσων, ἂν πρὸς Βυζάντιον βούλωνται ἀποχωρεῖν ἅμα γυναιξὶ καὶ τέκνοις· συνῆσαν γὰρ αὐτοῖς κατὰ τὰς πόλεις, ὧν ἡγοῦντο. εἰ δὲ ταῦτα βούλονται καταλιπόντες μόνοι ἥκειν πρὸς Βυζάντιον, μηδὲν τῆς οὐσίας ἀφαιρήσεσθαι, οὐδὲ τῶν κτήσεων, ἀλλὰ ταῖς γυναιξὶν ἐξέσται πάντα ἔχειν. [20]

2 529 ὡς δὲ αὖθις ἰσχυρίζοντο τὰ ἴσα, ἐκέλευεν ὀμνύναι· εἰδέναι δὲ, ὡς, ἂν ἐπιορκῶσιν, οὐ χωρὶς τιμωρίας ἀπαλλάξοντες. οὐ γὰρ βιαζόμενοι, ἀλλ' ἑκόντες εἵλοντο αὐτῷ δουλεύειν. οἱ μὲν οὖν

ἐποίουν κατὰ τὰ κεκελευσμένα. βασιλεὺς δὲ ἐπεὶ τὰς πίστεις εἶχε καὶ ἀπήλλακτο τῶν περὶ αὐτοὺς ὑπονοιῶν, Ἰέρακι μὲν αὖθις τῆς Τζερνομιάνου παρείχετο τὴν ἡγεμονίαν καὶ τῆς ἐγκαθιδρυμένης στρατιᾶς, μαχίμῳ τε ὄντι καὶ αὐτῷ καὶ πρὸς ἐμπειρίαν καὶ τόλμαν λειπομένῳ οὐδενός. Παρασπόνδυλον δὲ τῆς Ἀδριανοῦ καὶ αὐτὸν αὖθις ἄρχοντα καθίστη. ταῦτα μὲν οὖν ὧδέ πη εἶχε, καὶ τὰς κατὰ Θρᾴκην πάσας πόλεις σχεδὸν ὑπήγαγεν ἑαυτῷ ὁ βασιλεύς. πς′. Ἀμοὺρ δὲ ὁ σατράπης Ἰωνίας αὖθις μὲν ἐβούλετο πρὸς βασιλέα κατὰ τὴν ὑπόσχεσιν ἐλθεῖν, εἶχε δὲ ἀδυνάτως. τό, τε γὰρ αὐτοῦ κατὰ τὴν Σμύρνην νεώριον ἐνέπρησαν οἱ Λατῖνοι καὶ τὰς ναῦς, καὶ τὸ πρὸς τῷ λιμένι φρούριον κατασχόντες, τριήρεις τε ἔχοντες ἐκεῖ παραπλεούσας, ἐκώλυον στόλον ἐξαρτύειν καὶ ταῖς ναυσὶ πρὸς Θρᾴκην περαιοῦν τὴν στρατιάν. ἔκ τε τῆς ἠπείρου δίοδος αὐτῷ οὐκ ἦν πρὸς τὸν Ἑλλήσποντον, Σαρχάνη τοῦ Λυδίας σατράπου περί τινων ὅρων γῆς ἐκπεπολεμωμένου πρὸς αὐτὸν καὶ μέλλοντος κωλύειν, εἰ διὰ τῆς αὐτοῦ πρὸς Ἑλλήσποντον ἔρχεσθαι ἐπιχειροίη. [20]

2 530 ὅθεν διὰ τὴν πρὸς βασιλέα ἄφιξιν ἀναγκαίαν αὐτῷ νομιζομένην, ἔγνω δεῖν πρεσβείαν ποιεῖσθαι πρὸς Σαρχάνην, καὶ παραχωρεῖν αὐτῷ τῆς χώρας ὑπὲρ ἧς ἦν αὐτοῖς ἡ διαφορὰ, εἰ μόνον πρὸς Ἑλλήσποντον δίοδον παρέχοιτο. Σαρχάνης δὲ ἄσμενός τε ἐδέχετο τὴν πρεσβείαν, καὶ τὴν χώραν ἔχων, φίλος τε ἦν Ἀμοὺρ, καὶ τὴν δίοδον ἀδεῶς παρείχετο, ἅμα δὲ καὶ τὸν υἱὸν συστρατευσόμενον αὐτῷ πρὸς βασιλέα μετὰ στρατιᾶς. καὶ πρὸς Ἑλλήσποντον ἐλθόντες, ἐπεραιοῦντο πρὸς τὴν Θρᾴκην ἱππέας δισμυρίους ἔχοντες· αὐτίκα τε εἰς Διδυμότειχον ἀφίκοντο πρὸς βασιλέα, φέροντες καὶ δῶρα. Ἀμοὺρ δὲ ἐδεῖτο βασιλέως μὴ μέλλειν, ἀλλὰ χωρεῖν κατὰ τοῦ Μομιτζίλου. ἐμήνιε γὰρ ὁ βάρβαρος ἐς τὰ μάλιστα ἐκείνῳ τῶν κατὰ βασιλέως ἕνεκα τετολμημένων. ἐπεὶ δὲ ἀπαράσκευος ἦν ἡ Ῥωμαίων στρατιὰ, κατὰ Μυσίας τὸ βαρβαρικὸν ἐχώρει, ἐπανήξειν τάχιστα εἰπόντες, ἄχρις οὗ παρασκευάσοιτο ἡ στρατιά· βασιλέως δὲ κωλύειν πειρωμένου καὶ φάσκοντος σπονδὰς καὶ συμμαχίαν ἔχειν πρὸς Ἀλέξανδρον, οὐκ ἐπείθοντο, πολέμιοι αὐτοὶ Μυσοῖς εἰπόντες εἶναι. καὶ καταδραμόντες, ἀνδραπόδων τε καὶ βοσκημάτων ἐπανῆκον λείαν ἔχοντες πολλήν. μετὰ δὲ τοῦτο καὶ τῆς Ῥωμαίων παρεσκευασμένης στρατιᾶς, ἐχώρουν κατὰ Μομιτζίλου. ἐκεῖνος δὲ ἤδη δύναμιν μεγάλην ἔχων καὶ ἰδίαν ἡγεμονίαν ἑαυτῷ περιποιούμενος, Ξάνθειάν τε εἶλεν ἐπιθέμενος, καὶ τῶν κατὰ Μερόπην φρουρίων ἦρχε πάντων καὶ μέχρι Μόῤῥας προεχώρησε. πυθόμενος δὲ ὡς παρασκευάζοιτο ἐπ’ αὐτὸν ὁ βασιλεὺς μετὰ τῆς Περσικῆς ἥκειν στρατιᾶς, πρεσβείας πέμπων, παράγειν ἐπειρᾶτο, ἃ καὶ πρότερον ἐξαπατῶν, ὡς αὐτῷ πολλὰ μεταμέλοι τῆς πρὸς αὐτὸν ἀγνωμοσύνης, ὅτι τοσαῦτα εὖ παθὼν, κακὸς ὀφθείη καὶ ἀμνήμων τῶν καλῶν, καὶ ὡς εἰ συγγνώμην αὐτῷ παράσχοιτο, μηδέποτε ὕστερον ἀγνωμονήσων, ἀλλὰ δουλεύσων ἀκριβῶς. [5]

2 531 ἐπεὶ δὲ ἐκ τούτων αὐτῷ ἠνύετο οὐδὲν, ἀλλ’ ἐπυνθάνετο σαφῶς ἐπιοῦσαν τὴν στρατιὰν, πᾶσαν ὅση δύναμις ἦν περὶ αὐτὸν ἀθροίσας, καὶ αὐτὸς ἐχώρει ὡς μαχούμενος πᾶσιν ὁμοῦ καὶ Ῥωμαίοις καὶ βαρβάροις· εἰς τοσαύτην γὰρ αὐτὸν παραπληξίαν ἡ ἄνοια ἐξήγαγε καὶ ἡ θρασύτης. γενομένου δὲ ἐν Περιθεωρίῳ, καὶ ἡ Περσικὴ στρατιὰ ἐφαίνετο ἐπιοῦσα· ἐπεὶ δὲ πρότερόν τε ἐπέκειτο τοῖς ἐν Περιθεωρίῳ, καὶ τότε ἠνάγκαζεν εἰσδέχεσθαι, ἐκεῖνον μὲν οὐκ ἐδέχοντο, ἀλλ’ ἀπέκλεισαν αὐτῷ τὰς πύλας, τοὺς βαρβάρους ἐπιδεικνύντες καὶ κελεύοντες εἰς χεῖρας αὐτοῖς ἰέναι, ὡς τοῖς νικῶσιν ἆθλον τὴν πόλιν ἐσομένην τῆς ἀνδραγαθίας. ἵνα δὲ μὴ δοκοῖεν παντάπασιν αὐτοῦ ἀφίστασθαι, (ἐδεδοίκεσαν γὰρ, μὴ τὸν κίνδυνον διαδιδράσκων, πικρῶς κολάζῃ τῆς προδοσίας· ἦν γὰρ ἀπαραίτητος πρὸς ὀργὰς, καὶ ὠμῶς καὶ ἀπανθρώπως ἀποκτείνων τοὺς προσκρούοντας, καὶ ἐπὶ μικροῖς καὶ μείζοσιν ἐγκλήμασι θάνατον τὴν ζημίαν καταψηφιζόμενος,) τὸν ἀδελφιδοῦν Ῥάϊκον ὄνομα εἰσεδέξαντο, πεντήκοντα μόνον στρατιώτας ἔχοντα, ἵν’ εἰ μὲν νικῴη, παραίτησις πρὸς ὀργὴν εἴη ὁ ἀδελφιδοὺς εἰσδεδεγμένος· εἰ

δὲ ἡττώμενος διαφθείροιτο, μηδὲν εἶεν κώλυμα ἐκεῖνοι ὀλίγοι ὄντες πρὸς τὸ πράττειν, ἅττα ἂν δοκῇ συμφέρειν. [20]

2 532 Μομιτζίλος δὲ πρὸς τὸ τείχισμα τὸ πρὸ τῆς πόλεως παρέταττε τὴν στρατιὰν, οἰόμενος ἀντισχήσειν καὶ τὸ τείχισμα ἔχων οὐκ ὀλίγα συναιρόμενον. Πέρσαι μὲν οὖν, ἐπεὶ προσέβαλον οἱ πρώτως φθάσαντες, ὥσαντες τὸ Μομιτζίλου στράτευμα περὶ πεντακοσίους χιλίους ὄντας, τό, τε τείχισμα καθῄρουν, καὶ διεσκεδάννυτο ἐπὶ λεηλασίαν τῆς στρατιᾶς τὸ πλεῖον, καὶ πάντα κατέδραμον αὐθημερὸν καὶ ἐληΐσαντο ἄχρι Μυγδονίας. βασιλεὺς δὲ κατόπιν μετὰ Ἀμοὺρ καὶ τῆς ἄλλης στρατιᾶς ἐρχόμενος, συνεώρα τὸ μετὰ Μομιτζίλου στράτευμα οὐχ ἡττημένον, ἀλλὰ μόνης ὁδοῦ παραχωρῆσαν τοῖς βαρβάροις· ἑώρα γὰρ εὐτάκτως καὶ μετὰ κόσμου τεταγμένον· διόπερ καὶ ἐδόκει ὁ ἀγὼν ἔτι ὑπολείπεσθαι. καὶ συνέταττε τὴν στρατιὰν καὶ τὴν Ῥωμαίων καὶ βαρβάρων ἐπὶ τάγμασι τρισί· καὶ τὸ μὲν δεξιὸν κέρας Ἀμοὺρ εἶχε μετὰ τῶν Περσῶν, ἵνα βάλλοιεν τοὺς πολεμίους τοξόται ὄντες καὶ προσπίπτοντες ἐπὶ τὰ γυμνά. τὸ δὲ ἀριστερὸν Ἀσάνης εἶχεν Ἰωάννης, ὁ τῆς βασιλίδος Εἰρήνης ἀδελφὸς, μετὰ Ῥωμαίων καταφράκτων, κοντοῖς εἰωθότων μάχεσθαι. τὸ μέσον δὲ αὐτὸς ἐπεῖχεν ὁ βασιλεὺς, τῶν τε Ῥωμαίων τοὺς λογάδας ἔχων καὶ Περσῶν. Μομιτζίλος δὲ καὶ αὐτὸς ὁμοίως ἀντιτεταγμένος ᾔει πρὸς τὴν μάχην. [20]

2 533 ἐπεὶ δὲ ἦσαν ἐς τὰς χεῖρας, μάχη μὲν ἀνήπτετο σφοδρὰ, καὶ ἀντέσχον τὰ στρατόπεδα ἐπιπολὺ ἀλλήλοις. ὅμως ἡττᾶτο τὸ Μομιτζίλου καὶ ἔπιπτον πολλοὶ αὐτῶν. ὠθουμένων δὲ πρὸς τὰ τείχη τῆς πόλεως, ἐπεὶ διέξοδος καὶ ἀντεπεξαγωγὴ οὐκ ἦν τοῖς ἵπποις, ὀλίγου τοῦ χωρίου ὑπολελειμμένου μεταξὺ τῶν πολεμίων καὶ τῶν τειχῶν, οἵ τε ἐν Περιθεωρίῳ ἦσαν οὐ προσδόκιμοι εἰσδέξεσθαι, πρῶτος αὐτὸς ἀπέβαινε τοῦ ἵππου, εἶτα καὶ οἱ ἄλλοι ἅπαντες, καὶ προεῖντο τοῖς πολεμίοις. οἱ δ' ἐμάχοντο πεζοὶ, ἀγωνιζόμενοι ἐκθύμως, καὶ ἀντεῖχον ἐπιπλεῖστον, τοῦτο μὲν διὰ τὴν εὐψυχίαν, τοῦτο δ' ὅτι καὶ ἡ πόλις αὐτοὺς ἐκώλυε μὴ κυκλωθῆναι, καὶ ἔπιπτον πολλοὶ μαχόμενοι. μέχρι μὲν οὖν ἐκεῖνος περιῆν, οὐδὲ αὐτοὶ ὑφίεσαν τῆς τόλμης, οὐδὲ ὅπλα παρεδίδουν. ἐπεὶ δὲ ἔπιπτε καὶ αὐτὸς κατὰ τὴν μάχην, οἱ περιλειπόμενοι εὐθὺς παρέδοσαν τὰ ὅπλα, καὶ ἠνδραποδίσθησαν ὑπὸ Ῥωμαίων καὶ Περσῶν, διαδρᾶναι δυνηθέντος μηδενός. καὶ ὅ φασιν ἐπὶ τῶν μεγάλων ἀτυχημάτων, ὡς οὐδὲ πυρφόρος ὑπολέλειπτο, τοῦτ' αὐτὸ συνέβη καὶ τῷ Μομιτζίλου στρατοπέδῳ. οἱ μὲν γὰρ ἔπεσον κατὰ τὴν μάχην, οἱ δ' ἑάλωσαν. οἱ δὲ ἐν Περιθεωρίῳ ἑστῶτες ἐπὶ τῶν τειχῶν, οὔτ' ἠμύνοντο ὑπὲρ τοῦ Μομιτζίλου, οὔτ' ἐπέκειντο καὶ αὐτοὶ, ἀλλὰ μόνον θεαταὶ τῶν ἀγώνων ἐπὶ τῶν τειχῶν ἐκάθηντο. βασιλεὺς δὲ ἐδάκρυσεν ἐπὶ τῇ συμφορᾷ, οὐ μόνον διὰ τῶν πραγμάτων τὴν μεταβολὴν, ὅτι ὁ πρότερον ὀλίγῳ μεγάλα περὶ ἑαυτοῦ οἰόμενος, καὶ ἀήττητός τις εἶναι δοκῶν καὶ δεινὸς περὶ στρατηγίας, ἐν μιᾷ καιροῦ ῥοπῇ, ἄτιμος ἔκειτο συμπατούμενος ὑπὸ τῶν πολεμίων, ἀλλ' ὅτι καὶ οἱ πεσόντες, ὄντες τοσοῦτοι καὶ τοιαύτην ἐπιδεδειγμένοι ἀρετὴν καὶ ἀνδραγαθίαν, Ῥωμαῖοι ἦσαν, οὓς ὁ πολλῶν δακρύων αἴτιος ἐμφύλιος πόλεμος παρανάλωσεν. [5]

2 534 οὕτω μὲν οὖν ὁ Μομιτζίλος ἥνθησέ τε ἐν ὀλίγῳ καὶ ἐπὶ μέγα ἔδοξε τύχης προελθεῖν, καὶ τάχιον ἀπήνθηκε καὶ κατερρύη. βασιλεὺς δὲ μετὰ τὴν μάχην, εἰς Ξάνθειαν ἀφῖκτο, ἔνθα ἡ οἰκία Μομιτζίλου ἦν καὶ ἡ γυνή. Ξανθιεῖς δὲ πρῶτα μὲν, οὐδὲν εἰδότες περὶ Μομιτζίλου, ἐπυνθάνοντο περὶ ἐκείνου ὅπη εἴη. ἐπεὶ δὲ κατὰ τὴν μάχην ἐπύθοντο πεσόντα αὐτὸν καὶ σύμπαν τὸ στρατόπεδον, τῶν μὲν οἰκείων ἀπωδύροντο τὴν τελευτὴν, βασιλεῖ δὲ τὴν πόλιν παρεδίδουν. καὶ ὁ βασιλεὺς πολλὴν περὶ τὴν Μομιτζίλου γυναῖκα ἐπεδείκνυτο τὴν ἐπιείκειαν. ἐκέλευε γὰρ μηδὲν τῶν ὄντων ἀφαιρεῖν αὐτῆς, ἀλλὰ πάντα ἔχουσαν, ἢ μένειν ἐπὶ τῆς Ῥωμαίων ἂν ἐθέλῃ γῆς, ἢ πρὸς τὴν οἰκείαν ἐπανέρχεσθαι· ἐκ Μυσίας γὰρ ἦν. ἡ δὲ μᾶλλον εἵλετο τὴν ἐπὶ τῆς οἰκείας ἀναχώρησιν, καὶ πάντα ἔχουσα, ἀπῆρεν εἰς Μυσούς. πζ'. Βασιλεὺς δὲ

ἐπεὶ ἀπεσκεύαστο Μομιτζίλον, ἐδόκει δεῖν καὶ Κράλην μετιέναι ἀδικοῦντα καὶ παρασπονδοῦντα. ἐκεῖνος γὰρ τὸν παρὰ Ῥωμαίοις πόλεμον ὁρῶν πάντα τὰ αὐτῶν διαφθεροῦντα ἄρδην, ὀλίγα τῶν πρὸς βασιλέα συνθηκῶν φροντίζων, ἄλλας τε πόλεις τῶν Ῥωμαίοις ὑπηκόων εἶλε, καὶ Φεραὶς ἐπὶ χρόνον συχνὸν πολιορκῶν, ἐν μεγάλῃ κατέστησεν ἐνδείᾳ καὶ ἤδη ἐν ἐλπίσιν ἦν μετὰ μικρὸν ἑλεῖν· ἅμα δὲ καὶ ἐκ τῶν ἔνδον ἔπραττόν τινες, ὡς Φεραῖοι, τῆς Ῥωμαίων ἡγεμονίας ἀποστάντες, προσχωρήσουσιν ἑκόντες Τριβαλοῖς, τοῦ Κράλη αὐτοῖς ὑποσχομένου τῆς πόλεως ἀποδείξειν ἄρχοντας, ἂν τοιαῦτα τοὺς πολίτας πείθωσιν· ὧν ἦν κεφάλαιον Ἀσάνης ὁ Μανουὴλ, θεῖος πρὸς πατρὸς Εἰρήνῃ τῇ βασιλίδι. [5]

2 535 Παλαιολόγος δὲ Κωνσταντῖνος ὁ τοῦ βασιλέως Ἀνδρονίκου θεῖος, καὶ Τζαμπλάκων Δημήτριος μέγας στρατοπεδάρχης ὁ τούτου γαμβρὸς τὰ Ῥωμαίων φρονοῦντες, ἀντέπραττόν τε τοῖς πράττουσι τὰ Τριβαλλῶν, καὶ πᾶσαν σπουδὴν εἰσῆγον, ὥστε μὴ τοιαύτην πόλιν τῆς Ῥωμαίων ἡγεμονίας ἀπολέσθαι, καὶ πρὸς βασιλέα ἔπεμπον δεόμενοι βοηθεῖν. ἃ εἰδὼς βασιλεὺς ἔκρινε δεῖν πρεσβείαν ποιεῖσθαι πρὸς Κράλην, κἂν μὲν ἀπόσχηται Φερῶν, τηρεῖν καὶ αὐτὸν τοὺς ὅρκους καὶ τὰς σπονδάς· ἂν δ' ἐκεῖνος διαλύῃ πρότερος, χωρεῖν ἐπ' αὐτὸν ἅμα στρατιᾷ τῇ Περσικῇ. καὶ ἐπεὶ ἐδέδοκτο, πέμψας Ἰωάννην τὸν Βρυέννιον, ἐκέλευεν ἀναχωρεῖν Φερῶν, ὡς αὐτῷ τῆς πόλεως διαφερούσης, καὶ τοῦ λοιποῦ μηδὲν παρενοχλεῖν μήτ' αὐτὴν, μήτ' ἄλλην τῶν Ῥωμαίοις ὑπηκόων πόλεων. αὐτὸν μὲν γὰρ ἀεὶ μεμνῆσθαι τῆς εὐνοίας καὶ τιμῆς, ἧς ἀπέλαυσε διατρίβων παρ' αὐτῷ, καὶ δίκαιον εἶναι οἴεσθαι τῆς εὐποιΐας ἀπομνημονεύειν. διόπερ αὐτοῦ καὶ πρὸς Βερροίᾳ τὰς σπονδὰς ἀπειπαμένου καὶ ὕστερον πεπολεμηκότος φανερῶς καὶ τοὺς ὅρκους καταλελυκότος προφανῶς καὶ τὰς σπονδὰς, αὐτὸν μὴ κεκινῆσθαι πρὸς ὀργὴν, μηδὲ ἀμύνεσθαι ἐθέλειν, ἀλλὰ τὰς σπονδὰς καὶ τοὺς ὅρκους ἀνανεοῦν, καὶ χάριν ἀποδιδόναι τῆς φιλίας ὅση δυνατή. [5]

2 536 ἂν δὲ μὴ πείθηται αὐτὸς, μηδὲ ἀφίστασθαι ἐθέλῃ τοῦ παρασπονδεῖν καὶ ἀδικεῖν, ἀλλὰ πολιορκῇ τὰς πόλεις, μὴ αὐτῷ ἐπάγειν αἰτίαν, ἂν ἀμύνηται, ὡς παραβεβηκότι τὰς σπονδὰς καὶ ἀγνωμονοῦντι πρὸς τὸν εὖ πεποιηκότα, ἡνίκα μάλιστα ἐδεῖτο. τοιαῦτα μὲν ὁ βασιλεὺς ἐπρεσβεύετο πρὸς Κράλην. ἅμα δὲ ἔχων καὶ τὴν στρατιὰν, πρὸς Χριστούπολιν ἐχώρει, καὶ ἐστρατοπεδεύετο ἐν κώμῃ τοῦ Γαβριὴλ προσαγορευομένῃ, ὡς ἀφιξόμενος εἰς Φεραὰς καὶ τῶν ἄλλων πόλεων πρόνοιαν ποιησόμενος, ὅσαι ὑπὸ τοῦ Τριβαλικοῦ πολέμου ἔπραττον κακῶς. τούτων δὲ πραττομένων, Ἀπόκαυκος ὁ μέγας δοὺξ ὁρῶν ἤδη τὰς μὲν ἠπειρώτιδας πόλεις πάσας Καντακουζηνὸν τὸν βασιλέα ὑφ' ἑαυτὸν πεποιημένον, καὶ τήν τε Ῥωμαίων στρατιὰν ὀλίγου δεῖν ἅπασαν ἔχοντα αὐτὸν καὶ τοσαύτην ὑπὸ τῶν βαρβάρων συμμαχίαν, καὶ ὡς ἀδύνατον αὐτῷ ἀντικαθίστασθαι ἐκ τῆς ἠπείρου, πρῶτα μὲν ἐσκέψατο διὰ τῆς πρὸς τὰς δίκας ἀκριβείας καὶ δικαιοσύνης πείθειν Βυζαντίους αὐτῷ προσέχειν· ἔπειτα καὶ κεναῖς ἐλπίσιν ἐξηπάτα, ὥσπερ ἐν ὀνείροις πλουσιωτάτους ἐξ ἀπόρων ἐπαγγελλόμενος ποιήσειν, ἂν τὴν ὁλκάδα στήσῃ τὴν ἀργυρολογήσουσαν τοὺς ἐμπόρους. [20]

2 537 ὡς δὲ πάντα ἐξηλέγχετο ἀπάτη καὶ φενακισμοὶ, καὶ πάντες ἤδη πρὸς αὐτὸν ἀπέσκωπτον ἀδεῶς, δείσας μή τι νεωτερισθῇ περὶ αὐτὸν, ἐσκέψατο πᾶσαν τὴν δύναμιν εἰς τὴν θάλασσαν μετάγειν καὶ πρὸς τυραννίδα τὴν πολιτείαν μεθιστᾷν. καὶ πρῶτα μὲν ναυτικὸν συστήσασθαι καὶ ὁπλίτας, καὶ τούτοις πρός τε τὰς τριήρεις χρῆσθαι καὶ πρὸς φρουρὰν οἰκείαν, ἵνα μὴ ἐπιβουλεύηται, καὶ ἀμελεῖν μὲν παντάπασι τῆς ἠπείρου, νήσων δὲ ἔχεσθαι καὶ θαλάσσης, καὶ Βυζαντίους ἐκ θαλάττης τρέφεσθαι καθιστᾷν ἐμπορευομένους ταῖς ναυσί· πρὸς τούτοις δὲ καὶ τοὺς χρήματα ἔχοντας ἐν Βυζαντίῳ καὶ τῶν συγκλητικῶν, ὅσοι ἔτι ὑπελείποντο, ἐν δεσμωτηρίοις κατακλείειν, ἵν' ὁμοῦ τε ἀπαλλάττοιτο τοῦ δέους, (ἐδεδίει γὰρ μὴ ἐθελήσωσιν εἰρήνην τίθεσθαι πρὸς Καντακουζηνὸν τὸν βασιλέα,) καὶ χρημάτων εὐπορίᾳ πρός τε τὸ ὁπλιτικὸν καὶ τὰς τριήρεις, τὰ ἐκείνων ἀφελόμενος. οὐ μὴν δὲ καὶ τῶν ἄλλων, ὅσοι

μνησθέντες πρότερον εἰρήνης, ἐν ταῖς οἰκίαις ὑπ' ἐκείνου κατεκλείσθησαν, ἢ ἐν φροντιστηρίοις ἀπρόϊτοι καθείργνυντο, πάντων τὰς οὐσίας ἀφελέσθαι μετὰ τὸ εἰς δεσμωτήριον ἀγαγεῖν· πρότερον γὰρ ἐκείνους ὀλίγων τινῶν ἀπεστέρησεν ἐκ τῆς οὐσίας· εἶτα καὶ τοῖς ἄλλοις ἅπασι φόρους τάξαι ἐτησίους, ἐξ ὧν χρηματιζόμενος διαθρέψει τὸ ναυτικόν. δεσμωτήριον δὲ ἐν τοῖς βασιλείοις Κωνσταντίνου τοῦ μεγάλου κοινὸν ποιεῖν διενοεῖτο. οἴκου γὰρ ὄντος ἐκεῖ μεγάλου Ἰουστινιανείου προσαγορευομένου, τὴν στέγην ὑπὸ τοῦ χρόνου διεφθαρμένου, πᾶσαν εἴσοδον ἀναφράξας, οἰκίσκους ἔνδον ἐκείνου πλείστους διελεῖν ἐφ' ἑκατέρῳ μέρει, καὶ τούτοις κατακλεῖσαι τοὺς δεσμώτας ἄνωθεν καλωδίοις καθιεὶς, ὥστε νυκτὸς μὲν τοῖς οἰκίσκοις χρῆσθαι, ἡμέρας δὲ πρὸς μετρίαν ἄνεσιν τῷ ὑπολελειμμένῳ μεταξὺ χωρίῳ· τὴν δὲ φρουρὰν ἄνωθεν ἐγκαθιδρυμένην ἐπὶ τῶν τειχῶν διὰ πάσης νυκτός τε καὶ ἡμέρας τὴν φυλακὴν τῶν δεσμωτῶν ποιεῖσθαι, κἄν τινος δέοιντο, κάτωθεν πρὸς τοὺς φρουροὺς ποιεῖσθαι τοὺς λόγους φανερῶς, ὥστε ἅπαντας εἰδέναι, ἵνα μὴ λάθοιεν ἐπιβουλήν τινα συσκευασάμενοι, κρύφα τῶν φυλάκων τισὶ διαλεχθέντες. [10]

2 538 μετὰ τοῦτο δὲ ἔφασαν οἱ συνειδότες καὶ ἐπὶ βασιλίδα χωρεῖν διανοεῖσθαι καὶ ἀπορειρᾶν, εἰ βούλοιτο τὴν ἐκείνου θυγατέρα βασιλεῖ τῷ υἱῷ πρὸς γάμον συνάπτειν, εἴγε βούλοιτο αὐτὸν ὡς ὑπὲρ τέκνων ἀγωνιζόμενον, πάντα πλοῦτον τὸν αὐτοῦ πρὸς τὸν ἐπὶ Καντακουζηνὸν ἀναλίσκειν πόλεμον. καὶ πρότερον μὲν γὰρ οὐδὲν ἐλλελοιπέναι προθυμίας καὶ πᾶσαν σπουδὴν πρὸς τὴν ἐκείνου κατάλυσιν ἐπιδεδεῖχθαι, καὶ πάντα ἀναλωκέναι τὰ κοινὰ καὶ ἃ ἀφείλετο ἐκ τῶν ἐκείνῳ προσεχόντων· νυνὶ δὲ εἰς τοὐναντίον ἅπαν τῶν πραγμάτων περιελθόντων καὶ πᾶσαν ἐκείνου τὴν ἤπειρον ἀφελομένου, αὐτὸν κρατήσειν τῆς θαλάσσης, ἀναλίσκοντα ἐκ τῶν ἰδίων, καὶ Βυζαντίου καὶ τῶν νήσων ἀσφαλῶς καθέξειν τὴν ἀρχήν· κἂν μὲν ἐκείνη πείθοιτο τὴν θυγατέρα προσαρμόζειν βασιλεῖ τῷ υἱῷ, καὶ αὐτὸν εἶναι πατέρα βασιλέων καὶ πᾶσαν ἔχειν ἀρχὴν καὶ πράττειν, ἅττα ἂν δοκῇ· ἂν δ' ἀπαναίνηται τὴν δυσγένειαν, ἐπ' αὐτὴν χωρεῖν. [20]

2 539 δήλην γὰρ ἤδη εἶναι κακὰ βουλευομένην περὶ αὐτοῦ. συνεσκεύακε δὲ καὶ κατ' αὐτῆς ἐπιβουλὴν τοιαύτην. γράμματα πρὸς Πάπαν ἔγραφεν ὡς ἐξ αὐτῆς. ἐδήλου δὲ τὰ γράμματα, ὡς αὐτὴ μὲν ἐντραφείη ἔθεσι καὶ νόμοις τοῖς Ῥωμαίων, καὶ δόγματα πρεσβεύοι, ἃ καὶ ἡ Ῥωμαίων ἐκκλησία· βασιλεῖ δὲ ὑπὸ τῶν οἰκείων ἐκδοθεῖσα, ἀνάγκῃ τὰ ἐκείνου ὑποκρίνεσθαι. τὴν μέντοι πρώτην εὐλάβειαν καὶ πίστιν καὶ ὁμόνοιαν τῇ Ῥωμαίων ἐκκλησίᾳ περισώζειν καὶ αὐτὸν ἡγεῖσθαι πατέρα καὶ διδάσκαλον καὶ πρὸς τὴν πίστιν ὁδηγόν. καὶ βούλεσθαι μὲν καὶ μετὰ τὴν ἀνδρὸς αὐτίκα τελευτὴν δῆλα πάντα καθιστᾶν αὐτῷ, καὶ πειρᾶσθαι, καὶ πᾶσαν τὴν ἀρχὴν τὰ ἴσα ἢ πείθειν ἢ καταναγκάζειν περὶ τῶν τῆς πίστεως δογμάτων αὐτῇ φρονεῖν. κωλυθῆναι δὲ ὑπὸ τῶν περισχόντων πολέμων, τῶν μάλιστα παρὰ Ῥωμαίοις δυνατωτάτων πρὸς αὐτὴν ὑπὲρ τῆς ἀρχῆς πολεμησάντων καὶ ἔτι μέχρι νῦν ἐπικειμένων. ὅθεν αὐτοῦ δεῖσθαι, πρῶτα μὲν αὐτῇ τὸ θεῖον ἱλεοῦσθαι διὰ τὴν δοκοῦσαν τῶν διεστραμμένων δογμάτων αἵρεσιν· ἔπειτα δὲ καὶ βοηθεῖν ἐπὶ τοὺς πολεμοῦντας, ὅπως ἂν δύναιτο, ὡς, εἰ ἐκεῖνοι καταστραφεῖεν, αὐτῆς αὐτίκα τὰ τῆς Ῥωμαίων ἀποστολικῆς ἐκκλησίας πρεσβευσούσης φανερῶς καὶ τοῖς ἄλλοις ὑφηγησομένης. τοιαῦτα μὲν τὰ πρὸς Πάπαν τῆς βασιλίδος δῆθεν γράμματα ἐδήλου. [20]

2 540 ἦν δὲ Κλήμης τῆς Ῥωμαίων ἐκκλησίας τότε προεστώς. καὶ ζωγράφῳ τινὶ Πραιποσίτῳ καλουμένῳ ἐγχειρίσας, ἐξέπεμπε πρὸς Πάπαν μηδενὶ ἐξειπεῖν κελεύσας τὸ ἀπόῤῥητον βασιλίδος. οὐδὲν δὲ ἐκεῖνος ᾔδει πλέον, εἰ μὴ ὅτι πέμποιτο πρὸς Πάπαν. Κλήμης δὲ ὁ Πάπας, ἐπεὶ δέξαιτο τὰ βασιλίδος γράμματα, ὑπερησθεὶς, ὅτι καὶ ἡ βασιλὶς αἱροῖτο τὰ ἐκείνων, καὶ ὡς, εἰ τῶν πολέμων ἀπαλλαγοίη, φανερῶς αὐτοῖς προσθήσεται, ἀντέγραφε καὶ αὐτὸς, πρῶτα μὲν ἐπαινῶν τῆς προαιρέσεως, ὅτι καίτοι τυραννουμένη τῶν ὀρθῶν δογμάτων οὐκ ἀπέστη, ἀλλὰ τῇ Ῥωμαίων ἐκκλησίᾳ συμφρονοίη. ἔπειτα καὶ ἐδίδασκεν, ὡς χρὴ τῶν ἴσων ἔχεσθαι ἀεὶ, καὶ τοὺς ἄλλους ἐνάγειν ἠπατημένους καὶ τῆς ἀληθείας ἐκπεσόντας. τελευταῖον δὲ ἐπηύχετο, καὶ

χρηστὰς ὑπετίθει τὰς ἐλπίδας, ὡς βοηθήσων ὅ,τι ἂν δύναιτο. ταῦτα τὰ γράμματα ἐνεγκόντος Πραιποσίτου, ἐφύλαττεν αὐτὸς ἐν ἀπορρήτῳ, διενοεῖτό τε ὡς, εἰ μὲν πείθοιτο ἡ βασιλὶς αὐτῷ, ἐφ' οἷς ἂν ἀξιοίη, μηδὲν κινεῖν, εἰ δὲ μὴ, ταῦτα ἐπ' ἐκκλησίας ἀναγνόντα, Βυζαντίους ἐπ' αὐτὴν παρορμᾷν καὶ διαφθείρειν αὐτὴν καὶ παῖδας· ᾔδει γὰρ πρὸς τοῦτο πάνυ δυσανασχετοῦντας καὶ ῥᾷστα κατὰ παντὸς οὑτινοσοῦν χωρήσοντας, ἂν πύθωνται τὰ Λατίνων ἠρημένην· καὶ οὕτω πᾶσαν αὐτὸν Βυζαντίου καὶ τῶν νήσων ἔχειν τὴν ἀρχήν. εἰ δὲ μὴ προχωροίη, μηδὲ πείθοιντο οἱ Βυζάντιοι βασιλίδα καὶ τὰ τέκνα διαφθείρειν, πάντων ἤδη ἀπογνόντα, ἢ τῷ ἐν Μαγκάνοις πύργῳ κατακλείειν ἑαυτὸν, ὀχυρωτάτῳ ὄντι καὶ δυναμένῳ πρὸς πάντας Βυζαντίους ἀντέχειν πολιορκοῦντας, ἢ τριήρει πρὸς Ἐπιβάτας ἀναχωρεῖν, κἀκεῖ τὸν ἐπίλοιπον βίον διανύειν, ἀρχόμενον ὑπ' οὐδενός. [5]

2 541 πθ′. Τοιαῦτα μὲν ἐκεῖνος διενοεῖτο καὶ ἤδη ἤρχετο αὐτῶν. καὶ πρῶτα μὲν περιέστησεν ἑαυτῷ φρουρὰν ὁπλιτικὴν, ἣ προϊόντι τῆς οἰκίας συνείπετο ἀεὶ, καὶ οὐδεὶς ἐτόλμα τῶν ἄλλων ἐγγὺς ἐλθεῖν, εἰ μὴ ὑπ' ἐκείνου προσκληθείη. ἔπειτα καὶ τριήρη παρεσκευασμένην εἶχε πρὸς τοῦτο τὸν πάντα χρόνον ἐπὶ τῆς Ξυλίνης λεγομένης πύλης ἐφορμοῦσαν, ἔνθα ἦν αὐτῷ καὶ ἡ οἰκία ἐξεπίτηδες ἐκεῖ κατεσκευασμένη. ἀεὶ γὰρ ἐποιεῖτο πρόνοιαν ἐγγὺς εἶναι τῶν τειχῶν, μάλιστα τῶν πρὸς θάλασσαν, ἵν' εἴτι περὶ αὐτὸν νεωτερίζοιτο, ῥᾳδίως διεκπίπτῃ καὶ διασώζῃ ἑαυτόν. τότε δὲ μάλιστα σπουδὴν ἐποιεῖτο πλείστην εἵς τε τὴν περὶ αὐτὸν φρουρὰν καὶ πρὸς τὸ ἔξοδον αὐτῷ ῥᾳδίαν εἶναι, εἴ τινος αἴσθοιτο κακοῦ. ἑώρα γὰρ ἤδη πάντας πρὸς αὐτὸν κακῶς διακειμένους, καὶ μισοῦντας τῆς πονηρίας καὶ τῆς τοσαύτης τῶν Ῥωμαίων φθορᾶς, οὐ τοὺς ἔξωθεν μόνον, ἀλλὰ καὶ τοὺς οἰκειοτάτους αὐτούς· οἱ δύο γὰρ τῶν υἱῶν πολλὴν αὐτοῦ καταγνόντες σκαιότητα καὶ μοχθηρίαν τρόπων, ἀπέστησαν πρὸς βασιλέα· ὥστε καὶ πρός τινας αὐτῷ τῶν ἀπορρήτων κοινωνοῦντας λέγειν, οὐ δὶς καὶ τρὶς, ἀλλὰ καὶ πολλάκις, ὡς ὁρῶμεν ἤδη Καντακουζηνὸν ἰσχύοντα μεγάλα, καὶ δεδοίκαμεν μὴ καὶ Βυζαντίου περιγένηται· ἀλλ' εἴγε καὶ τοιοῦτο συμβαίη, γῆς μόνης κρατήσει καὶ οὐρανοῦ, τἄλλα δὲ αὐτὸς διαφθερεῖ πολεμῶν αὐτῷ μέχρι καὶ τοῦ δυνατοῦ, εἰ μέλλει καὶ αὐτὸς συνδιαφθείρεσθαι αὐτοῖς. [5]

2 542 τῆς τε οὖν φρουρᾶς τῆς περὶ ἑαυτὸν πολλὴν ἐποιεῖτο πρόνοιαν, καὶ τὸ ἐν βασιλείοις τοῖς Κωνσταντίνου δεσμωτήριον κατεσκεύαζεν ᾗ διενοεῖτο, δημιουργοῖς τισι τὸ ἔργον ἐπιτρέψας. συχνῶς δὲ καὶ αὐτὸς ἐπιφοιτῶν, ἐπεσκέπτετο τὸ ἔργον καὶ προσηνάγκαζε τάχιον κατασκευάζειν. οἱ δεσμῶται δὲ τό,τε δεσμωτήριον ὁρῶντες κατασκευαζόμενον, οὕτω δεινὸν καὶ ὀλίγα τάφων ἀποδέον, καὶ τὴν διάνοιαν οὐκ ἀγνοοῦντες, ἐσκέψαντο αὐτὸν ἀποκτείνειν, ὅταν γένηται ἐκεῖ, ἀμφοτέρωθεν αὐτοῖς οἰόμενοι τὸν ἐκείνου λυσιτελήσειν φόνον. ἄν τε γὰρ ἐπιτυγχάνωσιν, ἀπαλλάξεσθαι δεινοῦ τοσούτου καὶ ζήσειν ἐλευθέρως· ἄν τε ἡττῶνται, ἀποθνήσκειν καὶ αὖθις ἀπαλλάττεσθαι τοῦ ζῶντας κατορωρύχθαι. τοιαῦτα μὲν οἱ δεσμῶται ἐβουλεύσαντο καὶ παρετήρουν καιρὸν, ἐν ᾧ ἀποκτενοῦσιν ἐπιθέμενοι. δοὺξ δὲ ὁ μέγας τὸν ἄλλον χρόνον, ἡνίκα ἔδει πρὸς τὰ Κωνσταντίνου τοῦ μεγάλου βασίλεια εἰσέρχεσθαι, πολλὴν πρόνοιαν αὐτοῦ ποιούμενος, (ἑπομένους τε γὰρ εἶχεν ἀεὶ τῶν δορυφόρων ὁπλιτῶν πολλοὺς, καὶ τοὺς δεσμώτας πέμπων κατέκλειεν ἐν ταῖς εἱρκταῖς, ἄχρις ἂν ἐκεῖθεν ἀπαλλάττοιτο,) τότε τῶν δεόντων οὐδὲν ἐποίει, τὸ φρονεῖν ὑπὸ θεοῦ, ὡς ἔοικε, παρῃρημένος καὶ ἐγκαταλειφθεὶς πρὸς τὸ ἀποθανεῖν. [20]

2 543 ἀλλὰ οἵ τε δεσμῶται διεσκεδασμένοι, περιῄεσαν τῶν βασιλείων τὴν αὐλὴν, καὶ αὐτὸς τὴν περὶ αὐτὸν δορυφορίαν ἔξω καταλιπὼν, εἰσῄει ἑνὸς παρεπομένου μόνου. οἱ δεσμῶται δὲ ὡς εἶδον οὕτως ἀφύλακτον εἰσιόντα, καιρὸν ἐπιθέσεως νομίσαντες, ὥρμησαν ἐπ' αὐτὸν, ὀλίγοι τινὲς πρῶτον, οἳ ἔτυχον ὄντες ἐν ταὐτῷ. ἐν οἷς καὶ ὁ ἀνεψιὸς ἦν αὐτῷ Ἀλέξιος ὁ δοὺξ ὑπὲρ Καντακουζηνοῦ τοῦ βασιλέως τὸ δεσμωτήριον κατακεκριμένος καὶ αὐτὸς ὑπὸ τοῦ θείου. πρῶτα μὲν οὖν ἐχρῶντο λίθοις ἐπ' αὐτῷ· οὐ γὰρ εὐπόρουν τινὸς σιδήρου. ἔπειτά τις αὐτῶν

ροπάλῳ κατὰ τύχην εὑρημένῳ ἔπληξε κατὰ τῆς κεφαλῆς πολλάκις καὶ κατήνεγκε. μετὰ τοῦτο δὲ χρησάμενοι σκεπάρνῳ τῶν τὸ δεσμωτήριον οἰκοδομούντων τεκτόνων, ἀπέτεμον αὐτοῦ τὴν κεφαλήν. ἡ δὲ περὶ μέγαν δοῦκα φρουρὰ καὶ οἱ ἄλλοι, ὅσοι εἵποντο, ὡς ᾐσθάνοντο ἐκεῖνον τεθνεῶτα, οὐ πρὸς ἄμυναν ἐτράποντο ὑπὲρ ἐκείνου, ἀλλὰ καταπλαγέντες πρὸς τὴν τόλμαν, ἄλλοι ἄλλοσε διεσκεδάσθησαν. οἱ δεσμῶται δὲ πρῶτα μὲν πρὸς τὴν ταραχὴν συνέδραμον πάντες. ἠγνόουν γὰρ αὐτῶν οἱ πλεῖστοι ὅ,τι εἴη. ὡς δὲ ἔγνωσαν τὸν μέγαν δοῦκα τεθνηκότα, τὸ σῶμα μὲν ἀνήρτησαν ἐπὶ τῶν τειχῶν τῶν θρασυτέρων τινές. τὴν κεφαλὴν δὲ περιπείραντες ἀκοντίῳ, καὶ αὐτὴν ὁμοίως ἐπέστησαν τοῖς τείχεσιν, ἵν’ εἴη πᾶσι καταφανής. [20]

2 544 ᾠοντο γὰρ μᾶλλον κεχαρισμένα τῷ δήμῳ δρᾶν, πολέμιον κοινὸν τὸν μέγαν δοῦκα ἡγουμένῳ, οἷα δὴ τοῦ ἐμφυλίου πολέμου ὄντα αἰτιώτατον. πάντες γὰρ ἤδη τὰ γεγενημένα οὐκ ἠγνόουν. αὐτοὶ δὲ παρεσκευάζοντο ἐκ τῶν ἐνόντων, ὡς ἀμυνούμενοι, ἂν ἐπίωσί τινες, τοῖς τείχεσι τῶν βασιλείων μάλιστα θαῤῥοῦντες οὖσιν ὑψηλοῖς. ἅμα δὲ καὶ ὑπέσαινέ τις αὐτοὺς ἐλπὶς, ὡς οὐδεὶς ὑπὲρ ἐκείνου ἀμυνεῖται, πάντων ἐχθραινόντων, καὶ ἡ βασιλὶς δὲ, δείσασα μή τι νεωτερίσωσι πλέον περὶ αὐτῶν, οὐ μόνον ἀμνηστίας ὅρκους παρέξεται καὶ ἀπαθείας, ἀλλὰ καὶ πρὸς ἕτερά τινα αἰτήματα ὑπείξει. ἡ μὲν οὖν βασιλὶς αὐτίκα ὡς ἐπύθετο, πανυπερσέβαστον Ἰσαάκιον ἐκέλευε τὸν Ἀσάνην, (οὗτος γὰρ αὐτίκα διεδέχετο τῶν πραγμάτων τὴν ἀρχὴν,) πᾶσαν πρόνοιαν ποιήσασθαι καὶ ὅρκους παρέχειν τοῖς δεσμώταις, ὥστε τῶν βασιλείων ἐξελθεῖν. ἔδεισε γὰρ περὶ αὐτῶν ἅπερ κἀκεῖνοι ὑπενόουν. ἐκεῖνος δὲ, ὄχλου πολλοῦ πραγμάτων ἀθρόον περὶ αὐτὸν γεγενημένου, ἠμέλει τῶν δεσμωτῶν. καὶ τήν τε ἡμέραν ἐκείνην καὶ τὴν νύκτα διήγαγον, οὐδενὸς ἐπιθεμένου· καθ’ ἣν εἰ ἐβούλοντο, διεσώζοντο ἂν, ἢ ἐν τῷ τῆς τοῦ θεοῦ γενόμενοι νεῷ Σοφίας, ἢ ἄλλοσέ ποι διασκεδασθέντες· οὐδεὶς γὰρ αὐτοὺς ἐφρούρει. μεγάλα δὲ ἐλπίσαντες ἀνοήτως, καὶ τῆς φίλης ἀπεστέρηνται ζωῆς. ἐς τὴν ὑστεραίαν γὰρ Τζεφραίτις ἐκ τῶν οἰκετῶν μεγάλου δουκὸς, αἵμασι χαίρων ἄνθρωπος καὶ πικρὸς καὶ ἀπάνθρωπος κολαστὴς, (δημίου γὰρ ἐπεῖχε τόπον ἐκείνου περιόντος,) ὑπὲρ τοῦ δεσπότου ἀμυνόμενος, τὸν δῆμον ἐκίνει, καὶ μάλιστα τὸ ναυτικὸν, εὔνοιαν πρὸς ἐκεῖνον κεκτημένον οὐ μικρὰν, οἷα δὴ περὶ αὐτοὺς ἀεὶ ἠσχολημένον. [20]

2 545 καὶ ὅπλα ἀναλαβόντες ἐχώρουν ἐπ’ ἐκείνους. οἱ δὲ τῶν χρησίμων εὐποροῦντες οὐδενὸς, (ὅπλα τε γὰρ αὐτοῖς οὐ παρῆσαν, οἷς φραξάμενοι ἐπιστήσονται τοῖς τείχεσι, καὶ τὸ τοῦ φρουρίου μέγεθος κρεῖττον ἦν, ἢ ὥστε παρ’ αὐτῶν φυλάττεσθαι, ὄντων ἐλασσόνων, ἀπείρων τῶν ἐπικειμένων ὄντων καὶ πανταχόθεν περιῤῥυέντων,) ὡς ᾐσθοντο διορυσσόμενα τὰ τείχη καὶ ἁλίσκεσθαι μέλλειν ἤδη, τὸ φρούριον ἐκλιπόντες ἐπὶ τὸν ἐγγὺς κατέφυγον ναὸν τὸν τῶν ἐννέα ταγμάτων προσαγορευόμενον. καὶ οἱ μὲν αὐτῶν τὰ ἄδυτα εἰσῄεσαν, οἱ δὲ ἐν ὑπονόμοις κατεκρύπτοντο οὖσιν ἐκεῖ πλείστοις καὶ δυσελίκτοις. ὁ δῆμος δὲ ἐπελθόντες ὁρμῇ τινι ἀσχέτῳ καὶ μανιώδει, τοὺς μὲν αὐτῶν ἀπέσφαξαν τῶν ἀδύτων ἔνδον, τοὺς δὲ ἄλλους οἳ κατελαμβάνοντο, καὶ διέδρασαν τὸν κίνδυνον ὀλίγοι πάνυ καὶ μάλιστα οἱ τὸν μέγαν δοῦκα ἀπεκτονότες. οἱ δ’ ἄλλοι πάντες ἀπεσφάγησαν ὄντες οὐκ ὀλίγοι. σαφέστατα γὰρ τὸν ἀριθμὸν οὐκ ἐξεγένετο μαθεῖν, οἷα δὴ ἐκ διαφόρων πόλεων συνειλεγμένων. ἐκεῖνοι μὲν οὖν οὕτω τόν τε μέγαν δοῦκα ἐπιθέμενοι ἀπέκτειναν καὶ αὐτοὶ ἀπώλοντο ὑπ’ ἀβουλίας. οἱ δὲ ἐν Βυζαντίῳ φίλοι βασιλεῖ, ὡς ἐγένετο αὐτίκα φανερὸς τεθνηκὼς ὁ μέγας δοὺξ, γράμματα πρὸς βασιλέα ἔγραφον περὶ τῶν γεγενημένων καὶ παρῄνουν, πάντα ἐν ὑστέρῳ θέμενον τάχιστα ἥκειν πρὸς Βυζάντιον, ὡς τῶν δεσμωτῶν τὰ Κωνσταντίνου τοῦ μεγάλου βασίλεια κατασχησόντων, καὶ εἰ τάχιστα παραγένοιτο, Βυζάντιον παραληψόμενος ἐκεῖθεν. [25]

2 546 τὰ μὲν οὖν τῶν φίλων γράμματα ἐν τῇ τοῦ Γαβριὴλ προσαγορευομένῃ κώμῃ ἐστρατοπεδευμένῳ ἦκον βασιλεῖ. ἅμα δὲ καὶ ἐκ Διδυμοτείχου παρὰ γυναικὸς τῆς βασιλίδος ἀπηγγέλλετο τὰ ἴσα. πθ′. Τῆς αὐτῆς δὲ ἡμέρας καὶ οἱ πρὸς Κράλην πεμφθέντες πρέσβεις

ἐπανῆκον ἀπήγγελλόν τε, ὡς Κράλης μὲν καὶ πρὶν αὐτοὺς ἥκειν ἀποσταίη Φερῶν πρὸς τὴν οἰκείαν, δείσας τῶν Περσῶν τὴν ἔφοδον, ὡς ἠγγέλλοντο ἐπιόντες. αὐτῶν τε ἔνθα ἦν παραγενομένων καὶ ἀπαγγειλάντων τὴν πρεσβείαν ἀποκρίνασθαι, ὡς εἰδείη καὶ αὐτὸς τὰ δίκαια καὶ διὰ τοῦτο ἀποσταίη καὶ Φεραίων, οἷς ἐξέσται βασιλεῖ χρῆσθαι ὡς οἰκείοις. ἔλεγον δὲ οἱ πρέσβεις, τοὺς Φεραίους δεῖσθαι πολλῆς προνοίας τῆς τε ἄλλης καὶ τοὺς τὰ Κράλη πράσσοντας ἐξελαθῆναι· οὐ γὰρ ἐάσουσιν ἐκεῖνοι τὸν ὄχλον ἠρεμεῖν, ἀλλὰ ἀναπείσουσι Κράλῃ προσχωρεῖν, ἂν ἀπολαύωσιν ἀδείας. βασιλεῖ μὲν οὖν ἐδόκει ἀμφοτέροις δεῖν σπουδῆς πολλῆς καὶ τῶν ἀναγκαιοτάτων ἄμφω εἶναι, καὶ ἐμερίζετο τοῖς λογισμοῖς· ἐκκλησίαν δὲ ἐκ τῶν ἐν τέλει ποιησάμενος, καὶ Ἀμοὺρ παρόντος τοῦ σατράπου καὶ Σουλιμὰν τοῦ Σαρχάνη παιδὸς, εἰς κοινὸν προὐτίθει τὴν βουλὴν καὶ ἐκέλευε γνώμην ἕκαστον εἰσάγειν, ἥ ἂν ἐν τοῖς παροῦσι δοκοίη λυσιτελεστέρα εἶναι. ἐδόκει μὲν οὖν πᾶσι κοινῇ πρὸς Βυζάντιον ἰτέον εἶναι καὶ μὴ μέλλειν· οὐ γὰρ τὰ πράγματα αὐτοὺς ἀναμενοῦσιν, ἂν τρίβωσι τὸν καιρὸν καὶ διαμέλλωσι. [20]

2 547 βασιλεὺς δὲ οὐκ ὀρθῶν ἔχεσθαι λογισμῶν τὰ εἰρημένα ἀπεδείκνυ. τοὺς μὲν γὰρ φίλους γεγραφέναι, ὡς παρακοιμώμενον ἀπεκτονότες οἱ δεσμῶται τὰ Κωνσταντίνου βασίλεια αὐτοὶ κατέσχον· ἄδηλον δὲ εἶναι, εἰ κατέχουσι καὶ μέχρι νῦν. εἰ μὲν γὰρ ἅπασα ἡ πόλις προσεχώρησεν ἡμῖν καὶ οὐδὲν ἐκείνοις ἐνοχλοῦσι διὰ τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς, τί δεῖ ταχυτῆτος πρὸς ἐκείνους, μήτ' αὐτῶν οὐδένα κίνδυνον ὑποπτευόντων καὶ ἡμῶν ζημιουμένων διὰ τὴν μέλλησιν μηδέν; εἰ δ' ὥσπερ πρότερον αὖθις πολεμοῦσι καὶ τειχομαχίας πρὸς αὐτοὺς ὁ δῆμος ποιοῦνται ἐπιόντες, οὐχ ὁρῶ τὴν δύναμιν, ὑφ' ἧς αὐτοὶ περιποιήσονται τὸ φρούριον. οὔτε γὰρ ὅπλων εὐποροῦσιν ἄοπλοι καὶ δεσμῶται ὄντες, οὔτε τῶν ἐπιτηδείων πρὸς τροφήν· τὰ γὰρ ἀναγκαῖα μόλις ἐχορηγοῦντο παρὰ τῶν φυλάκων γλίσχρως. πρὸς τούτοις δὲ οὐδὲ πρὸς τὸ τοῦ φρουρίου μέγεθος ἐξαρκέσουσιν ὀλίγοι ὄντες, αὐτό τε τὸ φρούριον ἠμελημένον ἐκ πολλῶν ἐτῶν ῥᾷστα προδώσει τοὺς ἐνόντας· ὥστε ἐμοίγε ἐκ πάντων ἄπορα εἶναι δοκεῖ, δυνήσεσθαι αὐτοὺς πρὸς τοσοῦτον πόλεμον ἀντισχήσειν. εἰ δ' ὁθενδήποθεν ἐπικουρίας ἀπέλαυσάν τινος καὶ εὐπορήσαντες τῶν πρὸς τὴν χρείαν ἀντέσχον ἄχρι νῦν, καὶ μέχρι πολλοῦ δυνήσονται ἀντικαθίστασθαι· οὐ δὴ δι' ἐλπίδα ἄδηλον τῶν ἐν χερσὶν ἀγαθῶν ἀποσχέσθαι δέον. Φεραὶ γὰρ οὐ φαύλη πόλις καὶ οἵα καταφρονηθῆναι, ἀλλὰ μεγάλη τε καὶ θαυμασία καὶ ἀναγκαία τῇ Ῥωμαίων ἀρχῇ παρεῖναι. [20]

2 548 δι' ἃ δεῖν οἶομαι τὴν μὲν ἄλλην ἅπασαν στρατιὰν ἐπὶ Βυζάντιον χωρεῖν αὐτίκα, ἐμὲ δὲ τρισχιλίους παραλαβόντα στρατιώτας ἀφικέσθαι εἰς Φεράς, καὶ μίαν ἡμέραν ἐκείνοις συγγενόμενον καὶ προνοίας ἀξιώσαντά τινος, ἔπειτα καὶ τοὺς τὰ Κράλη ᾑρημένους ἐκεῖθεν ἐξελάσαντα, αὖθις ἀναστρέφειν. τῆς ἄλλης δὲ στρατιᾶς διὰ βαρύτητα καὶ πλῆθος πυκνοτέρας τὰς στρατοπεδείας ποιουμένης, ὑστερήσομεν οὐδὲ αὐτοὶ εὐσταλεῖς τε ὄντες καὶ ὀλίγοι καὶ ῥᾷον τὴν ὁδοιπορίαν διανύοντες. καὶ τήν τε πρόνοιαν ποιησόμεθα Φερῶν τηλικαύτης πόλεως, καὶ πρὸς τὴν εἰς Βυζάντιον ὁδοιπορίαν ζημιωσόμεθα οὐδέν. εἰ δέ τινος ἀπολειπόμενοι καὶ τῶν δεόντων, οὐ περιγενοίμεθα τοῦ Βυζαντίου νῦν, ἀλλ' εἰσαῦθις ἔξεστιν οὐκ ἀγεννεῖς περὶ αὐτοῦ ἐλπίδας ἔχειν· Φεραὶ δὲ εἰ ἀμεληθεῖσαι ὑπὸ Κράλην γένοιντο, αὐτάς τε ἀνασώζεσθαι ἐλπὶς οὐκέτι οὐδεμία, καὶ τὰς ἄλλας τῆς Μακεδονίας πόλεις ὥσπερ μεθόριον κειμένη τῆς ἄλλης ἀρχῆς Ῥωμαίων διατέμνει. ἃ χρὴ συνορᾷν καὶ μὴ ἀδήλων ἕνεκα τὰ πρόδηλα προΐεσθαι καλά." τοιαῦτα μὲν ὁ βασιλεὺς ἐπ' ἐκκλησίας συνεβούλευε, καὶ ἐπείθοντο οἱ πλεῖστοι Ῥωμαίων τῶν ἐν τέλει. Ἀμοὺρ δὲ μετὰ Σουλιμὰν καὶ τῶν ἄλλων Περσῶν ἀντεῖπον φανερῶς, οὐ λυσιτελοῦντα εἰπόντες βασιλέα βεβουλεῦσθαι, λόγων ἡκόντων περὶ Βυζαντίου, καὶ τοσαύτης ἐλπίδος ὑποφαινομένης, ἐκείνων μὲν ἀμελεῖν, πρὸς ἕτερον δέ τι τρέπεσθαι, κἂν πάνυ τῶν βελτίστων ᾖ. [20]

2 549

οὐ γὰρ περὶ μιᾶς καὶ δύο πόλεων τὴν διαφορὰν αὐτῷ πρὸς τοὺς ἄλλους Ῥωμαίους εἶναι, ἀλλὰ κοινῇ περὶ συμπάσης τῆς ἀρχῆς, ἧς ὡσπερεὶ κεφάλαιόν ἐστι Βυζάντιον· κἂν μὴ ἐκείνου περιγένηται, οὐδέποτε βεβαίως τὴν ἡγεμονίαν ἕξειν. Φεραὶ δὲ εἰ νῦν προσχωρήσουσι Τριβαλοῖς, οὐ μακρῷ ὕστερον ἀνασωθήσονται αὐτοῖς ἐπιστρατεύσαντος καὶ αὐτοὺς ἐπαγομένου καὶ δούλους καὶ συμμάχους. οἱ μὲν οὖν Περσῶν ἄρχοντες τοιαῦτά τε ἀντεῖπον καὶ ἐδέοντο βασιλέως σφίσι πείθεσθαι· ἅμα δὲ καὶ ὥρμητο ἡ στρατιὰ ἀναζευγνύειν. βασιλεὺς δὲ ἐπεὶ ἑώρα πράττειν ἑτέρως ἀδυνάτως ἔχων, ἐπέτρεπε τὴν ἐς Βυζάντιον ἐπάνοδον. ἐπεὶ δὲ ἦκον, τούς τε δεσμώτας εὗρον ἀποτεθνηκότας καὶ τὰ ἄλλα πράγματα ἐν ἡσυχίᾳ. μετὰ γὰρ τὴν μεγάλου δουκὸς τελευτὴν, ἐπὶ δύο καὶ τρισὶν ἡμέραις ταραχῆς καὶ συγχύσεως γεγενημένης, ἔπειτα ἠρέμει, Ἰσαακίου τοῦ πανυπερσεβάστου τὴν ἀρχὴν τῶν ὅλων διαδεξαμένου, συνάρχοντος αὐτῷ καὶ Κιννάμου τοῦ μυστικοῦ, καὶ πάντα ἔπραττον αὐτοὶ, καὶ πατριάρχου ὥσπερ πρότερον συμμετέχοντος τῆς διοικήσεως. μετὰ δὲ τὴν μεγάλου τελευτὴν δουκὸς, ἡ γυνὴ τὸν πλοῦτον πάντα ἔχουσα ὄντα οὐκ ὀλίγον, συνειδυίας καὶ τῆς βασιλίδος καὶ μηδὲν περὶ τῶν χρημάτων ἐνοχλούσης, ἀνεχώρησεν εἰς Ἐπιβάτας. ἐλέγετο δὲ πρὸ τῆς τελευτῆς μικρὸν, πάντα ὅσα εἶχεν ὁπουδήποτε, εἰς Βυζάντιον ἀγαγεῖν· σκοπὸς δὲ ἦν αὐτῷ, ὡς βασιλίδι τὸν πλοῦτον ποιήσας δῆλον, ὃν ὑπὲρ αὐτῆς καὶ τέκνων ἀναλώσει, οὕτω πείθειν αὐτὴν θυγατέρα τὴν ἐκείνου βασιλεῖ προσαρμόζειν τῷ υἱῷ. [20]

2 550 βασιλεὺς δὲ ὁ Καντακουζηνὸς, ἐπεὶ ἐκ Βυζαντίου οὐδὲν ἀπήντα κατ' ἐλπίδας, οὐ μετρίως ἠνιᾶτο καὶ τοὺς ἄρχοντας Περσῶν καὶ τοὺς ἐν τέλει ἐν αἰτίαις εἶχεν, ὅτι διὰ τὴν αὐτῶν ἀβουλίαν καὶ μικροψυχίαν Φερῶν τε καὶ τῶν κατὰ Μακεδονίαν πόλεων ἀποστεροῖτο. ὑπώπτευε γὰρ μετὰ τὴν ἐκείνων ἀναχώρησιν ῥᾳδίως παραστήσεσθαι τὸν Κράλην, ἀπειρηκυίας ἤδη πρὸς τὴν ἐκ βασιλέως ἐπικουρίαν, καὶ παρῄνει τοῖς ἄρχουσι Περσῶν, αὖθις εἶναι δέον εἰς Μακεδονίαν ἀναστρέφειν. συνορῶντες δὲ ἤδη καὶ αὐτοὶ, ὡς ἐκ Βυζαντίου μὲν οὐδὲν ἔσται πλέον, (ἅπαντα γὰρ ἤδη ἐν τάξει ἦσαν, καὶ οὐδὲν ἔνδον ἐταράττετο,) λυσιτελοίη δὲ αὖθις πρὸς Μακεδονίαν συνεκστρατεύειν βασιλεῖ, ἐπείθοντο ἀνιωμένῳ διὰ τὴν ἐπάνοδον. καὶ ἐπεὶ ἐδέδοκτο πρὸς τὴν ἑσπέραν αὖθις ἐκστρατεύειν, εἰς Ἀπάμειαν ἐστρατοπεδεύσαντο ἐλθόντες. ἐστρατοπεδευμένοις δὲ ἐκεῖ ὁ τοῦ Σαρχάνη υἱὸς Σουλιμὰν ἀθρόον ὑπὸ λαυροτάτων κατεσχέθη πυρετῶν· οἱ περὶ αὐτὸν δὲ ἀκροτάτως χρησάμενοι ψυχρᾷ διαίτῃ, εἰς τοὐναντίον περιέστησαν τὸ νόσημα, καὶ τῶν πυρετῶν ἐπιλειπόντων, ἄκρως καταψυχθεὶς, ἔμελλεν ἐκλείπειν ὑπὸ συγκοπῆς, τοῦ περικαρδίου αἵματος οὐκ ἐξαρκοῦντος ἀντέχειν πρὸς τὴν νέκρωσιν. Ἀμοὺρ δὲ τῆς αἰτίας στοχαζόμενος τοῦ κινδύνου, ἀντέπραττεν ὅσα ἐξῆν πρὸς τὸ κακόν. θηριακήν τε γὰρ παρείχετο πίνειν καὶ ἄκρατον οἶνον παλαιόν. [20]

2 551 τῶν πυρετῶν δὲ αὖθις ἰσχὺν λαβόντων, οἱ περὶ Σουλιμὰν ἐχρῶντο τοῖς προτέροις αὖθις, ἀπειρίαν πολλὴν Ἀμοὺρ κατεγνωκότες· νεκρωθείσης δὲ αὖθις τῆς καρδίας, ἀπέθανε παραχρῆμα. οἱ δὲ περὶ ἐκεῖνον οὐκ αὐτοὺς τοῦ θανάτου ᾠοντο αἰτίους εἶναι, ἀλλὰ Ἀμοὺρ κατηγόρουν φανερῶς, ὡς ἀπεκτονότος δηλητηρίῳ, ἡνίκα παρείχετο τὸν οἶνον. ἃ πυθόμενος ὁ Ἀμοὺρ ἔδεισε περὶ τῆς ἀρχῆς, μὴ Σαρχάνης ὁ πατὴρ περὶ τῆς τελευτῆς πυθόμενος τοῦ υἱοῦ καὶ πιστεύσας τῇ διαβολῇ, ὡς παρ' αὐτοῦ ἀναιρεθείη, ἐπίθηται, αὐτοῦ ἀπόντος μετὰ τῆς στρατιᾶς, καὶ ὑπαγάγηται τὰς πόλεις ἀμυνόμενος. δι' ἃ ἐδόκει δεῖν τὴν ταχίστην οἴκαδε ἀναχωρεῖν πρὶν ἔκπυστα γενέσθαι τὰ κατὰ τὸν Σουλιμάν. Ἀμοὺρ μὲν οὖν ἐκ τοιαύτης αἰτίας αὖθις εἰς Ἰωνίαν ἀπεχώρει, καίτοι γνώμην ἔχων, ἄχρις ἂν ὁ πόλεμος καταλυθῇ, συνέσεσθαι τῷ βασιλεῖ. καὶ μόλις ἔπειθε Σαρχάνην, πίστεις μεγάλας παρεχόμενος, ὡς οὐδὲν αὐτὸς περὶ τὸν υἱὸν ἐκείνου κακουργήσειεν, ἀλλὰ συκοφαντοῖτο ὑπὸ τῶν εἰπόντων. βασιλεὺς δὲ εἰς Διδυμότειχον ἦκεν, ἀνιώμενος πολλὰ περὶ Φερῶν καὶ τῶν ἄλλων τῶν κατὰ Μακεδονίαν πόλεων. ἐδεδίει γὰρ, μὴ ἁλῶσι Τριβαλοῖς, ὅπερ δὴ ἐγένετο ὀλίγῳ ὕστερον. ἐπεὶ γὰρ ἐπύθετο ὁ Κράλης εἰς τὴν ἕω διαβὰν

τὸ Περσικὸν, αὖθις ἐπιθέμενος Φεραῖς, εἶλε, τῶν τὰ ἐκείνου ᾐρημένων ἔνδον πραξάντων, ὡς ἐλάβοντο καιροῦ. καὶ μετὰ τοῦτο ἐκεῖνος ἤδη μέγα φρονῶν καὶ τοῦ πλείονος μέρους τῆς Ῥωμαίων ἀρχῆς ἐπειλημμένος, βασιλέα ἑαυτὸν ἀνηγόρευε Ῥωμαίων καὶ Τριβαλῶν, τῷ δὲ υἱῷ τὴν τοῦ Κράλη παρείχετο προσηγορίαν. [20]

2 552 ρ′. Βατάτζης δὲ ὁ μέγας στρατοπεδάρχης, ὑπὸ βασιλέως καταλελειμμένος μετὰ στρατιᾶς, ὥστε κατατρέχειν Βυζάντιον καὶ κακοῦν, πρῶτα μὲν ἐποίει κακῶς τὴν χώραν καὶ ἐληΐζετο συχναῖς ἐφόδοις· ἐπιστρατευσάντων δὲ αὐτῷ τῶν Βυζαντίων, ὧν ἐστρατήγει Ἀπλησφάρης, ἐνίκησε συμβαλὼν καὶ ζῶντάς τε ἐκράτησε πολλοὺς καὶ ἀπέκτεινε κατὰ τὴν μάχην, ἑάλω δὲ καὶ ὁ στρατηγός. μετὰ δὲ τὴν Βυζαντίων ἧτταν ὁ Βατάτζης οἰηθεὶς, εἰ προσχωρήσει βασιλίδι, πρῶτος ἔσεσθαι αὐτὸς καὶ πάντων βεβαίως ἄρξειν, τῶν ἄλλων περὶ μάχας καὶ πολέμους οὐδενὸς ἀξίων ὄντων, ἄλλως θ’ ὅτι καὶ πατριάρχης κατὰ γένος αὐτῷ προσήκων, (τὴν γὰρ ἐκείνου θυγατέρα ὁ Βατάτζη ἔγημεν υἱὸς,) πρὸς τὴν ἀρχὴν αὐτῷ μάλιστα συμπράξειε, πέμψας πρὸς βασιλίδα διελέγετο περὶ συμβάσεων, καὶ ἐπηγγέλλετο Καντακουζηνῷ τῷ βασιλεῖ ἀντιτάξεσθαι, αὐτὸς δυνάμενος ἐκ Περσῶν στρατιὰν ἐπ’ ἐκεῖνον ἀγαγεῖν. ἦν γὰρ πρός τινας τῶν σατραπῶν φιλίαν ἔχων τῷ τε τὴν φωνὴν αὐτῶν εἰδέναι καὶ διαλέγεσθαι Περσιστὶ, ἄλλως θ’ ὅτι καὶ βασιλεὺς παρὰ τὸν τοῦ πολέμου χρόνον διὰ ταύτην τὴν αἰτίαν τοῖς Πέρσαις ἐκέλευεν ἀεὶ συνεῖναι· ἐξ ὧν ἐγίνετο ἐν συνηθείᾳ πρὸς αὐτούς. ἡ βασιλὶς δὲ ἀσμένως τε ἐδέξατο τὸν λόγον καὶ πάντα προθύμως ἐπηγγέλλετο ποιήσειν, ὅσα ὁ Βατάτζης ᾔτει· περὶ πλείστου γὰρ ἐποιεῖτο τὸ τοὺς ἀνθισταμένους εἶναι βασιλεῖ. [20]

2 553 ἐξεφόβουν γὰρ κατάκρας πατριάρχης τε καὶ οἱ ἄλλοι τῶν πραγμάτων ἄρχοντες, πολλὰ καταψευδόμενοι βασιλέως, καὶ ἔπειθον ἐκείνην, ὡς, εἰ τρόπῳ δή τινι Βυζάντιον ἐκεῖνος ὑποποιήσαιτο, αὐτὴν αὐτίκα καὶ παῖδας ἀποκτενεῖ τῶν ὕβρεων ἕνεκα καὶ τῶν ἄλλων κακῶν τῶν εἰς ἐκεῖνον καὶ τοὺς συγγενεῖς γεγενημένων ἀμυνόμενος. διὸ πρὸς τὴν εἰρήνην ἤδη καὶ αὐτὴ ὑπὸ δειλίας ἀσυμβάτως εἶχε, καίτοι βασιλέως ἀεὶ δεομένου καὶ γράμματα πατριάρχῃ περὶ τῆς εἰρήνης πέμποντος, (ἃ οἱ ἄγοντες παρὰ τὸν τοῦ πατριάρχου θρόνον ἢ ἄλλοθί που, ἔνθα μάλιστα οὐκ ἐνῆν λαθεῖν, λάθρα ἔῤῥιπτον ἐρχόμενοι· ἐδεδίεσαν γὰρ φανερῶς παρέχεσθαι, οὐχ ἡμέρους ἀμοιβὰς δεχόμενοι τῶν πρεσβειῶν,) κἂν ἐκεῖνος τἀναντία ἔπραττεν ἀεὶ, τὸν πόλεμον ὡς μάλιστα ἐνῆν ἀνάπτων. Βατάτζης μὲν οὖν ἐλπίδων οὕτω μεγάλων ἕνεκα πολεμεῖν αὖθις ᾑρεῖτο βασιλεῖ, καὶ πρὸς τὸν Λυδίας σατράπην πέμψας, ᾔτει κατὰ συμμαχίαν στρατιάν. βασιλεὺς δὲ ἐπεὶ τὰ κατὰ Βατάτζην οὐκ ἠγνόει, πολλῶν ἀπαγγελλόντων, Καλόθετον τὸν πρωτοσέβαστον πέμψας, κατηγόρει τὴν ἀγνωμοσύνην καὶ τὴν ἀποστασίαν, ἐπεχείρει τε πείθειν, μὴ τοιαῦτα κακουργεῖν, ἀλλὰ τηρεῖν τοὺς ὅρκους τοὺς πρὸς αὐτὸν καὶ τὰς συνθήκας, ἥκειν τε πρὸς αὐτὸν ἐκέλευεν, ὡς πάντα πράξων, ὧν ἂν δέοιτο. Βατάτζης δὲ ἀπηγόρευε τὸ νῦν ἔχον ἥκειν πρὸς αὐτόν· δεδοικέναι γὰρ ἀπερισκέπτως οὕτω καὶ χωρὶς ὅρκων πρὸς αὐτὸν ἐλθεῖν· οὐδὲ γὰρ ἐξηρνεῖτο τὸ τῇ βασιλίδι περὶ τοῦ προσχωρεῖν αὐτῇ διαλεχθῆναι, μετὰ μικρὸν δὲ ἐπηγγέλλετο πρὸς βασιλέα πέμψειν, ὅρκους αἰτήσων ἀμνηστίας περὶ τῆς ἀποστασίας. [5]

2 554 ταῦτα δὲ σκήψεις καὶ προφάσεις ἦσαν· ἀλλὰ τὴν ἐκ Λυδίας περιμένων στρατιὰν, φενακίζειν ἐπεχείρει, ἄχρις οὗ δύναμιν κτησάμενος βεβαίαν, πολεμήσει πρὸς ἐκεῖνον φανερῶς. βασιλεὺς δὲ ποιούμενος περὶ πλείστου Βατάτζην ἔχειν, (ἦν γὰρ λόγου ἄξιος ὁ ἀνὴρ, οὐ συνέσει μόνον, ἀλλὰ καὶ ἐμπειρίᾳ καὶ τόλμῃ τῇ κατὰ τὰς μάχας,) καὶ πᾶσαν σπουδὴν ἐπιδείκνυσθαι δεῖν οἰόμενος τοῦ μὴ Βατάτζην πρὸς τοὺς πολεμίους ἀποστῆναι, (τοῖς γὰρ ἐν Βυζαντίῳ οὖσιν ἄρχουσι πολλὴν συνῄδει ἀτολμίαν καὶ ἀπειρίαν κατὰ τὰς μάχας,) Νικηφόρον ἔπεμπεν αὖθις τὸν Μετοχίτην, ὃς τὴν μεγάλου λογοθέτου ὕστερον τετίμητο ἀξίαν, ὅρκους κομίζοντα ἀμνηστίας, καὶ ἕτερα ἄττα ἐπαγγελλόμενον, ἃ ἐκεῖνος ἔφασκε βούλεσθαι πέμψας αἰτεῖν πρὸς βασιλέα. Μετοχίτης δὲ ἐπεὶ σαφῶς ἔγνω Βατάτζην ἀποστάντα βασιλέως, (ἤδη γὰρ καὶ ἡ

Περσικὴ στρατιὰ κατὰ τὴν Τηρίστασιν διέβαινεν ἐκ τῆς Ἀσίας, ἣν Βατάτζης ἐπὶ συμμαχίᾳ μετεπέμπετο,) τάχιστα ἀναστρέψας, ἀπήγγελλε τὴν ἀποστασίαν βασιλεῖ, καὶ ὡς ἤδη καὶ συμμαχίαν ἔχων Περσικὴν, τοῦ πολέμου ἄψαιτο. βασιλεῖ δὲ ἐδόκει μὲν αὖθις ἀναφαίνεσθαι δεινά· συναπέστησαν γὰρ αὐτίκα Βατάτζῃ καὶ πόλεις οὐκ ὀλίγαι Θρᾳκικαὶ, ὧν οἱ ἐκείνου ἦρχον συγγενεῖς, βασιλέως ἐγκεχειρικότος τὰς ἀρχάς· ὅμως ἀναγκαίως καὶ αὐτὸς παρεσκευάζετο πρὸς μάχην, καὶ πέμψας μετεκαλεῖτο τοὺς στρατιώτας ἐκ τῶν πόλεων, αἷς ἦσαν ἐγκαθιδρυμένοι· αὐτὸς δὲ ἐσκέπτετο, ᾗ χρὴ διαθέσθαι τὰ κατὰ τὸν πρὸς Βατάτζην πόλεμον, καὶ τῷ πεπρεσβευκότι πρὸς ἐκεῖνον διελέγετο Νικηφόρῳ τῷ Μετοχίτῃ ἐπὶ κλίνης ἀνακείμενος· νυστάξας δὲ ἐπὶ μικρὸν, ὕπνῳ κατελήφθη μεταξὺ διαλεγόμενος περὶ Βατάτζη. [10]

2 555 ἐδόκει δὲ ὁρᾶν κατὰ τοὺς ὕπνους νεανίσκους δύο τινὰς καλλίστους κάλλει, πέπλον φοινικοῦν ἔχειν, ᾧ χρυσοῦς ἐντετύπωτο σταυρὸς ἐπὶ τὰ τέσσαρα διήκων ἄκρα. ἐγέγραπτο δὲ καὶ περὶ τὸν σταυρὸν γράμμασι καὶ αὐτοῖς χρυσοῖς· „Ἰησοῦς Χριστὸς νικᾷ.“ ᾧ φέροντες οἱ νεανίσκοι περιεκάλυπτον τὸν βασιλέα. ταῦτα μὲν οὖν ὁ βασιλεὺς ἑώρα κατὰ τοὺς ὕπνους, καὶ ἔξυπνος γενόμενος διηγεῖτο τοῖς παροῦσιν. ἐδόκει δὲ αὐτοῖς τε καὶ βασιλεῖ, ἀγαθοῦ τινος τὸν ὄνειρον εἶναι μηνυτήν· ἐλέγετο δὲ, ὡς τῆς αὐτῆς ὥρας Βατάτζης ἀνῄρητο ὑπὸ Περσῶν. οὕτω γὰρ ἐξετάζοντι ἐμηνύετο ὕστερον τῷ βασιλεῖ. ὁ γὰρ Βατάτζης, ἐπεὶ οἱ Πέρσαι παρῆσαν, ὅτι μὲν πρὸς Καντακουζηνὸν τὸν βασιλέα πόλεμον ἀνῄρητο, οὐκ ἐδήλου· τοῦτο δὲ μόνον ἔφασκεν, ὡς ἡγήσοιτο ἐπὶ λεηλασίᾳ, οἰόμενος, εἰ ἐπαγάγοι ταῖς ὑπὸ βασιλέα πόλεσι καὶ ἐπιδείξοι διεσκεδασμένους ἀνθρώπους καὶ βοσκήματα πολλὰ, ἐπιθυμίᾳ κέρδους αἱρήσεσθαι καὶ τοὺς βαρβάρους τὸν πρὸς βασιλέα πόλεμον. [20]

2 556 τοῦτο δ’ ἐναντίως ἀπέβαινεν ἢ ἐκεῖνος ᾤετο. ὡς γὰρ ἐγένετο ἐπὶ Γαρέλλαν, καὶ ἐπέτρεπε τὴν λείαν πολλὴν ὁρωμένην ἀνθρώπων ὁμοῦ καὶ βοσκημάτων, οἱ Πέρσαι μὲν ἠρώτων, εἰ μὴ ὑπὸ Καντακουζηνὸν τὸν βασιλέα ἡ χώρα εἴη. τοῦ δὲ ἐξειπόντος τὸ ἀπόῤῥητον καὶ παραινοῦντος πολυπραγμονεῖν μηδὲν, ἀλλ’ ἐμπίπλασθαι τῶν ἀνδραπόδων, οἱ βάρβαροι ἀγανακτήσαντες πρὸς τὴν ἀπάτην, ὅτι μηδὲν εἰδότας ἐπὶ βασιλέα ἤγαγε, καὶ δυσχεράναντες ὑπὲρ ἐκείνου, Βατάτζην μὲν ἀποκτείνουσιν αὐτίκα, τοὺς ἄλλους δὲ Ῥωμαίους, ὅσοι συνῆσαν, ἐξανδραποδίσαντες καὶ τὸν υἱὸν, ἀνεχώρησαν ἐπ’ οἴκου, μηδὲν ταῖς ὑπὸ βασιλέα πόλεσι τελούσαις λυμηνάμενοι. Βατάτζης μὲν οὖν τοιαύτην ἔδωκε δίκην τῆς ἀγνωμοσύνης. αἱ δὲ συναποστᾶσαι πρότερον ἐκείνῳ πόλεις καὶ μετὰ τὴν ἐκείνου τελευτὴν οὐ προσεχώρησαν τῷ βασιλεῖ, ἀλλὰ μέχρι πολλοῦ ἐπολέμησαν ἀντέχουσαι. ἐξ ἐκείνων δὲ τῶν πόλεων καὶ ἡ τὸν Ἐμπυρίτην ὄντες κατέχουσα φρουρὰ, τὸν ἄρχοντα συλλαβόντες σφῶν Ἀρχοντίτζην προσαγορευόμενον, αὐτόν τε παρέδοσαν βασιλίδι καὶ τὸ φρούριον. καὶ τυχόντες ἀδείας εἰς τὰς οἰκίας ἐπανῆλθον. Ἰωάννης τε Ἀπόκαυκος ὁ τοῦ μεγάλου δουκὸς ἀδελφὸς νυκτὸς ἐπελθὼν τὸ Ῥήγιον εἶλε προδοσίᾳ, καὶ τὴν βασιλέως ἐξήλασε φρουράν. βασιλεὺς δὲ, ἐπεὶ ἡ στρατιὰ διὰ τὸν πρὸς Βατάτζην πόλεμον ἤδη ἠθροισμένη ἦν, ἐδόκει δεῖν Βυζαντίοις ἐπελθεῖν· συνείποντο δὲ αὐτῷ Ἰέραξ τε τὸν ἐκ Τζερνομιάνου λόχον ἄγων, καὶ Παρασπόνδυλος· ᾧ προσέταττεν ὁ βασιλεὺς τοὺς στρατευομένους κατὰ τὴν Ἀδριανοῦ πάντας ἄγειν πλὴν Βράνου καὶ Μουγδουφῆ καὶ Φραγγοπούλου, οἳ τῆς ἐν αὐτῇ στάσεως ἦρξαν πρώτως καὶ πολλοὺς διέφθειραν τῶν προσεχόντων βασιλεῖ. [5]

2 557 σκοπὸς δὲ ἦν αὐτῷ, ἵνα μὴ δοκοίη διὰ φόβον ἐφέλκεσθαι εἰκῇ καὶ μάτην· πρὸς γὰρ στρατείας παντάπασιν ἀνάσκητοι ἐκεῖνοι ἦσαν καὶ οὐδενὸς ἄμεινον διακείμενοι τῶν οὐδὲ ὅ,τι ποτέ εἰσιν εἰδότων ὅπλα. βασιλεὺς μὲν οὖν τοιαύτην γνώμην ἔχων, ἐκέλευε Παρασπονδύλῳ μηδένα τῶν τριῶν ἐκείνων ἄγειν· ἐκεῖνος δὲ, ὡς ἔλεγεν, ἀγνοῶν ὅθεν εἰς τοῦτο ἐναχθείη, τὸν Φραγγόπουλον, καίτοι νοσοῦντα νόσον δεινὴν, (ἐρυσίπελας γὰρ ἦν,) ἠνάγκασε συνέπεσθαι· ὃν ἰδὼν ὁ βασιλεὺς ἐνδιατρίβοντα τῷ στρατοπέδῳ Παρασπονδύλου, κατηγόρει πρὸς ὀργὴν οὐκ

ἀπείθειαν μόνον, ἀλλὰ καὶ ὠμότητα, ὅτι νοσοῦντα ἄνθρωπον οὕτω δεινῶς ἄγει πρὸς τὸ στρατόπεδον, καίτοι κελευσθεὶς μηδὲν παρενοχλεῖν. ὁ δὲ τήν τε ἀπείθειαν ὡμολόγει καὶ συγγνώμης τυχεῖν ἐδεῖτο· μηδὲ γὰρ εἰδέναι, ὅθεν κινηθείη πρὸς τὸ τοιοῦτον· καίτοι τῆς στρατείας ἀφεθῆναι πολλὰ δεόμενον, ἔπεσθαι καταναγκάζειν. βασιλεὺς δὲ τῆς νόσου τὸν Φραγγόπουλον οἰκτείρας, ἐκέλευε τοῖς συνοῦσιν ἰατροῖς πρόνοιαν αὐτοῦ ποιεῖσθαι, αὐτὸς δὲ παρὰ τὴν τῆς Καμήλου γέφυραν ἐλθών, αὖθις ἐστρατοπεδεύετο καὶ διελέγετο κρύφα τοῖς ἐν Βυζαντίῳ φίλοις, εἰ δύναιντο τὴν πόλιν αὐτῷ παραδιδόναι, ἐπηγγέλλοντό τε καὶ αὐτοὶ τὴν τῆς Ξυλοκέρκου λεγομένην πύλην ἐκ πολλῶν ἐτῶν ἀπῳκοδομημένην διορύξαντες εἰσάγειν. [20]

2 558 οὕτω δὲ τοῦ χρόνου τριβομένου, τινὰ τῶν ἐκ Βυζαντίου γνωρίμων ὁ Φραγγόπουλος ἰδὼν ἐν στρατοπέδῳ διατρίβοντα ἠρώτα τὴν αἰτίαν, καθ' ἣν ἀφίκοιτο, καὶ εἰ πολὺς εἴη χρόνος, ὅσος ἀποσταίη Βυζαντίου. ὁ δὲ τό,τε πρὸς βασιλέα ἔχθος Φραγγοπούλου πρότερον εἰδὼς καὶ τὴν πρὸς αὐτὸν φιλίαν, καὶ νομίσας προθυμότατα συναγωνιεῖσθαι πρὸς τὴν ἐπιχείρησιν αὐτῷ, ἀπεκάλυπτεν αὐτίκα τὸ ἀπόῤῥητον, καὶ παρὰ μὲν τῶν ἐν Βυζαντίῳ ἔλεγεν ἀρχόντων πεπεῖσθαι ἐνθάδε ἥκειν μεγάλα εὖ ποιήσειν ἐπαγγειλαμένων· δηλητήριον δὲ ἔχειν, ἵν' εἰ δύναιτο, ἀνέλοι βασιλέα προσαγαγών. ἔκτον δὲ ἤδη μῆνα ἐπὶ τούτῳ προσταλαιπωροῦντα μηδέποτε καιροῦ ἐπιτυχεῖν. νυνὶ δὲ αὐτὸν ἡ προσεδρία καὶ ἡ καρτερία τοῖς μαγείροις ἐντάξασα τοῦ βασιλέως καιρὸν παρέχειν τὸ σπουδαζόμενον ἀνύειν. διὸ καὶ μάλιστα συνήδεσθαι αὐτῷ, ὅτι οὕτω συντυχὸν συγκατεργάσεται αὐτῷ, ἵνα καὶ τῶν ἴσων εὐεργετημάτων τύχῃ παρὰ τῶν ἀρχόντων. ἔλεγέ τε παρεσκευασμένος εἶναι ὡς τῆς ἑσπέρας ἤδη ταύτης τῷ βασιλέως δείπνῳ τὰ φάρμακα κεράσων. ἅμα δὲ βούλεσθαι καὶ πρὸς Βυζάντιον ἀποδιδράσκειν, παρῄνει τε συνέπεσθαι καὶ αὐτόν. οὕτω μὲν οὖν ἐκεῖνος ἐξεῖπε τὸ ἀπόῤῥητον, ἐχθραίνειν οἰηθεὶς Φραγγόπουλον τῷ βασιλεῖ· ὁ δὲ ἐδόκει πρὸς τὴν πρᾶξιν ἥδεσθαι καὶ βούλεσθαι καὶ συνεργεῖν· ἐδεῖτό τε καὶ αὐτῷ τὰ φάρμακα ἐπιδεικύναι. [20]

2 559 ὁ δ' ἐπεδείκνυεν αὐτίκα, οὐδὲν περὶ ἐκείνου φαῦλον ὑπωπτευκώς. ἐπεὶ δὲ εἶχεν ἐν χερσὶν ὁ Φραγγόπουλος τὰ φάρμακα, οὐκ ἀπεδίδου ἀπαιτοῦντι· νομίσας δὲ, ὅπερ ἦν, ἐξηπατῆσθαι καὶ δείσας, μὴ ἁλῷ, ἀπεδίδρασκεν αὐτίκα. Φραγγόπουλος δὲ τὰ φάρμακα ἔχων, ἦκε πρὸς βασιλέα καὶ ἐπεδείκνυέ τε καὶ διηγεῖτο, οἷα περὶ τοῦ πράγματος συμβαίη, ἰσχυρίζετό τε, ὡς ἀσχοληθεὶς περὶ τὰ φάρμακα τὸν ἐπιβουλεύοντα ἐῴη διαδρᾶναι. βασιλεὺς δὲ τὴν περὶ αὐτὸν κηδεμονίαν τοῦ θεοῦ θαυμάσας, ὅτι καὶ ἃ ἐδόκει Παρασπόνδυλος δεδρακέναι ἀπειθῶν, ταῦθ' ὑπὸ θεοῦ τῆς εἰς αὐτὸν ἕνεκα προνοίας ᾠκονόμητο, καὶ πολλὰς τῆς σωτηρίας χάριτας ὁμολογήσας, τὰ φάρμακα μὲν ἐκέλευε κατορύττειν, ἵνα μή τις ἀνθρώποις ἢ κτήνεσιν ὑπ' αὐτοῦ βλάβη προστριβείη. Φραγγόπουλον δὲ ἠμείβετο εὐεργετήσας ἀξίως τῆς εὐνοίας. ρα'. Ἰέραξ δὲ ἦν μὲν ἀεὶ δύσνους βασιλεῖ, τότε δὲ τὴν στρατοπέδου ἐπιτετραμμένος φυλακὴν, ἐπεὶ μετὰ τοῦ ὑπ' αὐτὸν λόχου ἐγγὺς διενυκτέρευε Βυζαντίου, τοὺς μὲν ἄλλους ἀφῆκε στρατιώτας φυλάττειν ἀγρυπνοῦντας· αὐτὸς δὲ ἕνα τῶν οἰκετῶν ἔχων, ὅστις τὰ ἀπόῤῥητα αὐτῷ συνήδει, Βυζαντίου τε ἐγένετο ἐντὸς καὶ διαλεχθεὶς τοῖς ἄρχουσι καὶ ἐπαγγειλάμενος ἀποκτείνειν βασιλέα, αὖθις ἐξελθὼν, μετὰ τῶν ἄλλων ἦκε στρατιωτῶν εἰς τὸ στρατόπεδον. [20]

2 560 βασιλεῖ δὲ οἱ φίλοι τὰ περὶ Ἰέρακος αὐτίκα ἐποίουν δῆλα, ὡς ταύτης τῆς νυκτὸς ἐντὸς γένοιτο Βυζαντίου καὶ τοῖς ἄρχουσι διαλεχθείη, παρῄνουν τε φυλάττεσθαι τὸν ἄνδρα. βασιλεὺς δὲ ᾤετο αὐτοὺς ἐξηπατῆσθαι, ἔφασκέ τε πρὸς οὓς ἐθάῤῥει τὰ τοιαῦτα, ὡς τοῖς ἄρχουσι πρὸς ἀπάτην ὁ περὶ Ἰέρακος διαδοθείη λόγος, ἕτερόν τινα εἰσαγαγοῦσιν, ἵν' ἢ αὐτὸν ἐγὼ διάθωμαι κακῶς πυθόμενος, ἢ ἐκεῖνος δείσας περὶ ἑαυτοῦ ἀποσταίη πρὸς ἐκείνους. ὡς δὲ οἱ φίλοι ἰσχυρίζοντο εἶναι ἀληθῆ τὰ εἰρημένα, τῶν προτέρων λόγων ἀνεμίμνησκεν ὁ βασιλεὺς μεταπεμψάμενος Ἰέρακα καὶ τῶν συνθηκῶν καὶ τῶν ὅρκων, οὓς παρείχετο, μηδέποτε ἀγνωμονήσειν· αὖθίς τε τὴν ἴσην αἵρεσιν προὐτίθει καὶ παρῄνει, εἴγε βούλοιτο βασιλίδι προσχωρεῖν, μὴ λάθρα, ἀλλὰ

φανερῶς συνταξάμενον ἀναχωρεῖν· οὐ γὰρ αὐτὸν κωλύσειν πρὸς οὐδέν. αὐτίκα δὲ ἐκεῖνος ὤμνυε φρικώδεις ὅρκους, μηδὲν αὐτῷ τῶν κατηγορουμένων συνειδέναι, ἀλλὰ τοῖς τε προτέροις ὅρκοις ἐμμένειν ἀκριβῶς καὶ ταῖς συνθήκαις, καὶ τὸ αὐτῷ συνεῖναι τοῦ παντὸς τιμᾶσθαι· πλείονος δὲ ἀσφαλείας ἕνεκα ἐν τῷ παρόντι καὶ τοῦ μεγάλου τοῦ Χριστοῦ μάρτυρος εἰκόνα παρείχετο Γεωργίου πίστεως ἐνέχυρον καὶ τῆς περὶ αὐτὸν ἀδόλου γνώμης. βασιλεὺς μὲν οὖν ἐπαύσατο αὐτίκα ὑποπτεύων. Ἱέραξ δὲ μετὰ μικρὸν αὖθις καιρὸν ἐπιτηρήσας, ἦλθε πρὸς Βυζάντιον, ὡς αὖθις τοῖς ἄρχουσι διαλεξόμενος. τῆς αὐτῆς δὲ νυκτὸς, Παρασπόνδυλός τις ἕτερος παρὰ τὸν ἄρχοντα τῆς Ἀδριανοῦ τῆς ὁμοίας ἕνεκα αἰτίας πρὸς Βυζάντιον ἀφῖκτο τοῖς ἄρχουσι διαλεξόμενος· ἦν γὰρ καὶ πρότερον διειλεγμένος κρύφα περὶ τοῦ βασιλέα ἀποκτείνειν. [20]

2 561 ἐπεὶ δὲ καὶ Ἱέραξ ἀφῖκτο κατὰ τύχην καὶ ἔτι αἱ πύλαι ἦσαν κεκλεισμέναι, Ἱέραξ μὲν καὶ ἄλλων πολλῶν παρόντων οὐ διέγνω Παρασπόνδυλον· ἐκεῖνος δὲ φθονήσας Ἱέρακι τοῦ τοῖς ὁμοίοις ἐγχειρεῖν καὶ προδιδόναι διανοηθεὶς, λάθρα προσελθὼν τῆς οὐρᾶς ἀπέτεμε τοῦ ἵππου τρίχας, ἵν’ εἴη σαφῶς ἐλέγχειν ἐπὶ τοῦ βασιλέως δεῖγμα φανερὸν τῆς κακουργίας τὰς τρίχας παρεχόμενος. ᾤετο γὰρ πρὸς ἀμφότερα αὐτῷ λυσιτελήσειν τὴν ἐκείνου προδοσίαν· Ἱέρακά τε γὰρ οὐκέτι ἔξειν ἀνταγωνιστὴν περὶ πράγματος οὕτω μεγάλου, διεφθαρμένον ὑπὸ βασιλέως, καὶ αὐτὸς ἀφυλακτοτέρῳ μᾶλλον ἐντυχεῖν τῷ βασιλεῖ διὰ τὴν δοκοῦσαν εὔνοιαν, καὶ ῥᾷον κατεργάσεσθαι τὸν φόνον. διενοεῖτο γὰρ, ὡς ἐλέγετο, ὑπνοῦντι ἐπιτίθεσθαι βασιλεῖ καὶ ἀποκτείνειν. ἅμα δὲ ἡμέρᾳ οἵ τε φίλοι βασιλεῖ ἐμήνυον, ὡς αὖθις Ἱέραξ εἰσέλθοι Βυζάντιον τῆς νυκτὸς καὶ τοῖς ἄρχουσι διαλεχθείη. καὶ Παρασπόνδυλος ὁμοίως τήν τε ἀποστασίαν ἐμήνυεν Ἱέρακος καὶ τὴν ἐπιβουλὴν, καὶ τὰς τρίχας ἐπεδείκνυε τοῦ ἵππου, ἔφασκε δὲ ὡς ὑποπτεύσοι μὲν καὶ πρότερον αὐτὸν, δείσας δὲ μὴ καταψεύδοιτο αὐτοῦ, μὴ ὑποπτεύων ἀληθῆ, παρὰ τὴν Βυζαντίου πύλην ἀφικέσθαι καὶ τοῖς ἄλλοις συνεῖναι ἀγνοούμενον· ἀφικομένου δὲ Ἱέρακος, αὐτὸν μὲν ἀνεπαισθήτως τοῦ ἵππου τὰς τρίχας ἀφελέσθαι, ἵν’ εἴη τεκμήριον ἐναργές. [20]

2 562 ἐκεῖνον δὲ τῶν πυλῶν ἀνοιχθεισῶν, ἐντὸς γενόμενον, αὖθις ἐξελθεῖν. βασιλεὺς δὲ ἐπεὶ τοιαῦτα ἤκουεν, ἐσκέπτετο περὶ Ἱέρακος ὅ,τι χρήσαιτο. σκεπτομένῳ δὲ αὐτῷ ἠγγέλλετο, ὡς Βυζαντίου ἐξελθοῦσα στρατιὰ συμπλακείη τισὶ τῶν βασιλέως. Λατῖνοι γὰρ ὀλίγοι τινὲς ἐκ Γερμανῶν ἐν Βυζαντίῳ διατρίβοντες, ἐξελθόντες τισὶ τῶν βασιλέως περιέτυχον, ἐν οἷς καὶ Ἱέραξ ἦν· καὶ μάχης συναφθείσης, οὔτε τῶν Ῥωμαίων, οὔτε τῶν Λατίνων πέπτωκεν οὐδεὶς, οὔτε μὴν ἐτραυματίσθη· Ἱέραξ δὲ μόνον δὶς τραυματισθεὶς, ἀπέβαλέ τε τὸν ἵππον, καὶ αὐτὸς ἦλθεν ἐγγὺς ἁλῶναι· αὖθις δὲ ἐπελθόντες οἱ βασιλικοὶ, ἀνεσώσαντό τε καὶ πρὸς τὸ στρατόπεδον ἦγον τραυματίαν. βασιλεὺς δὲ πρὸς τὴν σκηνὴν ἐλθὼν, ἐν ᾗ διῆγε, σκοπεῖν ἐκέλευε, μὴ Γεώργιος ὁ τοῦ Χριστοῦ μάρτυς τῆς εἰς αὐτὸν παροινίας σωφρονίζων, ὅτιπερ ἐγγυητὴν παρεσχημένος, αὖθις τοῖς φαύλοις καὶ πονηροῖς ἔργοις ἐκδιδοίη ἑαυτὸν, εἴασε τραυματισθῆναι. ὁ δ’ αὖθις τὰ ἴσα τοῖς προτέροις ἰσχυρίζετο, ὡς ἀδίκως ὑποπτεύοιτο. νυκτὸς δὲ ἐπελθούσης, ἐπεὶ ᾐσθάνετο οὐκ ἀγνοούμενος, ᾤχετο εἰς Βυζάντιον ἀποδράς· ἐρωτώμενος δὲ τὴν αἰτίαν, δι’ ἣν οὐ τελέσειε τὰ ὑπεσχημένα, ἀεὶ μὲν ἔφασκεν ἐπιχειρεῖν, καιροῦ δὲ οὐδέποτε τετυχηκέναι, φυλαττομένου βασιλέως, ὥσπερ ἂν εἰ συνῄδει αὐτῷ τοὺς λογισμοὺς, καὶ δεδοικέναι μὴ κατάφωρος γενόμενος ἀπόληται. ἐδέχθη μέντοι παρὰ βασιλίδος μάλιστα ἡδέως καὶ τῶν κατὰ Θρᾴκην πόλεων, αἳ Βατάτζῃ συναπέστησαν, ἄρχων ἀπεδείχθη. [20]

2 563 μετὰ μικρὸν δὲ φωραθεὶς καὶ Παρασπόνδυλος ἐπιβουλεύων βασιλεῖ, ἀπεδίδρασκε πρὸς βασιλίδα, καὶ οἱ τὰ βασιλέως ἔνδον πράσσοντες, μηνυθείσης τῆς ἐπιβουλῆς, δείσαντες καὶ αὐτοὶ ἀπεδίδρασκον πρὸς βασιλέα. βασιλεὺς δὲ ἐπεὶ ἥ τε ἔνδον πεφώρατο ἐργασία, καὶ ἐκτὸς οὐδὲν ἦν, ὅ, τι λυπήσει Βυζαντίους, ἀνεζεύγνυεν εἰς Σηλυμβρίαν. ἐκεῖσε δὲ παρασκευασάμενος καὶ στρατιώτας τριακοσίους ἔχων ἐπιλέκτους, νυκτὸς ἀφῖκτο πρὸς Ἱερὸν, τὴν κατὰ τὸ στόμα

τοῦ Πόντου κειμένην πόλιν, ἐπαγόμενος καὶ κλίμακας. τῶν ἔνδον μέντοι οὐδεὶς συνέπραττεν αὐτοῖς, ἀλλὰ καθ' ἑαυτοὺς ἐπεχείρουν τὴν ἅλωσιν τῆς πόλεως. λαθόντες δὲ τοὺς ἔνδον, τάς τε κλίμακας προσήρειδον τοῖς τείχεσι καὶ αὐτῶν ἀνέβαινον οὐκ ὀλίγοι. ἐπεὶ δὲ ἔνδον ἦσαν, τὴν νίκην διέφθειραν ὑπ' ἀβουλίας. οὔτε γὰρ ἐφίσταντο τοῖς τείχεσιν, ἄδειαν παρεχόμενοι καὶ τοῖς ἄλλοις ἀναβαίνειν, οὔτ' ἐπεὶ κατέβαινον ἔνδον ἀπὸ τῶν τειχῶν, διανοιγνύναι τὰς πύλας καὶ τοῖς ἄλλοις στρατιώταις ἔθεντο διὰ σπουδῆς, ἀλλὰ πάντων τῶν δεόντων ἀμελήσαντες ἐτρέποντο ἐφ' ἁρπαγὰς, οἰόμενοι βεβαίως ἤδη τὴν πόλιν ἔχειν. οἱ ἔνδον δὲ, ἐπεὶ ᾐσθάνοντο τοὺς πορθοῦντας ὀλίγους ὄντας, ἠμύνοντο ἀναθαρσήσαντες καὶ ἀναβάντες ἐπὶ τῶν τειχῶν, τάς τε κλίμακας ἀπεσκευάζοντο συνθλῶντες, πλείους τε ὀλίγοις ἐπιόντες καὶ ἐγχώριοι πρὸς ξένους, κατέστησαν ἐν χρῷ κινδύνου. [20]

2 564 ὅμως οἱ βασιλέως εὐρώστως ἀμυνόμενοι, ἐβιάσαντό τε τοὺς Ἱερείους πρὸς τὴν ἄνοδον καὶ διεξέπιπτον ἀπὸ τῶν τειχῶν, ᾗ ἕκαστος συντύχοι διακινδυνεύοντες, καὶ ἡ πόλις μὲν τοῦτον τὸν τρόπον διεσώθη· τῶν βασιλικῶν δὲ εἷς μὲν ἔνδον ἔπεσε μαχόμενος, ἕτερος δὲ τοῖς ἄλλοις συνεκπεσὼν, τὸ σκέλος ἐτελεύτησε συνθλάσας· οἱ δ' ἄλλοι πάντες διεσώθησαν. βασιλεὺς δὲ, ἐπεὶ διέφυγεν ἡ πόλις, οὕτως ἐγγὺς ἁλῶναι γενομένη, ἐκεῖθεν ἀναστρέψας ἐπανῆκεν εἰς Ἀδριανούπολιν. ρβ'. Ἐδόκει δὲ ἤδη καὶ τὸν τῶν βασιλέων τρόπον στέφεσθαι, ἐπεὶ καὶ πατριάρχης ὁ τῶν Ἱεροσολύμων παρῆν αὐτῷ καὶ τῶν ἀρχιερέων ἄλλοι οὐκ ὀλίγοι. καὶ χρυσοχόοις ἐπιτρέψας στέμματα κατασκευάζειν, καὶ τἆλλα ὅσα ἐπιτήδεια πρὸς τὴν τελετὴν, ἐπεὶ πάντα ἦσαν ἤδη παρεσκευασμένα, ἐστέφετο ὑπὸ Λαζάρου τοῦ τῶν Ἱεροσολύμων πατριάρχου κατὰ μῆνα Μάϊον, ἡνίκα καὶ Κωνσταντίνου τοῦ μεγάλου καὶ Ἑλένης τῆς μητρὸς τῶν ἰσαποστόλων βασιλέων ἡ μνήμη γίνεται. ἔστεφε δὲ καὶ αὐτὸς κατὰ τὸ ἔθος Εἰρήνην βασιλίδα τὴν γαμετὴν, καὶ πάντα ὅσα εἴωθεν ἐτελεῖτο ὅσον μάλιστα ἐξῆν. ἀπόδεσμοί τε γὰρ ἐῤῥίπτοντο ἀργύρου καὶ χρυσοῦ, καὶ πότοι καὶ φιλοτησίαι ἐπὶ πλείστας ἡμέρας ἐτελοῦντο. ὄντων δ' ἐκεῖ διὰ τὴν ἑορτὴν συνειλεγμένων τῶν ἀρχιερέων καὶ λόγου περὶ πατριάρχου τοῦ Ἰωάννου γεγενημένου, εἰ χρὴ αὐτῷ κατὰ τὴν ἱερωσύνην εἶναι κοινωνοὺς τοιαῦτα τολμῶντι, ἐπεὶ καὶ παρὰ τῶν ἐν Βυζαντίῳ ἀρχιερέων, οἳ ἐν ταῖς οἰκίαις ἀπρόϊτοι διῆγον, ἐπετρέποντο πρότερον ἀποσχέσθαι τῆς ἐκείνου κοινωνίας· ἐπεὶ ἐδόκει πᾶσι καλῶς ἔχειν ἀφίστασθαι ἐκείνου καὶ ἐπεψηφίζετο καὶ ὁ βασιλεὺς, τῶν ἱερῶν ἁπάντων ἐξῆγον τὴν ἐκείνου μνήμην, καὶ πᾶσιν ἀπείρητο ἐκεῖνον ἡγεῖσθαι πατριάρχην, καὶ ἐκ τῶν βασιλείων ὁμοίως ἡ ἐκείνου μνήμη ἐξεβάλλετο. [5]

2 565 μετὰ τοῦτο δὲ οἱ ἐν τέλει πάντες καὶ τῆς στρατιᾶς οἱ ἡγεμόνες, ἅμα δὲ καὶ ἡ στρατιὰ, προσελθόντες βασιλεῖ, ἐδέοντο καὶ Ματθαῖον τὸν υἱὸν ἀποδεικνύναι βασιλέα, ἵν' εἴτι περὶ αὐτὸν συμβαίη, καὶ τρόπῳ δή τινι ἐξ ἀνθρώπων γένοιτο, βασιλεύοιντο ὑπ' αὐτοῦ· τοῖς γὰρ πολεμίοις οὐ θαῤῥεῖν, ἐξαρχῆς τε πρὸς αὐτοὺς δυσμένειαν οὐ τὴν τυχοῦσαν ἐπιδεδειγμένοις, καὶ μέχρι νῦν τὴν ἴσην γνώμην διατηροῦσι. βασιλεὺς δὲ αὐτοῖς τῆς μὲν εὐνοίας ἕνεκα τῆς εἰς αὐτὸν χάριν ὡμολόγει, δίκαιά τε ἔφασκε καὶ προσήκοντα αἰτεῖν, δεομένους τὸν υἱὸν ἀποδεικνύναι βασιλέα· πόῤῥω δὲ παντάπασιν εἶναι τῆς ἐκείνου διανοίας. οὔτε γὰρ ἐξαρχῆς τοῖς βασιλέως παισὶν ἐπιβουλεύων εἵλετο τὸν πόλεμον, οὔτε μέχρι νῦν, καίτοι τοσαῦτα παρὰ τῶν πεπολεμηκότων ὑπομείνας τὰ δεινὰ, τὴν πρὸς τοὺς παῖδας βασιλέως εὔνοιαν ἀπέβαλεν, ἀλλὰ τότε μὲν, ἐκείνων πολλὰς συκοφαντίας πλασαμένων καὶ διαβολὰς καὶ βασιλίδα πρὸς τὸν πόλεμον κεκινηκότων καὶ ζητούντων ἀναιρεῖν ἐξ οὐδεμιᾶς αἰτίας, οὔτ' ἐπιθυμίᾳ δόξης βασιλικῆς, (καὶ βασιλέως γὰρ ἔτι περιόντος, ἔχειν, εἰ ἐβούλετο, ἐξῆν,) οὔτ' ἀπληστίᾳ καὶ πλεονεξίᾳ γνώμης, ἐπὶ τὸ βασιλεύειν ἦκεν· ἀλλ' αὐτῶν πολλὰ δεηθέντων, μὴ καταλιπεῖν ἐν καιροῖς κινδύνων τὴν προστασίαν, μηδ' ὥσπερ κυβερνήτην ἐν κλύδωνι καὶ σάλῳ τῶν οἰάκων

ἀποστῆναι, οὐ μᾶλλον τῆς αὐτοῦ σωτηρίας ἕνεκα ἢ ἐκείνων πρὸς ταύτην ἐλθεῖν τὴν ἐπιχείρησιν, συνορῶντα, ὡς ἑτέρως οὐκ ἔστι διασώζεσθαι. [5]

2 566 νυνὶ δ' ἐπεὶ θεὸς παρέσχετο τῶν πεπολεμηκότων ὀφθῆναι κρείττους, δέον τὴν ἀρχαίαν γνώμην περὶ τοὺς βασιλέως παῖδας διασώζειν, ἵνα μὴ δοκῶμεν τότε μὲν ἐξαπατᾶν, μὴ πολεμεῖν τοῖς βασιλέως λέγοντες παισὶν, ἀλλὰ τῆς ἐκείνων μᾶλλον καὶ κοινῆ τῶν ἄλλων Ῥωμαίων ὠφελείας ἕνεκα ἐλέσθαι τὸ βασιλεύειν, ἡνίκα ἔτι τὴν τοῦ περιέσεσθαι ἄδηλον ἐλπίδα εἴχομεν, νυνὶ δὲ ὅθ' ἡμῖν περίεστιν ἐκ τῶν πραγμάτων ἔλεγχον διδόναι τῆς γνώμης ἐναργῆ, τἀναντία τοῖς πρότερον ἐλέσθαι. τοιγαροῦν οὔτε πρότερον τῆς ἀρχῆς ἀποστερεῖν τὸν βασιλέως εἰλόμην παῖδα, οὔτε νῦν αἱρήσομαι, ἀλλὰ πάντα τρόπον ἐπιχειρήσω συνδιασώζειν ἐκείνῳ τὴν ἀρχήν. εἴτε γὰρ πολέμῳ Βυζαντίου τε κρατήσω καὶ αὐτοῦ βασιλέως, εἴτε πρὸς εἰρήνην χωρήσωσιν ἐμοὶ συμβάσεις θέμενοι ἐπὶ τῷ βασιλέα στέργειν. εἴθ' ἑτέρῳ τρόπῳ δή τινι περιγένωμαι, τῆς πατρῴας ἀρχῆς οὐκ ἀποστερήσω, ἀλλ' αὖθις μετ' ἐμὲ Ῥωμαίων εἶναι βασιλέα καταστήσω, θυγατέρα τὴν ἐμὴν ἐκδοὺς πρὸς γάμον. [20]

2 567 οὐ μὴν ἀλλ' εἰ καὶ πρότερον συμβαίη, ἢ ἑτέραν ἐκεῖνον ἀγαγέσθαι τοῦ πολέμου παρατεινομένου, ἢ παῖδα τὴν ἐμὴν πρὸ τοῦ γάμου τελευτᾶν, οὐδ' οὕτω πράττειν ἑτέρως ἔγνωκα, οὐδὲ διὰ τὴν ἑτέρων ἀγνωμοσύνην κακὸς αὐτὸς καὶ ἀχάριστος περὶ τὸν ἐμοὶ φίλτατον ἐκεῖνον βασιλέα καὶ τοὺς παῖδας ἀποδείκνυσθαι. οὕτω δὲ τούτων κεκριμένων παρ' ἐμοὶ, ὡς ἀδύνατα αἰτεῖτε, συνορᾶν ἤδη καὶ ὑμῖν ἐξέσται. οὐ γὰρ δὴ λήϊον ὥσπερ βασιλέων ἀποδείξομεν, ἀλλ' ἢ μηδένα ἕτερον εἶναι βασιλέα δέον, ἢ καὶ τὸν ὄντα ἀποκτιννύναι. τοῦτο δὲ ὡς ἀδύνατον ἐμὲ ποιεῖν, οὐδ' ἀποδείξεως οἶομαι δεήσεσθαι. ἵστε γὰρ σαφῶς, ὡς εἰ πάντες, ὅσοι καὶ Ἑλλήνων καὶ βαρβάρων ἄρχουσι κατὰ τὴν οἰκουμένην, κοινῇ ψήφῳ δουλεύσειν ἐπηγγέλλοντο ἐλθόντες καὶ κοινὸν ἁπάντων ἀνθρώπων ἀποδείξειν βασιλέα, ἐπὶ τῷ βασιλέα τὸν νέον Ἰωάννην ἀποκτείνειν, μᾶλλον ἂν εἰλόμην ἐσχάτῃ συζῆν πενίᾳ καὶ ἀφανείᾳ πολλῇ, ἢ οὕτω φαῦλα καὶ παράνομα προελόμενος συμπάντων ἀνθρώπων ἄρχειν, οὐ μόνον διὰ βασιλέα τὸν πατέρα, ἀλλὰ καὶ δι' αὐτὸν, οὐδεμίαν αἰτίαν πρὸς τὸν πρὸς ἐμὲ κεκινημένον πόλεμον παρεσχημένον. διὰ γὰρ τὴν ἡλικίαν οὐδεμιᾶς οὐδέπω διοικήσεως πραγμάτων ἥπται, ὥστε καὶ αἰτίαν παρασχεῖν. ὡς οὖν οὕτω γνώμης ἔχοντα, μηδ' αὐτοὶ πειρᾶσθε τῶν δεδογμένων ἀφιστᾶν· εἰ δ' ἄρα ἄλλως ἐγνώκατε ὑμεῖς καὶ μηκέτι δουλεύειν ἐκείνῳ βούλεσθε, ἀλλ' ἕτερόν τινα τὸν ἄρξοντα ὑμῶν ἐπιζητεῖτε, παρ' ἐμοὶ μὲν οὐ ῥᾴδιον εὑρεῖν, μᾶλλον δὲ ἀδύνατον· ἀποστᾶσι δὲ ἐμοῦ, τὰ κατὰ γνώμην ἐξέσται πράττειν· αὐτὸς γὰρ οὐ μόνον οὐ συνέψομαι πρὸς τὴν ἐπιχείρησιν ὑμῖν, ἀλλὰ κωλύσω καὶ τὰ δυνατά. [5]

2 568 " τοιαῦτα μὲν ὁ βασιλεὺς πρὸς τοὺς ἐν τέλει διειλέχθη καὶ τὴν στρατιὰν, ἀξιοῦντας τὸν υἱὸν ἀποδεικνύναι βασιλέα. ἐκεῖνοι δὲ ἐπεὶ μὴ πείθειν εἶχον, ἡσύχασαν, θαυμάσαντες τὴν βασιλέως ἐπιείκειαν καὶ μεγαλοψυχίαν, ὅτι μετὰ τοσούτους πόνους καὶ κινδύνους οὐ τοῖς οἰκείοις μᾶλλον, ἀλλὰ τοῖς βασιλέως βούλοιτο παισὶ τὴν Ῥωμαίων ἀρχὴν παραδιδόναι. ργ'. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους καὶ ὁ ἐν Θεσσαλονίκῃ δῆμος ἀνεῖλε πολλοὺς τῶν πολιτῶν ἐξ αἰτίας τοιαύτης. ὁ τοῦ μεγάλου δουκὸς υἱὸς Ἀπόκαυκος ὁ Ἰωάννης, μέγας ὢν πριμμικήριος τὴν ἀξίαν, τὴν ἀρχὴν Θεσσαλονίκης ἐπιτετραμμένος, οὔθ' οὕτως εἶχεν, ὥστε μαίνεσθαι κατὰ τῶν ἡρῆσθαι δοκούντων τὰ Καντακουζηνοῦ τοῦ βασιλέως, οὔτε φανερῶς συνέπραττεν αὐτοῖς. ὁρῶν δὲ τοὺς Ζηλωτὰς ἰσχύοντας ἐπιπολὺ καὶ τὴν πόλιν πᾶσαν ἄγοντας δι' ἑαυτῶν, ἐκείνῳ δὲ κενὸν ὄνομα τῆς ἀρχῆς περιλειπόμενον, δεινὰ ἐποιεῖτο καὶ ἠγανάκτει οὐ μετρίως. [20]

2 569 Παλαιολόγος γὰρ ὁ Μιχαὴλ, κεφάλαιον ὢν τῶν Ζηλωτῶν καὶ συνάρχειν ἐκείνῳ τεταγμένος, λυπηρὸς ἦν μάλιστα, τῇ ἐξουσίᾳ χρώμενος οὐκ ἴσως. τὸ μὲν οὖν φανερῶς ἀντικαθίστασθαι πρὸς πόλεμον οὐκ ἐδοκίμαζεν. ἐδεδίει γὰρ πολλοὺς ὄντας τοὺς Ζηλωτὰς καὶ τὸν δῆμον ἀγόμενον ὑπ' ἐκείνων, ἄλλως θ' ὅτι καὶ ὁ πατὴρ ἐκείνῳ ἔτι ἔζη. ἐσκέψατο δὲ τρόπῳ δή τινι

ἑτέρῳ διαφθείρειν καὶ τὴν ἀρχὴν ἅπασαν ἐφ’ ἑαυτὸν μετάγειν τῶν πραγμάτων, καὶ τοὺς μάλιστα ἀρίστους καὶ τὰ Καντακουζηνοῦ δοκοῦντας ᾐρῆσθαι τοῦ βασιλέως ὑπεποιεῖτο καὶ προσηταιρίζετο, συνομιλῶν ἡδέως καὶ παραφαίνων ἀμυδρῶς, ὡς τὰ ἴσα καὶ αὐτὸς αὐτοῖς αἱροῖτο. ἐπεὶ δ’ ἐκεῖνοι ῥᾷστα προσεχώρουν καὶ σύστημα ἦν περὶ αὐτὸν οὐκ ἀγεννὲς, ἐπεβούλευεν εὐθέως ἀποκτείνειν τὸν συνάρχοντα. συνεξώρμων δὲ μάλιστα καὶ οἱ φίλοι, ἀπεχθῶς περὶ ἐκεῖνον μετὰ πάσης ἔχοντες ὑπερβολῆς. οὐδὲν γὰρ παροινίας καὶ πικρίας ἐκεῖνος πρὸς αὐτοὺς ἐνέλιπε κατὰ τὸν τοῦ πολέμου χρόνον, τάς τε οὐσίας δημεύων καὶ δεσμωτηρίοις κατακλείων καὶ ὑπερορίους ποιῶν τοὺς πλείους, καὶ πᾶσαν κακίας ἐνδεικνύμενος ὑπερβολήν. ἦν γὰρ μάλιστα ἔχων εὐφυῶς περὶ τὸ κακουργεῖν, καὶ μικρᾶς ἕνεκα αἰτίας καὶ ὑποψίας μόνης μεγάλας δίκας ἀπαιτῶν. ἐπεὶ δὲ ἐδέδοκτο ἀποκτείνειν, καὶ ὑφίστατο τὸ ἔργον τις τῶν πρότερον ὑπ’ ἐκείνου πολλὰ κεκακωμένων, Ἀπόκαυκος τοὺς περὶ αὐτὸν ἔχων πάντας ἔνδον ὡπλισμένους, ἵνα μὴ ὦσι κατάφωροι νεωτερίζοντες, πρὸς τὰ τῆς πόλεως μάλιστα ἀοίκητα μέρη ὑπεχώρει, τοῦ δήμου τὴν κίνησιν ὑποπτεύων καὶ τὴν ἐκ τοῦ φόνου ταραχήν· σκηψάμενος δέ τι βουλεύεσθαι τῶν κοινῶν, μετεκαλεῖτο καὶ τὸν συνάρχοντα, ὡς κοινωνήσοι τῆς βουλῆς. [5]

2 570 ὁ δὲ μηδὲν εἰδὼς τῶν ἐσκαιωρημένων ὀλίγους ἔχων περὶ αὐτὸν, ἦκε πρὸς ἐκεῖνον. λόγων δὲ ἀμφιβόλων κεκινημένων, ὁ Παλαιολόγος, οἷα δὴ πρότερον ἐκ τοῦ ὑπερέχοντος τοῖς ἄλλοις εἰθισμένος ὁμιλεῖν, καὶ τότε τραχυτέρας τὰς ἀποκρίσεις ἐποιεῖτο· οἱ δὲ μᾶλλον ἐξεπίτηδες ἠρέθιζον τρεπόμενοι πρὸς ὕβρεις. ὁ δὲ ὑποπτεύσας ὅπερ ἦν, νεωτερίζειν βούλεσθαι ἐκείνους, ὥρμητο μὲν πρὸς φυγὴν, τὰ ἔσχατα διαθήσειν ἀπειλῶν. φθάσας δὲ ἐκεῖνος ὁ τὸ ἔργον ὑποστὰς, ὤθησε τὸ ξίφος κατὰ τῶν σπλάγχνων καὶ ἀπέκτεινεν. εὐθὺς μὲν οὖν οἱ Ζηλωταὶ ὑπεχώρουν καὶ κατεδύοντο εἰς χηραμοὺς, ὅ,τε δῆμος οὐδὲν ὑπὲρ τοῦ πεσόντος ἠγανάκτησεν. ἦν γὰρ οὐδὲ πρότερον καλῶς διακείμενος περὶ τοὺς Ζηλωτάς. ἦσαν γὰρ ὁμοίως καὶ περὶ τὰ θεῖα ὥσπερ καὶ περὶ τὰ ἀνθρώπινα ὑβρίζοντες καὶ πολλὴν ἐπιδεικνύμενοι τὴν μοχθηρίαν. οὐ μόνον γὰρ ἠδίκουν ἀδεῶς καὶ διεπόρθουν τὴν χώραν ἐπιόντες, καὶ τὰς κοινὰς συμφορὰς ἀφορμὰς ποιούμενοι ἰδίας εὐπραγίας, ἀλλὰ καὶ κατὰ τὰς ἀγυιὰς, δεξαμενάς τινας ὕδατος πληροῦντες, εἶτα καὶ ὑφάπτοντες κηροὺς, τινὰς τῶν τὰ Καντακουζηνοῦ ᾐρῆσθαι δοκούντων βασιλέως συλλαμβάνοντες, ὄντας ἐκ τοῦ δήμου, ἀνεβάπτιζον ὡς ἀπομοσαμένους τὸ βάπτισμα διὰ τὴν ἐκείνου κοινωνίαν· τούς τε παριόντας ἐκέλευον ἀργύριον ῥητὸν κατατίθεσθαι εἰς τὴν ἑορτήν. [20]

2 571 καὶ ἦν ἀνάγκη πράττειν κατὰ τὸ ἐκείνων κέλευσμα, ἢ ὑποπτεύεσθαι αὐτίκα ἦν, ὡς τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ᾐρημένον καὶ ἀχθόμενον πρὸς τὴν ἐρεσχελίαν. μετὰ τοῦτο δὲ μεθύοντες ἐν καπηλείοις, καὶ τὰ ἄλλα ἐξωρχοῦντο τῶν Χριστιανῶν μυστήρια, τῆς δίκης ἀνεχομένης καὶ ἀμελούντων τῶν κεραυνῶν. ὧν τὴν ἀτοπίαν μισήσας καὶ ὁ δῆμος, πρότερόν τε ἔκ τινων αἰτιῶν κεκινημένος, τῶν Ζηλωτῶν τινας ἐν τῷ τῆς θεοτόκου τῆς ἀχειροποιήτου τεμένει τοὺς μὲν ἀπέσφαξαν ἀνηλεῶς, ἕνα δὲ καὶ διὰ τῆς ἀγορᾶς κατέσυραν, λίθοις βάλλοντες καὶ ξύλοις τοῖς προστυχοῦσιν, ἕως ἀπέπνευσε συρόμενος· καὶ τότε οὐδὲ ἠγανάκτησε διὰ τὸν Παλαιολόγου φόνον, ἀλλὰ δῆλος ἦν ἡδόμενος ἐπὶ τῷ ἀποσκευάζεσθαι τοὺς Ζηλωτάς. Ἀπόκαυκος δὲ ἤδη πᾶσαν ἔχων τὴν ἀρχὴν αὐτὸς, παῤῥησίας τε μετέδωκεν οὐ τῆς τυχούσης τοῖς τὰ βασιλέως πράττουσι, καὶ αὐτὸς ἦν φανερὸς τὰ ἐκείνου ᾐρημένος, καὶ τῶν Ζηλωτῶν, ὅσοι μὲν ἐν λόγῳ ἦσαν, κατέκλεισεν ἐν δεσμωτηρίῳ, πρὸς Πλαταμῶνα πέμψας καὶ τὰς ἄλλας πολίχνας, ὅσαι ὑπ’ αὐτῷ ἐτέλουν· τὸν δὲ ἄλλον συρφετὸν ἐξήλασε τῆς πόλεως. ἐκεῖνος δὲ εἴτε τὸν πατέρα δεδοικὼς, εἴτε τοῖς συνοῦσιν ἀπιστῶν, πρὸς τὴν ἀκρόπολιν ἐλθὼν διῆγε· καὶ Θεσσαλονικέων, ὅσοι τὰ βασιλέως ἐξαρχῆς ᾐροῦντο, οὐκέτι ὑπεστέλλοντο, ἀλλὰ μετὰ παῤῥησίας προσίεσαν ἐκείνῳ, καὶ αὐτοῦ ὑποποιουμένου μάλιστα καὶ παρασκευάζοντος, ἣν ἔχει περὶ βασιλέα γνώμην ἕκαστος ἐκφαίνειν. [20]

2 572 ἐπεὶ δὲ πάντας ᾔδει ἀκριβῶς, μεταβαλὼν ἀθρόον, ἠργυρολόγει τοὺς πλουσίους, Καντακουζηνισμὸν ἐπικαλῶν. οἱ δὲ, ἐπεὶ ἀδύνατοι ἦσαν ἐξαρνεῖσθαι, (αὐτοὶ γὰρ ἐξηλέγχθησαν ὑφ' ἑαυτῶν,) ῥητὸν ἀργύριον κατέβαλον ἐπὶ τῷ αἰτίας ἀπολύεσθαι· πρὸς δὲ τοὺς ἐπιλοίπους οὐκ ἦν βαρὺς, ἀλλὰ μόνον ἐδόκει τὴν προτέραν περὶ βασιλέα γνώμην μεταβάλλειν. τὸ δὲ οὐκ ἦν, ὥσπερ ὑπωπτεύετο, ἀλλὰ τὸν πατέρα δεδοικὼς, μὴ διὰ τὸ Ζηλωτὰς καθῃρηκέναι καὶ τὰ βασιλέως δοκεῖν ᾑρῆσθαι, ἐξελαύνοιτο τῆς πόλεως, πέμψαντος ἐκείνου πρὸς ὀργὴν, ἢ καὶ δεινόν τι ἕτερον ὑποσταίη, ὑπεκρίνετο αὖθις φρονεῖν τὰ βασιλίδος, ἵν' ἐν ταὐτῷ χρηματίζοιτό τε καὶ παραιτοῖτο τὴν ὀργὴν ὑπὲρ ὧν ἐδόκει προσκεκρουκέναι. ἐπεὶ δὲ μεταξὺ τοῦ χρόνου τριβομένου ἠγγέλλετο αὐτῷ ὁ πατὴρ ἐν τοῖς Κωνσταντίνου βασιλείοις ὑπὸ τῶν δεσμωτῶν ἀνῃρημένος, οὐκέτι ὑπεκρίνετο οὐδὲν, ἀλλὰ φανερῶς τὰ βασιλέως ἔπραττε καὶ πρός τε ἐκεῖνον ἔπεμπε τοὺς μηνύσοντας, ὡς αὐτὸς ἐκ πολλοῦ τὰ ἐκείνου ᾑρημένος, οὐ μόνον διὰ τὴν ἐπιείκειαν τῶν τρόπων καὶ τὴν ἡμερότητα καὶ τὸ μόνον ἄξιον ἡγεῖσθαι Ῥωμαίων βασιλεύειν, ἀλλ' ὅτι καὶ τῷ πατρὶ πολλὰ συνῄδει σεσυκοφαντηκότι καὶ ἀδίκως πολεμήσαντι, πάλαι μὲν βουληθείη ἀποστῆναι πρὸς αὐτὸν μετὰ πρωτοστράτορος τοῦ γαμβροῦ, τὴν ἴσην καὶ ὁμοίαν καὶ ἐκείνου γνώμην ἔχοντος, κωλυθείη δὲ ὑπὸ τοῦ πατρὸς ὑπωπτευκότος καὶ διὰ ταύτην τὴν αἰτίαν πρὸς Θεσσαλονίκην πέμψαντος. [20]

2 573 νυνὶ δὲ τοῦ καιροῦ καλῶς παρασχομένου, τὰ πάλαι κατὰ γνώμην εἰς ἔργον ἄγειν μετὰ πάνυ καλῆς καὶ θαυμασίας τῆς προσθήκης. ἄγειν γὰρ μεθ' ἑαυτοῦ καὶ Θεσσαλονίκην, μετὰ τὴν μεγάλην παρὰ Ῥωμαίοις πρώτην πόλιν, καὶ ὑποχείριον αὐτῷ ποιεῖν, οὐ μικρὸν τῆς Ῥωμαίων ἡγεμονίας μέρος οὖσαν. οὗ δὴ ἕνεκα καὶ αὐτῷ μεμηνυκέναι, ἵνα καὶ αὐτὸς συνήδοιτο, ὡς χωρὶς πραγμάτων καὶ πολέμων τηλικαύτην πόλιν ἔχων. καὶ αὐτὸς ἐκκλησίαν φανερῶς συναγαγὼν ἔκ τε τῶν ἀρίστων καὶ τῆς στρατιᾶς καὶ τῶν ἄλλων πολιτῶν τῶν μάλιστα ἐν λόγῳ, ἐβουλεύετο φανερῶς, εἰ δεῖ βασιλεῖ προσχωρεῖν τῷ Καντακουζηνῷ, καὶ αὐτὸς τὴν οἰκείαν γνώμην προετίθει, ὡς εἴη λυσιτελὲς ὑπ' ἐκείνῳ μᾶλλον εἶναι, ἢ Βυζαντίοις προσέχειν, οὐδὲ ἑαυτοῖς πρὸς ἄμυναν ἐξαρκοῦσι. καὶ πάντες ὥσπερ ἐκ συνθήματος ἐπεψηφίζοντο. Κωκαλᾶς δὲ Γεώργιος, πολλὰς μὲν καὶ αὐτὸς ὑποστὰς μεταβολὰς παρὰ τὸν τοῦ πολέμου χρόνον, ὅμως δὲ τὰ βασιλέως μᾶλλον ᾑρημένος, ἐπεψηφίζετο καὶ αὐτὸς τότε τὴν βουλήν· ὁμοίως δὲ καὶ Παλαιολόγος Ἀνδρέας, τοῖς Ζηλωταῖς μὲν πρότερον συνὼν καὶ συμπράττων ὅσα μάλιστα ἐνῆν, μέτριος δὲ εἶναι δοκῶν καὶ ἀρετῆς ἀντιποιεῖσθαι καὶ φόνων ἀπέχεσθαι καὶ ἁρπαγῶν, δι' ἃ καὶ τῶν ἄλλων Ζηλωτῶν ἐλαυνομένων, ἠξιοῦτο φειδοῦς αὐτὸς, διὰ τὴν προσοῦσαν σύνεσιν καὶ τὴν ἐπιείκειαν τῶν τρόπων οὐδὲν πρὸς τὴν βουλὴν ἀντεῖπεν, ἀλλὰ συνεπεψηφίζετο. [20]

2 574 δῆλος δὲ ἦν ἀχθόμενος πρὸς τὰ πραττόμενα. ροδ'. Ἐπεὶ δὲ ἐδέδοκτο πᾶσι κοινῇ προσχωρεῖν τῷ βασιλεῖ, πρεσβευτὰς ᾑροῦντο πρὸς Καντακουζηνὸν Μανουὴλ τὸν βασιλέως υἱὸν ἐν Βερροίᾳ διατρίβοντα, Νικόλαόν τε τὸν Καβάσιλαν καὶ Φαρμάκην. ἦν γὰρ ἐξουσίαν βασιλεὺς τῷ υἱῷ παρεσχημένος, εἴ τις τῶν πόλεων προσίοι καὶ δέοιτο αὐτοῦ εὐεργεσιῶν τινων τυχεῖν, παρέχειν μὲν ἐκεῖνον, ὅσα νομίζοι προσήκοντα καὶ δυνατά· στέργειν δὲ αὐτὸν καὶ κατὰ μηδένα τρόπον πειρᾶσθαι καταλύειν. ἃ καὶ Θεσσαλονικεῖς εἰδότες, ἔπεμπον τοὺς πρέσβεις πρὸς ἐκεῖνον καὶ ᾐτοῦντο οὐ μόνον ἀτέλειαν κοινῇ τῇ πόλει, ἀλλὰ καὶ πριμμικηρίῳ τε τῷ μεγάλῳ καὶ τοῖς ἄλλοις τῶν δυνατωτέρων ἰδίᾳ τιμὰς καὶ προσόδους τὰς προσηκούσας καὶ τῇ στρατιᾷ καὶ τοῖς ἄλλοις μετ' ἐκείνους ἑκάστῳ κατὰ τὴν ἀναλογίαν. ὁ τοῦ βασιλέως δὲ υἱὸς δίκαιον νομίσας μηδὲν μικρολογεῖν, τηλικαύτην γε πόλιν μέλλων προσάγειν πατρὶ τῷ βασιλεῖ, πάντα ὅσα ᾐτοῦντο παρείχετο οἱ πρέσβεις, καὶ πολλὴν τὴν φιλοτιμίαν περὶ τὰς εὐεργεσίας ἐπεδείκνυτο. ἐπεὶ δὲ εἰς Θεσσαλονίκην οἱ πρέσβεις ἐπανῆκον φέροντες καὶ τὰς βασιλέως εὐεργεσίας, ἡ πόλις μὲν ἤδη πᾶσα φανερῶς εὐφήμει βασιλέα, καὶ διὰ πάσης γλώσσης ᾔδετο, καὶ ἡ στρατιὰ καὶ οἱ ἄλλοι πάντες ταῖς δεδομέναις τιμαῖς ἠρκοῦντο. Ἀνδρέας δὲ ὁ Παλαιολόγος ἐδυσχέραινεν

ἄλλων προτιμωμένων, ὧν ᾤετο αὐτὸς δίκαιος εἶναι ὑπερέχειν, καὶ ἀντεῖπε φανερῶς πάντων ἠθροισμένων ἐν τῇ Ἀποκαύκου οἰκίᾳ· καὶ διχοστασίας γενομένης, ἀσυντάκτως ἀνεχώρει. [20]

2 575 ἐκεῖνοι δὲ ὑπολειφθέντες, ἐθορύβουν μόνον καὶ τῶν δεόντων οὐδὲν ἐποίουν· δείσας δὲ ὁ Παλαιολόγος μὴ ὑπ' ἐκείνων διαφερομένων παραπόληται, αὐτίκα τὴν πρὸς θάλασσαν πύλην, ὥσπερ τινὰ κατελάμβανε φυλακήν· περὶ ἣν οἰκοῦσι πᾶν τὸ ναυτικὸν, οἱ πλεῖστοί τε ὄντες καὶ πρὸς φόνους εὐχερεῖς, ἄλλως τε καὶ ὡπλισμένοι πάντες, ὥσπερ τὸ κράτιστόν εἰσι τοῦ δήμου, καὶ σχεδὸν ἐν ταῖς στάσεσι πάσαις αὐτοὶ τοῦ παντὸς πλήθους ἐξηγοῦνται προθύμως ἑπομένου, ᾗ ἂν ἄγωσιν αὐτοί· ἔχουσι δὲ καὶ ἰδιάζουσαν ἀρχὴν αὐτοὶ παρὰ τὴν τῆς ἄλλης πόλεως· ὧν ἐκεῖνος τότε ἦρχε. διά τε οὖν τὸ ἄρχειν καὶ τὴν ἄλλην εὔνοιαν, ἣν εἶχον πρὸς αὐτὸν, προθύμως ὑπὲρ ἐκείνου ἀνελάμβανον τὰ ὅπλα καὶ ἀμύνεσθαι ἦσαν ἕτοιμοι παντὶ τῷ ἐπιόντι. Κωκαλᾶς δὲ οὐδ' αὐτὸς μὲν ἡσυχάζειν ἐγίνωσκεν ἐν τοῖς παροῦσιν, ἀλλὰ περὶ τῆς ἀρχῆς ἐπεβούλευεν Ἀποκαύκῳ· μᾶλλον γὰρ ἑαυτῷ ἢ ἐκείνῳ ᾤετο προσήκειν. ἐλέγετο δὲ καὶ ὑπωπτευκέναι ἠδικῆσθαι παρ' ἐκείνου πρὸς τὸν γάμον· δι' ἃ ἐβούλετο εἰ δύναιτο διαφθείρειν. φανερῶς μὲν οὖν ἐκεῖνος οὐκ ἀντικαθίστασθαι ἐδόκει, ἀλλὰ πρεσβεύων παρ' ἑκατέροις ἐπὶ τῷ διαλύειν, μᾶλλον συνέκρουε καὶ παρώξυνε τὸν πόλεμον. [20]

2 576 Παλαιολόγος δὲ τοὺς Ζηλωτὰς, ὅσοι περὶ Θεσσαλονίκην ἦσαν, μετεκαλεῖτο· ἔνιοι δὲ καὶ κατακρυπτόμενοι ἐν ἀδύτοις ἐξαίφνης ἀνεφαίνοντο. καὶ ὁ δῆμος ἅπας ἐξεκυμαίνετο ὑπ' αὐτῶν, καὶ δῆλοι ἦσαν αὖθις χωρήσοντες ἐπὶ τοὺς ἀρίστους. ὁ μέγας δὲ πριμμικήριος μετὰ τῶν ἄλλων πολιτῶν καὶ τῆς στρατιᾶς ὑπὲρ ὀκτακοσίους ὄντες, ὡς ἐλέγετο, δεινὰ ἐποιοῦντο, εἰ Παλαιολόγου μόνου μετὰ τῶν παραθαλασσίων, (ὁ γὰρ ἄλλος δῆμος οὐδέπω οὐδετέροις καθαρῶς προσέκειτο,) τοσοῦτοι ὄντες ἡττηθεῖεν· ὅμως Ἀπόκαυκος οὐκ ἠμέλει τοῦ μὴ χωρεῖν πρὸς τὰς συμβάσεις, ἀλλὰ πρὸς τὸν Παλαιολόγον ἔπεμπε τὸν Κοτεανίτζην πρεσβευτὴν, τῆς στρατιᾶς ὄντα ἡγεμόνα, διαλεξόμενον περὶ εἰρήνης. πρὶν δέ τι πρὸς ἐκεῖνον εἰπεῖν, οἱ Ζηλωταὶ προσπεσόντες, (οὐ γὰρ ἐδόκει ἡ εἰρήνη αὐτοῖς λυσιτελεῖν,) πολλὰς μὲν προσήνεγκαν πληγὰς καὶ ξίφεσι καὶ δορατίοις· καταβαλεῖν δὲ οὐκ ἠδυνήθησαν τεθωρακισμένον ἔνδον ὄντα, ἀλλ' ἐξέφυγε, τὴν χεῖρα μόνην ἐπὶ τῷ καρπῷ τραυματισθείς. Ἀπόκαυκος δὲ ἐπεὶ τὴν αὐθάδειαν ἐπύθετο, ὥρμησε μὲν ἐπελθεῖν τοῖς παραθαλασσίοις καὶ τοῖς Ζηλωταῖς ὑπὸ Παλαιολόγον τεταγμένοις, καὶ ῥᾳδίως ἂν ἐκράτησεν, ἔτι ἀπαρασκεύοις ἐπελθὼν, τοῦ τε δήμου μήπω παντὸς αὐτοῖς συντεταγμένου· ἐπέσχε δὲ ὁ Κωκαλᾶς ἀπατήσας ἐν προσχήματι βουλῆς. ἐπηγγέλλετο γὰρ αὐτὸς χωρὶς αἱμάτων Παλαιολόγον πείσειν πρὸς αὐτοὺς ἐλθεῖν καὶ συμφρονῆσαι. ἅμα δὲ, ἐπεὶ ἤδη ἐπεγένετο καὶ ἡ νὺξ, Ἀπόκαυκος μὲν μετὰ τῆς στρατιᾶς καὶ τῶν ἄλλων πολιτῶν πρὸ τῆς ἀκροπόλεως ηὐλίσαντο τὴν νύκτα ὡπλισμένοι. [20]

2 577 Παλαιολόγος δὲ αὖθις ἐπὶ τῆς πρὸς θάλασσαν πύλης μετὰ τῶν παραθαλασσίων καὶ τῶν Ζηλωτῶν διενυκτέρευε, καὶ σύγχυσις δεινὴ καὶ ἀταξία τὴν πόλιν εἶχε, καὶ ἡ μὲν βασιλέως τοῦ Καντακουζηνοῦ προσηγορία αὖθις ἀπεσβέννυτο, φόβος δὲ περιειστήκει πανταχόθεν τοὺς τἀκείνου ᾐρημένους. καὶ ἦν ὁρᾷν πρὸς μὲν τὴν θάλασσαν φρυκτούς τε συχνοὺς ἀνισχομένους καὶ πάταγον δεινὸν καὶ θροῦν ἄσημον ἐξακουόμενον καὶ τὴν σάλπιγγα διὰ πάσης τῆς νυκτὸς βοῶσαν καὶ συγκαλουμένην τὸν δῆμον ἐπὶ τοὺς δυνατούς· ἐκείνους δὲ πρὸ τῆς ἀκροπόλεως ἐστρατοπεδευμένους ἀθορύβως μὲν καὶ τεταγμένως, προθύμους δὲ ὅμως συμπλέκεσθαι τῷ δήμῳ ὄντας. ἤλπιζον γάρ τι καὶ μέρος αὐτοῖς συνέσεσθαι τοῦ δήμου, ἄλλως θ' ὅτι, καὶ τῆς ἄκρας ὑπ' αὐτῶν κατεχομένης, ἐλπίδας εἶχον οὐκ ἀγεννεῖς, εἰ καὶ ἥττους φαίνοιντο τῶν ἀντιτεταγμένων, οὐδὲν πείσεσθαι δεινὸν, ἀλλ' ἀναχωρήσειν πρὸς τὴν ἄκραν. πρὸς δὲ τούτοις καὶ ἐκ Βερροίας ἥξειν ἤλπισαν συμμαχήσουσαν στρατιάν. ἅμα γὰρ τῷ Παλαιολόγον ἦρχθαι τοῦ πολέμου, πρὸς τὸν βασιλέως οὗτοι πέμψαντες υἱὸν, ἢ αὐτὸν ἥκειν ἐδέοντο μετὰ τῆς στρατιᾶς,

ἢ πέμπειν συμμαχίαν. οὕτω μὲν οὖν διῆλθεν ἡ νὺξ, ἀμφοτέρων ἀλλήλοις ἀντιστρατοπεδευομένων καὶ παρασκευαζομένων πρὸς τὸν πόλεμον. [20]

2 578 ἐπεὶ δὲ ἡμέρα ἤδη ἦν, Ἀπόκαυκος μὲν μετὰ τῆς στρατιᾶς κατέβαινε διαγωνισόμενος· Κωκαλᾶς δὲ αὖθις πρὸς ἑκατέρους ἐπιφοιτῶν τὸ δοκεῖν μὲν περὶ εἰρήνης διελέγετο, τῇ δ' ἀληθείᾳ παρώξυνε πρὸς μάχην. διαλεχθεὶς δὲ καὶ τοῖς ἡγεμόσι τῶν λόχων, κρύφα διέφθειρε καὶ κατέπειθε μὴ μάχεσθαι, ἀλλὰ γενομένης συμβολῆς, πρώτους καθ' αὑτοὺς θέσθαι τὴν τροπήν. ἐπεὶ δὲ τοιαῦτα ᾠκονόμητο, τὸν δῆμον αὐτοῖς ἐπῆγεν, ἄχρι τότε μήπω φανερὸς γεγενημένος ὅτι πολεμεῖ. ἐπεὶ δὲ ἐγγὺς ἦσαν καὶ ἠκροβολίζοντο, οἱ στρατιῶται οὐκ ἔφασαν δεῖν πρὸς ὁμοφύλους μάχεσθαι, οὐδὲ τοὺς οἰκείους ἀποκτείνειν, ἀλλὰ πρὸς τὴν ἄκραν ἀναχωρεῖν, ἐνὸν ἀκινδύνως σώζεσθαι· καὶ ἅμα ἀνεχώρουν, συνείποντο δὲ ἀνάγκῃ καὶ οἱ ἄλλοι. ἐπεὶ δὲ ἐγένοντο πρὸς τῇ ἄκρᾳ, Ἀπόκαυκος μὲν ἐδεῖτο πρὸ τῶν τειχῶν ἀμύνεσθαι καρτεροῦντας, (ἦν γὰρ καὶ τὸ χωρίον ἐπιτηδείως ἔχον πρὸς ἱππηλασίας,) ἡ στρατιὰ δὲ οὐκ ἔφασαν δεῖν, ἀλλ' ἔνδον εἰσιέναι καὶ ἀμύνεσθαι ἀναβάντας ἀπὸ τῶν τειχῶν. ἐπεὶ δὲ ἔνδον ἦσαν, παρακαλούμενοι αὖθις ἐπὶ τὰ τείχη ἀναβαίνειν καὶ ἀμύνεσθαι οὐκ ἠθέλησαν, μὴ εἰδέναι φάσκοντες τειχομαχεῖν, μηδὲ κτείνειν τοὺς οἰκείους ἢ κτείνεσθαι, ἀνάγκης μηδεμιᾶς ὑπούσης. Ἀπόκαυκος δὲ μετὰ τῶν ἄλλων, ἐπεὶ τὴν προδοσίαν κατενόουν καὶ τὸν κίνδυνον περιεστηκότα συνεώρων, ὥρμηντο φεύγειν ἔξω τειχῶν. συνέβη δὲ τὸν τὰ κλεῖθρα τῆς ἄκρας κατέχοντα τῶν Ζηλωτῶν ἕνα εἶναι, ὃς ἐπεὶ διχοστατοῦντας εἶδε καὶ ὡρμημένους φεύγειν, συνεὶς τὸ μέλλον, ἀπεκρύπτετο τὰ κλεῖθρα ἔχων. [25]

2 579 πολὺ δὲ τῶν πυλῶν ἑκατέρων τῆς ἄκρας ἀλλήλων διεχουσῶν, Ἀπόκαυκος μὲν μετὰ τῶν ἄλλων ἐχώρουν ἐπὶ τὴν ἐξάγουσαν τῶν τειχῶν. ἐπεὶ δὲ ἦν κεκλεισμένη, ἐπεχείρουν διακόπτειν· ὁ δῆμος δὲ ὁ τῆς ἄκρας, (πόλει γάρ τινι ἔοικε μικρᾷ καὶ οἰκήτορας ἰδίους ἔχει,) οὐκ εἴων διαδιδράσκειν ἐπαγαγόντας αὐτοῖς τὸν δῆμον, ἀλλ' ἔνδον μένοντας ἀμύνεσθαι τοὺς ἐπιόντας μετ' αὐτῶν. ἐν ᾧ δὲ ταῦτα ἐτελεῖτο, ὁ δῆμος πῦρ ἐνίεσαν ταῖς πύλαις τῆς ἄκρας ταῖς πρὸς τῇ πόλει, ἐπεὶ μηδεὶς ἠμύνετο. Στρατήγιος δὲ ὁ τὰ κλεῖθρα ἔχων (οὕτω γὰρ ὠνόμαστο,) ἤνοιγεν ἐλθὼν, καὶ ὁ δῆμος εἰσεχεῖτο, καὶ αὐτίκα μὲν πρὸς ταῖς πύλαις δύο τῶν πολιτῶν ἀπέσφαξαν, ἔπειτα πρὸς ἁρπαγὴν ἐτράποντο ὅπλων τε καὶ ἵππων. Ἀπόκαυκος γὰρ καὶ οἱ ἄλλοι, ὅτι ἑάλωσαν ἰδόντες, ἐπεὶ μὴ φεύγειν ἦν, τῶν ἵππων ἀποβαίνοντες καὶ ἀποδυόμενοι τὰ ὅπλα κατεκρύπτοντο, ἐλάνθανον δὲ ὀλίγοι, τοὺς πλείους δὲ ἀποδύοντες κατέλειπον γυμνούς. Κωκαλᾶς δὲ καὶ Παλαιολόγος περιεποιοῦντο τοὺς στρατιώτας καὶ ἐκέλευον μὴ ἀποδύειν· ἅμα δὲ καὶ τοὺς ἵππους εὑρίσκοντες παρείχοντο ἑκάστῳ, ἀμειβόμενοι τῆς προδοσίας, ἅμα δ' ὅτι καὶ ὅρκους αὐτοῖς πρότερον παρείχοντο, ὡς οὐδὲν πείσονται δεινὸν, ἂν τοὺς ἄλλους προδιδῶσιν. οὕτω μὲν οὖν τὸ Καντακουζηνοῦ τοῦ βασιλέως μέρος προδοθὲν ὑπὸ τῆς στρατιᾶς ἡττᾶτο κατὰ κράτος. Κωκαλᾶς δὲ καὶ Παλαιολόγος τὸν μὲν δῆμον ἐξήλαυνον τῆς ἄκρας· ἤδη γὰρ διήρπαζον καὶ τὰ τῶν ἐγχωρίων, αὐτοὶ δὲ περιμείναντες ἄχρι νυκτὸς, τοὺς μὲν στρατιώτας πάντας οἴκαδε ἀπέπεμπον καί τινας τῶν φίλων αὐτοὶ διέσωζον· Ἀπόκαυκον δὲ καὶ τῶν πολιτῶν ὀλίγῳ ἐλάσσους ἑκατὸν κατέκλεισαν ἐν δεσμωτηρίῳ πρὸς τῇ ἀκροπόλει καὶ φρουρὰν ἐπέστησαν αὐτοῖς. [5]

2 580 ἅμα δὲ ἕω εἰς τὴν ἐπιοῦσαν καὶ ἡ ἐκ Βερῥοίας στρατιὰ παρῆν. ἐπεὶ δὲ ἐπύθοντο, ὡς ἁλοῖεν οἷς ἦκον συμμαχεῖν, καταδραμόντες ἐληΐσαντό τινα ὀλίγα, καὶ ἀνέστρεφον εἰς τὴν οἰκίαν. περὶ μέσην δὲ ἡμέραν φήμη τις προσέπιπτεν ἀθρόον πρὸς τὴν πόλιν, ὡς οἱ δεσμῶται πάλιν τὴν ἄκραν κατασχόντες τὴν ἐκ Βερῥοίας στρατιὰν εἰσδέχονται. ἐλέγετο δὲ, ὡς τῶν Ζηλωτῶν τινες τὰ τοιαῦτα καταψεύσαιντο ἐπὶ τῷ ἀποκτείνειν τοὺς δεσμώτας, καὶ ὁ δῆμος αὖθις τὰ ὅπλα ἀναλαβόντες ἐχώρουν πρὸς τὴν ἄκραν ὑπό τε θυμοῦ καὶ οἴνου στρατηγούμενοι. οἱ πρὸς τῇ ἄκρᾳ δὲ δείσαντες τὴν ἔφοδον τοῦ δήμου, μὴ τὰ ὄντα ἔνδον διαρπάσωσι γενόμενοι,

ἀπέκλεισαν τὰς πύλας· ἀναβάντες δὲ ἐπὶ τῶν τειχῶν ἐδέοντο μὴ διαφθείρειν σφᾶς, ὡς πᾶν ποιήσοντας τὸ κελευόμενον. οἱ δ' ἐκέλευον τοὺς δεσμώτας ἄγειν καὶ κατακρημνίζειν πρὸς αὐτοὺς, καὶ αὐτίκα οἱ δεσμῶται ἤγοντο γυμνοί. καὶ πρῶτον μὲν Ἀπόκαυκος κατεκρημνίσθη· οὕτω δὲ συμβὰν ὀρθὸς ἔστη καὶ ἔμεινεν ἐπιπολὺ, μηδενὸς προσάπτεσθαι τολμῶντος. ἔπειτά τις προσελθὼν τῶν Ζηλωτῶν, καὶ μαλακίαν τῶν ἄλλων κατηγορήσας, ἀπέτεμεν αὐτὸς τὴν κεφαλὴν μαχαίρᾳ. εἶτα καὶ οἱ ἄλλοι περιστάντες κατέτρωσαν τὸ σῶμα ὅλον. [20]

2 581 ἔπειτα καὶ τοὺς ἄλλους ἐῤῥίπτουν ἀπὸ τῶν τειχῶν, ἀπαιτούντων ὀνομαστὶ τῶν Ζηλωτῶν, οὐκ ἐφ' ἕνα τόπον, ἀλλ' ἐπὶ πλείους. καὶ ὁ δῆμος θηριωδῶς καὶ ἀπανθρώπως κατηκόντιζον περιϊστάμενοι· ἐνίων δὲ ἀπέτεμνον καὶ κεφαλὰς, καὶ πάντας οὕτως ὠμῶς ἀπέκτειναν πλὴν ὀλίγων λίαν, οἳ ὑπὸ τῶν τὴν ἄκραν οἰκούντων κατεκρύπτοντο. παρῆσαν δὲ καὶ Κωκαλᾶς καὶ Παλαιολόγος ἀποσφαττομένων, καὶ ἐδόκουν μὲν πρὸς τὰ πραττόμενα δυσχεραίνειν, ἀνακόπτειν μέντοι τὴν ὁρμὴν τοῦ δήμου ὑπεκρίνοντο μὴ δύνασθαι· ἔπειτα ἐκεῖθεν ὁ δῆμος ἐτράπετο πρὸς τὰς οἰκίας καὶ ἀπέκτειναν καὶ ἄλλους τινὰς τῶν πολιτῶν· ἐλθόντες δὲ καὶ πρὸς τὴν οἰκίαν Κωκαλᾶ, τῶν Ζηλωτῶν ἐναγόντων, τὸν Φαρμάκην ᾔτουν ἐκεῖ κατακρυπτόμενον ὑπ' ἐκείνου· ὃς Κωκαλᾶ τῆς γυναικὸς ἀδελφῇ συνῴκει, μέγα δὲ ἐδυνήθη παρὰ Ἀποκαύκῳ ἄρχοντι καὶ πλεῖστα ἐκάκωσε τοὺς Ζηλωτάς. δείσας δὲ ἐκεῖνος, μὴ ὑπὸ τοῦ δήμου διαφθαρῇ, παρέδωκε τὸν συγγενῆ, καὶ ἀνῃρέθη εὐθὺς ὑπὸ τοῦ δήμου. ἐλέγετο δὲ καὶ στέατος ἀνθρωπίνου ἅψασθαί τινας τῶν τοῦ δήμου τότε. ἀνατεμνομένων γὰρ τῶν ἀποκτεινομένων, τὰ ἔγκατα ἐξεχεῖτο. ὧν τις ὑπ' ἄκρας ἀναισθησίας καὶ ἀναλγησίας στέαρ συναγαγὼν οἴκαδε ἀπήγαγε· τὴν γυναῖκα δὲ μὴ εἰδυῖαν ὅθεν εἴη, νομίσασάν τινος ἑτέρου εἶναι ζώου, ἥδυσμα τῇ χύτρᾳ προσεμβαλεῖν, μετὰ δὲ τὸ φαγεῖν αἰσθέσθαι, τοῦ ἀνδρὸς ὡς εἴη ἀνθρώπινα εἰπόντος. οὕτω μὲν ἡ Θεσσαλονίκη προσεχώρησε βασιλεῖ ἑκοῦσα, καὶ πάλιν εἰς τὸν πόλεμον ἐξετράπη ὑπὸ Παλαιολόγου καὶ Κωκαλᾶ, καὶ τοιαῦτα ἐτολμήθη πᾶσαν ὑπερβαίνοντα ὠμότητα, καὶ τὸ Καντακουζηνοῦ τοῦ βασιλέως σκάφος αὖτανδρον κατέδυ. [20]

2 582 ἐκεῖνος δὲ μετὰ τὴν ἐν Ἀδριανουπόλει τῆς ἰδίας στεφηφορίας ἑορτὴν Ματθαῖον μὲν τὸν υἱὸν κατέλιπεν ἐπὶ τῆς Θρᾴκης ἔχοντα στρατιὰν, τάς τε πόλεις πολιορκήσοντα τὰς Βατάτζῃ συναποστάσας, καὶ Ἱέρακι ἀντιστησόμενον· ἦκε γὰρ ἐκ Βυζαντίου στρατιώτας ὀλίγους ἔχων ἐπ' ἐκείνας τὰς πόλεις στρατηγός· ᾧ καὶ συμβαλὼν ὁ τοῦ βασιλέως ἐνίκησεν υἱὸς μόλις διαδράντα τὸ ἁλῶναι· οἱ γὰρ συνόντες πάντες οἱ μὲν ἔπεσον, οἱ δ' ἑάλωσαν παρὰ τὴν μάχην. ἔπειτα δὲ καὶ τὰς πόλεις παρεστήσατο καὶ ὑπήγαγε τῷ πατρὶ βιασάμενος τοῖς ὅπλοις. ρε′. Βασιλεὺς δὲ εἰς Σηλυμβρίαν ἐλθὼν τοῖς ἐν Βυζαντίῳ φίλοις κρύφα διελέγετο· ἐπεὶ δὲ οὐδὲν ἤνυεν ὧν ἐβούλετο, αὖθις ἀνέστρεφεν εἰς τὴν Ἀδριανοῦ. ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους καὶ Μαρτῖνος μετὰ τοῦ Κωνσταντινουπόλεως πατριάρχου, ὃν ὁ Πάπας εἴωθε χειροτονεῖν μετὰ τὴν διαίρεσιν τῆς ἐκκλησίας, οἷα δὴ τῆς πόλεως Λατίνοις προσηκούσης, ὅτι ὑπ' αὐτοῖς ἐγένετό ποτε, ἅμα δυοκαίδεκα τριήρεσιν, ἦλθον εἰς τὴν Σμύρνην, καὶ πρότερον ὑπὸ τῶν Λατίνων κατεχομένην. πατριάρχῃ δὲ ἐδόκει δεῖν εἰς τὸν κατὰ Σμύρναν ἐξελθόντα ναὸν, ἐν ᾧ πάλαι ἡ μητρόπολις ἦν, τὴν θείαν μυσταγωγίαν ἐκτελέσαι, καὶ ἐκέλευε τὴν στρατιὰν ὁπλισαμένην ἕπεσθαι. Μαρτῖνος δὲ ἐκώλυε καὶ οἱ ἄλλοι τῶν ναυάρχων, διακεκινδυνευμένα τολμᾷν ἰσχυριζόμενοι. [25]

2 583 ἐπεὶ δὲ οὐκ ἐπείθετο, εἵποντο ἀνάγκῃ. καὶ γενομένῳ πρὸς τὸν ναὸν καὶ τὴν μυσταγωγίαν τὴν θείαν ἐκτελοῦντι ἐπῆλθεν Ἀμοὺρ μετὰ τῆς στρατιᾶς. καὶ τὸ μὲν ἄλλο στράτευμα τῶν Λατίνων διεσώθη ἀναχωρῆσαν πρὸς τὸ φρούριον, ὃ κατεῖχον, ἐπεὶ τοὺς Πέρσας εἶδον ἐπιόντας· πατριάρχης δὲ τὴν ἱερὰν στολὴν ἐνδεδυμένος ἀπεσφάγη ὑπὸ τῶν Περσῶν καὶ Μαρτῖνος καὶ ἄλλοι τῶν ἐπιφανῶν ὀλίγοι. ἐν δὲ τοῖς χρόνοις τούτοις καὶ τῶν ἐν Γεννούᾳ εὐγενῶν τινες δύο καὶ τριάκοντα πληρώσαντες οἰκείοις ἀναλώμασι τριήρεις ἐπέπλευσαν τῇ Χίῳ καὶ ἐπολιόρκησαν χρόνον οὐκ ὀλίγον, καὶ τειχομαχίας τε πολλὰς ἐποιήσαντο καὶ καρτερὰς καὶ

μηχανήματα προσῆγον. ἤνυον δὲ ἀπὸ τῶν τοιούτων ὀλίγα ἢ οὐδέν. οἱ γὰρ Χῖοι ἠμύνοντο τοὺς Λατίνους καρτερῶς, ἐνδείᾳ δὲ πιεσθέντες καὶ λιμώξαντες, ἐπεὶ ἐπικουρίας οὐδεμιᾶς ἐτύγχανον παρὰ Ῥωμαίων, προσεχώρουν τοῖς Λατίνοις καὶ παρέδοσαν τὴν πόλιν ὑπ' ἀνάγκης. ἡ βασιλὶς δὲ ἠνιᾶτο μὲν δεινῶς, τῆς Χίου πολιορκουμένης, βοηθεῖν δὲ οὐκ εἶχε· χρημάτων τε γὰρ οὐκ εὐπόρει πρὸς τοσαύτην δύναμιν, ὥστε στόλον ἀντίῤῥοπον τῷ Λατίνων ἐξαρτύειν, καὶ τὸν διοικήσοντα καλῶς καὶ ὡς προσῆκε τὰ πράγματα οὐκ εἶχε· πάντες γὰρ, ὅσοι ἦσαν ἀξιόλογοι Ῥωμαίων, ἐν δεσμωτηρίοις κατεκλείοντο. ὅμως τινὰς ὀλίγους ἐφοπλίσαντες οἱ ἄρχοντες τριήρεις, Φακεωλάτον ἔπεμψαν συνάρχοντα τότε τοῖς ἄλλοις, (ἦν γὰρ Κιννάμου τοῦ μυστικοῦ συνοικῶν ἀδελφῇ τῆς γυναικὸς,) οὐχ ὥστε ἀντιτάττεσθαι Λατίνοις· οὐκ ὀλίγου γὰρ ἀπέδει πρὸς τὴν ἐκείνων δύναμιν· ἀλλ' εἰ δύναιτο τρόπῳ δή τινι σῖτον εἰσάγειν εἰς τὴν Χίον. [5]

2 584 Φακεωλάτος δὲ ἐπεὶ καταπλέων ἐπύθετο τὴν Χίον ἑαλωκυῖαν, ἀνέστρεφεν εὐθύς· καὶ ὁλκάδι ἐκ Γεννούας περιτυχὼν μεγάλῃ ἐκράτησε μάχῃ καὶ ἀπέκτεινεν οὐκ ὀλίγους τῶν Λατίνων μαχομένους καὶ διήρπασε τὰ χρήματα. πυθόμενοι δὲ οἱ ἐν Γαλατᾷ ὁμόφυλοι ψήφισμα ἔγραψαν ἀποκτιννύναι Φακεωλάτον, οἳ ἄν τις συντύχοι, καὶ μηδένα κρίνειν φόνου, καὶ διέμεινεν αὐτοῖς ἡ πρὸς ἐκεῖνον ἔχθρα ἄχρι τελευτῆς. βασιλὶς δὲ ἐπεὶ ἑώρα μόνην τὴν Κωνσταντίνου πόλιν αὐτῇ περιλειπομένην, (αἱ γὰρ ἄλλαι σχεδὸν πᾶσαι προσεχώρησαν βασιλεῖ τῷ Καντακουζηνῷ,) πρὸς Μπαλίκαν τινὰ τοῦ Καρβωνᾶ ἄρχοντα πέμψασα πρεσβείαν ἐδεῖτο βοηθεῖν. ὁ δὲ ἀσμένως τε ἐδέξατο τὴν πρεσβείαν καὶ Θεόδωρον καὶ Τομπροτίτζαν τοὺς ἀδελφοὺς, χιλίους στρατιώτας ἄγοντας ἐπιλέκτους, κατὰ συμμαχίαν ἔπεμπε τῇ βασιλίδι, οἳ καὶ τὰς κατὰ τὸν Πόντον παραθαλασσίους πόλεις διιόντες ἔπεισαν ἀποστῆναι βασιλέως καὶ τῇ βασιλίδι προσχωρεῖν· ἤλπισαν γὰρ αὐτούς τι μέγα κατορθώσειν. καὶ ἡ βασιλὶς ἐδέξατο τοὺς ἄνδρας μετὰ πολλῆς τῆς εὐμενείας καὶ τιμῆς, καὶ τήν τε Ἀποκαύκου τοῦ μεγάλου δουκὸς θυγατέρα συνῴκισε τῷ Τομπροτίτζᾳ, καὶ στρατηγὸν ἀπέδειξε τῆς Ῥωμαίων στρατιᾶς. [20]

2 585 ὁ δὲ τήν τε οἰκείαν ἔχων καὶ τὴν Ῥωμαίων ἐπεστράτευσε Σηλυμβριανοῖς, βασιλέως Διδυμοτείχῳ ἐνδιατρίβοντος. Φακρασὴς δὲ ὁ πρωτοστράτωρ ὑπὸ βασιλέως ἐν Σηλυμβρίᾳ καταλελειμμένος μετὰ στρατιᾶς, ἔχων καὶ τοὺς Σηλυμβριανοὺς, συνεπλέκετο τοῖς περὶ Τομπροτίτζαν ἐξελθὼν καὶ ἐνίκα κατὰ κράτος. ἄπειρος γὰρ ὢν ὁ Τομπροτίτζας τῶν χωρίων ἐστρατήγησε κακῶς, εἰς τάφρους καὶ στενοχωρίας καὶ ἀμπέλους τοὺς ἱππέας ἐμβαλών· ὅθεν ἡττηθέντες ὀλίγοι μὲν ἀπέθανον κατὰ τὴν μάχην, ἑάλωσαν δὲ πολλοὶ ὀλίγων, διαδρᾶναι δυνηθέντων. ὧν τοὺς ἐπιφανεστέρους δήσαντες εἶχον ἐν φρουραῖς· τοὺς δ' ἄλλους ἀποδύσαντες ἀπέλυον. ἦλθε δὲ καὶ ὁ Τομπροτίτζας ἐγγὺς ἁλῶναι, ὅμως διαδρᾶναι δυνηθεὶς ἀνέστρεφε κατῃσχυμμένος. μετὰ τὴν ἧτταν δὲ ἐκείνην Τομπροτίτζας μὲν ὑπελείπετο ἐν Βυζαντίῳ ἤδη γυναῖκα ἔχων ἐκ Ῥωμαίων καὶ τιμῆς ἀπέλαυε παρὰ βασιλίδος τῆς ἀξίας· Θεόδωρος δὲ ὁ ἀδελφὸς ἀνέστρεφεν εἰς τὴν οἰκείαν, τὴν ὑπολελειμμένην ἔχων στρατιάν. μετὰ τοῦτο δὲ Ὀρχάνης πρὸς Καντακουζηνὸν τὸν βασιλέα πρεσβείαν πέμψας ἠξίου ἐκδοῦναί οἱ πρὸς γάμον τὴν θυγατέρα· ἐπηγγέλλετό τε, εἰ παράσχοιτο, προθύμως συμμαχήσειν κατὰ παντὸς πολεμίου τοῖς Ῥωμαίοις· οὐκέτι γὰρ ἔσεσθαι σύμμαχον καὶ φίλον, ἀλλὰ υἱὸν, καὶ προθύμως δουλεύσειν αὐτόν τε καὶ τὴν σύμπασαν στρατιὰν, οἷ ἂν κελεύοι. βασιλεὺς δὲ οὔτε ἀπείπατο τὴν πρεσβείαν, οὔτ' εὐθὺς συνέθετο πρὸς τὴν ἐπιγαμίαν, ἀλλὰ προσηνῶς τε καὶ ἡμέρως τοῖς πρέσβεσι χρηματίσας καὶ δῶρα παρασχόμενος, νῦν μὲν ἔλεγε μηδὲν ἀποκρινεῖσθαι, ὕστερον δὲ ὀλίγῳ πέμψας πρεσβείαν τὴν ἀπόκρισιν ποιήσεσθαι. [25]

2 586 οἱ μὲν οὖν Ὀρχάνη πρέσβεις ἀνέστρεφον εἰς τὴν οἰκείαν. βασιλεὺς δὲ μετὰ τῶν οἰκείων καὶ τῶν ἐν τέλει ἐβουλεύετο περὶ τοῦ γάμου, εἰ χρὴ τὴν θυγατέρα τῷ Ὀρχάνῃ ἐκδιδόναι, καὶ πάντες ὥσπερ ἐκ συνθήματος κράτιστον εἶναι ἔλεγον Ὀρχάνην ἔχειν σύμμαχον καὶ φίλον βέβαιον. βασιλεὺς δὲ καὶ πρὸς Ἀμοὺρ πρεσβείαν πέμψας, εἰ δοκοίη βέλτιον εἶναι καὶ αὐτῷ τὴν

θυγατέρα συνοικίζειν ἐπυνθάνετο Ὀρχάνῃ. ὁ δὲ ἄριστον ἡγεῖτο καὶ συνεβούλευε δέχεσθαι τὸ κῆδος. μάλιστα γὰρ αὐτῷ λυσιτελεῖν τὴν φιλίαν καὶ τὴν οἰκειότητα τοῦ βαρβάρου μεγάλα δυναμένου ὠφελεῖν κατὰ τῶν Ῥωμαίοις πολεμίων. εἰ γὰρ καὶ μὴ δέοιτο νυνὶ βαρβάρων πρὸς τὸν τῶν ὁμοφύλων πόλεμον, τεταπεινωμένων ἤδη καὶ μὴ δυναμένων ἀντικαθίστασθαι αὐτῷ, ἀλλ᾽ οὖν εἰ πᾶσα ἡ Ῥωμαίων ὑπ᾽ αὐτὸν γένοιτο ἡγεμονία, πρὸς τοὺς ὁμόρους δυνάστας δεήσεσθαι τῆς Περσικῆς δυνάμεως, πολλὰ ἠδικηκότας καὶ πολλὰς πόλεις καὶ χώρας τῆς Ῥωμαίων παρασπασαμένους. εἰδέναι μὲν οὖν ἔφασκεν, ὡς οὐδ᾽ ἂν εἴτι γένοιτο, τοσαύτην Ὀρχάνης εὔνοιαν ἐπιδείξεσθαι δύναιτο, ὅσην αὐτὸς πρὸς βασιλέα. ἀλλ᾽ οὖν εὐχερῶς ἐκεῖνον ἔχειν βοηθεῖν. αὐτὸν δὲ πολλῆς δεῖσθαι πραγματείας διὰ ἀλλοτρίας πρὸς αὐτὸν ἰόντα γῆς· Ὀρχάνῃ δὲ τὴν ἀντιπέραν Θρᾴκης ἤπειρον ὑφ᾽ ἑαυτὸν πεποιημένῳ ῥᾴδιον εἶναι, ὅτε βούλοιτο, ῥᾳδίαν ποιεῖσθαι τὴν ἐπικουρίαν. [20]

2 587 δι᾽ ἃ συνεβούλευε τὸ κῆδος ἐκτελεῖν, ὡς τὰ κράτιστα λυσιτελῆσον τοῖς Ῥωμαίοις· κἂν μὴ καὶ πάνυ κατὰ γνώμην ᾖ, οὐδὲν δὲ ποιήσειν ἄξιον αἰτίας, εἰ καὶ τῶν πρὸ αὐτοῦ βεβασιλευκότων οὐκ ὀλίγοι Σκύθαις καὶ ἄλλοις τισὶ βαρβάροις τὰς θυγατέρας ἐξέδωκαν τὰς ἑαυτῶν πρὸς τὸ λυσιτελοῦν τοῖς ὑπηκόοις. τοιαῦτα μὲν ὁ Ἀμοὺρ παρῄνει. βασιλεὺς δὲ τό,τε μέτριον τοῦ φρονήματος ἐθαύμαζεν Ἀμοὺρ, ὅτι Ὀρχάνην αὐτοῦ μᾶλλον ὠμολόγει λυσιτελεῖν, καὶ τὸ ἄδολον καὶ καθαρὸν τῆς γνώμης, ὅτι ἃ ἐδόκει λυσιτελεῖν, οὐκ ἀπεκρύπτετο, καὶ ἐπείθετο πρὸς τὴν παραίνεσιν. πέμψας δὲ πρεσβείαν πρὸς Ὀρχάνην, τήν τε θυγατέρα κατηγγυᾶτο, καὶ στρατιὰν ἐκέλευε πέμπειν, ἥτις ἄξει τὴν γυναῖκα πρὸς αὐτόν. ὁ δ᾽ ἔπεμπεν αὐτίκα ναῦς τε τριάκοντα καὶ ἱππέας οὐκ ὀλίγους καὶ τοὺς ἐπιφανεστέρους τῶν ὑπ᾽ αὐτόν. βασιλεύς τε μετὰ τῆς στρατιᾶς Ῥωμαίων ὅση ἦν, ἦκεν εἰς Σηλυμβρίαν μετὰ γυναικὸς τῆς βασιλίδος καὶ τῶν θυγατέρων, καὶ ἐκέλευε πρὸ τῆς πόλεως ἐν τῷ πεδίῳ πρόκυψιν ποιεῖν ἐκ ξύλων, ἵν᾽ ἐπ᾽ αὐτὴν ἡ βασιλέως νυμφευομένη θυγάτηρ στᾶσα πᾶσι γένοιτο καταφανής· οὕτω γὰρ ἔθος εἶναι τοῖς βασιλεῦσι ποιεῖν ἐπὶ ταῖς θυγατράσι πρὸς γάμον ἀγομέναις. ἔπειτα ἐκέλευε καὶ τὴν βασιλικὴν σκηνὴν ἐγγὺς ἱστᾶν. ἐπεὶ δὲ ἦσαν παρεσκευασμένα, ἡ βασιλὶς μὲν μετὰ τῶν θυγατέρων ἐπὶ τῆς σκηνῆς ηὐλίσατο τὴν νύκτα, καὶ ὁ βασιλεὺς μετὰ τῆς στρατιᾶς. [20]

2 588 εἰς τὴν ὑστεραίαν δὲ βασιλὶς μὲν ἔμεινεν ἐπὶ τῆς σκηνῆς μετὰ τῶν ἐπιλοίπων δύο θυγατέρων, Θεοδῶρα δὲ ἡ νυμφευομένη ἐπὶ τὴν πρόκυψιν ἀνῆλθε, βασιλεὺς δὲ εἱστήκει ἔφιππος μόνος· οἱ δὲ ἄλλοι ἅπαντες πεζοί. οὕτω δὲ τῶν παραπετασμάτων περιαιρεθέντων, (περικεκάλυπτο γὰρ ἡ πρόκυψις πανταχόθεν ὑφάσμασι σηρικοῖς καὶ διαχρύσοις,) ἀνεφαίνετο ἡ νύμφη. καὶ λαμπάδες ἦσαν περὶ αὐτὴν ἡμμέναι ἑκατέρωθεν, ἃς εὐνοῦχοι κατέχοντες ἐπὶ γόνυ κεκλιμένοι οὐκ ἐφαίνοντο. σάλπιγγες δὲ ἤχησαν ἐπιπλεῖστον καὶ αὐλοὶ καὶ σύριγγες καὶ ὅσα πρὸς τέρψιν ἐξεύρηται ἀνθρώποις. παυσαμένων δὲ ἐκείνων, ἐγκώμια ᾖδον οἱ μελῳδοὶ ὑπό τινων λογίων πρὸς τὴν νύμφην πεποιημένα. ἐπεὶ δὲ πάντα ἐτελεῖτο τὰ βασιλέως προσήκοντα θυγατράσιν νυμφευομέναις, τήν τε στρατιὰν καὶ τοὺς ἐν τέλει πάντας καὶ Ῥωμαίων καὶ βαρβάρων ὁ βασιλεὺς εἱστία ἐφ᾽ ἡμέρας οὐκ ὀλίγας. ἔπειτα ἐξέπεμπε τὴν θυγατέρα πρὸς τὸν ἄνδρα μετὰ πολλῆς ὑποδεξάμενον τῆς ἡδονῆς, ἣ καὶ τῷ βαρβάρῳ συνοικοῦσα τῆς εὐκλείας τῶν πατέρων ἀξίαν ἑαυτὴν ἐν τῷ πολιτεύεσθαι παρείχετο. οὐ μόνον γὰρ ἐκ τῆς συνδιατριβῆς ἐκείνων παρεβλάβη κατὰ τὴν πίστιν οὐδὲν, καίτοι γε πολλὰ πολλάκις ἐπιχειρούντων μεταπείθειν, ἀλλὰ καὶ πολλοὺς τῶν πρὸς τὴν ἀσέβειαν ὑπαχθέντων ἀνεκαλέσατο λόγοις πείθουσα πρὸς τὴν αἵρεσιν τῆς ἀληθείας. [20]

2 589 οὕτω δὲ περὶ τὴν πίστιν ἀσφαλῶς πολιτευσαμένη καὶ τόγε εἰς αὐτὴν ἦκον ὑπὲρ αὐτῆς προκινδυνεύσασα πολλάκις, οὐδὲ τῶν ἄλλων ἀγαθῶν ἠμέλει, ἀλλὰ πάσῃ τρυφῇ καὶ πολυτελείᾳ χαίρειν εἰποῦσα, τὰ ὄντα τοῖς πένησι διεδίδου, καὶ πολλοὺς τῶν ἐπὶ δουλείᾳ παρὰ τῶν βαρβάρων ἀποδιδομένων ἐῤῥύετο, χρυσίον αὐτὴ παρέχουσα, καὶ πᾶσι σωτηρίας ἦν λιμὴν

τοῖς δυστυχοῦσι Ῥωμαίων καὶ δεδουλωμένοις ὑπὸ τῶν βαρβάρων κατὰ συγχώρησιν θεοῦ. ἐκείνη μὲν οὖν οὕτω πρὸς ἅπασαν ἰδέαν ἐναρέτου βίου παρ' ὅσον συνδιῆγε τοῖς βαρβάροις χρόνον ἐῤῥύθμησεν ἑαυτήν. ϙϛ'. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον καὶ ἐκ τῶν κατὰ Πόντον πόλεων Ῥωμαίοις ὑπηκόων Ἡρακλείας καὶ Ἀμάστριδος κατάσκοποι ἐπέμφθησαν ἱερεύς τις καὶ μοναχὸς, τὴν βασιλέως δύναμιν κατασκεψόμενοι, ὁπόση τις οὖσα, οὕτως ἀκριβέστατα Βυζάντιον δύναται πολιορκεῖν. οἱ δὲ, ἐπεὶ εἰς Σηλυμβρίαν ἦκον, Κοντοφραὶ ἐξενίζοντο τῷ πρωτοσεβαστῷ ὄντι ἐπιτηδείῳ. ὁ δὲ αὐτοὺς προσῆγε βασιλεῖ καὶ τὴν αἰτίαν ἀπήγγελλον, δι' ἣν τοῖς σφετέροις ἐπέμφθησαν πολίταις. βασιλέως δὲ ἡμέρως χρηματίσαντος αὐτοῖς καὶ εὐηργετηκότος, ἐπεὶ ἀναχωρεῖν πρὸς τὴν οἰκίαν ἔμελλον, τῶν βασιλείων ἐξιόντες, ὁρῶσί τινα ἐν βασιλείοις διατρίβοντα, ᾧ ἐν Βυζαντίῳ μυστικὸν ἑώρων τὸν Κίνναμον, ἄρχοντα τότε τῶν πραγμάτων, διαλεγόμενον ἐν ἀποῤῥήτῳ. [20]

2 590 καὶ αὐτίκα Κοντοφραὶ ἐδήλουν περὶ τοῦ ἀνθρώπου, παρῄνουν τε ἀνακρίνειν τὴν αἰτίαν τῆς ἀφίξεως αὐτοῦ. Κοντοφραὶ δὲ τὸν ἄνθρωπον ἐκπλήττειν βουλομένου εὐθὺς καὶ θρασύτερον τῶν ἱματίων ἁπτομένου καὶ περιέλκοντος, μάχαιρα εὕρητο ὑπὸ θοιμάτιον κρυπτομένη, ὀξύτητος μὲν καὶ ἀκμῆς οὐδεμίαν ἀπολείπουσα ὑπερβολὴν, κοιλότητας δέ τινας καὶ ἀντιλαβὰς ἔχουσα κατὰ τὰ πλάγια, αἷς φάρμακα ἐνέκειτο τάχιστα διαφθείρειν τὸν προσομιλήσοντα δυνάμενα. ἀνακρινόμενος δὲ ὁ ἄνθρωπος, ὅ,τι βούλοιτο αὐτῷ ἡ μάχαιρα, ἐκ τῶν ἐν Βυζαντίῳ ἔφασκεν ἀρχόντων ἐπὶ τῷ βασιλέα ταύτῃ τιτρώσκειν τῇ μαχαίρᾳ πεπεισμένον ἥκειν. πέντε δὲ ἡμέρας ἐπὶ δέκα ἔχειν ἀφιγμένον, ἐν αἷς ἅπαξ εὐπορήσαντα ἐπιτηδείου πρὸς τὸ ἔργον χρόνου, αὖθις ἀποσχέσθαι δείσαντα τὴν βασιλέως ἀπειλήν. μέσης γὰρ ἔφασκε νυκτὸς, βασιλέως ἐπιδεδημηκότος βασιλείοις, καὶ τῶν φώτων ὑπ' ἀνέμων ἐν χειμῶνος ὥρᾳ ἐσβεσμένων, τοὺς ἄλλους μὲν περὶ φώτων ἠσχολῆσθαι κομιδὴν καὶ θορυβεῖν, αὐτὸν δὲ καιρὸν νομίσαντα διὰ τὸ σκότος καὶ προσιόντα, βασιλέα μηδένα προσεγγίζειν προσειπεῖν, ὡς καὶ αὐτὸν τὴν μάχαιραν κατέχοντα. ὃ πυθόμενον αὐτὸν καὶ δείσαντα ἀποσχέσθαι τῆς ἐπιβουλῆς. ἐρωτωμένου δὲ βασιλέως, εἴ τι τότε περὶ τῆς ἐπιβουλῆς ὑπώπτευκεν, οὐδὲν εἶπεν, ἀλλὰ τῶν ἄλλων θορυβούντων καὶ ὥσπερ δεδοικότων περὶ αὐτοῦ, ἐν εὐτραπελίας εἴδει θαῤῥεῖν πρὸς αὐτοὺς εἰπεῖν καὶ μὴ δεδοικέναι. μάχαιραν γὰρ κατέχειν καὶ αὐτόν. ἡ μὲν οὖν ἐπιβουλὴ οὕτως ἐμηνύθη. [20]

2 591 ὁ βασιλεύς τε αὐτὸς καὶ οἱ περὶ αὐτὸν πολλὰς ὡμολόγουν χάριτας θεῷ, οὕτως ἐκ χαλεπῶν κινδύνων ῥυομένῳ βασιλέα. βασιλὶς δὲ ἡ Ἄννα καὶ οἱ περὶ αὐτὴν τῶν πραγμάτων ἄρχοντες, ἐπεὶ παρά τε τῆς Μυσῶν συμμαχίας καὶ τῶν ἄλλων ὤνηντο οὐδὲν, Ὀρχάνην τε ἀδύνατον ἑώρων μεταπείθειν πρὸς Καντακουζηνὸν τὸν βασιλέα πολεμεῖν διὰ τὸ κῆδος, ἐτράποντο ἐπὶ τὸ πείθειν ἕτερόν τινα τῶν βαρβάρων συμμαχεῖν αὐτοῖς. καὶ πέμψαντες Τάγαριν Γεώργιον τὸν μέγαν στραδοπεδάρχην πρὸς Σαρχάνην τὸν Λυδίας σατράπην, (ἦν γὰρ αὐτῷ καὶ συνήθης πρότερον ἐπὶ Φιλαδέλφειαν πολὺν χρόνον τῷ πατρὶ συνδιατρίψαντι,) ἐδέοντο σφίσι βοηθεῖν καὶ πέμπειν κατὰ βασιλέως στρατιάν. ὁ δὲ αὐτίκα τε ἐπείθετο καὶ συνεξέπεμπε τῷ Τάγαρι τὴν δύναμιν. Ἀμοὺρ δὲ, ὡς ἐπύθετο τὴν Σαρχάνη στρατιὰν χωροῦσαν κατὰ βασιλέως, δεινὰ ἐποιεῖτο καὶ ἐπίνοιάν τινα ἐσκέπτετο, δι' ἧς ἐξέσται τῷ φίλῳ βοηθεῖν. καὶ ἀπολεξάμενος δύο τῶν παρ' αὐτῷ ἐπιφανῶν, οὓς ᾔδει μάλιστα τὰ κατὰ γνώμην πράξοντας, ἐξέπεμπε καὶ δισχιλίους στρατιώτας παρασχόμενος, ὡς ἅμα τῇ Σαρχάνη στρατιᾷ περαιωθησομένους πρὸς τὴν Θρᾴκην. ἔθος γὰρ τούτοις τοῖς βαρβάροις, ὅταν ἐπὶ λεηλασίαν ἴωσιν, ἄν τινες ἐξ ἑτέρας σατραπείας ἐθέλωσι συνέπεσθαι, μὴ κωλύειν, ἀλλὰ καὶ εἰδέναι χάριν, ὡς φίλοις καὶ συμμάχοις. ἐκέλευε δὲ Ἀμοὺρ τοῖς παρ' ἑαυτοῦ πεμφθεῖσιν ἄρχουσιν, ὡς ἂν μὲν διαλλάττοιτο πρὸς βασιλέα ἡ Σαρχάνη στρατιὰ, (οἴεσθαι γὰρ αὐτοὺς βασιλέα πείσειν κατατίθεσθαι τὸν πρὸς ἐκεῖνον

πόλεμον καὶ συμμαχεῖν,) μηδ' αὐτοὺς ἀποκαλύπτειν τὸ ἀπόῤῥητον, ἀλλὰ μετὰ τῶν ἄλλων πρὸς τὸν βασιλέα ἥκειν. [5]

2 592 ἂν δ' ἐθέλωσιν ἐκεῖνοι πολεμεῖν ὡς ἀληθῶς, κρύφα πέμψαντας πρὸς βασιλέα παραινεῖν αὐτῷ ἀντικαθίστασθαι πρὸς μάχην τοῖς βαρβάροις. ἐπειδὰν δὲ ὧσι παρατεταγμένοι καὶ ἤδη μέλλωσι συμπλέκεσθαι, μεθίστασθαι πρὸς βασιλέα καὶ χωρεῖν κατὰ τῶν βαρβάρων μετὰ τῆς ἐκείνου στρατιᾶς. τοῖς μὲν οὖν ἄρχουσι τῆς στρατιᾶς οὕτω προσέταττεν Ἀμοὺρ, μηδενὸς αὐτοῖς ἑτέρου συνειδότος τὸ ἀπόῤῥητον. τοῖς στρατιώταις δὲ ἐκέλευε πάντα πείθεσθαι τοῖς ἄρχουσι καὶ μηδένα πολυπραγμονεῖν, ὡς, εἴ τις μὴ πείθοιτο, αὐτοῦ καὶ γένους διαφθαρησομένου. τοιαῦτα μὲν ὁ Ἀμοὺρ συσκευάσας, μετὰ τῶν ἄλλων συνεξέπεμπε τὴν στρατιάν. Τάγαρις δὲ ὁ μέγας στρατοπεδάρχης πάντας ἔχων ὁμοῦ ἐπεραιοῦτο τὸν Ἑλλήσποντον. καὶ ὁ βασιλεὺς ἐπεὶ τὴν στρατιὰν ἐπύθετο περαιωθεῖσαν, ἅμα δὲ ὡς καὶ οἱ ταύτην ἄγοντες στρατηγοὶ τῶν φίλων εἰσὶ καὶ τῶν συνήθων, τὸν Λοιδορίτην καὶ Ἀθιανὸν πέμψας πρὸς αὐτοὺς παρῄνει κατατίθεσθαι τὸν πόλεμον τὸν πρὸς αὐτόν· καὶ πάντα τρόπον ἐπεχείρει πείθειν ἀφίστασθαι τοῦ κατ' αὐτοῦ χωρεῖν. οἱ μὲν οὖν ἄλλοι τῶν ἡγεμόνων οὐκ ἀφίσταντο τοῦ πράττειν τὰ κατὰ γνώμην τῷ σφῶν σατράπῃ· ἀληθῶς γὰρ ἐπέμφθησαν κατ' αὐτοῦ. [20]

2 593 ὅμως δέ τινας καὶ χρηστοτέρας παρείχοντο ἐλπίδας. οἱ τῆς Ἀμοὺρ δὲ στρατιᾶς ἡγούμενοι ἐμήνυον τὸ ἀπόῤῥητον τῷ βασιλεῖ καὶ παρῄνουν τε θαῤῥεῖν καὶ παρασκευάζεσθαι πρὸς μάχην, ἂν ἐπίωσιν. οἱ μὲν οὖν πρέσβεις τάχιστα ἐπανελθόντες ἀπήγγελλον βασιλεῖ τὰ παρὰ τῶν Περσῶν. καὶ παρεσκευάζετο καὶ αὐτὸς ὡς μαχούμενος, ἦν δέῃ. οὐδένα γὰρ ἤδη τῶν ἄλλων ἐποιεῖτο λόγον, μελλόντων ἐκείνων πρὸς αὐτὸν μεθίστασθαι ἐπὶ τῆς παρατάξεως. μετὰ μικρὸν δὲ καὶ οἱ ἄλλοι συμφωνήσαντες κοινὴν ἐποιήσαντο πρεσβείαν πρὸς τὸν βασιλέα, φάσκοντες θαῤῥεῖν, ὡς ἔσονται σύμμαχοι καὶ φίλοι. ἐδέοντο δὲ αὐτοῦ μὴ τὸ νῦν ἔχον ἀναγκάζειν ἥκειν πρὸς αὐτόν· ἀλλ' ἀπελθόντας εἰς Βυζάντιον πρὸς βασιλίδα καὶ δῶρα δεξαμένους καὶ τὰ ἐπηγγελμένα χρήματα τῷ σφῶν σατράπῃ ἐπανήκειν πρὸς αὐτὸν, καὶ πάντα τὰ κελευόμενα ποιεῖν. οἱ μὲν οὖν βάρβαροι γνώμην ἔχοντες τοιαύτην ἦκον εἰς Βυζάντιον. καὶ οἱ στρατηγοὶ πρὸς βασιλίδα εἰσελθόντες προσεκύνουν τε καὶ ἐδέχοντο δῶρα παρ' ἐκείνης φιλοτίμως, συνέβαινόν τε οἱ τῶν Βυζαντίων ἄρχοντες τοῖς Πέρσαις, ἵν' αὐτοὶ μὲν ἐκ θαλάσσης τριήρεις πέμψαντες κωλύσωσιν Ὀρχάνην βασιλεῖ μὴ βοηθεῖν, αὐτοὶ δὲ ἐκ τῆς ἠπείρου περιστρατοπεδευσάμενοι Σηλυμβρίαν πολεμῶσιν, ἄχρις ἂν ἐκπολιορκήσωσιν αὐτὴν καὶ τοὺς συνόντας. ἤλπιζον γὰρ καὶ Σηλυμβριανοὺς, ἂν μεγάλην δύναμιν ἐκ γῆς καὶ θαλάττης ἴδωσι, διαστασιάσειν πρὸς βασιλέα καὶ τὴν πόλιν ἐκείνοις παραδώσειν. καὶ ὡπλίζοντο αὐτίκα αἱ τριήρεις. τὸ Περσικὸν δὲ διενοοῦντο, εἰ καὶ Ῥωμαίων ἱππικὴ στρατιὰ συνέποιτο αὐτοῖς, πάντας ἐξανδραποδίζειν. [25]

2 594 ἐμήνυόν τε βασιτεῖ τῷ Καντακουζηνῷ, εἰ καθ' ἡδονὴν τὸ τοιοῦτον εἴη πράττειν. ὁ δ' ἐκώλυεν, αὐτὸς ἰσχυριζόμενος ἀδικεῖσθαι, ἂν τοιαῦτα τολμῶσιν. ὀλίγῳ γὰρ ὕστερον αὐτοῦ τοὺς στρατιώτας ἔσεσθαι ἐκείνους. ἐκείνου μὲν οὖν ἀπέσχοντο, καὶ οὐδὲ ἐνέμειναν παρασκευασαμένους σὺν αὐτοῖς ἐλθεῖν. ἀναστρέφοντες δὲ ἐκ Βυζαντίου πρὸς Σηλυμβρίαν, πάντας ἠνδραπόδιζον τοὺς προστυχόντας καὶ ἐζημίωσαν οὐκ ὀλίγα διὰ τὸ θαῤῥεῖν αὐτοῖς τοὺς περὶ τὸ Βυζάντιον, ὡς φίλοις καὶ συμμάχοις. ἐπεὶ δὲ εἰς Σηλυμβρίαν ἦσαν, ἡ στρατιὰ μὲν ἔξω κατελείπετο, λοχαγοὶ δὲ καὶ ἡγεμόνες καὶ στρατηγοὶ, οὐκ ὀλίγοι ὄντες, πρὸς βασιλέα ἦλθον. καὶ ὁ βασιλεὺς εἱστία φιλοτίμως ἐπ' αὐτοῦ. οὕτω δὲ ἦν ἡ οἰκία κατεσκευασμένη, ἐν ᾗ ηὐλίζετο ὁ βασιλεὺς, ὥστε καθημένους ὁρᾶν τε τὴν θάλασσαν καὶ ὁρᾶσθαι ὁμοίως ὑπὸ τῶν παριόντων. εἱστιῶντο μὲν οὖν οἱ Πέρσαι, καὶ αἱ ἐκ Βυζαντίου παρῆσαν αὐτίκα τριήρεις οὐκ ὀλίγαι καὶ πεντηκόντοροι λῃστρικαὶ, καὶ παραπλέοντες (ᾔδεσαν γὰρ ἐκεῖ βασιλέα διατρίβοντα,) τῶν ὕβρεων ἠφείδουν καὶ τῶν ἀπειλῶν. οἱ Πέρσαι δὲ αὐτίκα ἀναστάντες ἔβαλλον τοὺς τριηρίτας

ἀπὸ τῆς οἰκίας συχνοῖς τοῖς βέλεσι, καὶ ἐτραυμάτισάν τινας. οἱ ναύαρχοι δὲ τοὺς Πέρσας ὁρῶντες μαχομένους, πρῶτα μὲν ἐθαύμαζον καὶ διηπόρουν, ὅ,τι εἴη· ἐπεὶ δὲ ἐπύθοντο τὸ Περσικὸν προσκεχωρηκότας βασιλεῖ, ἀνέστρεφον αὐτίκα, πάσης αὐτοῖς ἐλπίδος περιαιρεθείσης, καὶ ὁ βασιλεὺς τοῖς ἄρχουσι τῆς στρατιᾶς δῶρα παρασχόμενος ἀπέπεμπε πρὸς τὴν οἰκείαν· οὐ γὰρ αὐτῶν ἐδεῖτο τότε. [20]

2 595 ἐκεῖνοι δὲ ζημίαν οὐ μικρὰν ἡγούμενοι τὸ κεναῖς ἀναχωρεῖν χερσὶν ἐπεστράτευσαν Μυσοῖς, καὶ ἀπέκτειναν πολλοὺς κατὰ τὴν ἔφοδον ἐκείνην καὶ ἠνδραποδίσαντο, καὶ βοσκημάτων ἐκράτησαν παμπόλλων, καὶ, εἴπερ ποτὲ, ἐκάκωσαν Μυσίαν. ἐλέγετο δὲ, ὡς βασιλεὺς αὐτοῖς ἐπιτρέψειε τὴν ἔφοδον ἀμειβόμενος τῆς συμμαχίας· ἐψεύδοντο δὲ ἀκράτως οἱ λογοποιοῦντες. οὐχ ὅτι τότε γὰρ ὁ βασιλεὺς, ἀλλ' οὐδὲ ἄλλοτέ ποτε ἑκὼν εἶναι τοὺς βαρβάρους ἐπήγαγε Μυσοῖς· ἀλλὰ πλείους ὄντες, ἢ ὥστε ἄγεσθαι ὑπὸ Ῥωμαίων, ἀφ' ἑαυτῶν αὐτοὶ ἐπῄεσαν κέρδους ἕνεκα. λαμβάνειν γὰρ παρὰ Ῥωμαίων οὐδὲν ἐξῆν, τῶν μὲν ἤδη διεφθαρμένων, τῶν ὑπολοίπων δὲ τελούντων ὑπὸ βασιλέα, ᾧ σύμμαχοι καὶ φίλοι εἶναι ἔλεγον. μᾶλλον μὲν οὖν καὶ πρόνοιαν ἐποιεῖτο πλείστην τοῖς Μυσοῖς τὴν τῶν βαρβάρων ἔφοδον ἀεὶ μηνύειν· καὶ πολλάκις ἀπὸ τούτου τοῦ τρόπου διεσώθησαν ἐπὶ τὰς πόλεις καὶ τὰς λόχμας καταδύντες. οὐ μὴν ἀλλὰ καὶ πρὸς τοὺς φίλους ἀεὶ πολύν τινα λόγον ἐποιεῖτο περὶ Ῥωμαίων τῶν ἐξανδραποδιζομένων ἀγανακτῶν, ὅτι ἃ μὴ βούλοιτο, ἀλλὰ καὶ ἄχθοιτο γινομένων οὐ μετρίως, ταῦτα ὑπὸ τῶν πολεμούντων πράττειν ἀναγκάζοιτο· καὶ πρὸς μὲν ἐκείνους ἔφασκεν ἀμύνεσθαι δίκαιον ἡγεῖσθαι, οὐ μόνον διὰ τὸ μὴ καταδέχεσθαι τὴν εἰρήνην, ἀλλ' ὅτι, εἰ καὶ τρόπῳ δή τινι περιγένοιντο αὐτῶν, πάντας ὠμῶς ἀποκτενοῦσιν, ὡς ἐκ τῶν γεγενημένων εἰκάζειν ἔξεστι τὰ μέλλοντα. [5]

2 596 δι' ἃ καὶ τὴν τῶν βαρβάρων αἱρεῖσθαι συμμαχίαν, ἵνα μὴ αὐτοὶ χρησάμενοι, ὥσπερ πολλάκις ἐπεχείρησαν, διαφθείρωσιν αὐτὸν καὶ τοὺς συνόντας. πρὸς δὲ τοὺς κτεινομένους καὶ ἐξανδραποδιζομένους καὶ τὰ ἔσχατα ὑπομένοντας οὐδεμίαν εὐπρόσωπον ἀπολογίαν ἔχειν. τί γὰρ ἠδικήκασιν ἄνθρωποι γεωργοὶ καὶ γυναῖκες καὶ βρέφη νήπια, ἃ καθημέραν κατασφάττεται καὶ πρὸς δουλείαν ἀποδίδοται καὶ ἤθεσι καὶ νόμοις ἐντρέφεται βαρβαρικοῖς καὶ πρὸς τὸ ἀφίστασθαι ἐνάγεται θεοῦ τοῦ πλάσαντος; ἢ γυναῖκες αἰσχυνόμεναι παρθένοι, καὶ ναοὶ καταστρεφόμενοι, καὶ τὰ ἅγια συμπατούμενα καὶ περιυβριζόμενα καὶ ἀθέων χερσὶ παραδιδόμενα παρὰ πάντα τοῦ δικαίου καὶ εὐλόγου λόγον; ἐφ' οἷς καὶ ἐπεδάκρυε τὰς παρὰ τοῦ δικαίου κριτοῦ περὶ τούτων ἐννοῶν εὐθύνας καὶ τὸ ἀπαραλόγιστον ἐκεῖνο δικαστήριον καὶ φοβερόν. ὅμως τῶν αὐτῶν πάλιν ἀναγκαίως εἴχετο τῶν γινομένων, τὴν αἰτίαν εἰς τοὺς μὴ καταλύειν τὸν πόλεμον ἐθέλοντας ἀνατιθεὶς, ἀλλ' ἐπιβουλεύοντας ἀεὶ καὶ μηδένα τῶν κτεινομένων ἔλεον λαμβάνοντας, καὶ ταῦτα ὑπ' αὐτοῖς τελούντων. οἱ μὲν οὖν βάρβαροι πολλὴν αἰχμαλωσίαν ἄγοντες ἀπὸ Μυσῶν ἐπεραιώθησαν εἰς τὴν Ἀσίαν. ρζ'. [20]

2 597 Οἱ ἐν Βυζαντίῳ δὲ ἐπεὶ φανερῶς ἀπέγνωσαν πολεμεῖν πρὸς βασιλέα, ἐπεβούλευον αὖθις ἀφανῶς, καὶ Μονομάχον τινὰ, ἀδελφιδοῦν ὄντα Τάγαρι τῷ μεγάλῳ στρατοπεδάρχῃ, δηλητήριον ἔχοντα αὐτομολεῖν ἐκέλευον πρὸς βασιλέα, εἶτα μηνύειν δῆθεν τὴν ἐπιβουλὴν καὶ τὰ φάρμακα φανεροῦν. ἐπειδὰν δὲ ἀδείας λάβηται καὶ παῤῥησίας διὰ τὴν δοκοῦσαν εὔνοιαν, τότ' ἤδη τῇ ἐπιβουλῇ χρῆσθαι ἀδεῶς καὶ φάρμακα ἕτερα ἔχοντα προσάγειν βασιλεῖ. ἡ μὲν οὖν ἐπιβουλὴ τοιαύτη ἦν. καὶ ὁ Μονομάχος ἐποίει κατὰ τὰ κεκελευσμένα, καὶ τήν τε ἐπιβουλὴν ἐμήνυε, τὴν ἀπανθρωπίαν καὶ μοχθηρίαν τῶν πεμψάντων φάσκων βδελύξασθαι οὐ ἀνεκτῶς καὶ μᾶλλον βούλεσθαι συνεῖναι βασιλεῖ διὰ τὴν ἡμερότητα καὶ χρηστότητα τῶν τρόπων, καὶ τὸ φάρμακον παρεῖχεν ἐν ἀγγείῳ ὑελίνῳ. τὸν μὲν οὖν Μονομάχον ὁ βασιλεὺς ἐπῄνει τῆς ἐπιεικείας, καὶ αὐτίκα ἠμείβετο δωρεαῖς διὰ τὴν μήνυσιν τῆς ἐπιβουλῆς καὶ ἔτι ἔμελλε μᾶλλον εὖ ποιήσειν. τὸ δὲ φάρμακον τὸν Ποταμιάτην ἐκέλευε λαβόντα κατορύττειν· καὶ κατώρυττε τῆς

πόλεως ἐξελθών. ἀναστρέψας δὲ ἥπτετο τροφῆς μὴ νιψάμενος τὰς χεῖρας· οὐ γὰρ ὑπώπτευε τοσαύτην ἔχειν δύναμιν, ὥστε ἐν ὑελίνῳ κατακεκλεισμένον, καὶ ὑπὸ πολλῶν ἑτέρων περιεχόμενον ἐπιβλημάτων, ἀπὸ μόνης βλάπτειν δύνασθαι ἀφῆς. τὸ δὲ οὕτως ἄρα ἐνεργὸν καὶ δραστήριον ἦν, ὡς μόλις δυνηθῆναι Ποταμιάτην τὸν παρ' ἐκείνου κίνδυνον διαφυγεῖν. [20]

2 598 διάῤῥοιαί τε γὰρ κοιλίας κατέσχον συνεχεῖς καὶ περιωδυνίαι τοῦ στομάχου, καὶ ἅπαν τὸ στόμα φλυκτίδας ἦν ἐξηνθηκός. καὶ οἱ ὀδόντες ἐδόκουν καταπίπτειν, τῶν περιεχόντων ὑμένων νεκρωθέντων. θηριακαῖς δὲ χρησάμενος καὶ ἑτέροις ἀντιδότοις μόλις τὸ ἀποθανεῖν διέφυγεν. ἐνόσησε δὲ οὐκ ὀλίγον χρόνον· οὕτω δὲ νενάρκωτο τὰ περὶ τὸ στόμα πάντα, ὡς ἐπιπολὺ μηδεμιᾶς αἰσθάνεσθαι ποιότητος. τὸ μὲν οὖν δηλητήριον τοιαύτην εἶχε τὴν δύναμιν. οἱ φίλοι δὲ ἐκ Βυζαντίου βασιλεῖ μὴ θαῤῥεῖν παρῄνουν Μονομάχῳ, ἀλλὰ φυλάττεσθαι τὸν ἄνδρα· οὕτω γὰρ εἶναι συνεσκευασμένον παρὰ τῶν πεμψάντων, ὥστ' αὐτὸν μὲν πρότερον ἑκόντα παρασχεῖν τὸ φάρμακον, ὡς ἂν νομίζοιτο εὔνους εἶναι, ὕστερον μέντοι προσάγειν ἕτερον ἐκείνου χαλεπώτερον. ὃν αὐτίκα μεταπεμψάμενος ὁ βασιλεὺς, εἰ ἀληθῆ τὰ περὶ ἐκείνου γεγραμμένα ἐπυνθάνετο παρὰ τῶν φίλων εἴη. ὁ δ' ἠρνεῖτο μὲν, σαθρὰς δὲ παρείχετο ἀπολογίας καὶ οἵας ὑποπτεύεσθαι. βασιλεὺς δὲ κακῶς μὲν οὐδὲν ἐποίει, ἀναχωρεῖν δὲ μόνον ἐκέλευε καὶ μὴ αὐτῷ συνεῖναι καὶ αὐτίκα ἀνεχώρει. βασιλεὺς μὲν οὖν τὸν πλείω χρόνον διέτριβεν ἐν Σηλυμβρίᾳ, ἵν' ἐξῇ τοῖς ἐν Βυζαντίῳ φίλοις διαλέγεσθαι. Τζυράκης δέ τις τῶν βασιλίδος οἰκετῶν, δυσανασχετῶν πρὸς τὰ πραττόμενα καὶ τὴν τοσαύτην Ῥωμαίων οἰκτείρων κακοπραγίαν, συνορῶν τε, ὡς οἱ μὲν ἐν Βυζαντίῳ ἄρχοντες οὔτ' ἀντέχειν πρὸς βασιλέα οἷοίτε εἰσὶν, οὔτε περὶ εἰρήνης οὐδένα ποιοῦνται λόγον, ἀλλ' αὐτὸ τοῦτο μόνον ἐγνώκασι τὸ τῶν πραγμάτων αὐτοὶ ἄρχειν, τῶν δ' ἄλλων οὐδενὸς πρόνοιαν ποιοῦνται, καὶ νομίσας, εἰ Καντακουζηνὸς ὁ βασιλεὺς τρόπῳ δή τινι τῶν πραγμάτων συμπάντων ἄρξειε, λυθήσεσθαι Ῥωμαίοις τὰς συμφορὰς, καὶ ἐπί τι βέλτιον χωρήσειν τὴν ἡγεμονίαν, ὑπὸ τῶν συνεχῶν πολέμων τοσούτῳ μεγέθει χρησαμένην συμφορῶν, καὶ ἄλλους οὐκ ὀλίγους προσεταιρισάμενος, ἔπραττεν, ὅπως ὑπὸ βασιλέα γένοιτο Βυζάντιον, καὶ πέμψας ἐδήλου βασιλεῖ κατὰ Σηλυμβρίαν διατρίβοντι. [10]

2 599 ὁ δὲ ἐδέχετό τε τὴν πρᾶξιν, καὶ πάντα, ὅσα ᾐτοῦντο, ἐπηγγέλλετο ποιήσειν. οἱ ἐν Γαλατᾷ δὲ, ὥσπερ ἔφημεν, Λατῖνοι ἀπεχθῶς ἄγαν πρὸς Φακεωλάτον διακείμενοι διὰ τὸ τοὺς ὁμοφύλους ἀνῃρῆσθαι, αὐτοί τε ἐσπούδαζον ἀποκτείνειν, καὶ πρὸς βασιλίδα συχνὰς ποιούμενοι πρεσβείας ἐκδοθῆναι σφίσι τὸν Φακεωλάτον ᾔτουν, εἰ μὴ βούλοιτο πολεμίους ἔχειν. βασιλὶς δὲ Φακεωλάτον τε προΐεσθαι μὴ βουλομένη, (ἦν γὰρ τότε καὶ αὐτὸς τῶν ᾑρημένων ἄρχειν καὶ μυστικῷ τῷ Κιννάμῳ καὶ Ἀσάνῃ τῷ πανυπερσεβάστῳ συμπράττων πρὸς τὸν κατὰ βασιλέως πόλεμον,) τό,τε Λατίνοις πολεμεῖν οὐ λυσιτελεῖν αὐτῇ νομίζουσα πρὸς τὴν ἀρχὴν, οὔτ' ἀπέπεμπε φανερῶς, ὡς ἄδικα πρεσβεύοντας, οὔτ' ἐνεδίδου τι κατὰ Φακεωλάτου πράττειν, ἀλλ' ἠπίως πως καὶ προσηνῶς ἠβούλετο διαλύειν τὴν διαφοράν. καὶ Λατίνοις μὲν ἔφασκεν ἀποκρινεῖσθαι πρότερον καλῶς περὶ ὧν ἀξιοῦσι διασκεψαμένην. [20]

2 600 Φακεωλάτῳ δὲ ἐκέλευε πρόνοιαν αὐτοῦ ποιεῖσθαι, μὴ ὑπὸ τῶν Λατίνων ἐπιβουλευθῇ ἡμέρας ἢ νυκτὸς ἐπιθεμένων. ὁ μὲν οὖν αὐτίκα περιέστησεν ἑαυτῷ φρουρὰν, καὶ ὑπωπτεύετο παρ' οὐδενὸς, ὁμοίως ἐν βασιλείοις καὶ κατὰ τὴν ἄλλην πόλιν περιιὼν ὁπλίτας ἔχων περὶ ἑαυτόν. ὁ δὲ ἀχθόμενος καὶ πρότερον ἐπὶ τοῖς ὑπὸ τοῦ πολέμου συμβαίνουσι κακοῖς, καὶ μεγάλῳ μὲν δουκὶ καὶ πατριάρχῃ πολλὴν συνειδὼς ἀγνωμοσύνην περὶ Καντακουζηνὸν τὸν βασιλέα καὶ συκοφαντίαν, ἐκεῖνον δὲ τὰ ἔσχατα ἠδικημένον καὶ δικαιότερον ὄντα τῶν ἄλλων μᾶλλον τοῖς πράγμασιν ἐφεστηκέναι, τότε δὲ καὶ μᾶλλον ὑπὸ τῶν περισχόντων φόβων, τό, τε κοινῇ λυσιτελοῦν καὶ αὐτῷ ἰδίᾳ συνιδὼν, ἐσκέπτετο καὶ αὐτὸς τὴν εἰς Βυζάντιον εἴσοδον συμπράττειν βασιλεῖ, ὡς μόνην ταύτην πολλῶν ἀπαλλαγῆς κακῶν αἰτίαν ἐσομένην. πυθόμενος δὲ καὶ περὶ Τζυράκη, ὅτι τὰ αὐτὰ ἐκείνῳ βούλοιτο, συνῆλθόν τε εἰς λόγους καὶ

συνέθεντο κοινῇ τὴν πόλιν βασιλεῖ παραδιδόναι. καὶ πέμψαντες αὖθις ἐδήλουν βασιλεῖ, ὡς καὶ Φακεωλάτος πρόσθοιτο τοῖς πράττουσιν ὑπὲρ αὐτοῦ. ἐπεὶ δὲ ἔδει καὶ ἀξιόλογόν τινα ἐλθεῖν πρὸς βασιλέα, ὥστε συνθέσθαι τὸν χρόνον, ἐν ᾧ δεήσει αὐτόν τε παρεῖναι καὶ τὴν ἄλωσιν ἐκείνους πράττειν, ἔδοξε σκεψαμένοις τὸν Μικροκέφαλόν τινα πέμπειν. καὶ μεταπεμψάμενοι τῶν τε ἀποῤῥήτων ἐποιοῦντο κοινωνὸν, καὶ παρῄνουν αὐτομολεῖν πρὸς βασιλέα δῆθεν καὶ πάντα δῆλα καθιστᾷν, καὶ χρόνον συντιθέναι, καθ' ὃν ἐκεῖνον παρεῖναι δεήσει. [20]

2 601 ἐπεὶ δὲ ἐπείθετο πρὸς τὴν ἐπιχείρησιν, Πετρογουργούρῳ τινὶ περὶ ναυτικὰ ἠσχολημένῳ, ἐπιτηδείῳ μάλιστα Φακεωλάτῳ ὄντι, τὴν Μικροκεφάλου πρὸς Σηλυμβρίαν ἀπαγωγὴν ἐπέτρεπον ἐκ θαλάττης, (ἐκεχειρία γάρ τις ἦν Σηλυμβριανοῖς πρὸς Βυζαντίους, καὶ ἀδεῶς ἐφοίτων πρὸς ἀλλήλους ἐμπορίας ἕνεκα, ὁμοίως τε παρόντος καὶ ἀπόντος βασιλέως,) ἐκ γῆς δὲ λῃστεῖαί τε ἦσαν συνεχεῖς καὶ βαρβάρων ἔφοδοι, καὶ οὐδὲν δεινὸν ἦν, ὃ μὴ παρῆν, ἃ ἐποίει ἄπορον παντάπασι τὴν δίοδον. ἐκείνοις μὲν οὖν οὕτω Μικροκέφαλος παρεσκεύαστο πρὸς βασιλέα ἥξων. οὐ μὴν οὐδὲ οἱ ἐν Βυζαντίῳ ἄρχοντες ἠμέλουν, ἀλλ' ἐδόκει δεῖν κἀκείνοις πέμψασι διαφθείρειν τινὰς τῶν βασιλεῖ συνόντων, πολλὰ ἐκ βασιλίδος ἐπαγγειλαμένους. ἐδόκει δὴ καὶ αὐτοῖς σκεψαμένοις ὁ Μικροκέφαλος οὑτοσὶ πρὸς τὸ ἔργον εἶναι ἐπιτηδειότατος. καὶ αὐτίκα μετεκαλοῦντο καὶ διελέγοντο περὶ ὧν διενοοῦντο, εὖ ποιήσειν πολλὰ ἐπαγγελλόμενοι. ὁ δὲ πρῶτον μὲν ἔδεισε πρὸς τὴν κλῆσιν, πεφωρᾶσθαι οἰηθεὶς τοὺς πράττοντας τὴν ἄλωσιν. ἐπεὶ δὲ ᾐσθάνετο μηδὲν εἰδότας, ἐπηγγέλλετο τὸ προσταττόμενον ποιήσειν προθυμότατα. οἱ δὲ γράμματά τε παρείχοντο πρὸς οὓς ἐβούλοντο καὶ Πετρογουργούρῳ, πρὸς ὃν καὶ ὁ Φακεωλάτος, παρεδίδοσαν, ὡς ἀκατίῳ τινὶ ἀπάξοντι πρὸς Σηλυμβρίαν. ὃ καὶ μᾶλλον ἔδοξε τοῖς περὶ Φακεωλάτον ὑπὸ τῆς προνοίας συνεσκευάσθαι. [20]

2 602 καὶ προθυμότεροι ἦσαν πρὸς τὸ πράττειν, ἅτε δὴ συναιρομένου καὶ τοῦ θείου. οὕτω μὲν οὖν Μικροκέφαλος παρεγένετό τε πρὸς βασιλέα σὺν ῥᾳστώνῃ καὶ πάντα ἔπραξε τὰ παρὰ Φακεωλάτου. βασιλεὺς δὲ συνθέμενος ἡμέραν, ἐν ᾗ ἔδει πρὸς τὴν χρυσῆν καλουμένην πύλην εἶναι νυκτὸς, (ἐκεῖθεν γὰρ ἐδόκει ῥᾴδιον εἰσάγειν εἶναι,) ἀπῆρεν εἰς τὴν Ἀδριανοῦ, ἵνα μηδεμίαν ὑποψίαν παρέχοιτο τοῖς ἄρχουσιν ἐν Βυζαντίῳ. ρη'. Τούτων δὲ πραττομένων, αὐτομάτως καὶ ἡ βασιλὶς διετίθετο κακῶς πρὸς πατριάρχην, καίτοι παρὰ πάντα τὸν τοῦ πολέμου χρόνον πολλὴν τὴν εὐμένειαν παρεχομένη καὶ τὴν ῥοπὴν, ὡς ἄρχοντα ἀρχόντων εἶναι. αἰτία δὲ ἦν, ὅτι μετὰ τὸ κεκινῆσθαι τὸν πόλεμον εὐθὺς φθονερῶς ὁ πατριάρχης ἔχων πρὸς Παλαμᾶν, οἷα δὴ ὑπωπτευκὼς ἐφεδρεύειν αὐτῷ πρὸς τὴν καθέδραν τὴν ἀρχικὴν, ἐπεχείρει κακουργεῖν. καὶ πρῶτα μὲν ἐκέλευε βασιλεῖ τῷ Καντακουζηνῷ συμπολεμεῖν καὶ πρὸς τὰς ἐπιτιμήσεις καὶ τοὺς ἀφορισμοὺς συγκοινωνεῖν. ὡς δ' ἀπείπατο ἐκεῖνος φανερῶς πρὸς τὴν τῶν ἀτόπων κοινωνίαν, συνιδὼν, ὡς οὐδὲν ἂν ἐκεῖνον βλάπτειν δύναιτο δημόσια ἐγκλήματα ἐπίσημον ὄντα δι' ἀρετὴν καὶ φιλοσοφίαν, δυσσεβείας ἐδίωκε μεταβαλών. Ἀκινδύνῳ γάρ τινι μοναχῷ μετὰ τὸ Βαρλαὰμ ἁπάσαις ἁλῶναι ψήφοις, ἐναντία τοῖς ἁγίοις καὶ λέγοντα καὶ φρονοῦντα περὶ τῆς ὀρθῆς πίστεως καὶ ὑγιοῦς, αὖθις τὰ ἐκείνου ἐκδικοῦντι καὶ ἠδικῆσθαι φάσκοντι περὶ τὴν δίκην ὀρθὰ καὶ ἀληθῆ φρονοῦντα, Παλαμᾷ δὲ καὶ τοῖς περὶ αὐτὸν κακοδοξίαν ἐγκαλοῦντι, προσθέμενος καὶ ὁ πατριάρχης, (οὐδὲ γὰρ οὐδὲ θεοῦ ἀπέσχετο διὰ τὸ πρὸς Καντακουζηνὸν τὸν βασιλέα ἔχθος, καίτοι γε αὐτὸς ὢν ὁ Βαρλαὰμ τῆς ποίμνης οἷα λύμην ἀπελάσας καὶ φθορὰν καὶ δίκην κατ' ἐκείνου πεποιημένος, ἔτι καὶ βασιλέως Ἀνδρονίκου τοῦ μακαρίου περιόντος καὶ Βαρλαὰμ οὐ μόνον καταψηφισαμένου, ἀλλὰ καὶ γραφικαῖς ἀποδείξεσι καὶ ἀνάγκαις λογικαῖς ἀπελέγξαντος κακοδοξεῖν,) Παλαμᾶν τε ὁμοίως καὶ ὅσοι τὰ αὐτὰ ἐκείνῳ περὶ τῆς πίστεως ἐφρόνουν, ἐν δεσμωτηρίοις εἶχε καὶ ἐκάκου ὅσα δυνατά· καὶ πόλεμον ἐκίνει κατὰ τῆς ἐκκλησίας τῷ βασιλικῷ παρόμοιον. [10]

2 603

δίκης γὰρ οὐδεμιᾶς οὐδ' ἐλέγχων, οὐδ' ἀποδείξεων δεόμενος, τῶν τε ἐπισκόπων οὐκ ὀλίγων καὶ τῶν λογάδων τῶν μοναχῶν κατεψηφίζετο ἐρήμην, καὶ πολὺς ἔπνει παρὰ πάντα τὸν τοῦ πολέμου χρόνον κατὰ τῆς εὐσεβείας, καὶ τῶν ἀρχόντων ἐν τοῖς πράγμασιν οὐκ ὀλίγα συναιρομένων. ἑώρων γὰρ οὐδὲ τοῦτο τὸ μέρος ὀλίγα συναιρόμενον πρὸς τὸν πρὸς βασιλέα πόλεμον. πᾶσι γὰρ ὁμοίως ἀδικεῖσθαι Καντακουζηνὸς ὁ βασιλεὺς ἐδόκει, καὶ διὰ σπουδῆς ἦγον τὸ καταλύεσθαι τὸν ἀναῤῥιπισθέντα πόλεμον συγγενικὸν, ὡς αἴτιον ἐσόμενον πολλῶν κακῶν· ἃ τοῖς ἄρχουσιν οὐ λυσιτελεῖν οὔτε πρὸς βασιλίδα, οὔτε πρὸς ἄλλους Ῥωμαίους ἀκούεσθαι ἐδόκει. πολλὴν μὲν οὖν κατὰ τὸν τοῦ πολέμου χρόνον κατὰ τῶν μὴ τὰ Ἀκινδύνου ῥηρημένων τὴν μανίαν ἐπεδείκνυτο ὁ πατριάρχης ὁμοίως κατά τε μοναχῶν καὶ ἐπισκόπων. [20]

2 604 ἡ βασιλὶς δὲ ἀνήκοος μὲν οὐ παντάπασι τῶν τολμωμένων ἦν· ᾤετο δὲ τοὺς μοναχοὺς διὰ τὸ τὰ Καντακουζηνοῦ ῥῆσθαι τοιαῦτα ὑπομένειν. ἐπεὶ δὲ ηὔξητο ἐπὶ μέγα τὸ κακὸν, ὅσοι τῶν ἐπισκόπων μὴ καὶ αὐτοὶ διεφθαρμένοι ἦσαν ἐν τοῖς δόγμασι, τὰ κατὰ τὸν πατριάρχην γράμμασιν ἐποίουν βασιλίδι δῆλα, καὶ πολλὴν τὴν κακοήθειαν καὶ τὴν διαστροφὴν τῶν ὀρθῶν δογμάτων ἐνεκάλουν. ἡ δὲ, ὡς ἐπύθετο μόνον, οὐ πρὸς ἀναβολὰς ἐχώρησεν, οὐδὲ ὀλίγης ἄξια φροντίδος ἡγήσατο εἶναι τὰ περὶ θεοῦ, ἀλλὰ πᾶσαν ἄλλην σπουδὴν ἐν δευτέρῳ τιθεμένη, ἑνὶ τούτῳ προσεῖχε μόνῳ, τῇ ἐκκλησίᾳ κακῶς πασχούσῃ καὶ πολεμουμένῃ στῆσαι τὸ κακόν. καὶ τοὺς ἐπιφέροντας τὴν γραφὴν μεταπεμψαμένη ἐπισκόπους, ἐπεὶ δεινὰ ἤκουε κατηγορούντων, ἐδόκει δεῖν σύνοδον ἐκ τῶν ἐνόντων συναθροίζειν καὶ τὸν πατριάρχην καλεῖν πρὸς τὴν ἀπολογίαν. ἐγένοντο μὲν οὖν ἐν βασιλείοις οἱ ἐπίσκοποι, κελευούσης βασιλίδος, πλὴν τῶν ὅσοι ἦσαν φανερῶς τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ῥηρημένοι. ἐκεῖνοι γὰρ ἀπρόϊτοι ἐν οἰκήσεσι κατεκλείοντο· πλὴν καὶ ἀπόντες τὴν γνώμην, ἣν ἔχουσι περὶ τοῦ πράγματος, ἐδήλουν. ἡ σύνοδος δὲ, προκαθημένης βασιλίδος καὶ τοῦ υἱοῦ βασιλέως, τὴν ἐξέτασιν τῶν δογμάτων ἐποιεῖτο. ρθ'. Ἐν ᾧ δὲ ταῦτα ἐτελεῖτο, ἐκ Σηλυμβρίας τις ἐλθὼν ἐμήνυεν, ὡς ἐν ταύτῃ τῇ νυκτὶ ἐγγὺς εἴη Βυζαντίου τειχῶν ὁ Καντακουζηνὸς, ὃ φυλάξασθαι δέον βασιλίδα. [20]

2 605 ἰσχυρίζετό τε σαφέστατα εἰδέναι παρὰ τῶν τὰ ἀπόῤῥητα κοινωνούντων αὐτῷ πεμφθείς. βασιλὶς δὲ ἐπεὶ ἐπύθετο, ἀπάτην εἶναι οἰηθεῖσα ὑπὸ τῶν πατριάρχου φίλων συνεσκευασμένην, ἵν', αὐτῆς πρὸς τὴν ἀγγελίαν θορυβηθείσης, τὸ δοῦναι δίκην ἐκεῖνος διαδρᾷη ἐφ' οἷς ἐτόλμησε κατὰ θεοῦ, οὐκ ἔφη ἀναστήσεσθαι, εἰ καὶ σαφῶς εἰδείη ἐν ἐκείνῃ τῇ νυκτὶ Καντακουζηνὸν ἐσόμενον ἐντὸς τειχῶν. ἡ μὲν οὖν τοιαῦτα ἀπεφθέγξατο μὴ εἶναι ἀληθῆ τὴν ἀγγελίαν οἰηθεῖσα. τὸ δὲ ἦν ἄρα ἀληθές· ὡς γὰρ ἐκ Σηλυμβρίας μετὰ τὸ προθεσμίαν συνθέσθαι πρὸς τοὺς πράττοντας τὴν ἅλωσιν, ἐν ᾗ αὐτόν τε παρεῖναι ἔδει κἀκείνους τὴν χρυσῆν πύλην διορύττειν ἀπῳκοδομημένην, εἰς Ἀδριανούπολιν ἀπῆρε, τὸ κάλλιστον ἀπολεξάμενος τῆς στρατιᾶς ὑπὲρ χιλίους ὄντας, ἵνα μὴ κατάφωρος εἴη ἐπαγόμενος πολλούς· καὶ διὰ τῶν ἀοικήτων καὶ ἀτριβῶν ὁδεύσας ὑστέρησε μὲν τῆς προθεσμίας ὑπό τινος ἀνάγκης κωλυθεὶς ἡμέρᾳ μιᾷ· καὶ πολλοῖς ἐπάλαιε λογισμοῖς, δεδοικὼς, μὴ διορύξαντες οἱ τὰ ἐκείνου πράττοντες κατὰ τὸ σύνθημα τὴν πύλην, αὐτὸς μὲν ἀπῇ, ἐκεῖνοι δὲ ὑπὸ τοῦ δήμου διαφθαρῶσιν ἁλόντες ἐπ' αὐτοφώρῳ. καὶ ἐδυσχέραινεν οὐκ ἀνεκτῶς οὐ μόνον διὰ τὴν ἀποτυχίαν Βυζαντίου, ἀλλ' ὅτι καὶ τῶν φίλων ἔμελλεν οὐκ ὀλίγους ἀπολεῖν. ὅμως δὲ οὐ παντάπασι τῶν ἐλπίδων ἀπογνοὺς ἐχώρει ἐπὶ τὸ Βυζάντιον νυκτός. [20]

2 606 οἱ προδιδόντες δὲ καὶ αὐτοὶ ὑπό τινος ἀνάγκης κωλυθέντες τοῖς τείχεσιν ἐπιχειρεῖν κατὰ τὴν προθεσμίαν, εἰς τὴν ὑστεραίαν, καθ' ἣν ἐν βασιλείοις ἡ κατὰ πατριάρχου σύνοδος συνεκροτεῖτο, διώρυττον τὴν χρυσῆν πύλην συνελθόντες ἐν πολλῇ ταραχῇ καὶ σάλῳ ὄντες καὶ αὐτοί. ἐδεδίεσαν γὰρ, μὴ τῇ προγεγενημένῃ νυκτὶ ἐλθὼν ὁ βασιλεὺς καὶ τῶν συντεθειμένων ἠνυσμένων εὑρηκὼς μηδὲν, αὐτὸς μὲν αὖθις ἀνεχώρησεν, αὐτοὶ δὲ ὑφ' ἑαυτῶν

καταπροδοθέντες διαφθαρῶσιν. ὅμως οὐδ' αὐτοὶ τὰς τοῦ σώζεσθαι ἐλπίδας ἀπογνόντες διώρυττον τὴν πύλην· ἦσαν γὰρ σύστημα οὐκ ἀγεννὲς ἐκ πεζῶν τε καὶ ἱππέων, καὶ ἐθάῤῥουν σφίσιν ἑαυτοῖς, ὡς ἀμυνουμένοις, ἄν τις ἐπίῃ. κἂν διορύξαντες μὴ εὕρωσι παρόντα τὸν βασιλέα, πρὸς αὐτὸν ἀποχωρεῖν. ἐκεῖνοι μὲν οὖν τοιαύτῃ γνώμῃ διώρυττον. ἡ δὲ ἐν βασιλείοις σύνοδος, ἐπεὶ ἐκ πολλῶν ἀπεδείκνυ πατριάρχην αὐτόν τε περὶ τὰ ὀρθὰ τῆς ἐκκλησίας δόγματα ἔχοντα οὐχ ὑγιῶς καὶ τοὺς ἄλλους ἀναγκάζοντα ἐκείνῳ συμφρονεῖν, γνώμῃ κοινῇ καθαίρεσιν αὐτοῦ καταψηφίζονται. δι' ἃ δὴ καὶ μάλιστα ἔδοξεν ὕστερον βασιλεύς τε καὶ οἱ πράττοντες τὴν ἅλωσιν συνελθεῖν κατὰ τὴν προθεσμίαν κωλυθῆναι, ἵνα μὴ μνησικακῶν αὐτὸς δοκοίη τῶν θρόνων καθαιρεῖν· ἀλλ' ἀκριβῶς εἴη τῶν ὀρθῶν δογμάτων τῆς διαστροφῆς εὐθύνη. οἱ μὲν οὖν ἀρχιερεῖς, ἐπεὶ ταῦτα ἔπραξαν, καὶ τῶν ἀπόντων διὰ τὸ ὑποπτεύεσθαι ἀρχιερέων συνεπιψηφισαμένων, ἀνεχώρουν ἕκαστος πρὸς τὰς οἰκήσεις ἤδη πόῤῥω νυκτῶν. [20]

2 607 βασιλεὺς δὲ ἐπεὶ παρῆν, τῶν ἔνδον τὰ ἐκείνου πραττόντων τὴν χρυσῆν διορυξάντων πύλην, εἰσήλαυνεν οὐδενὸς ἀνθισταμένου, ἀλλὰ δι' εὐφημίας αὐτὸν ἀγόντων παντὸς τοῦ δήμου, καὶ τοῖς τε στρατιώταις ἀπεῖπε μὴ χωρεῖν πρὸς ἁρπαγάς· καὶ τὸν δῆμον ἐκώλυεν ὅσα δυνατά. ὅθεν οὐδὲ ἐγένετό τις κίνησις ἐπὶ τοὺς δοκοῦντας ᾐρῆσθαι τὰ βασιλίδος, πλὴν εἴπου τινὰς αὐτῶν ἐζημίωσαν οἱ γείτονες. καὶ τῶν στρατιωτῶν δὲ ὀλίγοι ἐπὶ τὰς οἰκίας τῶν πολεμίων, βασιλέως μὴ εἰδότος, ἐπελθόντες ἐποιήσαντό τινα μετρίαν ἁρπαγήν. βασιλεὺς δὲ ἄχρι τῆς Πορφυρογεννήτου καλουμένης οἰκίας προελθὼν, πρῶτα μὲν ἐκέλευε μηδένα χωρεῖν κατὰ τῶν βασιλείων, ἀλλὰ ἀτρεμεῖν, ὡς αὐτὸς διαθησόμενος τὰ κατὰ βασιλίδα ᾗ δοκεῖ ἔχειν ἄριστα. ἐπεὶ δὲ διέφαινεν ἤδη ἡμέρα, διὰ μέσης τῆς ἀγορᾶς ἐβάδιζεν ἐπὶ θεομήτορος τὸ τῆς Ὁδηγητρίας τέμενος, τὴν ὀφειλομένην προσκύνησιν καὶ τὴν εὐχαριστίαν τῆς νίκης ἀποδώσων τῇ μητρὶ τοῦ θεοῦ. αὖθις δὲ διὰ τῆς αὐτῆς ἐπανήκων ἐπὶ τὴν τοῦ Πορφυρογεννήτου κατέλυσεν οἰκίαν. βασιλὶς δὲ ὡς εἶχε τά τε βασίλεια ἠσφαλίζετο, τοῖς οἰκείοις καὶ μάλιστα δοκοῦσιν εὔνοις ἐπιτρέπουσα τὴν φυλακήν. καὶ ἐκ τῶν ἐν Γαλατᾷ βοήθειαν μετεκαλεῖτο. οἱ δὲ αὐτίκα ἦσαν ἐν τοῖς ὅπλοις καὶ ὥρμηντο προθύμως βοηθεῖν· τριήρεις τε πληρώσαντες, ὅσαι ἦσαν, αὐθωρὸν καὶ λέμβους ἐφοπλίσαντες πρὸς τὰ βασίλεια ἐπεραιοῦντο. [20]

2 608 ἀντιταξάμενοι δὲ αὐτοῖς ἐκ τῶν μετὰ βασιλέως στρατιωτῶν τινες, ἅμα καὶ τοῦ δήμου προσεπιβοηθοῦντος, οὐκ εἴων τῇ γῇ προσχεῖν, ἀλλ' ἀπεπέμποντο βάλλοντες συχνοῖς τοῖς βέλεσιν. ὁρῶντες δὲ καὶ ἐκεῖνοι, ὡς οὐκ ἀντισχήσουσι πρὸς τοσούτους, (πρότερον γὰρ ᾤοντο ὑπὲρ βασιλίδος αὐτοῖς καὶ τὸν δῆμον συμπροσθήσεσθαι,) ἀνεχώρουν τε καὶ οὐκέτι ὕστερον ἐπεβοήθουν. βασιλεὺς δὲ κατ' ἐκείνην τὴν ἡμέραν μηδὲν πλέον μήτε πράξας, μήτε εἰπὼν, εἰς τὴν ὑστεραίαν τούς τε ἐπισκόπους, ὅσοι ἦσαν, μεταπεμψάμενος ἐν Βυζαντίῳ καὶ τῶν τῷ κλήρῳ κατειλεγμένων τῆς ἐκκλησίας τοὺς μάλιστα ἐν λόγῳ, πρῶτον μὲν περὶ τῶν κατὰ τὸν πόλεμον συμβεβηκότων διειλέχθη, ὡς οὔτε ἐξαρχῆς ἔλοιτο αὐτὸς, οὔτε τοῖς βασιλέως ἐπιβουλεύσειε παισὶν, ὥσπερ ὑπὸ τῶν συκοφαντῶν κατηγορεῖτο, ἀλλ' ὑπ' ἐκείνων διὰ φθόνον κεκινημένου ἐπιβουλευσάντων, ἀναγκαίως τῆς αὐτοῦ καὶ τῶν συνόντων σωτηρίας ἕνεκα ἠμύνετο. εἰς ἀνάγκην δὲ ἐλθὼν καὶ βαρβάροις χρήσαιτο συμμάχοις, Μυσοὺς καὶ Τριβαλοὺς καὶ αὐτοὺς τοὺς βαρβάρους ἐκείνων ἐπαγόντων. καὶ τῆς γεγενημένης φθορᾶς καὶ αἰχμαλωσίας τῶν Ῥωμαίων ἐκείνους ἀπεδείκνυεν αἰτίους. ἔπειτα καὶ τῶν γιγνομένων ἐποιεῖτο μάρτυρας, ὡς αὐτὸς μὲν οὔτε πρότερον, οὔτε νῦν δυσχερές τι περὶ βασιλίδος διανοοῖτο καὶ τῶν παίδων, ἀλλ' ὅσα μάλιστά ἐστι πρὸς σωτηρίαν καὶ λυσιτέλειαν τῆς ἀρχῆς. ἂν δ' ἐκείνη ἔτι τὴν προτέραν δυσμένειαν ἐνδεικνυμένη, ἀνθίστασθαι ἐπιχειροίη καὶ σώζειν ἑαυτὴν καὶ τέκνα διὰ τοῦ πολέμου, μὴ αὐτῷ προσλογίζεσθαι τὴν αἰτίαν, εἴ τι περὶ αὐτὴν καὶ τέκνα συμβαίη δυσχερές. [20]

2 609

οὐ γὰρ αὐτῷ λυσιτελεῖν δοκεῖν, οὐδὲ ἄλλως σῶφρον, ἐᾷν αὐτὴν ἐν βασιλείοις καθημένην, τὸν πόλεμον αὖθις τὸν συγγενικὸν ἀνακινοῦσαν, καὶ περιορᾷν τοὺς ὑπολειπομένους Ῥωμαίους ὑπ᾽ ἀλλήλων διαφθειρομένους. ἀλλ᾽ εἰ μὴ πείθοιτο χωρεῖν πρὸς τὰς συμβάσεις, αὐτὸν μὲν περὶ αὐτῆς οὐδὲν βουλεύσεσθαι δεινόν· δεδοικέναι δὲ μή, συμπάντων ὡρμημένων ἐπ᾽ αὐτοὺς, μὴ δύνηται αὐτὸς ἀνέχειν τὴν ὁρμὴν, ἀλλά τι τολμηθῇ περὶ αὐτοὺς τῶν ἀνηκέστων. ἔπειτα τὸν τῆς Φιλίππου μητροπολίτην ἀπολεξάμενος καὶ Καβάσιλαν τὸν σακελλίου, οἳ καὶ πρότερον εἰς Διδυμότειχον ἦκον πρὸς ἐκεῖνον πρεσβευταὶ, ἔπεμπε πρὸς βασιλίδα. ἡ πρεσβεία δὲ ἦν περὶ εἰρήνης. καὶ πρῶτα μὲν πολλὰς ὡμολόγει χάριτας θεῷ, ὅτι πρὸς ταύτην ἤγαγε τὴν ἡμέραν, ἣ λαμπρότερον ἡλίου πᾶσι δύναται καταφανῆ ποιεῖν καὶ τὴν μοχθηρίαν τῶν σεσυκοφαντηκότων καὶ τὴν ἀπέχθειαν πρὸς τὰ καλὰ, καὶ τὴν ἑαυτοῦ πρός τε τοὺς βασιλέως παῖδας ἐξαρχῆς ἄχρι νῦν ἐπιείκειαν διασεσωσμένην, καὶ τὸ μηδὲν ἀγεννὲς, μηδὲ ἀνάξιον τῆς βασιλέως πρὸς αὐτὸν φιλίας μετὰ τὴν ἐκείνου τελευτὴν φανῆναι διαπεπραγμένον. ἔπειτα συνεβούλευε χωρεῖν πρὸς τὰς συμβάσεις, καὶ μὴ κεναῖς ἐλπίσιν αἰωρουμένην ἢ καὶ ὑπὸ τῶν συνόντων ἐξαπατωμένην, οἴεσθαι ἀντισχήσειν ἔτι πρὸς τὸν πόλεμον. [20]

2 610 οὔτε γὰρ ἔξωθέν ποθεν ἥξειν χρὴ συμμαχίαν προσδοκᾷν. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδεὶς, ὃς ἀφίξεται ἐπικουρήσων, ἔκ τε τῶν παρόντων ἐλπὶς οὐδεμία σώζεσθαι, τοῦ φρουρίου μὲν καὶ χρόνου τινὸς καὶ ἀναλωμάτων δεομένου καὶ ὑλῶν πρὸς ἐπισκευὴν, ἃ οὐκ ἔξεστι πορίζεσθαι, τῶν συνόντων δὲ οὔτε ἀξιομάχων ὄντων πρὸς τοσαύτην δύναμιν, οὔτε τῶν ἐπιτηδείων εὐπορούντων, ὥστε διαφέρειν τὴν πολιορκίαν εὐμαρῶς. δι᾽ ἃ πάντα πρὸς συμβάσεις αὐτῇ συνεβούλευε χωρεῖν, καὶ μὴ αὐτῇ μὲν καὶ τέκνοις τὰ ἀνήκεστα προξενεῖν ἐξ ἀβουλίας, αὐτοῦ δὲ μεγίστην πρόφασιν εὐδοξίας ἀφαιρεῖν. τοῦτο γὰρ κατὰ τὸν τοῦ πολέμου χρόνον καὶ βούλεσθαι ἀεὶ καὶ εὔχεσθαι πρόφασίν τινα τὸ θεῖον παρασχεῖν, ἐξ ἧς αὐτὸς τὴν ἐπιείκειαν καὶ τὴν εὐγνωμοσύνην ἐπιδείξεται, καὶ τὸ πρὸς βασιλέα φίλτρον, ὡς ἀκέραιον νῦν ἄχρι διασώζει, καὶ οὐδὲν ἧττον ἢ πρότερον κήδεσθαι τῶν παίδων διανοεῖται, λόγον ποιούμενος οὐδένα τῶν ὅσα πρὸς αὐτὸν κατὰ τὸν πόλεμον ἠγνωμονήθη. ρ′. Οἱ μὲν οὖν πρέσβεις καὶ οἱ ἄλλοι οἱ παρόντες τοὺς βασιλέως λόγους καὶ τὴν ἀξίωσιν ἀκούοντες, ὀλίγου δεῖν καὶ ἠπίστουν διὰ τὴν ὑπερβολήν. τὸ γὰρ τοσαῦτα πρότερον ὑπὸ τῶν πολεμούντων ὑπομείναντα καὶ μυριάκις ἐν ἀκμῇ κινδύνου καταστάντα, ἔπειτα κρατήσαντα τοῖς ὅπλοις καὶ περιγενόμενον τῶν πολεμίων, μὴ πρὸς φόνους καὶ σφαγὰς χωρεῖν καὶ ἴς᾽ ἀντ᾽ ἴσων ἀποδιδόναι τοῖς πρώτοις ἄρξασιν, ἀλλὰ μετὰ τὴν νίκην ἐπὶ συμβάσεις προκαλεῖσθαι, καίτοι δυνάμενον ὀλίγῳ χρόνῳ διαφθείρειν, κρεῖττον εἶναι τῆς ἀνθρωπίνης φύσεως ἐδόκει. [20]

2 611 ἥδοντό τε οὖν ὁμοῦ διὰ τὴν βασιλέως ἐπιείκειαν καὶ ἐθαύμαζον τὴν μεγαλοψυχίαν. βασιλὶς δὲ παντάπασιν οὐ προσεδέχετο τὴν πρεσβείαν, ἀλλ᾽ ἀπράκτους ἀπέπεμπε τοὺς πρέσβεις, ὑπὸ τῶν συνόντων πειθομένη. καὶ ὁ βασιλεὺς ἠνιᾶτο καὶ ἐδυσχέραινεν οὐκ ἀνεκτῶς μυρίοις προσπαλαίων λογισμοῖς. συνεώρα γὰρ τὴν ἔνστασιν οὐ τελευτήσουσαν ἐπ᾽ ἀγαθῷ, ἀλλ᾽ ἐκείνοις τε ἀνηκέστων κακῶν καὶ τούτῳ μείζονος ἢ καθ᾽ ὅσον χρόνον ἦν ὁ πόλεμος, λύπης αἰτίαν ἐσομένην. οἵ τε γὰρ συνόντες ἅπαντες εἰς πολλῶν πεῖραν ἀλγεινῶν ἐλθόντες, καὶ οἱ ἔνδον ὁμοίως Βυζαντίου τῶν δεσμωτηρίων ἐξελθόντες καὶ μνησικακοῦντες ἐσχάτως τοῖς συνοῦσι βασιλίδι, αὐτοί τε διεπρίοντο ὑπ᾽ ὀργῆς καὶ τὸν δῆμον ἐξηρέθιζον, καὶ ἔνδηλοι ἦσαν, ὡς καὶ βασιλέως ἄκοντος ἐπιθησόμενοι τοῖς ἐν βασιλείοις. καὶ ἐδεδίει μὴ περί τε τὴν βασιλίδα καὶ τοὺς παῖδας ἀνήκεστόν τι τολμηθῇ, καὶ οἱ συνόντες πάντες ὑπὸ τῶν ἐχθραινόντων διαφθαρῶσιν· ὃ ὀλίγῳ ὕστερον μικροῦ ἐδέησε γενέσθαι. ὡς γὰρ ἐπύθοντο, ὅτι μὴ τὴν πρεσβείαν δέχοιτο ἡ βασιλὶς, μηδὲ χωροίη πρὸς συμβάσεις, τὸ ἐν Βλαχέρναις φρούριον, μέρος καὶ αὐτὸ τοῦ περὶ τὰ βασίλεια φρουρίου ὄν, Καστέλιον προσαγορευόμενον, ἐξεπόρθησάν τε καὶ

διήρπασαν, βασιλέως ἀγνοοῦντος, καίτοι γε τῶν ἔνδον ἀπὸ τῶν τειχῶν ἀμυνομένων κραταιῶς. [20]

2 612 καὶ οἱ δοκοῦντες δὲ περὶ βασιλίδα εὖνοι εἶναι πρότερον, καὶ τὴν φυλακὴν τῶν βασιλείων ἐπιτετραμμένοι, ἐπεὶ τὸν κίνδυνον ἁπανταχόθεν περιιστάμενον ἑώρων, βασιλίδα δὲ μὴ χωροῦσαν πρὸς συμβάσεις, ἀλλὰ μᾶλλον αἱρουμένην αὐτήν τε ἀποθνήσκειν κἀκείνους συναπόλλυσθαι, ἐσκέψαντο κοινῇ τῆς σφετέρας σωτηρίας ἕνεκα καταπροΐεσθαι ἐκείνους καὶ παραδιδόναι βασιλεῖ τὸ φρούριον. οὐ μὴν ἀλλὰ καὶ τῶν ἐν λόγῳ μάλιστά τινες πρὸς βασιλέα πέμψαντες, περὶ προδοσίας διελέγοντο καὶ δωρεὰς ᾔτουν καὶ τιμὰς, εἰ παραδιδοῖεν τὰ βασίλεια αὐτῇ βασιλίδι καὶ τοῖς τέκνοις. βασιλεὺς δ' οὐδ' ἄκροις ἠνέσχετο ὠσὶν, ἀλλ' ἀπέπεμπε, σώζεσθαι μᾶλλον βασιλίδα καὶ τοὺς παῖδας εἰπὼν ποιεῖσθαι περὶ πλείστου. βασιλεὺς δὲ ὁ νέος Ἰωάννης ἔτος πεντεκαιδέκατον τότε ὢν, μεῖζον ἢ κατὰ τὴν ἡλικίαν ἐφαίνετο φρονῶν καὶ τῷ καιρῷ προσήκοντα βουλευόμενος. ὡς γὰρ ᾐσθάνετο θορυβουμένους τοὺς ἐν βασιλείοις, στασιάζειν τε ἤδη ἀρχομένους καὶ περὶ αὐτῶν ἐπιεικὲς οὐδὲν βουλευομένους, δραμὼν πρὸς τὴν μητέρα, τόν τε θόρυβον ἀπήγγελλε καὶ τὴν ἐπιβουλήν. καὶ ἐδεῖτο πρὸς βασιλέα τάχιστα πρεσβείαν πέμπειν καὶ τίθεσθαι συμβάσεις περὶ τῆς εἰρήνης. μάλιστα μὲν γὰρ ἔφασκεν ἐκεῖνον οὐδὲν περὶ αὐτῶν βουλεύσεσθαι δεινόν. εἰ δ' ἄρα καὶ τὰ δεύτερα νικῴη, βέλτιον ὑπ' ἐκείνου κακῶς παθεῖν, ἢ ἀλογίᾳ δήμου καὶ στρατιωτῶν ὁρμῇ περιπεσεῖν. [25]

2 613 αὐτίκα τε ἐπείθετο ἡ μήτηρ καὶ τὸν Ἀνδρόνικον Ἀσάνην τὸν βασιλέως πενθερὸν καὶ τὸν Παλαμᾶν Γρηγόριον αὐτοῦ που κατακεκλεισμένους ἐν δεσμωτηρίοις ἔνδον βασιλείων ἄγεσθαι ἐκέλευε πρὸς αὐτὴν, καὶ περὶ τῆς πρὸς βασιλέα διαλεχθεῖσα πρὸς αὐτοὺς εἰρήνης ἔπεμπε πρὸς ἐκεῖνον πρεσβευτάς. οἱ δὲ νομίσαντες βασιλέα οἰδαίνειν τε τῷ θυμῷ καὶ πρὸς ἄμυναν τῶν κατὰ τὸν πόλεμον γεγενημένων παρεσκευασμένον εἶναι, πρῶτα μὲν ἐπὶ δεήσεις ἐτράποντο καὶ ἱκεσίας, ἀφεῖναι τὴν ὀργὴν τοῖς ἁμαρτήσασι, καὶ μηδὲν πλέον ἐπιζητεῖν τοῦ τῶν πολεμίων κρείττω εἶναι καὶ πάντας ὑποχειρίους ὁμοῦ λαβεῖν· ἀλλ' ὥσπερ τοῖς ὅπλοις, οὕτω δὴ καὶ τῇ μεγαλοψυχίᾳ φαίνεσθαι νικῶντα, ἥπερ δὴ μεγίστη νίκη καὶ μάλιστα προσήκουσα αὐτῷ. ἔπειτα ἀπήγγελλον καὶ τὴν πρεσβείαν βασιλίδος καὶ ἐδέοντο μνημεῖον τῆς αὐτοῦ ἐπιεικείας καὶ μεγαλοψυχίας καὶ συνέσεως, τὴν περὶ τοὺς βασιλέως εὐγνωμοσύνην παῖδας ἀνεξάλειπτον τοῖς εἰς ὕστερον καταλιπεῖν. ἐλάνθανον δὲ ξυρὸν ἀκονῶντες, καὶ ἵππον θέειν ἀγαθὸν ἐπὶ πεδίον προκαλούμενοι. ὡς γὰρ μόνον ἤκουε τοὺς λόγους βασιλεὺς, πάντα ἦν ἕτοιμος ὑπὲρ τῶν βασιλέως παίδων πράττειν, ὥσπερ αὐτὸς εὐεργετούμενος, ἀλλ' οὐ παρέχων τὰς εὐεργεσίας. τῶν μὲν οὖν πρέσβεων τῷ πενθερῷ μὲν ὠνείδιζεν ἠπίως τὴν πρὸς αὐτὸν ἀγνωμοσύνην ὁ βασιλεὺς, ὅτι πρότερον ὑπ' ἐκείνου μηδὲν ἀδικηθεὶς, ἀλλ' εἰ δεῖ τι τἀληθὲς εἰπεῖν, καὶ μυρία εὖ παθὼν, ὅδ' ἠμείψατο τοῖς ἐναντίοις, καὶ τὸν πόλεμον κεκίνηκε κατ' αὐτοῦ. [20]

2 614 Παλαμᾶν δὲ ἐπῄνει καὶ πολλὰς ὡμολόγει χάριτας, ὅτι πολλὴν ὑπὲρ αὐτοῦ δικαίου καὶ τῆς ἀληθείας κάκωσιν ὑπενεγκὼν, οὐδὲν ἀγεννὲς οὔτε ἔπραξεν, οὔτ' ἐφθέγξατο ἄχρι τέλους. ἔπειτα ἐκέλευε τοὺς πρὸς βασιλίδα καὶ βασιλέα τὸν υἱὸν γράφειν ὅρκους. καὶ ἐγράφοντο ἐπὶ τούτοις, ὥστε μήτ' αὐτὸν ἀμύνεσθαι τοὺς λελυπηκότας καὶ συνόντας ἐν βασιλείοις βασιλίδι τότε, μήτε ζημιοῦν μηδὲν, ἀλλὰ πᾶσαν ἀμνηστίαν παρέχεσθαι τῶν πεπραγμένων· μήτε βασιλίδα καὶ βασιλέα τὸν υἱὸν τοῖς ἐκείνῳ συμπράξασι κατὰ τὸν πόλεμον μνησικακεῖν, μηδ' ἐπιχειρεῖν βλάπτειν, μήτε τέχνῃ, μήτε μηχανῇ μηδεμιᾷ, ἀλλ' ἀμφοτέροις διαλελύσθαι τὸ πρὸς τοὺς ἑκατέροις προσκειμένους ἔχθος· κτήσεις δὲ ἔχειν πάντας τὰς ἑκάστῳ προσηκούσας ἀπ' ἀρχῆς· συμβασιλεύειν δὲ ἀμφοτέρους βασιλέα τε τὸν Καντακουζηνὸν καὶ τὸν Παλαιολόγον Ἰωάννην τὸν νέον βασιλέα· καὶ ἀλλήλοις εὐνοεῖν τὴν προσήκουσαν εὔνοιαν πατράσι καὶ παισὶ πρὸς ἑκατέρους· ὑπείκειν δὲ τὸν νέον τῷ πρεσβυτέρῳ κατὰ πάντα καὶ τοῦ πράττειν αὐτῷ παραχωρεῖν ἐπὶ δέκα ἔτεσι διὰ τὴν ἡλικίαν· μετὰ τοῦτο δὲ τῆς ἀρχῆς συμμετέχειν. τοιοῦτοι μὲν

οἱ ὅρκοι ἐγεγένηντο, καὶ αὐτός τε ὤμνυεν ὁ βασιλεὺς καὶ ἡ βασιλὶς Ἄννα μετὰ βασιλέως τοῦ υἱοῦ, ὥστε παραβήσεσθαι μηδέποτε. τετελεσμένων δὲ τῶν ὅρκων, τὰς πύλας οἱ ἐν βασιλείοις ὑπανοίξαντες εἰσεδέχοντο τὸν βασιλέα, ὀγδόῃ Φεβρουαρίου ἱσταμένου, ἐπὶ τοῖς πέντε καὶ πεντήκοντα ἔτεσι πρὸς ἑξακισχιλίοις καὶ ὀκτακοσίοις ἐν ἰνδίκτῳ πεντεκαιδεκάτῃ. [20]

3 8 α′. Τοιοῦτος μὲν ὁ πρὸς ἀλλήλους τῶν Ῥωμαίων πόλεμος ἐπὶ πέντε ἔτεσιν ἀνερῥιπίσθη, καὶ οὕτως ἐκάκωσαν ἀλλήλους πολλὰ καὶ χαλεπά, ἐξ ὧν ὀλίγου δεῖν ἀνατραπῆναι συνέβη τὴν Ῥωμαίων ἡγεμονίαν. ἃ καὶ ὡς ἐγένετο πάντα ἐξεθέμεθα μετὰ ἀκριβείας, μηδὲν παραλιπόντες, ἀλλὰ τὴν ἀρχαίαν φυλάξαντες ἐπαγγελίαν, ὥστε μήτε πρὸς χάριν, μήτε πρὸς ἀπέχθειαν μηδὲν εἰπεῖν, ἀλλὰ τὰ ὄντα ἀκριβῶς. λοιπὸν δὲ ἤδη καὶ τὰ Καντακουζηνῷ τῷ βασιλεῖ μοναρχοῦντι πεπραγμένα διηγήσασθαι, καὶ ὅσα ἐν διαφορᾷ κατέστη αὖθις πρὸς Παλαιολόγον βασιλέα τὸν γαμβρόν. ἐπεὶ γὰρ μετὰ τοὺς ὅρκους ἐγένετο ἐν βασιλείοις, βασιλίδα μὲν μετὰ τῶν τέκνων πρὸς τὴν τῆς θεομήτορος εἰκόνα τῆς Ὁδηγητρίας εὗρεν ἱσταμένην, ἵνα μᾶλλον κάμπτῃ βασιλέα καὶ πείθῃ μηδενὸς ἀναμιμνήσκεσθαι τῶν κατὰ τὸν πόλεμον συμβεβηκότων δυσχερῶν. ὁ δὲ πρῶτα μὲν τὴν τῆς θεομήτορος εἰκόνα προσεκύνει, ἔπειτα ὤμνυε κατὰ τῆς εἰκόνος εἰς ἐπήκοον πάντων, ὡς οὔτε βουλεύσαιτο, οὔτε πράξαι τὸ τυχὸν κατὰ βασιλίδος καὶ τῶν παίδων, πρὶν τὸν πόλεμον κινηθῆναι παρ’ αὐτῶν, οὐδὲ βουλεύσαιτο κατ’ οὐδένα τρόπον αὐτὴν καὶ βασιλέα τὸν υἱὸν τῆς ἀρχῆς ἀποστερεῖν, ἀλλὰ πάντα συκοφαντίας εἶναι καὶ διαβολὰς πλασθείσας ὑπὸ τῶν εἰπόντων. [15]

3 9 ἐκεῖνον δὲ τοιαύτην γνώμην ἐξαρχῆς ἔχειν, ὡς πάντα πόνον ὑπομενοῦντα, καὶ σύμπαντα ὅσα προσῆν χρήματα καταναλώσοντα ὑπὲρ τῆς ὠφελείας τῶν κοινῶν καὶ αὐτῆς τῆς βασιλίδος καὶ τῶν παίδων καὶ σφετέρας εὐδοξίας, μένων ἐπὶ σχήματος. ἔπειτα πολλὰς εὐχαριστίας ἀπεδίδου θεῷ, ὅτι ζῶν εἰς ταύτην ἦκε τὴν ἡμέραν, ἥτις ἀπαλλάξειε σαφέστατα τῶν συκοφαντιῶν καὶ τῶν ἀδίκων ἐγκλημάτων, ἔργοις αὐτοῖς ποιήσαντα καταφανῆ τήν τε τῶν εἰπόντων μοχθηρίαν καὶ τὴν ἐπιείκειαν αὐτοῦ. ἔπειτα εἰσῄεσαν ἅμα βασιλίδι καὶ βασιλεῖ τῷ υἱῷ εἰς τὴν οἰκίαν, ἣ παρεσκεύαστο πρὸς τὴν τοῦ βασιλέως ὑποδοχήν. καὶ ἄλλα τε διειλέχθησαν περὶ τῶν πραγμάτων, καὶ Ἑλένην τὴν αὐτοῦ θυγατέρα τῷ νέῳ κατηγγύησαν βασιλεῖ. ἑάλω γὰρ αὐτοῦ κατάκρας εὐθὺς ὁ πρεσβύτερος βασιλεὺς, οὐ μόνον διὰ τὴν πρὸς τὸν πατέρα εὔνοιαν, ἀλλ’ ὅτι καὶ αὐτὸν ἑώρα δοχεῖον ἄν τις εἶπε χαρίτων παντοδαπῶν. οὐ μόνον γὰρ εἶδος ἄξιον ἐπεδείκνυτο τυραννίδος, ἀλλὰ καὶ πρὸς ἀνδρίαν καὶ σύνεσιν οὐκ ἀγεννεῖς ὑπέφαινεν ἐλπίδας· ἃ καὶ εἰς ὕστερον ἐξέβη κατ’ ἐλπίδας. συνέσει τε γὰρ οὐδενὸς ἀπολείπεται τῶν προγόνων βασιλέων, καὶ τὴν εὐψυχίαν καὶ τὴν τόλμαν οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις ἐπεδείξατο τοῖς πολεμίοις. εἰς τὴν ὑστεραίαν δὲ ἐκέλευεν ὁ βασιλεὺς τούς τε αὐτῷ συνόντας ἔξω Βυζαντίου καὶ τοὺς βασιλίδι προσκειμένους συγκλητικούς τε ἅμα καὶ στρατιώτας καὶ τοὺς ἄλλους τῶν ἐπιφανῶν πίστεις ἀμφοτέροις δι’ ὅρκων διδόναι τοῖς βασιλεῦσι, καὶ μηδεμίαν εἶναι διαφορὰν, μηδὲ διάστασιν, ἀλλ’ ὑπὸ μίαν βασιλείαν ἅπαντας τετάχθαι. [5]

3 10 ὅσοι μὲν οὖν ἔνδον ἦσαν μετὰ βασιλίδος, καὶ χάριν προσωμολόγουν βασιλεῖ καὶ τοὺς ὅρκους παρείχοντο προθύμως· τῶν ἔξω δὲ οἱ πλείους οὐκ ἠνείχοντο τῶν μάλιστα ἐπιφανῶν, ἀλλὰ Καντακουζηνῷ μόνον ἔφασαν τῷ βασιλεῖ δουλεύσειν, ἑτέρῳ δὲ μηδενί. δεινὸν γὰρ εἶναι, εἰ τοσαῦτα ὑπομείναντες κατὰ τὸν πόλεμον καὶ χρήματα προέμενοι καὶ οἰκείους καὶ σφᾶς αὐτοὺς ὑπὲρ τοῦ νικᾷν τοὺς πολεμίους, ἔπειτα ὅτε ἔδοξαν κεκρατηκέναι, ἀθρόον φαίνεσθαι κατάκρας ἡττημένους καὶ δουλεύοντας ἐκείνοις, οἷς ἐξῆν καὶ πρότερον δουλεύειν, εἰ ἐβούλοντο, τῶν πολλῶν ἐκείνων δυσχερῶν ἀπαλλαγέντας. ἐπὶ τρισὶ μὲν οὖν ἡμέραις ἐφιλονείκουν, μὴ ταὐτὰ ποιεῖν τοῖς ἄλλοις, μηδὲ ὑπάγειν ἑαυτοὺς τῇ ὑπὸ τὸν βασιλέα τὸν νέον δουλείᾳ. Καντακουζηνὸς δὲ ὁ βασιλεὺς τὴν ἔνστασιν ὁρῶν, σύντομόν τινα τὴν ἀπόφασιν καὶ αὐστηρίας ἐξήνεγκε μεστήν. τοὺς γὰρ μὴ βουλομένους τῷ γαμβρῷ ὑπείκειν ἐκέλευε καὶ αὐτοῦ

ἀναχωρεῖν. βιάζεσθαι γὰρ οὐκ ἐθέλειν ἔφασκέ τινα αὐτῷ δουλεύειν, ὥσπερ οὐδὲ πρότερον, ἀλλ᾽ εἰ μέν τις βούλοιτο τετάχθαι ὑπ᾽ αὐτῷ, ἀνάγκη πᾶσα καὶ βασιλέα τὸν γαμβρὸν ἡγεῖσθαι κύριον· εἰ δ᾽ ἐκείνῳ μὴ βούλοιτο ὑπείκειν, καὶ αὐτοῦ ἀφίστασθαι, ὡς οὐκ ἐνὸν ἄλλως, ἢ τοῦτον τὸν τρόπον, τὰς διχοστασίας καὶ τὴν ἔριν ἐκ μέσου γίνεσθαι. [20]

3 11 ὁ μὲν οὖν βασιλεὺς τοιαῦτα εἶπε πρὸς ὀργήν. ἐκεῖνοι δὲ οἱ πρότερον ἀνθιστάμενοι, δείσαντες τὴν βασιλέως ἀπειλὴν, εἶκόν τε καὶ τοὺς ὅρκους ἀπεδίδοσαν ᾗ ἐκέλευεν ὁ βασιλεύς. μετὰ τοῦτο δὲ ἐθέσπιζε μηδένα μηδενὶ παρενοχλεῖν περὶ τῶν κατὰ τὸν πόλεμον ἡρπασμένων πλὴν τῶν κτήσεων· ταύτας γὰρ τοὺς ἔχοντας ἀποδιδόναι τοῖς κυρίοις. εἰ δέ τινες ἀπέδοντο ἢ διέφθειραν, μήτε τὴν ὠνὴν ἀποδιδόναι, μήτε μὴν εἰς τὸ ἀρχαῖον σχῆμα ἀναγκάζεσθαι καθιστᾶν. τοῖς μὲν οὖν ἀδικήσασι καὶ ἡρπακόσιν ὁ βασιλεὺς τοιαύτην παρείχετο φιλοτιμίαν, τοῖς δὲ ἀδικηθεῖσι καὶ ἀποστερουμένοις τῶν οἰκείων ἑτέροις τρόποις ἐθεράπευσε τὴν ἔνδειαν. καὶ τοῦτον τὸν τρόπον ἐν ὀλίγῳ χρόνῳ πᾶσαν ἀμφισβήτησιν περιεῖλε καὶ πρόφασιν θορύβου, καὶ ἐν εὐταξίᾳ πάλιν καὶ εἰρήνῃ τὰ Ῥωμαίων ἦν. ἔπειτα ἐκ τῆς Ἀδριανοῦ βασιλίδα τὴν γαμετὴν μετὰ τῶν θυγατέρων μετεκαλεῖτο πέμψας. ἐπεὶ δὲ παρῆσαν ἐν τῷ πρὸ τῆς πόλεως τῆς θεομήτορος τεμένει, ὃ πηγή τέ ἐστιν ἀφθόνων ἰαμάτων καὶ καλεῖται, βασιλίδος Ἄννης ἐξελθούσης καὶ τῶν βασιλέων συμπαρόντων καὶ τῶν ἐν τέλει πάντων καὶ ἐπιφανῶν, Ἑλένη ἡ τῷ νέῳ μέλλουσα βασιλεῖ συνοικεῖν, προστεταχότος τοῦ πατρὸς καὶ Ἄννης τῆς βασιλίδος, ἐπισήμοις ἐκοσμεῖτο βασιλικοῖς καὶ Ῥωμαίων βασιλὶς προσηγορεύετο. ἔπειτα εἰς τὰ βασίλεια πάντων ἅμα βασιλέων γενομένων, οἱ γάμοι τοῦ νέου βασιλέως παρεσκευάζοντο, καὶ πάντες ἐν ἐλπίσι χρηστοτέραις ἦσαν, ἀναπνεύσαντες ἀπὸ τῶν τοῦ πολέμου δυσχερῶν. [20]

3 12 οὐ μόνον γὰρ οἱ Ῥωμαῖοι τῆς πρὸς ἀλλήλους ἐπαύοντο διαφορᾶς καὶ στάσεως, ἀλλὰ καὶ οἱ ἔξωθεν πολέμιοι πυθόμενοι, ὡς ὑπὸ βασιλέα τὸν Καντακουζηνὸν ἅπασα ἡ Ῥωμαίων γένοιτο ἡγεμονία, ἐπαύοντο πολεμεῖν. οὐ μόνον γὰρ οἱ ὅμοροι δυνάσται παρασπᾶν τι τῆς Ῥωμαίων ἡγεμονίας ἐπεχείρουν, ἀλλὰ καὶ μαρκέσης ὁ Λουμπαρδίας ἄρχων, υἱωνὸς ὢν τοῦ πρώτου βασιλέως Ἀνδρονίκου καὶ τὴν Ῥωμαίων ἀρχὴν αὐτῷ προσήκειν τῶν ἄλλων μᾶλλον ἀξιῶν, (καὶ γὰρ καὶ ὁ πατὴρ αὐτῷ Θεόδωρος Ἀνδρονίκῳ τῷ νέῳ βασιλεῖ περὶ τῆς Ῥωμαίων ἡγεμονίας ἠμφισβήτει,) πυθόμενος, ὡς βασιλεύσειε παρὰ Ῥωμαίοις ὁ Καντακουζηνὸς καὶ τὴν μὲν ἄλλην ἅπασαν ἀρχὴν ἀφέλοιτο τῶν βασιλέως παίδων, Βυζάντιον δὲ μόνον καὶ Θεσσαλονίκη καὶ Αἶνος ὑπολείποιτο, ἐσκέπτετο, ὡς καὶ αὐτὸς ἐπελθὼν δυνάμει ναυτικῇ τῶν ὑπολελειμμένων τουτωνὶ πόλεων κρατήσειε μᾶλλον αὐτῷ προσηκουσῶν ἐκ κλήρου πατρῴου, ἢ Καντακουζηνὸν τὸν βασιλέα ἔχειν. ἐνήγετο δὲ μάλιστα πρὸς τοῦτο καὶ παρὰ τοῦ γυναικὸς ἀδελφοῦ Κουμίντζη, προσαγορευομένου Καρδιναλίου, χρήματά τε πολλὰ πρὸς τὸν στόλον παρεχομένου καὶ ἄλλην συντέλειαν πολλὴν πρὸς τὴν παρασκευήν. καὶ ἤδη παρεσκεύαστο, ὡς ἅμα ἦρι τοῦ ἔτους ἐκείνου μεγάλῃ δυνάμει ναυτικῇ ἐπιπλεύσων Βυζαντίοις. β′. Πυθόμενος δὲ παρὰ Βαρθολομαίου τινὸς, ὡς Καντακουζηνὸς ὁ βασιλεὺς Βυζάντιόν τε ἤδη καὶ τὴν ἄλλην ἅπασαν Ῥωμαίων ἀρχὴν ὑποποιήσαιτο, ἀπέσχετο τοῦ ἔργου. [25]

3 13 Βαρθολομαῖος γὰρ οὑτοσὶν, ἐκ Δελφίνου Ντεβιάνα πρὸς Ἄνναν τὴν βασιλίδα ἥκων πρεσβευτὴς, ἐπεὶ μεταξὺ πρεσβεύοντος Καντακουζηνὸς ὁ βασιλεὺς ἐκράτει Βυζαντίου, εἰς λόγους ἐλθὼν καὶ τὴν βασιλέως σύνεσιν θαυμάσας, πάπᾳ τε τῷ Κλήμεντι καὶ τῷ πέμψαντι Δελφίνῳ ἔγραφεν ἐπιστολὰς, ἃς ὥσπερ εἶχον προσεθήκαμεν τῇ διηγήσει. εἶχεν οὖν ἡ πρὸς μὲν πάπαν οὕτως. „ἀγαλλιάσθωσαν πᾶς ὁ λαὸς τῆς τῶν Ῥωμαίων ἀρχῆς, καὶ τῆς νίκης ἕνεκεν τοῦ τοσούτου βασιλέως εὐφρανθήτωσαν σύμπας ὁ κόσμος. ἡγιασμένη γὰρ ἡμέρα πᾶσι Χριστιανοῖς ἀνατέταλκε κατὰ τὴν τρίτην τοῦ Φεβρουαρίου, ἐν ᾗ δὴ ἐξαπέστειλεν ὁ θεὸς τὸν ἑαυτοῦ ἄγγελον κατασκευάσοντα τὴν ὁδὸν αὐτοῦ ἔμπροσθεν αὐτοῦ καὶ τῷ οἰκείῳ διαυγεστάτῳ φωτὶ πόῤῥω ποιησόμενον τὸ τῆς μάχης σκότος, ἀγαγόντα καθάπερ κλάδος χλοαζούσης ἐλαίας τὴν

εἰρήνην. οὗτος γάρ ἐστιν ὁ βασιλεὺς τῆς εἰρήνης, ὁ δεύτερος Σολομών, οὗ τὸ πρόσωπον ἐπιθυμεῖ βλέπειν πᾶσα κτίσις. ἰδοὺ γάρ, ἵνα δείξῃ κύριος, ὡς οὐκ ἐν ἰσχύϊ ἵππου, οὐκ ἐν δυναστείᾳ ἀνθρώπου, ἀλλ' ἐν δυνάμει θεοῦ γέγονε τὸ τρόπαιον τουτὶ παρὰ τοῦ ὑψηλοτάτου καὶ νικητικωτάτου βασιλέως καὶ αὐτοκράτορος κυρίου Ἰωάννου τοῦ Καντακουζηνοῦ, ἀνέῳξε τοὺς τῆς ἑαυτοῦ δυνάμεως θησαυροὺς, ἐγχέας ἐπ' αὐτὸν τὰ δῶρα τῶν ἑαυτοῦ χαρισμάτων, τὴν βασιλίδα δηλαδὴ ταύτην τῶν πόλεων, τὴν Κωνσταντίνου φημὶ, καὶ παρασχὼν ὁλόκληρον αὐτῷ βασιλείαν τῇ θείᾳ αὐτοῦ δυνάμει ἐν δυναστείᾳ ὅπλων καὶ ἐκτεταμένῳ βραχίονι, ἵν' ἐν αὐτῷ μᾶλλον φανῶσιν οἱ διὰ παντὸς ῥέοντες ποταμοὶ τῶν αὐτοῦ χαρισμάτων καὶ τοῦ ἐλέους. [20]

3 14 αὐτὸς γάρ ἐστι, περὶ οὗ γέγραπται, ὅτι ἠδυνήθη παραβῆναι, καὶ οὐ παρέβη, καὶ κακὸν ποιῆσαι, καὶ οὐκ ἐποίησε· μᾶλλον δὲ ἑπόμενος τῷ Χριστῷ ἀνταπέδωκεν ἀγαθὸν ἀντὶ κακοῦ, μνησθεὶς ἐλέους καὶ ἐπιλαθόμενος ἀνομίας. ὅς γε καὶ γέγονεν ἀγαθὸς στρατιώτης κατὰ τὸν πρώτως ἀθλήσαντα Στέφανον, ὑπὲρ τῶν λίθοις βαλλόντων αὐτὸν διωκτῶν προσευξάμενον, καὶ „μὴ στήσῃς αὐτοῖς," εἰρηκότα, „δέσποτα, τὴν ἁμαρτίαν ταύτην· οὐ γὰρ οἴδασι, τί ἐποίησαν." οὐδέποτ' ἀπ' αἰῶνος ἤκουσται τοσαύτην ἀνδρὸς ἀρετὴν γεγονέναι, οὔτ' Ὀκταβιανῷ τῷ βασιλεῖ, οὔτε Θεοδοσίῳ, οὔτε μὴν Αὐγούστῳ τῷ Καίσαρι, ὡς οὓς ἠδυνήθη τῇ τῶν ὅπλων δυνάμει καταστρωννύναι εἰς γῆν, τούτοις δοῦναι τὸν ἑαυτοῦ χρηστὸν ἔλεον, ἐπιλαθόμενος τῶν εἰς αὐτὸν πάντων κακῶν. ταῦτά τοι καὶ χαῖρε, ἁγιώτατε δέσποτα, τῇ οὕτως εὐτυχεῖ, οὕτω νικητικωτάτῃ εἰσόδῳ ἀναιμάκτῳ τε καὶ ἀζημίῳ τοῦ Χριστιανικοῦ λαοῦ. καὶ αὖθις χαῖρε, ὅτι ἡ ἀλήθεια δι' ἀληθείας ἐδείχθη. ἡ γὰρ τοῦ Χριστοῦ ἀλήθεια ἔδειξε τὴν τοῦ ἀθώου τούτου βασιλέως ἀλήθειαν ἐπὶ τῷ ἀπαντῆσαι τὴν ἀλήθειαν αὐτῷ καὶ τὸν ἔλεον καὶ καταφιλῆσαι εἰρήνην τε καὶ δικαιοσύνην. ἐγὼ δὴ πέποιθα τοῦτ' εἶναι μᾶλλον ὑπὲρ εἰρήνης καὶ καταστάσεως τοῦ σύμπαντος Χριστιανικοῦ λαοῦ καὶ εἰς ἐπίδοσιν τοῦ κατὰ τῶν ἐχθρῶν τοῦ σταυροῦ τροπαίου, ὥσπερ οὐ μικρὰν τὴν ζημίαν εἰργάσατο τοῖς βασιλεῦσι Ῥωμανίας ἡ χρόνον ἐπὶ πλεῖστον αὐξηθεῖσα διχόνοια. [20]

3 15 τοίνυν εἰ καί τινα δεδήλωται τῇ σῇ ἁγιότητι ἀῤῥητουργήματα κατὰ τοῦ προῤῥηθέντος γαληνοτάτου βασιλέως καὶ αὐτοκράτορος Ῥωμαίων κυρίου Ἰωάννου τοῦ Καντακουζηνοῦ, τοῦ καὶ πατρὸς νῦν τοῦ γαληνοτάτου βασιλέως καὶ αὐτοκράτορος Ῥωμαίων κυρίου Ἰωάννου τοῦ Παλαιολόγου, ἀλλ' οὖν μηδαμῶς εἶεν δεκτέα ἢ πιστευτέα κατά τινα τρόπον. οἶμαι γὰρ, ὡς ἐν τούτῳ θήσεται ἡ σὴ ἁγιότης περὶ τούτων καλῶς παρὰ τῶν προῤῥηθέντων τούτων κυρίων καὶ βασιλέων, ἢ διὰ πρέσβεων, ἢ διὰ γραμμάτων ἀληθέστερόν τε καὶ καθαρώτερον." τοιαῦτα μὲν οὖν πρὸς πάπαν Κλήμεντα ἔκτον ὁ Βαρθολομαῖος ἔγραψε περὶ τῶν βασιλέων. Ἰνιμπέρτῳ δὲ Δελφίνῳ Ντεβιάνᾳ, παρ' οὗ καὶ πρεσβευτὴς πρὸς Ἄνναν ἦκε τὴν βασιλίδα, οὕτως. „ἀλλαλαξάτωσαν ἄσμενοι τῶν πιστῶν ἅπας ὁ δῆμος· ψαλάτωσαν ὁ χορὸς τῆς τῶν Χριστιανῶν πίστεως· ἀνακαινιζέσθωσαν ἐν ταῖς ἱεραῖς καὶ ἁγίαις ἐκκλησίαις περιφανεῖς ἑορταί· ἠχείτωσαν εἰς τὸ ὕψος αἱ ψαλμῳδίαι· τὰ τῶν μοναχῶν ὄργανα πληττέτωσαν τὸν ἀέρα, καὶ διὰ στόματος ἴτωσαν πάντων, καὶ πᾶσαν τὴν περίχωρον διατρεχέτωσαν αἱ προσηνεῖς αὗται πανηγύρεις, ὅπως ἡ τῶν χαιρόντων κραυγὴ μὴ μόνον παρὰ τῶν ἐπιγείων, ἀλλ' ἔτι καὶ παρὰ τῶν οὐρανίων ἀκούηται πολιτῶν. [20]

3 16 ἀκούσατε τοίνυν οὐρανοὶ, καὶ λαλήσω· καὶ ἀκουέτω γῆ ῥήματα ἐκ στόματός μου. ἀλλὰ τίς οὐκ ἂν ἀσμένως ἀκούσαι, τίς οὐκ ἠκριβωμένως προσέξοι τοῖς λεγομένοις, ὅτι χεὶρ κυρίου ἐγένετο ἐπὶ τῇ βασιλείᾳ Ῥωμαίων, ἐπὶ τῷ τὴν ἡμέραν καταφωτίσαι τὴν νύκτα, καὶ τὴν λαμπρότητα πόῤῥω τὸ σκότος ποιήσασθαι, καὶ τοῖς καθημένοις ἐν σκότει καὶ σκιᾷ τοῦ θανάτου φῶς ἐξ οὐρανῶν ἀνατεταλκέναι; ὁρᾶτε γοῦν, ὅπως τουτὶ τὸ φῶς ἀνατέταλκεν ἄνωθεν, ὡς οὐ τῇ μεγάλῃ τῶν ὅπλων κατασκευῇ τὸν ἐπὶ πάντας καθήμενον ὕψιστον, τῇ οἰκείᾳ δυνάμει

παρεσχηκέναι τῷ μεγάλῳ περιφανεστάτῳ βασιλεῖ κυρίῳ Ἰωάννῃ τῷ Καντακουζηνῷ, τῷ καὶ τῆς βασιλείας καὶ τοῦ βασιλέως πατρὶ, τὴν ἁπασῶν βασιλεύουσαν ταυτηνὶ πόλιν, καὶ μέχρι καὶ εἰς δεῦρο διατηρεῖσθαι τὸν τοῦ δικαίου κριτὴν τῷ τοιούτῳ βασιλεῖ τὸ παρὸν τῆς ἀρχῆς δώρημα, ἵνα γνῶσι σαφῶς ἅπαντες τοῦτο παρὰ κυρίου τοῦ θεοῦ γεγονὸς, καὶ οὐ παρὰ ἀνθρώπου. φησὶ γὰρ ὁ σοφώτατος Σολομών· „καιρὸς τῷ ὑπὸ τὸν οὐρανὸν παντὶ πράγματι, καὶ πάντα καλὰ ἐν καιρῷ αὐτῶν. καιρὸς θρήνου καὶ καιρὸς χαρμονῆς.“ οὕτως εἴρηκέ ποτε καὶ ὁ Χριστός· „οὐκέτι ἦλθεν ἡ ὥρα μου.“ καὶ ἀλλαχοῦ λέγει· „πάτερ, ἔρχεται ὥρα, καὶ νῦν ἔστιν, ἵνα δοξασθῇ ὁ υἱός σου·“ καὶ παραχρῆμα ἡ πατρικὴ φωνὴ τῷ υἱῷ ἀπεκρίνατο· „καὶ ἐδόξασα καὶ πάλιν δοξάσω.“ οὐχὶ δὲ καὶ ἐν τῷ εὐαγγελίῳ ἀνέγνωμεν, ὁπηνίκα ὁ Ἰωάννης εἴρηκε τῷ Χριστῷ ἡμῶν ἐν τῷ Ἰορδάνῃ· „ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;“ τί Χριστὸς ἀπεκρίνατο; „ἄφες γάρ,“ φησιν, „ὦ Ἰωάννη, ἄφες ἄρτι. [20]

3 17 οὕτω γὰρ δεῖ πληρῶσαι πᾶσαν δικαιοσύνην·“ τοιγαροῦν „ἄφες ἄρτι“ δηλοῦντος τοῦ λόγου, ὡς οὔπω καιρὸς ὑψώσεως, οὐδὲ δόξης, ὡς οὔπω ἐληλύθει ἡ τῆς εὐλογίας καὶ τῆς χάριτος ὥρα. αὕτη τοίνυν ἡ τοῦ φωτὸς ὥρα ἡ τῇ βασιλείᾳ Ῥωμαίων τηρηθεῖσα, ἵνα μὴ ἀθρόον ἐπιστὰν τοῖς πιστοῖς τὸ δῶρον εὐτελὲς νομισθῇ· οὗτός ἐστιν ὁ μετὰ τὸ νέφος αἰθρίαν δούς· οὗτός ἐστιν ὁ μετὰ τὸν ὀδυρμὸν καὶ τοὺς θρήνους ἀγαλλίαμα ἐγχέων. τίνα γὰρ τῶν ἁγίων πατέρων ὕψωσεν ἐν δόξῃ, μὴ προτέρων θλίψεων ἡγησαμένων, καθὰ καὶ ἡ γραφὴ διαῤῥήδην βοᾷ· „πᾶς υἱὸς ὑψούμενος παρὰ κυρίου πρῶτον παιδεύεται.“ καὶ ὁ θεὸς λέγει· „οὓς ἀγαπῶ, διορθοῦμαί τε καὶ παιδεύω.“ οὕτω καὶ ὁ ψαλμῳδὸς καὶ κιθαρῳδὸς οὐράνιος ἐκεῖνος Δαβὶδ ᾖσε· „παιδεύων ἐπαίδευσέ με ὁ κύριος, τῷ δὲ θανάτῳ οὐ παρέδωκέ με.“ καὶ ἀλλαχοῦ· „ὁ πατήρ μου καὶ ἡ μήτηρ μου καὶ πάντες οἱ γνωστοί μου ἐγκατέλιπόν με, ὁ δὲ κύριος προσελάβετό με.“ προσλαμβάνου τοίνυν καὶ αὐτὸς, ἐρασμιώτατε δοὺξ, τὸν ῥηθέντα τουτονὶ βασιλέα, ὅνπερ ὁ θεὸς προσελάβετο εἰς τὴν τῆς βασιλείας κατάστασιν, καὶ τοῦτον ἐν τοῖς μάλιστα τάττε, ὃν ὁ θεὸς διετήρησεν εἰς τὴν βασιλείαν. πᾶσα γὰρ ἐξουσία εἰς ἀγαθὸν παρὰ κυρίου τοῦ θεοῦ ἐστιν· ὁ δὲ τῇ τοῦ βασιλεύοντος ἀνθιστάμενος ἐξουσίᾳ κατὰ τὸν ἀπόστολον τῇ τοῦ θεοῦ βουλήσει ἀνθίσταται. [20]

3 18 ὅρα δὲ, μή ποτε ᾖς καὶ αὐτὸς εἷς ἐκείνων τῶν παρὰ τοῦ δικαίου Ἰὼβ ἐλεγχομένων, λέγοντος· „οὗτοί εἰσιν οἱ ἀνθιστάμενοι τῷ φωτὶ, οὗτοί εἰσιν οἱ τοῦ φωτὸς ἀποστάται, ὅπερ ἐν τῷ σκότει φαῖνον οὐ φέρει αἰτίαν· εἴγε ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν.“ ἐν μέντοι γε διηνεκοῦς μνήμης ἄξιον ὑπόδειγμα τοῖς τῷ Χριστῷ λατρεύουσι δήλου, ὡς ὁ μέγας οὑτοσὶ βασιλεὺς τὴν τοῦ μεγάλου Κωνσταντίνου ἐν ἑαυτῷ φέρει χρηστότητα, ᾗτινι φονευθῆναι τοὺς παῖδας ἀπεῖρξεν, ὧν ἐν τῷ αἵματι θεραπεύεσθαι ἔμελλεν ἀπὸ τῆς λέπρας. τὸ τοῦ μετὰ Ἰούλιον Καίσαρα βεβασιλευκότος Ὀκταβιανοῦ φιλάνθρωπον, ᾧτινι καὶ φιλανθρωπότητος ἐκεῖνος κέκληται βασιλεὺς, ὁ παρὼν βασιλεὺς ὑπερήλασεν· ἴσος, εἰ μὴ καὶ μείζων, ἐστὶν εἰς θεοσέβειαν τῷ καλῶς ἄρξαντι Θεοδοσίῳ· ὑπερέβη τὴν ἐπιείκειάν τε καὶ χρηστότητα τοῦ Ἀφρικανοῦ Σκηπίωνος τοῦ τοῖς ἡμετέροις Ἰταλοῖς τὴν Ἀφρικὴν ὑποτάξαντος. πολλῶν γὰρ ἀνθρώπων καὶ κατὰ διαφόρους τρόπους τῷ τοιούτῳ βασιλεῖ προσκεκρουκότων, οἵ γε καὶ εἰκότως ὤφειλον τὸν τοῦ θανάτου κίνδυνον δειλιᾷν, ἐπείπερ ἐν ὅπλων δυνάμει ἐντὸς γένοιτο, οὐδενὶ κακόν τι ἐπαγαγὼν ἐλυμήνατο· πάντας δ’ εὐεργετεῖν βούλεται ἀγαθούς τε καὶ πονηροὺς, ζηλῶν ἐπὶ τούτῳ θεὸν τὸν ἀνατέλλειν ποιοῦντα ἐπὶ πονηροὺς καὶ ἀγαθούς. πῶς οὖν οὐκ ἂν ἀγαθὸν βουλοίμην τοῖς Χριστιανοῖς τούτοις; πῶς τὸ τῶν Ῥωμαίων γένος τὸ τὸν ἐσταυρωμένον Χριστὸν προσκυνοῦν, ᾧ γε καὶ ἡ παλαιὰ καὶ νέα διαθήκη καὶ ἀναγινώσκει καὶ ἔπεται, οὐκ ἂν θείην ἐν μέσῳ τῆς καρδίας μου; δι’ ὃν οὔθ’ αἵματι ἀνθρωπίνῳ λυθροῦται μάχαιρα, οὔτε μὴν κακὸν ἀντὶ κακοῦ, μᾶλλον δ’ ἀγαθὸν ἀντὶ πονηροῦ ἀποδίδοται. [20]

3 19

διὰ τοῦτο παρακαλῶ τὴν σὴν δουκικὴν ἐξουσίαν, ἵνα τὸν τοιοῦτον βασιλέα Ἰωάννην, τὸν χάριν θεοῦ μεθερμηνευόμενον, ἐν μεγάλοις φιλίας τάττῃς θεσμοῖς, καὶ μηδὲν κατ' αὐτοῦ καινότερον ἢ πράττειν ἢ ἀκούειν. οὗτος γὰρ ὁ Ἰωάννης χάρις λέγεται, καὶ εἰκότως, πᾶσι χαρίεις γε ὢν καὶ μετὰ τοῦ ἀποστόλου δυνάμενος λέγειν· „χάριτι θεοῦ εἰμι, ὅ εἰμι· καὶ ἡ χάρις τοῦ θεοῦ ἐν ἐμοὶ κενὴ οὐ γέγονεν, ἀλλὰ διὰ παντὸς ἐν ἐμοὶ μένει." ἐπεὶ γὰρ ἐκ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται καὶ ὁ καρπὸς ἐκ τοῦ δένδρου λαμβάνει τὸν ἔπαινον, πέποιθα ἐν τῇ τοῦ Χριστοῦ δυνάμει, ὡς ὁ προῤῥηθεὶς βασιλεὺς ἐκ τοῦ καρποῦ τῶν ἀγαθῶν ἔργων γνωσθήσεται. καὶ γὰρ παντὸς τοῦ αὐτῷ γε ἀναφέροντος μακροθύμως ἀκούει, ἐπιεικῶς ἀποκρίνεται, σοφῶς ἐξετάζει, κρίνει δικαίως. ταῦτά ἐστι τὰ τέσσαρα, ἅπερ οἱ βασιλεύοντες κατέχειν ὀφείλουσιν ἐπιμήκιστον· αὗταί εἰσιν αἱ ἀρεταὶ αἱ ζητούμεναι ἐν ταῖς τῶν σοφῶν πρυτανέων ἀρχαῖς· περὶ ὧν Πλάτων ὁ φιλόσοφος λέγει, εὐδαίμονα τὰ τῶν πραγμάτων δημόσια εἶναι, ὁπηνίκα οἱ τούτων διοικηταὶ σοφίᾳ κεκόσμηνται. ἧς δὴ σοφίας μέγα τὸ ἀξίωμα, ἣ δὴ καὶ τὸν Ἀθηναῖον Σωκράτην τῷ ἄκρῳ θεῷ ἴσον πεποίηκεν. ἐγὼ μὲν οὖν ἐλπίδας φέρω, ὡς ἡ βασιλεία τούτου ἔσται ὑπὲρ τῆς τῶν Χριστιανῶν εἰρήνης, καὶ τῶν Ἰσμαηλιτῶν ἀποσόβησις, ἔσται ὑπὲρ τῆς δικαιοσύνης τοῦ λαοῦ δι' ἔλεον τοῦ ὑπηκόου παντὸς, ὡς γέγραπται ἐν τῷ ἑκατοστῷ εἰκοστῷ κεφαλαίῳ τῶν παροιμιῶν· „ἔλεος καὶ ἀλήθεια τηροῦσι τὸν βασιλέα, καὶ στερεωθήσεται ἐν δικαιοσύνῃ ὁ θρόνος αὐτοῦ. [5]

3 20 " τοιαῦτα μὲν ἔγραψε καὶ πρὸς Ἰνιμπέρτον· ταῦτα δὲ ἡμῖν οὐκ ἀργῶς, οὐδὲ ἀκαίρως παρείληπται πρὸς τὴν ἱστορίαν, ἀλλ' ἵν' ἐπιδείξωμεν, ὡς διὰ τῶν εἰς βασιλέα τουτωνὶ ἐπαίνων μαρκέσης ἐκωλύθη μὴ Ῥωμαίοις στόλῳ μεγάλῳ ἐπιέναι. πρότερον γὰρ ἀκούοντες περὶ βασιλέως πολλὰ καὶ δεινὰ, πάπας τε ὁμοίως καὶ οἱ κατὰ τὴν Ἰταλίαν δυναστεύοντες ἐπέτρεπον τὴν ἔφοδον τῷ μαρκέσῃ. ἐπεὶ δὲ τὰ γράμματα ταῦτα ἦκε παρὰ ἀνδρὸς αὐτοῖς ἀξιόχρεω πρὸς πίστιν, οἵ τε ἄλλοι ἀπηγόρευον τὴν ἔφοδον, καὶ αὐτὸς μαρκέσης ἠμβλύνθη τὴν ὁρμὴν, οὐ τὴν ἀρετὴν μόνον βασιλέως αἰδεσθεὶς, ἀλλ' ἤδη καὶ τὸ μέγα τι κατορθοῦν ἀπαγορεύσας, βασιλέως ἤδη τὴν σύμπασαν Ῥωμαίων ἔχοντος ἡγεμονίαν, ὃν ἐν στρατηγίαις μέγαν παρὰ πάντων ἐπυνθάνετο. ἐκεῖνος μὲν οὖν ἐκ τούτων ἐκωλύθη, καὶ διέλυε τὴν στρατιάν. γ'. Βασιλεὺς δὲ, ἐπεὶ ὁ πατριάρχης Ἰωάννης ἐν βασιλείοις ἔτι ἦν σχολάζων οἴκοι, πρὸς αὐτὸν ἐλθὼν προσηγόρευέ τε προσηνῶς, ἔπειτα καὶ ἀνεμίμνησκεν ὧν μετὰ τὴν βασιλέως τελευτὴν πρὶν τὸν πόλεμον κινεῖσθαι διειλέχθη πρὸς αὐτὸν, ὡς μέλλουσί τινες κατ' αὐτοῦ διαβολὰς συῤῥάπτειν, καὶ ὡς ἐδεῖτο αὐτὸν ὑπὲρ τοῦ δικαίου καὶ τοῦ κοινῇ λυσιτελοῦντος πᾶσαν ἐπιδείκνυσθαι σπουδὴν καὶ μὴ ἐᾷν τοὺς συκοφάντας παραπείθειν βασιλίδα καὶ πόλεμον ἐμφύλιον κινεῖν, ἀλλ' ἀπελαύνειν ὥσπερ κῆρας καὶ κοινὴν τῆς Ῥωμαίων εὐτυχίας λύμην, καὶ ἐμέμφετο οὐ μόνον, ὅτι μηδὲν ἐνδείξαιτο φρόνημα πρὸς τὰς διαβολὰς αὐτῷ προσῆκον, ἀλλὰ καὶ συνέπραττε, τοῖς συκοφαντοῦσι, καὶ τῶν ἄλλων μᾶλλον τὸν πόλεμον αὐτὸς ἐκίνει, σαφέστατα εἰδὼς, ὡς καταψεύδεται καὶ συκοφαντεῖ· τὸ δὲ μέγιστον, ὅτι καὶ μετὰ τὴν τοσαύτην ἐπακολουθήσασαν ἐκ τοῦ πολέμου συμφορὰν καὶ τῶν μυρίων αἱμάτων τὰς ἐκχύσεις καὶ τοὺς ἀνδραποδισμοὺς καὶ τὰς δημεύσεις καὶ τὰ δεσμωτήρια καὶ τὴν κοινὴν πανωλεθρίαν οἶκτον οὐδένα τῶν ἀπολλυμένων ἐποιεῖτο, οὐδὲ ὑφῆκέ τι τῆς πρὸς αὐτὸν πικρίας ἄχρι τέλους, ἀλλὰ πολλὰ πολλάκις γράφοντος αὐτοῦ καὶ δεομένου παρὰ πάντα τὸν τοῦ πολέμου χρόνον περὶ εἰρήνης, οὐχ ὅτι γε οὐκ ἐπείθετο αὐτὸς ἢ τῶν λεγομένων ἤθελεν ἀκούειν, ἀλλὰ καὶ πάντα κάλων ἐκίνει καὶ τοὺς ἄλλους ἔπειθε μὴ κατατίθεσθαι τὸν πόλεμον. [20]

3 21 ἔπειτα ἔφασκεν, ὅτι, ταῦτα μὲν ὡς μὴ προσήκοντα τῷ χρόνῳ νῦν ἐῶμεν· οὐ γὰρ ὀνειδίζειν αὐτῷ τὴν ἀγνωμοσύνην προῃρημένος νῦν εἰπεῖν, ἀλλ' ἵν' εἰδεῖεν πάντες, ὡς καὶ πρὶν γενέσθαι, πάντων ἀκριβῶς κατεστοχάζετο τῶν ἐσομένων ἐκ τῆς τῶν πραγμάτων ἐμπειρίας.

3 22

νυνὶ δὲ εἰ μὲν μὴ πρὶν αὐτὸν εἴσω γενέσθαι Βυζαντίου, ὑπὸ τῶν ἀρχιερέων τοῦ θρόνου καθῃρεῖτο, περὶ τοιούτων μὲν οὐδεὶς ἂν ἠνώχλει μὴ μένειν ἐπὶ τοῦ προσχήματος. ἀλλὰ περὶ δογμάτων τῆς διαστροφῆς, ἃ παρὰ τῶν ἀρχιερέων ἐγκαλοῖτο, ἔκρινεν ἂν καὶ κατεψηφίζετο, εἰ ταῖς κατηγορίαις ἁλισκόμενος ἐφαίνετο. εἰ δ' αὖ ἀπέφευγε τὴν δίκην, οὐδὲν ἂν ἐκώλυε πάλιν ἐπὶ τῶν θρόνων εἶναι. ἐπεὶ δὲ οὕτω συνηνέχθη, αὐτὸν μὲν μὴ δύνασθαι, τῶν ἀρχιερέων καταψηφισαμένων, αὖθις ἀνάγειν πρὸς τὸν θρόνον, ἔφεσιν δὲ διδόναι πρὸς αὐτὸν, ὡς, εἰ βούλοιτο, ποιησόμενον ἀπολογίαν ἐπ' αὐτοῦ τῶν κατηγορουμένων. ὁ δὲ τὸ τοῦ βασιλέως προσηνὲς καὶ τὴν εὐμένειαν τὴν πρὸς αὐτὸν ὁρῶν, μικροῦ μὲν ἐδόκει ὀνειρώττειν διὰ τὴν παρ' ἐλπίδας τῶν πραγμάτων ἔκβασιν. καινόν τινα γὰρ ὑπενόει θανάτου τρόπον ὑποστήσεσθαι καὶ πᾶσαν ἐρεσχελίαν καὶ ὕβρεως ὑπερβολὴν ὑπομενεῖν, τὴν ἀτοπίαν ἐνθυμούμενος τῶν εἰργασμένων πρὸς αὐτὸν ὑπὸ τὸν πόλεμον. ἔπειτα δὲ ἤδη χρηστοτέρων τῶν ἐλπίδων ἐπιβὰς καὶ ἀναπνεύσας ἐκ τῶν κατεχόντων φόβων, βασιλέως μὲν τῆς ἡμερότητος καὶ τῆς ἀμνηστίας τῶν κακῶν ὑπερηύχετο πολλὰ καὶ μεγάλας ὡμολόγει χάριτας τῆς συμπαθείας καὶ τῆς συγγνώμης, ἧς παρέσχετο. ᾐτεῖτο δὲ χρόνον πρὸς διάσκεψιν, εἰ βούλοιτο ἀντικαθίστασθαι τοῖς ἀρχιερεῦσι πρὸς τῶν κατηγορουμένων τὴν ἀπολογίαν, καὶ παρέσχετο ὁ βασιλεύς. [20]

3 23 τρίτῃ δὲ ἡμέρᾳ μετ' ἐκείνην πάλιν πρὸς αὐτὸν ἐλθὼν, λόγοις τε ἀνεκτᾶτο πολὺ τὸ ἐπαγωγὸν καὶ χάριεν κεκτημένοις, καὶ περὶ τῆς δίκης ἐπανήρετο, εἰ βούλοιτο πρὸς τὴν ἐξέτασιν χωρεῖν. ὁ δὲ αὖθίς τε ὑπερηύχετο πολλὰ καὶ τὴν δίκην ἔφασκεν αὐτῷ κατὰ γνώμην εἶναι· ἀπολύσεσθαι γὰρ τὰ ἐγκλήματα πρὸς ἐκείνην καταστάς. αὐτίκα τε ὁ βασιλεὺς τοῖς ἀρχιερεῦσιν ἐδήλου τὴν ἀξίωσιν τοῦ πατριάρχου, ἐπεψηφίζετό τε, ὡς δικαία εἴη ἡ ἀξίωσις. ἐδόκει δὴ καὶ τοῖς ἀρχιερεῦσι μάλιστα ἡ δίκη φίλη· ἰσχυρίζοντο γὰρ οὐδὲ αὐτοῖς κατὰ γνώμην εἶναι ἐξάγεσθαι τοῦ θρόνου τὸν πατριάρχην, εἰ μὴ ἐλέγχοιτο δόγμασι προσέχων διαστρόφοις καὶ πολὺ τῶν ὀρθοδόξων παραλλάττουσι. καὶ συνετίθεντο ἡμέραν, ἐν ᾗ πάντας ἐν βασιλείοις ἔδει γενομένους, τῶν δογμάτων τὴν ἐξέτασιν ποιεῖσθαι. ἐπεὶ δὲ ἡ προθεσμία ἥκει, παρῆσαν μὲν οἱ ἀρχιερεῖς καὶ τῶν μοναχῶν ὅσοι μάλιστα ἐν λόγῳ ἦσαν, καὶ τῶν συγκλητικῶν οἱ μάλιστα ἐπιφανεῖς. ἐκαλεῖτο δὲ ἐπὶ τὴν δίκην καὶ ὁ πατριάρχης· ὁ δὲ ἀνεβάλλετο μὴ ἥξειν φάσκων. δὶς δὲ καὶ τρὶς γενομένης τῆς μηνύσεως κατὰ τὸ ἔθος, ὁ μὲν ὁμοίως ἐν πάσαις ἀπείπατο τὴν δίκην, τοῖς δὲ ἀρχιερεῦσιν ἐδόκει τὴν ἐψηφισμένην καθαίρεσιν ἐπικυροῦν κατὰ τοὺς περὶ τούτων κειμένους τῶν πατέρων νόμους. βασιλεὺς δὲ οὐκ εἶα, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ παραγενόμενος, ἐπυνθάνετο πατριάρχου, εἰ μὴ βούλοιτο χωρεῖν πρὸς τὴν ἐξέτασιν τῶν κατηγορημένων. ἐπεὶ δὲ φανερῶς καὶ ἐπὶ τοῦ βασιλέως ἀπηγόρευε τὴν δίκην, τήν τε καθαίρεσιν ἐκείνου ἐγγράφως ἐποιοῦντο οἱ ἀρχιερεῖς πάντες ἐπιψηφισάμενοι ὁμοίως, καὶ τόμον περὶ τῶν δογμάτων ἐξετίθεντο, ἐν ᾧ πάντες συνωμολόγουν, ὡς Ἀκίνδυνος μὲν καὶ ἡ περὶ αὐτὸν φατρία, (οἷς καὶ ὁ χρηματίσας πατριάρχης Ἰωάννης ὡμοφρόνει, διὸ καὶ καθῃρέθη τοῦ θρόνου,) ἐκθέσμως καὶ κακῶς περὶ τὰ θεῖα δόγματα φρονοῦσι· Παλαμᾶς δὲ καὶ ὅσοι τῶν ὁμοίων ἔχονται, ἀκόλουθα τοῖς θεοσόφοις θεολόγοις καὶ λέγουσι καὶ φρονοῦσιν. [5]

3 24 οὕτω μὲν οὖν ὁ πατριάρχης Ἰωάννης ἐκβέβλητο τῶν θρόνων, καὶ πρὶν βασιλέα τὸν Καντακουζηνὸν ἥκειν εἰς Βυζάντιον. οὐ μὴν ἡσύχασε μετὰ τὴν ἐκβολὴν, ἀλλὰ τῶν τῆς ἐκκλησίας προσεταιρισάμενός τινας καὶ ἐκ τῶν ἀρχιερέων καὶ τῶν ἰδιωτῶν, αὖθις ἐθορύβει καὶ ἠδικῆσθαι διετείνετο περὶ τὴν δίκην καὶ τῶν καθελόντων ἀρχιερέων κατεβόα. ὅθεν πάντες προσελθόντες βασιλεῖ πλὴν οἳ ἐκείνῳ συνείποντο τριῶν, ἠξίουν Βυζαντίου ἐκβληθῆναι, ὡς οὕτω παυσομένης τῆς κατὰ τὴν ἐκκλησίαν στάσεως καὶ ταραχῆς. ἐδόκει δὴ κἀκείνῳ τὴν στάσιν τοῦτο λύσειν, καὶ ἐπέμπετο εἰς Διδυμότειχον. οὐ πολὺ δὲ ὕστερον τὴν τοσαύτην μεταβολὴν οὐκ ἐνεγκὼν, (ἐκ γὰρ ἄκρας εὐτυχίας εἰς τοὐναντίον ἅπαν ἡ μεταβολὴ ἐκείνῳ περιέστη,) πρῶτα μὲν ἐνόσησεν, ἔπειτα ἐξέστη καὶ τῶν φρενῶν, οὐ μὴν καθάπαξ, ἀλλ' ἐνιότε καὶ σωφρονῶν,

αὖθις τοῦ καθεστηκότος ἐξεφέρετο. ἃ δὴ πυθόμενος ὁ βασιλεὺς, αὖθις αὐτὸν ἐκέλευεν εἰς Βυζάντιον ἐπανάγειν, ὥστ' ἐπιμελείας τυχεῖν παρὰ τῶν ἰατρῶν. [20]

3 25 ἐπανελθὼν δὲ οὐκ ἀντέσχεν ἐπιπλεῖστον, ἀλλ' ὑπὸ τῆς νόσου καὶ τῆς λύπης κατεργασθεὶς, ἐτελεύτησε μετὰ μικρόν. ταῦτα μὲν οὖν ὕστερον. τότε δὲ εὐθὺς μετὰ τὴν καθαίρεσιν ἐκείνου λόγος ἦν πολὺς περὶ τοῦ προστησομένου τῆς ἐκκλησίας. οἱ μὲν οὖν ἄλλοι πάντες εὐθὺς οὐδένα ᾤοντο δικαιότερον εἶναι Παλαμᾶ ἀνάγεσθαι ἐπὶ τῶν θρόνων, οὐ διὰ τὴν ἀρετὴν μόνον καὶ τὴν κατὰ τὸν βίον φιλοσοφίαν καὶ τὴν περὶ τὰ θεῖα δόγματα ἀκρίβειαν καὶ ἐμπειρίαν, ἀλλ' ὅτι καὶ φανερῶς εὐθὺς ἐξαρχῆς πρὸς τοὺς πεπολεμηκότας ἀντέστη βασιλεῖ, φάσκων ἀδίκως καὶ τῶν κοινῶν ἐπὶ φθορᾷ καὶ λύμῃ τὸν πόλεμον κεκινηκέναι, δι' ἃ καὶ δεσμωτήριον οἰκεῖν κατεκρίθη ἄχρι τέλους ἀπαρχῆς. τοῖς ἀρχιερεῦσι δὲ καὶ τοῖς ἄλλοις λογάσι τῶν μοναχῶν πολλὴ ἦν ἡ ἀμφισβήτησις περὶ τοῦ πράγματος. πολλοὶ γὰρ καὶ τῶν λογιωτέρων καὶ μάλιστα ἀξίων λόγου, κατὰ τὸν τοῦ πολέμου χρόνον ὑπὲρ βασιλέως, οἱ μὲν ἐν ταῖς οἰκίαις καθειρχθέντες, ἕτεροι δὲ ἐν δεσμωτηρίοις, καὶ ἄλλοι ἑτέροις τρόποις κακωθέντες, πάντες ἤλπιζον ἀμοιβὴν αὐτοῖς τῶν πόνων ἔσεσθαι τὸν θρόνον καὶ τῶν ἄλλων ἑαυτὸν ἕκαστος προὐτίθει. συνορῶν δὲ ὁ βασιλεὺς τὴν φιλονεικίαν καὶ στοχαζόμενος ἀναφυήσεσθαί τινα ἐν τῇ ἐκκλησίᾳ στάσιν ἐκ τῆς οὐ καλῆς ταύτης ἔριδος, ἐσκέψατο μηδὲν ποιεῖν παρ' ἑαυτοῦ, ἀλλὰ τοῖς ἀρχιερεῦσι τὴν αἵρεσιν τοῦ προστησομένου ἐπιτρέπειν. [20]

3 26 συμφωνήσαντες δὲ οἱ πλείους εἵλοντο Ἰσίδωρον, ἄνδρα ἀγαθὸν τοὺς τρόπους καὶ ἐπιεικῆ καὶ πρὸς ἁγιωσύνην μάλιστα ἔχοντα εὐφυῶς καὶ περὶ λόγους καὶ ἀκρίβειαν δογμάτων κάλλιστα ἐξησκημένον. καὶ ὁ βασιλεὺς αὐτίκα ἐπεψήφιζε τὴν ἐκλογήν· μετ' οὐ πολὺ δὲ καὶ ἐχειροτονεῖτο. οἱ μὲν οὖν ἄλλοι πάντες τὸ ὑπ' ἐκείνῳ ἔστεργον τετάχθαι· ὅσοι δὲ αὐτοῖς προεμνηστεύοντο τὸν θρόνον, ἐδυσχέραινον περιορώμενοι, καὶ τέλος εἰς τοσοῦτον ἐξήχθησαν ὑπὸ φιλαρχίας ἀτοπίας, ὥστε οὐκ ἔχοντες, ᾗ χρὴ ἀμύνεσθαι βασιλέα καὶ τοὺς περιιδόντας ἐπισκόπους, τῇ τῶν τὰ Ἀκινδύνου φρονούντων μερίδι ἐπέδωκαν ἑαυτοὺς καὶ ῥῆγμα μέγα κατεσκεύασαν τῇ ἐκκλησίᾳ, σφᾶς αὐτούς τε καὶ πλῆθος ἄλλο ἀποῤῥήξαντες, οἱ μικρῷ πρόσθεν Ἰωάννην τῶν αὐτῶν τούτων ἕνεκα τῶν θρόνων ἐκβαλόντες καὶ ἐν τοῖς μάλιστα δοκοῦντες εἶναι προστάται τῶν δογμάτων, μεταβαλόντες ἐξαίφνης διὰ τὸ ἠμελῆσθαι, καὶ ὧν κατηγόρουν γενόμενοι ἐκδικηταί. τὰ μὲν οὖν τοιαῦτα τῷ ἐξαρχῆς πολεμίῳ κοινῷ τοῦ τῶν ἀνθρώπων γένους ἄν τις προσλογίζοιτο δικαίως. ἔδει γὰρ ἐκείνους συνετούς τε ὄντας καὶ πολλοῦ ἀξίους λόγου, εἰ μή τι ἄλλο, ἀλλ' ἐκεῖνο πάντως ἐννοεῖν, ὡς, πολλῶν ὄντων τῶν δοκούντων ἀξιόχρεων πρὸς προστασίαν, ἕνα προβεβλῆσθαι ἦν ἀνάγκη, τοὺς λοιποὺς δὲ ἄγεσθαι. νυνὶ δ' ἐπιτρέψαντες ἑαυτοὺς καθάπαξ ἀκρισίᾳ δόξης κενῆς ἐπιθυμίᾳ, ἀδοξίᾳ τε μεγίστῃ καὶ ναυαγίῳ περὶ τὴν πίστιν σφᾶς τε αὐτοὺς καὶ ἄλλους οὐκ ὀλίγους περιέβαλον. [20]

3 27 ταῦτα μὲν οὖν ὕστερον εἰρήσεται ὀλίγῳ βέλτιον, καθὼς ἐν τοῖς πράγμασι συνέβη. τότε δὲ ὁ βασιλεὺς τὴν διάστασιν ἰδὼν τῶν διατεμόντων ἑαυτοὺς τοῦ λοιποῦ σώματος τῆς ἐκκλησίας, ἤχθετο μὲν οὐκ ἀνεκτῶς καὶ ἐλυπεῖτο, οὐ μόνον τῆς διαφορᾶς ἕνεκα, ἣν διεφέροντο πρὸς τοὺς λοιποὺς περὶ τῶν ὀρθῶν τῆς πίστεως δογμάτων, ἀλλ' ὅτι καὶ τῶν φίλων ἦσαν καὶ τῶν ὑπὲρ αὐτοῦ πολλὰ ἀνασχομένων δυσχερῆ κατὰ τὸν τοῦ πολέμου χρόνον, οὓς ᾤετο εἶναι δεῖν πολλαῖς ἀμείβεσθαι εὐεργεσίαις καὶ εὖ ποιεῖν τὰ δυνατά, εἰ καὶ τῆς πρώτης ἀπετύγχανον ἀξίας. οἱ δὲ καθάπαξ ἀπαχθέντες τῇ μνησικακίᾳ, ὅτι μὴ τῶν πατριαρχικῶν ἠξίωντο θρόνων, οὐδὲν ᾤοντο ἕτερον ἔσεσθαι ἀντίῤῥοπον πρὸς τοὺς πόνους καὶ τὴν ὑπὲρ βασιλέως σπουδὴν, ἀλλὰ καθάπαξ ἑαυτοὺς βασιλέως καὶ τῆς ἀληθείας ἀποστήσαντες, ἐκεῖνόν τε ἔλεγον κακῶς καὶ τὴν ἀλήθειαν διέφθειρον, τῷ ψεύδει συνηγοροῦντες καὶ τοῖς Βαρλαὰμ καὶ Ἀκινδύνου διαστρόφοις δόγμασιν ἑπόμενοι κατ' ἴχνος. Ἰσίδωρος δὲ ὁ πατριάρχης ὀλίγῳ μετὰ τὴν χειροτονίαν ὕστερον καὶ τοὺς ἄλλους τῶν ἀρχιερέων ἔχων, ὅσοι παρῆσαν, ἡνίκα κατὰ τὰς ἀρχὰς τοῦ πολέμου

μάλιστα Ἰωάννης ὁ πατριάρχης κατὰ βασιλέως τοῦ Καντακουζηνοῦ ἐξεφώνει τὸν ἀφορισμὸν παρὰ πάντα τοῦ δικαίου λόγον καὶ προσήκοντα, τοὺς αὐτοὺς δὴ καὶ οὗτος ἔχων, ἐπὶ τοῦ ἄμβωνος λεγομένου ἀναβὰς, ἵνα μᾶλλον διὰ πάντων διικνοῖτο ἡ φωνὴ, τὸν ἀφορισμὸν διέλυε πάντων ἀκουόντων, καίτοι καὶ Ἰωάννης αὐτὸς εὐθὺς μετὰ τὸ βασιλέα Βυζαντίου κεκρατηκέναι, ἐπεὶ πρὸς ἐκεῖνον παρεγένετο, ἔλυε καὶ αὐτὸς πολλῶν ἀκουόντων τὸν ἀφορισμόν· ἀλλ᾽ ὅμως ἐδόκει καὶ αὖθις Ἰσιδώρῳ τὰ ἴσα πλείονος ἕνεκα ἀσφαλείας πράττειν. [20]

3 28 δ′. Ὀρχάνης δὲ ὁ βασιλέως γαμβρὸς, ἐπεὶ ἐπύθετο βασιλέα κεκρατηκότα Βυζαντίου καὶ πᾶσαν ἤδη τὴν Ῥωμαίων ἡγεμονίαν ἔχοντα βεβαίως, πανοικησίᾳ ἦλθε πρὸς τοῦ Βυζαντίου τὴν περαίαν, ὃ Σκουτάριον ἐγχωρίως ὀνομάζεται, συνησθησόμενος ἐπὶ τῇ νίκῃ. καὶ ὁ βασιλεὺς αὐτίκα τριήρεσιν ἐπεραιοῦτο πρὸς αὐτόν· καὶ ἐφ᾽ ἡμέραις οὐκ ὀλίγαις συνήδοντο ἀλλήλοις, θήραις σχολάζοντες καὶ πότοις καὶ φιλοτησίαις. συνήσθιον δὲ βασιλεὺς μὲν καὶ Ὀρχάνης ὁ γαμβρὸς ἐπὶ τραπέζης τῆς αὐτῆς, οἱ υἱοὶ δὲ τέτταρες ὄντες, ἐξ ἑτέρων γυναικῶν αὐτῷ γεγενημένοι, ἐφ᾽ ἑτέρας οὐ μακρὰν τῆς βασιλέως· τῶν ἐπιφανῶν δὲ Περσῶν οἱ ἄλλοι καὶ Ῥωμαίων ἐπὶ ταπήτων ἦσαν ἀνακεκλιμένοι πρὸς τὸ ἐσθίειν, ὅσον ὁρᾶσθαι ὑπὸ βασιλέως. ἐπεὶ δὲ ἐφ᾽ ἱκανὸν συνήσθησαν ἀλλήλοις, Ὀρχάνης μὲν ἔμεινεν ἐπὶ τοῦ στρατοπέδου, βασιλεὺς δὲ μετὰ τῆς θυγατρὸς Θεοδώρας τῆς Ὀρχάνη γυναικὸς, ἑπομένων καὶ τῶν Ὀρχάνη παίδων καὶ τῶν ἄλλων τῶν ἐκ τῆς οἰκίας, εἰς Βυζάντιον ἀνέστρεφεν. ἡ συγγενομένη βασιλίδι τῇ μητρὶ καὶ ταῖς ἀδελφαῖς ἐπὶ τρισὶν ἡμέραις, ἔπειτα ἀνέστρεφεν εἰς τὴν Βιθυνίαν μετὰ τῶν υἱῶν Ὀρχάνη καὶ τῶν ἄλλων τῶν ἑφεπομένων, εὐεργετηθέντων φιλοτίμως παρὰ βασιλέως τοῦ πατρός. τρίτῃ δὲ ἐπὶ δέκα Μαΐου ἱσταμένου ἦρος τοῦ αὐτοῦ ἐν τῷ τῆς θεομήτορος τεμένει τῶν Βλαχερνῶν βασιλεὺς ὁ Καντακουζηνὸς ὑπὸ Ἰσιδώρου τοῦ πατριάρχου ἐστέφθη αὖθις, Ἄννης τε τῆς βασιλίδος παρούσης καὶ βασιλέως Ἰωάννου τοῦ γαμβροῦ· καὶ πάντα ἐτελεῖτο τὰ νενομισμένα ἐν τῇ ἑορτῇ, οὐδενὸς παραλειφθέντος· ἔπειτα καὶ αὐτὸς Εἰρήνην ἔστεφε τὴν βασιλίδα κατὰ τὸ ἔθος. [5]

3 29 καὶ εἰς τὰ βασίλεια ἐπανελθόντες πότους καὶ φιλοτησίας καὶ τὰ ἄλλα πάντα ἐξεπλήρουν, ὅσα φαιδρύνειν οἶδε τὴν ἑορτήν. καίτοιγε αὐτὸς ἐν Ἀδριανουπόλει ὑπὸ Λαζάρου τοῦ τῶν Ἱεροσολύμων πατριάρχου πρότερον ἐστέφθη καὶ ἀπέχρησεν ἂν ἡ τοῦ ἁγίου μύρου χρίσις ἐκείνη παρ᾽ εὖ φρονοῦσιν· ἵνα δὲ μηδεμία εἴη πρόφασις τοῖς ὑβρισταῖς, ὡς ἄρα μὴ ἐν Βυζαντίῳ κατὰ τὸ ἀρχαῖον τῶν βασιλέων ἔθος ἔστεπτο, καὶ τὸ δεύτερον αὖθις ἐτελεῖτο. ὀγδόῃ δὲ ἡμέρᾳ ἀπ᾽ ἐκείνης κατὰ τὴν Κωνσταντίνου καὶ Ἑλένης μνήμην τῶν μεγάλων βασιλέων καὶ οἱ τοῦ νέου βασιλέως ἐτελοῦντο γάμοι ἐν τῷ αὐτῷ τεμένει τῆς θεομήτορος τῶν Βλαχερνῶν. ὁ γὰρ τῆς τοῦ θεοῦ Σοφίας, κάλλει τε καὶ μεγέθει τοὺς ἁπανταχοῦ νικῶν καὶ ὥσπερ τι κοινὸν ἄγαλμα τῆς Ῥωμαίων ἡγεμονίας ὢν καὶ δεῖγμα τῆς μεγαλουργίας καὶ τῆς περὶ τὰ καλὰ φιλοτιμίας, ἔτει ἑνὶ πρότερον ἢ Καντακουζηνὸν τὸν βασιλέα τὸ Βυζάντιον ἑλεῖν, σεισμῶν ἐξαισίων γενομένων, κατηνέχθη, οὐ καθάπαξ, ἀλλ᾽ ἥ τε πρὸς τῷ βήματι μεγάλη στοὰ καὶ τῆς ὀροφῆς οὐκ ὀλίγον, ὑπὲρ δύο μοίρας ἀπολειφθείσης. [20]

3 30 διὸ καὶ αἱ τῶν βασιλέων τελεταὶ ἐν Βλαχέρναις ἐτελοῦντο, ἐκεῖσε πρότερον εἰωθός. τὴν μὲν οὖν μεγάλην στοὰν μετὰ τοῦ βήματος ἡ βασιλὶς ἀνήγειρεν αὖθις Ἄννα, Φακεωλάτον ἐπιστήσασα τῷ ἔργῳ· τὸ ἐπέκεινα δὲ μετὰ τῆς ὀροφῆς βασιλεὺς ὕστερον ἀνέστησεν ὁ Καντακουζηνὸς καὶ τῆς ἄλλης ἐπεμελήθη τοῦ τεμένους εὐκοσμίας, ὅση τε ἐν μαρμάροις καὶ λεπτῆς ψηφίδος διαθέσει. εἴ τι δὲ ἐνέδει πρὸς τελείωσιν, Παλαιολόγος ὕστερον ἐπέθηκεν ὁ νέος βασιλεὺς μόνος ἤδη τῆς Ῥωμαίων ἡγεμονίας ἔχων τὴν ἀρχήν. διηκόνει δὲ ἑκατέροις τοῖς βασιλεῦσι πρὸς τὴν καλὴν φιλοτιμίαν ταύτην Ἀστρᾶς ὁ μέγας στρατοπεδάρχης, τά τε ἄλλα λόγου ἄξιος πολλοῦ καὶ περὶ οἰκοδομίας ἔχων εὐφυῶς, καὶ ἐκ τῶν ὑπηκόων βασιλεῖ Λατίνων

τις Ἰωάννης Περάλτα προσαγορευόμενος. ταῦτα μὲν οὖν ὕστερον. τότε δὲ ἐπεὶ τὸ μέγα τῆς οἰκουμένης θαῦμα ὁ περιβόητος οὐτοσὶ ναὸς πτῶμα δακρύων φιλοκάλοις ἄξιον ἦν ψυχαῖς, ἐν τῷ τῶν Βλαχερνῶν τῆς θεομήτορος ναῷ ὑπὸ Ἰσιδώρου πατριάρχου Ἑλένῃ τῇ βασιλέως θυγατρὶ ὁ βασιλεὺς Ἰωάννης συνεζεύγνυτο. ἔστεφε δὲ κατὰ τὸ ἔθος τὴν γυναῖκα καὶ αὐτὸς, πρότερον ἐστεμμένος ὑπὸ πατριάρχου ὢν τοῦ Ἰωάννου. καὶ εὐωχίαι ἦσαν καὶ κρότοι, καὶ δημόσιοι ἤγοντο ἑορταὶ, ᾗ προσῆκε τοῖς βασιλέων γάμοις. ἐπεὶ δὲ τὰ οἴκοι καλῶς διῴκητο τῷ βασιλεῖ, ἐτρέπετο ἐπὶ τοὺς ἔξω πολεμίους. καὶ πρεσβείαν πρὸς Κράλην πέμψας, πολλὰς μὲν ὡμολόγει χάριτας αὐτῷ τῆς εἰς αὐτὸν φιλοτιμίας καὶ σπουδῆς, ἣν πρὸς παρόντα ἐνεδείξατο, καθ' ὃν ὑπὸ τῶν ὁμοφύλων ἐπολεμεῖτο χρόνον, καὶ δικαίως εἶναι ἀμείβεσθαι τοῖς ἴσοις καιροῦ καλοῦντος, μὴ παραλυομένων μέντοι τῶν ὅρκων καὶ τῶν σπονδῶν τῶν πρὸς ἀλλήλους. [25]

3 31 εἰ γὰρ ἐκεῖνα παραβαίνοιντο ὑφ' ὁτουοῦν, οὐ δίκαιον εἶναι ἀμυνόμενον τὸν ἕτερον αἰτίας ἀξιοῦν· κωλύει γὰρ οὐδεὶς ἀμύνεσθαι νόμος τὸν πάσχοντα κακῶς. ἠξίου τε αὐτῷ ἀποδοθῆναι τὰς πόλεις, ἃς μετὰ τὸ πρὸς αὐτὸν τὰς σπονδὰς καὶ τοὺς ὅρκους θέσθαι τῆς Ῥωμαίων παρείλετο ἀρχῆς· οὕτω γὰρ ἐγγεγραμμένον τοῖς ὅρκοις εἶναι. μὴ μόνον γὰρ Φεράς τε καὶ τὰς ἄλλας τῆς Μακεδονίας πόλεις καὶ τὰ φρούρια πλὴν Θεσσαλονίκης εἶλεν, ἀλλὰ καὶ Βερῤῥοιωτῶν τοὺς δυνατωτάτους χρήμασι καὶ μεγάλαις ἐπαγγελίαις διαφθείρας, τὸν βασιλέως ἔπεισεν υἱὸν ἐξελάσαι τὸν Μανουὴλ, κἀκείνῳ τὴν πόλιν παραδοῦναι· ἃ οὐκ ἐπ' ὀλίγον ἠνία βασιλέα. ὁ μὲν οὖν υἱὸς ἐν Θετταλίᾳ διέτριβε παρὰ τὸν θεῖον Ἄγγελον τὸν Ἰωάννην. Κράλης δὲ ἐπεὶ ἐδέξατο τὴν πρεσβείαν, δίκαιον μὲν ἀντιτιθέναι τοῖς λόγοις ἠδύνατο οὐδὲν, ἀλλὰ συνωμολόγει τοὺς ὅρκους οὕτω γεγενῆσθαι, ἀποδιδόναι δὲ τὰς πόλεις οὐκ ἠβούλετο, ἀλλὰ πρὸς σκήψεις ἐχώρει καὶ προφάσεις ἐχούσας ὑγιὲς οὐδέν. βασιλεὺς δὲ καὶ αὖθις δευτέραν ἐποιήσατο πρεσβείαν καὶ πάλιν ἠξίου τῶν πόλεων αὐτῷ παραχωρεῖν κατὰ τοὺς ὅρκους. εἰ δὲ μὴ βούλοιτο, ἠπείλει πολεμήσειν· ἠξίου τε μὴ αὐτῷ προσλογίζεσθαι τοὺς ἐσομένους φόνους καὶ τοὺς ἀνδραποδισμούς. [20]

3 32 τῆς γὰρ Ῥωμαϊκῆς δυνάμεως διεφθαρμένης ὑπὸ τοῦ συγγενικοῦ πολέμου, ἀναγκαίως χρήσεσθαι βαρβάροις κατὰ συμμαχίαν. ἃ ἐκέλευε σκεψάμενον τὰ δέοντα ποιεῖν. ὡς δὲ καὶ μετ' ἐκείνην τὴν πρεσβείαν οὐδὲν ὁ Κράλης ἐποίει τῶν δεόντων, ἀλλὰ καὶ τὰς ὑπολοίπους ἐπολιόρκει πόλεις, πέμψας πρὸς Ὀρχάνην τὸν γαμβρὸν ὁ βασιλεὺς, μετεκαλεῖτο στρατιάν. καὶ παρῆσαν ὑπὲρ μυρίους τῶν βαρβάρων, ὧν Σουλιμὰν μετὰ τῶν ἀδελφῶν, οἱ τοῦ Ὀρχάνη παῖδες, ἐστρατήγουν. πέμπει δὴ μετὰ τούτων καὶ Ματθαῖον τὸν υἱὸν ὁ βασιλεὺς τῆς Ῥωμαίων στρατιᾶς ἡγούμενον, καὶ ἐκέλευε τοὺς ὅρους τῆς Ῥωμαίων ἡγεμονίας διελθόντας ἀβλαβῶς, οὕτω πορθεῖν τοὺς Τριβαλούς. οἱ βάρβαροι δὲ ὡς μόνον ἐπέβησαν Μυγδονίας, τὸ περὶ Χριστούπολιν τείχισμα διαβάντες, πυθόμενοι, ὡς ὑπὸ Κράλην αἱ πόλεις ἐκεῖναι ἄγοιντο, εὐθὺς ἐτράποντο ἐπὶ λεηλασίαν, ὀλίγα φροντίσαντες τῶν στρατηγῶν, καὶ τὰς κώμας πάσας ἐξεπόρθησαν, καὶ τὰς πόλεις κατέδραμον τὰς κατὰ Μυγδονίαν, καὶ ἀπέκτεινάν τε πλείστους καὶ ἠνδραποδίσαντο οὐκ ὀλίγους· λείαν τε πλείστην δοριάλωτον ἐλάσαντες, ἀνέστρεφον καὶ ἐπεραιοῦντο κατὰ τὸν Ἑλλήσποντον εἰς τὴν οἰκείαν. βασιλεὺς δὲ πυθόμενος τὴν ἀταξίαν τῶν βαρβάρων, οὐ μετρίως ἠνιᾶτο, ὅτι ὑπὲρ ὧν ἐδόκει τὸν πόλεμον αἱρεῖσθαι, τούτους διέφθειρεν ἡ συμμαχεῖν δοκοῦσα στρατιά. ε′. [20]

3 33 Μετὰ τοῦτο δὲ εἰς Θετταλίαν τριήρη πέμψας, τὸν υἱὸν μετεπέμπετο Μανουήλ· ἐπεὶ δὲ ἦν ἐν Βυζαντίῳ, ἐκεῖνον μὲν καὶ τὸν γαμβρὸν δοῦκα τὸν Νικηφόρον δεσπότας ἀπεδείκνυ. Ματθαῖον δὲ τὸν πρεσβύτερον υἱὸν ἀξίας μὲν οὐδεμιᾶς ὀνομαστὶ ἠξίου, τιμὴν δὲ παρεῖχε τὴν ὑπὲρ δεσπότας, ὡς εὐθὺς εἶναι μετὰ βασιλέα, ἣν ὁ πρῶτος τῶν Παλαιολόγων βασιλέων Μιχαὴλ ἐκαινοτόμησεν ἐπὶ υἱῷ Κωνσταντίνῳ τῷ Πορφυρογεννήτῳ, ἣ ἐδόκει πλέον τι τῆς τῶν δεσποτῶν ἀξίας ἔχειν. τοὺς γυναικὸς δὲ τῆς βασιλίδος ἀδελφοὺς Ἰωάννην καὶ Μανουὴλ

σεβαστοκράτορας ἀπέδειξεν. ὁρῶν δὲ τὴν Ῥωμαίων ἡγεμονίαν δεινῶς ὑπὸ τοῦ ἐμφυλίου πολέμου διεφθαρμένην καὶ καταφρονουμένην ὑπὸ τῶν περιοίκων, ἀμύνεσθαι δὲ ἀδυνάτως ἔχων διὰ σπάνην τῶν χρημάτων, (νεῦρα γάρ τις καιρίως εἶπε τὰ χρήματα τοῦ πολέμου,) καὶ μήτε οἴκοθεν ἔχων χορηγεῖν, μήτε ἐκ τῶν δημοσίων· (τά τε γὰρ κειμήλια ἀνάλωται πάντα τὰ βασιλικὰ, καὶ αἱ πρόσοδοι αἱ κοιναὶ ἐξέλιπον, τῆς χώρας καθάπαξ ὑπὸ τοῦ πολέμου διεφθαρμένης, καὶ νήσων καὶ ἠπειρωτίδων πόλεων τῶν μὲν ὑπὸ τῶν πολεμίων κατεχομένων, τῶν ἐπιλοίπων δὲ εἰς ἐσχάτην ἀπορίαν ἔκ τε τῶν ἔξωθεν ἐφόδων καὶ τῶν ἔνδον στάσεων ἡκόντων· τρέφεσθαι δὲ ἐνῆν τοὺς στρατιώτας οὐδαμόθεν· πάντες δὲ ἦσαν ἄχρηστοι καὶ ἄοπλοι ὑπὸ πενίας, καὶ οὐδεμία ὄνησις ἐκείνων ἦν, καὶ ταῦτα πολλῶν ὄντων καὶ ἀγαθῶν·) ἀπορίᾳ πανταχόθεν συνεχόμενος, ἐσκέψατο εἰσφορὰν ποιήσασθαι ἐκ τῶν ἰδίων πάντας, ἵν' αὐτοί τε σώζοιντο οἱ ἔχοντες, καὶ τοὺς ἀπόρους συνδιασώζοιεν. [20]

3 34 οὕτω δὲ σκεπτομένῳ οὐ βίαν εἰσφέρειν ἐδόκει δεῖν μέλλοντι ὑπὲρ αὐτῶν τῶν εἰσφερόντων τὰ χρήματα ἀναλίσκειν, ἀλλὰ πείθειν παραινέσαντα μᾶλλον πρὸς τὴν πρᾶξιν ἑκοντὶ χωρεῖν, καὶ κοινὴν ἐκκλησίαν ἐκ πάσης ἰδέας βίου συναθροίσας ἐκ τῶν Βυζαντίου πολιτῶν· οὔτε γὰρ ἔμπορος ὑπελείπετο, οὔτε στρατιώτης, ἀλλὰ καὶ χειροτέχναι παρῆσαν, καὶ τοῦ δήμου οὐκ ὀλίγοι καὶ τῶν ἱερῶν φροντιστηρίων οἱ ἐξηγούμενοι καὶ τῶν ἐκκλησιῶν οἱ προστάται· καὶ καταστὰς εἰς μέσους ἔλεξε τοιάδε· „ἄνδρες Ῥωμαῖοι· τὴν μὲν ἀρχαίαν τῆς Ῥωμαίων ἡγεμονίας εὐδαιμονίαν ὡς θαυμαστή τις ἦν καὶ τῶν περὶ αὐτὴν οἰκούντων βαρβάρων τῶν μὲν ἐκράτει καὶ ὑποχειρίους εἶχεν, οἱ δὲ ὑπόφοροι διετέλουν, οἱ περιφανέστατοι δὲ καὶ δοκοῦντες μεγάλην δύναμιν περιβεβλῆσθαι, ἀγαπητὸν ἡγοῦντο, εἰ φίλους καὶ συμμάχους ἔχοιεν καὶ ἐξίσης φέροιντο αὐτοῖς μηδὲν πλεονεκτούμενοι, οὐδ' ὑμεῖς ἀγνοεῖτε, εἰ καὶ μὴ πάντες, ἀλλὰ ταῦτα δὴ τὰ σεμνὰ καὶ θαυμαστὰ καὶ μόνον ᾀδόμενα νυνὶ, ὥσπερ τινὰ τῶν ἔξω Θούλης εἰργασμένων, μέχρι τότε περιῆν, ἄχρι πᾶσιν ὁμοίως καὶ βασιλεῦσι καὶ ἰδιώταις τῆς κοινῆς ἔμελεν εὐδοξίας, καὶ τῶν ἰδίᾳ συμφερόντων τὰ κοινῇ προὐτίθεσαν. ἀφ' οὗ δὲ τοῖς τε βασιλεῦσιν ἔρις ἐνέπεσεν ἐσχάτη καὶ φιλονεικία περὶ τῆς ἀρχῆς, καὶ τοῦ μετὰ τῶν οἰκείων μάχεσθαι τοῖς πολεμίοις ἀποσχόμενοι, ἀλλήλοις συνερράγησαν, καὶ οἱ ἄλλοι τῆς κοινῆς ἀμελήσαντες σωτηρίας καὶ τοῦ πειθαρχεῖν τοῖς νόμοις καὶ τοῖς ἄρχουσιν, ᾗ προσῆκε, τῶν ἰδίᾳ τι διαφερόντων μάλιστα ἀντεποιήσαντο, πάντα ἄνω καὶ κάτω γέγονε καὶ τῆς τε εὐδοξίας ἀφῃρήμεθα τὸ πλεῖστον, καὶ εἰς τοσοῦτον ἥκομεν ἀδυναμίας, ὥστε μηκέθ' ἡμῖν ἐπὶ τῷ καταδουλοῦν ἑτέρους τὸν λόγον εἶναι, ἀλλ' ὅπως μὴ αὐτοὶ αἰσχρῶς καὶ ἀγεννῶς δουλεύσομεν. [5]

3 35 ὡς μὲν οὖν καὶ αὐτὸς οὐκ ἐπεβούλευσα βασιλέως τοῖς παισὶν, οὐδὲ βασιλείας ἐρῶν, ἢ τῆς πατρῴας ἡγεμονίας αὐτοὺς ἀποστερῶν, εἰς τοῦτο ἦλθον, πᾶσιν ἔξεστιν ἀπόδειξιν λαμβάνειν ἐναργῆ ἐκ τῶν πραγμάτων. εἰ γὰρ, ὥσπερ οἱ συκοφάνται κατηγόρουν, τοῦτο προὐθέμην ἐξαρχῆς, οὐκ ἂν μετὰ τὸν τοσοῦτον πόλεμον καὶ τὴν παντοίαν τῶν δεινῶν ἐπιφορὰν καὶ τῶν χρημάτων τὴν ἀποβολὴν καὶ τῶν οἰκείων καὶ τῶν φίλων τὴν τοσαύτην κακοπραγίαν, νῦν ἀπεσχόμην τῆς προθέσεως, πάντα ἔχων ἐν χεροῖν. δι' ἃ καὶ μάλιστα πολλαπλασίους χάριτας ὁμολογῶ τῷ κρείττονι, ὅτι, μὴ ἐκείνων τὴν εἰρήνην ἑλομένων, μηδὲ πρὸς συμβάσεις χωρησάντων, καίτοι γε πολλάκις ἐμοῦ πολλὰ περὶ εἰρήνης δεηθέντος, ἀλλὰ πεπολεμηκότων ἄχρι καὶ τοῦ δυνατοῦ καὶ οὐδενὸς ἠμεληκότων τῶν ἡκόντων εἰς αὐτοὺς, τῇ ἄνωθεν μόνῃ συμμαχούμενος ῥοπῇ, πάντων περιεγενόμην, ἵνα μὴ δοκῶ διὰ τοὺς ὅρκους καὶ τὰς συμβάσεις, ἀλλὰ διὰ τὴν ἀρχαίαν ἐπιείκειαν καὶ τὴν πρὸς βασιλέα τὸν θαυμαστὸν ἐκεῖνον καὶ φίλτατον ἐμοὶ φιλίαν τῶν παίδων τῶν ἐκείνου φείδεσθαι καὶ τὴν πατρῴαν ἀρχὴν συνδιασώζειν. [20]

3 36 εἰ μὲν οὖν, ὥσπερ ἐξαρχῆς αὐτὸς διενοούμην, πάντα πράττειν ὑπὲρ τῆς κοινῆς Ῥωμαίων ὠφελείας, καὶ χρήματα ἀναλίσκειν τοσαῦτα ὄντα, ὅσα ἴστε, καὶ πάντα πόνον καὶ κίνδυνον ὑφίστασθαι, καὶ οἱ ἄλλοι συνείποντο προθύμως ἢ τό γε μετριώτερον, μὴ ἐκώλυον αὐτοὶ, οὐκ

ἂν νῦν περὶ τοῦ ᾗ χρὴ σώζεσθαι, ἀλλ', εἰ μὴ ἐπίφθονον εἰπεῖν, περὶ τοῦ ὁποίους χρὴ καταδουλοῦν ἐβουλευόμεθα. ἐπεὶ δὲ οὕτω ταῦτα πονηροῦ τινος δαίμονος ἡμῖν βασκήναντος συνεσκευάσθη, καὶ πρὸς μὲν ἐμὲ τὸν ὑπὲρ τῆς κοινῆς σωτηρίας πολλὴν πρόνοιαν ποιούμενον πόλεμον ᾔραντο προθύμως, καὶ τοὺς ἄλλους ἅπαντας συνέπεισαν, καὶ τά τε ἡμέτερα ἅπαντα ἀναλώκασι καὶ τὰ κοινά, οὐδὲν ἧττον κατ' ἐμοῦ, ἢ καὶ καθ' ὑμῶν ἁπάντων, εἰ δεῖ τἀληθὲς εἰπεῖν, καὶ τὴν χώραν ἅπασαν διέφθειραν, ἀφ' ἧς αἱ συντάξεις συνελέγοντο, καὶ τοὺς μὲν πολεμίους φοβεροὺς ἐποίησαν ἡμῖν, πόλεις τὰς μὲν ἑκοντὶ προέμενοι ἐκείνοις, ἵν' ἔχωσι συμμάχους κατὰ Ῥωμαίων, τῶν δ' ἀμελήσαντες, ὥστ' ἐκείνους δύνασθαι καταδουλοῦν, ἡμᾶς δὲ ἀσθενεστάτους ὀλιγότητι τῆς στρατιᾶς καὶ χρημάτων ἀπορίᾳ, περιέστηκε δὲ νῦν ἡμῖν ἐν ἀπόρῳ πάντα, σκεπτέον ἕκαστον καὶ γνώμην τινὰ εἰσενεκτέον, δι' ἧς ἔσται τὰ πράγματα ἡμῖν βελτίω, καὶ τῆς τε παρούσης δυσπραγίας καὶ τῆς ἔτι ἀπαλλαξόμεθα προσδοκωμένης. Τριβαλοί τε γὰρ ὁμοίως καὶ Μυσοὶ καὶ Πέρσαι καὶ εἴ δή τινες ἄλλοι γειτονοῦσιν ἡμῖν δυναστείαν ἔχοντες, οὐ τοῖς ἡρπασμένοις κατὰ τὸν τοῦ πολέμου χρόνον ἀρκοῦνται, ἀλλ' ἐφάπαξ καταφρονήσαντες, οὐδαμῇ στῆσαι τὴν πλεονεξίαν βούλονται. [20]

3 37 ἐγὼ δὲ ἡδέως ἂν εἶδον ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ δίκας ἐκ τούτων πάντων ἂν ἐξῇ λαβεῖν τῶν εἰς ἡμᾶς ἠσελγημένων. οὐδὲ γὰρ οὐδὲ κατὰ τὸν τοῦ πολέμου χρόνον ἑκοντὶ τὴν τῶν βαρβάρων ᾑρούμην κατὰ τῶν Ῥωμαίων συμμαχίαν, ἀλλ' ὑπὸ τῶν πολεμούντων πρὸς ἀνάγκην ἐναγόμενος. ῥᾳδίως γὰρ ἐκεῖνοι πόλεις καὶ χώρας καταπροϊέμενοι, Μυσοὺς καὶ Τριβαλοὺς καὶ εἴ δή τινας ἄλλους ἔπειθον ἐμοὶ ἁπάσῃ δυνάμει πολεμεῖν. οὐ μὴν ἀλλὰ καὶ ἐκεῖνοι ᾔδεσαν αὐτοὶ ἐφ' ἑαυτῶν, ὡς, ἐμοῦ μὲν καταστάντος ἐπὶ τῆς ἀρχῆς, οὐ μόνον οὐδὲν προσκτήσονται τῶν ἡμετέρων, ἀλλὰ καὶ τὰ ἡρπασμένα ἀναγκασθήσονται ἀποδιδόναι, ἐκείνων δὲ ἀρχόντων, οἷα ἀνδραπόδοις χρήσονται· δι' ἃ προθύμως συνεμάχουν. ἄλλως τε οὐδὲ πρὸς Πέρσας ἔμειναν ἀνεπιχείρητοι, ἀλλ' αὐτοί τε πρῶτοι ἐπήγοντο συμμάχους κατ' ἐμοῦ, καὶ ὕστερον οὐχ ἅπαξ καὶ δὶς, ἀλλὰ καὶ πολλάκις ἐπεχείρησαν ἐμοὶ ἐκπολεμῶσαι, χρήματα πολλὰ τὰ μὲν διδόντες, τὰ δὲ ἐπαγγελλόμενοι. πρὸς οὖν τοσαύτην δύναμιν τῶν πανταχόθεν περιεστηκότων πολεμίων δυνάμεως οἰκείας ἀπορῶν, ἄλλως τε καὶ δεδοικὼς, μὴ παροφθέντας ἐκεῖνοι προσλάβωσι συμμάχους, ἀναγκαίως τὴν ἐκείνων περισπούδαστον ἐνόμιζον καὶ συμμαχίαν καὶ φιλίαν. [20]

3 38 νυνὶ δὲ τῶν πραγμάτων καλῶς ὑπὸ τοῦ κρείττονος κριθέντων, καὶ πάσης στάσεως καὶ διχονοίας ἀπεληλαμένης, προθύμως σὺν ὑμῖν τῶν τότε τετολμημένων δίκας ἀπαιτήσω. ὡς οὖν οὐδενὸς ἀφεξομένου τῶν ὅσα λυσιτελεῖν ἡμῖν δοκεῖ καὶ πρὸς εὐδοξίαν καὶ ἀνάκλησιν τῆς προτέρας εὐετηρίας, πάντα λέγετε προθύμως, ὅσα οἴεσθε λυσιτελεῖν, ὡς καὶ ἐμοῦ ἅ τε δοκῶ βελτίω συμβουλεύσοντος, καὶ τοῖς καλῶς εἰρησομένοις τῶν ἄλλων μᾶλλον εὐχερέστερον πεισθησομένου. εὖ γὰρ ἴστε σαφῶς, ὡς, ἢν μὲν νῦν ἡμεῖς τὰ δέοντα καὶ βουλευώμεθα καὶ πράττωμεν, καὶ δύναμιν ποριζώμεθά ποθεν, τοῖς τε οὖσι φίλοις ποθεινότεροι ἐσόμεθα καὶ τοῖς πολεμοῦσι φοβερώτεροι. ἂν δὲ πρὸς τὴν ἀδυναμίαν ἀπειπόντες, καθεζώμεθα πράττοντες μηδὲν, τὴν ἀπραγμοσύνην καὶ τὴν ἡσυχίαν ἀσπαζόμενοι, οὐδὲν ἕτερον ἡμῖν ἢ δουλεύειν ἑτέροις περιέσται ἐν βραχεῖ. ἢ γὰρ ἄρχειν δεῖ πάντα πραγματευομένους καὶ μηδὲν τῆς προτέρας δόξης καὶ τῆς εὐτολμίας ὑφιέντας, ἢ δουλεύειν ἀσφαλῶς τοῖς κρείττοσιν. ὡς οὖν οὐχ ὑπὲρ εὐδοξίας μόνον, ἀλλὰ καὶ τῆς εἰς τὸ μέλλον ἀσφαλείας καὶ ὑμῶν αὐτῶν ἐλευθερίας, καὶ βούλεσθε καὶ πράττετε, ἅττα ἂν ὑμῖν δοκῇ λυσιτελεῖν." ς'. Τοιαῦτα μὲν ὁ βασιλεὺς κοινῇ πρὸς ἅπαντας διειλέχθη, φανερῶς οὐδὲν εἰπὼν περὶ τοῦ δεῖν εἰσφέρειν χρήματα. ἐβούλετο γὰρ, ὥσπερ εἴρηται, μὴ δοκεῖν εἰσπράττειν βίᾳ, ἀλλ' αὐτοὺς πρὸς τὸ κοινῇ λυσιτελοῦν οἴκοθεν τὴν συντέλειαν ἐλέσθαι. [20]

3 39 τῶν πολιτῶν δὲ οἱ μάλιστα ἐν λόγῳ καὶ τῶν ἄλλων προὔχοντες τὴν μὲν κατὰ τὸν πόλεμον καὶ τῶν ἰδιωτικῶν καὶ τῶν κοινῶν φθορὰν γεγενημένην ἔφασαν οὐκ ἀγνοεῖν καὶ τὴν νῦν

κατέχουσαν ἐπίστασθαι τῶν χρημάτων ἀπορίαν. δεῖν δὲ οἴεσθαι καὶ αὐτοὶ ἐκεῖνα πράττειν, ὑφ' ὧν ἐξέσται πρὸς τὴν ἀρχαίαν πάλιν τοὺς Ῥωμαίους εὐδαιμονίαν ἐπανήκειν. τοῦτο δὲ ἑτέρως οὐδαμῶς ἐξέσται, ἢ ἕκαστον εἰς ἃ προσήκει χρήσιμον τῷ κοινῷ παρεσχημένον ἑαυτὸν, ὥστε βασιλέα μὲν ὀρθῶς βουλεύεσθαι καὶ τοῖς πολεμίοις τὴν δύναμιν ἀντεπεξάγειν καὶ πάντα τρόπον ἐκείνων κωλύειν τὴν αὔξην ἐπιχειρεῖν, ἢ καὶ καταστρέφειν, εἰ δύναιτο, ἐκείνους καὶ τὰς ἡρπασμένας πόλεις ἀνασώζειν· τοὺς στρατιώτας δὲ προθύμους ἑαυτοὺς παρέχεσθαι ἐν τῷ στρατεύεσθαι καὶ μηδὲν ὑφιέναι τῆς προτέρας δόξης καὶ τῆς εὐτολμίας, ἀλλ' ἀλλήλους αἰδεῖσθαι κατὰ τὰς μάχας καὶ ἄνδρας εἶναι ἀγαθοὺς, ὡς τῆς ἀνδραγαθίας αὐτούς τε πρώτους ἀπολαύσοντας καὶ τοῖς ἄλλοις μεταδώσοντας, ὧν προπολεμοῦσι· τοὺς ἐμπορευομένους δὲ καὶ τοὺς ἄλλην τέχνην μετιόντας τρέφειν τοὺς στρατιώτας, χρήματα εἰσφέροντας, ἐπεὶ μὴ ἔξεστιν ἀπὸ τῶν δημοσίων τρέφεσθαι ἀπολωλότων. γεωργός τε γὰρ ὁμοίως καὶ ὁ ἔμπορος καὶ ὁ χειροτέχνης, ἂν μὲν ἀδείας ἀπολαύῃ, ἑαυτῷ ὁμοίως χρήσιμος ἔσται καὶ τῷ προπολεμοῦντι στρατιώτῃ, ἂν δὲ μὴ βούλοιτο ἐκεῖνον τρέφειν, καὶ ἑαυτὸν τῷ στρατιώτῃ συνδιαφθερεῖ, ἐκεῖνον μὲν λιμῷ, ἑαυτὸν δὲ καὶ παῖδας λιμῷ τε ὁμοίως καὶ πολιορκίᾳ καὶ τοῖς πολεμίοις ξίφεσιν. [20]

3 40 ἢ εἰ μὴ τοῦτο, ἀλλ' ἀνάγκῃ καταδουλωθέντα, πλείους τοῖς δεδουλωμένοις καὶ βιαιοτέρους παρέχειν φόρους, ἢ ὅσα ἐξῆν εἰσφέροντα προθύμως τῶν ἄλλων ἀπολαύειν ἐλευθέρως. τοιαῦτα καὶ τῶν Βυζαντίων πολιτῶν εἰπόντων, ἐπῄνει τε ὁ βασιλεὺς καὶ συνηγόρει πρὸς τοὺς λόγους, ἀναγκαίως δεῖσθαι χρημάτων εἰπὼν πρὸς τὸ παρασκευάσασθαι κατὰ τῶν πολεμούντων. εἰ μὲν οὖν μὴ προανάλωτο αὐτῷ τὰ ὄντα ὑπὸ τῶν κακῶς ἐπὶ λύμῃ πεπολεμηκότων τῇ κοινῇ, οὐδὲν ἂν ἐδεήθη ἐρανίζειν παρ' αὐτῶν, ὥσπερ οὐδὲ πρότερόν ποτε μεγάλων πολέμων κεκινημένων, βασιλέως ἔτι περιόντος Ἀνδρονίκου, ἐφ' οὓς, εἰ μὴ τὰ δημόσια ἐξήρκει, καὶ ἀπὸ τῶν ἰδίων τὰ ἐνδέοντα ἐπεχορήγει αὐτὸς, ὢν ἁπάντων τῶν κοινῶν διοικητής. νυνὶ δὲ ἐκείνων τε εἰς οὐδὲν χρήσιμον ἀπολωλότων, καὶ τῶν δημοσίων ἐκλελοιπότων φόρων ὑπὸ τοῦ τὴν χώραν διεφθάρθαι, ἀναγκαίως ἀποβλέπειν εἰς τὴν συντέλειαν ταύτην τὴν κοινὴν, ὡς, εἰ χρημάτων καὶ μετρίων εὐπορήσοι, ῥᾳδίως αὖθις τὴν Ῥωμαίων καταπεσοῦσαν ἡγεμονίαν ἀνορθώσων. τοιαῦτα καὶ ἕτερά τινα παρόμοια προσεπειπὼν, διέλυε τὴν ἐκκλησίαν, οἰόμενος αὐτῷ τι τῷ κοινῷ λυσιτελὲς καὶ χρήσιμον ἠνύσθαι. τινὲς δὲ τῶν ἐξαρχῆς ἐκείνῳ ᾑρημένων πολεμεῖν, (ἦσαν δὲ οὐκ ὀλίγοι, καὶ ἐκ τῶν ἐν ἐργαστηρίοις ἐμπορευομένων ἀργυραμοιβῶν,) καὶ μετὰ τὴν δοκοῦσαν διάλυσιν ἔτι δυσμεναίνοντες καὶ μνησικακοῦντες καὶ πάντα τρόπον ἐπιχειροῦντες αὐτὸν κωλύειν καὶ μηδὲν ἐᾷν τῷ κοινῷ λυσιτελὲς ποιεῖν, ὡς ἂν μάλιστα ἐκείνων ἡ κακία συσκιάζοιτο, καὶ μὴ δοκοίη διὰ τὸν πρὸς βασιλέα πόλεμον ἡ Ῥωμαίων ἡγεμονία διεφθάρθαι, ὡς καὶ μετὰ τὴν εἰρήνην καὶ τὸ πάντας ὑπαγαγέσθαι βασιλέα ὠφελείας οὐδεμιᾶς, οὐδὲ ἀνακωχῆς τῶν κακῶν γεγενημένης, αὐτοί τε ἐθορύβουν, ὡς οὐ χρήματα παρέξοντες, καὶ τοὺς ἄλλους ἔπειθον ὁμοίως, δεινὰ πείσεσθαι φάσκοντες, εἰ ἃ μὴ πρότερον πολέμιος ὢν ὁ βασιλεὺς ἠδυνήθη κατεργάσασθαι, ταῦτα νῦν ἐν εὐνοίας καὶ κηδεμονίας προσχήματι ὑπομενοῦσι. [10]

3 41 πολεμῶν γὰρ τῶν μὲν ἔξω τειχῶν ἀπεστέρησεν ἁπάντων, τῶν ἔνδον δὲ καὶ ἐν χερσὶ χρημάτων ἠδυνήθη λαβεῖν οὐδέν. νυνὶ δὲ ἐκεῖνά τε ἀπόλωλε καὶ τῶν ἔνδον ὄντων βούλεται ἀποστερεῖν, πολέμους προφασιζόμενος καὶ παρασκευὰς καὶ ἄλλας ἐξαπάτας, ὧν οὐδὲν αὐτοὺς πείσει τῶν ὄντων αὐτῷ παραχωρεῖν, εἰ μὴ βούλοιτο βιάζεσθαι φανερῶς καὶ διαφθείρειν. τοιαῦτα μὲν καὶ πολλῷ δεινότερα τούτων πρὸς τοὺς ἄλλους διεδίδοτο, καὶ θόρυβος ἦν καὶ ἀταξία, καὶ πάντες ὁμοίως πρὸς τῶν χρημάτων ἀνένευον τὴν εἰσφοράν. βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο, συνεώρα μὲν ἤδη τῶν συνεσκευακότων τὴν κακίαν καὶ ὥρμητο κολάζειν τοὺς ἐπὶ τοιαῦτα ἐνάγοντας τὸν δῆμον, ἄτοπον ἡγούμενος καὶ παντελῶς ἔξω τοῦ καλοῦ καὶ τοῦ δικαίου πίπτον, διὰ τήν τινων ἀγνωμοσύνην τῆς τῶν ἄλλων ἁπάντων σωτηρίας καταμελεῖν. [20]

3 42 ἵνα δὲ μὴ δοκοίη μὴ τῆς κοινῆς ὠφελείας ἕνεκα, ἀλλὰ τοῦ προσκεῖσθαι Ἄννῃ τῇ βασιλίδι τοὺς ἄνδρας πρότερον ἀμυνόμενος κολάζειν εὐπροσώπου προφάσεως εὐπορήσας, αὐτούς τε ἠφίει ἀτιμωρήτους καὶ τῆς ἄλλης πράξεως ἁπάσης κατημέλει, πολλὰ ἀγανακτῶν καὶ ἀνιώμενος, ὅτι μὴ προπαρασκευάζοιτο πρὸς τοὺς ἐπιφυησομένους πολεμίους, ἀλλ' ἅμα ἀναγκασθήσεται τοῖς τε πολεμίοις ἀντιτάττεσθαι, καὶ χρήματα καὶ τὰ ἄλλα τὰ πρὸς τὸν πόλεμον ἀναγκαῖα ἐκπορίζειν. τότε μὲν οὖν διὰ ταῦτα τῶν καλῶς ἀπέσχετο βεβουλευμένων, ὅπερ ὕστερον οὐκ ὀλίγον ἔβλαψε τὰ πράγματα. εἰ γὰρ, ὥσπερ ὁ βασιλεὺς διενοεῖτο τότε, ναυτικὴν δύναμιν συνίστη καὶ τριήρεις ὥπλιζεν ἐπὶ τῆς θαλάττης τὴν ἀρχὴν, οὐκ ἂν τοσαῦτα ὑπὸ Λατίνων τῶν κατὰ τὸν Γαλατᾶν τὰ Ῥωμαίων ἐκακοῦτο πράγματα. μετὰ μικρὸν δὲ καὶ ἄλλη τις ἐπεφύετο ἐπιβουλή. τῶν γὰρ συγκλητικῶν τινες ἐκ τῶν πρότερον πολεμούντων βασιλεῖ, καὶ ἄλλους τῆς αὐτῆς κεραμείας προσεταιρισάμενοι, βασιλέα τὸν νέον Ἰωάννην ἐβούλοντο, οὐδὲν βασιλίδος συνειδυίας τῆς μητρὸς, ἐξαπατήσαντες, οἷα νέον καὶ οὔπω φρονήματος ἀνδρὶ προσήκοντος ἐπειλημμένον, σὺν αὐτῷ εἰς τὸ Γαλατᾶ φρούριον διαδιδράσκειν καὶ πόλεμον αἴρεσθαι πρὸς βασιλέα τὸν κηδεστὴν ἐπ' ἐλπίδι τοῦ πολλοὺς προσθήσεσθαι τῶν Βυζαντίων. μηνυθείσης δὲ τῆς ἐπιβουλῆς τῷ βασιλεῖ, δίκας ἔδοσαν τῆς κακουργίας οἱ συσκευασάμενοι, εἰς δεσμωτήρια ἐμβληθέντες· χρόνου δὲ ὀλίγου παρελθόντος, συγγνώμην τε αὖθις παρέσχετο ὁ βασιλεὺς τοῖς ἁμαρτήσασι, καὶ τῶν δεσμωτηρίων ἀπολύσας αὖθις ἐχρῆτο, ᾗ ἕκαστος ἐπιτηδείως εἶχε. [20]

3 43 ζ'. Τῶν Καντακουζηνῷ δὲ τῷ βασιλεῖ κατὰ τὸν πόλεμον συνόντων οἱ μάλιστα ἐπιφανέστεροι προσελθόντες, ἀδικεῖσθαι ἔφασαν καὶ βίαν ὑπομένειν παρ' αὐτοῦ ἀναγκάζοντος ὅρκους ἐπὶ δουλείᾳ παρέχεσθαι βασιλεῖ τῷ νέῳ καὶ βασιλίδι τῇ μητρὶ, οὐδέποτε δυνησομένοις καθαρῶς καὶ ἀδόλως καταλλάττεσθαι αὐτοῖς, ἀλλὰ καὶ καιρὸν ἐπιτηροῦσιν ἐπιτίθεσθαι καὶ διαφθείρειν. τοῦτο δὲ οὐδὲ μακρὰν ἀνοίας ἂν δόξειε παρ' εὖ φρονοῦσιν, εἰ αὐτοὶ μὲν πολλὰ κατὰ τὸν πόλεμον ὑπομεμενηκότες δυσχερῆ, καὶ νῦν μετὰ τὴν νίκην δουλεύσουσι τοῖς πολεμήσασιν, οὐδὲ ἀντιβλέπειν δυνάμενοι διὰ τοὺς ὅρκους, ἐκεῖνοι δὲ εὐορκοῦντές τε ἄρξουσιν αὐτῶν, καὶ ἐπιορκοῦντες, ὅτε βούλονται, ἀποκτενοῦσιν. ἰδοὺ γὰρ εἰ προὐχώρησεν αὐτοῖς ἡ νῦν ἐπιβουλὴ, οὐδὲν ἂν ἐκώλυεν ἢ ἀποθνήσκειν νικηθέντας, ἢ ἀντισχόντας πρὸς τὸν πόλεμον, αὖθις ἐν τοῖς προτέροις εἶναι κακοῖς στρατεύοντας κατὰ τῶν ὁμοφύλων καὶ καταστασιαζομένους, ὥσπερ καὶ πρότερον ὑπὸ τῶν δήμων, καὶ δημεύσεις ὑπομένοντας καὶ δεσμωτήρια καὶ ἄλλα ἄττα τοῖς προτέροις παραπλήσια. ἠξίουν τε καὶ αὐτοῖς τοὺς ὅρκους διαλελύσθαι καὶ πράττειν, ᾗ αὐτοῖς δοκεῖ συμφέρειν. καὶ πρότερόν τε γὰρ ἀναγκασθέντες ὑπ' ἐκείνου τοὺς ὅρκους ἀκουσίως παρασχέσθαι, καὶ νῦν, ἐπειδὴ πρῶτοι παραβεβήκασιν ἐκεῖνοι, οὐδεμίαν αὐτοῖς αἰτίαν εἶναι, εἰ πρόνοιάν τινα ποιοῖντο ἑαυτῶν. [25]

3 44 τοιαῦτα μὲν τῶν Καντακουζηνῷ τῷ βασιλεῖ προσκειμένων οἱ ἐν τέλει εἶπον. βασιλεὺς δὲ οὐκ ἔφασκεν ἐφ' οἷς ἕτεροι ἐξήμαρτον, ἑτέρους εὐθύνειν εἶναι δίκαιον. βασιλίς τε γὰρ οὐδὲν ᾔδει τῶν γεγενημένων, ἀλλὰ τὰ ὁμωμοσμένα πάντα μετὰ ἀκριβείας φαίνεται φυλάττουσα, καὶ βασιλεὺς ὁ υἱὸς οὐ δίκαιος εὐθύνεσθαι διὰ τὴν ἡλικίαν, εἰ καὶ τοῖς εἰς ἡμᾶς συνέπραττεν ἀγνωμονοῦσι. μάλιστα δὲ ἐκείνων τὴν ἀβελτηρίαν καὶ τὴν ἄνοιαν θαυμάζειν, εἰ μετὰ τοσαύτας ἀποδείξεις τῆς εἰς βασιλίδα εὐνοίας καὶ τοὺς παῖδας, ἔτι διπλᾶ περὶ αὐτοῦ λογίζονται καὶ ἀμφισβητοῦσιν, εἰ διὰ τέλους εὐμενὴς αὐτοῖς μενεῖ. τὸ μὲν γὰρ ἐν μεγάλοις αὐτὸν τὴν φιλοτιμίαν ἐπιδείκνυσθαι, καὶ οἷα οὔπω πρότερον τοῖς Ῥωμαίων βεβασιλευκόσιν οὐδέσιν ἐφιλοτιμήθη, καὶ διὰ τοῦτο καὶ τοὺς βασιλίδι προσκειμένους μὴ δύνασθαι πιστὰ ἡγεῖσθαι, οὐδὲν ἀπεικός. τίνι γὰρ τῶν προτέρων τοῦτο βασιλέων ἐτολμήθη, ὥστε μετὰ τὴν τῶν ἀντιπάλων ἧτταν καὶ τὸ πᾶσαν ὑφ' ἑαυτοὺς ποιήσασθαι τὴν ἡγεμονίαν, αὖθις συνάρχοντας αἱρεῖσθαι τοὺς προτέρους βασιλεύοντας· μᾶλλον δὲ, εἰ δεῖ τἀληθὲς εἰπεῖν, τὸ πλέον προσνέμειν τῆς ἀρχῆς ἐκείνοις, οἷα δὴ ἐκείνου μὲν ἐπὶ χρόνον τινὰ τοῖς πράγμασι χρησομένου, ἐκείνοις δὲ

καὶ πρὸς παίδων διαδοχὴν μενούσης τῆς ἀρχῆς; πάντως οὐδενί. τὸ δὲ αἴτιον, ὅτι ἐκείνοις μὲν οὐδὲν ἕτερον ἐσπουδάζετο, ἢ ἐξ ἑτέρων εἰς ἑαυτοὺς μετάγειν τὴν ἀρχὴν, ἑτέρου δὲ ἔμελεν οὐδενὸς, ἐκείνῳ δὲ οὐχ οὕτως, ἀλλὰ τὸ μὲν ἐξαρχῆς εἶναι σπουδαζόμενον, σωτῆρα καὶ κηδεμόνα φαίνεσθαι τῶν βασιλέως τοῦ φίλου παίδων καὶ μηδὲν ἀνάξιον τῆς εἰς ἐκεῖνον φιλίας ὁρᾶσθαι ποιοῦντα καὶ μετὰ τελευτὴν, τὸ δ' ὕστερον ἐλθεῖν ἐπὶ τὴν βασιλείαν, οὐ προαιρέσεως ἰδίας εἶναι, οὐδ' ἐπιθυμίας τιμῆς βασιλικῆς, (τὴν ἴσην γὰρ ἐξῆν καρποῦσθαι μένοντα καὶ ἐπὶ σχήματος,) ἀλλὰ τῆς ἀνάγκης, ἤδη τοῦ ἐμφυλίου πολέμου κεκινημένου. [5]

3 45 σώζεσθαι γὰρ ἑτέρως οὐκ ἐνῆν, οὕτω καταψηφισθέντα τὴν ἐπὶ θάνατον ἐρήμην. οὐδὲν μὲν οὖν θαυμαστὸν ἔφασκεν, εἰ καὶ ἐκεῖνοι τοῖς οὕτω μεγάλοις ἀπιστοῦσιν, ἐκεῖνο δὲ δίκαιον αὐτῶν κατηγορεῖν, εἰ καὶ μετὰ τὴν ἐναργῆ τῶν πραγμάτων ἔκβασιν ἔτι δυσνοεῖν αὐτὸν περὶ βασιλίδα καὶ τοὺς παῖδας οἴονται. εἰ γὰρ τοιαύτην εἶχε γνώμην, οὐκ ἂν προήκατο τὸν καιρὸν, ἡνίκα Βυζαντίου μὲν ἐκράτει βίᾳ, ἑλὼν τοῖς ὅπλοις, βασιλὶς δὲ μετὰ τῶν παίδων ἐν βασιλείοις ἐπολιορκεῖτο, ἐπικουρία δὲ οὐδαμόθεν ἦν, ἀπορία δὲ τῶν ἀναγκαίων παντελὴς, καὶ οἱ συνόντες ἐπεβούλευον, καὶ κομιδῇ πάντα ἦσαν ἐν στενῷ· νεῦσαι δὲ ἐξῆρκει μόνον καὶ πάντας ἄρδην ἀπολέσθαι. εἰ δὲ τότε πάντα πράττειν ἔχων εὐχερῶς, οὐ τὰ ἥδιστα μᾶλλον ἢ τὰ βέλτιστα ἠθέλησε, καὶ ὅρκους παρέσχετο ἐπ' ἀμνηστίᾳ τῶν κακῶν, ἀνάγκης οὐδεμιᾶς ὑπούσης, καὶ τὴν θυγατέρα ἐξέδωκε τῷ νέῳ βασιλεῖ καὶ πάντα ἔπραξεν, ὅσα οὐδ' ἂν εἷς τῶν ἄκραν εὐγνωμοσύνης ἐννοούντων ἤλπισεν ὑπερβολὴν, τίν' ἔχει λόγον ὑποπτεύειν νῦν καὶ νομίζειν, ὀφθήσεσθαί ποτε κακὸν περὶ βασιλέα τὸν γαμβρὸν, ἀλλ' οὐδεμίαν ἀπολείπειν ἀνοίας ὑπερβολήν; „ταῦτα μὲν οὖν" ἔφασκεν „ἐκείνοις τε ἔλεγχος πρὸς τὴν ἀγνωμοσύνην καὶ ὑμῖν πρὸς τὴν ἀξίωσιν ἀπολογία. [5]

3 46 οὐ γὰρ δίκαια οὐδὲ ἄλλως ἐννοεῖσθε δυνατά. βασιλέα γὰρ τὸν ἐμὸν γαμβρὸν οὔτε ἀποκτείνειν δυνατὸν, οὔτ' ἀποστερεῖν τῆς βασιλείας μετὰ τῆς θυγατρὸς τὸν γάμον. οὔτε μὴν βασιλίδι τῇ μητρὶ δίκαιον ἐγκαλεῖν ἐφ' οἷς οὐδὲν συνῄδει, ἀλλὰ πᾶσαν αὐτοῖς προσάγειν βούλομαι πάντας, καὶ τὴν εὔνοιαν καὶ τὴν αἰδῶ, καθὼς προσήκει βασιλεῦσι. τοὺς δ' ἀγνωμονήσαντας ἐκείνους καὶ ῥάψαντας τὴν ἐπιβουλὴν ἐγὼ τὰς ἀξίας τῆς ἐπιορκίας ἀπαιτήσω δίκας." ὁ μὲν οὖν βασιλεὺς τοιαῦτα τοῖς ἐν τέλει διειλέχθη, ἐφ' οἷς ἤλπιζον αὐτὸν ἐξορμήσειν ἐπὶ τὸ κακῶς περὶ βασιλίδα διατίθεσθαι καὶ βασιλέα τὸν γαμβρόν. ἐπεὶ δὲ ἐκεῖνοι ἔγνωσαν ἀνηνύτοις ἐπιχειροῦντες καὶ, τὸ λεγόμενον, τοξεύοντες εἰς οὐρανὸν, ἀπογνόντες τὸ ἐκεῖνον μεταπείθειν, ἐπὶ βασιλίδα ἐχώρουν τὴν Εἰρήνην, οἰόμενοι περιγενήσεσθαι ἐκείνης καὶ πείσειν αὐτοῖς προσέχειν, ὡς λυσιτελῆ βουλευομένοις. ὡς δὲ καὶ αὐτὴ ταῖς ἴσαις ἢ καὶ αὐστηροτέραις ἠμείβετο ἀπολογίαις, καὶ παύεσθαι ἐκέλευε μεγάλαις αὖθις συμφοραῖς τοὺς Ῥωμαίους ἐπιχειροῦντας περιβάλλειν, ὥσπερ τοὺς ἐλέγχους αἰσχυνθέντες, οἱ μὲν καὶ παντελῶς ἡσύχασαν, ἔνιοι δὲ αὐτῶν, ὅσοις ὁ βίος ταραχῆς ἀνάπλεως καὶ θορυβώδης ἦν, ἡσυχάσαντες ἐπὶ μικρὸν, ἔπειτα Ματθαῖον ἔπεισαν τὸν βασιλέως υἱὸν, Διδυμότειχον καὶ τὴν Ἀδριανοῦ καὶ τὰς περὶ αὐτὰ πολίχνας κατασχεῖν, ἰδίαν συστησάμενον ἡγεμονίαν μετ' αὐτῶν. [5]

3 47 πρόφασις δὲ ἦν καὶ πρὸς ἐκεῖνον τῆς ἀποστασίας τοῖς στασιασταῖς, ὅτι βασιλεὺς ὁ πατὴρ μετὰ τοὺς μυρίους πόνους καὶ κινδύνους καὶ τὴν πολλὴν ἀπόδειξιν τῆς εἰς αὐτὸν εὐνοίας, ἐπεὶ περιεγένοντο τῶν πολεμίων, τῇ περὶ βασιλέα Ἰωάννην τὸν γαμβρὸν εὐνοίᾳ οὐ μόνον ἐκεῖνον, ἀλλὰ καὶ τοὺς περὶ αὐτὸν ἅπαντας προτιμήσαι, καὶ τά τε ὄντα αὐτοῖς ὑπ' ἐκείνων πρότερον ἡρπασμένα, οὐκ ἐάσειεν ἀπολαμβάνειν, ἀλλ' ἔχοντας περιορᾷν, ἵν' ἀλγῶσι μᾶλλον, καὶ πᾶσαν πρόνοιαν ποιοῖτο τὴν δυναστείαν τῷ νέῳ βασιλεῖ περιποιεῖν· ὃς καὶ νῦν μετὰ τῶν προσκειμένων ἀθετήσας τοὺς ὅρκους, βουλεύσειε δρασμόν. ἃ εἰ προὐχώρει κατὰ γνώμην, οὐδὲν ἂν ἐκώλυεν αὖθις εἶναι ἐν πολέμοις καὶ κινδυνεύειν καὶ περὶ τῆς σωτηρίας αὐτόν τε καὶ πάντας αὐτοὺς ὁμοίως. ἃ ἐκέλευον αὐτὸν ἐν φροντίδι τίθεσθαι καὶ μὴ οὕτως ἀπερισκέπτως

τῶν κινδύνων περιμένειν τὸν καιρὸν, πράττοντα μηδὲν ὑπ᾽ ἀβουλίας, ἀλλὰ πρόνοιάν τινα αὐτοῦ ποιεῖσθαι καὶ αὐτῶν, ἵν᾽, εἰ βασιλεὺς ὁ γαμβρὸς γένοιτο τῆς ἀρχῆς ἁπάσης ἐγκρατὴς, ἢ τοῦ πατρὸς βασιλέως τελευτήσαντος, ἢ τρόπῳ δή τινι ἑτέρῳ, ἔξω κινδύνων αὐτὸς μετὰ τῶν φίλων εἴη. μηδὲ γὰρ οἴεσθαί ποτε εὐνοήσειν αὐτῷ βασιλέα τὸν γαμβρὸν, ἀλλ᾽ ἀμυνεῖσθαι πάντα τρόπον καὶ σπουδάσειν ποιεῖν ἐκ μέσου, οἰόμενον ἀμφισβητήσειν αὐτῷ περὶ τῆς βασιλείας, οἷα δὴ καὶ αὐτὸν βασιλέως ὄντα παῖδα καὶ δίκαιον ὄντα τὴν πατρῴαν ἀρχὴν κληρονομεῖν· συνεβούλευόν τε τὰς εἰρημένας πόλεις ὑποποιεῖσθαι καὶ τῆς ἄλλης ἡγεμονίας Ῥωμαίων ἀποτέμνειν οὐ παντάπασιν, ἀλλὰ μετὰ τὴν ἀποστασίαν δεήσεσθαι αὖθις βασιλέως τοῦ πατρὸς, ὥστε ὅρκους παρασχέσθαι συστρατεύεσθαι μὲν ἐκείνῳ μετὰ τῆς ἐγκαθιδρυμένης στρατιᾶς αὐτοὺς, ὅποι ἂν κελεύοι, τὴν δ᾽ ἄλλην ἅπασαν ἀρχὴν τῶν πόλεων εἶναι πρὸς αὐτὸν, καὶ ζῶντος τοῦ πατρὸς καὶ μετὰ τελευτήν. [10]

3 48 οὕτω γὰρ ἐν ἀσφαλείᾳ ἔσεσθαι αὐτόν τε καὶ φίλους, καὶ βασιλέα τὸν γαμβρὸν, κἂν βούλοιτο, μηδὲν δυνήσεσθαι δεινὸν ἐπάγειν. οἱ μὲν οὖν τοιαῦτα παρῄνουν, ἠρέμα τὸν νέον εἰς ἀποστασίαν ἄγοντες καὶ σπέρματα καταβάλλοντες πονηρὰ τῆς μετὰ ταῦτα πονηροτέρας ἐσομένης βλάστης. η′. Πειθόμενος δὲ αὐτοῖς τοῦ βασιλέως ὁ υἱὸς διὰ τοὺς ἐπισειομένους φόβους καὶ κινδύνους, ἐπεχείρησε τῷ ἔργῳ, ᾗ ἐκεῖνοι ἐβουλεύοντο, καὶ τὰς πόλεις ἀφίστη πρὸς ἑαυτὸν, γνώμην ἔχων ὡς ὕστερον δεησόμενος βασιλέως τοῦ πατρὸς, τὴν μὲν ἀρχὴν τῶν πόλεων αὐτὸν ἔχειν διὰ βίου, τελεῖν δὲ ὑπὸ τὴν αὐτοῦ τε καὶ βασιλέως τοῦ γαμβροῦ ἡγεμονίαν. ἐπεὶ δὲ ἐπύθετο ὁ βασιλεὺς, ὀργῇ μὲν ἐφέρετο ἀκράτῳ πρὸς τοὺς τὰ τοιαῦτα πεπεικότας καὶ ἤδη ὥρμητο πρὸς τιμωρίαν. ἔπειτα ἡμερότητι κεράσας τὸν θυμὸν, (ᾔδει γὰρ ἐπιεικείᾳ ῥᾷον προσαξόμενος τὸν υἱὸν,) Εἰρήνην βασιλίδα τὴν ἐκείνου μητέρα ἔπεμπε διαλλάξουσαν ἐκεῖνον τῷ πατρὶ καὶ τῶν ἀτόπων ἔργων ἀποστήσουσαν. [20]

3 49 ἡ δὲ ὀφθεῖσα μόνον τῷ υἱῷ, ῥᾷστα πάντα τὰ προσκόμματα διέλυε καὶ τὰς ὑποψίας. ἦν γὰρ οὐ συνετὴ μόνον καὶ δεινὴ χρήσασθαι πράγμασι μεγάλοις καὶ μεταποιῆσαι, ᾗ ἐβούλετο, ἀλλὰ καὶ Ματθαῖον τὸν υἱὸν ἐξόχως τῶν ἄλλων μᾶλλον φιλοῦσα παίδων καὶ φιλουμένη ὑπ᾽ αὐτοῦ. ὅθεν οὐδὲ λόγων ἐδεήθη πρὸς αὐτὸν, ἀλλ᾽ ἐκέλευε μόνον, καὶ πάνθ᾽ ὑπήκουεν ἐκεῖνος. ἔπειτα τοὺς τῆς στάσεως αἰτίους λόγοις ἐπιπλήξασα καὶ ἀπειλήσασα τὰ δεινότατα, εἰ τοιαῦτα αὖθις πανουργεύοιντο, (ἦσαν γὰρ αὐτῇ τῶν καθ᾽ αἷμα προσηκόντων,) καὶ τὸν υἱὸν, ὥσπερ καὶ πρότερον, πάνθ᾽ ὑπείκοντα προθύμως ἀποδείξασα βασιλεῖ τῷ πατρὶ, ἀνέστρεφε. γενομένη δὲ ἐν Βυζαντίῳ, Ἀνδρόνικον εὗρε τὸν νεώτερον ἀποτεθνηκότα τῶν υἱῶν ὑπὸ τοῦ τότε ἐνσκήψαντος λοιμοῦ, ὃς ἐκ τῶν Ὑπερβορέων πρῶτον ἀρξάμενος Σκυθῶν, πάντα ἐπέδραμε σχεδὸν τὰ παράλια τῆς οἰκουμένης καὶ τὸ πολὺ διέφθειρε τῶν ἐνοικούντων. οὐ γὰρ Πόντον μόνον διῆλθε καὶ Θρᾴκην καὶ Μακεδονίαν, ἀλλὰ καὶ Ἑλλάδα καὶ Ἰταλίαν καὶ νήσους ἁπάσας, Αἴγυπτόν τε καὶ Λιβύην καὶ Ἰουδαίαν καὶ Συρίαν, καὶ κύκλῳ πᾶσαν σχεδὸν τὴν οἰκουμένην. οὕτω δὲ ἦν ἄμαχον τὸ κακὸν, ὡς μήτε δίαιταν μηδεμίαν, μήτε ῥώμην σώματος δυνηθῆναι ἀντισχεῖν. [20]

3 50 πάντα γὰρ ὁμοίως καθῄρει καὶ ἰσχυρὰ καὶ ἀσθενῆ σώματα, καὶ οἱ μάλιστα θεραπευόμενοι ὁμοίως ἀπέθνησκον τοῖς ἀπορωτάτοις. ἄνοσον μὲν γὰρ ἦν ἐκεῖνο τὸ ἔτος παντάπασιν εἰς τὰς ἄλλας ἀσθενείας. εἰ δέ τις καὶ προέκαμνέ τι, πάντα εἰς ἐκεῖνο κατέληγε τὸ νόσημα, καὶ οὔτε ἰατρῶν ἐξήρκει τέχνη οὐδεμία, οὔτε παρόμοιον πᾶσιν ἦν, ἀλλ᾽ οἱ μὲν αὐτίκα οὐδὲ πρὸς βραχὺ ἀντέχοντες αὐθημερὸν ἀπέθνησκον, ἔνιοι δὲ καὶ αὐθωρόν· ὅσοι δὲ ἐπὶ δυσὶν ἀντεῖχον ἢ τρισὶν ἡμέραις, πρῶτα μὲν πυρετῷ κατείχοντο λαβροτάτῳ, καὶ ἐς τὴν κεφαλὴν τοῦ νοσήματος ἐμπίπτοντος, ἀφωνίᾳ κατείχοντο καὶ ἀναισθησίᾳ πρὸς πάντα τὰ γινόμενα, καὶ ὥσπερ πρὸς ὕπνον κατεφέροντο βαθύν. ἦν δέ που ἀνανήψειαν, φθέγγεσθαι μὲν ἐβούλοντο, δυσκίνητος δὲ ἡ γλῶσσα ἦν καὶ ἀδιάρθρωτα τὰ πολλὰ ἐφθέγγοντο, τῶν περὶ τὸ ἰνίον νεύρων νεκρωθέντων, καὶ τάχιστα ἀπέθνησκον. ἑτέροις δὲ οὐκ εἰς τὴν κεφαλὴν, ἀλλ᾽ εἰς τὸν πνεύμονα ἐμπίπτον τὸ

κακὸν, φλόγωσίς τε ἦν αὐτίκα πρὸς τὰ ἔνδον, καὶ δριμείας ἐνεποίει ἀλγηδόνας περὶ τὰ στήθη· ὕφαιμόν τε πτύελον ἀνέπεμπον καὶ πνεῦμα ἄτοπον ἀπὸ τῶν ἔνδον καὶ δυσῶδες· ἥ τε φάρυγξ καὶ ἡ γλῶσσα καταξηραινόμενα ὑπὸ τοῦ καύσονος, μέλανα καὶ αἱματώδη ἦσαν· καὶ ποτὸν τό τε πλέον καὶ τὸ ἔλασσον ἐν ὁμοίῳ καθειστήκει· καὶ ἡ ἀγρυπνία ἐπέκειτο διὰ παντὸς καὶ ἀπορία πανταχόθεν ἦν ἐπί τε ταῖς ὠλέναις ταῖς ἄνω καὶ κάτω, οὐκ ὀλίγοις δὲ καὶ πρὸς τὰς σιαγόνας, καὶ ἕτεροις ἐν ἑτέροις μέρεσι τοῦ σώματος ἀποστάσεις ἐγίνοντο, τοῖς μὲν μείζους, τοῖς δὲ ἐλάσσους, καὶ μέλαιναι φλυκτίδες ἀνεφύοντο. [5]

3 51 ἑτέροις δὲ ὥσπερ στίγματα μέλανα κατὰ παντὸς τοῦ σώματος ἐξήνθει, τοῖς μὲν ἀραιά τε καὶ διαφανέστερα, τοῖς δ’ ἀμυδρότερα καὶ συνεχῆ· καὶ πάντες ὁμοίως ὑπὸ πάντων ἔθνησκον. τοῖς μὲν γὰρ τὰ πάντα ἐπεγίνετο, τοῖς δὲ πλείω ἢ ἐλάσσω, οὐκ ὀλίγοις δὲ καὶ ἓν τῶν πάντων ἤρκεσε πρὸς θάνατον· ὅσοι δὲ ἐκ πολλῶν ὀλίγοι ἠδυνήθησαν διαφυγεῖν, οὐκέτι ὑπὸ τοῦ αὐτοῦ κατείχοντο κακοῦ, ἀλλ’ ἐν τῷ θαρσαλέῳ ἦσαν ἤδη. δὶς γὰρ οὐκ ἐπελάμβανεν, ὥστε καὶ κτείνειν· ἀποστάσεις δὲ ἐγίνοντο μεγάλαι πρὸς τοῖς μηροῖς ἢ ἐν ταῖς ὠλέναις· ὧν τεμνομένων, σφάκελλος ἐξέῤῥει δυσώδης καὶ πολὺς, καὶ τὸ νόσημα διεφορεῖτο εἰς ἐκεῖνο, τὴν διενοχλοῦσαν ὕλην ἀποῤῥίπτον. πολλοὶ δὲ καὶ ὑπὸ πάντων κατασχεθέντες, παρὰ δόξαν διεσώζοντο. ἦν δὲ ἐπικουρία οὐδεμία οὐδαμόθεν. ὃ γὰρ ἑτέρῳ συνήνεγκε, τοῦθ’ ἑτέρῳ τὰ ἴσα πάσχοντι δηλητήριον ἐγίνετο· καὶ ἕτερος ἀφ’ ἑτέρου θεραπείας ἀνεπίμπλαντο τῆς νόσου, καὶ τὴν πλείστην φθορὰν τοῦτο ἐνεποίει, καὶ πολλαὶ οἰκίαι ἐκενώθησαν τῶν οἰκητόρων, καὶ τῶν ἀλόγων τοῖς κυρίοις συναποθανόντων. δεινότατον δὲ ἦν ἡ ἀθυμία. ὁπότε γάρ τις αἴσθοιτο κάμνοντος ἑαυτοῦ, ἐλπὶς οὐδεμία σωτηρίας ὑπελείπετο, ἀλλὰ πρὸς τὸ ἀνέλπιστον τραπόμενοι, προΐεντο σφᾶς αὐτοὺς καὶ ἀπέθνησκον ἐν τῷ αὐτίκα, μεγάλην ῥοπὴν τῷ νοσήματι τὴν ἀθυμίαν προστιθέντες. [20]

3 52 τὸ μὲν οὖν τῆς νόσου εἶδος τοιοῦτον κρεῖσσον λόγου ἦν· ὅθεν καὶ μάλιστα ἐδεδήλωτο, οὐ τῶν συντρόφων καὶ τῇ φύσει προσηκόντων τῶν ἀνθρώπων, ἀλλ’ ἕτερόν τι ὂν ὑπὸ θεοῦ τοῖς ἀνθρώποις ἐπενηνεγμένον πρὸς σωφρονισμόν· καὶ πολλοὶ ἐκ τοῦ τοιούτου βελτίους τὴν ψυχὴν ἐγένοντο σωφρονισθέντες, οὐ μόνον οἱ τελευτήσαντες, ἀλλὰ καὶ ὅσοι περιεγένοντο τῆς νόσου. πάσης γὰρ ἀπέσχοντο κακίας ἐν τῷ τότε χρόνῳ καὶ ἀρετῆς ἐπεμελοῦντο· καὶ πολλοὶ τὰ ὄντα πένησι διένειμον καὶ πρὶν τὴν νόσον εἰς αὐτοὺς ἐγκατασκῆψαι· εἰ δέ ποτε καὶ αἴσθοιντο αὐτοὺς κατεχομένους, οὐδεὶς ἦν οὕτως ἀναλγήτως ἔχων, ὥστε μὴ μετάνοιαν ἐνδείξασθαι τῶν πεπλημμεληκότων καὶ πρὸς τὰ ἐκεῖ δικαιωτήρια μὴ πρόφασίν τινα παρασχεῖν τοῦ σωθήσεσθαι ὑπὸ θεοῦ, εἰ μὴ πάνυ ἀνιάτως εἶχε καὶ ἀθεραπεύτως τὴν ψυχήν. ὑπὸ τῆς τοιαύτης νόσου πλεῖστοί τε ἀπέθανον ἐν Βυζαντίῳ τότε, καὶ ὁ βασιλέως παῖς Ἀνδρόνικος κατασχεθεὶς ἐτελεύτησε τριταῖος. βασιλὶς δὲ ἡ μήτηρ, ἐπεὶ ἐπύθετο τοῦ παιδὸς τὴν τελευτὴν, ὑπὸ σφοδροτάτης ἀλγηδόνος πληγεῖσα τὴν καρδίαν, διὰ βίου ἀνεξάλειπτον ἔσχε τὴν μνήμην τοῦ παιδός. ἦν γὰρ οὐ μόνον ἀγαθὸς ἰδεῖν, ἀλλὰ καὶ πρὸς πάντα μάλιστα, ὅσα νέον οἶδε κοσμεῖν, ἔχων εὐφυῶς καὶ μεγάλας ἐλπίδας ὑποφαίνων τοῦ τῶν γεγεννηκότων ἄξιον ἑαυτὸν ἀποφανεῖν. [20]

3 53 μετὰ τοῦτο δὲ ὁ βασιλεὺς βασιλέα τὸν γαμβρὸν ἔχων, πρὸς τὰς τῆς Θρᾴκης ἐξῄει πόλεις καὶ πάσας περιῆλθε, τοῦτο μὲν βασιλέα πᾶσιν ἐμφανίζων ἄχρι τότε ἀγνοούμενον ταῖς πόλεσι, καὶ πᾶσιν ἔργοις αὐτοῖς κατάδηλον ποιῶν, ὡς τὴν πατρῴαν βασιλείαν ὁ νέος διαδέξοιτο βασιλεὺς, τοῦτο δὲ πρὸς τοὺς πόνους στρατιώτῃ πρέποντας ἀσκῶν. ἥδετό τε κατάκρας ὁ πρεσβύτερος βασιλεὺς ὁρῶν τὸν νέον ἐπιτηδείως ἔχοντα πρὸς τὰς στρατείας καὶ μεγάλα ἐπαγγελλόμενον ἐκ τῶν παρόντων. ἀλύπως γὰρ καὶ ἱλαρῶς τούς τε πόνους ἔφερε, καὶ τῆς διαίτης τὴν ἐναλλαγὴν, καὶ πάντα ἔπραττεν ὁμοίως τοῖς εἰθισμένοις ἐκ πολλοῦ. θ′. Αὖθίς τε εἰς Βυζάντιον ἀναστρέψας ὁ βασιλεὺς, πρὸς τὸν Ῥώμης ἐπίσκοπον Κλήμεντα τόν τε Σπανόπουλον Γεώργιον τὸν

πρωτοβεστιαρίτην καὶ Σιγηρὸν τὸν πραίτωρα τοῦ δήμου, καὶ ἐκ τοῦ Λατίνων γένους Φρανσὲς ὄνομά τινα, πολὺν ἤδη χρόνον δεδουλευκότα βασιλεῖ, τῶν ἐπιτηδείων δ' ὄντα καὶ γνωρίμων πάπᾳ, πρέσβεις ᾑρεῖτο. ἡ πρεσβεία δὲ ἦν, ἅμα μὲν ἀπαλείφουσα τῆς πάπα ψυχῆς τὰς περὶ βασιλέως προσπεσούσας φήμας. ᾔδει γὰρ αὐτὸν περὶ αὐτοῦ ἀκηκοότα, ὡς κατὰ τὸν τοῦ πολέμου χρόνον βαρβάροις χρήσαιτο συμμάχοις, ἀναιροῦσι καὶ ἐξανδραποδιζομένοις ὁσημέραι τοὺς Ῥωμαίους. διὸ περὶ πλείονος ἐποιεῖτο τὰς αἰτίας τῶν συμβεβηκότων πάπαν καταμαθεῖν, καὶ ὡς ἀνάγκῃ διὰ τὸν περισχόντα πόλεμον ἐπὶ τοιαῦτα ἔλθοι, ἀλλ' οὐ τὴν κοινωνίαν τῶν βαρβάρων ἀσπαζόμενος. [20]

3 54 ἔπειτα ἐδεῖτο καὶ τὴν μελετωμένην ὑπ' αὐτοῦ πάπα καὶ τῶν κατὰ τὴν Ἰταλίαν καὶ τὴν ἄλλην ἐσπέραν κατὰ τῶν βαρβάρων ἔφοδον τῶν πολεμίων τῷ στρατηγῷ ἐπ' αὐτοῦ νυνὶ γεγενῆσθαι. ἥδεσθαί τε γὰρ μάλιστα ἐπὶ τῇ ἐκείνων ἀπωλείᾳ καὶ φθορᾷ καὶ αὐτὸν τὰ μέγιστα συνεργήσειν, οὐ μόνον διάβασιν παρέχοντα τῇ στρατιᾷ πρὸς τὴν Ἀσίαν ἄπονον, ἀλλὰ καὶ αὐτὸν συμπαρόντα μετὰ τῆς στρατιᾶς καὶ συναγωνιζόμενον προθύμως. τῶν μὲν γὰρ ἄλλων πλεονεκτημάτων τοῖς πρὸ αὐτοῦ βεβασιλευκόσι ῥᾷστα ἂν παραχωρήσειε· προθυμίας δὲ τῆς περὶ τὰ καλὰ καὶ τοῦ βούλεσθαι τοὺς βαρβάρους ἐπιδεῖν πάσχοντας ἀντίῤῥοπα τοῖς τολμηθεῖσι κατὰ Χριστιανῶν ἐπὶ τοσοῦτον χρόνον, οὐδενί. ἡ μὲν οὖν πρεσβεία τοιαύτη ἦν, καὶ πάντα ἐτελεῖτο κατὰ γνώμην βασιλεῖ. διαλεγομένων γὰρ τῶν πρεσβέων τῷ πάπᾳ περὶ ὧν ἧκον, ἐκεῖνος τὸν λόγον ἀναλαβὼν, πάντα διηγεῖτο ἀκριβῶς, ὥσπερ ἂν αὐτὸς παρὼν τοῦ πολέμου τελουμένου. θαυμαζόντων δὲ τῶν πρεσβέων καὶ πυνθανομένων, ὅθεν εἰδείη ταῦτα ἀσφαλῶς, παρὰ Ζαμπαίας τῆς ἐκ Σαβωΐας ἔφασκεν ἀκηκοέναι βασιλίδι συμπαρούσης ἐν Βυζαντίῳ ἀπ' ἀρχῆς μάλιστα τοῦ πολέμου ἄχρι τέλους· ἣ μετὰ τὸ βασιλέα Βυζάντιον ἐλεῖν, ἀπαίρουσα εἰς τὴν οἰκείαν, πάντα διηγεῖτο ἀκριβῶς τῷ πάπᾳ συντυχοῦσα, ὡς ἐγένετο, μηδὲν ἀποκρύψασα τῆς ἀληθείας. ἐπῄνει τε ὁ πάπας βασιλέα καὶ ὑπερηύχετο αὐτοῦ, ὅτι πολεμηθεὶς ἀδίκως οὕτω καὶ διαβληθεὶς ὑπὸ συκοφαντῶν καὶ τοσαῦτα ἐνεγκὼν δεινὰ κατὰ τὸν πόλεμον, ἐπειδὴ τοῖς ὅπλοις περιεγένετο τῶν ἀντισχόντων, οὐδὲν μικρόψυχον ἔπαθεν, οὐδ' ἀγεννές· οὐδὲ ἐμνησικάκησε τοῖς κακοῖς περὶ αὐτὸν γεγενημένοις, καὶ ταῦτα ὑπ' ἐκείνου πρότερον πολλὰ εὐεργετηθεῖσιν, ἀλλὰ βασιλίδι τε καὶ τοῖς παισὶν ἄξιος ὤφθη ἑαυτοῦ καὶ τῆς βασιλέως τοῦ φίλου περὶ αὐτὸν σπουδῆς, καὶ τοῖς ἄλλοις ἅπασιν ὁμοίως ἥμερος καὶ προσηνὴς, οὐ μόνον τῶν τετολμημένων δίκας μηδένα ἀπαιτήσας, ἀλλὰ καὶ φιλοτίμως εὐεργετῶν ἐξ ἀντιστρόφου. [10]

3 55 μάλιστα δὲ ἐπῄνει τὸ τὴν θυγατέρα συναρμόσαι βασιλεῖ τῷ νέῳ καὶ τὴν πατρῴαν ἀποδοῦναι βασιλείαν. φιλοτιμότατά τε ὁ πάπας περὶ τοὺς βασιλέως πρέσβεις διατεθεὶς ἐν προεδρίαις καὶ προπομπαῖς καὶ ὑπαντήσεσι καὶ τοῖς ἄλλοις τοῖς προσήκουσιν, ἔπειτα ἀπέπεμπε, καὶ πρέσβεις δύο τῶν ἐπισκόπων συνεκπέμψας, ὧν ὁ ἕτερος τοῦ μενουρίων τάγματος ἦν Γελίελμος προσαγορευόμενος, Οὔγα δὲ Σπὲρτ ὁ λοιπὸς ἐκαλεῖτο ἐκ τῶν κηρύκων προσαγορευομένων ὢν, ἀρετῆς τε μάλιστα ἀντιποιούμενοι καὶ τὴν θύραθεν σοφίαν εἰς ἄκρον μεμελετηκότες· δι' ἃ καὶ μάλιστα ἡδεῖς ἦσαν ἐν ταῖς συνουσίαις καὶ πιθανοὶ πρὸς διαλέξεις. οὓς ὁ βασιλεὺς μετὰ πολλῆς ἐδέξατο τῆς εὐμενείας καὶ τῆς τιμῆς, καὶ ἡδέως ὡμίλει ὁσημέραι καὶ συνῆν, αὐτοί τε προὔργου παντὸς ἐποιοῦντο τὸν χρόνον, ὃν αὐτῷ συνῆσαν, ὅσα ἐπ' ἐκείνου προβληθείη καθημέραν, καὶ οἷα περὶ τῶν προβλημάτων διαλεχθείη γράφειν, ἵνα μὴ λάθῃ, τῆς μνήμης ἐκρυέντα. [20]

3 56 ἃ εἰς Ἰταλίαν ἀγαγόντες καὶ πάπᾳ τε καὶ τοῖς ἐκεῖσε διαδόντες σοφοῖς, μέγαν ἐκ τούτων ἀπεδείκνυον βασιλέα, καὶ ἀπὸ γλώττης οὐκ ὀλίγα ἐξηγούμενοι αὐτοί. ταῦτα μὲν οὖν ὕστερον. τότε δὲ μετὰ τὴν ἄφιξιν μικρὸν ἀπήγγελλον βασιλεῖ τὰ περὶ τῆς πρεσβείας. τὰ δὲ ἦν πρῶτα μὲν εὐχαριστίαι καὶ εὐχαὶ τῆς περὶ βασιλέα τὸν νέον κηδεμονίας καὶ βασιλίδα τὴν μητέρα, ὅτι ἃ μηδ' ἄν τις προσεδόκησε μετὰ τὸν τοσοῦτον πόλεμον καὶ τὴν ἄσπονδον ἐκείνην ἔχθραν καὶ τὴν πρὸς αὐτὸν ἀγνωμοσύνην τῶν διαβαλόντων, οὐ πρὸς τὰ γεγενημένα εἶδεν, ἀλλ' ἀρκεῖν

ἡγήσατο τὸ τῶν πρὸς τὸν πόλεμον αἰτίων ὀφθῆναι μόνον καθαρόν. αὐτὸς δὲ, ὥσπερ οὐδενὸς μεταξὺ καινοῦ γεγενημένου, τὸ ἀρχαῖον ἦθος διεσώσατο, καὶ τὴν περὶ τοὺς βασιλέως παῖδας εὐγνωμοσύνην καὶ κηδεμονίαν, ἣν εἶχεν ἐξαρχῆς εὐθὺς μετὰ τὴν ἐκείνου τελευτήν. ἔπειτα δὲ καὶ τὴν κατὰ τῶν βαρβάρων ἔφοδον ἐμήνυε, καὶ τοῖς ἄλλοις μὲν τοῖς πρὸ αὐτοῦ Ῥώμης ἐπισκόποις εἶναι περισπούδαστον, μᾶλλον δὲ αὐτῷ τῶν ἄλλων εἶναι κατὰ γνώμην καὶ πολλοῖς πολλάκις περὶ τούτου διειλέχθαι τῶν κατὰ τὴν Ἰταλίαν δυναστῶν, καὶ πάντας παρακαλεῖν ἐπὶ τὸ ἔργον κοινῇ πρὸς τὴν ἐλευθερίαν ἀπὸ τῶν βαρβάρων τῶν Χριστιανῶν ἐσόμενον, καὶ αὐτὸν ἕτοιμον εἶναι καὶ χρήματα παρέχειν καὶ στρατιὰν, ὅσην ἂν μάλιστα ἐξῇ, καὶ μεγίστην πρὸς τὸν πόλεμον παρέχεσθαι συντέλειαν. [20]

3 57 νυνὶ δὲ καὶ μᾶλλον ὑπὸ τῶν αὐτοῦ λόγων καὶ τῆς πρεσβείας ἐξωρμῆσθαι, καὶ χάριν αὐτῷ εἰδέναι ὑπὲρ τῆς προθυμίας, ἧς ἐνδείκνυται, τοῖς βαρβάροις ὑπὲρ τῶν τὴν εἰς Χριστὸν πίστιν ἑλομένων τὸν πόλεμον ἐπεγείρων. εἰ δὲ πρὸς τοῖς ἄλλοις ἀγαθοῖς, ὧν αἴτιος σπουδάζει Ῥωμαίοις καταστῆναι, καὶ τῶν ἐκκλησιῶν πραγματεύσαιτο τὴν ἕνωσιν, καὶ δι' αὐτοῦ τὰ διεστηκότα τοῦ Χριστοῦ μέλη συναφθείη, οὐκ ἀνθρώποις μόνον πᾶσιν, ἀλλὰ καὶ ταῖς οὐρανίοις δυνάμεσι καὶ αὐτῷ θεῷ μεγάλης ἂν εὐφροσύνης αἴτιος κατασταίη. τοιαῦτα μὲν ὁ πάπας διὰ τῶν ἐπισκόπων ἐπρεσβεύετο. βασιλεὺς δὲ καὶ αὐτὸς πρῶτα μὲν τῷ πάπᾳ χάριτας ὡμολόγει τῆς τε περὶ αὐτὸν εὐνοίας καὶ τοῦ κατὰ βαρβάρων τῶν Χριστιανοῖς ἐχθρῶν ῥᾳδίως ἐξωρμῆσθαι. αὐτόν τε διπλῇ διὰ τὸν κατὰ τῶν βαρβάρων ἔλεγε χαίρειν πόλεμον, τοῦτο μὲν ὡς ὑπὲρ τῆς κοινῆς τῶν ἀπὸ Χριστοῦ καλουμένων ὠφελείας ἔσοιτο, τοῦτο δ' ὅτι κοινωνὸς ἔσται καὶ αὐτὸς τοῖς τὸν καλὸν ἀγῶνα τοῦτον ἀγωνισομένοις. οὕτω γὰρ εἶναι παρεσκευασμένος, ὡς καὶ ναυσὶ καὶ χρήμασι καὶ ὅπλοις καὶ ἵπποις καὶ πᾶσιν, οἷς ἔχει, κατ' ἐκείνων ἐξορμήσων, κέρδος μέγιστον ἡγούμενος τὸ ὑπὲρ τῶν τοιούτων ἀγωνιζόμενος ἀποθανεῖν. περὶ δὲ τῶν διεστηκότων τοῦ Χριστοῦ μελῶν τῆς ἑνώσεως καὶ ἁρμονίας καὶ τῆς εἰρήνης τῶν ἐκκλησιῶν ὅσην ἔχει τὴν ἔφεσιν καὶ τὴν σπουδὴν, οὐδὲ λόγοις δύνασθαι καταφανὲς ποιεῖν. [20]

3 58 πλὴν οὕτως εἶναι καὶ πρὸς ταῦτα παρεσκευασμένον, ὥστ', εἰ δεήσειεν αὐτὸν ὑπὲρ τῆς ὁμονοίας ἀποσφαγῆναι, οὐ μόνον ἐμπαρέξειν ἑαυτὸν προθύμως, ἀλλὰ καὶ μάχαιραν προσεπιδοῦναι· ἢ εἰ δόξειε καυθέντα διὰ τῆς τέφρας τοῦ ἐκείνου σώματος τὴν ἕνωσιν ταῖς ἐκκλησίαις βραβευθῆναι, αὐτὸν ἐπὶ τὴν πυρὰν πρῶτον ἐπιθεῖναι ξύλα, δι' ὧν ἐκτεφρωθῆναι περιέσται. δέον μέντοι τοῦτο τὸ μέγα τε καὶ θαυμάσιον καὶ τῶν ἄλλων ἀντάξιον πάντων ἔργον μὴ ἁπλῶς οὕτω καὶ εἰκῇ καὶ ἀπερισκέπτως γίνεσθαι, ἀλλὰ πολλῆς πρότερον ἐρεύνης ἀξιώσαντας καὶ πᾶσαν σπουδὴν ἐνδειξαμένους περὶ τοῦ ὄντος ἀγαθοῦ, οὕτω χωρεῖν ἐπὶ τὴν αἵρεσιν τῶν δοκούντων ὀρθῶν καὶ ἀσφαλῶν περὶ τὴν πίστιν. ἄτοπον γὰρ περὶ ἐπιγείων μέν τινων βουλευομένους, ὧν μικρά τε ἡ ὄνησις ἐπιτυχοῦσι καὶ ἡ ζημία σφαλεῖσι φαυλοτέρα, περὶ ταῦτα μὲν πᾶσαν ἐνδείκνυσθαι σπουδὴν, μὴ τοῦ δοκοῦντος ἀγαθοῦ διαμαρτεῖν, περὶ οὐρανίων δὲ τοῦ λόγου ὄντος καὶ τῶν περὶ τὴν πίστιν ἀπλανῶν δογμάτων, τούτων ὀλίγην τινὰ ποιεῖσθαι τὴν φροντίδα καὶ μόνοις ἑαυτοῖς θαῤῥεῖν πρὸς τοσοῦτον γνώσεως ὕψος ἐξαρκέσειν. τοῦτο γὰρ εἶναι τοῦτο, ὃ καὶ τὴν διάστασιν ἐνεποίησε ταῖς ἐκκλησίαις ἐξαρχῆς. εἰ γὰρ οἱ πρώτως τὰ νῦν ὑπὸ τῆς Ῥωμαίων ἐκκλησίας πρεσβευόμενα δόγματα ἐξενεγκόντες μὴ ἐθάῤῥησαν ἑαυτοῖς, μηδὲ τῶν ἄλλων κατεφρόνησαν, ἀλλ' εἰς μέσον προὔθηκαν τοῖς ἄλλοις τῶν ἐκκλησιῶν προστάταις ἐξετάζειν, οὐκ ἂν ἄχρι τοσούτου τὸ κακὸν προὐχώρησεν, οὐδὲ τὰ Χριστοῦ διῄρητο μέλη καὶ ἐκπεπολέμωτο ἀλλήλοις. [20]

3 59 ἦ γὰρ, εἰ καλῶς εἶχεν, ὑπὸ πάντων ἂν ἐστέρχθη καὶ οὐδεμία ἀμφισβήτησις ἐγίνετο περὶ τῶν πᾶσιν ὁμοίως ὡμολογημένων, ἤ, εἴ τι τοῦ καλῶς ἔχοντος ἐφαίνετο ἐκπίπτοντα, πᾶσιν ὁμοίως λήθης παρεπέμφθη καὶ σιγῆς βυθῷ. ἀρχαῖος δὲ ὁ τρόπος καὶ τοῖς πρώτοις τοῦ εὐαγγελίου κήρυξι τετιμημένος. καὶ γὰρ καὶ Παῦλος ἐκοινοῦτο τοῖς ἀποστόλοις τὸ εὐαγγέλιον, δεδοικώς,

φησι, μὴ εἰς κενὸν τρέχει, ἃ μὴ φίλα καταγγέλλων θεῷ, καίτοι γε εἰς τρίτον οὐρανὸν ἁρπαγεὶς καὶ μυσταγωγηθεὶς τὰ ἄῤῥητα. καὶ βασιλεῖ γὰρ τῷ πρώτῳ Παλαιολόγων Μιχαὴλ τοῦτο τετολμημένον οὐ συνήνεγκεν, ἀλλὰ χεῖρον γέγονε τὸ ῥῆγμα, καὶ ἡ διάστασις χαλεπωτέρα. δι' ἃ οὐδὲ αὐτὸς οἶομαι πεισθήσεσθαί ποτε πρὶν οἰκουμενικὴν σύνοδον ἀθροισθεῖσαν τὸ δοκοῦν ἀσφαλὲς ἀποφήνασθαι περὶ τὴν πίστιν, ἐπιχειρήσειν αὐτός τε προσέχειν καινοτομίαις, καὶ βιάζεσθαι τοὺς ἄλλους, οὐ διὰ τὴν ἐκκλησίαν μόνον καὶ τὸ Χριστιανῶν ἅπαν πλήρωμα, ἀλλὰ καὶ δι' ἐμὲ αὐτόν. καὶ γὰρ οὕτως ἔχω, ὡς πᾶσι μὲν πεισθησόμενος, ἅττα ἂν ὑπὸ κοινῆς γνώμης τῶν ἀρχιερέων περὶ τῆς πίστεως ἐπιψηφισθείη, τούτου δὲ ἀπόντος, καινοτομίᾳ οὐδεμιᾷ προσέξω. οἶομαι δὲ καὶ τοὺς ἀρχιερέας ἅπαντας καὶ τοὺς ἄλλους τοὺς δογμάτων τῶν τῆς ἐκκλησίας τροφίμους πρὸς τοῦτο μὲν ἔσεσθαι προθύμους μάλιστα· ἂν δὲ βιάζοιντο ἀρχικῶς, τὰ ὦτα βύσαντας, μηδὲ τῆς πρώτης ἀνέξεσθαι φωνῆς. [20]

3 60 καίτοι γε οὐδὲ παρ' ὑμῖν ἐμὲ ἀξιόχρεων ἐγὼ νομίζω ἔσεσθαι πρὸς πίστιν περὶ τῶν μελλόντων, εἰ ῥᾳδίως οὕτω καὶ ἀνεξετάστως ἐπὶ τὰ δοκοῦντα δόγματα ὑμῖν μεταχωρήσω. ὁ γὰρ τοῖς ὑπὸ τῶν προγόνων παραδεδομένοις καὶ οἷς συντέθραπτο αὐτὸς, μὴ πάνυ προσέχων ἀσφαλῶς, ἀλλ' ἐξ ἑτοίμου προϊέμενος, τίνα ἂν ἔχοι περὶ τῶν προσφάτων πίστιν; δι' ἃ νομίζω δέον εἶναι, εἴγε καὶ ὑμῖν συνδοκεῖ, περὶ τῶν οὕτω μεγάλων σύνοδον οἰκουμενικὴν, ἐν ᾗ οἵ τε ἐῷοι καὶ οἱ ἑσπέριοι παρέσονται ἀρχιερεῖς, γενέσθαι. τούτου δὲ γεγενημένου, πιστὸς ὁ θεὸς, ὃς ἡμᾶς οὐκ ἐάσει τῆς ἀληθείας ἀποπλανηθῆναι. εἰ μὲν οὖν ὥσπερ πρότερον ὑπὸ τὴν Ῥωμαίων βασιλείαν ἥ τε Ἀσία καὶ Εὐρώπη διετέλει, παρ' ἡμῖν ἔδει τὴν σύνοδον ἀθροισθῆναι. ἐπεὶ δὲ τοῦτο νῦν ἀδύνατον, (ὅ,τε γὰρ πάπας ἐνταῦθα ἀφικέσθαι ἀδυνάτως ἔχει, ἐμοί τε οὐ ῥᾴδιον τοσοῦτον ἀποστῆναι τῆς ἀρχῆς διὰ τοὺς συνεχεῖς πολέμους καὶ τοὺς πανταχόθεν ἐπιόντας ἡμῖν βαρβάρους τε τοὺς ὁμόρους καὶ τοὺς ἄλλους δυνάστας, οἳ περὶ τὴν πίστιν ἡμῖν οὐδὲν διαφερόμενοι, ὅμως πολέμιοί εἰσιν,) εἰ καὶ τῷ πατρὶ συνδόξειε πάπᾳ, πρός τι τῶν παραλίων ἀφιξόμεθα χωρίων ἐκ συνθήματος, ὃ μέσως ἂν σχοίη ἑκατέροις πρὸς ἀπόστασιν τῶν οἴκοι. καὶ οὕτω συνελευσόμεθα, ἐκεῖνος μὲν τοὺς ἐκ τῆς ἑσπέρας ἔχων ἀρχιερέας, ἐγὼ δὲ τοὺς πατριάρχας καὶ τοὺς ὑπ' αὐτοῖς τελοῦντας ἐπισκόπους. [20]

3 61 πιστεύω δὲ θεῷ, ὡς ἀπράκτους ἡμᾶς ἐπανελθεῖν οὐκ ἐάσει, ἀλλὰ τῇ σφετέρᾳ χρησάμενος φιλανθρωπίᾳ, ὁδηγήσει ἡμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν. ἐπὶ τέλει δὲ καὶ τοῦτο προσετίθει, ὡς, εἰ ἀρεστὸν εἴη πάπᾳ τὴν σύνοδον συγκροτηθῆναι, τάχιστα αὖθις πέμπειν ἀγγελίαν πρὸς αὐτὸν, ὅτι τε συνέθετο μηνύουσαν, καὶ τὸν τόπον καὶ τὸν χρόνον, ἐν ᾧ προσῆκον συνελθεῖν. οὐκ ὀλίγου γὰρ δεήσεσθαι χρόνου καὶ αὐτὸν, τούς τε πατριάρχας μεταπεμπόμενον καὶ τοὺς ἄλλους ἐπισκόπους. τοιαῦτα μὲν ὁ βασιλεὺς πρὸς τὴν πρεσβείαν πάπᾳ ἀπεκρίνατο. καὶ ἐδόκει βέλτιστα τοῖς πρεσβευομένοις ἐπισκόποις, οἳ πολλῶν πρότερόν τε καὶ μέλλοντες ἀναχωρεῖν παρὰ βασιλέως εὐεργεσιῶν τυχόντες, ἀπῆραν πρὸς τὴν οἰκείαν· καὶ παραγενόμενοι πρὸς πάπαν, τήν τε πρεσβείαν ἀπήγγελλον, καὶ πολλοὺς διεξῄεσαν ἐπαίνους ὑπὲρ βασιλέως καὶ τὰς γεγραμμένας ἐφημερίδας ἐπιδεικνύντες. πάπας δὲ καὶ αὐτὸς πρὸς τὴν σύνοδον φάμενος ἡδέως ἔχειν, ἔπεμπε κατὰ τάχος τοὺς ἐροῦντας βασιλεῖ, ὡς δοκοίη καὶ αὐτῷ βελτίστη ἡ παραίνεσις, καὶ τὴν συνέλευσιν τῶν ἐπισκόπων ποιοῖτο περὶ πλείστου. δέον μέντοι τοὺς ὑπ' αὐτὸν ἅπαντας γενομένους ἐν ταὐτῷ, τόπον τε κυροῦν καὶ χρόνον, καθ' ὃν ἔσται. οὐ πολλοῦ δὲ χρόνου παρελθόντος ἐν τῷ μεταξὺ, γράμματα αὖθις ἦκε πρὸς τὸν βασιλέα παρὰ πάπα, τῆς συνόδου τὴν ὑπέρθεσιν μὴ δοκεῖν ὑπ' ἀμελείας γίνεσθαι δηλοῦντα. αὐτὸν μὲν γὰρ προὔργου παντὸς ποιεῖσθαι τῶν ἐκκλησιῶν τὴν ἕνωσιν καὶ τῶν ἀναγκαιοτάτων μάλιστα νομίζειν εἶναι. [25]

3 62 πολέμου δὲ μεγάλου κεκινημένου κατὰ τὴν Ἰταλίαν, τῶν παρ' αὐτοῖς μεγίστων ῥηγῶν ἀλλήλοις ἐκπολεμωθέντων καὶ μελλόντων μυριάσι πολλαῖς ἀλλήλοις ἐπιέναι, προσήκειν μάλιστα αὐτῷ, πατρί γε ὄντι πνευματικῷ, περὶ εἰρήνης τοῖς μαχομένοις διαλέγεσθαι καὶ

πείθειν κατατίθεσθαι τὸν πόλεμον. τούτου δὲ πραχθέντος κατὰ γνώμην, οὐδὲν ἕτερον αὐτῷ μᾶλλον ἔσεσθαι διὰ σπουδῆς, ἢ βουλευσαμένῳ περὶ τῆς συνόδου μετὰ τῶν ὑπ' αὐτὸν, δηλοῦν καὶ χρόνον καὶ τόπον, ἐν ᾧ συνελθόντες, περὶ ὁμονοίας καὶ εἰρήνης πράξουσι ταῖς ἐκκλησίαις. ἐπὶ τούτοις δὲ καὶ ὁ βασιλεὺς τῶν ἐν Γαλατᾷ διατριβόντων φίλων Ἰωάννην ὄνομα, τῆς τάξεως ὄντα τῶν κηρύκων, πρὸς πάπαν πέμψας, χάριτάς τε ὡμολόγει πολλὰς τῆς προθυμίας τε καὶ τῆς σπουδῆς, ἧς περὶ τῶν ἐκκλησιῶν τῆς εἰρήνης ἐπιδείκνυται. καὶ αὖθις ἠξίου τῶν ἴσων ἔχεσθαι, καὶ μὴ διὰ ῥᾳθυμίαν πόλεμον εἰσενηνεγμένον ταῖς ἐκκλησίαις περιορᾶν, δυναμένους καταλύειν. ι'. Τοῦ χρόνου δὲ ἐν τοῖς τοιούτοις τριβομένου, Κλήμης ὁ πάπας ἐτελεύτησεν ἐν τῷ μεταξὺ, καὶ ἡ περὶ τῆς συνόδου αὖθις διελύετο φροντίς. βασιλεὺς δὲ καὶ βασιλέα ἐπαγόμενος τὸν γαμβρὸν, ἐπεστράτευσε Μηδείᾳ τῇ κατὰ τὸν Πόντον παραλίῳ πόλει, ἧς κατὰ τὸν τοῦ πολέμου χρόνον ἄρχων ὁ Τομπροτίτζας ὑπὸ βασιλίδος Ἄννης ἀναδειχθεὶς, οὐδὲ μετὰ τῶν βασιλέων τὴν ὁμόνοιαν ὑπείκειν βασιλεῖ τῷ Καντακουζηνῷ ἠβούλετο, ἀλλὰ χεῖρα λῃστρικὴν πολλὴν περὶ αὐτὸν ἀθροίσας, τὰς περιοίκους πόλεις ἐληΐζετο καὶ ἐκάκου οὐκ ὀλίγα. [20]

3 63 ὃν πρότερον μὲν ὁ βασιλεὺς ὑπ' ἄλλων ἀναγκαιοτέρων ἐπειγόμενος περιεώρα· ἐπεὶ δὲ ἔβλαπτον αἱ ἐκ Μηδείας λῃστεῖαι οὐ μικρὰ, πρῶτα μὲν ἐκ γῆς καὶ θαλάσσης πέμψας στρατιὰν ἐπολιόρκει, ἔπειτα Μανουὴλ δεσπότην τὸν υἱὸν ἄρχοντα καταλιπὼν ἐν Βυζαντίῳ καὶ τριήρεις κελεύσας ναυπηγεῖσθαι, Φακεωλάτον τὸν πρωτοστράτορα τῷ ἔργῳ ἐπιστήσας, (πάνυ γὰρ ξυνεώρα ναυτικῆς δυνάμεως τὴν Ῥωμαίων ἡγεμονίαν δεομένην,) ἐξεστράτευσεν αὐτὸς, ἔχων καὶ τὸν νέον βασιλέα, καὶ ἐπεὶ ἐγένετο ἐν Μηδείᾳ, λόγους προσῆγε Τομπροτίτζᾳ περὶ τοῦ αὐτῷ ὑπείκειν καὶ τὴν πόλιν παραδιδόναι. ὁρῶν δὲ ἐκεῖνος, ὡς ἀδύνατος εἴη ὅπλα ἀνταίρειν βασιλεῖ, προσεχώρησεν ὁμολογίᾳ καὶ τὴν πόλιν ἐνεχείρισεν. ὃν ὁ βασιλεὺς εὐμενείας τε καὶ προνοίας ἠξίωσε τῆς προσηκούσης, καὶ τοῖς ἐπιφανεστέροις συγκατέλεξε Ῥωμαίων. ἐπεὶ δὲ εἶχε Μήδειαν, βασιλέα μὲν τὸν νέον οἴκαδε ἐκέλευεν ἐπανιέναι καὶ τὸ πολὺ διέλυε τῆς στρατιᾶς κατὰ τὰς πόλεις, ἐκεῖνος δὲ ὀλίγους ἔχων, ἐπὶ Ἀδριανούπολιν ἐχώρει δημοσίων ἕνεκά τινων φροντίδων. μεταξὺ δὲ ὁδεύοντι ἠγγέλλετο, ὡς κατὰ τὸν Ἑλλήσποντον στρατιὰ Περσῶν ἱππικὴ περαιωθεῖσα ὀλίγῳ ἐλάσσους δισχιλίων ἐπιλέκτων, ἐτράπετο ἐπὶ λεηλασίαν κατὰ τὰς τῆς Θρᾴκης πόλεις. ἤχθετο μὲν οὖν εὐθὺς ὁ βασιλεὺς ἐπὶ τῆς στρατιᾶς τῇ διαλύσει· μεταπέμπεσθαι γὰρ αὖθις οὐκ ἐνῆν, οὐκ ἐξαρκοῦντος τοῦ χρόνου. [20]

3 64 ἐδεδίει γὰρ, μὴ ἐν ᾧ τὴν στρατιὰν συλλέγων διατρίβοι, οἱ Πέρσαι μὲν τὴν λείαν ἄγοντες αὖθις περαιωθῶσιν εἰς Ἀσίαν, ὑστερήσῃ δὲ ἐλθών. ὅθεν εἰς ἀνάγκην συνωθούμενος, ἐχώρει μεθ' ὧν εἶχεν ἐπ' ἐκείνους, καὶ εἰς τὴν ἐπιοῦσαν ἐγγὺς ἐγένετο Περσῶν, οἳ ἐστρατοπεδευμένοι ἦσαν κατὰ τὸ τοῦ Λίπικος ὄρος προσαγορευόμενον. συνέβη δὲ ἔν τε δυσχωρίαις τοὺς Πέρσας ἐστρατοπεδεῦσθαι καὶ μηδὲν εἰδέναι περὶ βασιλέως, ὡς ἐγγὺς εἴη συμπλέκεσθαι βουλόμενος. βασιλεῖ δὲ οὐκ ἐδόκει δεῖν ἐν δυσχωρίαις καὶ τάφροις καὶ φάραγξι διατετμημένοις χωρίοις τοξόταις καὶ εὐσταλέσι καὶ κούφοις καταφράκτους ἄγων συμπλέκεσθαι πρὸς μάχην. πρὸς γὰρ τῷ πολλαπλασίους εἶναι καὶ ἡ δυσχωρία οὐκ ὀλίγα συμβαλεῖται πρὸς τὴν νίκην. δι' ἃ ἐκέλευε τὴν στρατιὰν καταζευγνύειν ἐν τόποις μάλιστα συνηρεφέσι καὶ δυναμένοις ἀποκρύπτειν, πολλὴν πρόνοιαν ποιουμένους, μὴ κατάδηλοι γενέσθαι τοῖς βαρβάροις. καὶ διήγαγον οὕτω τὸ λεῖπον τῆς ἡμέρας, τοῖς βαρβάροις ἀντιστρατοπεδευομένοις ἀγνοούμενοι. δύνοντος δὲ ἡλίου ἤδη, οἵ τε βάρβαροι ἐκ τοῦ στρατοπέδου ἄραντες, ἐβάδιζον, ᾗ αὐτοῖς ἐδόκει, ἐπὶ τῷ ληΐσασθαι. καὶ ὁ βασιλεὺς τὴν στρατιὰν ἔχων, ᾖει σχολῇ κατόπιν διὰ πάσης τῆς νυκτὸς, πᾶσαν πρόνοιαν ποιούμενος ἀγνοηθῆναι. τῇ ἐπιούσῃ δὲ ἐν Μεσήνῃ τῇ πόλει συνηνέχθη τὰ στρατόπεδα ἀμφότερα· καὶ γενομένης συμβολῆς, ἐνίκων οἱ Ῥωμαῖοι κατὰ κράτος. καὶ τοὺς πλείστους μὲν ἔκτειναν τῶν βαρβάρων, εἶλον δὲ καὶ ζῶντας πολλούς. [25]

3 65

ἔπεσε δὲ καὶ ὁ ἕτερος τῶν στρατηγῶν κατὰ τὴν μάχην, Καραμαχούμετ προσαγορευόμενος. ὁ δὲ λοιπὸς, Μαρατουμάνος, ὀλίγους τῶν ἐν τῷ αὐτίκα τὸ ἀποθανεῖν διαφυγόντων ἔχων, τῶν ἵππων ἀποβάντες λόφῳ προσεχώρησάν τινι καὶ καταστάντες ἠμύνοντο βάλλοντες συχνοῖς τοῖς βέλεσιν ἀπὸ τοῦ λόφου τοὺς Ῥωμαίους, καὶ πολλοὺς ἐτίτρωσκον στρατιώτας τε καὶ ἵππους. κελεύσας δὲ ὁ βασιλεὺς ἀποσχέσθαι μάχης τὸ στρατόπεδον, ἐγγὺς γενόμενος αὐτὸς, ἐκέλευε τοῖς Πέρσαις προσχωρεῖν αὐτῷ, μηδὲν ὑποπτεύοντας δεινόν. ἦν γὰρ αὐτοῖς οὐκ ἄγνωστος, πολλάκις συστρατεύσασι κατὰ τὸν τοῦ ἐμφυλίου πολέμου χρόνον. οἱ δ' ἔφασαν γνώμης μὲν οὕτως ἔχειν, ὡς ἐν τοῖς ὅπλοις ἀποθνήσκειν ἀμυνόμενοι καὶ μὴ καταπροΐεσθαι τὰς τοῦ σώζεσθαι ἐλπίδας· μὴ δ' ἀλλάττεσθαι δουλείαν αἰσχρὰν καὶ ἀγεννῆ ἀντὶ τοῦ μαχομένους γενναίως ἀποθνήσκειν. αὐτοῦ δὲ καλοῦντος καὶ κελεύοντος θαῤῥεῖν, ὡς οὐδὲν ὑπομενοῦντας ἀγεννὲς, προθύμως ἐγχειρίσειν σφᾶς, καὶ προσῄεσαν αὐτίκα, καὶ περιιστάμενοι προσεκύνουν καὶ ἠσπάζοντο τοὺς πόδας, μόνον ἔχοντες ἐν μέσοις. διαλεγομένου δὲ ἐκείνου τοῖς Πέρσαις καὶ τὴν ἀγνωμοσύνην ὀνειδίζοντος, ὅτι τῶν φίλων ὄντες στρατεύσειαν ἐπὶ τὴν ἐκείνου, Νικηφόρος δεσπότης, ὁ βασιλέως γαμβρὸς, μετά τινων ἑτέρων νέων ἐξ εὐπατριδῶν, ἀταξίᾳ χρησάμενοι καὶ ἀβουλίᾳ, ἐν χρῷ κινδύνου κατέστησαν τὸν βασιλέα. ἀθρόον γὰρ τοῖς περιεστηκόσι Πέρσαις ἐπιδραμόντες, ἔκτεινον. [20]

3 66 ἐκεῖνοι δὲ γυμνώσαντες τὰ ξίφη, ῥᾳδίως μὲν ἂν, εἰ ἐβούλοντο, ἀπέκτενον βασιλέα ἐν μέσοις περιειλημμένον· νομίσαντες δὲ, ὅπερ ἦν, οὐ κατὰ τὴν ἐκείνου γνώμην, ἀλλ' ἀταξίᾳ τῶν στρατιωτῶν γεγενῆσθαι τὴν ἐπιβουλὴν, ἠγνωμόνησαν οὐδέν. βασιλεὺς δὲ ἐπεὶ ἑώρα κτεινομένους, ἐκέλευεν αὖθις εἰς τὸν λόφον ἀνατρέχειν Περσιστὶ καὶ σώζεσθαι· ἄπειρος γὰρ οὐ παντάπασιν ἦν τῆς ἐκείνων διαλέκτου. καὶ ἀνελθόντες αὖθις καθίσταντο εἰς μάχην, ἐννέα κατὰ τὴν ἔφοδον πεσόντων καὶ τοῦ στρατηγοῦ. βασιλεὺς δὲ πρὸς ὀργὴν τόν τε γαμβρὸν καὶ τοὺς στρατιώτας ἀφίστη τῶν Περσῶν, καὶ δίκας τῆς ἀταξίας ἐπετίθει· τοῖς περιλειφθεῖσι Πέρσαις δὲ κατὰ τὸν λόφον παρασχόμενος δωρεὰς, ἐλευθέρους ἀπέπεμπεν εἰς τὴν οἰκείαν, οὐχ ἑαυτοῦ νομίσας εἶναι μὴ διασώζειν τοὺς ἀπολυπραγμόνως πιστεύσαντας ἐκείνῳ τὴν σφετέραν σωτηρίαν. ὑπὸ δὲ τὸν αὐτὸν χρόνον καὶ Ματθαῖος ὁ υἱὸς, τῶν κατὰ τὴν Χαλκιδικὴν πόλεων ἔχων τὴν ἀρχὴν, ἑτέραν ἐνίκα στρατιὰν Περσῶν πεζήν. ἣν ναυσὶ περαιωθεῖσαν καὶ τὰ ἐκείνῃ χωρία λῃϊζομένην ἐνίκησε συμβαλὼν, οὖσαν οὐκ ὀλίγην· καὶ τοὺς μὲν ἀπέκτεινε κατὰ τὴν μάχην, τοὺς δὲ εἶλε ζῶντας, οὐδενὸς ἀπολειφθέντος. συνηνέχθη δὲ κἀκεῖνον ἐν χρῷ κινδύνου κατὰ τὴν μάχην ἐκείνην γεγονέναι. ἀκρατῶς γὰρ ἐπελαύνων τοῖς πολεμίοις ὑπὸ προθυμίας καὶ κτείνων ἐν ταῖς διεξόδοις καὶ ἀναστροφαῖς, τοῦ ἵππου συμποδισθέντος, ἀπερῥύη. περιστάντων δὲ τῶν βαρβάρων, ἠμύνετο πεζὸς, καὶ τοῦ πρώτως ἐγγὺς γεγενημένου τὴν κεφαλὴν ἀπέτεμε τῷ ξίφει ἐπιπλήξας. [20]

3 67 οἱ δὲ ἄλλοι δείσαντες ὑπεχώρουν, καὶ τῶν οἰκείων στρατιωτῶν ἵππον ἕτερον προσαγαγόντων, ἀπαθής τε ἐπέβη καὶ τὴν νίκην καθαρὰν προσεξειργάσατο. αὐτίκα τε ἔπεμπε πρὸς βασιλέα τὸν πατέρα τοὺς τὴν νίκην ἀπαγγελοῦντας. τὰ ἴσα δὲ καὶ βασιλεὺς ἐποίει πρὸς τὸν υἱόν. καὶ συνέβαινε τοὺς ἀγγέλους τῶν τροπαίων κατὰ μέσην τὴν ὁδὸν ἀλλήλοις ὑπαντᾷν. βασιλεὺς δὲ μετὰ τὴν νίκην ἐκ Μεσήνης εἰς Διδυμότειχον ἐλθὼν, ἐνόσησε τοὺς νεφροὺς ἐφ' ὁλόκληρον ἐνιαυτὸν, καίτοι παρὰ πάντα τὸν βίον ἄχρι τότε μηδέποτε μηδὲν χρόνιον νοσήσας, ἀλλὰ κατὰ περίοδον ὀγδόου ἢ ἑβδόμου ἐνιαυτοῦ ὑπὸ τριταίου πυρετοῦ ὀχλούμενος, ἄχρι τρίτης περιόδου αὐτίκα ἀπηλλάττετο. τότε δὲ καὶ πρὸ τῆς μάχης τῶν νεφρῶν αὐτῷ ὀδυνωμένων, μετὰ τὴν μάχην εὐθὺς ἐπέκειτο λαμπρῶς τὸ νόσημα. ἐδόκει δὲ καὶ αὐτὸς αἰτίαν παρασχεῖν πρὸς τὸ ἄλγημα οὐ τὴν τυχοῦσαν. κατὰ γὰρ τὴν μάχην πολλῷ περιῤῥεόμενος ἱδρῶτι ἐκ τοῦ κατὰ τὸν ἀγῶνα μόχθου, ἄλλως θ' ὅτι καὶ πνῖγος ἦν ἐν θέρους ὥρᾳ, τὰ ὅπλα ἀποθέμενος, ἀνέμοις ἐνετύγχανεν εὐκράτοις καὶ πλέον ἢ προσῆκε ψύχουσιν, ἐξ ὧν ὑπωπτεύετο τὸ νόσημα ἐπιπλέον

τὴν αἰτίαν σχεῖν. ἐνόσει μὲν οὖν ὁ βασιλεὺς καὶ ἰατρῶν ἐξήρκει τέχνη οὐδεμία, καίτοι γε τῶν μάλιστα εὐδοκιμεῖν δοκούντων ἰατρῶν ἐκεῖ παρόντων, ἄχρις ἐφ' ἑτέραν ἐνιαυτοῦ περιτροπὴν ἐλύθη αὐτομάτως, τὴν αἰτίαν συνιδεῖν τῶν ἰατρῶν μὴ δυνηθέντων, ἐξ ἧς ἐγένετο ἢ ἐλύθη. [25]

3 68 ἐτρέφετο δὲ συνήθως, μηδὲν παραβλαπτόμενος ὑπὸ τῆς ἀλγηδόνος τῶν νεφρῶν, καὶ ἐπέβαινεν οὐκ ὀλιγάκις ἵππου, πρὸς τὴν ἐπὶ κλίνης ἀχθόμενος διατριβήν, δυσχερῶς δὲ καὶ οὐκ ἄνευ ἀλγηδόνων. ια'. Ἐν ὅσῳ δὲ ἐκεῖνος ἐνόσει ἐν Διδυμοτείχῳ, ὁ παρὰ τῶν ἐν Γαλατᾷ Λατίνων πόλεμος ἀνήπτετο, ἔσχε δὲ τὴν ἀρχὴν ἐξ αἰτίας τοιαύτης. τοῦτο τὸ γένος ἀεὶ μὲν ἐπίβουλον καὶ πολέμιον Ῥωμαίοις καὶ πρὸς ἐπιορκίας ἑτοιμότατον, ἂν συνορῴῃ δυνατὴν τὴν ἐπιχείρησίν τινος· καὶ βασιλέως γὰρ τοῦ νέου Ἀνδρονίκου περιόντος, Φώκαιαν κατέσχον ἐπιορκήσαντες καὶ Μιτυλήνην, εἰ καὶ μηδὲν ἠδυνήθησαν ἀπόνασθαι τῆς πονηρίας, καλῶς καὶ μετὰ τῆς προσηκούσης αὐτοῖς αἰσχύνης ἐξελαθέντες, καὶ μετὰ τὴν ἐκείνου τελευτὴν, καθ' ὃν ὁ συγγενικὸς πόλεμος χρόνον Ῥωμαίοις ἦν, Χίῳ ἐπιθέμενοι, ἐκράτησαν ἀμελήσαντες τῶν ὅρκων καὶ τῶν συνθηκῶν τῶν πρὸς Ἄνναν τὴν βασιλίδα· ὕστερον δὲ, ἐπεὶ ἡ εἰρήνη ἦν καὶ βασιλεὺς ὁ Καντακουζηνὸς ἐκράτει τῶν πραγμάτων, ἐδέοντο προσελθόντες παραχωρῆσαί σφισι τοῦ ὑπὲρ τὸ φρούριον χωρίου, πρόφασιν μὲν ὡς μείζω τοῦ φρουρίου τὸν περίβολον ποιήσοντες, τοῦ ὄντος πρὸς οἴκησιν οὐκ ἐξαρκοῦντος, τῇ δ' ἀληθείᾳ τὸ χωρίον βουλόμενοι τειχίσματι διαλαβεῖν, ἵνα μὴ ῥᾴδιοι πολιορκεῖσθαι εἶεν· ἄναντες γὰρ ὂν καὶ οἷον ἐπικρεμάμενόν σφισι κατὰ κεφαλῆς, οὐ μικρὰν παρεῖχε βλάβην, εἴποτε συμβαίη πρὸς πόλεμον Ῥωμαίοις καταστῆναι. [20]

3 69 ἐνενόουν γὰρ οὐδὲν μικρὸν, ἀλλὰ θαλασσοκρατεῖν ἐβούλοντο καὶ Ῥωμαίους ἀπείργειν πλεῖν, ὥς σφισι προσηκούσης τῆς θαλάσσης, (ἑώρων γὰρ Ῥωμαίους τότε μᾶλλον τῶν ἄλλων χρόνων προσχόντας τῇ θαλάσσῃ καὶ ὁλκάδας καὶ ναῦς ἑτέρας φορτηγοὺς οὐκ ὀλίγας κτησαμένους, πολλὴν πρόνοιαν Καντακουζηνοῦ τοῦ βασιλέως ποιησαμένου περὶ τοῦτο,) ἃ ὑπενόουν βασιλέα οὐκ ἀνέξεσθαι. διὸ καὶ πρότερον ἢ ἐκφαίνειν, ἃ διενοοῦντο, τοὺς ὑπόπτους ἐβούλοντο προκαταλαμβάνειν τόπους, ἐξ ὧν ᾤοντο βλαφθήσεσθαι. βασιλεὺς δὲ αὐτῶν τὴν ἐπίνοιαν οὐκ ἀγνοῶν, ναῦς τε παρεσκευάζετο, ὡς, εἰ δέοι πολεμεῖν, ἑτοίμους εἶναι, καὶ τοῦ χωρίου τὴν παράληψιν αὐτοῖς ἀπηγόρευε παντάπασιν. ᾔδει γὰρ αὐτοὺς φόβῳ μᾶλλον, ἢ εὐγνωμοσύνῃ καὶ εὐορκίᾳ ἀποσχησομένους τῶν ἀτόπων βουλευμάτων. διὸ καὶ ὑπὸ τῶν ἄλλων Λατίνων ὄνοις παρεικάζεται τὸ γένος τοῦτο. ἐκεῖνός τε γὰρ, ἂν ὁ ἐλαύνων μὴ δύνηται βαρείας πληγὰς ἐντείνειν, οὐκ ὀρθοποδεῖ πρὸς τὴν ὁδὸν, ἀλλὰ παραφέρεται παρατρεπόμενος καὶ τῆς ὁδοιπορίας ἀμελῶν διὰ τὴν ἀδυναμίαν τοῦ ἐλαύνοντος· καὶ οὗτοι, ἂν μὴ τὸν τοῦ κακῶς παθεῖν φόβον ἔχωσιν ἐπηρτημένον, ἐξ οὐδεμιᾶς αἰτίας ἄλλης τὰ δέοντά ποτε βουλήσονται ποιεῖν. βασιλεὺς μὲν οὖν αὐτῶν εἰδὼς τὴν μοχθηρίαν, οὐ παρεχώρει τοῦ χωρίου. ἐκεῖνοι δὲ τάς τε τριήρεις ὁρῶντες κατασκευαζομένας, ἀχθόμενοί τε ὁμοίως πρός τε τὴν ἀποτυχίαν τοῦ χωρίου καὶ πρὸς τὸ πλῆθος τῶν φορτίδων, ἃς ἐκτήσαντο Ῥωμαῖοι ναῦς, ἐσκέψαντο πόλεμον κινεῖν, ἵν' ὁμοῦ τε εἴργωσι Ῥωμαίους τῆς θαλάττης, καὶ τὸ χωρίον, εἰ δύναιντο, τειχίζωσι, βασιλέως ἄκοντος. [20]

3 70 καὶ συνέλεγον λίθους λογάδην ἐφ' ἑτέραις δή τισι προφάσεσι, καὶ τὴν ἄλλην ὕλην συνεπόριζον ἐν ἀπορῥήτῳ. ἐπεὶ δὲ βασιλεὺς νοσεῖν ἐν Διδυμοτείχῳ ἔγνωσται, καιρὸν εἶναι οἰηθέντες ἐπιτηδειότατον αὐτοῖς πρὸς ἐπιχείρησιν, ἀθρόον ἐπιτίθενται νυκτὸς τοῖς κατὰ τὴν περαίαν οἰκοῦσι Ῥωμαίοις πρῶτον, καὶ τὰς οἰκίας ἁπάσας ἐνέπρησαν πυρί. εἰς τὴν ὑστεραίαν δὲ τὰς σφῶν τριήρεις ἐφοπλίσαντες, οὔσας παρεσκευασμένας, καὶ ἀκάτια καὶ λέμβους, ὅσα ἦν, τὰς ἔξω τειχῶν παρὰ τὴν θάλασσαν Βυζαντίου οἰκίας ἐνεπίμπρων καὶ ὁλκάδας τὰς μὲν ἐλάμβανον, τὰς δὲ ἐνεπίμπρων· κατέκαυσαν δὲ καὶ τὰς κατασκευαζομένας ἁπάσας τριήρεις πλὴν τριῶν, ἃς, ἐπεὶ τὸ κακὸν πάντα ἐπενέμετο, ἄραντες ἐξ οὗ κατεσκευάζοντο τόπου τοῦ Κοσμιδίου

προσαγορευομένου, τοῦ βασιλέως υἱοῦ κελεύσαντος, διὰ τοῦ κατὰ τὴν καλουμένην Πίσσαν διιόντος ποταμοῦ διαγαγόντες, ἀνείλκυσάν τε πρὸς τὴν χέρσον, καὶ φρουρὰν ἑκατέρωθεν ἐπιστήσαντες, ἐφύλαττον. οὕτω μὲν οἱ Λατῖνοι τὸν πόλεμον κατὰ Ῥωμαίων φανερῶς ἐξήνεγκαν, καὶ ἐξ ἐκείνου ἤδη τῆς θαλάσσης ἄρχοντες, πάντα ἄνω καὶ κάτω τὰ παράλια παραπλέοντες, ἐκάκουν καὶ πυρὶ τὰ πάντα ἐπενέμοντο, πανδημεί τε ἐξελθόντες, πρῶτα μὲν ἐτείχιζον τὸν λόφον, πύργον ἐγείροντες πρὸς τῇ ἀκρολοφίᾳ, καὶ πᾶσαν ἐπεδείκνυντο σπουδὴν, καὶ ἄνδρες ὁμοίως καὶ γυναῖκες· καὶ οὐδ' οἱ περιφανέστατοι αὐτῶν ἀπηξίουν τὸ τοῖς ἄλλοις συναίρεσθαι πρὸς τὴν οἰκοδομίαν. [20]

3 71 ἔπειτα καὶ τὸ ἐπίλοιπον τοῦ χωρίου διαλαβόντες διετείχιζον ἄχρις οὗ ἐξήρκεσεν ἡ ὕλη, καὶ εἰς ὕψος τε ἤρετο τὸ τεῖχος ἱκανὸν αὐτοῖς, καὶ ἄλλην πᾶσαν ἐκ κατασκευῆς ἀσφάλειαν ἐπετεχνῶντο. ὅσον δὲ οὐκ ἐξῆν τειχίζειν δι' ὕλης ἀπορίαν, χαρακώμασι μεγάλοις καὶ σταυροῖς περιελάμβανον, καὶ ἐν ὀλίγῳ χρόνῳ τὸ χωρίον ἅπαν εἶχετο. βασιλεὺς δὲ ἐπεὶ ἐπύθετο τὰ παρὰ τῶν ἐν Γαλατᾷ τετολμημένα, ἤλγησε μὲν οὐ μέτρια ἐφ' οἷς τοιαῦτα ἔπασχεν ὑπὸ Λατίνων, τὴν Ῥωμαίων οἰκούντων γῆν καὶ δικαίων ὄντων ἀκριβῶς δουλεύειν. ὅμως ὡς εἶχε, καίτοι πιεζόμενος ὑπὸ τῆς νόσου ἔτι, εἰς Βυζάντιον ἀφῖκτο. αὐτίκα δὲ οἱ ἐν Βυζαντίῳ, μάλιστα οἱ περὶ ἐμπορίας ἠσχολημένοι καὶ οἱ ἐν ἐργαστηρίοις διατρίβοντες, ἐν βασιλείοις συνελθόντες, ἐδέοντο βασιλέως, μὴ σφᾶς περιιδεῖν οὕτως ὑπὸ Λατίνων τῶν ἐν Γαλατᾷ περιφρονουμένους καὶ τὰ ἀνήκεστα ὑπομένοντας, ἀλλὰ δίκας τῶν τετολμημένων ἀπαιτῆσαι τριήρεις ἐφοπλίσαντα. αὐτοὺς δὲ ἑτοίμους εἶναι χρήματα παρέχειν πρὸς τὸν πόλεμον, ᾗ ἂν ἕκαστος εὐπορίᾳ. μᾶλλον γὰρ τῶν ἄλλων ἐκείνων ἥψατο ἡ παρὰ Λατίνων φθορὰ γεγενημένη. νῆές τε γὰρ καὶ χρήματα καὶ οἰκίαι αἱ ἐμπρησθεῖσαι, τὰ σύμπαντα σχεδὸν ἐκείνων ἦσαν. βασιλεὺς δὲ πρῶτα μὲν ἐμέμφετο αὐτοῖς, ὡς οὐ χρωμένοις κατὰ καιρὸν τῇ προθυμίᾳ· τότε γὰρ ἔδει παρέχεσθαι τὰ χρήματα προθύμως, ὅτε συνεβούλευεν αὐτὸς, καὶ νῦν Λατίνοις οὐδὲν ἂν τοιοῦτον ἐτολμᾶτο. [25]

3 72 τοῦτο γὰρ ἐκ τῆς πολυπειρίας τῶν πραγμάτων προορώμενον αὐτὸν, καὶ πρὶν γενέσθαι, συμβουλεύειν, ἅπερ ᾤετο μετὰ μικρὸν τὰ μέγιστα λυσιτελήσειν. ὅμως καὶ αὐτὸς, ἐπεὶ ἐδόκει πρὸς τὸν πόλεμον χωρεῖν, χρήματά τε ἐκέλευεν εἰσφέρειν Βυζαντίους, καὶ Κωνσταντῖνον τὸν Ταρχανειώτην ἐφίστη πρὸς τὴν εἴσπραξιν, καὶ αὐτὸς ἐτρέπετο τριήρεις κατασκευάζειν. τῆς θαλάττης δὲ ὑπὸ τῶν Γαλατίων κατεχομένης, ἐπεὶ ἐν ἀπόρῳ ἦν ξύλα ναυπηγήσιμα κομίζειν ἐκ θαλάττης, ζεύγεσι καὶ ἡμιόνοις ἐκ τῶν κατὰ τὸ Σεργέντζιον ὀρῶν ἐκέλευε κομίζειν. καὶ ἤγοντο μοχθηρῶς ἄγαν καὶ δυσέργως· καὶ πρὸς τῷ λεγομένῳ Κοντοσκαλίῳ νεωρίῳ αἱ τριήρεις ἐναυπηγοῦντο. οἱ ἐν Γαλατᾷ δὲ Λατῖνοι ἤλπιζον μὲν αὐτίκα ἐλθόντα βασιλέα τὸν πρὸς αὐτοὺς ἀπογνόντα πόλεμον, πάντων αὐτοῖς παραχωρήσειν, ὧν ἐβούλοντο, καὶ χωρήσειν πρὸς συμβάσεις, ἄρχοντας καταλιπόντα τῆς θαλάσσης. ὡς δ' ἀπήντα κατὰ γνώμην αὐτοῖς οὐδὲν, ἀλλὰ ναῦς ἑώρων ναυπηγούμενον καὶ παρασκευαζόμενον πρὸς μάχην, μεταβαλόντες πρεσβείαν ἐποιοῦντο καὶ περὶ εἰρήνης διελέγοντο. βασιλεὺς δὲ αὐτοῖς τὴν πονηρίαν καὶ τὴν ἀγνωμοσύνην ὀνειδίσας, ὅτι μηδὲν μήτε πρότερον, μήθ' ὕστερον ὑπ' αὐτοῦ ἀδικηθέντες, μηδὲ πρόφασιν πολέμου παρεσχημένου μηδεμίαν, αὐτοὶ τοσαῦτα ἠγνωμόνησαν καὶ τοσαύτης ἦρξαν ἀδικίας καὶ φθορᾶς. [20]

3 73 ἔπειτα ἐκέλευε τὸ τειχισθὲν χωρίον καταλείπειν καὶ τὰ τείχη καθαιρεῖν. οὕτω γὰρ ἔσεσθαι σπονδὰς αὐτοῖς καὶ εἰρήνην πρὸς αὐτὸν, συγγνώμην παρασχόμενον, ὧν ἐζημίωσαν κατὰ τὸν πόλεμον. οἱ δὲ οὐδ' ἄκροις κατεδέχοντο ὠσὶν, ἀλλὰ δεῖν ἔφασαν αὐτοῖς τοῦ χωρίου παραχωρεῖν τετειχισμένου, ἢ οὐδενὸς τῶν πρὸς αὐτοὺς ἡκόντων ἀμελήσειν. καὶ ἅμα ἐπετείνετο ὁ πόλεμος, καὶ περιπλέοντες διέφθειρον τοὺς προστυχόντας. ἐπεὶ δὲ τὴν θάλατταν ἄπλωτον ἐποίησαν Ῥωμαίοις, ἐφ' ὁλκάδος μυριοφόρου μηχανὴν ἐπιστήσαντες τειχομαχικὴν,

ἀφ' ἧς λίθου βάρος, ὅσον εὔρωστος ἀνὴρ ἂν ἄροιτο, ἠφίετο. εἶτα τριήρει περιέλκοντες τὴν ὁλκάδα, λίθους ἠφίεσαν πανταχοῦ τῆς πόλεως, ἔβλαπτον δὲ οὐδέν. βασιλεὺς δ' ἐπεὶ ἐκ τοῦ αὐτίκα ἀντιτάττεσθαι αὐτοῖς οὐκ εἶχεν ἐκ θαλάττης, τριηρέων ἀπορῶν, στρατιὰν ἐκ τῆς ἠπείρου πέμπων, ἐφόδους ἐκέλευε συχνὰς ποιεῖσθαι, καὶ ἔβλαπτον ὅσα δυνατά. οὐ μὴν οὐδὲ τῆς θαλάττης παντάπασιν ἠμέλει, ἀλλὰ πετροβόλους στήσας μηχανὰς τὸ μέγεθος ὑπερφυεῖς, λίθους ἐκέλευεν ἐκ Βυζαντίου ἀφιέναι πρὸς Γαλατᾶν. διικνοῦντο γὰρ καὶ πολλὰς κατέστρεψαν οἰκίας, μάλιστα τὰς παρὰ θάλασσαν, καὶ ταῖς ὁλκάσι τῶν Λατίνων οὐκ ὀλίγα ἐλυμήναντο οἱ λίθοι. τήν τε τὴν μηχανὴν ἀνέχουσαν ὁλκάδα κατέδυσαν βαλόντες, μόλις τῶν ἐπιβατῶν τὸν κίνδυνον διαφυγόντων. οἱ Λατῖνοι δὲ καὶ δὶς καὶ τρὶς περὶ εἰρήνης πρεσβείαν ἐποιήσαντο, οὐκ ἠνέσχετο δὲ ὁ βασιλεὺς, εἰ μὴ τὰ τείχη καθελόντες, τὸ χωρίον καταλίποιεν. [20]

3 74 ἐν τούτοις δὲ οὐκ ὀλίγου τριβέντος χρόνου, καὶ τῶν τριηρέων ναυπηγηθεισῶν, ναύτας τε κατέλεγεν ὁ βασιλεὺς καὶ ὁπλίτας, καὶ τὰ ἄλλα πάντα ἐξηρτύετο πρὸς μάχην· στρατηγούς τε ἐφίστη, ταῖς μὲν πρὸς τῇ Πίσσῃ τρισὶ τριήρεσι Φακεωλάτον τὸν πρωτοστράτορα, ταῖς δ' ἐν τῷ Κοντοσκαλίῳ ναυπηγηθείσαις Τζαμπλάκωνα τὸν μέγαν δοῦκα. ἐφιλονείκησε δὲ ὁ μέγας δοὺξ φιλοτιμότερον προσεξεργάσασθαι τὰς ἰδίας· ἦσαν γὰρ καὶ μέγισται μεγέθει, καὶ ξυλίνους ἐπιστήσας πύργους καὶ τοὺς ἐρέτας ἄνωθεν ἐρέψας, διπλᾶς ἐποίει τὰς τριήρεις, καὶ πλῆθος ὁπλιτῶν ἐπέστησε καὶ ψιλῶν, ὃ καὶ μάλιστα ἔβλαψε κατὰ τῆς μάχης τὸν καιρὸν, ὡς ὀλίγῳ ὕστερον εἰρήσεται. τῇ προτεραίᾳ δὲ, ἧς ἔμελλον ἀνάγεσθαι αἱ τριήρεις ἐκ τοῦ νεωρίου, ὁλκὰς ἀναπλέουσα ἐφαίνετο ἐκ Γεννούας, πλοῦτον ἄγουσα, ὡς ἐλέγετο, πολύν. ἁπλοίας δὲ, τῶν ἀνέμων παυσαμένων, κατασχούσης, πρὸς Πριγγίπῳ τῇ νήσῳ ὡρμίζετο ἐπ' ἀγκυρῶν. ἐφ' ἣν δύο τῶν βασιλικῶν τριηρέων ἐκ τοῦ νεωρίου ἀνήγοντο νυκτός· παρείποντο δὲ καὶ μονήρεις ἴσαι. καὶ προσβαλόντες τῇ ὁλκάδι, ἐπεὶ ἠμύνοντο οἱ ἔνδον κραταιῶς, πῦρ ἐνίεσαν οἱ τριηρῖται, καὶ οὕτω περιγενόμενοι, ἐπέβησάν τε τῆς ὁλκάδος, οὐκ ὀλίγους τῶν ἀμυνομένων ἀποκτείναντες, καὶ πάντων ἦσαν ἤδη κύριοι. φήμης δὲ ἀδήλως ταῖς τριήρεσιν ἐπιπεσούσης, ὡς τριήρεις ἐπιπλέουσιν ἐκ Γαλατᾶ Λατινικαὶ, ἐτράπησαν εἰς φυγὴν, ὀλίγῳ ἐλάσσους πεντήκοντα τῶν οἰκείων καταλιπόντες ἐπὶ τῆς ὁλκάδος. [20]

3 75 ἦσαν δὲ παντάπασι ψευδεῖς αἱ φῆμαι. οἱ δὲ καταλειφθέντες Ῥωμαῖοι ἐπὶ τῆς ὁλκάδος, αἰσθόμενοι ἀποπλευσάσας τὰς τριήρεις, ἐν ἀμηχανίᾳ καταστάντες, εἰς λόγους ἦλθον τοῖς Λατίνοις νενικημένοις ἤδη κατὰ κράτος. καὶ συνέβησαν ὥστε κοινῇ σβεννύειν κατακαιομένην τὴν ὁλκάδα, ἵνα μὴ συνδιαφθαρῶσι καὶ αὐτοί. εἰς τὴν ἐπιοῦσαν δὲ, ἂν μὲν Ῥωμαῖοι ἐπιπλεύσαντες, κύριοι τῆς ὁλκάδος γένωνται, συνδιασώζειν τοὺς ἀπολειφθέντας Ῥωμαίους τοὺς Λατίνους ἐξαιτησαμένους παρὰ τῶν ἀρχόντων· ἂν δ' οἱ Λατῖνοι ἐπιπλέωσι καὶ κυριεύωσι τῆς ὁλκάδος, τὰ ἴσα Λατίνους ποιεῖν πρὸς τοὺς Ῥωμαίους, ὃ καὶ ἐγένετο ἅμα ἕῳ. ἐπεὶ γὰρ οὕπω πᾶσαι παρεσκευασμέναι ἦσαν αἱ βασιλικαὶ τριήρεις, οἱ Λατῖνοι ἐπιπλεύσαντες, ἡμιφλεγῆ ἀνεῖλκον τὴν ὁλκάδα. διέσωζον δὲ καὶ τοὺς Ῥωμαίους κατὰ τοὺς ὅρκους οἱ ἐν τῇ νηΐ. αἱ βασιλικαὶ δὲ τριήρεις ἐπεὶ πᾶσαι παρεσκευασμέναι ἦσαν, καὶ οὐδὲν ἐνέδει ἔτι, ἀνήγοντο ἐκ τοῦ νεωρίου πᾶσαι διαπρεπῶς κεκοσμημέναι, καὶ πλήθει ὁπλιτῶν καὶ λαμπρότητι καὶ μεγέθει παρασκευῆς οὐδενὶ τῶν ἐκ πολλοῦ γεγενημένων Ῥωμαίοις στόλων ἐλασσούμεναι. παρείποντο δὲ καὶ μονήρεις οὐκ ὀλίγαι καὶ λέμβοι καὶ ἀκάτια ὁπλίτας ἄγοντα, ἔχθει τῶν Λατίνων προθύμως ἁπάντων συστρατευομένων. οἵ τε Λατῖνοι πρὸς τὸ μέγεθος τῆς παρασκευῆς ἐκπεπληγμένοι, πάντα μᾶλλον ἢ πρὸς τὰς βασιλικὰς τριήρεις διανaυμαχεῖν διενοοῦντο, ἀλλὰ τὰς σφετέρας τριήρεις πεπληρωμένας ἔχοντες, ὡρμίζοντο πρὸ τοῦ φρουρίου, δόκησιν μὲν παρέχοντες, ὡς ἐμβαλοῦντες ἐπιοῦσι τοῖς βασιλικοῖς, οὕτω δὲ ἦσαν παρεσκευασμένοι, ὡς τὰς μὲν τριήρεις καλωδίοις ἀνελκύσοντες, ἂν αἴσθωνται τὰς βασιλικὰς ἐπιπλεούσας, αὐτοὶ δ' ἀμυνούμενοι ἀπὸ τῶν τειχῶν. [5]

3 76 ἦσαν δὲ φαυλοτάτας ἔχοντες τὰς ἐλπίδας τοῦ καὶ ἐν τοῖς τείχεσι διασωθήσεσθαι. αἱ μὲν οὖν βασιλικαὶ τριήρεις ἀναχθεῖσαι ἐκ τοῦ νεωρίου, αὐτοῦ που πλησίον ηὐλίσαντο τὴν νύκτα, διανοούμενοι, ὡς ἐς τὴν ὑστεραίαν ταῖς μετὰ τοῦ Φακεωλάτου τρισὶ τριήρεσιν εἰς ἓν γενόμενοι, Γαλατίοις ἐπιπλεύσωσι. Φακεωλάτος δὲ καὶ αὐτὸς τὰς τριήρεις ἐφοπλίσας, παρεσκευασμένος ἦν ὡς ἐς τὴν ὑστεραίαν ἐξορμήσων, καὶ ὁ βασιλεὺς ἱππικὴν ἔπεμπε στρατιὰν ἅμα δεσπότῃ τῷ υἱῷ πολλήν τε καὶ ἀγαθὴν, ὡς, τῆς συμβολῆς γενομένης τῶν τριηρέων, καὶ αὐτοὶ προσβάλοιεν ἐκ τῆς ἠπείρου. ἐπεὶ δὲ ἡμέρα ἤδη ἦν, αἱ μὲν ἐκ τοῦ νεωρίου τριήρεις ἀναχθεῖσαι πρὸς τῇ Εὐγενίου καλουμένῃ πύλῃ ἤδη ἦσαν, αἱ δὲ μετὰ Φακεωλάτου τοῦ πρωτοστράτορος καὶ αὐταὶ τοῦ ποταμοῦ ἐξορμηθεῖσαι, ἠπείγοντο ταῖς ἄλλαις ἐν ταὐτῷ γενέσθαι· τοῦ δὲ πάντα ἄγοντος θεοῦ καὶ πᾶσι ταλαντεύοντος δικαίως Ῥωμαίους, ὡς ἔοικεν, εἰς πολλῶν ἄλλων ἔκτισιν ἁμαρτημάτων τιμωρουμένου καὶ τοῖς πολλῷ χείροσιν ἡττᾶσθαι παραχωροῦντος, ἀθρόον πνεύματος ἀκρίτου προσπεσόντος, καὶ πρώτας ἀνατρέψαντος τὰς τρεῖς τριήρεις, ἐφ’ αἷς οἱ ξύλινοι πύργοι ἦσαν, καὶ οἱ ἄλλοι αὐτοῖς ὅπλοις κατέπιπτον ἀπὸ τῶν νεῶν ἐπὶ τὴν θάλασσαν, καὶ ναῦται ὁμοίως καὶ ὁπλῖται, καὶ ἐν μιᾷ ῥοπῇ χρόνου πᾶσαι ἐωρῶντο κεναὶ ἐπιβατῶν. [5]

3 77 τῷ αὐτῷ δὲ χρόνῳ καὶ ὧν ὁ Φακεωλάτος ἐστρατήγει, τῶν καταστρωμάτων καὶ αὐτοὶ ἐπὶ τὴν θάλασσαν κατέπιπτον, καὶ ὅλεθρος ἦν παντοῖος ναυτῶν ὁμοῦ καὶ ὁπλιτῶν. οἱ μὲν οὖν πολλοὶ διεσώθησαν, ἐγγὺς τῆς γῆς γεγενημένης τῆς τροπῆς, ἀπέθανον δὲ ἐν τοῖς ὕδασιν ὀλίγῳ ἐλάσσους διακοσίων, καὶ ἐκ τῶν μετὰ τοῦ Τζαμπλάκωνος τεταγμένων τοῦ μεγάλου δουκὸς ὁ Φιλανθρωπηνὸς Μανουὴλ, τῆς ναυαρχίδος ἄρχων, ἀνὴρ κατὰ χεῖρα γενναῖος καὶ τῆς παρὰ βασιλέως εὐμενείας ἀπολαύων μάλιστα. οἱ ἐν Γαλατᾷ δὲ Λατῖνοι ἀναθαρσήσαντες, ἀναχθέντες ἀνεῖλκον τὰς τριήρεις ἀναψάμενοι, κωλύοντος οὐδενὸς, οὐδὲ ἀμυνομένου, καὶ ἀναιμωτὶ τὴν νίκην εἶχον. ἡ δὲ ἐκ τῆς ἠπείρου στρατιὰ μετὰ βασιλέως τοῦ υἱοῦ ἔργου μὲν ἔχεσθαι ἐβούλοντο, οἰόμενοι καὶ τὸ ναυτικὸν ἐκ τῆς θαλάττης ἐμβαλεῖν. ἐπεὶ δὲ ἑώρων τὰς Ῥωμαίων ναῦς κενὰς ἀνελκομένας, ἀνεχώρουν καὶ αὐτοί. βασιλεὺς δὲ τὴν τοσαύτην δύναμιν ἐκ προφάσεως οὐδεμιᾶς ὁρῶν ἀπολωλυῖαν, ἐστέναξε μὲν τὴν τοιαύτην κακοπραγίαν τῶν Ῥωμαίων, οἵων αἴτιον κακῶν τὸ θεῷ προσκρούειν συνορῶν, οὐδὲν δὲ ὑφῆκε τοῦ φρονήματος, οὐδὲ κατέπεσε πρὸς τὴν ἧτταν, ἀλλ’ εὐθὺς ἐπὶ ξυλισμὸν ἐκέλευε χωρεῖν, ὡς τριήρεις ἑτέρας κατασκευάσων αὖθις, καὶ ἐφίστη τοὺς ἐπιμελησομένους πρὸς τὰ ἔργα. [20]

3 78 οἱ ἐν Γαλατᾷ δὲ εὐτυχεστάτην νομίσαντες ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ τοσούτων νεῶν ἐκράτησαν πολεμίων, οὐδὲν αὐτοὶ εἰσενεγκόντες πρὸς τὴν ἧτταν, ἑώρταζον οὐκ ἐπινίκια μόνον, ἀλλὰ καὶ σωτήρια. πᾶσαι γὰρ αὐτοῖς ἐν στενῷ αἱ περὶ τοῦ σώζεσθαι κατέστησαν ἐλπίδες. ἐς τὴν ὑστεραίαν δὲ πάσας ἐφοπλίσαντες τὰς ἑαυτῶν τριήρεις ἐστεφανωμένας ὡς ἐπὶ νίκῃ καὶ κεκοσμημένας ἐκπρεπῶς, ἀντικρὺ παρέπλεον βασιλείων, σύροντες ἀτίμως καὶ τὰς βασιλικὰς σημαίας, ὥσπερ ἔθος, τὰς νενικημένας. ᾤοντο δὲ βασιλέα πρὸς τὴν δυσπραγίαν καὶ τὴν γνώμην ἡττημένον, αὐτίκα καταθήσεσθαι τὸν πόλεμον καὶ χωρήσειν πρὸς τὴν εἰρήνην, παραχωροῦντα τοῦ χωρίου. ὡς δὲ ἀπήντα κατ’ ἐλπίδας αὐτοῖς οὐδὲν, ἀλλ’ ἐπυνθάνοντο, βασιλέα αὖθις παρασκευαζόμενον τριήρεις ναυπηγεῖσθαι, πέμψαντες πρεσβείαν ἐκεῖνοι διελέγοντο περὶ εἰρήνης. καὶ πρῶτα μὲν ἐπειρῶντο βασιλέως, εἰ αὐτοῖς παραχωροίη τοῦ χωρίου· ὡς δ’ ἑώρων οὐδαμῶς ἐκπεπληγμένον, οὐδὲ τὴν γνώμην ἡττημένον, ἀλλὰ τὴν μὲν δυσπραγίαν ἐκείνην νομίζοντα ἑτέρων τινῶν ἁμαρτημάτων εἴσπραξιν, αὐτὸν δὲ τῆς προτέρας γνώμης ἀκριβῶς ἐχόμενον, καὶ οὐδ’ ἂν, εἰ μυρία τοιαῦτα γένοιτο, ἑκόντα εἶναι τοῦ χωρίου παραχωρήσοντα, ἀλλ’ ὀργῇ φερόμενον μᾶλλον πρὸς τὴν ἧτταν καὶ προθυμότερον πρὸς τὴν παρασκευὴν, ὥσπερ ἄρτι τότε πρῶτον ἡμμένον τοῦ πολέμου, δείσαντες, μὴ εἰς κακὸν αὐτοῖς ἡ πολλὴ φιλονεικία τελευτήσῃ, συνέθεντο τὸ χωρίον καταλείπειν. [20]

3 79 καὶ ἐγένετο ἡ εἰρήνη ἐπὶ τούτοις, ὥστε παραδόντας βασιλεῖ αὐτοὺς, ἐπὶ τὸν πρότερον περίβολον χωρεῖν. καὶ γεγενημένων τῶν σπονδῶν, παρεδίδοσαν τὸ νέον φρούριον πρὸς δεσπότην τὸν βασιλέως υἱὸν, ἐλθόντα μετὰ στρατιᾶς. βασιλεὺς δὲ αὐτῶν μεταπεμψάμενος τοὺς ἀρίστους, ἡμέρως τε διειλέχθη καὶ προσηνῶς, καὶ τὸ χωρίον αὐτὸς ἑκὼν εἶναι ἐχαρίζετο. ἔφη γὰρ πρὸς αὐτοὺς, οὐ περὶ γῆς τοσαύτης φιλονεικεῖν, οὐδενὸς ἀξίας οὔσης, ἀλλὰ περὶ τῶν προσηκόντων δικαίων τῇ Ῥωμαίων βασιλείᾳ. ἄτοπον γὰρ, ἐπήλυδας ὄντας αὐτοὺς καὶ πολλὰ ὑπὸ τῶν Ῥωμαίων βασιλέων εὐηργετημένους καὶ δικαίους ὄντας ἐν δουλευόντων εἶναι μοίρᾳ, ἔπειτα ἀναισχυντεῖν καὶ παρασπᾷν τι τῆς ἡγεμονίας βούλεσθαι ἀκόντων. διὰ ταῦτα ἔλεγε τὸν πόλεμον αἱρεῖσθαι μᾶλλον, οὐ διὰ τὴν κτῆσιν τοῦ χωρίου, καὶ γνώμην ἔχειν, ὡς πολεμήσων διηνεκῶς ἄχρι τοῦ διαφθερεῖν, εἰ μὴ βουληθεῖεν τὰ δίκαια ποιεῖν. ἐπεὶ δὲ αὐτοὶ τῆς ἀγνωμοσύνης ἀποσταῖεν καὶ καταλείποιεν τὰ ἡρπασμένα, μηδ’ αὐτὸν μικρολογήσειν οὕτως, ὥστ’ ἀποστερεῖν, οὗ τοσοῦτον ἐξέχονται καὶ ποιοῦνται περὶ πλείστου. καὶ αὐτίκα ἐκέλευε τὸν υἱὸν ἐξάγειν τὴν στρατιὰν, τὸ χωρίον τοῖς Γαλατίοις παραδόντα. οἱ δὲ βασιλεῖ πολλὰς ὡμολόγουν χάριτας μετὰ πλείστων τῶν εὐφημιῶν, καὶ πρὸς τὸν βασιλέως υἱὸν ἐλθόντες, ἐπεὶ κατὰ τὸ τοῦ πατρὸς ἐπίταγμα τὸ χωρίον παρεδίδοτο, αὖθίς τε εὐφήμουν βασιλέα, καὶ χρυσίῳ πολλῷ τὴν βασιλικὴν περιέῤῥαινον σημαίαν, ἃ διήρπασαν οἱ στρατιῶται, κελεύσαντος τοῦ δεσπότου, παιδιᾶς ἕνεκα καὶ ἡδονῆς. [20]

3 80 τοιαύτην μὲν ὁ πόλεμος ἔσχε τὴν ἀρχὴν καὶ εἰς τοῦτο ἐτελεύτησε. ιβ′. Βασιλεὺς δὲ κατά τε τὸν τοῦ πολέμου χρόνον βιαίαν τῶν χρημάτων τὴν εἴσπραξιν ἀκούων παρὰ Ταρχανειώτου γεγενημένην, καὶ θορύβων μεστὴν καὶ ὀδυρμῶν τὴν πόλιν δι’ ἐκείνην γινομένην, καὶ τοὺς ὑβριστὰς καὶ συκοφάντας προφάσεως λαβομένους καὶ λογοποιοῦντας ἄπιστα, εἴκοσι μυριάδων τὴν εἴσπραξιν χρυσίου γεγενῆσθαι λέγοντας, πολλοὺς δὲ καὶ τριάκοντα, ἐσκέψατο αὐτοῖς ἔργοις τοὺς συκοφάντας ἐπιστομίζειν. καὶ ἐκκλησίαν αὖθις πάνδημον συναγαγὼν, εὐθύνας ᾔτει περὶ τῶν χρημάτων Ταρχανειώτην. καὶ ἀπεδείκνυτο, καὶ τῶν τὰ χρήματα παρασχομένων συνομολογούντων, μὴ πλέον εἰσπεπρᾶχθαι πέντε μυριάδων, ἃ ἀνάλωτο πρὸς τοῦ στόλου τὴν παρασκευὴν, καὶ ἕτερα οὐκ ὀλίγῳ πλείω τούτων ἐκ τῶν δημοσίων καὶ βασιλικῶν. ὁρῶν δὲ τῶν δεόντων πολλὰ διὰ τῶν χρημάτων τὴν ἔνδειαν παραλειπόμενα, καὶ τότε ἐκ τῶν ἰδίων εἰσφέρειν Ῥωμαίους οὐ προθυμουμένους, καὶ τὰς δημοσίας προσόδους παντάπασιν ἐκλελοιπυίας, φόρους ἔταττε μὴ πρότερον νενομισμένους, ὥστε πᾶσαν ὁλκάδα σῖτον ἄγουσαν ἐξ ἀλλοδαπῆς ἐωνημένον, ὑπὲρ μεδίμνου ἥμισυ χρυσίου τῷ δημοσίῳ φέρειν, καὶ τῶν ἄλλων καρπῶν ἀναλόγως· τοὺς δὲ περὶ γεωργίαν ἠσχολημένους οἴνου ὑπὲρ πεντήκοντα χοῶν χρυσίον ἓν τελεῖν· τοὺς μέντοι ἐκ τῶν γεωργούντων ὠνουμένους διπλάσιον παρέχειν, οὐ μόνον ὡς εὐπορωτέρους, ἀλλ’ ὅτι καὶ ἀμογητὶ ἐκ τῶν ἑτέρων πόνων αὐτοὶ πολλαπλασίω τὰ κέρδη φέρονται. [20]

3 81 νόμου δὲ ὄντος ἀρχαίου δεκάτας τοὺς ἐμπορευομένους ἅπαντας τελεῖν τῷ δημοσίῳ, πεντηκοστύας ἔταξεν αὐτός. ἐξ ὧν ὀλίγῳ δέουσαι διακοσίων ὁλκάδες προσεγένοντο Ῥωμαίοις ἐν ὀλίγῳ χρόνῳ, οὐδέπω ἄχρι τότε γεγενημένον, καὶ μεγάλην δύναμιν ἐκτήσαντο ναυτικὴν καὶ πολλὰ ἐκ τῆς ἐμπορίας ὠφελοῦντο, θαλάσσης ἤδη ἄρχοντες γεγενημένοι. ἐχομένης δὲ τῆς Χίου, ὥσπερ ἱστόρηται ἡμῖν, ὑπὸ τῶν ἐκ Γεννούας ἀδίκως ἐν σπονδαῖς, πρὸς τὸν ἄρχοντα αὐτῆς, δοῦκα ἐγχωρίως προσαγορευόμενον, καὶ τὴν βουλὴν καὶ τὸν δῆμον ὁ βασιλεὺς ἔπεμψε πρεσβείαν, ἀπαιτῶν τὴν νῆσον κατὰ τὰς σπονδὰς καὶ τοὺς ὅρκους, οὓς ἔχουσι μετὰ τῶν Ῥωμαίων βασιλέων. δοὺξ δὲ καὶ ἡ βουλὴ καὶ ὁ δῆμος δίκαια μὲν ἔφασαν προκαλεῖσθαι βασιλέα, οὐ κατὰ γνώμην δὲ αὐτοῖς ἔχεσθαι τὴν νῆσον, οὐδὲ ψήφῳ τῆς βουλῆς, ἀλλὰ τῶν παρ’ αὐτοῖς εὐπατριδῶν τινας οἰκείοις ἀναλώμασι τὸν στόλον ἐφοπλίσαντας κατασχεῖν, οὓς μὴ δύνασθαι νῦν βιάζεσθαι· δεήσει γὰρ πολλῶν χρημάτων καὶ παρασκευῆς οὐ τῆς τυχούσης, ὥστε

ἀκόντων τὴν νῆσον ἀφαιρεῖσθαι· ἀλλὰ τοῦ χρόνου προϊόντος προνοίᾳ μᾶλλον ἀφελομένους καὶ οἰκονομίᾳ ἀποδοῦναι βασιλεῖ ἀναμφιβόλως. τοιαῦτά τε εἶπον πρὸς τοὺς πρέσβεις βασιλέως, καὶ ἅμα Ἑρμίνιον Ἰάκωβον καὶ Πινέλον Ἀνταρὼ, ὄντας ἐκ τῶν παρ' αὐτοῖς ἐπιφανῶν, πρὸς βασιλέα πρέσβεις ἔπεμψαν ἰσχυρισομένους περὶ τῶν αὐτῶν. [20]

3 82 βασιλεῖ δὲ ἐδόκει ἡ ἀπολογία οὐκ ἀρκοῦσα, ἀλλὰ προθεσμίαν τινὰ ἐζήτει, καθ' ἣν ἀποδώσουσι τὴν νῆσον, ἢ μὴ ἐγκαλεῖν ἐπιορκίαν, ἂν αὐτὸς ἀφέληται δυνηθείς. καὶ συνέβησαν, ὥστε Λατίνους μὲν τὴν κατὰ τὴν νῆσον πόλιν, Χίον καὶ αὐτὴν προσαγορευομένην, ἐπὶ δέκα ἔτεσι κατέχειν καὶ καρποῦσθαι τὰς προσόδους, παρέχοντας ἐνιαύσιον τῷ βασιλεῖ δισχιλίους καὶ μυρίους χρυσοῦς. ἐγείρειν δὲ καὶ σημαίαν βασιλικὴν ἐντὸς τῆς πόλεως κατὰ τὸ ἔθος, καὶ ἀρχιερέα εἶναι ἐκ τῆς ἐν Βυζαντίῳ ἐκκλησίας κεχειροτονημένον, καὶ εὐφημεῖν τοὺς βασιλέας κατὰ τὰ σάββατα, ὡς ἔθος· μνείαν τε αὐτῶν τοὺς ἱερέας ἐν ταῖς ἱεροτελεστίαις ποιεῖσθαι καὶ μηδὲν κωλύεσθαι παρ' οὐδενός. τὴν δὲ ἄλλην νῆσον ἅπασαν καὶ τὰ φρούρια καὶ κώμας ὑπὸ βασιλέως ἔχεσθαι καὶ ἄρχοντα αὐτοῖς, ὃν ἂν ἐθέλῃ, ἐφιστᾷν· τὸν δὲ καὶ τῶν ἐντὸς Χίου τῆς πόλεως Ῥωμαίων ἄρχειν. κἂν μὲν Ῥωμαίῳ πρὸς Ῥωμαῖον ὑπὲρ ἰδίων ἀδικημάτων ἀμφισβήτησις ᾖ, παρὰ τὸν Ῥωμαίων ἄρχοντα δικάζεσθαι· ἂν δὲ Λατίνῳ πρὸς Ῥωμαῖον, ἢ τὸ ἔμπαλιν, τοὺς δύο ἄρχοντας συνερχομένους, διαλύειν τὴν ἀμφιβολίαν, ἑκατέρῳ τὸ δίκαιον περισώζοντας, ὁποτέρῳ ἂν προσῇ. μετὰ δὲ τὰ δέκα ἔτη, ἐξ ὅτου βασιλεὺς ὁ Καντακουζηνὸς ἐκράτησε Βυζαντίου ἀριθμούμενα, παντάπασιν ἀφίστασθαι Χίου τοὺς Λατίνους. τοιαῦτα μὲν οἱ ἐκ Γεννούας πρέσβεις συνέθεντο πρὸς βασιλέα. [20]

3 83 Βενιοῦζος δὲ Συμεών, ὃς ἦν διαφορώτατος τῶν τὴν Χίον κατεχόντων, καὶ οἱ ἄλλοι οὐ προσεδέξαντο τὰς συμβάσεις, ἀλλὰ φανερῶς ἀπείπαντο, πολέμιοι μᾶλλον ψηφίζεσθαι τῆς βουλῆς καὶ τοῦ δήμου Γεννούας ἢ Χίου ἀποστῆναι προελόμενοι. ἐν ᾧ δὲ οἱ βασιλέως πρέσβεις χρόνῳ ἐν Γεννούᾳ ἦσαν, Τζυβός τις, ὁ δυνατώτατος τῶν Χίων, Φωκαίας τῆς παλαιᾶς ὑπὸ Γεννουΐτῶν ἄρχων καταστὰς, ὅτε πρὸς αὐτοὺς ἡ Χίος παρεδίδοτο, (ὁμολογίᾳ γὰρ προσεχώρησαν, ὥσπερ ἔφημεν, σίτου ἐνδείᾳ πιεσθέντες,) πρὸς βασιλέα πέμψας, πρῶτα μὲν συγγνώμην ᾔτει ἐπὶ τῇ παραδόσει Χίου, ὡς οὐ κακίᾳ μᾶλλον, ἢ ἀνάγκῃ πεπραγμένῃ, παρῄνει δὲ μὴ τῆς νήσου ἀμελεῖν, ὡς, εἰ μικρὰν παράσχοιτο ἐπικουρίαν, ῥᾳδίως αὖθις αὐτοῦ Ῥωμαίοις ἀνασωσομένου. βασιλεὺς δὲ ἐπῄνει τε τὸν Τζυβὸν καὶ μεγάλα ἐπηγγέλλετο τῆς προθυμίας ἕνεκα. ἐκέλευε δὲ τὸ νῦν ἔχον ἀτρεμεῖν, ἄχρις ἂν οἱ ἐν Γεννούᾳ πρέσβεις ἐπανήξουσιν. ἄδηλον γὰρ εἶναι, εἰ μὴ χωρὶς κινδύνων ἀπολήψεται τὴν νῆσον· ἄλλως τ' οὐδ' αὐτῷ προσῆκον ὂν, περί τε εἰρήνης καὶ σπονδῶν διαλέγεσθαι πρεσβεύοντα καὶ πρὸς ἐπιβουλὰς ἐν ταὐτῷ καὶ πόλεμον χωρεῖν. καὶ ἦν ἂν βέλτιον, εἰ ἐπείθετο τῇ βασιλέως παραινέσει. ὑπὸ δὲ προθυμίας καὶ τῆς πρὸς τοὺς κινδύνους καὶ τὰς μάχας εὐτολμίας μὴ περιμείνας καὶ τὴν ἐκ βασιλέως ἐπικουρίαν, ἀλλὰ μόνῃ τῇ σφετέρᾳ θαῤῥήσας ἀπώλετο δυνάμει. συναγαγὼν γὰρ ὅσους μάλιστα ἐκ Φωκαίας ἐνῆν Ῥωμαίους, διέπλευσεν ἐπὶ τὴν Χίον ἀπροσδοκήτως καὶ τοῖς Λατίνοις συμβαλὼν, ἐνίκα κατὰ κράτος καὶ τειχήρεις ἐποίησεν ἐν Χίῳ, πολλῶν πεσόντων καὶ Βενιούζου τοῦ ἄρχοντος τραυματίου γενομένου. [25]

3 84 τοῦ θεοῦ δὲ ἑτέρως ταλαντεύοντος, συνέβη κατ' αὐτὴν τὴν ἡμέραν, ἐν ᾗ ἡ μάχη ἐγεγένητο, Ἀνδρέαν Πετρίλαν, ἐκ Γεννούας ὄντα καὶ αὐτὸν, ἅμα δυσὶ τριήρεσιν ἐκ Σμύρνης τὴν Χίον παραπλέοντα πρὸς Βυζάντιον ἐπείγεσθαι· πυθόμενον δὲ, ὡς ὑπὸ Τζυβοῦ πολιορκοῖντο οἱ ὁμόφυλοι, ἀποβῆναί τε πρὸς τὴν Χίον καὶ ἐπικουρεῖν τοῖς πολιορκουμένοις. δευτέρας δὲ μάχης γενομένης καὶ τῆς νίκης αὖθις ἀφορώσης πρὸς Ῥωμαίους, ὁ Τζυβὸς ἀγωνιζόμενος εὐψύχως ἔπεσε, βέλει τρωθεὶς κατὰ τὴν μάχην, καὶ πάλιν οἱ Λατῖνοι τῆς Χίου κύριοι ἦσαν; τῶν Φωκαέων εἰς τὴν Φώκαιαν περαιωθέντων μετὰ τοῦ στρατηγοῦ τὴν τελευτήν· ἣν καὶ βασιλεῖ παρέδοσαν κατασχόντες πρότερον τελοῦσαν ὑπὸ Γεννουΐταις ὅσον χρόνον καὶ ἡ Χίος. βασιλεὺς

δὲ ἔπεμψεν εἰς Φώκαιαν Λέοντα τὸν Καλόθετον ἄρχειν, Χῖον μὲν ὄντα καὶ αὐτὸν, κατὰ δὲ τὸν τοῦ πολέμου χρόνον τῆς νήσου παρὰ Ἀποκαύκου ἐκβληθέντα τοῦ μεγάλου δουκὸς καὶ πολλὴν ὑποστάντα κάκωσιν διὰ τὴν πρὸς Καντακουζηνὸν τὸν βασιλέα εὔνοιαν, Τζυβὸν ἀντ' ἐκείνου καταστήσαντος ἄρχοντα. ὃ καὶ μάλιστα αἴτιον τῆς Χίου ἀπωλείας ἐδόκει γεγενῆσθαι. πολὺ γὰρ ἐκείνου βελτίων ἦν συνέσεως ἕνεκα καὶ προμηθείας καὶ τοῦ διασώζειν εἰδέναι τὴν πιστευθεῖσαν πόλιν ἀπὸ τῶν πολεμίων. [20]

3 85 ὃς εἰς Φώκαιαν ἐλθὼν, περιεποίησεν αὐτὴν Ῥωμαίοις ἄχρι νῦν κατεχομένην. ιγ'. Ἐπεὶ δὲ καὶ Πελοπόννησος διέφθαρτο παντάπασιν οὐ μόνον ὑπὸ τῶν Περσῶν στόλοις μεγάλοις ἐπιόντων καὶ ὑπὸ Λατίνων τῶν τὴν παρ' Ἕλλησιν Ἀχαΐαν λεγομένην κατεχόντων, ὑπηκόων ὄντων πρίγγιπι, ἀλλὰ καὶ μᾶλλον ὑπὸ σφῶν αὐτῶν, διηνεκῶς ἀλλήλοις ἀντικαθισταμένων καὶ διαρπαζόντων τὰ ἀλλήλων καὶ ἀποκτεννόντων, καὶ κῶμαι μὲν ἀτείχιστοι ὑπὸ τῶν ἔξωθεν ἀνάλωνται πολεμίων, αἱ πόλεις δὲ ὑπὸ τῶν ἐνοικούντων, καὶ παντάπασι προσεδοκῶντο ἐκλιπεῖν· πρόνοιάν τινα αὐτῶν ποιήσασθαι ἐσκέψατο ὁ βασιλεύς. μείζω δὲ οὐκ ἔχων, τὸν υἱὸν ἔπεμψε δεσπότην τὸν Μανουὴλ τριήρεσιν, ἄρξοντα Πελοποννησίων καὶ πρόνοιαν ποιησόμενον τὴν δυνατήν. ὃς ἐλθὼν πρῶτα μὲν τὰς ἐμφυλίους ἔλυσε στάσεις, τούς τε πρώτους ἀρχομένους κολάζων, ὥσπερ δίκαιον, καὶ τοὺς ἄλλους ἐκφοβῶν μὴ τοῖς ὁμοίοις ἐγχειρεῖν. ἔπειτα δὲ καὶ πρὸς Λατίνους θέμενος σπονδὰς, ἀβλαβεῖς τοὺς οἰκείους ἐξ ἐκείνων διετήρει, καὶ πρὸς τοὺς βαρβάρους ἀντικαθιστάμενος καὶ μάχαις πολλαῖς νικήσας, ἔπεισε μὴ πάνυ Πελοποννησίων καταφρονεῖν. ἐξ ὧν αἵ τε πόλεις ἀνερῥώννυντο καὶ ὥσπερ ἀναφέρειν ἐκ μεγάλων συμφορῶν ἐδόκουν, καὶ ἡ χώρα συνῳκίζετο, ἀδείας οὔσης τοῖς ἀγροῖς ἐνδιατρίβειν, καὶ ἡ Σκυθῶν ἐρημοτέρα Πελοπόννησος ἐν ὀλίγῳ χρόνῳ ἐφαίνετο γεωργουμένη, καὶ τῆς μελλούσης εὐεξίας οὐκ ἀγεννεῖς παρείχετο ἐλπίδας. [20]

3 86 οὐ μόνον δὲ ταῖς πόλεσι κοινῇ παρείχετο τὰς εὐεργεσίας, ἀλλὰ καὶ ἰδίᾳ εὖ τοὺς δυνατοὺς ἐποίει τῶν Πελοποννησίων· τοῖς δὲ οὐδὲν τῶν γινομένων ἤρκει, ἀλλὰ πάντα μᾶλλον ἦσαν ἀνεκτὰ, ἢ τὸ μὴ στασιάζειν καὶ τῷ σφετέρῳ χρῆσθαι ἤθει. ὅθεν πρὸς ἀλλήλους μὴ δυνάμενοι διὰ τὸ πρὸς τὸν δεσπότην δέος, μιᾷ γνώμῃ πάντες ἐπ' αὐτὸν συνέστησαν καὶ πόλεμον ἤραντο κοινῇ. συνεσκεύασε δὲ τὴν ἐπιβουλὴν Λαμπούδιός τις ὁ περὶ ταῦτα δεινότατος τῶν Πελοποννησίων· ὃς ἐπειδὴ πρότερον οἱ ἀνθιστάμενοι ἐνίκων, πάντων ὧν εἶχεν ἀποστερηθεὶς, εἰς ἐσχάτην ἤλασε πενίαν, διὰ τῶν τρόπων τὴν μοχθηρίαν καὶ τὸ περὶ τὸ στασιάζειν ἐξησκῆσθαι καὶ ὑπὸ τοῦ δεσπότου παροφθείς. εἶτα προσελθὼν καὶ δεηθεὶς καὶ πίστεις παρασχόμενος, ὡς οὐδὲν οὐδέποτε νεωτερίσειεν, ἀλλ' εὔνους αὐτῷ καὶ τῶν φιλούντων ἄγαν μενεῖ, ἀνελαμβάνετό τε καὶ εἰς τὴν προτέραν τύχην ἤγετο, πολλὰς ἀφορμὰς εἰς τὸ πλουτεῖν παρεχομένου τοῦ δεσπότου. καὶ πρὸς τοὺς ἀντιπάλους ἀξιόμαχος ἤδη ἦν. οὔτε γὰρ κακοπραγία, οὔτ' εὐημερία, οὔτε χρόνος ὁ πάντα λύων διαλύειν δύναται αὐτοῖς τὴν πρὸς ἀλλήλους ἔχθραν, ἀλλὰ διὰ βίου τε πολέμιοί εἰσιν ἀλλήλοις, καὶ μετὰ τελευτὴν ὥσπερ τινὰ πατρῷον κλῆρον καταλείποντες τοῖς παισὶ τὴν πρός τινας διαφοράν. καὶ τῶν Λυκούργου νόμων πάντων ἀμελήσαντες, ἑνὸς μόνου τῶν Σόλωνος ἐξέχονται τοῦ Ἀθηναίου ἀκριβῶς, ὃς ἀτίμους ποιεῖ τῶν πολιτῶν τοὺς ἐν στάσει μηδεμιᾷ μερίδι προσκειμένους. [20]

3 87 τοῦ δεσπότου δὲ διὰ τὰς λῃστείας τῶν Περσῶν, (ἐποιοῦντο γὰρ πολλὰς καὶ συνεχεῖς ἐκ τῆς Ἀσίας περαιούμενοι ὀλίγοι καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν,) δεῖν οἰομένου τριήρεις κατασκευάζειν ἐφ' ᾧ περιπλέοιεν τὴν νῆσον καὶ κωλύοιεν τοὺς πειρατὰς, ἐπεὶ πᾶσι λυσιτελεῖν ἐδόκει, καὶ ἔδει πάντας χρήματα εἰσφέρειν, ὁ Λαμπούδιος ὑπέρχεται τὴν εἴσπραξιν ἑκοντὶ, πολλὰ τοῦ δεσπότου δεηθεὶς, ὡς τῶν ἄλλων μᾶλλον αὐτὸς καταπραξόμενος βέλτιον διὰ τὴν ἐμπειρίαν καὶ τὴν πρὸς ἐκεῖνον εὔνοιαν. ἀδείας δὲ τυχὼν, τὴν Πελοπόννησον ἅπασαν περιιὼν, ἐξεπολέμου τῷ δεσπότῃ, καὶ πόλεσιν ἁπάσαις καὶ κώμαις τὴν ἐθελοδουλίαν ὀνειδίζων, καὶ τὸ

μὴ ἀξίως τῶν προγόνων ἐπὶ τὴν ἐλευθερίαν προθυμεῖσθαι, ἀλλ᾽ ὥσπερ ἀνδράποδα ἀνέχεσθαι ἄγεσθαι καὶ φέρεσθαι ὑπὸ τοῦ δεσπότου, καὶ τέλος πάντας ἔπειθεν ὁμοίως τῷ δεσπότῃ πολεμεῖν, ἰσχυριζόμενος, ὡς ἢ οὐκ ἀντισχήσει κοινῇ πρὸς πάντας πολεμῶν, ἀλλὰ φεύξεται καταλιπὼν τὴν Πελοπόννησον, ἀγαπητὸν ἡγούμενος τὸ σώζεσθαι, ἢ διαφθαρήσεται μένων, πανταχόθεν τοῦ πολέμου περιῤῥέοντος. οὕτω μὲν ἐκείνους ἔπειθε καὶ πᾶσιν ἔδωκε σύνθημα κοινὸν, ἵν᾽ ἐν ἡμέρᾳ τῇ αὐτῇ τοῖς σφισιν ἄρχουσι πάντες ἐπιθέμενοι, πρῶτον μὲν αὐτῶν κρατήσωσιν, ἔπειτα ἐπιστρατεύσωσι δεσπότῃ, ἀσθενεστέρῳ γεγενημένῳ ἤδη. [20]

3 88 καὶ κατὰ τὴν ἐκείνου παραίνεσιν πάντα ἐτελεῖτο. ἡμέρᾳ γὰρ τῇ αὐτῇ πάντων ἐκράτησαν, ὅσοι πόλεων ἦρχον ἢ κωμῶν· ἔπειτα ἀπανταχόθεν ἀθροισθέντες παμπληθεῖς πεζοί τε καὶ ἱππεῖς ἐπῄεσαν δεσπότῃ, Λαμπουδίου μετὰ τῶν ἄλλων τῶν δυνατωτέρων ἡγουμένου. δεσπότης δὲ τοὺς ἰδίους ἐφοπλίσας, ὅσοι εἵποντο ἐκ Βυζαντίου, περὶ τριακοσίους ὄντας λογάδας πάντας, ἀντεπεξῄει τοῖς Πελοποννησίοις, καὶ μισθοφόρους ἔχων ὀλίγους Ἀκαρνᾶνας. οἱ δὲ οὐδὲ εἰς ὄψιν ὑπομείναντες ἐλθεῖν, εἰς φυγήν τε ἐτράποντο καὶ διελύθησαν κατὰ πόλεις· καὶ οἱ μὲν αὐτίκα προσεχώρουν παραιτούμενοι καὶ ἐτύγχανον συγγνώμης, ὅσοι δὲ ἦσαν τολμηρότεροι πρὸς νεωτερισμοὺς, τὰς πόλεις κατασχόντες, οὐκ ἐδέχοντο δεσπότην ἀνοήτως. οἳ γὰρ ὁμοῦ σύμπαντες ἀντισχεῖν οὐκ ἠδυνήθησαν, οὗτοι κατ᾽ ὀλίγους διαιρεθέντες, ἤλπισαν περιγενήσεσθαι. ὕστερον μέντοι καὶ αὐτοὶ μετὰ πολλὴν κάκωσιν καὶ τὰς συνεχεῖς ἐπιδρομὰς καὶ λεηλασίας τὸ συνοῖσον συνιδόντες, προσεχώρουν τῷ δεσπότῃ δεόμενοι τυχεῖν συγγνώμης. ὁ δὲ παρείχετο πᾶσιν, οὐ μισῶν μᾶλλον, ἢ τῆς ἀνοίας ἐλεῶν, ὅτι ἀκινδύνως σώζεσθαι ἐνὸν, ἀπώλοντο τοῖς ὑπὲρ δύναμιν ἐπιχειροῦντες. ἡσύχασαν δὲ χρόνον οὐκ ὀλίγον, τὴν ὑπὸ δεσπότῃ δουλείαν οὐ μᾶλλον ὑπ᾽ εὐγνωμοσύνης εὐμαρῶς φέροντες, ὅσον ὑπὸ δέους. τοῦ πρὸς ἀλλήλους δὲ τῶν βασιλέων αὖθις πολέμου ἀναῤῥιπισθέντος, καὶ τοῦ νέου βασιλέως τοῦ Παλαιολόγου τῶν πραγμάτων ἄρξαντος, αὖθις οἱ Πελοποννήσιοι διὰ τὸ βασιλέα τὸν πατέρα πεπαῦσθαι τῆς ἀρχῆς δυνήσεσθαί τι πλέον οἰηθέντες, ἄλλως τε καὶ τῶν Ἀσάνη τοῦ Ἰσαακίου υἱῶν ἐναγόντων πρὸς τὸν πόλεμον, οἳ ἦσαν ἐκεῖ ὑπὸ βασιλέως τοῦ νέου ἐπιτροπεύειν πεμφθέντες τῆς Πελοποννήσου, σύμπαντες ὁμοῦ ἀπέστησαν δεσπότου, πλὴν μιᾶς πόλεως, ἧς φρουρὰ κατεῖχε τὴν ἀκρόπολιν ἀνάλωτον οὖσαν διὰ καρτερότητα τήν τε φυσικὴν καὶ τὴν κατεσκευασμένην. [5]

3 89 ὁ δὲ τῇ σφετέρᾳ χρώμενος δυνάμει μόνῃ, αὖθίς τε ἐκράτει συμπάντων καὶ τοῖς ὅπλοις χρώμενος κατεδουλοῦτο. ἐξ ἐκείνου δὲ παντάπασιν ἀπειπόντες τὸ ἐκείνῳ πολεμεῖν, τήν τε πρὸς ἀλλήλους ἀσπάζονται εἰρήνην καὶ τὴν πρὸς ἐκεῖνον εὔνοιαν, καὶ τὰ μέγιστα ὠφέληνται ἐκ τούτου, ἐπὶ γεωργίας τραπόμενοι καὶ βοσκημάτων ἐπιμέλειαν, καὶ κτήσεις ἐκτήσαντο ἐν τοῖς ἀγροῖς πολλὰς, πρότερον καθ᾽ ὃν ὁ δεσπότης ἀφῖκτο χρόνον οὐδενὸς ὄντος πλὴν τῶν πόλεων, καὶ τούτων ὑπὸ τῶν στάσεων διεφθαρμένων. Λατῖνοι δὲ οἱ πρίγγιπι ὑπήκοοι πρῶτα μὲν καὶ αὐτοὶ ὥρμηντο δεσπότῃ πολεμεῖν καὶ κακῶς ποιεῖν τὰς πόλεις, οὐδὲ πρότερον ἀμελοῦντες. εἰς τοὐναντίον δὲ ἅπαν τὸ τόλμημα ἐν ὀλίγῳ χρόνῳ ἐκείνοις περιέστη. μᾶλλον γὰρ αὐτοὶ κακῶς ἔπασχον κατὰ τὸν πόλεμον. συνιδόντες δὲ αὐτοῖς οὐκ ὀλίγα λυμαινόμενον τὸν πόλεμον, πρεσβείας ποιησάμενοι καὶ πολλὰ δεσπότου δεηθέντες, ἔπεισαν θέσθαι πρὸς αὐτοὺς σπονδὰς εἰρηνικὰς, ὥστε εἶναι ὑπηκόους μὲν πρίγγιπι, αὐτῷ δὲ φίλους καὶ συμμάχους, καὶ ἔνδον τε Πελοποννήσου προθύμως συμμαχεῖν, ᾗ ἂν δέοιτο αὐτῶν, ἐκ τῶν οἰκείων τρεφομένους, καὶ ἐκτὸς ὁμοίως. [25]

3 90 ὅθεν μαχομένῳ τε πρὸς Πέρσας ναυσὶν ἐπιστρατεύοντας πολλάκις συνεμάχησαν, καὶ πολλῶν αὐτῷ τροπαίων ἐκοινώνησαν κατὰ βαρβάρων, καὶ εἰς Βοιωτίαν συνεισέβαλον πρός τινα τῶν ἐκεῖ δυναστευόντων Λατίνων πολεμοῦντι, Ῥουντζέρην Ντελωρίαν προσαγορευόμενον, πολλήν τε εὔνοιαν πρὸς αὐτὸν ἐκτήσαντο διὰ τὴν ἐπιείκειαν καὶ τὸ φιλάληθες. ἐν χρόνῳ γὰρ

ἤδη οὐκ ὀλίγῳ οὐδέποτε οὐδὲν ἐφάνη τῶν ἐπηγγελμένων ἐψευσμένος. ὅθεν οὐδὲ ὅρκων δέονται, ἤν τι δέωνται ἐκείνου, ἀλλ᾽ ἀξιόχρεως αὐτοῖς πρὸς πίστιν καὶ λόγος προϊέμενος ἁπλῶς. ἡ μὲν οὖν Πελοπόννησος οὕτως ἄγεται μέχρι νῦν ὑπὸ δεσπότου Μανουὴλ τοῦ Καντακουζηνοῦ πολλὰ ὠφελουμένη ἔκ τε ὧν τοῖς πολεμίοις ἀήττητος ἄχρι νῦν διατετέλεκε, καὶ τοῖς ὑπηκόοις προσηνὴς καὶ κηδεμονικός. ιδ′. Βασιλεὺς δὲ καὶ πρὸς τὸν Αἰγύπτου καὶ Συρίας καὶ Ἰουδαίας Σουλτὰν ὑπὲρ τῶν ἐκείνῃ Χριστιανῶν πρεσβείαν ἐποιεῖτο. πρεσβευταὶ δὲ ἦσαν ἔκ τε τῶν Βυζαντίου πολιτῶν ὁ Σεργόπουλος Μανουὴλ καὶ ὁ τῶν Ἱεροσολύμων πατριάρχης Λάζαρος, ὃν ἔδει προστάγματι Σουλτὰν εἰς τὸν θρόνον ἀποκαταστῆναι. ἄλλως γὰρ οὐκ ἔξεστιν οὐδένα τῶν κατὰ τὰς πόλεις ἐπισκόπων, αἳ δουλεύουσι τούτοις τοῖς βαρβάροις, οὕτω συγκεχωρηκότος τοῦ θεοῦ διὰ τὸ πολλὰ ἡμᾶς τοὺς καλουμένους ἀπὸ Χριστοῦ αὐτῷ προσκεκρουκέναι καὶ προσκρούειν ἄχρι νῦν. [20]

3 91 οὗτος γὰρ δὴ ὁ πατριάρχης, ἔτι βασιλέως Ἀνδρονίκου περιόντος, ὑπὸ τῶν συνεπισκόπων ἐν τῇ ἁγίᾳ πόλει κεχειροτονημένος, ὥσπερ ἔθος, εἰς Βυζάντιον ἔπειτα ἀφῖκτο προβληθησόμενος καὶ παρὰ βασιλέως. Γερασίμου δέ τινος μοναχοῦ ἐκεῖθεν ὡρμημένου καὶ ἄλλων τινῶν πρὸς τὸ τόλμημα συναιρομένων, τοῦ πατριάρχου πρὸς συκοφαντίαν τινὰ αἰτιωμένου, δι᾽ ἃ ἐδόκει δίκαιος ἀποχειροτονεῖσθαι, οὔθ᾽ οὕτως ἔσχεν ὁ βασιλεὺς, ὥστε αὐτίκα διὰ τὸ αἰτιᾶσθαι Γεράσιμον ἀποχειροτονεῖν, οὔτε παντάπασιν ἠπίστει, ἀλλ᾽ ἐν Βυζαντίῳ κελεύσας μένειν ἄχρις ἂν τὰ κατ᾽ αὐτὸν ἐξετασθείη, πρεσβείαν ἐποιεῖτο πρὸς Σουλτὰν, ἅμα μὲν καί τινων πέρι ἀναγκαίων ἄλλων καὶ τῶν ἐν Αἰγύπτῳ Χριστιανῶν, οὐχ ἧττον δὲ καὶ τούτου ἕνεκα τοῦ πατριάρχου· καὶ ἐκέλευε τοῖς πρέσβεσιν ἐν Παλαιστίνῃ γενομένοις, ἐξετάζειν τὰ κατ᾽ αὐτὸν μετὰ τῶν ἐπισκόπων. τοῦ βασιλέως δὲ ἐν τῷ μεταξὺ χρόνῳ τετελευτηκότος, καὶ τοῦ πρὸς βασιλέα τὸν Καντακουζηνὸν πολέμου κεκινημένου, καὶ ὁ πατριάρχης Λάζαρος ὑποπτευθεὶς ᾑρῆσθαι τὰ ἐκείνου, ὑπὸ πατριάρχου τοῦ Ἰωάννου ἐρήμην κατεψηφίσθη, οὔτ᾽ ἐλέγχων, οὔτε συνόδου, οὔτε τινὸς ἑτέρου τῶν νομίμων δεηθέντος· ἀντ᾽ ἐκείνου δὲ ὁ κατηγορῶν Γεράσιμος ἐπίσκοπος τῆς ἁγίας παρανόμως ἐχειροτονεῖτο πόλεως. Λάζαρος δὲ ὁ πατριάρχης οὕτως ἰδὼν ἑαυτὸν ἀτιμωθέντα ἐπ᾽ οὐδεμιᾷ τὸ εὔλογον αἰτίᾳ κεκτημένῃ, ἀλλὰ διὰ τὸ πρὸς βασιλέα μόνον ἔχθος, ἄλλως θ᾽ ὅτι καὶ τῶν ἐπιτηδείων ἐχορήγουν οὐδὲν ὡς ἀπερῥιμμένον, καὶ γλίσχρως διέζη καὶ τῶν πρὸς τὴν χρείαν ἐνδεῶς, ἐσκέπτετο πρὸς Καντακουζηνὸν τὸν βασιλέα διαδιδράσκειν μετὰ τὴν ἐπάνοδον εἰς Διδυμότειχον ἐκ τῆς ἑσπέρας. [20]

3 92 οὕτω δὲ δόξαν, πρὸς Γαλατᾶν τὸ Λατίνων φρούριον διαβὰς, τρόπον ἐπεζήτει, καθ᾽ ὃν ἀφίξεται εἰς βασιλέα. οἱ δὲ ἐν Βυζαντίῳ ἄρχοντες φωράσαντες τὸν δρασμὸν, καὶ πατριάρχης ὁ Ἰωάννης, πέμψαντες εἰς Γαλατᾶν, ἐκέλευον Λατίνους πατριάρχην αὐτοῖς τὸν Ἱεροσολύμων ἐκδιδόναι. οἱ δ᾽ αἵρεσιν αὐτῷ προὐτίθεσαν, ἢ κοινωνεῖν αὐτοῖς πρὸς τῶν δογμάτων τὴν διαφορὰν καὶ τὸν ἐπίλοιπον συνεῖναι χρόνον, ὡς νῦν τε αὐτῶν πολλὴν φιλοτιμίαν περὶ τῆς εἰς αὐτὸν εὐποιίας ἐπιδειξομένων, καὶ τοῦ Ῥώμης ἐπισκόπου ὕστερον εὐεργετήσοντος μεγάλα καὶ τοῖς ὑπ᾽ αὐτὸν συναριθμήσοντος ἐπισκόποις, ἢ ἠπείλουν ἐκδιδόναι τοῖς αἰτοῦσιν, ὑφ᾽ ὧν πείσεται ἀνήκεστα. ὁ δὲ οὐ τοσοῦτον ἔδεισε τὰς ἀπειλὰς, ὅσον τῆς ἐκείνων ἀνοίας κατεγέλα, εἰ μικρῶν ἕνεκα καὶ εὐκαταφρονήτων τῆς πατρίου δόξης ἤλπισαν ἀποστήσειν, ἀντηπείλησέ τε καὶ αὐτὸς, ὡς ῥᾷον ἂν αὐτὸς αὐτοὺς τῶν κακῶς μεταστήσειε δεδογμένων, ἢ αὐτὸς συναπαχθείη, ἢ μεγάλαις ἀγαθῶν ἐπαγγελίαις, ἢ τῶν πάνυ φοβερωτάτων ἀπειλαῖς. ἐπεὶ δὲ αὐτὸν ἀμεταθέτως εἶδον ἔχοντα, δεσμώτην ἐξεδίδουν τοῖς αἰτοῦσιν. οἱ δὲ ἤγαγον πρὸς πατριάρχην, προσδόκιμον ὄντα ἀφιλανθρώπως χρήσεσθαι αὐτῷ. ὁ δὲ τὴν ἀρετὴν τοῦ ἀνδρὸς αἰδεσθεὶς, (οὐδὲ γὰρ ἠγνόησεν ὅσα ἀντεῖπε τοῖς Λατίνοις ἐπὶ τὴν κοινωνίαν προκαλουμένοις, οὐδ᾽ ὡς μᾶλλον εἵλετο ἀποθανεῖν, ἢ τῆς πατρίου δόξης ἀποστῆναι,) προσιόντι τε ὑπανέστη, καὶ προσαγορεύσας

ἡμέρως καὶ προσηνῶς, παρεκάθισέ τε καὶ ὁμιλίας ἠξίωσε πρεπούσης φίλῳ, ὁμολογητὴν ἐν ταῖς διαλέξεσιν ἀποκαλῶν. [5]

3 93 ἔπειτα ἀπέπεμπεν εἰς τὴν οἰκίαν, οὐδὲ ἴχνος ἐπιδεδειγμένος δυσμενείας, προνοίας δὲ ἠξίωσεν οὐδεμιᾶς. διὸ καὶ μετὰ μικρὸν, ἐπεὶ ὑπ' ἐνδείας οὐ μετρίως ἐπιέζετο, ᾤχετο ἀποδρὰς πρὸς βασιλέα, καὶ τόν τε ἐπίλοιπον τοῦ πολέμου χρόνον συνῆν φροντίδος ἀξιούμενος, καὶ μετὰ τὸ πάντων κύριον καταστῆναι εἰς Βυζάντιον ἐπανελθὼν, πολλῆς παρὰ βασιλέως ἀπήλαυε προνοίας. τοῦτον δὴ τὸν πατριάρχην μετὰ Σεργοπούλου ὕστερον πρὸς τὸν Σουλτὰν Αἰγύπτου πέμψας πρεσβευτὴν, ἄλλα τε ἠξίου τὸν Σουλτὰν ποιεῖν, ἃ ἐλυσιτέλει τοῖς ἐκεῖ Χριστιανοῖς, καὶ τὸν πατριάρχην εἰς τὸν θρόνον ἀποκαταστῆσαι, τὸν παρανόμως ἐπισκοποῦντα ἀπελάσαντα Γεράσιμον. Σουλτὰν δὲ τά τε ἄλλα φιλοτίμως πρὸς τὴν βασιλέως πρεσβείαν διετέθη, καὶ πάντα ἐξεπλήρου, ὧν ἐδέοντο οἱ πρεσβευταὶ, πολλὴν χάριν ὁμολογῶν περὶ τῆς εἰς αὐτὸν πρεσβείας. ἦν γὰρ θαυμάσιά τινα περὶ βασιλέως πεπυσμένος, καὶ τοῦ παντὸς ἐτιμᾶτο τὴν πρὸς αὐτὸν φιλίαν, καὶ τὸν πατριάρχην πρὸς τὴν ἁγίαν πόλιν πέμψας, ἐκέλευε τοῖς ἐκεῖσε τῶν βαρβάρων ἄρχουσι τὸν μὲν Γεράσιμον ἀπελαύνειν, Λάζαρον δὲ τὸν πατριάρχην ἄγειν διὰ τιμῆς, καὶ μηδὲν αὐτῷ παρενοχλεῖν τοῖς ἐν Παλαιστίνῃ Χριστιανοῖς ἐπισκοποῦντι. [25]

3 94 ἔπεμπε δὲ καὶ πρὸς βασιλέα γράμματα οὕτως ἔχοντα ἐν λέξει· „εἰς τὸ ὄνομα τοῦ θεοῦ τοῦ ἐλεοῦντος καὶ ἐλεήμονος. μακροημερεύσοι ὁ θεὸς ὁ ὕψιστος πάντοτε τὰς ἡμέρας τῆς βασιλείας τοῦ μεγάλου, τοῦ εὐεργετικοῦ, τοῦ φρονίμου, τοῦ λέοντος, τοῦ ἀνδρείου, τοῦ ἐν πολέμοις ὁρμητικοῦ, εἰς ὃν οὐ δύναταί τις σταθῆναι ἔμπροσθεν αὐτοῦ, τοῦ σοφωτάτου εἰς τὸ δόγμα αὐτοῦ, τοῦ δικαιοτάτου εἰς τὸν τόπον καὶ τὴν χώραν αὐτοῦ, τοῦ θεμελίου τῆς πίστεως καὶ τοῦ δόγματος τῶν Χριστιανῶν, τοῦ κίονος τοῦ ἀσείστου ἁπάντων τῶν βεβαπτισμένων, τοῦ βοηθοῦ τῶν δογμάτων τοῦ Χριστοῦ, τῆς σπάθης τῶν Μακεδόνων, τοῦ Σαμψὼν, τοῦ βασιλέως τῶν Ἑλλήνων, τοῦ βασιλέως τῶν Βουλγάρων, τῶν Ἀσανίων, τῶν Βλάχων, τῶν Ῥώσων καὶ τῶν Ἀλανῶν, τῆς τιμῆς τοῦ δόγματος τῶν Ἰβήρων καὶ τῶν Σύρων, τοῦ κληρονόμου τῆς βασιλείας τῆς γῆς αὐτοῦ, τοῦ αὐθέντου τῶν θαλασσῶν καὶ τῶν ποταμῶν τῶν μεγάλων καὶ τῶν νήσων, Ἀγγέλου Κομνηνοῦ Παλαιολόγου τοῦ Καντακουζηνοῦ. πάντοτε ἡ βασιλεία σου τὸ θέλημα αὐτῆς νὰ τὸ ζητῇ ἀπὸ τὴν Σουλτανικὴν ἐξουσίαν μου, καὶ ἀπὸ τὸ ὀσπήτιόν μας τὸ ἡγιασμένον καὶ πεφωτισμένον, καὶ ὡς ἔχομεν πᾶσαν δύναμιν νὰ πληρῶμεν τὴν ἀγάπην τῆς βασιλείας σου, καὶ καθὼς εὑρίσκετο τῶν προγόνων τῆς βασιλείας σου μετὰ τῶν προγόνων τῆς Σουλτανικῆς ἐξουσίας μου, καὶ καθὼς ἐπληροῦτο ἡ ὄρεξις τῶν βασιλέων τῶν προγόνων τῆς βασιλείας σου ἀπὸ τῆς αὐθεντίας μας, καὶ ηὐχαρίστουν μας πάντοτε ἐκεῖνοι, καὶ ἔπεμπαν εἰς τὴν ἡγιασμένην αὐλήν μας, καὶ συνετύγχαινάν μας, οὕτως πάλιν νὰ εὐεργετῆται ἡ ἀγάπη τῆς βασιλείας σου, καὶ νὰ πληροῦται ἡ ὄρεξις αὐτῆς ἀπὸ τῆς αὐθεντίας μας. [5]

3 95 καὶ διότι ἀπεκόπη καὶ ἐμάκρυνεν ἡ συνήθεια ἐκείνη, ἀπεστάλη ἡ γραφὴ αὕτη ἀπ' ἐμᾶς νὰ ἀναγνωσθῇ ἔμπροσθεν εἰς τὸν μέγαν βασιλέα, εἰς ἔπαινον τῆς προτέρας φιλίας καὶ εἰς παρακίνησιν τῶν ζητημάτων, ὅτι πάντοτε μετὰ χαρᾶς νὰ ἔναι πεπληρωμένα, καὶ περισσότερα νὰ γίνωνται, καὶ τὸ ἦλθεν ἀπ' ἐσᾶς εἰς τὸν πλατυσμὸν τῆς καλοσύνης μας τὸν γλυκύτατον, νὰ τὸ δεχώμεθά με τὴν καλογνωμίαν, καθὼς τὰ ἐδεξάμεθα, καὶ τῶρα καλὰ ἀπὸ τὰ χέρια τοῦ ἀποκρισιαρίου τῆς βασιλείας σου τοῦ ἄρχοντος τοῦ Μανουὴλ, καὶ παρελάβομεν αὐτὰ μετὰ εἰρήνης, καὶ ἐγνωρίσαμεν τὸ ἔγραφεν ἀπέσω. ἐκεῖνο τὸ ἐζήτει, ὅτι νὰ ἔναι ἀγάπη καὶ φιλία τὸ ἦτον μέσον εἰς τὸν πατέρα μου τὸν Σουλτάνον τὸν μέγαν, ὁ θεὸς ὁ ὑψηλὸς νὰ ἁγιάσῃ τὴν ψυχὴν αὐτοῦ, καὶ εἰς τὸν βασιλέα τῶν Ῥωμαίων τὸν ἀδελφὸν τῆς βασιλείας σου, ὡς εἶχον συνήθειαν, καθὼς λέγεις, νὰ ἔναι τὰ δύο ὀσπήτια ἓν, καὶ ἤρχοντο ἀπ' αὐτοῦ ἐδὼ ἀποκρισιάριοι, καὶ ἀπ' ἐδὼ πάλιν αὐτοῦ, καὶ τὸ θέλεις νὰ γίνεται. καὶ νὰ ὑπαγαίνουν, καὶ νὰ ἔρχωνται κατὰ

τὴν πρώτην συνήθειαν. πάλιν ἐζήτησε διὰ τὰς ἐκκλησίας τῶν Ῥωμαίων ἐκείνας ὅπου ἔναι εἰς τὰ Ἱεροσόλυμα τὰ ἅγια, καὶ ἐγνωρίσαμεν καὶ αὐτό. [20]

3 96 καὶ ὡρίσαμεν νὰ προσέξουν τὰς ἐκκλησίας, δι' ἃς ἐμηνύσατε, καὶ ἐκεῖνο τὸ ἐζητήσατε νὰ ἀκούσωμεν τὸν λόγον τοῦ ἄρχοντος τοῦ ἀποκρισιαρίου τοῦ Μανουὴλ, καὶ νὰ τὸν ἀπολογηθῶμεν, καὶ νὰ πληρώσωμεν τὰς δουλείας του, ἐπληρώσαμεν τὸ ἤθελεν αὐτοῦ, καὶ ὡρίσαμεν ἵνα ἀκουσθῇ ὁ λόγος του. πάλιν ἐζήτησεν ὁ ἀποκρισιάριος, ὅτι χάλασμα ἦν παλαιᾶς ἐκκλησίας εἰς τὴν γειτονίαν τῶν Ῥωμαίων ὁ ἅγιος Γεώργιος, νὰ ὁρίσωμεν νὰ κτισθῇ, καὶ ἠκούσαμεν τὸν λόγον του, καὶ ἐπληρώσαμέν τον. πάλιν ἐζήτησεν οὗτος τὸν ὁρισμόν μας τὸν ἅγιον νὰ ὑπάγῃ εἰς τὴν ἁγίαν ἀνάστασιν, νὰ προσκυνήσῃ καὶ ἐκεῖνος, καὶ οἱ εὑρισκόμενοι μετ' ἐκείνου ἀπὸ τῆς βασιλείας σου, καὶ ἠγαπήσαμεν εἴ τι ἐζήτησες, καὶ ἐπληρώσαμέν το, καὶ ἐγράφη ὁρισμὸς εἴ τί μας παρεκάλεσεν ὁ ἀποκρισιάριος νὰ πληρωθῇ εἰς τὴν ἁγίαν ἀνάστασιν. καὶ ὡς ἐζήτησεν νὰ ὑπάγῃ, ἐδώκαμεν ἄρχοντα μετ' αὐτοῦ, καὶ ἀπέσωσέν τον ἐκεῖ, καὶ προσεκύνησεν ὡς ἤθελε, καὶ ἐγύρισε μετ' εὐχαριστίας. πάλιν ἐζήτησεν ὁ ἀποκρισιάριος νὰ γένηται ὁρισμός μας ὑψηλὸς, νὰ φυλάσσωνται οἱ εὑρισκόμενοι Χριστιανοὶ εἰς τὸν ἁγιώτατον τόπον τῶν Ἱεροσολύμων, καὶ τὰ μοναστήρια, καὶ αἱ ἐκκλησίαι, καὶ νὰ ἔχωσιν ἀγάπην, καὶ δεφένδευσιν ἀπὸ τὸν ἀμηρᾶν τὸν εὑρισκόμενον ἐκεῖ, καὶ οὐ μόνον οἱ τοπικοὶ, ἀλλὰ καὶ οἱ κατὰ καιροὺς ἐρχόμενοι εἰς τὴν προσκύνησιν τῆς ἁγίας ἀναστάσεως, καὶ οἱ κατὰ καιροὺς εὑρισκόμενοι δουλευταὶ Μουσουλμάνοι εἰς τὴν ἁγίαν ἀνάστασιν, νὰ μηδὲν ἀφήνουν, νὰ καταφρονοῦν, καὶ νὰ δέρνουν, καὶ νὰ ὀχλῶσι τοὺς κατὰ καιρὸν ἐρχομένους εἰς τὸ αὐτὸ ἅγιον προσκύνημα, ἢ εἰς τοὺς τοπικούς· ἀλλὰ μᾶλλον νὰ τιμῶσι, καὶ νὰ ἀναδέχωνται, καὶ νὰ κυβερνῶσιν αὐτούς. [25]

3 97 καὶ ὡρίσαμεν καὶ ἐπληρώθη ὑψηλότατος ὁρισμὸς διὰ τὰ ζητήματα αὐτὰ εἰς τὸν τόπον ἐκεῖνον. πάλιν εἰς τὸ ἐνεθύμιζεν ἡ βασιλεία σου ἡ μεγάλη διὰ τὴν ὑπόθεσιν τοῦ πατριάρχου τοῦ Λαζάρου ὅτι εἶχεν ἀποστείλειν αὐτὸν ὁ ἡγιασμένος Σουλτὰν ὁ Μελὴκ Νάσαρ. ὁ θεὸς συγχωρήσοι τὰ κρίματά του εἰς τὰς ἡμέρας τὰς ἁγίας αὐτοῦ. ὁ ἀποκρισιάριος νὰ δείξῃ, καὶ νὰ πληροφορήσῃ τὴν μεγάλην βασιλείαν σου διὰ τὴν τοιαύτην ὑπόθεσιν ὅπως ἐγένετο, καὶ ἀπεπληρώθη ἕνεκεν τοῦ τοιούτου πατριάρχου, ἀπελύθη γοῦν ὁρισμὸς ὑψηλὸς εἰς τὰ ἅγια Ἱεροσόλυμα, νὰ στέργωσι τὸν πατριάρχην τὸν Λάζαρον, καὶ νὰ τὸν φυλάσσωσι καλὰ, καθὼς καὶ τοὺς πρώην πατριάρχας. καὶ ὡρίσαμεν καὶ ἐγένετο ἡ κατάστασις τοῦ τοιούτου πατριάρχου, καὶ ἀπεστάλη καὶ αὐτὸς εἰς τὰ ἅγια Ἱεροσόλυμα μετὰ τοῦ ἀποκρισιαρίου. πάλιν ἐζήτησεν ὁ ἀποκρισιάριος διὰ τοὺς αἰχμαλώτους, οἵτινες εὑρίσκονται ἀπὸ τὴν χώραν τῆς Ῥωμανίας, ἵνα ἐλευθερώσωμεν αὐτούς. καὶ ἡμεῖς νὰ γνωρίσῃ ἡ βασιλεία σου, ὅτι τοιαύτην συνήθειαν ἀρχαίαν εἴχομεν διὰ τὰ αἰχμάλωτα, ὅτι νὰ γίνεται ἀνταλλαγὴ, καὶ νὰ ἀπολύωμεν ἡμεῖς ἐξ ὧν ἔχομεν, καὶ ἡ βασιλεία σου πάλιν ἐξ ὧν ἔχει ἀφ' ἡμῶν σκλάβων νὰ πέμπῃ πρὸς ἡμᾶς. [20]

3 98 ὅμως ὡρίσαμεν καὶ ἐπληρώθη καὶ τὸ ζήτημα τοῦτο, καὶ ἠλευθερώσαμεν ὅσους ἐζήτησεν ὁ ἀποκρισιάριος, καὶ παρέλαβεν αὐτούς. πάλιν ἐζήτησεν ὁ ἀποκρισιάριος νὰ ἔναι ἀσφάλεια, εἰς τοὺς ἐρχομένους ἐδὼ ἀπ' αὐτοῦ πραγματευτὰς, καὶ ἐγροικίσαμέν το, καὶ ἐγένετο ὁρισμὸς, ἵνα ἀναδέχωνται τοὺς τοιούτους πραγματευτὰς, καὶ φυλάσσωσιν αὐτοὺς, καθὼς ἐζήτησεν ὁ ἀποκρισιάριος. καὶ μὲ τὸν ὑψηλότατον ὁρισμὸν, καὶ μὲ τὴν ἀπολογίαν ἐγυρίσαμεν τὸν ἀποκρισιάριον, καὶ ἂς γινώσκῃ τοῦτο ἀληθινὰ ἡ βασιλεία σου. καὶ ὅταν ἔχῃ θέλημα ἄς μας φθάνῃ μανδάτον, νὰ πληρώσωμεν τὸ θέλημα τῆς βασιλείας σου. ἡμεῖς πρότερον ἐγνωρίσαμεν ὅπως ὡς εἰσῆλθεν ἡ βασιλεία σου μὲ τὸν ὁρισμὸν τοῦ θεοῦ, καὶ μετὰ ἰσχύος μεγάλης εἰς τὴν πόλιν, οὐδὲν ἐμνήσθης κακῶν, ἀλλὰ ἐφύλαξες τὸν υἱὸν τοῦ βασιλέως, καὶ ἐσυνεπάθησες τοὺς ἐχθρούς σου, καὶ ἐχάρημεν εἰς τοῦτο πολλὰ, καὶ ἐπαινέσαμεν τὴν βασιλείαν σου. τῶρα πάλιν ἐμάθαμεν τοῦτο πλατύτερα καὶ καθαρώτερα καὶ ἀπὸ τὸν πατριάρχην τὸν Λάζαρον καὶ ἀπὸ τὸν

ἄρχοντα τὸν ἀποκρισιάριον τὸν Μανουὴλ, καὶ τὸ πῶς τὸν ἔδωκες τὴν θυγατέρα σου, καὶ ἐποίησες αὐτὸν υἱόν σου καὶ γαμβρόν σου, καὶ εἰς αὐτὸ πλεώτερον ἐχάρημεν, καὶ ὁ θεὸς τὴν καρδίαν σου νὰ τὴν πλατύνῃ, καὶ τὴν χώραν σου εἰς τὸ ἓν ἑκατὸν νὰ τὴν ποιήσῃ, καὶ τὸ σπαθίν σου εἰς τοὺς ἐχθρούς σου φοβερὸν νὰ τὸ ποιήσῃ. ὁ θεὸς ὁ ὕψιστος νά σε διακρατῇ, καὶ νὰ εὐτυχῇς ἀπὸ τοῦ ἐλέους του καὶ ἀπὸ τῆς εὐεργεσίας του. [20]

3 99 ναὶ ἄμποτε θεὲ ὑψηλέ. ἐγράφη εἰς τὰς δεκαπέντε τοῦ Σααπὰν, τῷ ἑπτακοσιοστῷ πεντηκοστῷ ἔτει τοῦ Μαχούμετ. ἐγράφη κατὰ τὸν ὁρισμὸν τὸν ὑψηλόν. δόξα τῇ μεγάλῃ δόξῃ τοῦ μόνου θεοῦ. εὐχαὶ καὶ προσκυνήματα εἰς τὸν αὐθέντην ἐκεῖνον τὸν Μαχούμετ, μετὰ τῶν μαθητῶν του τὸ ἐντιμότερον πλάσμα τοῦ θεοῦ. εὐχαριστῶ τὸν θεὸν παντοκράτορα ὁποῦ ἐλπίζω εἰς ἐκεῖνον.“ καὶ ταῦτα μὲν τὰ τοῦ Σουλτάν. ιε′. Γεράσιμος δὲ ἐπεὶ ἐξηλαύνετο τῶν θρόνων, ὥρμητο μὲν αὖθις, ὡς ἐπὶ Σουλτὰν ἐλθὼν, καταψεύσοιτο τοῦ πατριάρχου καὶ πείσοι τοῦ θρόνου ἐξελαύνειν. μετὰ τρίτην δὲ ἡμέραν τῆς ἐκ τῆς ἁγίας πόλεως ἀποδημίας ἐτελεύτα κατὰ τὴν ὁδὸν, οὕτω τοῦ θεοῦ δικάσαντος, ὡς ἂν δικαίῳ θανάτῳ πειρασμῶν ἀδίκων ὁ δίκαιος ἀπαλλαγείη. χρόνον μὲν οὖν οὕτως οὐ μικρόν τινα ὁ πατριάρχης διήγαγεν ἐπὶ τῶν θρόνων. τοῦ δὲ Σουλτὰν ἐκείνου τετελευτηκότος, ἄρχων ἕτερος ἀνεδείκνυτο, ὃς ὑπ’ οὐδεμιᾶς αἰτίας προφανοῦς πρὸς τὸν κατὰ Χριστιανῶν κεκίνητο διωγμὸν, Σειχοῦν τινος τῶν παρ’ αὐτῷ δυνατωτάτων ἀρχισατράπου πρὸς τὸ ἔργον μάλιστα ἐνάγοντος καὶ χαλεπωτάτου Χριστιανοῖς γεγενημένου πᾶσι, πλὴν τῶν ἐκ τῆς αἱρέσεως Ἰακώβου, πολλῶν ὄντων μάλιστα ἐν τῇ ἁγίᾳ πόλει καὶ κατ’ Αἴγυπτον καὶ Συρίαν καὶ ἀρχιερέα ἰδίᾳ τῆς αὐτῆς αἱρέσεως ἐχόντων. ἐφείδετο δὲ αὐτῶν οὐ μᾶλλον δι’ εὐγνωμοσύνην ἢ δέος. [20]

3 100 λέγεται γὰρ, ὡς πρὸς τὴν Νείλου δίοδον μέγα ἔθνος ἐστὶ κατῳκισμένον τὴν Ἰακώβου πρεσβεῦον αἵρεσιν καθάπαξ, οὓς ἀνάγκην ἔχει θεραπεύειν ὁ Σουλτὰν Αἰγύπτου διὰ τὸ δύνασθαι τὸν Νεῖλον ἐπ’ ἄλλην γῆν μετοχετεύειν. ὃ εἰ γένοιτο, σύμπασα ἄρδην Αἴγυπτος καὶ ἡ ἄλλη Συρία ἀπολοῦνται τρεφόμεναι ὑπ’ ἐκείνου φιλοτίμως. δι’ ἣν αἰτίαν καὶ τότε οἱ βάρβαροι τοῖς Ἰακώβου αἱρεσιώταις μόνοις ἦσαν εὐμενεῖς. τοῖς δ’ ἄλλοις ἅπασιν οὕτως ἐπετέθησαν σφοδρῶς, ὡς πολλοὺς μὲν τῷ διὰ μαρτυρίου τέλει παραπέμψαι ποικίλαις καὶ διαφόροις κολάσεων ἰδέαις, οὐκ ὀλίγους δὲ καὶ τῆς εἰς Χριστὸν ἀποστῆσαι πίστεως καὶ τῆς σφετέρας πεῖσαι ἔχεσθαι θρησκείας, ὃ καὶ μάλιστα δακρύων ἄξιον, ὅσοι δῆτα καὶ μετὰ τῆς εἰς Χριστὸν πίστεως συναπήγοντο τῷ πονηρῷ διὰ τῶν ἔργων καὶ τῆς αὐτῆς ἐκείνῳ γεέννης ἦσαν κληρονόμοι. οὐ γὰρ ἔστιν, οὐκ ἔστι τὸν ὀρθοῦ βίου μετὰ τῆς πίστεως ἐχόμενον ναυαγῆσαί ποτε περὶ τὴν πίστιν, τῆς παρὰ θεοῦ ἐπικουρίας ἔρημον γενόμενον. ὅτε δὴ καὶ Λάζαρον τὸν πατριάρχην συλλαβόντες, πρῶτα μὲν πολλαῖς ὑπήρχοντο θωπείαις καὶ παραλύειν τὸν τόνον ἐπειρῶντο καὶ τῆς εἰς Χριστὸν ἀπάγειν πίστεως, νομίζοντες, ἂν τοῦτον ἕλωσι, πάντας ὑπάξεσθαι Χριστιανοὺς πρὸς ἄρνησιν αὐτίκα τοῦ Χριστοῦ, τῷ σφετέρῳ προστάτῃ τῆς πίστεως ἑπομένους, καὶ μὴ ἀναγκασθήσεσθαι ἀποκτιννύναι. μᾶλλον γὰρ ἠβούλοντο μεταστήσαντες τῆς πίστεως ζῶντας ἔχειν, ἢ ἀναιρεῖν, ἐξ ὧνπερ οὐδεμία ὄνησις. [20]

3 101 ὡς δὲ οὐδεμία τις αὐτοῖς ἐκ τοῦ ἐκεῖνον κολακεύειν ὑπεφαίνετο ἐλπὶς, (πάντα γὰρ ἐκεῖνος μᾶλλον ἕτοιμος ὑπὲρ τῆς εἰς Χριστὸν πίστεως ὑπομένειν ἦν, καὶ δημίων ἐξεκαλεῖτο χεῖρας, καὶ ξεσμοὺς καὶ στρεβλωτήρια ἐδόκει μᾶλλον ποθεῖν, καὶ „οὐδὲν τῶν ὄντων“ ἔλεγε „τῆς εἰς Χριστόν με δυνήσεται πίστεως ἀποστῆσαι,“) ἀπεγίνωσκον μὲν οἱ βάρβαροι τὴν μετάθεσιν, καὶ τὸ κολακεύειν ὥσπερ τι τῶν ἀχρήστων ἀπετίθεντο, ἐχώρουν δὲ ἐπὶ τὴν σύντροφον ὠμότητα καὶ φίλην, καὶ Σειχοῦν μὲν θάνατον εὐθὺς κατεψηφίζετο τοῦ πατριάρχου, Σουλτὰν δὲ, ὡς ἐλέγετο, ἐδεῖτο μὴ ἀποκτιννύναι, ἀλλὰ τρόπον ἕτερόν τινα τῆς ἀπειθείας ἕνεκα κολάζειν. οὐ γὰρ τοσοῦτον ἦν βαρὺς Χριστιανοῖς ἐκεῖνος, μᾶλλον δὲ ἐλέγετο καὶ ἄχθεσθαι ἀναιρουμένων, ὅσον Σειχοῦν, τὸ τοῦ πονηροῦ πονηρότερον οἰκητήριον, ὁ τῆς ἀπωλείας υἱὸς, ὃς τῷ

ἀνθρωποκτόνῳ πατρὶ πειθόμενος κατάκρας, κόρον οὐδένα κτεινομένων ἐλάμβανε Χριστιανῶν, ἀλλ᾽ ἤχθετο μᾶλλον, ὅτι μὴ ταχέως τὸ τοῦ Χριστοῦ ὄνομα τῆς γῆς ἠδύνατο ἐξελαύνειν. ἡ μὲν οὖν τοῦ ἀποκτείνειν ψῆφος ἐκωλύετο· πληγὰς δὲ ἐκέλευε Σειχοῦν ἐπὶ γυμνῶν τῶν σαρκῶν βουνεύροις ἐντείνειν πεντακοσίας. ᾤετο γὰρ οὐκ ἀντισχήσειν πρὸς τοσοῦτον πλῆθος, ἀλλὰ πρὶν εἰς τέλος ταύτας ἥκειν, ἀπολείψειν αὐτὸν τὸ ζῆν, ὅσον εἰς τὴν ἀνθρωπίνην δύναμιν ἀποσκοπῶν. ἐπεὶ δὲ οἱ δήμιοι διαλαβόντες ᾔκιζον καὶ οἱ μὲν πρὸς τὸ πλῆθος ἔκαμνον τῶν πληγῶν, ὁ ἀθλητὴς δὲ τὸν νοῦν πρὸς ὃν ἐπόθει Χριστὸν εἶχε καὶ τὴν ἐκεῖθεν βοήθειαν ἐξεκαλεῖτο, οὐδὲν ἀγεννὲς οὔτε πράττων, οὔτε φθεγγόμενος πρὸς τὰς πληγὰς, ὁ τύραννος ἔτι μᾶλλον ἐξαπτόμενος ὑπὸ θυμοῦ, καὶ ὥσπερ ἑαυτοῦ μαλακίαν καὶ μικρολογίαν καταγνοὺς, καὶ ἑτέρας τοσαύτας ἐκέλευεν ἐντείνειν. [5]

3 102 θᾶττον δὲ ἢ λόγος τὰ κεκελευσμένα πραττόντων τῶν δημίων, αἵμασι μὲν τὸ ὑποκείμενον ἅπαν ἔδαφος ἐφοινίσσετο, σάρκες δὲ κατέῤῥεον ἀποσπώμεναι καὶ νεῦρα κατελείπετο καὶ ὀστέα γυμνὰ σαρκῶν. ὁ πατριάρχης δὲ πρὸς τοσαύτην ἀπειπὼν τῶν δεινῶν ἐπιφοράν, ἔκειτο μικρὸν ἐμπνέων, καὶ τοῖς βαρβάροις ἔκπληξιν ἐνεποίει, ὅτι πρὸς τοσαύτας διαρκέσειεν αἰκίας. ἔπειτα ἠρώτων αὖθις, εἰ μὴ τοῖς Σουλτὰν προστάγμασιν εἴκων, τῆς εἰς Χριστὸν πίστεως ἀποστῆναι βούλοιτο καὶ συμμετέχειν αὐτοῖς πρὸς τὴν θρησκείαν· ὡς δ᾽ ἐκεῖνος μετὰ παῤῥησίας ἀπηγόρευε, καὶ „οὐδέν με τῆς εἰς Χριστὸν“ ἔφασκε „πίστεως δυνήσεται ἀποστῆσαι,“ ἐπί τι δεσμωτήριον, ὃ τοῖς ἐπὶ θάνατον ἐξῄρητο κατεγνωσμένοις, φέροντες ῥιπτοῦσιν, ὡς, εἰ μὴ νῦν ἐκ τῶν πληγῶν, ἀλλ᾽ ὕστερον τὴν διὰ ξίφους σφαγὴν ὑποστησόμενον. οἱ συνδεσμῶται δὲ, (ἦσαν γὰρ οὐκ ὀλίγοι ἐκ βαρβάρων ἐφ᾽ ἑτέραις δή τισιν αἰτίαις κατεψηφισμένοι ἀποθνήσκειν,) φιλάνθρωπόν τι παθόντες καὶ τὴν ἀνθρωπίνην φύσιν κατοικτείραντες, πρόνοιάν τε ἐποιήσαντο αὐτοῦ οὐ τὴν τυχοῦσαν· καὶ πρὸς θεραπείας τοιούτων παθημάτων ἐμπείρως ἔχοντες, ἀνεκτήσαντό τε διὰ χρόνου καὶ τῶν ἐκ τῶν πληγῶν ἀπήλλαξαν τραυμάτων. [20]

3 103 ἦν δὲ ἔτι ὑπὸ τὴν θανατηφόρον δίκην. ὁ δὲ τῶν ᾽Ιακώβου αἱρεσιωτῶν ἀρχιερεὺς, καίτοι πρότερον διὰ τὸ περὶ τὴν δόξαν διαφέρεσθαι ἀπεχθῶς πρὸς ἐκεῖνον ἔχων καὶ ἡδέως ἂν ἰδὼν διεφθαρμένον, ὡς παρὰ δόξαν εἶδεν ὕστερον διασωθέντα, οὐ δυνάμεως ἀνθρωπίνης, θείας δὲ εἶναι τὰ γεγενημένα οἰηθεὶς, ὡς ἀθλητῇ τε προσεῖχεν ἐξ ἐκείνου, καὶ πᾶσαν προσῆγε τιμὴν καὶ θεραπείαν, καὶ τῶν ἐπιτηδείων τὴν χορηγίαν ἐποιεῖτο φιλοτίμως καθ᾽ ὅσον χρόνον ἐδεσμεῖτο. καὶ μετὰ χρόνον οὐκ ὀλίγον Σειχοῦν τὴν ψυχὴν ἀποῤῥήξαντος βιαίως, αὐτὸς τὸν πατριάρχην ἐξῃτεῖτο παρὰ Σουλτὰν, καὶ ἐξῆγε τοῦ δεσμωτηρίου καὶ τὴν ἄδειαν τοῦ ἐμπολιτεύεσθαι τῷ Χριστιανῶν θρησκεύματι παρείχετο. ἦν γὰρ δὴ, ὥσπερ ἔφημεν, ὁ Σουλτὰν οὐκ οἴκοθεν ἐπὶ τὸν διωγμὸν κεκινημένος, ἀλλ᾽ ὑπὸ Σειχοῦν καὶ παρὰ γνώμην ἐναγόμενος. διὸ καὶ μετὰ τὴν ἐκείνου τελευτὴν εὐθὺς ἐπέπαυτο, ἀτιμίαν μόνον Χριστιανῶν κατεψηφισμένος, τῆς τε ἄλλης ἰσοπολιτείας τοῖς βαρβάροις οὐ μεταδιδοὺς, ἀλλ᾽ ἐν δοριαλώτων ἄγων μοίρᾳ καὶ ἐπίσημόν τι χρῶμα φέρειν ἐν ταῖς στολαῖς προστεταχὼς, ἵν᾽ εἶεν ἐκ τοῦ χρώματος κατάδηλοι ὄντες Χριστιανοὶ, τινὰ ὀνειδισμὸν ἐκ τούτου προστρίβεσθαι οἰόμενος αὐτοῖς. τοῖς δὲ οὐκ ἀτιμότερον ἐκεῖνο δοκεῖ τὸ χρῶμα, ἢ τῶν Παύλου διὰ Χριστὸν στιγμάτων, οἷς αὐτὸς ἐκαλλωπίζετο, „τὰ στίγματα τοῦ κυρίου ἡμῶν ᾽Ιησοῦ Χριστοῦ ἐν τῷ σώματί μου“ λέγων „περιφέρω.“ Λάζαρος δὲ ὁ πατριάρχης τῆς ἁγίας πόλεως οὐκ ὀλίγον χρόνον μετὰ τὰς αἰκίας τὴν πιστευθεῖσαν ποίμνην διϊθύνας, πρεσβευτὴς ὑπὸ Σουλτὰν ἐπέμφθη πρὸς βασιλέα ᾽Ιωάννην τὸν Παλαιολόγον ὕστερον. [20]

3 104 τὰ μὲν οὖν κατὰ τὸν ᾽Ιεροσολύμων ἱεράρχην οὕτως ἔσχεν ἄχρι τέλους ἀπ᾽ ἀρχῆς. ᾽Ισίδωρος δὲ ὁ τὴν Βυζαντίων ἐκκλησίαν μετὰ ᾽Ιωάννην λαχὼν ἰθύνειν, ἄλλους τε οὐκ ὀλίγων πόλεων ἀρχιερεῖς ἐχειροτόνει, καὶ Γρηγόριον τὸν Παλαμᾶν Θεσσαλονίκης. ὃν ἐπεὶ εἰς τὴν λαχοῦσαν ἔδει στέλλεσθαι, ὁ βασιλεὺς γράμμασιν ἐφωδίαζε πρὸς τοὺς ἐν Θεσσαλονίκῃ ἄρχοντας, οἳ ἦσαν

πρωτοσέβαστός τε ὁ Μετοχίτης Ἀλέξιος καὶ Ἀνδρέας ὁ ἐπὶ τῆς τραπέζης Παλαιολόγος, κελεύοντα τὸν ἀρχιερέα μετὰ πάσης εὐνοίας δέχεσθαι καὶ τιμῆς. οἱ δὲ οὔτε τοῖς βασιλέως γράμμασιν ἐπείθοντο, οὔτε τὸν ἀρχιερέα εἰσεδέχοντο, ἀλλ' ἀναφανδὸν ἀπεῖπον τὸ ὑπὸ βασιλέα εἶναι, πρόφασιν μὲν, ὡς τῷ Παλαιολόγῳ βασιλεῖ προσκείμενοι καὶ διὰ τοῦτο Καντακουζηνῷ τῷ βασιλεῖ πολεμοῦντες, ἐκεῖνον ἀφῃρημένῳ τὴν ἀρχήν· τῇ δ' ἀληθείᾳ, ἑαυτοῖς ἰδίᾳ τὴν Θεσσαλονίκης ἀρχὴν περιποιοῦντες. συνιδόντες γὰρ, ὡς οὔτε βασιλεῖ ῥᾴδιον αὐτοῖς ἐπιέναι διὰ τὸ Μακεδονίαν πλὴν Θεσσαλονίκης ἤδη πᾶσαν ὑπὸ Κράλη ἔχεσθαι, καὶ μεγάλης δεῖσθαι τῆς παρασκευῆς, εἰ μέλλοι διὰ πολεμίας τε ἰέναι καὶ ἐν μέσῃ στρατοπεδεύεσθαι πολεμίᾳ, αὐτοὺς πολιορκοῦντα, ἃ ἐνόμιζον ἀδύνατα, τόν τε Κράλην οὐ χρήματα μόνον, ἀλλὰ καὶ αὐτὴν, εἰ οἷόντε εἰπεῖν, τὴν φίλην προησόμενον ζωὴν ὑπὲρ τοῦ κύριον Θεσσαλονίκης εἶναι, ἐσκέψαντο βασιλέα μὲν ἀπωθεῖσθαι καὶ μὴ ὑπ' αὐτὸν τελεῖν, ἀπειλεῖν τε, εἰ μὴ ἐᾷη ἡσυχάζειν, ὡς παραδώσουσι Τριβαλοῖς τὴν πόλιν, Κράλην δὲ φενακίζειν, ὡς, ἐπειδὴ τοῦ Ῥωμαίων βασιλέως ἀφεστήκασι, ῥᾳδίως προσχωρήσουσιν αὐτῷ, καὶ διὰ τούτου πείθειν μὴ μᾶλλον πολεμεῖν, ἢ εὐγνωμοσύνῃ καὶ ἐπιεικείᾳ προσάγεσθαι πειρᾶσθαι, καὶ οὕτως ἑκατέρους δι' ἀλλήλων ἀποκρουομένους, τὴν πόλιν αὐτοὶ καρποῦσθαι· ἃ ἀπέβαινεν αὐτοῖς κατὰ γνώμην ἐπὶ χρόνον. [5]

3 105 Γρηγόριος μὲν οὖν ὁ Θεσσαλονίκης ἀρχιερεὺς, ἐπεὶ μὴ εἰσεδέχετο παρὰ τῶν ἀρχόντων, εἰς Λῆμνον διέτριβεν ἀναστρέψας, καὶ προνοίας παρὰ βασιλέως τῆς δεούσης ἠξιοῦτο. οἱ δὲ ἐν Θεσσαλονίκῃ ἄρχοντες καὶ μάλιστα Παλαιολόγος, τὸ Ζηλωτικὸν ἔχων περὶ ἑαυτὸν, φοβερὸς τοῖς ἄλλοις πολίταις ἦν ἐκ τῶν πρότερον παραδειγμάτων, καὶ πάντες ὑπεπτήχεσαν καὶ οὐδὲν ἐτόλμων ἀντιγρύζειν. διὸ καὶ μετὰ μικρὸν βασιλέως ἐπιεικείᾳ καὶ εὐεργεσίαις προσάγεσθαι τὴν πόλιν βουλομένου, (βιάζεσθαι γὰρ τοῖς ὅπλοις οὐκ ἐξῆν,) καὶ θεσπίσματα πέμψαντος ἐπ' εὐεργεσίαις κοιναῖς τε καὶ ἰδιωτικαῖς, ὁ Παλαιολόγος τῶν πάντα τολμώντων συνεφαπτομένων Ζηλωτῶν, ἐπὶ μέσης κατέκαυσε τῆς πόλεως. ταῦτα μὲν οὖν ὕστερον εἰρήσεται ὀλίγῳ. ις'. Τότε δὲ ἐπεὶ Ἰσίδωρος ὁ πατριάρχης ἐτεθνήκει, τοῖς θρόνοις ἐπ' ἔτεσι δυσὶν ἐνδιαπρέψας καὶ τὸ ποίμνιον ποιμάνας θεοφιλῶς, τὸν Κάλλιστον ὁ βασιλεὺς τοῖς πατριαρχικοῖς θρόνοις ἐφιστᾷ, τῇ κατὰ τὸν Ἄθω μονῇ τῶν Ἰβήρων μετὰ τὴν ἐκ τοῦ κόσμου ἀναχώρησιν ἐνδιατρίψαντα. [20]

3 106 ὃν ἐπεὶ ἐπύθετο ἀρετῆς ἀντιποιεῖσθαι καὶ πρὸς τὴν τοιαύτην διακονίαν εἶναι ἐπιτήδειον, ἤγαγεν εἰς Βυζάντιον τριήρη πέμψας. ἀχθομένων δὲ τῶν ἀρχιερέων πρὸς τὴν αἵρεσιν, οὐ πάντων, καὶ ἄλλων ἄλλον προβαλλομένων, σπουδὴν πολλὴν εἰσενεγκὼν, πάντας ἔπειθεν ὁ βασιλεὺς συνθέσθαι· καὶ ἐχειροτονεῖτο τῶν ἄλλων προκριθείς. ὁ βασιλεὺς δὲ καὶ πρότερον καὶ κατὰ τὸν τοῦ πολέμου χρόνον, ἐπεὶ ὑπὸ Ῥωμαίων κατεστασιάσθη, ἄκων μὲν καὶ πρὸς ἀνάγκην πολέμοις προσέχων καὶ λεηλασίαις, (ἄλλως γὰρ αὐτόν τε καὶ τοὺς συνόντας οὐδαμῶς διασώζεσθαι ἐνῆν,) ἡδέως δὲ ἔχων πραγμάτων ἀπαλλάττεσθαι, καὶ τοῦ παντὸς τιμώμενος τὸ συζῆν ἀπραγμοσύνῃ, καὶ ὕστερον μετὰ τὸ τῶν πραγμάτων ἄρξαι ἀχθόμενος πρὸς τὸν θόρυβον τὸν ἀπὸ τῆς ἀρχῆς, καὶ βίου γαληνοῦ καὶ ἀπράγμονος ἐρῶν, ἐσκέψατο μετὰ Εἰρήνης βασιλίδος τῆς γυναικὸς τὴν μὲν βασιλείαν γαμβρῷ τῷ βασιλεῖ παραδοῦναι, αὐτοὺς δὲ ἀναχωρεῖν τῶν πραγμάτων καὶ μοναχῶν ἑλέσθαι βίον. καὶ βασιλίδα μὲν συνέθεντο τὴν Εἰρήνην πρὸς τὸ τῆς Μάρθας προσαγορευόμενον μοναστήριον, ἣ βασιλέως ἦν ἀδελφὴ τοῦ πρώτου τῶν Παλαιολόγων Μιχαὴλ, γενέσθαι, ὡς βασιλεῖ προσῆκον ἐκ πρώτου κλήρου, καὶ μοναχῶν ἐνδυσαμένην σχῆμα, τὸν ἐπίλοιπον βίον διανύειν· βασιλέα δὲ τῷ τῆς Ἡρακλείας ἐπισκόπῳ τῆς ἐν Θρᾴκῃ φιλοθέῳ ὑποτάξαντα ἑαυτὸν, οὐ μόνον διὰ τὴν ἄλλην σύνεσιν καὶ παιδείαν τήν τε ἔξω καὶ τὴν καθ' ἡμᾶς, ἀλλ' ὅτι καὶ τῷ μονήρει βίῳ ἐκ πρώτης ἡλικίας, ὡς εἰπεῖν, ἐκδοὺς, τῇ τε σπουδῇ καὶ τῷ περὶ τὴν ἄσκησιν χρονίῳ πολλὴν περὶ τὰ τοιαῦτα πεῖραν ἔσχεν, ὡς καὶ τῆς ἱερᾶς ἐξηγεῖσθαι λαύρας τῆς ἐν Ἄθῳ παρὰ τῶν ἐκεῖ πατέρων ἐγκριθῆναι, καὶ πρὶν ἐπίσκοπον

γενέσθαι, καὶ ἑτέροις ἐδόκει τὰ τοιαῦτα παιδοτριβεῖν εἶναι ἱκανὸς, παρὰ τὸ τοῦ ἁγίου Μάμαντος φροντιστήριον θέσεως ἔχον εὐφυῶς, καὶ ἐρημίας ἀπολαῦον ὡς ἐν πόλει μάλιστα, τῆς ψυχῆς ἐκεῖ φροντίζειν γενομένους, καὶ περὶ τῶν τῇδε πεπραγμένων ἐξιλάσκεσθαι θεόν. [10]

3 107 συνείποντο δὲ αὐτῷ πρὸς τὴν ἐκ τοῦ βίου ἀναχώρησιν καὶ Καβάσιλας Νικόλαος καὶ Δημήτριος ὁ Κυδώνης, σοφίας μὲν εἰς ἄκρον τῆς ἔξωθεν ἐπειλημμένοι, οὐχ ἧττον δὲ καὶ ἔργοις φιλοσοφοῦντες καὶ τὸν σώφρονα βίον καὶ τῶν ἐκ τοῦ γάμου κακῶν ἀπηλλαγμένον ᾑρημένοι. δι' ἃ καὶ πολλῆς αὐτοὺς ὁ βασιλεὺς ἠξίου εὐμενείας καὶ ἐν τοῖς πρώτοις μάλιστα τῶν φίλων ἦγε καὶ τῶν ὁμιλητῶν. πρῶτα μὲν οὖν ἐδόκει πᾶσι κοινῇ βουλευσαμένοις, παρὰ τὸ τοῦ ἁγίου Μάμαντος φροντιστήριον τὴν κατὰ τὸν βίον φιλοσοφίαν ἐπιδείκνυσθαι καὶ τὸν ἀκύμαντον καὶ θορύβων ἀπηλλαγμένον βίον διανύειν. ἔπειτα μεταβουλευσάμενοι, τὴν Μαγγάνων μᾶλλον εἵλοντο μονὴν, καὶ ἐκεκύρωτο τὸ δόξαν. [20]

3 108 διὸ καὶ ὁ βασιλεὺς κτήσεις πολλὰς προσῆγε τῇ μονῇ καὶ ὡς μάλιστα ἐπεμελεῖτο, ἵν' ἐκεῖθεν τὴν εὐπορίαν τῶν ἐπιτηδείων ἔχοιεν. ᾔδεσαν μέντοι τὰ πραττόμενα οὐδένες πλὴν τῶν κεκοινωνηκότων τῆς βουλῆς. ἐπεὶ δὲ πάντα παρεσκευασμένα ἦσαν, καὶ ἔδει μόνον εὖ τὰ κατὰ τὴν βασιλείαν διαθέμενον, ἵνα μηδεμία τοῖς παισὶν ἀμφισβήτησις ἐκείνου τῶν πραγμάτων ἀπολίποιτο ἀναχωρήσαντος, μηδὲ πρόφασιν πολέμου αὖθις σχοῖεν ἐμφυλίου διὰ τὸ αὐτὸν ἀναχωρεῖν, καὶ ἔμελλεν ἤδη ἔργου ἔχεσθαι, γράμματα ἀφῖκτο ἐκ Θεσσαλονίκης, τῶν τε ἄλλων πολιτῶν καὶ πρωτοσεβάστου τοῦ Μετοχίτου, τὴν μὲν προτέραν ἀγνωμοσύνην καὶ ἀναισχυντίαν Ἀνδρέᾳ προσάπτοντα, ὡς πάντων αἰτίῳ, τῷ Παλαιολόγῳ, αὐτοῦ δὲ δεόμενα τὴν δυνατὴν καὶ ταχίστην πρόνοιαν ὑπὲρ τῆς πόλεως ποιεῖσθαι, καὶ μὴ περιορᾷν ὑπὸ Τριβαλοῖς ὅσον οὐδέπω ἐσομένην, ἢν μὴ αὐτὸς ἐπικουροίη, μηδ' ἑτερόφθαλμον τὴν Ῥωμαίων γεγενημένην ἀνέχεσθαι ἰδεῖν ἀρχὴν, μάλιστα Παλαιολόγου ἐξεληλαμένου, καὶ τῶν ἄλλων πολιτῶν ἁπάντων πλὴν τῶν μάλιστα πονηροτάτων Ζηλωτῶν προθύμως δεχομένων καὶ τὴν πόλιν παραδιδόντων. ὡς γὰρ ἐν μέσῃ πόλει, ὥσπερ ἔφημεν, τὰ βασιλικὰ γράμματα, δι' ὧν κοινῇ τε καὶ ἰδίᾳ πολλὰ τὴν πόλιν εὐηργέτει, κατεφλέχθη ὑπὸ Ζηλωτῶν καὶ Παλαιολόγου, πρωτοσέβαστος ὁ Μετοχίτης ἐν δεινῷ ἐτίθετο καὶ ἀποστασίαν ᾤετο παντάπασι τῆς Ῥωμαίων βασιλείας εἶναι. διὸ καὶ τοῖς ἄλλοις πολίταις κρύφα διαλεχθεὶς περὶ τοῦ πεπραγμένου, καὶ συναγανακτοῦντας πάντας εὑρηκὼς, ἔχων καὶ τὴν στρατιὰν αὐτῷ προσέχουσαν, διηνέχθη φανερῶς πρὸς Παλαιολόγον καὶ τοὺς Ζηλωτάς. [20]

3 109 Παλαιολόγος δὲ ὁρῶν ἐπ' αὐτὸν συνισταμένους τοὺς πολίτας, τοὺς παραθαλασσίους κατελάμβανεν, ὥσπερ καὶ τὸ πρότερον, καὶ πρὸς ὅπλα ἐκέλευε χωρεῖν, ὡς πρωτοσεβάστῳ τε καὶ τοῖς ἄλλοις ἀντικαταστησόμενος πολίταις. ἐκεῖνοι δὲ ἐκ τῶν προτέρων τὰ δέοντα δεδιδαγμένοι, οὐ πρὸς ἀσχολίας ἐτράποντο καὶ μέλλησιν, ἀλλ' ἅμα τε ἠσθάνοντο μετὰ τῶν παραθαλασσίων ὁπλιζόμενον νυκτὸς, καὶ αὐτοὶ ἐπῄεσαν, μὴ περιμείναντες τὴν ἡμέραν, καὶ περιγενόμενοι, ἐξέωσαν τῆς πόλεως, τήν τε οἰκίαν ἐκείνου διήρπασεν ὁ δῆμος καὶ τὰς παραθαλασσίων· ἀπέθανε δὲ οὐδεὶς κατὰ τὴν μάχην. ὁ μὲν οὖν Παλαιολόγος εὐθὺς πρὸς πᾶσαν πεῖραν ἀπειπὼν, ἐπεὶ ἐξηλαύνετο τῆς πόλεως, πρὸς Κράλην ἦλθεν, ἔπειτα ἐκεῖθεν εἰς Ἄθω τὸν ἱερόν. οἱ Ζηλωταὶ δὲ ἐπεὶ τὸν δῆμον ἄγειν ἠδύναντο οὐκέτι, οὐδὲ διαρπάζειν τὰς οἰκίας τῶν ἐχόντων, τὴν προτέραν ἀποθέμενοι ὑπόκρισιν, ὡς ὑπὲρ βασιλέως ἀγωνίζονται τοῦ νέου, ἔπρασσον, ὅπως ἡ πόλις προδοθείη Τριβαλοῖς. Κράλης γὰρ οὐδαμῶς ἐφείδετο χρημάτων, ἀλλὰ παρεῖχέ τε πολλὰ, καὶ πλείω ἐπηγγέλλετο. ἦν γὰρ καὶ ἄλλως μὲν πρὸς εὐεργεσίας ὁ ἀνὴρ φιλότιμος, μάλιστα δὲ πρὸς τὴν Θεσσαλονίκης αἵρεσιν πάντα δεύτερα ἡγεῖτο, εἰδὼς, ὡς, εἰ γένοιτο κύριος τῆς πόλεως, τά τε ἀναλωθέντα ἀνασώσεται, καὶ μέρος οὐ μικρὸν τῆς Ῥωμαίων ἡγεμονίας ἕξει, τηλικαύτην πόλιν ταῖς προκατειλημμέναις τοσαύταις οὔσαις ἐπιθείς. [20]

3 110 ἀφειδῶς οὖν ἐκκενῶν τὰ χρήματα, τούς τε Ζηλωτὰς καὶ δι' ἐκείνων οὐκ ὀλίγους ἔπεισε τῶν πολιτῶν αὐτῷ προσέχειν, ὥστε καὶ ἀναφανδὸν ἐδικαιολόγουν ὑπὲρ τοῦ δεῖν ἐκείνῳ προσχωρεῖν, βλάπτειν τὰ μέγιστα δυναμένῳ διὰ τὸ τὴν χώραν ἅπασαν ἔχειν ὑφ' ἑαυτὸν καὶ δύνασθαι πολιορκεῖν, καὶ ὠφελεῖν ἐθέλοντι, εἰ προσχωροῖεν. αὐτός τε ὁ Κράλης, ἐκείνων ἐναγόντων, περιεστρατοπεδεύετο καὶ ἐπολιόρκει. ἃ πρωτοσέβαστός τε ὁρῶν καὶ οἱ φιλορρώμαιοι τῶν πολιτῶν, οὔτε περιγίνεσθαι τῶν προδιδόντων ἦσαν δυνατοὶ διὰ τὴν ἔξωθεν ἐπικειμένην δύναμιν, ἄλλως τε καὶ τοῦ δήμου πρὸς τὴν πολιορκίαν ἀχθομένου καὶ λύσιν οἰομένου τῶν κακῶν τὴν ὑπὸ Τριβαλοῖς δουλείαν ἔσεσθαι, οὔτε ἠνείχοντο τήν τε πόλιν Ῥωμαίους οὖσαν τηλικαύτην ἀποστερηθῆναι καὶ αὐτοὺς ἐν ἀνδραπόδων μοίρᾳ δουλεύειν τοῖς βαρβάροις. διὰ ταῦτα ἐδέοντο βασιλέως, μὴ σφᾶς περιιδεῖν, ἀλλὰ τὴν ταχίστην ἐπιβοηθεῖν, ὡς εἴσω ὀλίγων ἡμερῶν, εἰ μὴ ἐπικουροίη, τῆς πόλεως ἁλωσομένης. τοιαῦτα μὲν ἐκεῖνοι ἔγραφον. βασιλεῖ δὲ τότε τοιαύτης πόλεως κινδυνευούσης μηδεμίαν πρόνοιαν ποιήσασθαι δεινὸν ἐδόκει, καὶ πρὸς τὸ τῶν δεδογμένων ἀμελήσαντα αὖθις ἐπὶ πολέμους τρέπεσθαι καὶ στρατηγίας ἐδυσχέραινεν. ὅμως τῆς κοινῆς ὠφελείας Ῥωμαίων τὴν ἰδίαν δευτέραν θέμενος, αὖθις ἔπραττεν, ὅπως μὴ ἀπόλοιτο Θεσσαλονίκη. καὶ ἔγραφε μὲν ἐκείνοις, ἀνθίστασθαι τοῖς προδιδοῦσι καὶ μὴ ῥᾳθυμεῖν, ὡς καὶ αὐτοῦ τὴν βοήθειαν ὀξεῖαν ποιησομένου. [20]

3 111 ἔπεμπε δὲ καὶ πρὸς Ὀρχάνην τὸν γαμβρὸν πρεσβείαν, στρατιὰν αἰτῶν πρὸς συμμαχίαν. ὁ δὲ αὐτίκα τὸν υἱὸν ἐκέλευε Σουλιμὰν δισμυρίους ἱππέας ἔχοντα ἐπὶ Τριβαλοὺς συστρατεύεσθαι τῷ βασιλεῖ. ὁ βασιλεὺς δὲ βουλόμενος καὶ βασιλέα τὸν γαμβρὸν ἐπὶ τὴν εἰς Θεσσαλονίκην ἐπάγεσθαι στρατείαν, ἐφώπλιζε τριήρεις, ὡς ἀσφαλῶς ἐν αὐταῖς ἅμα ἐκείνῳ εἰς Μακεδονίαν καταπλεύσων. ᾔδη γὰρ τοὺς βαρβάρους ζηλοτυποῦντας πρὸς τὸν νέον βασιλέα καὶ ῥᾳδίως ἀποκτενοῦντας, εἰ γένοιντο ἐν ἐφικτῷ. νόμος γάρ ἐστιν αὐτοῖς βαρβαρικὸς πάντα τὸν πρὸς τὴν ἀρχὴν ἀμφισβητήσοντα ἀποκτιννύναι, καὶ μηδεμιᾶς φείδεσθαι μήτε ἡλικίας, μήτε συγγενείας. διὸ καὶ κατὰ τὰς ἀρχὰς μάλιστα τῶν βασιλέων τῆς εἰρήνης, μετὰ τὸ τὸν νέον βασιλέα Ἑλένῃ τῇ βασιλίδι συνοικεῖν, νομίσας ὁ Ὀρχάνης φίλα πράττειν βασιλεῖ τῷ κηδεστῇ, εἰ τρόπῳ δή τινι τὸν νέον βασιλέα ἀποκτείνοιεν, ἐκτομίαν τινὰ Μερτζιάνην προσαγορευόμενον, καὶ ἑτέρους οὐκ ὀλίγους ἔχοντα, ἐπὶ ῥώμῃ σώματος καὶ εὐτολμίᾳ παρ' αὐτοῖς θαυμαζομένους, ἔπεμπεν ὡς βασιλέα, πρόφασιν μὲν, ὡς ἀναγκαίων τινῶν πρεσβευσομένους πέρι, τῇ δ' ἀληθείᾳ, ἵν', εἰ δύναιντο, βασιλέα τὸν νέον ἀποκτείνοιεν. ἀπιστεῖν δὲ οὐ χρὴ λογιζομένους, ὡς οὐκ ἐξῆν τοιαῦτα ἀκινδύνως τολμᾶν ἐν μέσοις Ῥωμαίοις. ἔθος γὰρ αὐτοῖς οὐ πρὸς ἀλλοφύλους μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ὁμοφύλους τοιαῦτα πράττειν, καὶ ἑκοντὶ τὸν θάνατον αἱρεῖσθαι ὑπὲρ τοῦ τὸν πολέμιον τῷ σφετέρῳ δυνάστῃ ἀνελόντας, χάριν μεγίστην καταθέσθαι καὶ παισὶ καὶ τοῖς οἰκείοις τὴν ἐκείνου εὔνοιαν καταλιπεῖν, ὥσπερ δῆτα καὶ ὁ Μερτζιάνης οὗτος σαφέστατα εἰδὼς, ὅτι καὶ αὐτὸς ἀποθανεῖται, ὅμως ὑφίστατο τὴν ἐπιχείρησιν, διὰ τὴν πρὸς τὸν Ὀρχάνην εὔνοιαν τὴν οἰκείαν σωτηρίαν καταπροδιδούς. [5]

3 112 βασιλεὺς δὲ ὁ Καντακουζηνὸς, ἐπεὶ ἠσθάνετο μηνυθεῖσαν τὴν τοῦ παιδὸς ἐπιβουλὴν, ἐκεῖνον μὲν ἐκέλευε μὴ χωρὶς αὐτοῦ προβαίνειν βασιλείων μήτε νῦν, μήθ' ὕστερον, Βυζαντίῳ μάλιστα ἐκ τῶν βαρβάρων πρέσβεων ἐπιδημούντων· Μερτζιάνην δὲ, ταχεῖαν τὴν ἀπόκρισιν ποιησάμενος ἐφ' οἷς ἐπρέσβευεν, ἀπέπεμπε. διὰ ταύτην οὖν τὴν πρὸς τὸν νέον βασιλέα τῶν βαρβάρων δυσμένειαν τὰς τριήρεις ἐφοπλίσας παρεσκευάζετο καὶ αὐτός. γνώμην δὲ εἶχεν, ὡς νῦν μὲν ἐξ ἐφόδου κακουργήσων τε τὰ Τριβαλῶν καὶ Θεσσαλονίκην τῶν κινδύνων ἀπαλλάξων· ἤδη γὰρ καὶ περὶ ἐκβολὰς τοῦ φθινοπώρου ἡ ὥρα ἦν· ἔπειτα βασιλέα μὲν τὸν νέον ἐκεῖσε καταλείπειν, αὐτὸς δὲ εἰς Βυζάντιον ἐπανελθὼν καὶ παρασκευασάμενος τοῦ χειμῶνος, μετὰ μείζονος τῆς παρασκευῆς καὶ χρονισούσης ἐπελθεῖν. ἃ τῇ βασιλίδι Ἄννῃ οὐκ ἤρεσκε παντάπασιν, ἀλλὰ ἐδεῖτο βασιλέως καὶ παρῄνει, μὴ τὸν υἱὸν ἐκεῖσε καταλείπειν, ἀλλ' ἔχοντα

ἐπαναστρέφειν. δεδιέναι γὰρ ἔφασκεν οὐ μᾶλλον τοῦ παιδὸς τὴν ἡλικίαν οὖσαν εὐεξαπάτητον, ὅσον τῶν ἑσπερίων τὴν μοχθηρίαν καὶ τὴν ἑτοιμότητα πρὸς νεωτερισμούς· ἃ φυλάττεσθαι παρῄνει, μὴ, ὑπ᾽ ἐκείνων ἐξαπατηθέντος τοῦ νέου βασιλέως, στάσις αὖθις καὶ πόλεμος μεταξὺ Ῥωμαίων ἐξαφθῇ, καὶ τοῖς πράγμασι καὶ σφίσιν αὐτοῖς λυμήνηται τὰ μέγιστα. [5]

3 113 βασιλεὺς δὲ ἐπῄνει τε τῆς παραινέσεως τὴν βασιλίδα, ὡς ἀληθοῦς καὶ δικαίας οὔσης καὶ τῆς πρὸς αὐτὸν φιλίας ἄκρως ἐχομένης καὶ κηδεμονίας τῶν κοινῶν, καὶ παρῄνει καὶ αὐτὸς θαῤῥεῖν, ὡς μετὰ τὴν εἰς Θεσσαλονίκην ἐπιδημίαν, ὅ,τι ἂν δοκοίη μάλιστα λυσιτελεῖν ποιήσοντος. οὐδὲ γὰρ οὐδ᾽ αὐτῷ μάλιστα τῶν ἀγαθῶν δοκεῖν βασιλέα τὸν υἱὸν μόνον καταλείπειν μέλλοντα ἐπιπολὺ ἀπέσεσθαι αὐτοῦ· ἀλλὰ νῦν μὲν ὥσπερ ἔφοδον ποιεῖσθαι διὰ τὸν Θεσσαλονίκης κίνδυνον ὀξὺν ὑποπτευόμενον· ὃν οὐχ ἡ ἀδυναμία τῶν ἐνοικούντων μᾶλλον ἐπήγαγεν, ἢ ἡ μοχθηρία· ἐκεῖσε δὲ γενόμενον καὶ τοὺς προδιδόντας τοῖς Τριβαλοῖς τὴν πόλιν ἐξελάσαντα, βασιλέα μὲν τῇ πόλει καταλείπειν τοῦ χειμῶνος κωλύσοντα τοὺς προδιδόντας, εἴ τινες ὑπολειφθεῖεν ἔτι· οὐ γὰρ δὴ κοινῇ παρόντος αὐτοῦ βουλήσονται αὐτόν τε καὶ τὴν πόλιν προδιδόναι, κἂν εἰς ἄκρον μάλιστα ἐλάσωσι μοχθηρίας· ἔπειτα ἅμα ἦρι μετὰ πλείονος ἐπελθόντα τῆς παρασκευῆς καὶ αὐτὸν, τότ᾽ ἤδη θεοῦ συναιρομένου, οὐ περὶ Θεσσαλονίκης μόνον ποιήσεσθαι τὸν λόγον, ἀλλὰ καὶ περὶ τῆς ἄλλης Μακεδονίας καὶ Θετταλίας καὶ Ἀκαρνανίας, ἃς ἔχουσιν οἱ Τριβαλοὶ κατασχόντες ἐπὶ τὸν τοῦ πολέμου χρόνον. [20]

3 114 τοιούτοις μὲν δὴ λόγοις ἔπειθε τὴν βασιλίδα, οὐ πάνυ πειθομένην. ιζ′. Αὐτὸς δὲ ἐπεὶ ἐπύθετο τὴν Περσικὴν στρατιὰν τὸν Ἑλλήσποντον περαιουμένην, καὶ αἱ τριήρεις παρεσκευασμέναι ἦσαν, ἀπέπλει κατὰ τάχος, καὶ βασιλέα τὸν νέον ἔχων. καὶ γενόμενος ἐν Ἑλλησπόντῳ, βασιλέα μὲν τὸν νέον κατελίμπανεν ἐν ταῖς τριήρεσιν, αὐτὸς δὲ πρὸς τὴν ἤπειρον ἐξελθὼν, συνεμίγνυτο τῆς στρατιᾶς τοῖς ἡγεμόσι, καὶ παρῄνει, ᾗ χρὴ ποιεῖσθαι τὴν ὁδοιπορίαν· πρόνοιάν τε ἐποιεῖτο οὐκ ὀλίγην τοῦ μὴ τὴν Μακεδονίαν διαφθείρειν αὐτῷ ὑπήκοον αὐτίκα ἐσομένην, ἀλλ᾽ ἐπειδὰν εἰς Θεσσαλονίκην ἀφίκωνται, αὐτῷ μελήσειν, ᾗ χρὴ κακοῦν τὴν πολεμίαν. τόν τε Ματθαῖον τὸν υἱὸν ἐκέλευε τὴν Ῥωμαίων ἔχοντα στρατιὰν, μετὰ τῶν ἡγεμόνων ἡγεῖσθαι τοῖς βαρβάροις τὴν εἰς Θεσσαλονίκην. σκοπὸς δὲ ἦν αὐτῷ, ὡς ἐκεῖ μὲν βασιλέα τὸν νέον καταλείψοντι ἐν ἀσφαλείᾳ, αὐτὸς δὲ Ῥωμαίους, ἅμα καὶ βαρβάρους ἄγων, εἰς τὴν πολεμίαν ἐμβαλεῖν. τὰ μὲν οὖν κατὰ τὴν ἠπειρῶτιν στρατιὰν εὖ διαθέμενος, ὡς ἐδόκει, ἔπειτα ἀνήγετο ἐν ταῖς τριήρεσιν. ὁδοῦ δὲ πάρεργον καὶ τῆς Ἠιόνος πόλεως παραλίου κατὰ τὴν Θρᾴκην, ἣ νῦν Ἀνακτορόπολις καλεῖται, τῶν τειχῶν ἀπεπειρᾶτο, ἧς ἦρχεν Ἀλέξιός τις ἐκ Βιθυνίας ὡρμημένος ἐκ κώμης τινὸς Βελικώμης προσαγορευομένης· ὃς κατὰ τὸν τοῦ πολέμου χρόνον Ἀποκαύκῳ τῷ μεγάλῳ δουκὶ ἐμισθοφόρησεν οὐκ ὀλίγον χρόνον μονήρους ἄρχων λῃστρικῆς, ὕστερον δὲ μετὰ τὴν ἐκείνου τελευτὴν τοῖς ἄλλοις ὁμοίως καὶ αὐτὸς διὰ τὴν ἀναρχίαν ἐπὶ νεωτερισμοὺς χωρήσας, οὐ τὴν Ἠιόνα μόνον δὴ ταύτην ἑαυτῷ περιεποίησε κρατήσας, ἀλλὰ καὶ Χριστούπολιν ἐκάκου, ὅσα δυνατὰ, καὶ Θασίοις καὶ Λημνίοις λυπηρὸς ἦν, πάντα ὑφ᾽ ἑαυτῷ βουλόμενος ποιεῖσθαι καὶ τῆς Ῥωμαίων ἡγεμονίας ἀποτέμνειν. [5]

3 115 δι᾽ ἃ ὁ βασιλεὺς καταπλέων ἐπέθετο τῇ Ἠιόνι, καὶ τειχομαχίας ἐπὶ δύο καὶ τρισὶν ἡμέραις ἐποιήσατο, καὶ τῶν μὲν τειχῶν ἥττων ὤφθη, τῶν περὶ Ἀλέξιον ἀμυνομένων κραταιῶς· πλοῖα μέντοι, ὅσα ἦν, καὶ μονήρεις πειρατικὰς, ἃς αὐτὸς ἐχρῆτο πρὸς λῃστείας, πάντα ἀνάλωσε πυρί. ἔτι δὲ αὐτῷ περὶ ἐκεῖνα διατρίβοντι τὰ μέρη ἠγγέλλετο, ὡς ἡ κατὰ συμμαχίαν ἀφικνουμένη ἀναστρέψειε στρατιὰ Περσῶν. ἐδόκει μὲν οὖν τότε τοῖς πολλοῖς ὑπό τινων Ῥωμαίων τοὺς Πέρσας ἀναπεπεῖσθαι ἀναστρέφειν ἔχθει τῷ πρὸς τὸν νέον βασιλέα, ὡς ἂν μὴ ἡ Ῥωμαίων αὔξοιτο ἀρχή. τὸ δὲ οὐ τοιοῦτον ἦν, ἀλλὰ παντάπασιν ἡμάρτανον οἱ ὑποπτεύοντες τῆς ἀληθείας. Ὀρχάνης γὰρ μετὰ τὸ τὴν στρατιὰν εἰς τὴν Θρᾴκην περαιωθεῖσαν τῆς εἰς ἑσπέραν

ἔχεσθαι ὁδοῦ γράμματα τῷ υἱῷ Σουλιμὰν ἐν ἀπορρήτῳ πέμψας, ἐκέλευεν ἀναστρέφειν· ἐπιέναι γὰρ αὐτῷ τῶν ὁμόρων Περσῶν τοὺς δυνατωτάτους, καὶ τὴν στρατιὰν παρεῖναι δέον καὶ ἀμύνεσθαι τοῖς ἐπιοῦσιν. ἐκέλευε μέντοι μὴ κατάδηλον Ῥωμαίοις τὴν αἰτίαν τῆς ἀναχωρήσεως ποιεῖν, ἵνα μὴ ὁ βασιλεὺς αὐτῷ ὀργίζοιτο, ἀλλὰ πλασάμενόν τινας αἰτίας ἀναστρέφειν. [20]

3 116 ἃ Σουλιμὰν ἐποίει ᾗ αὐτῷ ὁ πατὴρ προσέταττε, καί τινα πλασάμενος μὴ ὄντα, ἐκ τοῦ κατὰ τὸν Ἔβρον πόρου πρὸς τὴν Μυσίαν ἐπὶ λεηλασίαν ἀπεχώρει, καὶ πλῆθος ὁμοῦ βοσκημάτων καὶ ἀνθρώπων ἐλάσας αἰχμαλώτων ἐπὶ τὴν Ἀσίαν ἐπεραιοῦτο. Ματθαῖος δὲ ὁ τοῦ βασιλέως υἱὸς ἐπεὶ μὴ τῇ Ῥωμαίων μόνῃ στρατιᾷ δυνατὸς ἦν τὴν πρὸς Θεσσαλονίκην ἀπιέναι διὰ πολεμίας, ποταμῶν τε ἀεννάων διιόντων ἐν τῷ μεταξὺ καὶ οὐ ῥᾴδιον τὸν πόρον παρεχομένων, καὶ Τριβαλῶν ἐνεδρευόντων, ὄντων δυνατωτέρων, ἢ καθ' ἣν ἦγεν αὐτὸς Ῥωμαίων στρατιὰν, ἀνέστρεφε καὶ αὐτὸς καὶ διέλυε τὸ στράτευμα· βασιλεῖ τε τῷ πατρὶ ἐδήλου τὴν αἰτίαν τῆς κωλύμης. βασιλεὺς δὲ ἠγανάκτει μὲν πρὸς τὰ συμβάντα, πρός τι δὲ λυσιτελέστερον οὐκ ἔχων τρέπεσθαι, ἐχώρει τὴν εἰς Θεσσαλονίκην, ἐκ τῆς Ἠϊόνος ἄρας, καὶ τὴν νύκτα ἐκείνην ὡρμίσατο ἐπ' ἀγκυρῶν Ἀμφιπόλεως ἐγγὺς ὑπὸ Τριβαλῶν κατεχομένης. ἧς ἐπετρόπευε Μπραϊάνης, βασιλεῖ ἐς τὰ μάλιστα φίλος ὢν ἐκ τῆς πρὸς αὐτοὺς διατριβῆς· πρὸς ὃν ἀκατίου ἐπιβὰς νυκτὸς, ἀφίκετο εἰς Ἀμφίπολιν ὁ βασιλεὺς κρύφα καὶ διειλέχθη. ὁ δὲ τά τε πρὸς αὐτὸν εὖ διέθετο βασιλεῖ ἐπαγγειλάμενος πάντα ποιήσειν κατὰ γνώμην, καὶ τοῖς ἄλλοις βασιλέως φίλοις ὑπέσχετο διαλεχθήσεσθαι, ἵν' ἐν καιρῷ προσήκοντι χρήσιμοι ὀφθεῖεν βασιλεῖ, ἀπήγγελλέ τε, ὡς περὶ Στρυμμόνα νῆες ὁρμίζονται δύο καὶ εἴκοσι Περσικαὶ ἐπὶ λεηλασίᾳ ἀφιγμέναι. ὁ μὲν οὖν βασιλεὺς τοιαῦτα ἐπὶ νυκτὸς διαλεχθεὶς, πάλιν εἰς τὰς τριήρεις ἀπεχώρει, πρόνοιαν πολλὴν ποιούμενος τοῦ μὴ φανερὸς εἶναι διειλεγμένος τῷ Τριβαλῷ. [20]

3 117 ἅμα δὲ ἕῳ ἔπεμπεν ἐπὶ τοὺς Πέρσας καὶ ἐκάλει ἐπὶ συμμαχίαν· οἱ δὲ παρῆσαν οὐδὲν μελλήσαντες. οὓς ἄγων μετὰ τῶν τριηρέων ἀφῖκτο εἰς Θεσσαλονίκην, εὗρε δὲ τὸν δῆμον καὶ τοὺς Ζηλωτὰς πρὸς τοὺς ἀρίστους διαστασιάζοντας, καὶ κοινῇ κακῶς τὴν πόλιν ἔκ τε τῶν ἔξωθεν πολεμίων καὶ τῶν ἔνδον ἐπιβούλων ἔχουσαν. πάντα δὲ εὐθὺς διέλυε τὰ δεινὰ ἐπιφανεὶς, καὶ ἡ πᾶσα πόλις ἐν ἑορταῖς ἦσαν, καὶ μετὰ πολλῆς εὐφημίας ὑπεδέχοντο τοὺς βασιλέας. μικρὸν δὲ μετὰ τὴν ἐπιδημίαν Καντακουζηνὸς ὁ βασιλεὺς ἐκκλησίαν πάνδημον ἐκ τῶν Θεσσαλονικέων συναθροίσας, περί τε τοῦ συμβεβηκότος πρὸς αὐτὸν πολέμου τοῖς Ῥωμαίοις διειλέχθη, ὡς οὐκ αὐτοῦ παρασχομένου τὰς αἰτίας, ἀλλὰ τῶν σεσυκοφαντηκότων, καὶ περὶ τῶν ἐν αὐτοῖς Ζηλωτῶν, ὡς οὔτε πρότερον τῆς εἰς βασιλέα τὸν νέον ἕνεκα εὐνοίας τὸν πόλεμον κινοῖεν πρὸς αὐτὸν, ἀλλ' ἐπὶ τῷ διαρπάζειν τὰ τῶν ἐχόντων, ἄποροι ὄντες αὐτοὶ ὡς τὰ πολλά· καὶ νῦν οὐδὲν ἧττον παρὰ Τριβαλῶν χρηματιζόμενοι, οὐ βασιλέα μόνον, ὑπὲρ οὗ ἀγωνίζεσθαι ἰσχυρίζοντο, ἀλλὰ καὶ τὴν πόλιν πᾶσαν προὐδίδοσαν ἰδίας ὠφελείας ἕνεκα, καὶ ἀπεδείκνυεν ἐκ πολλῶν οὐ βασιλεῖ τῷ νέῳ μόνον, ἀλλὰ καὶ πᾶσι Ῥωμαίοις καὶ τοῖς πολίταις δύσνους ἐξαρχῆς· καὶ ἐκέλευε συλλαμβάνεσθαι τοὺς μάλιστα ἐν λόγῳ, οὓς καὶ εἰς Βυζάντιον ἤγαγεν ἐπανελθών. τοὺς δ' ἄλλους τῆς πόλεως ἐκέλευεν ἐξωθεῖσθαι· τούς τε Τριβαλοὺς τῶν περὶ τὴν πόλιν φρουρίων ἐξήλαυνε, τοὺς μὲν δραπετεύοντας καὶ πρὸ τῆς συμβολῆς, ἐνίους δὲ καὶ μάχαις, πέμπων στρατιάν· καὶ ἐν ὀλίγῳ χρόνῳ καθαρὰν ἀπεδείκνυ τὴν χώραν πολεμίων. [25]

3 118 ἦσαν γὰρ πρὶν βασιλέα ἥκειν πᾶσαν τὴν ἔξω πυλῶν χώραν οἱ Τριβαλοὶ διανενεμημένοι. ιη'. Ἐν τούτῳ δὲ ἐκ Βενετίας πρὸς βασιλέα τέτταρες ἀφίκοντο τριήρεις εἰς Θεσσαλονίκην, ἄγουσαι πρεσβευτὴν τῶν παρ' αὐτοῖς ἐπιφανῶν Ἰάκωβον Μπραγαδῖνον· ὃς μεγάλα ἐπηγγέλλετο βασιλεῖ ἐκ τῆς βουλῆς καὶ τοῦ δήμου Βενετίας, εἰ αὐτοῖς πρὸς τοὺς ἐκ Γεννούας Λατίνους συμπολεμοίη. κεκίνητο γὰρ αὐτοῖς διαφορὰ μεγίστη· ἐδέοντό τε εἰς Βυζάντιον ἐπανελθόντα

πόλεμον αἱρεῖσθαι πρὸς ἐκείνους μετ' αὐτῶν. ὑπώπτευον γὰρ ἐκ τοῦ προτέρου πολέμου ἀπεχθῶς βασιλέα πρὸς τοὺς ἐν Γεννούᾳ Λατίνους διακεῖσθαι. βασιλεὺς δὲ ἀπηγόρευεν αὐτοῖς τὴν συμμαχίαν, πρὸς Κράλην εἶναι φάμενος αὐτῷ τὸν λόγον, ὃς πόλεις τε οὐκ ὀλίγας καὶ γῆν ἀφείλετο πολλὴν τῆς Ῥωμαίων ἡγεμονίας, αὐτῶν ὑπὸ τοῦ ἐμφυλίου πολέμου πρὸς ἀλλήλους ἠσχολημένων. τῶν δὲ ἐπαγγελλομένων, εὖ διαθήσειν αὐτῷ τὰ κατὰ Κράλην· γεγενῆσθαι γὰρ ἕνα τῆς αὐτῶν βουλῆς καὶ ἔχειν ἀνάγκην πείθεσθαι αὐτοῖς· ἐπείθετο οὐδ' οὕτως, ἀλλὰ δῶρα παρασχὼν καὶ φιλοφρονησάμενος, ἀπέπεμψεν. οἱ βάρβαροι δὲ οἱ ταῖς ναυσὶ συστρατευόμενοι οὐ μόνον τὰ κατὰ Μακεδονίαν παράλια διήρπαζον, πρὶν γενέσθαι ὑπὸ βασιλέα, ἀλλὰ καὶ κατὰ τὴν Βοτιαίαν περαιούμενοι, πάντα ἐληΐζοντο καὶ ἐκάκουν· ἐν ᾗ ἄλλους τε ἠνδραποδίσαντο πολλοὺς, καί τινος υἱὸν Μαρζελάτου προσαγορευομένου νομέων τινῶν ἐξάρχοντος, οἳ βοῶν ἔνεμον ἀγέλην τῶν κατὰ τὴν Βέῤῥοιαν Τριβαλῶν· ἦν δὲ γνώριμος τῷ βασιλεῖ, ἐκ τῶν ὑπ' αὐτῷ τελούντων νομάδων τὸ ἀρχαῖον ὤν· ᾧ καὶ μᾶλλον πεπεισμένος, πρὸς βασιλέα εἰς Θεσσαλονίκην ἦκε, καὶ ἐδεῖτο περὶ τοῦ υἱοῦ, πρὸ τῶν ποδῶν τοῦ βασιλέως κυλινδούμενος. [5]

3 119 βασιλεὺς δὲ ὥσπερ ὑπό τινος κεκινημένος, τῷ ἀνθρώπῳ διελέγετο μόνον παραλαβὼν, ὡς, εἰ βούλοιτο ἀπὸ τῶν βαρβάρων τὸν υἱὸν ἐλευθεροῦν, πρὸς τὴν Βεῤῥοίας αἵρεσιν συμπράττειν, οὐδὲν ἕτερον ἢ νυκτὸς μόνον κλίμακα τοῖς τείχεσιν ἐπιθέντα. ὁ βάρβαρος δὲ τήν τε ἐπιχείρησιν ὑπήρχετο προθύμως, καὶ τὰ μεγάλα ἐπηγγέλλετο συμπράξειν. ἔφασκε δὲ καὶ ῥᾳδίαν μάλιστα αὐτῷ ἔσεσθαι τὴν ἐπιχείρησιν. τῶν γὰρ ἐν Βεῤῥοίᾳ δυνατωτάτων Τριβαλῶν μετά τινων ἑτέρων νέμων βοῦς, μεταξὺ τῶν δύο τειχῶν αὐλίζεσθαι τῆς πόλεως τὴν νύκτα, καὶ μηδεμίαν κατ' αὐτοὺς εἶναι φυλακὴν, ὥστ' εἶναι ῥᾴδιον τοὺς ἑταίρους πείσαντα, πράττειν βασιλεῖ τὰ κατὰ γνώμην. ὁ μὲν οὖν βάρβαρος οὕτω συνθέμενος πρὸς βασιλέα, ἀπεχώρει, ἐκείνου ἐπαγγειλαμένου τὸν υἱὸν ἀπὸ τῶν Περσῶν ἐλευθεροῦν, εἰ συμπράξειε τὰ δυνατὰ πρὸς τὸ Βέῤῥοιαν ἁλῶναι. καὶ βασιλεὺς δὲ παρεσκευάζετο, ὡς εἰς Βέῤῥοιαν ἀφιξόμενος νυκτὸς, καὶ τὰς μὲν τριήρεις ἐκέλευε τοὺς ναυάρχους ἐφοπλίσαντας, ἄγοντας καὶ τοὺς βαρβάρους, ἐπί τινα ποταμὸν τῶν ἀεννάων οὐ πάνυ πόῤῥω ῥέοντα Βεῤῥοίας, ἐκ συνθήματος ἐλθεῖν καὶ περιμένειν βασιλέα. [20]

3 120 αὐτὸς δὲ τήν τε ἐκ Θεσσαλονίκης ἄγων στρατιὰν, καὶ τῶν ἐκ Βυζαντίου ἑπομένων οὐκ ὀλίγους, αὐτόθεν ἵππους συμπορισαμένους, ἐκ τῆς ἠπείρου πρὸς Βέῤῥοιαν ἐχώρει, βασιλέα τὸν νέον ἐν Θεσσαλονίκῃ καταλιπών. ἐν Βεῤῥοίᾳ δὲ καὶ πρότερον μὲν ἦσαν οὐκ ὀλίγοι Τριβαλῶν ὑπὸ Κράλη κατῳκισμένοι, οὐ στρατιῶται μόνον, ἀλλὰ καὶ τῶν δυνατῶν, διά τε τὴν ἄλλην τῆς πόλεως εὐφυΐαν· οὐδενὸς γὰρ τῶν ὅσα πόλιν εὐδαίμονα ποιεῖ ἐνδεῖ· καὶ διὰ τὸ μεγάλην εἶναι καὶ πολλοὺς τοὺς ἐνοικοῦντας ἔχειν, οὐ δημώδη μόνον ὄχλον, ἀλλὰ καὶ στρατιώτας, καὶ οὐκ ὀλίγους τῶν συγκλητικῶν· ὧν τοὺς πλείους μὲν ἢ πάντας ὁ Κράλης ἐξήλασε κατασχὼν, ὅμως ἔτι τὴν ἀποστασίαν δεδιὼς τῆς πόλεως, στρατιώτας τε ἐγκατῴκισεν οὐκ ὀλίγους, καὶ τῶν παρ' αὐτῷ ἐπιφανῶν τινας· ἀκροπόλεις δὲ οἰκοδομήσας δύο, τὴν μὲν ἀπηρτισμένην πάντῃ φρουρὰ κατέσχε Γερμανῶν τὴν πρὸς τῇ βασιλικῇ καλουμένῃ πύλῃ, ἡ λοιπὴ δὲ ἐνέδει ἔτι. οὐ γὰρ ἀκρόπολις ἦν, ἀλλ' ὥσπερ μικρὰ πόλις ἐν μεγάλῃ. μέρος γὰρ οὐκ ὀλίγον τοῦ περιβόλου τῆς πρώτης πόλεως ἀποτεμόμενος, διετείχιζεν ἐπὶ τὰ ἔνδον τὰς οἰκίας καθαιρῶν, καὶ πύργους ἀνίστη ἐφ' ἑνὶ τῷ μεγίστῳ τρεῖς ἐλάσσους, καὶ τῶν κατὰ τὰ μεσοπύργια τειχῶν πάχος σύμμετρον ἐχόντων, διπλᾶς ἐποίει τὰς ἐπάλξεις, ἵν', εἰ δέοιτο ἐφ' ἕτερον ἰέναι ἐξ ἑτέρου, ῥᾳδία εἴη ἡ διεξαγωγή· κἂν εἰ συμβαίη τὴν ἀκρόπολιν ἁλῶναι, μηδὲν παραβλάπτοιντο οἱ φύλακες ὁμοίως ἀπό τε τῶν ἔξω καὶ τῶν ἔνδον πολεμίων. [20]

3 121 ταύτην μὲν οὖν τοιαύτην οὖσαν οὐκ ἔφθασεν εἰς τέλος ἀγαγεῖν, ἀλλὰ τοῦ προσήκοντος ὕψους ἀπελείποντο οἱ πύργοι ἔτι. διά τε οὖν τὰς εἰρημένας αἰτίας πολλοὶ Τριβαλῶν ἐνδιέτριβον Βεῤῥοίᾳ καὶ ἀξιόμαχος στρατιά· καὶ τότε διὰ τὴν βασιλέως ἔφοδον οὐκ ὀλίγοι ἐκ τῶν ἐν ταῖς

κώμαις κατῳκισμένων συνῆλθον. ὑπώπτευον γὰρ καὶ αὐτοὶ βασιλέα ἐπιχειρήσειν σφίσι, καὶ τῆς τε πόλεως ἐποιοῦντο φυλακὴν καὶ νύκτωρ καὶ μεθ' ἡμέραν οὐ ῥᾳθύμως· καὶ παρεσκευάζοντο πρὸς ἄμυναν, ἤν τις αὐτοῖς ἐπίῃ. ἃ καὶ βασιλεὺς σαφέστατα εἰδὼς, οὐ φανερῶς ἐπεχείρει· ᾔδει γὰρ οὐ δύνατος ἐσόμενος τοσούτους βίᾳ αἱρήσειν μετὰ τῶν τειχῶν· ἀλλ' ἐπὶ κλοπὴν ἐχώρει μᾶλλον, οὐκ ὀλίγα καὶ τοῖς ἐγχωρίοις πεποιθὼς, ὡς συστήσονται ἐπὶ τοὺς πολεμίους, ἢν αἴσθωνται ἔνδον ὄντα, καὶ συγκατεργάσονται αὐτῷ τὸν πόλεμον. ὁ μὲν οὖν πρόνοιαν πολλὴν ποιούμενος τοῦ μὴ κατάδηλος εἶναι Τριβαλοῖς ἐπιστρατεύων, ἦλθεν ἐπὶ τὸν ποταμὸν κατὰ τὸ σύνθημα. αἱ τριήρεις δὲ οὔπω παρῆσαν. γενόμεναι γὰρ πρὸς τὸ στόμα τοῦ ποταμοῦ, οἷα φιλεῖ συμβαίνειν, ὑπό τε τῆς θαλάττης καὶ τοῦ ποταμοῦ ἐξωθουμένης τῆς ἰλύος προσχοῦσθαι τὰ κατὰ τὴν εἰσβολὴν, ἠδυνάτουν πρὸς τὴν δίοδον· καὶ μηχανὴ τοῖς ναυάρχοις οὐδεμία ἐξευρίσκετο, ἀλλὰ μόνον ἦχθοντο τοιαύτης πράξεως ἀπολλυμένης. [20]

3 122 ᾔδεσαν γὰρ οὐδὲ βασιλέα χωρὶς αὐτῶν ἐπιστρατεύσοντα Βερῥοίᾳ, ἀλλ' ἅμα ἕῳ κατάδηλον γενόμενον, ἀναγκασθήσεσθαι εἰς Θεσσαλονίκην ἀναστρέφειν. βασιλεύς τε ὁμοίως ἠγανάκτει ἐφεστὼς τῷ ποταμῷ, ὅτι μὴ παρῆσαν αἱ τριήρεις· τὴν αἰτίαν δὲ τῆς ἀπολείψεως ἠγνόει. καὶ ἀπόλλυσθαι τοιαύτην πρᾶξιν ὑπενόει καὶ αὐτὸς, εἰ ἐπιγένοιτο ἡμέρα. ἐν ὅσῳ δὲ οἱ ἐν ταῖς τριήρεσι περὶ τοῦ ὅ,τι χρὴ πράττειν διηπόρουν, ἀθρόον πλημμυρήσασα ἡ θάλασσα καὶ κυμήνασα ἐπὶ μικρὸν, ἡμέρῳ καὶ προσηνεῖ ῥοθίῳ παρέπεμπε τὰς ναῦς ἐπὶ τὸν ποταμὸν, καὶ ἐν ὀλίγῳ βασιλεῖ συμμίξασαι, διηγοῦντο τὸ κατὰ τὴν διάβασιν, ὥσπερ ἐξαίσιον συμβεβηκός. βασιλεύς τε οὐ κατὰ τύχην, ἀλλὰ προνοίᾳ θείᾳ τὰ τοιαῦτα συνεσκευάσθαι οἰηθεὶς, μᾶλλον ἐπερῥώσθη πρὸς τὴν πρᾶξιν, ὡς θεοῦ συναιρομένου· καὶ ᾗ τάχους εἶχε, τούς τε ὁπλίτας καὶ ψιλοὺς καὶ τοὺς βαρβάρους τῶν νεῶν ἐξαγαγὼν, ἐχώρει πρὸς Βέῤῥοιαν σπουδῇ, ἐπὶ τὴν φυλακὴν τῶν νεῶν καταλιπὼν ὅσους ᾤετο ἀρκέσειν. μεταξὺ δὲ πορευομένῳ καὶ ὁ Μαρζελάτος παραγενόμενος, ἐπέσπευδε πρὸς τὴν πορείαν. πάντα γὰρ αὐτῷ ἔφασκεν ἠνύσθαι, καὶ τοῖς ἑταίροις ἐπιτετραφέναι τὴν τῆς κλίμακος κατασκευήν. ἐπεὶ δὲ ἦσαν οὐκ ἄπωθεν τῆς πόλεως, βασιλεὺς μὲν αὖθις ἔπεμπε Μαρζελάτον ἰδεῖν, εἰ κατεσκεύαστο ἡ κλίμαξ. ὁ δὲ ἐπαναστρέψας, μηδεμίαν ἔφασκε κατεσκευάσθαι κλίμακα, καὶ πάλιν ὁ βασιλεὺς ἐν ἀπόροις ἦν. οἱ περὶ αὐτὸν δὲ ξύλα τεμόντες ἐκ τῆς λόχμης τῷ τείχει ἰσομήκη· συνεστρατεύοντο γὰρ Βερῥοιωτῶν οἱ μάλιστα ἐν λόγῳ ὑπὸ Κράλη φυγαδευθέντες, πρὸς εὐψυχίαν καὶ τόλμαν οὐδενὸς λειπόμενοι τῶν συνόντων βασιλεῖ· οἳ καὶ μάλιστα προθύμως πρὸς πάντα ὑπηρέτουν, καὶ πρὸς τὴν τῆς πατρίδος ἐσπούδαζον κατάληψιν. [5]

3 123 ἐπειδὴ ἥλων οὐκ εὐπόρουν, τοῖς ἐκ τῆς βασιλικῆς σκηνῆς χρησάμενοι καλωδίοις, κλίμακας κατεσκεύασαν τέτταρας ἐν βραχεῖ, ὁπλῖται δὲ καὶ ἐκ τῶν ψιλῶν ἄραντες αὐτὰς, Βερῥοιωτῶν ἡγουμένων μετὰ Μαρζελάτου, τοῖς τείχεσι προσήρεισαν, μηδενὸς εἰδότος τῶν ἔνδον πολιτῶν· καὶ αὐτοὶ ἀνέβαινον πρῶτοι, ἔπειτα καὶ ἐκ τῶν ὁπλιτῶν καὶ τῶν ψιλῶν. βασιλεὺς δ' ἐπεὶ ᾐσθάνετο ἔνδον ὄντας τοὺς οἰκείους, αὐτίκα τὸ στράτευμα διῄρει, καὶ Ῥωμαίους μὲν ἔχων αὐτὸς ἱππέας καὶ πεζοὺς, ἐπὶ τὰς κλίμακας ἐχώρει, τὸ βαρβαρικὸν δὲ μετὰ Ῥωμαίων τῶν ἐπιλοίπων ἐπὶ τὴν ἀκρόπολιν ἐκέλευε χωρεῖν, ὥστε καταπλήττειν πολλαχόθεν προσβαλόντας. οἱ ἔνδον δὲ γενόμενοι στρατιῶται, πρῶτα μὲν φύλαξί τισι περιτυχόντες, συνελάμβανον καὶ σιωπᾷν ἐκέλευον, ἢ ἠπείλουν ἀποκτείνειν. ἔπειτα ἐλθόντες ἐπὶ πύλην τὴν Ὀψικκιανὴν προσαγορευομένην, ἑτέροις ἐνέτυχον φύλαξι πολίταις, οὓς ἐκέλευον συμπράττειν σφίσι καὶ καταγνύναι τοὺς μοχλούς· θᾶττον δὲ ἢ λόγος ἐκεῖνοι τὰς πύλας διανοίξαντες, εἰσεδέχοντο βασιλέα. ὁ δὲ, τῶν ἀρίστων ὀλίγους πρὸς ταῖς πύλαις κατασχὼν περὶ αὐτὸν, τοὺς ἄλλους ἔνδον ἐκέλευε χωρεῖν καὶ συμπλέκεσθαι τοῖς πολεμίοις. [20]

3 124 τοὺς δὲ καὶ μόνοι ἤρκουν διαφθείρειν οἱ ἐγχώριοι. ὡς γὰρ ᾔσθοντο ἔνδον ὄντα βασιλέα, τῆς εὐφημίας πᾶσι ποιούσης δῆλον, ἐπέθεντο αὐτίκα Τριβαλοῖς, καὶ τά τε ὄντα διήρπαζον, καὶ

συνελάμβανον εἴ που περιτύχοιέν τινι. οἱ Τριβαλοὶ δὲ ἐπεὶ ᾐσθάνοντο ἑαλωκυῖαν Βέῤῥοιαν, πρῶτα μὲν ἐπὶ τοὺς ἄρχοντας συνέθεον πανταχόθεν ὡπλισμένοι, ὡς ἢ ἀμυνούμενοι, ἂν ἐξῇ, ἢ τὰς πρὸς τῇ ἀκροπόλει πύλας διανοίξαντες ἀποδιδράσκοιεν. τῶν βαρβάρων δὲ ἀλαλαξάντων ἔξωθεν τῆς ἀκροπόλεως, αὐτίκα πᾶσαν ἐλπίδα σωτηρίας ἀπογνόντες, τῶν ἵππων ἀποβαίνοντες, εἰσῄεσαν εἰς τὴν ἀκρόπολιν, παῖδας καὶ γυναῖκας ἔχοντες, τῶν δὲ ἄλλων οὐδένα λόγον ἐποιοῦντο. ὄντων δὲ πολλῶν, (τριάκοντα γὰρ ἦσαν τῶν εὐπατριδῶν ἅμα γυναιξὶ καὶ τέκνοις, οἳ στρατιωτῶν πάντες ἦρχον, στρατιῶται δὲ πεντακόσιοι καὶ χίλιοι,) ἐπεὶ τὰ τῆς ἀκροπόλεως τείχη καὶ οἱ πύργοι ἦσαν ἀτελεῖς, οἱ μὲν ἄρχοντες ἅμα γυναιξὶ καὶ τέκνοις εἰς ἕνα τῶν πύργων ὕψους ἱκανῶς ἔχοντα εἰσῄεσαν, τὸ δ’ ἄλλο τῶν στρατιωτῶν πλῆθος, οἱ μὲν συνελαμβάνοντο αὐτίκα, οἱ δὲ πρὸς τὰς οἰκίας κατεκρύπτοντο παρὰ τοὺς φίλους. οἱ Γερμανοὶ δὲ τὴν ἑτέραν εἶχον ἀκρόπολιν καθ’ ἑαυτούς, ἣ πρὸς τῇ Βασιλικῇ καλουμένῃ πύλῃ ἦν· ἄλλο δέ τι πλῆθος ἀχθοφορούντων, ὡς ἐλέγετο ὑπὲρ μυρίους ὄν, ἐκ πάσης τῆς ὑπὸ Κράλην γῆς ἠγμένον ἐπὶ τὴν οἰκοδομὴν τῆς ἀκροπόλεως, ἔξω αὐλιζόμενον τειχῶν, ὡς ᾔσθετο τοὺς βαρβάρους, ἔτι δοκῶν μεγάλων προσερηρεισμένων τοῖς τείχεσιν, ἐπὶ λίθων καὶ τῆς ἄλλης ὕλης ἀνολκὴν δι’ αὐτῶν εἰσρυέντες, διεσώθησαν ἐντὸς τῆς πόλεως. [20]

3 125 ὁ βασιλεὺς δὲ ἐπεὶ ᾔσθετο ἤδη κατὰ κράτος τὴν πόλιν ἐχομένην, ἴη καὶ αὐτὸς πρὸς τὴν ἀκρόπολιν εὐφημούμενος ὑπὸ τῶν πολιτῶν καὶ προπεμπόμενος· γενόμενος δὲ ἐκεῖ, πάντα μὲν εὕρισκεν ὑπό τε τοῦ δήμου καὶ τῆς στρατιᾶς διηρπασμένα· τοὺς βαρβάρους δὲ πέμψας ἐκώλυσε, μὴ εἰσελθεῖν ἐντὸς τῆς πόλεως, ἵνα μή τι ὑπ’ αὐτῶν κακουργηθῇ, ὡς πολέμῳ τῆς πόλεως ἑαλωκυίας. ἔπειτα τοῖς Τριβαλοῖς τοῖς ἐν τῷ πύργῳ ἐκέλευεν ἐξιέναι δεξιὰν διδοὺς, ὡς οὐδὲν παρ’ αὐτοῦ πείσονται δεινόν. οἱ δ’ αὐτίκα ἐξιόντες προσεκύνουν. πάντες γὰρ τῶν φίλων ἦσαν. Γερμανοὶ δὲ ἀντεῖχον πρὸς τὸν δῆμον καὶ τοὺς ἐκ τῶν τριηρέων ὁπλίτας μαχομένους ἄχρις οὗ βασιλεὺς ἐγένετο καὶ πρὸς αὐτούς. αὐτίκα δὲ καὶ αὐτοὶ ἐκλιπόντες τὴν ἀκρόπολιν προσεχώρουν. ἦσαν δὲ ἐκεῖνοι, οἳ μετὰ βασιλέως, ὅτε πρὸς Βέῤῥοιαν τὸ πρῶτον ἦκε, Κράλη προστάττοντος, συνεστρατεύοντο, οἷς ὁ βασιλεὺς μεγάλας ᾔδει χάριτας τῆς εἰς αὐτὸν εὐνοίας τότε. οὐ γὰρ ὑπέμειναν, καίτοι ὑπὸ Κράλη κελευόμενοι, ἐκλιπεῖν αὐτὸν ἐν Θεσσαλονίκῃ στρατευόμενον, ἀλλὰ, καίτοι πολλῶν κινδύνων περισχόντων, ὅμως ἄχρι Βερῥοίας εἵποντο προθύμως. δι’ ἃ αὐτοῖς ὁ βασιλεὺς, καίτοι αἰχμαλώτοις γεγενημένοις, ἡμέρως ἐχρήσατο καὶ προσηνῶς, καὶ ὅπλα παρασχόμενος καὶ ἵππους, ἔτι δὲ καὶ ἀργύριον προσθεὶς, ἀπέπεμπεν ἐπὶ Κράλην. τοὺς δὲ ἄλλους στρατιώτας ἅπαντας πλὴν τριάκοντα τῶν ἀρχόντων· ἡμφιεσμένους ἐκέλευε πεζῇ ἀναχωρεῖν εἰς τὴν οἰκίαν. [20]

3 126 οἱ γὰρ ἵπποι διηρπάσθησαν ὑπὸ τῆς στρατιᾶς. καὶ τὸ ἄλλο πλῆθος ἅπαν τὸ ἀχθοφορικὸν οἱ στρατιῶται μακρὰν τὴς πόλεως ἀπαγαγόντες, ἀπέλυον, κελεύσαντος βασιλέως, ἵνα μὴ ὑπὸ τῶν βαρβάρων διαρπασθῶσιν. οἱ τριάκοντα δὲ, βασιλέως ἐντίμως βουλομένου ἀπολύειν, ἐδεήθησαν κατέχεσθαι, ἵνα μὴ πρὸς τὸν σφέτερον δυνάστην διαβληθῶσιν, ὡς τὰ βασιλέως ᾐρημένοι, καὶ ἑκόντες ὄντες δόξωσι σφᾶς τε παραδεδωκέναι καὶ τὴν πόλιν. μετὰ μικρὸν δὲ οἱ μὲν ἀπῇεσαν εἰς τὰς οἰκίας, βασιλέως ἐπιτρέποντος, οἱ δ’ ἐδόκουν διαδιδράσκειν· ἔνιοι δὲ αὐτῶν ἀχθέντες εἰς Θεσσαλονίκην, ἐκεῖθεν ἀπεδίδρασκον. οὐ γὰρ ἐν δεσμωτηρίοις κατεκλείοντο, ἀλλ’ ἐν μοναστηρίοις ἄδετοι μόνον ἐφρουροῦντο. τοιαῦτα μὲν τὰ πρὸς Βέῤῥοιαν συνηνέχθη κρείττω πάσης ἐλπίδος εὐτυχηκότος βασιλέως, καὶ ἐν ἡμέρᾳ μιᾷ τοσούτων πολεμίων ἀναιμωτὶ κυρίου γεγενημένου. τέθνηκε γὰρ οὐδεὶς οὔτε Ῥωμαίων, οὔτε Τριβαλῶν πλὴν ἑνὸς βαρβάρου, κἀκείνου, ὡς ἐλέγετο, ὑπὸ Ῥωμαίων ἀνῃρημένου. οἱ βάρβαροι δὲ ἐπεὶ ἐκ τῆς ἁλώσεως τῆς πόλεως οὐδὲν ἀπώναντο, (οὐ γὰρ εἴασεν ὁ βασιλεὺς ἐντὸς γενέσθαι,) τὴν ὑποκειμένην Κράλῃ χώραν ἐδεήθησαν καταδραμεῖν, καὶ βασιλέως ἐπιτρέψαντος, κατέδραμόν τε, καὶ λείαν ἤλασαν πολλὴν μάλιστα ἐκ βοσκημάτων, ἀνθρώπων δὲ ὀλίγων. συνηρεφοῦς γὰρ

ὄντος τοῦ τόπου καὶ λοχμώδους, ῥᾳδίως διεδίδρασκον. ιθ′. Βασιλεὺς δὲ ἐπεὶ τὰ κατὰ Βέῤῥοιαν ᾗ ἐβούλετο διῴκει, Ἐδέσσῃ ἐπεστράτευσε, πλείους ἄγων, ἢ Βεῤῥοίᾳ ἐπιών. [25]

3 127 οὐκ ὀλίγοι γὰρ πρὸς τοῖς οὖσι συνείποντο καὶ ἐκ Βεῤῥοίας. οὐ μέντοι τοσοῦτον πρὸς τὴν αἵρεσιν τῆς πόλεως ἐθάῤῥει τῇ συνούσῃ στρατιᾷ, ὅσον Ἐδεσσηνῶν τοῖς δυνατοῖς, οὓς ᾤετο αὐτίκα προσχωρήσειν καὶ τὸν ἄλλον δῆμον πείσαντας. οἱ δὲ τοὐναντίον ἅπαν ὤφθησαν, ἥπερ ᾤετο ὁ βασιλεύς. οὐ μόνον γὰρ αὐτοὶ πολέμιοι ἦσαν φανερῶς, ἀλλὰ καὶ τὸν δῆμον ἔπειθον, ἑστῶτές τε ἀπὸ τῶν τειχῶν ἀπέσκωπτον εἰς βασιλέα, πολλὴν αὐτοῦ φάσκοντες καταγινώσκειν ἀπειρίαν, εἰ Κράλη μετὰ πολλαπλασίου στρατιᾶς ἐν ἑκκαίδεκα ἔτεσι πολιορκοῦντος καὶ πλέον οὐδὲν ἀνύειν δυνηθέντος ἐκ τῶν ὅπλων, εἰ μὴ ἑκόντες προσεχώρουν, αὐτὸς ἤλπισεν ἐν βραχεῖ περιγενήσεσθαι τοσούτους ἄγων. βασιλεὺς δὲ ἤχθετο μὲν πρὸς τὴν ἀποτυχίαν τῆς πόλεως· αὐτίκα τε ἀπεγίνωσκε τὸ τειχομαχεῖν οὐ μόνον διὰ τὴν φυσικὴν ὀχυρότητα τῆς πόλεως καὶ τὴν ἐκ τῶν τειχῶν, (ὑπὲρ ἥμισυ γὰρ ὕδασι περικλυζομένη, ἀπρόσιτός ἐστι πολεμίοις διὰ τὴν λίμνην· τὸ δὲ ἐπίλοιπον τείχεσιν ὀχυρωτάτοις καὶ πύργοις μεγάλοις, ἔστι δ’ ὅπου καὶ κρημνοῖς καὶ φάραγξιν ἀβάτοις περιέχεται,) ἀλλ’ ὅτι καὶ στρατιὰ οὐκ ὀλίγη ἦν ἐκ Τριβαλῶν ἐγκαθιδρυμένη πρὸς τῇ πόλει φρουρᾶς ἕνεκα, ὧν ἦρχον τέτταρες τῶν παρ’ αὐτοῖς ἐπιφανῶν, οἷς συνηγωνίζοντο προθύμως καὶ τῶν πολιτῶν οἱ δυνατοί. ὅμως ἐδόκει τὴν νύκτα αὐτοῦ αὐλισαμένους, εἰς τὴν ὑστεραίαν ἀναχωρεῖν, καὶ μὴ τρίβειν τὸν καιρὸν ἐπιχειροῦντας ἀδυνάτοις. [20]

3 128 τὰ ἴσα δὲ καὶ τοῖς ἐν τέλει Ῥωμαίων ἐδόκει πᾶσι καὶ τῆς στρατιᾶς τοῖς ἡγεμόσιν. ἀδύνατον γὰρ κἀκεῖνοι ὑπενόουν τειχομαχίᾳ τὴν λῆψιν τῆς πόλεως, ὅσον ἐκ τῆς κατὰ τὰς μάχας πείρας. νυκτὸς δὲ ἐκ τῶν ὁπλιτῶν τινες, οἳ εἵποντο βασιλεῖ ἐκ τῶν τριηρέων, προσελθόντες ἐπυνθάνοντο βασιλέως, εἴ τι σκέπτοιτο περὶ τῆς πόλεως. τοῦ βασιλέως δὲ πρὸς εἰρωνείαν ἐρομένου, τί δ’ ἂν αὐτοῖς δοκοίη βέλτιον, ἀποπειρᾶσθαι τῶν τειχῶν, ἢ ἀναχωρεῖν, αὐτοὶ μάχεσθαι παρῄνουν καὶ ἐδέοντο, μὴ διὰ τὴν Ἐδεσσηνῶν ἀγνωμοσύνην ἀπολιπεῖν τὴν πόλιν ὅπλοις ἁλίσκεσθαι οὖσαν δυνατήν. αὐτοί τε ἐπηγγέλλοντο προθύμως ἀγωνιεῖσθαι, καὶ τοὺς ἄλλους τριηρίτας παρέξειν πείσαντες. αὐτίκα τε ἐφαίνετο καὶ βασιλεῖ βέλτιστα τοὺς ὁπλίτας παραινεῖν καὶ ἐπένευε πρὸς τὴν τειχομαχίαν, ἐκέλευέ τε τοῖς μὲν ὁπλίταις κλίμακας κατασκευάζειν, τοῖς δὲ ἡγεμόσι τῆς στρατιᾶς ἅμα ἕῳ ἐφοπλίζειν, ὡς τειχομαχήσοντας, τὴν στρατιάν. ἐπεὶ δὲ ἡμέρα ἤδη ἦν, διέταττε τὴν στρατιὰν, καὶ τὸ μὲν βαρβαρικὸν τοῖς κατὰ τὴν λίμνην τείχεσιν ἐφίστη, ὅθεν ἦν ἀδύνατον ἑλεῖν, ἵν’, εἰ καὶ ἁλῶναι Ἔδεσσαν συμβαίη, μὴ ἔχοιεν οἱ βάρβαροι, ὅθεν εἰσελθόντες ἀποκτείνοιέν τινας· αὐτὸς δὲ τὸ κράτιστον ἔχων τῶν ὁπλιτῶν μετὰ τῶν εὐπατριδῶν, πρὸς τὴν ἀκρόπολιν ἀντικαθίστατο, ὅθεν τείχη τε ἦσαν καρτερώτατα, καὶ Τριβαλῶν καὶ τῶν Ἐδεσσηνῶν τὸ κράτιστον ἐφρούρει· τοὺς δὲ ἄλλους ἡγεμόνας μετὰ τῶν ταγμάτων τοῖς λοιποῖς τείχεσιν, ὡς ἕκαστος ἔτυχεν, ἀντικαθίστη, καὶ ἤρχοντο τειχομαχίας ἀρχομένης εὐθὺς ἡμέρας· ἐγένετο δὲ καρτερωτάτη ἄχρι μέσης ἀνενδότως. [25]

3 129 οἵ τε γὰρ ἔνδοθεν ἀπὸ τῶν τειχῶν ἠμύνοντο καρτερῶς, καὶ οἱ ἔξωθεν τόλμης ἔργα καὶ ἀνδρίας ἐπεδείκνυντο θαυμαστὰ, μάλιστα δὲ οἱ ὁπλῖται καὶ οἱ ἀπὸ τῶν τριηρέων ψιλοὶ ἠφείδουν ἑαυτῶν. ὁ βασιλεὺς γὰρ ἐκήρυξε τῷ πρώτως ἀναθέντι τοῖς τείχεσι σημαίαν τέτταρας μνᾶς ἀριστεῖον ἔσεσθαι χρυσίου, τρεῖς δὲ τῷ μετ’ ἐκεῖνον ἀναβάντι, καὶ τῷ τρίτῳ δύο μετ’ αὐτούς. κατὰ μέσην δὲ ἡμέραν, πολλῶν ἀπὸ τῶν ἔνδοθεν ἀμυνομένων τραυματιῶν γενομένων, ἐνίων δὲ καὶ ἀποθανόντων, τάς τε κλίμακας προσήρεισαν τοῖς τείχεσιν, ἀδρανῶς ἤδη τῶν ἔνδοθεν ἀμυνομένων, καὶ τῇ πύλῃ τῆς ἀκροπόλεως πῦρ ὑφῆπτον· δαπανηθείσης δὲ, ἐκεῖθέν τε καὶ ἀπὸ τῶν κλιμάκων εἰσεχέοντο, καὶ εἵχετο ἡ πόλις τοῦτο δὴ τὸ λεγόμενον κατάκρας. καὶ ὁ βασιλεὺς, ἐπεὶ κατ’ αὐτὸν ἐγένετο ἡ ἅλωσις, ἔνδον γενόμενος, οὐκ εἴα ἀτακτεῖν τοὺς στρατιώτας, πλὴν

τῶν πρώτως εἰσελθόντων τινὰ μικρὰ ὠφεληθέντων· ἀπέθανε μέντοι ἐκ τῶν μετὰ βασιλέως Ῥωμαίων ἢ βαρβάρων οὐδὲ εἷς· τραυματίαι δὲ ἐγένοντο πολλοί. μετὰ δὲ τὴν ἅλωσιν ὁ βασιλεὺς τοὺς στρατιώτας, ὅσοι ἦσαν Τριβαλοί, ἀπέλυσε πρὸς τὴν οἰκίαν ἄνευ ἵππων. τέτταρας δὲ τοὺς ἡγεμόνας εἶχεν ἐν φρουρᾷ, καὶ τῶν πολιτῶν τοὺς τὰ Κράλη ᾑρημένους ἐξήλασε τῆς πόλεως· φρουράν τε πρὸς τὴν ἄκραν διακοσίους ὁπλίτας καὶ ψιλοὺς καταλιπὼν καὶ ἡγεμόνα τῇ πόλει Λυζικὸν Γεώργιον, κράτιστον δοκοῦντα τὰ πολέμια καὶ συνετὸν, εἰς Βέῤῥοιαν ἐπανῄει. [20]

3 130 προσεχώρουν δὲ καὶ ἀμαχεὶ τὰ περὶ Ἔδεσσαν καὶ Βέῤῥοιαν φρούρια καὶ αἱ πολίχναι, τά τε Σταρίδολα λεγόμενον καὶ ἡ Πέτρα καὶ ὁ Σωσκὸς καὶ ἡ Δεύρη, ἔτι τε ὁ Ὄστροβὸς καὶ τὰ Νότια· καὶ ἐκ τῶν Θετταλίας πολιχνίων τὸ Λυκοστόμιον λεγόμενον καὶ τὸ Καστρίον. ἀναπαύλης δὲ μικρᾶς τινος ὁ βασιλεὺς ἀξιώσας τὴν στρατιὰν, ἐξεστράτευσεν αὖθις κατὰ Σερβίων. πόλις δὲ ταῦτα οὐ μικρὰ, ἐν μεθορίοις Βοττιαίας κειμένη καὶ Θετταλίας· ἧς ἦρχε μετὰ τῆς ἄλλης Θετταλίας Πρεάλιμπος τῶν παρὰ Κράλῃ δυνατῶν, ὃς μάλιστα ἐδόκει συνέσει καὶ εὐτολμίᾳ καὶ τῇ περὶ τὰ πολέμια τῶν ἄλλων προέχειν ἐμπειρίᾳ. κεῖται δὲ ἡ πόλις ἐκείνη ἐπί τινος ἀνάντους τοῦ ὄρους προβολῆς εὐθὺς ἐξαρχῆς αὐτὴ ἑαυτῆς μετεωροτέρα φαινομένη καὶ οὖσα προϊόντι. ἐπ’ αὐτήν τε τὴν ἀκρώρειαν καταλήγει τρισὶ διατειχίσμασι διῃρημένη, ὡς δοκεῖν ἔξωθεν τρεῖς εἶναι πόλεις κειμένας ἐπαλλήλους. ἑκατέρωθέν τε φάραγγας περιβέβληται βαθείας. τὸ δ’ ἀπὸ τῆς πόλεως ἄχρι τοῦ ἐπιπέδου καὶ τῶν φαράγγων, ὅσον μάλιστα οἰκεῖσθαι ἐπιδέχεται, οἰκιῶν πεπλήρωται καὶ ἀνθρώπων οὐ τῶν πολλῶν μόνον, ἀλλὰ καὶ τῶν ἀρίστων ἐκ τῶν πολιτῶν καὶ ἐκ τῶν στρατιωτῶν, οἳ ἦσαν ἐγχώριοι πολλοί τε καὶ ἀγαθοί· ἥ τε πόλις, ἐπαλλήλους τὰς οἰκίας ἔχουσα διὰ τὴν ἀπὸ τοῦ τόπου θέσιν, ὀλίγας ἔχειν δοκεῖ οἰκίας πολυορόφους. οἰκεῖται δὲ τὰ μὲν δύο τμήματα ὑπὸ τῶν πολιτῶν· τὸ δὲ τρίτον, ἄκρα ὂν, τῷ ἄρχοντι ἀνεῖται. [20]

3 131 ἔστι δὲ δυσπρόσοδος πανταχόθεν, καὶ οὐ πάνυ ῥᾳδία πρὸς τειχομαχίαν. ᾗ ὁ Πρεάλιμπος ἐνδιατρίβων, τάφρων μὲν οὐκ ἐδεήθη, οὐδέ τινος πρὸς ὀχυρότητα σπουδῆς· ἤρκει γὰρ ἡ προσοῦσα φύσει· τοῖς πολίταις δὲ καὶ πάνυ ἀπιστῶν, τῶν μὲν τὴν πόλιν οἰκούντων παῖδας καὶ χρήματα καὶ γυναῖκας εἰς τὸ δεύτερον διατείχισμα ἀνελάμβανε, τοὺς ἄνδρας δὲ πάντας ἐξήλαυνεν ἐπὶ τὸ τρίτον, καὶ ἐκέλευεν ἀμύνεσθαι βασιλέα ἐπιόντα ὑπὲρ σφῶν αὐτῶν καὶ τέκνων· αὐτὸς δὲ τὴν ἄκραν κατεῖχε, καὶ τῷ δευτέρῳ διατειχίσματι, ἐν ᾧ αἱ γυναῖκες καὶ οἱ παῖδες ἦσαν, φρουρὰν ἐπέστησε Τριβαλικήν. συνῆσαν γὰρ αὐτῷ ὑπὲρ πεντακοσίους, ὡς ἐλέγετο. τοὺς μέντοι τῶν τειχῶν οἰκοῦντας ἔξω οὔτ’ αὐτοὺς εἴα εἰς τὴν πόλιν εἰσιέναι, οὔτε παῖδας εἰσεδέχετο καὶ γυναῖκας, ἀλλ’ ἐκέλευε πρὸ τῶν οἰκιῶν ἑστῶτας μάχεσθαι, δυσπροσόδου ὄντος τοῦ χωρίου καὶ χαλεπωτάτου τοῖς ἐπιοῦσιν. οὕτω μὲν οὖν ἐκεῖνος παρεσκεύαστο πρὸς τὴν πολιορκίαν. ἐλέγετο δὲ καὶ ὡς ἄκων κατασχεθείη πρὸς τῇ πόλει. μᾶλλον γὰρ ἐβούλετο φυγομαχεῖν ἐπὶ τὰς τῆς Θετταλίας πόλεις. οἱ συνόντες δὲ παρῄνουν μὴ τὴν πόλιν ἐκλιπεῖν, ὡς, εἰ ταύτης περιγένοιτο, καὶ Θετταλίαν πᾶσαν καθέξοντος βασιλέως ἀσφαλῶς. οἷς πειθόμενος ὑπέμεινε τὴν πολιορκίαν. βασιλεὺς δὲ ἐπεὶ ἐγγὺς τῆς πόλεως ἐστρατοπεδεύετο, πρῶτα μὲν ἐπὶ λεηλασίαν ἔπεμπε τὴν στρατιὰν, ὀλίγους ἐν τῷ στρατοπέδῳ κατασχών· καὶ ἔκ τε αὐτῶν Σερβίων καὶ τῶν περικειμένων κωμῶν πολλὴν λείαν ἄγοντες ἐπανῆκον Ῥωμαῖοί τε καὶ βάρβαροι ὁμοίως. [20]

3 132 ἔπειτα ἐγγύτερον γενόμενοι παρεσκευάζοντο πρὸς τὴν τειχομαχίαν. οἱ ἐπὶ τῆς ἔξω δὲ Σερβίων συνοικίας, τήν τε βασιλέως δεδοικότες ἔφοδον, καὶ τῶν Τριβαλῶν εἰς τὴν πόλιν οὐ προσδεχομένων, ἄλλως τε καὶ τὰ βασιλέως μᾶλλον ᾑρημένοι, κοινῇ τε πάντες ἐκ συνθήματος προσεχώρουν βασιλεῖ, καὶ τὴν στρατιὰν ἐδέχοντο καὶ ἐξένιζον ἐπὶ τῶν οἰκιῶν. οἱ δὲ ἔνδον καὶ αὐτοὶ μὲν τὰ βασιλέως μάλιστα ᾑροῦντο, ἐχομένων δὲ τῶν παίδων καὶ τῶν γυναικῶν, ἀναγκαίως προσεῖχον Τριβαλοῖς. εἰς τρίτην δὲ ἡμέραν παρασκευασάμενοι ἐτειχομάχουν, καὶ τῶν ἐγχωρίων μάλιστα ἐφελκομένων καὶ οὐκ ἀδύνατον ἐπαγγελλομένων τὴν παράληψιν. ἐπεὶ

δὲ οὐ πανταχόθεν ἐξῆν προσβάλλειν ἀποκρότων ὡς ἐπιπλεῖστον καὶ σκληρῶν τῶν τόπων ὄντων, ἔνθα μάλιστα ἐξῆν προσβαίνειν τὸ κράτιστον τῶν τοξοτῶν ἐπιστήσας ὁ βασιλεὺς, ἐκέλευε τοῖς τόξοις χρῆσθαι καὶ ἀνείργειν τοὺς ἀμυνομένους. ἄλλοι δὲ ἀσπίδας ὑποδύντες προσέβαλλόν τε τοῖς τείχεσι καὶ διώρυττον. ἔτυχε δὲ τὸ διόρυγμα ἐντὸς οἰκίας εἶναι κενῆς ἀνθρώπων· ἐπεὶ δὲ ἤδη διορώρυκτο, καὶ ἔμελλον εἰσιέναι, ἡ τῆς οἰκίας δεσπόζουσα ἐκείνης κατὰ τύχην εἰσελθοῦσα καὶ ἁλισκομένην τὴν πόλιν αἰσθομένη, βοῇ τε ἐχρῆτο καὶ συνεκάλει τοὺς ἀμυνομένους. οἱ δὲ παρῆσαν ἅμα τῷ αἰσθέσθαι, καὶ τοὺς διορύττοντας βάλλοντες, ἀφίστων τῶν τειχῶν. [25]

3 133 ἅμα δὲ καὶ ὄμβρων ῥαγδαίων ἐπενηνεγμένων ἐν αὐτῇ μάλιστα τῆς μάχης τῇ ἀκμῇ, ἥ τε ἄλλη στρατιὰ ἐπέπαυτο καὶ ἀνεχώρει πρὸς τὸ στρατόπεδον, οὐ δυναμένη πρός τε ὄμβρους ὁμοῦ καὶ πολεμίους μάχεσθαι ἀσφαλῶς ἑστῶτας ἐπὶ τῶν τειχῶν, αὐτοὶ διολισθαίνοντες τὰ πολλὰ πρὸς τὸν πηλόν. καὶ ὁ βασιλεὺς ἐπεὶ διημάρτανε τῆς πόλεως πρὸς τὴν πρώτην ἐπιχείρησιν, τό,τε βιάζεσθαι τοῖς ὅπλοις ἀπογνοὺς, καὶ πρὸς τὸ πολιορκεῖν διὰ τοὺς ὄμβρους καὶ τὸν χειμῶνα ἀδυνάτως ἔχων, αὖθις ἀνέστρεφεν εἰς Βέῤῥοιαν· εἵποντο δὲ καὶ οἱ ἐκ τῆς ἔξω Σερβίων συνοικίας πλὴν ὀλίγων πάντες, ὅσοι μάλιστα ἐν λόγῳ ἦσαν, ἅμα γυναιξὶ καὶ τέκνοις, ὀλίγα ἔχοντες ἐκ τῆς οὐσίας, ὅσα φέρειν ἦσαν δυνατοὶ, οὐ μόνον διὰ τὴν πρὸς βασιλέα εὔνοιαν, ἀλλ᾽ ὅτι καὶ ἐκ Τριβαλῶν οὐδὲν διὰ τὴν ἀποστασίαν ἤλπισαν ἐπιεικὲς, εἰ γένοιντο ἐπ᾽ αὐτοῖς. ἔτι δὲ ἐν Βεῤῥοίᾳ βασιλέως διατρίβοντος, ἐκ τῶν μάλιστα ἐπισήμων πόλεων αἳ Ῥωμαίων μὲν ἦσαν ὑπήκοοι τὸ ἀρχαῖον, χρόνον δὲ ἐδούλευσαν οὐκ ὀλίγον Τριβαλοῖς, ἦκον διαλεγόμενοι κρύφα καὶ δεόμενοι ἥκειν παρ᾽ αὐτοὺς, ὡς εἰσδεξόμενοι ἐκβαλόντες Τριβαλούς. οὐ μόνον δὲ ἐκ τῶν ἄλλων, ἀλλὰ καὶ ἐξ αὐτῆς Σκοπιᾶς, ἣ δοκεῖ βασίλεια Κράλη εἶναι ἀπὸ τοῦ βασιλέως τοῦ πρώτου τῶν Παλαιολόγων Μιχαὴλ τῆς Ῥωμαίων ἀρχῆς ἐκτετμημένη, πρέσβεις ἦκον ἀναφανδὸν ἀπὸ τῆς πόλεως κοινῇ βασιλέα καλοῦντες ἥκειν ἐπ᾽ αὐτοὺς, ὡς παραδώσοντες τὴν πόλιν. [20]

3 134 ὁ Κράλης γὰρ ἐπὶ Παίονας ἐστρατευμένος τότε, ὡς ἐπύθετο βασιλέα ἐπιόντα, καίτοι στρατιὰν πλείστην περὶ αὐτὸν ἠθροισμένην ἔχων, ἀντικαθίστασθαι πρὸς βασιλέα οὐκ ἐθάῤῥει, ἀλλὰ πάντα προέμενος ἐβούλετο φυγομαχεῖν. ὅθεν καὶ τῶν Σκοπιᾶς πολιτῶν πρεσβευσαμένων πρὸς αὐτὸν καὶ τὴν ἔφοδον ἀπαγγελλόντων βασιλέως καὶ δεομένων βοηθεῖν, πρῶτα μὲν ἐλπίδας παρείχετο ὡς βοηθήσων, ἂν ἐπίωσιν αὐτοῖς Ῥωμαῖοι· ὡς δὲ μᾶλλον προσέπιπτον αἱ φῆμαι φοβερώτεραι τῶν ἐπιόντων Ῥωμαίων καὶ βαρβάρων, φανερῶς ἀπεῖπε τὴν ἐπικουρίαν τοῖς ἐκ τῆς Σκοπιᾶς· ἐκέλευέ τε σώζειν ἑαυτοὺς ὡς ἂν οἷοίτε ὦσιν. αὐτὸν γὰρ μὴ δύνασθαι τὸ νῦν ἔχον ἥκειν πρὸς αὐτούς. οἳ βουλευσάμενοι κοινῇ καὶ πολλῆς ἀνοίας εἶναι κρίναντες ἀντικαθίστασθαι οἷς ὁ σφῶν δυνάστης τοσαύτην ἔχων δύναμιν οὐκ ἐτόλμα, ἥκουσι πρὸς βασιλέα καὶ τὴν πόλιν παρεδίδουν πρὶν διαφθαρῆναι. ὕστερον δὲ ἐπεὶ οἱ φόβοι διελύοντο, ἐπὶ δίκην καταστάντες ὑπὸ Κράλη καὶ διωκόμενοι ἀποστασίας, ῥᾷον ἀπελύσαντο τὰ ἐγκλήματα, τοῦ παρ᾽ αὐτοῖς ἀρχιεπισκόπου διαιτῶντος· ὃς ἐπεψηφίζετο αὐτοὺς μηδὲν ἠδικηκέναι, εἰ, ἐπικουρεῖν μὴ βουλομένου Κράλη, ἀλλὰ καὶ παραινοῦντος σώζειν ἑαυτοὺς, συνετά τε ἅμα καὶ σωτήρια σφίσιν ἐβουλεύσαντο, δουλεύειν τοῖς δυνατωτέροις ψηφισάμενοι. οὕτω πᾶσαι πόλεις κατεσείσθησαν τῷ φόβῳ τότε καὶ προσχωρεῖν ἐβούλοντο ἑκοῦσαι βασιλεῖ, πρὶν ἁναρπασθῆναι. [20]

3 135 οὐχ αἱ πόλεις δὲ μόνον, ἀλλὰ καὶ τῶν Τριβαλῶν οἱ δυνατώτατοι, καὶ πρότερον εὔνως περὶ βασιλέα διακείμενοι, καὶ μᾶλλον ὑπ᾽ ἐκείνου ᾐρημένοι βασιλεύεσθαι, τότε καὶ μᾶλλον ὑπὸ δέους κρύφα διελέγοντο καὶ παρώξυνον ἥκειν ἐπὶ σφᾶς, ὡς πάντων τὰ δυνατὰ βουλησομένων συνεργεῖν. ἦκον δὲ καὶ αὐτόμολοι δύο ἐξ αὐτῶν· ὧν ἄτερος τῶν μάλιστα ἦν ἐπιφανῶν, κατὰ γένος προσήκων Κράλῃ, Χλάπαινος ὠνομασμένος, στρατιάν τε ἔχων ὑφ᾽ ἑαυτὸν οὐκ

εὐκαταφρόνητον καὶ πολλὴν περιουσίαν· ὁ λοιπὸς δὲ οὐ τῶν πάνυ περιδόξων ἦν, πλὴν κἀκεῖνος ἀρχάς τε πόλεων ἐγκεχειρισμένος καὶ στρατοπέδων ἡγεμονίας, ὄνομα Τολίσθλαβος. καὶ ἄμφω δὲ ἐκ τῶν ἄλλων δυνατῶν λόγους ἐκόμιζον πρὸς βασιλέα, ὡς, ἢν ἐπίῃ Κράλῃ, καὶ αὐτοὶ συμπολεμήσουσιν ἀποστάντες. βασιλεῖ δὲ ἀξιόμαχον στρατιὰν οὐκ ἔχοντι οὐκ ἐδόκει δεῖν ταῖς ἀποστασίαις θαῤῥοῦντα μόνον, ἑαυτὸν εἰς τοὺς κινδύνους εἰσωθεῖν, ἀλλὰ παρασκευασάμενον ἐπιστρατεύειν ἐπικαίρως. τότε δὲ ἄρχοντα ἐν Βερῥοίᾳ Διπλοβατάτζην τὸν πρωτοβεστιαρίτην καταλιπὼν, πραγμάτων τε δυσκολίαις καὶ μεταβολαῖς εἰδότα χρῆσθαι καὶ πρὸς μάχας τολμητὴν, ταῖς τε κατὰ Θετταλίαν προσχωρησάσαις Νικηφόρον ἐπιστήσας τὸν Σαραντηνὸν, ἐπανέζευξεν εἰς Θεσσαλονίκην. κ′. Μετὰ μικρὸν δὲ τήν τε ἱππικὴν καὶ τὴν πεζὴν δύναμιν ἀναλαβὼν, ἔχων καὶ βασιλέα τὸν γαμβρὸν συστρατευόμενον, ἐπεστράτευσε Γυναικοκάστρῳ, ὃ φρούριόν ἐστι καρτερώτατον ὑπὸ βασιλέως Ἀνδρονίκου τοῦ νέου οἰκοδομηθὲν αὐταῖς κρηπῖσιν, ἡμέρας ὁδοῦ μῆκος ἔλαττον ἀφεστηκὸς Θεσσαλονίκης. [5]

3 136 εἴχετο δὲ ὑπὸ Τριβαλῶν μετὰ τῶν ἄλλων αὐτὸ ἑλόντων. οὐκ ὀλίγα τε ἔβλαπτε Θεσσαλονίκην, στρατιὰν ἔκ τε Ῥωμαίων τῶν προσκεχωρηκότων καὶ Τριβαλῶν ἔχον ἐγκαθιδρυμένην. Βέλκος δὲ ὁ τοῦ φρουρίου ἄρχων, ὡς ἐπύθετο βασιλέα ἐπιόντα, τοῖς ὅπλοις δείσας μὴ ἁλῷ, πέμψας ἐπηγγέλλετο προσχωρεῖν ἑκών. πίστεως δὲ ἕνεκα καὶ τὰ ἐν κόλποις ἅγια παρείχετο, ὅρκους μονονοὺ ὑπὲρ τοῦ τὸ φρούριον ἐγχειρίσειν παρεχόμενος. βασιλεῖ τε ἐδόκει βέλτιστον τὸ φρούριον ἔχειν ἄνευ φόνων καὶ κινδύνων· ἐκέλευέ τε Βέλκον ἥκειν παρ’ αὐτόν. ἐπεὶ δὲ ἦκε πρὸς τὸ στρατόπεδον πρὸς βασιλέα, ὅρκους μὲν παρείχετο ἐπὶ τῷ βασιλεῖ τε αὐτὸν προσχωρεῖν καὶ τὸ φρούριον παραδιδόναι· ἐδεῖτο δὲ μὴ τὸ νῦν ἔχον ἢ αὐτὸν εἰσιέναι, ἢ φρουρὰν εἰσάγειν· τήν τε γὰρ οὐσίαν αὐτῷ πλείστην οὖσαν καὶ διεσκεδασμένην ἀπολεῖσθαι ὑπὸ Τριβαλῶν διαρπασθεῖσαν, καὶ τοὺς συγγενεῖς αὐτῷ καὶ οἰκείους Κράλην ἄρδην διαφθερεῖν διὰ τὴν πρὸς αὐτὸν ἀπέχθειαν· ἀλλὰ περιμείναντα ἡμέρας πεντεκαίδεκα, ἄχρις ἂν οἰκείους τε καὶ χρήματα μεταπέμψηται, οὕτω τὸ φρούριον παραλαμβάνειν. τούτοις μὲν οὖν ὁ βασιλεὺς πεισθεὶς, καὶ ὅρκους ἐπὶ τοῖς εἰρημένοις ἐκείνου παρασχομένου, ἀνέστρεφεν εἰς Θεσσαλονίκην. Βέλκος δὲ τὰ ὁμωμοσμένα δῆθεν ἐκπληρῶν, τούς τε οἰκείους ἐκ Τριβαλῶν μετεπέμπετο καὶ βοσκήματα καὶ τὴν ἄλλην περιουσίαν, ἔπεμπέ τε καὶ εἰς Θεσσαλονίκην οὐκ ὀλίγα, δεῖγμα τῆς πρὸς βασιλέα εὐνοίας καὶ τῆς φυλακῆς τῶν συνθηκῶν. [25]

3 137 Κράλης δὲ ἤδη πεπυσμένος, ὡς ἡ μὲν ἐκ τῆς ἠπείρου στρατιὰ καὶ Ῥωμαίων καὶ βαρβάρων τοσαύτη οὖσα ἀναστρέψειε, βασιλεὺς δὲ ταῖς τριήρεσι μόναις καὶ βαρβάροις πεζοῖς ὀλίγοις ἀφιγμένος εἰς Θεσσαλονίκην Βέῤῥοιάν τε εἶλε καὶ Ἔδεσσαν καὶ ἄλλας πολίχνας οὐκ ὀλίγας, ἀνεθάρσησέ τε καὶ στρατιὰν ἀναλαβὼν οὐ πολλὴν μὲν, πολὺ δὲ ὅμως ὑπερέχουσαν τῆς βασιλέως, ἤλαυνε σπουδῇ ἐπὶ Θεσσαλονίκην. καὶ Βέλκος μὲν αὐτίκα ὑπ’ ἐκεῖνον ἦν, καὶ συνεστρατεύετο μετὰ τῶν ὑπ’ αὐτὸν, τῶν πρὸς βασιλέα συνθηκῶν καὶ ὅρκων ἀμνημονήσας. Κράλης δὲ ἐγγὺς γενόμενος Θεσσαλονίκης, πρεσβείαν ἔπεμπε πρὸς βασιλέα καὶ πρῶτα μὲν ὠνείδιζε τὴν εἰς αὐτὸν ἀγνωμοσύνην, ὅτι ἀμνημονήσας ὧν εὖ ὑπ’ αὐτοῦ πρότερον πεπόνθει, καιροῦ τυχὼν αὐτοῦ ταῖς πόλεσιν ἐπιστρατεύσειε, καὶ τοὺς φρουροῦντας κατασχοίη ἐκβαλὼν, καὶ χρημάτων ἀποστερήσειεν οὐκ ὀλίγων· ἃ οὐκ ἐχρῆν ποιεῖν, ἀλλὰ τῶν εἰς αὐτὸν γεγενημένων ἀπομνημονεύοντα, τὴν φιλίαν διασώζειν πρὸς αὐτόν. ἐπεὶ δὲ ἃ μὴ ἔδει εἴργαστο, κατηγορεῖν μὲν αὐτὸν, οἴεσθαι δὲ καὶ πάντα ὀντινοῦν. ἀναλύεσθαι δὲ ὄντων ἀδυνάτων τῶν γεγενημένων, βούλεσθαι μάλιστα αὐτὸν, εἴγε καὶ αὐτῷ δοκοίη, ἀλλήλοις συνελθεῖν, καὶ διαλεχθέντας περὶ τῶν διαφορῶν, συμβάσεις θέσθαι καὶ τὸν πόλεμον καταθέσθαι, ἀνανεωσαμένους τὰς σπονδὰς καὶ τὴν εἰρήνην. [25]

3 138 τοιαῦτα μὲν ἐπρέσβευεν ὁ Κράλης, βασιλεῖ τε ἐδόκει βέλτιστα, καὶ συνέθεντο ἡμέραν ῥητὴν, ἐν ᾗ ἔδει γενομένους ἐν ταὐτῷ λύειν τὰς διαφοράς, σπονδὰς θεμένους. ἐπιστάσης τε τῆς

προθεσμίας, οἵ τε βασιλεῖς ἀμφότεροι ἐξῆεσαν ὡπλισμένοι καὶ οἱ συνόντες. Κράλης τε ὁμοίως μετὰ τῶν περὶ αὐτὸν ὡπλισμένοι ὄντες ἦκον ἐγγὺς Θεσσαλονίκης καὶ συνεγένετο τοῖς βασιλεῦσι. μετὰ δὲ τὴν προσαγόρευσιν ὁ Κράλης πρῶτος ἥπτετο πρὸς βασιλέα λόγου, „Ἀδικεῖς,“ εἰπὼν, „ὦ βασιλεῦ, πολέμου ἄρχων. ἐγὼ δὲ ᾤμην εἶναι μηδὲν τῶν ὄντων, ὅ σε πρὸς ἐμὲ πεῖσαι δυνήσεται ἀγνωμονεῖν. οἶσθα γὰρ αὐτὸς τῶν ἄλλων μᾶλλον, ὡς πολεμηθεὶς ὑπὸ τῶν ὁμοφύλων καὶ τῆς Ῥωμαίων γῆς ἀπελαθεὶς, ἀδίκως μὲν, (οὐ γὰρ ἂν ἀρνηθείην οὐδ’ αὐτὸς,) ὅμως δ’ οὖν ἀπελαθεὶς, ἥκες παρ’ ἡμᾶς, οὔτ’ ἀμοιβάς σοι προτέρων εὐεργεσιῶν ὀφείλοντας, οὔτ’ ἀγανακτοῦντας ὑπὲρ σοῦ ἀδικουμένου, ἀλλ’ εἰ δεῖ τἀληθὲς εἰπεῖν, καὶ τὴν ὑμῶν πρὸς ἀλλήλους διαφορὰν ἐν εὐτυχίας μέρει λογιζομένους τῷ τὰ ἴδια εὖ τίθεσθαι. ἐγὼ δὲ, καίτοι τῶν σοὶ πολεμούντων πολλὰς πρεσβείας πεποιημένων καὶ χρήματα παρεχομένων καὶ πόλεις πολλὰς καὶ τῆς Ῥωμαίων ἡγεμονίας ἀπόμοιραν προϊεμένων οὐκ ὀλίγην, καὶ φίλον ἔχειν καὶ σύμμαχον ὑπισχνουμένων, καὶ μίαν τούτων ἁπάντων χάριν ἀπαιτούντων τὸ σὲ δεσμώτην παρασχεῖν, ἢ αὐτὸν κατέχειν συλλαβόντα, οὐκ ἠθέλησα αὐτὸς, ἀλλὰ καὶ χρημάτων πολλῶν καὶ πόλεων τοσούτων καὶ χώρας πολλῆς καὶ ἀγαθῆς τὴν σὴν φιλίαν προειλόμην, καὶ οὐ μόνον οὐ προδέδωκα τοῖς πολεμίοις, καίτοι ῥᾷστά γε δυνάμενος, (οὐ γὰρ οὐδ’ αὐτὸς ἀγνοεῖς, ἐν ὅτοις ἦσθα τότε,) ἀλλὰ καὶ τό γε εἰς ἐμὲ ἦκον, καὶ δὶς καὶ τρὶς ἐπὶ συμμαχίᾳ παρεσχόμην στρατιάν. [5]

3 139 ὧν ἐνόμιζον ἁπάντων μεμνημένον, οὐδέποτε βουλήσεσθαι, κἂν δυνήσῃ τὰ μεγάλα, τὰς ὑπ’ ἐμὲ τελούσας πόλεις κακουργεῖν. σὺ δ’, ὡς ἔοικεν, ἐκείνων ἁπάντων ἐπιλελησμένος, ἥκεις νῦν βαρβάρους ἄγων, ὡς ἐπὶ πολέμιον καὶ τὰ μέγιστα ἠδικηκότα, καὶ πόλεις τὰς μὲν τοῖς ὅπλοις εἷλες, ἑτέρας δὲ κλοπῇ, οὐκ ὀλίγας δὲ καὶ ὑπὸ δέους προσχωρησάσας. καὶ τοὺς ἐνοικοῦντας στρατιώτας καὶ τῶν ἐπιφανῶν πολλοὺς τοὺς μὲν ἀπέκτεινας κατὰ τὰς μάχας, τοὺς δὲ ἄλλους ἀνδραποδίσας, ἐν εὐεργεσίας μέρει τὴν ἐλευθερίαν τῶν σωμάτων, ὅτε σοι βέλτιον ἐφαίνετο, παρείχου, οὐ μᾶλλον ἤδεσθαι ποιῶν τυγχάνοντας ἐλευθερίας, ἢ ὅσον ἐξανδραποδιζόμενος ἐλύπεις· χρημάτων τε ἀπεστέρησας καὶ βοσκημάτων, οὐδὲ ἀριθμητῶν. ἃ πάντα ἄχθεσθαι ποιεῖ καὶ πολλὴν σου κατηγορεῖν ἀγνωμοσύνην. ὅμως μέντοι, καίτοι τοσαῦτα ὑπὸ σοῦ ἠδικημένος, οὐ πολέμιος, ἀλλὰ φίλος καὶ σύμμαχος, ὥσπερ καὶ πρότερον, αἱροῦμαι εἶναι σός. καὶ πᾶσαν ἀποθέμενον παραινῶ μικροψυχίαν, τὴν προτέραν φιλίαν καὶ τὰς σπονδὰς ἀνανεοῦσθαι, ἔχοντας ἃ ἔχομεν ἑκάτερον. [20]

3 140 εἰ δέ σε λυπεῖ τὸ καὶ αὐτὸν ἐκ τῆς Ῥωμαίων ἡγεμονίας μοῖράν τινα παρῃρημένον ἔχειν, ἀλλ’ ἐκεῖνο ἐννοεῖν χρὴ, ὡς αὐτὸς ἔχεις πολλαπλάσιον λαβὼν ἐκ τῆς αὐτῆς ἑτέρᾳ προσηκούσης. οἷς προσῆκον ἀγαπᾷν ἑκάτερον, καὶ σπονδὰς θεμένους εἰρήνην ἄγειν. εἰ δὲ μὴ ταῦτα φίλα σοι δοκεῖ, ὅρα μή σοι πρὸς τῷ μηδὲν πλέον ἠνυκέναι καὶ ἀπληστίας καὶ ἀχαριστίας πρὸς τοὺς φίλους καὶ τοὺς εὖ πεποιηκότας ἔγκλημα προσέσται.“ τοιαῦτα μὲν ὁ Κράλης διειλέχθη πρὸς βασιλέα, πολλῶν παρόντων. βασιλεὺς δὲ ἐπισχὼν μικρὸν, τοιαύτην πρὸς Κράλην ἐποιήσατο ἀπολογίαν· „οὐδὲν οὕτως οἶομαι λυμαίνεσθαι τῷ βίῳ τῶν ἀνθρώπων ἐξαρχῆς, οὐδὲ μᾶλλον αἴτιον τῶν μεγάλων διαφορῶν καὶ τῶν πολέμων γεγενῆσθαι, ἢ τὸ μὴ δικαίως ἕκαστον ἑαυτῷ τε καὶ τοῖς ἄλλοις διαιτᾶν, ἀλλ’ ἑαυτῷ μὲν καὶ τὰ ἀτοπώτατα πολλάκις συγχωρεῖν, τοὺς δ’ ἄλλους καὶ ὑπὲρ τῶν ἐλαχίστων μεγίστας ἀπαιτεῖν εὐθύνας. καὶ τοῦτό ἐστιν, ὃ πολλῆς ἐμπέπληκε τὸν βίον ταραχῆς, καὶ οὐ πόλεσι μόνον καὶ οἰκίαις μεγάλας ἐνειργάσατο συμφορὰς, ἀλλὰ καὶ ὅλας διέφθειρεν ἡγεμονίας, ἢ αὐτούς τινας ὑπ’ ἀπληστίας ἑτέρους διαφθείραντας πολέμων ἄρχοντας ἀδίκων, ἢ ὑπὸ τῶν ἀδικουμένων διαφθαρέντας, δικαίως καὶ καλῶς ἀμυνομένων. ὅπερ οἶομαι καὶ σοὶ συμβεβηκέναι νῦν. εἰ γὰρ δικαίως καὶ καλῶς ἐμοί τε καὶ σαυτῷ διῄτεις, οὐκ ἂν σὺ μὲν ἐκσπόνδως καὶ παρὰ τοὺς ὅρκους τοσαύτας ἔχων Ῥωμαίων

πόλεις, καινὸν ᾧου μηδὲν ποιεῖν, ἐμὲ δ’ ὅτι ἐκ πολλῶν ἀπέλαβον ὀλίγα, ἐδίωκες ἀγνωμοσύνης καὶ ἀχαριστίας καὶ τὸ τούτων ἔτι θαυμασιώτερον, ἀπληστίας. [5]

3 141 ὡς μὲν οὖν ὑπὸ τῶν ὁμοφύλων πολεμηθεὶς ἀδίκως καὶ τῆς Ῥωμαίων γῆς ἀπελαθεὶς, πρὸς σὲ ἀφῖγμαι, πολλοὺς ἄγων καὶ τῶν οἰκείων καὶ τῶν φίλων καὶ χρήματα οὐκ ὀλίγα, καὶ ὡς αὐτὸς οὔτε χρημάτων ἐπιθυμίᾳ τοσούτων ὄντων τῶν τε παρ’ ἐμοὶ καὶ τῶν ὑπὸ τῶν πολεμίων παρεχομένων, οὔτε πόλεων καὶ χώρας τοσαύτης προϊεμένων ἐπὶ τῷ κακῶς ποιεῖν ἐμὲ, οὐδενὸς ἡττήθης, ἀλλὰ πάντων τὴν εἰς ἐμὲ φιλίαν προὔθηκας, οὐκ ἂν ἀρνηθείην οὐδ’ αὐτός. ἀδικοίην γὰρ ἂν τὰ μέγιστα σέ τε ὁμοίως καὶ τοὺς ἄλλους, οἷς ἐξῆν τοιούτοις παραδείγμασι καλοῖς χρωμένοις ἐπὶ τὸ τὰ βελτίω πράττειν προθυμεῖσθαι. τὸ γὰρ μηδὲν, ὥσπερ ἔφης καὶ αὐτὸς, πρὸς ἀντίδοσιν εὐποιίας προοφείλοντα καὶ κατὰ συμφορὰν εἰσδεδεγμένον, ἔπειτα μήτ’ οἴκοθεν ὁρμηθῆναι πρὸς πλεονεξίαν, μήθ’ ὑπ’ ἄλλων ἐναγόμενον καὶ καταναγκαζόμενον, μήτ’ ἄδικον, μήτ’ ἀγεννὲς βουλεύσασθαι περὶ ἐμὲ, ἀλλὰ πάντων ἐκείνων τῶν δοκούντων πρὸς τὴν ἀρχὴν λυσιτελεῖν τὴν τοῦ καλοῦ καὶ δικαίου αἵρεσιν προῖκα προτιμῆσαι, οὐ μεγαλοψυχίαν μόνον καὶ φιλοτιμίαν, ἀλλὰ καὶ δικαιοσύνην καὶ εὐβουλίαν σοὶ συμμαρτυρεῖ, καὶ τούτων ἁπάντων ἐγώ σοι πολλὰς ὀφείλειν δίκαιος εἶναι χάριτας ὁμολογῶ, οὐ μόνον διὰ τὸ μηδὲν ἠδικηκέναι μάλιστα δυνάμενον, ἀλλ’ ὅτι καὶ τὴν εἰς ἐμὲ τιμὴν μείζω ἢ πρὸς φίλον ἐπεδείξω. [20]

3 142 σχεδὸν γὰρ παρ’ ὅσον χρόνον σοὶ συνῆν, τῆς ἀρχῆς ἐμοὶ τῆς σῆς ἐξέστης, οὐκ αὐτὸς μόνον τῶν πρωτείων ἀεὶ παραχωρῶν, ἀλλὰ καὶ τοὺς ὑπηκόους ἅπαντας ὡς αὐτῶν βασιλεύοντι προσέχειν κελεύων καὶ πᾶσαν αἰδῶ παρέχειν καὶ τιμήν. δι’ ἅ σοι καὶ μείζους οἶδα χάριτας, ἢ τῆς σωτηρίας. τότε μὲν γὰρ σωθεὶς, πάντως ὕστερον ἀποθανοῦμαι, ἡ τιμὴ δὲ καὶ μετὰ τελευτὴν διαμενεῖ ὑπὸ πάντων ᾀδομένη καὶ τῶν εἰς ὕστερον ἐσομένων. οὐ σὲ δὲ μόνον ἐπὶ τούτοις δίκαιος ἂν εἴην ἐπαινεῖν, ἀλλὰ καὶ τὴν σὴν γυναῖκα μάλιστα αἰτιωτάτην ὀφθεῖσαν τῶν γεγενημένων εἰς ἐμέ. αὐτὴ γὰρ καὶ ἐβουλεύσατο καὶ ἔπεισέ σέ τε ὁμοίως καὶ τοὺς ἄλλους τοὺς ἐν τέλει, μὴ μικρολογεῖν, μηδ’ εἶναι ἀγαθοὺς ἐπὶ μισθῷ, ἀλλὰ προῖκα καὶ κατὰ φιλοτιμίαν, μέγιστον κέρδος αὐτὸ τοῦτο ἡγουμένους τὸ τὰ καλὰ καὶ δίκαια αἱρεῖσθαι· οἵ τε ἐν τέλει πάντες καὶ ἡ ἄλλη στρατιὰ οὐ διὰ τὸ σὲ βούλεσθαι μόνον καὶ κελεύειν, ἀλλὰ καὶ οἴκοθεν ὡρμημένοι, μεγάλην ἐπεδείξαντο τὴν ἐπιείκειαν καὶ τὴν εὐγνωμοσύνην εἰς ἐμέ. ὧν ἁπάντων αὐτός τε χάριτας ὀφείλω, καὶ οἱ ἄλλοι ἐπαινέσονται, ὅσοις εἰς ἀκοὰς ἀφίξεται καὶ μετὰ χρόνον τὸ διήγημα. τί οὖν ἔστιν εἰπεῖν, ὅτι τῶν τοσούτων ἀγαθῶν ἀμνήμων ἐγὼ γεγενημένος, ἐξ οὐδεμιᾶς αἰτίας εἰλόμην πολεμεῖν καὶ κακοῖς ἀμείβεσθαι τοὺς εὐηργετηκότας; πάντων μεντἂν εἴη ἀτοπώτατον, γλώττῃ μὲν οὕτως εἰδέναι χάριν τοῖς εὐπεποιηκόσι, καὶ μὴ συγκρύπτειν αἱρεῖσθαι τἀγαθὰ, ἔργοις δὲ ἀχαριστεῖν καὶ ἑαυτῷ φαίνεσθαι ἐναντιώτατον, ὃς οὐδὲ πρὸς τοὺς πολλὰ προσκεκρουκότας καὶ μεγάλων γεγενημένους αἰτίους συμφορῶν τοιαύτην οὐδέποτε γνώμην ᾤφθην ἔχων. [5]

3 143 ἀλλὰ καὶ τῆς τοιαύτης διαφορᾶς καὶ τοῦ κεκινημένου πρὸς ἡμᾶς νυνὶ πολέμου αὐτοὶ τὰς αἰτίας ἐξαρχῆς καὶ ἄχρι νῦν παρέσχεσθε, καὶ τοῦτο πειράσομαι ποιεῖν ἐκ τῶν πραγμάτων ἐναργές. ὡς γὰρ διατρίβοντί μοι παρ’ ὑμῖν ἐδόκει σπονδὰς καὶ ὅρκους ἐπὶ συμμαχίᾳ τίθεσθαι, καὶ οὕτω παρέχεσθαι πειρᾶσθαι τὴν ὠφέλειαν, σὺ μὲν μισθὸν τῆς συμμαχίας ᾔτεις πόλεις πολλὰς καὶ χώραν τῇ Ῥωμαίων προσήκουσαν ἡγεμονίᾳ, ἐγὼ δὲ οὐδ’ ἑνὸς τῶν φαυλοτάτων τινὸς φρουρίου παρεχώρουν, ἀλλ’ ἠξίουν προῖκα βοηθεῖν. οὐ γὰρ ὑμῖν εἶναι μόνον ἀγεννὲς καὶ ἀνελεύθερον καὶ ἀδοξίαν προστριβόμενον πολλὴν, μὴ διὰ φιλοτιμίαν καὶ φιλίαν, ἀλλὰ μισθῷ δουλεύειν, ἀλλὰ καὶ ἐμοὶ τῶν πάντων ἀδυνατώτατον, διὰ τὴν ἐμαυτοῦ καὶ τῶν συνόντων σωτηρίαν καταπροΐεσθαι Ῥωμαίους, εἰ καὶ ἀγνωμονοῦντες ἐκεῖνοι τὸν πόλεμον κεκινήκασι τὸν πρὸς ἐμέ. οὐ γὰρ καταδουλοῦν, ἀλλ’ ἐλευθεροῦν ἀπὸ τῶν πολεμίων μᾶλλον ἐξαρχῆς τε εὐθὺς καὶ ἄχρι νῦν μάλιστα σπουδὴν ποιοῦμαι, εὐθύς τε ἀπεφαινόμην, ὡς, εἰ μὲν δοκοίη, διὰ

φιλίαν μόνην καὶ φιλοτιμίαν βοηθεῖν· εἰ δὲ μὴ, ἀλλ᾽ αὐτόν γε καταπράξεσθαι ἀνελεύθερον οὐδὲν, οὐδὲ προδότην φανεῖσθαι Ῥωμαίων τῶν ὁμοφύλων, ἀλλ᾽ αἱρήσεσθαι μᾶλλον αὐτὸς ἀπόλλυσθαι καὶ τέκνα καὶ οἰκείους, ἢ διὰ τὴν ἐν τῷ παρόντι χρείαν ἀδοξίας ἀείμνηστα μνημεῖα τοῖς εἰσέπειτα Ῥωμαίοις καταλείπειν. [5]

3 144 ἃ ἐδόκει καὶ σοὶ μετὰ γυναικὸς βουλευομένῳ καὶ τῶν ἐν τέλει δίκαιά τε εἶναι καὶ πολλὴν οἴσοντα φιλοτιμίαν ἐμοί τε ὁμοίως καὶ ὑμῖν· καὶ συνεθέμεθα τὰς σπονδὰς καὶ τοὺς ὅρκους ἐπὶ τούτοις, ὥστε φίλους ἀλλήλοις εἶναι καὶ συμμάχους διὰ βίου, καὶ βοηθεῖν ἑκάτερον ἑτέρῳ, ὡς ἂν μάλιστα ἔχοι καλούσης χρείας· πόλεις δὲ καὶ χώραν τὴν ὑπὸ Ῥωμαίοις, ὅσης μὲν αὐτὸς βασιλέως ἔτι περιόντος Ἀνδρονίκου ἢ οἱ πρόγονοι ἀφείλοντο ἐκ τῶν προτέρων βασιλέων, ταύτην ἔχειν ἀσφαλῶς, καὶ μηδένα πόλεμον ἐμὲ κινεῖν περὶ αὐτῆς, κἂν δύνωμαι ἀφαιρεῖσθαι· τὰς ἔτι δὲ ὑπολειπομένας ἄχρι τότε μηδενὶ τρόπῳ, μήτε τέχνῃ, μήτε μηχανῇ μηδεμιᾷ πειρᾶσθαι ἀφαιρεῖσθαι, ἀλλ᾽ ἐμοὶ τὴν Ῥωμαίων ἡγεμονίαν συγκατακτᾶσθαι ἄχρι καὶ τοῦ δυνατοῦ πολεμοῦντα τοῖς ἐμοὶ ἀνθεστηκόσι, καὶ τὰς μὲν ἁλισκομένας ἢ προσχωρούσας ἐμοῦ παρόντος, ταύτας ἔχειν ἐμὲ ἀνενδοιάστως· εἰ δέ ποτε συμβαίη καὶ ἀπόντος, ἢ αὐτὸν, ἢ τῶν ὑπὸ σὲ τελούντων δυνατῶν τινα πόλιν κατασχεῖν ὑπήκοον Ῥωμαίοις, ἢ προδοσίᾳ, ἢ πολιορκίᾳ, ἢ διαφθείραντα τοὺς ἔνδον χρήμασιν ἢ τρόπῳ δή τινι ἑτέρῳ, πάσας ἐμοὶ ἀποδιδόναι, καὶ μηδεμίαν πρόφασιν ἀρκεῖν ἐπὶ μηδεμιᾶς ἀποστερήσει, καὶ τούτων ἔξεστιν ἀπόδειξιν παρέχειν ἐναργῆ ἐκ τῶν ἐγγράφων ὅρκων τουτωνὶ, οὓς ἐποιήσω τότε πρὸς ἐμὲ ἐν ταῖς συνθήκαις, παρόντος ἀρχιεπισκόπου τοῦ σοῦ καὶ τῶν νυνὶ παρόντων ἐνθάδε τουτωνὶ τῶν ὑπὸ σὲ ἐπιφανῶν. [5]

3 145 σκεψώμεθα δὴ οὖν, ὁπότερος ἐνέμεινε τοῖς ὅρκοις τούτοις, ἆρ᾽ ὁ πολλὴν ἀγνωμοσύνην καὶ ἀχαριστίαν κατηγορούμενος ἐγὼ καὶ κακὸς περὶ τοὺς φίλους καὶ ἀπληστίας δίκην φεύγων, ἢ σὺ ὁ τῶν ἀλλοτρίων μηδενὸς ἐπιθυμῶν, ἀλλὰ βέβαιος περὶ τοὺς φίλους, καὶ ὥσπερ πολιτείαν διὰ βίου μετιὼν τὸ μὴ συμμεταβάλλεσθαι ῥᾳδίως τοῖς καιροῖς, μηδὲ τὰ εἰσάπαξ ἐψηφισμένα τρόπων εὐκολίᾳ διαλύων. ἐμοὶ μὲν δοκεῖ, μήτ᾽ εὐορκίας ἐμὲ καὶ βεβαιότητος περὶ τοὺς φίλους καὶ εὐγνωμοσύνης μηδὲν δεῖγμα παραλείπειν, μήτε σὲ ἀπληστίας καὶ ἐπιορκίας καὶ περὶ τοὺς φίλους ἀπιστίας. ὡς γὰρ ἐγενόμην ἐν Βερροίᾳ, καί τινες πολίχναι προσεχώρουν περὶ αὐτὴν καὶ Θετταλία, ἐγὼ μὲν ἐκ τῶν ἐνόντων ἐπειρώμην αὔξειν τὴν ἀρχὴν, καὶ στρατιὰν ἠθροικὼς ὅσην μάλιστα ἐξῆν, ἔχων καὶ Γερμανοὺς τοὺς παρὰ σοῦ, ἦκον εἰς Θεσσαλονίκην ὑπὸ τῶν φίλων κεκλημένος· σὺ δὲ αὐτίκα ἐπεβούλευες μηδεμίαν αἰτίαν, μηδὲ πρόφασιν πρὸς τὸν πόλεμον παρασχομένῳ, καὶ τοῖς τε Θεσσαλονικεῦσι συνεβούλευες ἐπεξιέναι, καὶ Γερμανοὺς τοὺς σοὺς ἀνεκαλοῦ ἀπ᾽ αὐτῆς τῆς παρατάξεως σχεδόν· ἃ εἰ μὴ πολεμιωτάτου, εἰ μὴ σύ γε, ἀλλ᾽ οἱ παρόντες ἅπαντες ἐροῦσι. [20]

3 146 ἀναστρέφοντι δὲ ἐκεῖθεν στρατιὰν ἔπεμψας ἐπὶ τὸν Ἄξιὸν κωλύουσαν πρὸς τὸν πόρον, καὶ μονονουχὶ τοῖς πολεμίοις αὐτοχειρίᾳ παρεδίδους. ἐς τοσαύτην γὰρ κατέστησας ἀνάγκην, ὥστ᾽ εἰ μὴ θεὸς ἄνωθεν ὑπερέσχε χεῖρα πρὸς τὴν διάβασιν τοῦ ποταμοῦ, ἀπωλόμεθ᾽ ἂν πάντες ἀκλεῶς ὑπὸ τῶν περιχυθέντων ὁμοῦ Ῥωμαίων καὶ βαρβάρων. οὕτω τοὺς ὅρκους διετήρησας ἀκριβῶς, καὶ ταῦτα οὐ πρὸ πολλοῦ τοῦ χρόνου γεγραμμένους. οὐ μὴν ἠρκέσθης ἀφανῶς ἐπιβουλεύειν μόνον, ἀλλ᾽ Ἀποκαύκου τοῖς κόμποις καὶ τοῖς πλάσμασι πεισθεὶς, χρήματά τε, ὡς ἐλέγετο, παρ᾽ ἐκείνου εἰληφὼς, πολέμιον ἐμὲ ἐψηφίσω φανερῶς, ὃν ἐν τοῖς ὅρκοις γράφεις διὰ βίου σύμμαχον καὶ φίλον ἕξειν· οὐδ᾽ αὐτὸς ἂν, οἶμαι, φαίης εὐορκῶν. καὶ γράμματα ἔπεμπες ἐμοὶ τὴν εἰρήνην καὶ τὴν συμμαχίαν φανερῶς ἀπαγορεύοντα καὶ πόλεμον καταγγέλλοντα ἀκήρυκτον· ἃ καὶ νῦν ἔξεστιν ὁρᾷν εἰς δεῦρο διασωθέντα παρ᾽ ἐμοί. καὶ ἐξ ἐκείνου οὐ διέλιπες φανερῶς τε πολεμῶν καὶ ἀφανῶς ἐπιβουλεύων. ἐμοί τε γὰρ εἰς Διδυμότειχον ἐπανήκοντι μετὰ Ἀμοὺρ, ἐπεὶ ἐκεῖνος ἦν εἰς τὴν Ἀσίαν, τὴν ὑπόσχεσιν Ἀποκαύκῳ ἐκπληρῶν, τὸ κράτιστον τῆς

στρατιᾶς ἔχων ἐπεστράτευες, καὶ προῆλθες ἄχρι Μυγδονίας φανερῶς ἐπιὼν ἐμοί. Περσῶν δὲ πεζῶν περιτυχόντων, ὧν τὰς ναῦς αἱ Λατινικαὶ ἐνέπρησαν τριήρεις, καὶ πολλὰ τῇ στρατιᾷ λυμηναμένων, ἣν ἔπεμπεν ἐπ᾽ αὐτοὺς, ἀνεχώρεις καὶ αὐτὸς εἰς τὴν οἰκίαν πληγεὶς ἀπροσδοκήτως. [20]

3 147 καὶ Μανουὴλ δεσπότην τὸν υἱὸν ἐπὶ τῆς Βερρόίας τὴν ἀρχὴν καὶ τῶν ἄλλων πολιχνίων καταλελειμμένον ὑπ᾽ ἐμοῦ φανερῶς τε ἐπολιόρκεις πέμπων στρατιὰν, καὶ τοὺς ἔνδον οὐκ ἠμέλεις διαφθείρων χρήμασιν, ἄχρις οὗ πείσας ἐκείνῳ δυσνοεῖν, ἐκεῖνον μὲν ἐξήλασας εἰς Θετταλίαν, αὐτὸς δὲ τὴν πόλιν εἶχες. καὶ Φερὰς ὁμοίως ἐπὶ συχνὸν πολιορκήσας χρόνον, ἐμοῦ δεομένου καὶ τῶν ὅρκων ἀναμιμνήσκοντος, ἐπεὶ μὴ ταῖς πόλεσιν εἶχον ἐπιδημεῖν ὑπὸ τοῦ ἐμφυλίου κατεχόμενος πολέμου, οὐδένα λόγον ἐποιοῦ, ἀλλ᾽ ἐνδείᾳ πιέσας καὶ συχνῇ πολιορκίᾳ, τέλος ἔπεισας προσχωρεῖν, κἀκεῖ τοὺς δυνατωτέρους διαφθείρας χρήμασι. καὶ μετὰ τοῦτο Θετταλίᾳ καὶ Ἀκαρνανίᾳ ἐπεστράτευσας Ῥωμαίοις οὔσαις ὑπηκόοις, πλῆθος πεζῶν τε καὶ ἱππέων ἄγων, καὶ τὴν μνημονευομένην ἐκείνην φθορὰν εἰργάσω, ὑφ᾽ ἧς εἰς τοσαύτην ἀνάγκην Ἀκαρνᾶνες ἦλθον ὑπὸ τοῦ λιμοῦ, ὡς ἑκοντὶ πρὸς τὰ παράλια γινόμενοι, προκεῖσθαι τοῖς ἀνδραποδισταῖς βαρβάροις κέρδος ἄπονον, καὶ δεῖσθαι ἐφ᾽ ἑτέραν γῆν μετενεχθέντας δουλεύειν μᾶλλον διὰ βίου, ἢ ἐν τῷ αὐτίκα διαφθείρεσθαι ὑπὸ λιμοῦ. ὕστερον δὲ Ἀγγέλου τοῦ ἐμοῦ τετελευτηκότος ἀνεψιοῦ, ὃς ἦρχεν ὑπ᾽ ἐμοῦ πεμφθεὶς, ἁρπάσας τὰς ἐπαρχίας ἔχεις· καὶ πρὸς τούτοις ἑτέρας πόλεις τῆς Μακεδονίας οὐκ ὀλίγας, αἱ ὑπὸ τὴν Ῥωμαίων ἡγεμονίαν ἦσαν, ὅτε πρὸς ἀλλήλους ἡμῖν ἐγίνοντο οἱ ὅρκοι. [20]

3 148 πότερον οὖν ταῦτα φιλοῦντος καὶ εὐορκοῦντος καὶ μισοῦντος τὴν ἁπληστίαν καὶ τὴν ἁρπαγὴν, ἢ τοὐναντίον ἅπαν; ἀλλ᾽ οὐ τὰ ἡμέτερα τοιαῦτα, ἀλλὰ καὶ Ἀμοὺρ ἐνταῦθα πρὸς ἐμὴν ἐπικουρίαν γενομένου, τετρακισχιλίους ἐπὶ δισμυρίοις ἄγοντος βαρβάρους, οἳ τὴν σὴν ἡγεμονίαν πᾶσαν ἀνατρέπειν ἦσαν δυνατοὶ, αὐτὸς ἐποιησάμην πᾶσαν πρόνοιαν, μηδὲν τὴν ὑπὸ σὲ ζημιωθῆναι χώραν, καίτοι πρόφασιν εὐπρόσωπον ἔχων τοῦ πολέμου τὰς προτέρας ἐπιβουλὰς καὶ τὸ φανερῶς ἐκπεπολεμῶσθαι καὶ ἔργοις καὶ τούτοις δὴ τοῖς παρὰ σοῦ πεμφθεῖσι γράμμασιν ἐπὶ ἀπαγορεύσει τῆς εἰρήνης καὶ τῶν ὅρκων, μάλιστα καὶ τῶν βαρβάρων δεομένων. ἀλλ᾽ ἄτοπον ἐνόμισα δεινῶς καὶ οὐδὲ ἐμοὶ προσῆκον, διὰ τὴν σὴν μικροψυχίαν καὶ τὴν ἀστασίαν περὶ τὰ καλὰ ἀχάριστον καὶ ἄπιστον φανῆναι πρὸς τοὺς φίλους, εἰ τῷ τοσούτων ἀγαθῶν ὑπάρξαντι μηδεμίαν ἀποδοίην ἀμοιβὴν, ἀλλ᾽ ἀνεκτῶν τινων χάριν αἰτιῶν οἷα πολεμίῳ χρησαίμην διὰ βίου. καὶ μετὰ ταῦτα πολλάκις δυνηθεὶς ἀμύνεσθαι, οὐκ ἠθέλησα, ἀλλὰ πρεσβείας πέμπων, καὶ πρὶν Βυζάντιον ἑλεῖν καὶ μετὰ ταῦτα, τὰ δίκαια ποιεῖν ἐδεόμην, οἷα φίλον, καὶ μὴ τοὺς ὅρκους παραβαίνειν. σὺ δὲ τῶν μὲν δικαίων καὶ προσηκόντων ἔπραττες οὐδὲν, λόγοις δὲ ἀπατηλοῖς καὶ περιέργοις παράγειν ἐπειρῶ. [20]

3 149 ἐγὼ δὲ καίτοι σαφέστατα εἰδὼς, ὡς ἀπατῶμαι, οὐκ αὐτίκα ἐπεστράτευον, ἀλλ᾽ ἐπειρώμην ἀεὶ, μὴ αὐτὸς ὑπὸ μικροψυχίας ὡρμημένος πρὸς τὸν κατὰ σοῦ πόλεμον φανῆναι. ἐπεὶ δὲ ἑώρων ἀνήνυτα πονῶν, καὶ μὴ μεγαλοψυχίαν ἤδη καὶ εὐγνωμοσύνην, ἀλλ᾽ ἀμέλειαν τῶν ὁμοφύλων καὶ προδοσίαν οὖσαν τὴν μέλλησιν σχεδὸν, οὐδ᾽ οὕτως ἐπὶ τὴν σοὶ προσήκουσαν ἥκω γῆν, ἀλλὰ τὰς ἀφῃρημένας πόλεις ἀνασώζεσθαι πειρῶμαι, ἐφ᾽ αἷς αὐτὸς ἀδικίαν καὶ πλεονεξίαν ἐγκαλεῖς, παραπλήσιον ποιῶν τῇ παροιμίᾳ, ἥ φησι προσεγκαλεῖν τοὺς φῶρας, καὶ ὥσπερ τι τῶν δικαίων προβαλλόμενος, ἀπληστίαν ὀνειδίζεις, ὅτι τὸ πλεῖστον τῆς ἀρχῆς Ῥωμαίων ἔχων αὐτὸς, σοὶ τοῦ ἐλάττονος οὐ βούλομαι παραχωρεῖν. τοῦτο δὲ, ὦ βέλτιστε, οὐδὲ ὀλίγου δεῖ τοῦ λόγον ἔχειν πρὸς τὸ εἶναι εὐπρεπὲς καὶ δίκαιον. οὐ γὰρ δὴ τὴν Μυσῶν ἀρχὴν, ἢ Παιόνων, ἥ τινων ἄλλων διειλόμεθα, ἢ προσῆκεν οὐδ᾽ ἑτέρῳ, ἀλλὰ τῆς ἐμοὶ προσηκούσης Ῥωμαίων ἡγεμονίας οὐκ ὀλίγον μέρος ἀφελόμενος, καὶ χάριν ἀξιοῖς εἰδέναι περὶ τοῦ ὑπολειφθέντος. ἐγὼ δ᾽ ὅτι μὲν καὶ πρὶν εἰς τοῦτο ἥκειν σχήματος Ῥωμαίων ἦρχον, ἀποφαίνειν οὐκ ἀνάγκη,

πάντων σαφέστατα εἰδότων. πλὴν ἀλλ' εἰ καὶ ἀφανείᾳ πολλῇ τὸ πρότερον συζῶν, ἀθρόον ἐωρώμην Ῥωμαίων βασιλεὺς, οὕτως ἂν ἠξίουν τῶν προβεβασιλευκότων ἔχειν τὴν ἀρχὴν, ὥσπερ τινὰ πατρῷον κλῆρον, καὶ παντί τῳ δίκαιος ἂν ἦν, οὐ περὶ τοσούτων μόνον, ὅσων ἀπεστέρησας αὐτὸς, ἀλλὰ καὶ περὶ ἐλαττόνων καὶ τῶν τυχόντων ἀμφισβητεῖν καὶ πόλεμον κινεῖν, εἰ μὴ ἐβούλετο τὰ δίκαια ποιεῖν. [20]

3 150 ἐμοὶ δὲ οὐ τοῦτο μόνον πρόσεστι δικαίωμα, ἀλλὰ καὶ οἱ ὅρκοι, οὓς αὐτὸς ἐποιήσω πρὸς ἐμὲ, καίτοι μηδέπω τὴν ἡγεμονίαν πᾶσαν ἔχοντα Ῥωμαίων. ἄτοπον γὰρ τότε μὲν μήτε τὴν περισχοῦσαν δυσπραγίαν, μήτε τὸ Ῥωμαίους ἐμοὶ τοσοῦτον ἐκπεπολεμῶσθαι, μήθ' ὅτι πρὸς τὴν σὴν ἐπικουρίαν ἀφεώρων, ὥστε δυνήσεσθαι τῶν ἄλλων εἶναι κύριος, μήτ' ἄλλο μηδὲν τῶν φαινομένων τότε δυσχερῶν, σοὶ πεῖσαι τῶν Ῥωμαίοις ὑπηκόων πόλεων παρακεχωρηκέναι, ἀλλ' αἱρεῖσθαι μᾶλλον ἀποθνήσκειν, ἤ τι πράττειν ἀγεννὲς, σὲ δὲ μᾶλλον τὰς Ῥωμαίοις ὑπηκόους πόλεις ἐμοὶ πεῖσαι ψηφίσασθαι προσήκειν· νυνὶ δ' ὅτε τῆς ἀρχῆς ἁπάσης κύριος αὐτὸς κατέστην καὶ δύναμιν ἀνακαλεῖσθαι τὰ ἀφῃρημένα ἔχω, ἢ φρονήσειν οὕτω δοῦλα, ὥσθ' ἑκοντὶ παραχωρεῖν τῶν πόλεων, ἢ σὲ λόγον οἴεσθαι λέγειν ἔχοντα τοιαῦτα ἀξιοῦντα. ὡς μὲν οὖν οὐκ ἀδικῶν, οὐδὲ ἐπιορκῶν αὐτὸς οὔτε πρότερον φαίνομαι, οὔτε νῦν, ἐκ τῶν εἰρημένων πᾶσιν εἶναι οἶομαι καταφανές. εἰ μὲν οὖν, εἰ καὶ μὴ πρότερον, ἀλλὰ νῦν γοῦν τὰ δίκαια ποιεῖν ἐθέλεις καὶ αὐτὸς, καὶ Ἀκαρνανίαν ἀποδιδόναι καὶ Θετταλίαν καὶ τὰς ἄλλας, ἃς ἔχεις, τῆς Μακεδονίας πόλεις, τῆς προτέρας ἀδικίας ὀλίγον ποιήσομαι τὸν λόγον, τῆς φιλίας ἀμειβόμενος καὶ τῆς φιλοτιμίας, ἧς ἡνίκα ἐδεόμην ἐπεδείξω, καὶ τὰς προτέρας ἀνανεωσάμενος σπονδὰς καὶ τοὺς ὅρκους, αὖθις σύμμαχον καὶ φίλον ἕξω, καὶ πειράσομαι ἐμαυτὸν ἀποδεικνύναι αὖθις ἐξαρχῆς ἄξιον τῆς παρὰ σοῦ φιλοτιμίας καὶ σπουδῆς. [5]

3 151 εἰ δ' αὖθις οὐδὲν δίκαιον ποιεῖν διανοῇ, ἀλλ' ἀδικεῖν εἰσάπαξ ἔγνως καὶ ἐπιορκεῖν, ἐγὼ μὲν τῶν προσηκόντων τῇ Ῥωμαίων βασιλείᾳ οὐδενὸς παραχωρήσω, θεὸν δὲ μαρτυράμενος τὸν ἔφορον τῶν ὅρκων, καὶ ἀνθρώπους, οἳ τότε τε παρῆσαν ἐν τοῖς ὅρκοις καὶ νῦν πάρεισιν, ἐμοῦ τὰ δίκαια προκαλουμένου καὶ καταλύειν τὸν πόλεμον ἐθέλοντος, ἂν μὴ τυγχάνω τῶν δικαίων, πειράσομαι τοῖς ὅπλοις τήν τε οὖσαν διασώζειν, καὶ τὴν ἀφῃρημένην ἀρχὴν ἀνακαλεῖσθαι· ἢν δέ τινα συμβαίνῃ δυσχερῆ διὰ τὸν πόλεμον, μὴ ἐμοὶ τὴν αἰτίαν, ἀλλὰ σαυτῷ τῶν γινομένων μὴ εὔορκα ποιεῖν προσλογίζεσθαι ἐθέλοντι.“ κα′. Τοιαῦτα μὲν Καντακουζηνὸς ὁ βασιλεὺς ἐφ' οἷς ἐγκαλεῖν ὁ Κράλης ἐπεχείρει, ἀπεκρίνατο· ὁ Κράλης δὲ ἀντειπεῖν οὐκ ἔχων πρὸς οὐδὲν, (συνῄδει γὰρ αὐτῷ καὶ ἀδικίαν καὶ παράβασιν τῶν ὅρκων,) ὀλίγον μὲν ἐπέσχε σιωπήσας· ἔπειτα ἐδεῖτο βασιλέως, τῶν ἄλλων ἀποστάντας μόνοι διαλέγεσθαι ἐφ' ἑαυτοὺς περὶ τῶν διαφορῶν. ἐπεὶ δὲ ἐπείθετο ὁ βασιλεὺς καὶ ἀφίσταντο τῶν ἄλλων, ἐπιορκεῖν μὲν ὁ Κράλης ὡμολόγει καὶ παρασπονδεῖν, τὰς Ῥωμαίων κατέχων πόλεις, οὐκ ἐβούλετο δὲ ἀποδιδόναι, ἀλλ' ἐδεῖτο βασιλέως τῶν εἰς αὐτὸν γεγενημένων ἀπομνημονεύοντα, ταύτην τὴν χάριν καταθέσθαι, τὸ ἔχοντας ἑκάτερον, ἃ ἔχουσιν ἐν τῷ παρόντι, τίθεσθαι σπονδάς. [20]

3 152 βασιλέως δὲ οὐδὲ τῶν φαυλοτάτων οὐδενὸς παραχωροῦντος, διελύθησαν ἀσύμβατοι. καὶ Κράλης μὲν εἰς τὸ στρατόπεδον, βασιλεὺς δὲ εἰς τὴν πόλιν ἐπανῆλθον, εἰς τὴν ὑστεραίαν αὖθις ἐπαγγειλάμενοι ἀλλήλοις συντυχεῖν. καὶ ἐς τὴν ὑστεραίαν συνελθόντες, λόγους ἐποιοῦντο περὶ τῶν ὁμοίων, καὶ οὔτε βασιλεὺς περὶ τῶν κατεχομένων ἐνεδίδου πόλεων, οὔθ' ὁ Κράλης ὑπέμενεν ἀφίστασθαι. καίτοι γε ἔλεγε Κράλης, ἐς τοσοῦτον δέους πρὸς βασιλέα καθεστάναι, ὡς καὶ ἐν ὀνείροις εἴ ποτε ὁρᾷν συμβαίη, τοῦ ὕπνου ἀφίστασθαι αὐτίκα, καὶ πρὶν ληφθῆναι ὕπνῳ, ἄϋπνον διανυκτερεύειν, εἰ λογίζοιτο περὶ ἐκείνου, ὅπως χρὴ πολεμεῖν, ἐν ἀπόροις ὑπὸ δέους καθεστώς. οὐ μὴν οὐδὲ πρὸς τοὺς ἔξω τὸ πάθος ἀπεκρύπτετο, ἀλλ' ἀναφανδὸν καὶ πρὸς Τριβαλοὺς καὶ Ῥωμαίους τοὺς συνόντας μηδένα ἀνθρώπων ἔλεγε διὰ βίου, μήτε πρότερον, μήθ' ὕστερον ὥσπερ Καντακουζηνὸν τὸν βασιλέα ἐκπεπλῆχθαι καὶ δεδοικέναι. καὶ ἐν τῇ

συνουσίᾳ δὲ ἐκείνῃ, ἐρομένου βασιλέως, ὅτου χάριν τοσαύτην ὑπομείνειεν αἰσχύνην τοῖς τῆς Βενετίας βουλευταῖς συγκαταλέξας ἑαυτὸν, μείζονα καὶ περιφανεστέραν συμπάντων ἐκείνων ἔχων αὐτὸς ἀρχὴν, διὰ τὸν ἐκείνου φόβον, ἀπεκρίνατο καὶ προσετίθει, μηδὲν εἶναι θαυμαστὸν, εἰ τοιαῦτα ὑπομείνειε. [20]

3 153 τοὐναντίον μὲν οὖν, ὅτι μὴ καὶ πρός τι χεῖρον καὶ πολλῷ φαυλότερον ἐξετράπη καίπερ δὲ οὕτω δέους ἔχων, καὶ οὐδὲ πρὸς πάντας αἰσχυνόμενος ὁμολογεῖν, ὅμως ἀφίστασθαι τῶν πόλεων οὐκ ἤθελεν, ἀλλ' ἐδεῖτο μόνον βασιλέως χωρεῖν πρὸς τὰς συμβάσεις Βέῤῥοιαν μόνην ἔχοντα καὶ Ἔδεσσαν καὶ τὰ ἄλλα φρούρια καὶ τὰς πολίχνας, ὅσαι προσεχώρησαν. ἰσχυρίζετο δὲ καὶ ὅρκους τοῖς λόγοις προστιθεὶς, ὡς οὐ πλεονεξίας μᾶλλον ἢ αἰσχύνης ἕνεκα τῶν πόλεων ἀντιποιοῖτο. αἰσχύνεσθαι γὰρ οὐ τοὺς οἰκείους μόνον, ἀλλὰ καὶ τοὺς ἄλλους ὁπουδήποτε δυνάστας, εἰ φαίνοιτο τοσοῦτον ἡττημένος πρὸς τὸν βασιλέως φόβον, ὥστε τοσούτων πόλεων ἀμαχεὶ παραχωρεῖν, ἃς ἐπὶ τοσοῦτον χρόνον κτώμενος, χρήματά τε ἀναλώκει πλεῖστα, καὶ τοσούτους πόνους καὶ κινδύνους ὑπομεμενήκει μετὰ τῆς στρατιᾶς. βασιλεὺς δὲ ἐπεὶ ἑώρα ἀσυμβάτως ἔχοντα, „τὴν μὲν ἐμὴν" εἶπε „πρὸς σὲ εὐγνωμοσύνην, καὶ ὡς οὐδὲν τῶν φίλῳ προσηκόντων οὔτε πρότερον, οὔθ' ὕστερον ἐνέλιπον, καὶ ὁ παρελθὼν μὲν χρόνος, οὐχ ἥκιστα δὲ καὶ ὁ νυνὶ παρὼν ἀξιόχρεως συμμαρτυρεῖν. σοῦ δὲ μηδὲν ἐθέλοντος τῶν δικαίων ποιεῖν καὶ προσηκόντων, ἀνάγκη πρὸς τὸν πόλεμον χωρεῖν, ταὐτὸν τοῖς θηρίοις πάσχοντα. καὶ γὰρ ἐκεῖνα βαλλόμενα καὶ ἐλαυνόμενα ὑπὸ τῶν θηρευτῶν, πρῶτα μὲν φεύγουσι καὶ τὴν πρὸς ἀνθρώπους μάχην, ὅση δύναμις, ἐκκλίνουσιν. ἐπειδὰν δὲ εἰς ἀνάγκην καταστῶσι καὶ τὸν κίνδυνον αἴσθωνται ἐφεστηκότα, στρεφόμενα ἀμύνονται, καὶ οὕτω μετὰ σφοδρότητος, ὡς τῆς σφετέρας ἀφειδεῖν παντάπασι ζωῆς. [25]

3 154 τοῦτο δὴ καὶ αὐτὸς νυνὶ ποιήσω. μάλιστα μὲν γὰρ ἐβουλόμην μὴ πόλεμον κινεῖν πρὸς σὲ, ἀλλὰ φίλον καὶ σύμμαχον ἔχειν, ὥσπερ δίκαιον, καὶ τῶν ὑπηργμένων ἀγαθῶν, ᾗ ἂν μάλιστα δυναίμην, ἐκτίνειν ἀμοιβάς. ἐπεὶ δ' αὐτὸς τῶν δικαίων ᾔρησαι ποιεῖν οὐδὲν, οὐδὲ τῶν Ῥωμαίοις πόλεων ἀφίστασθαι, ἃς ἔχεις ἀδίκως κατασχὼν, ἀνάγκη καὶ αὐτὸν ἃ νομίζω συμφέρειν Ῥωμαίοις πράττειν, καὶ μὴ περιορᾷν ἀδίκως οὕτω καταδουλωθέντας Τριβαλοῖς. ἀλλὰ νῦν μὲν ἐπεὶ μὴ καὶ ἡ παρεσκευασμένη στρατιὰ ἀφῖκτο, εἰς Βυζάντιον καὶ αὐτὸς ἐπανελεύσομαι, καὶ παρασκευασάμενος τοῦ χειμῶνος, ἅμα ἦρι ὡς μάλιστα ἔχω μετὰ πολλῆς δυνάμεως καὶ μεγάλης τῆς παρασκευῆς ὑμῖν ἐπιστρατεύσω, γνώμην ἔχων, ὡς ἢ μαχόμενος πεσεῖσθαι, ἢ πρὸς τῷ Ῥωμαίους ἐλευθεροῦν καὶ αὐτὸν καὶ ὑπηκόους ἐξανδραποδίζεσθαι καὶ διαφθείρειν καὶ καταδουλοῦσθαι. ἃ εἰδότα καὶ αὐτὸν ὡς ἀληθῆ, παρασκευάζεσθαι ὡς ἀμυνούμενον καὶ διαγωνιούμενον περὶ τῶν ὅλων." Κράλης δὲ ἀκούσας βασιλέως οὕτως ἐμβριθῶς διειλεγμένου περὶ τοῦ πολέμου, καὶ ὁρῶν ἀμετάθετον τὴν γνώμην ἔχοντα, καὶ γενόμενος περιδεὴς, ἐδεῖτο βασιλέως μὴ οὕτω πρὸς ὀργὴν ἐπὶ τὸν πόλεμον ἐξάπτεσθαι, ἀλλὰ λύσιν τινὰ ἐξευρίσκειν τῶν κακῶν, ὅθεν ὅ,τε πόλεμος καταλυθήσεται, καὶ μηδ' αὐτὸς παντάπασι μηδὲν τῶν τε πόνων καὶ τῶν κινδύνων, ὧν ὑπέμεινε τὰς πόλεις κτώμενος, ἀπόναιτο. [20]

3 155 ἐπέτρεπέ τε πάντα βασιλεῖ καὶ συνετίθετο στέργειν πᾶν, ὅ,τι ἂν αὐτῷ δοκοίη βέλτιον καὶ λυσιτελοῦν ἑκατέροις. βασιλεὺς δὲ τό,τε πάντα ἔχειν ὁρῶν ἀπονητὶ ἀδύνατον, καὶ τό τινων ἀποστερούμενον ὀλίγων μὴ συγκατατίθεσθαι πρὸς τὴν εἰρήνην, ἀλλὰ περὶ τῶν ὅλων διακινδυνεύειν βούλεσθαι ἀβουλίας, ἀδήλου μάλιστα τοῦ μέλλοντος ὄντος, καὶ τοῦ πολέμου πολλὰς ἐν τῷ μεταξὺ δυναμένου δέχεσθαι μεταβολὰς, ἄλλως θ' ὅτι καὶ βαρβάρους ἔμελλεν ἐπάγειν ἐνθυμούμενος, οἳ πλεῖστα καὶ Ῥωμαίους βλάπτουσιν, οἷς δοκοῦσι συμμαχεῖν, καὶ τὴν ἐσομένην Τριβαλῶν φθορὰν καὶ τοὺς φόνους καὶ τοὺς ἀνδραποδισμοὺς, ὧν ἐκήδετο, καίτοι πολεμίων ὄντων, διὰ τὴν θρησκείαν, τὸ μὲν ἀληθὲς, εἶπε, καὶ δίκαιον, πρὸς Κράλην, καὶ ὃ πᾶς

ὁστισοῦν ἂν ἐπιψηφίσαιτο δικαίως διαιτῶν, οὐδὲν εἶναι ἕτερον, ἢ ἐξίστασθαι Ῥωμαίοις τῶν πόλεων τῶν τοῖς ὅρκοις περιειλημμένων. ἐπεὶ δ' αὐτὸν ὁρᾷ πάνυ περιεχόμενον τῶν πόλεων, καὶ τῆς ζωῆς οὐ μικρὸν μέρος ἡγούμενον ἀφαιρεθήσεσθαι, εἰ τούτων ἀποστερηθείη, ἀδικήσειν μὲν Ῥωμαίους, πλὴν διελόμενον τὰς πόλεις, ὡς ἂν αὐτῷ δοκοίη, καὶ παραχωρήσαντα ὅσων ἂν ἐθέλοι, εἰ μὲν καὶ αὐτῷ δοκοίη καὶ πείθοιτο αὐτοῦ τῇ ψήφῳ, τίθεσθαι εἰρήνην ἐπὶ τούτοις καὶ σπονδάς. εἰ δὲ μὴ βούλοιτο, ἐξεῖναι αὖθις πολεμεῖν τὰς πάσας ἔχοντι. καὶ αὐτίκα Ἀκαρνανίαν μὲν καὶ Θετταλίαν, Σέρβιά τε καὶ τὰς ἐντὸς τούτων πρὸς θάλασσαν πολίχνας, καὶ Βέῤῥοιαν καὶ Ἔδεσσαν, Γυναικόκαστρόν τε καὶ Μυγδονίαν μετὰ τῶν κατῳκισμένων πόλεων, καὶ τὰς περὶ Στρυμμόνα κώμας ἄχρι τῶν Φερῶν ὁρίων, καὶ Ταντεσάνου ὄρη προσαγορευόμενα, ἀπένεμε Ῥωμαίοις, Ζίχνα δὲ καὶ Φερὰς καὶ Μελενίκον καὶ Στρύμβιτζαν καὶ Καστορίαν καὶ τὰς ἄλλας Μακεδονικὰς κώμας καὶ πολίχνας, αἳ τῶν εἰρημένων ὅρων ἐκτὸς ἦσαν, Κράλην ἔχειν· καὶ συμμαχίαν ἐπὶ τούτοις ποιεῖσθαι καὶ σπονδὰς, καὶ μηδὲν ἀλλήλους ἀδικεῖν. [5]

3 156 οὕτω μὲν ὁ βασιλεὺς διῄρει τὰς πόλεις· καὶ ἐδόκει καὶ Κράλῃ καλῶς ἔχειν, καὶ συνέβησαν ἐν τούτοις, καὶ πάντες ἥδοντο, καὶ Τριβαλοὶ καὶ Ῥωμαῖοι, πρὸς τὴν εἰρήνην. ὅ,τε βασιλεὺς εἰστία φιλοτίμως Κράλην καὶ τοὺς συνόντας ἐπ' αὐτοῦ τοῦ τόπου, οὗ αἱ συμβάσεις ἐγεγένηντο, παρόντος καὶ τοῦ νέου βασιλέως καὶ συμφιλοτιμουμένου βασιλεῖ τῷ κηδεστῇ. κβ′. Μετὰ δὲ τὸ ἄριστον συνέθεντο, ὥστε εἰς τὴν ὑστεραίαν βασιλέα μὲν ἐπιλέξασθαι πέντε Ῥωμαίων τῶν ἐν τέλει, καὶ τούτοις ἐπιτρέψαι τὴν παράληψιν τῶν πόλεων· Κράλην δὲ ἐκ τῶν οἰκείων ἴσους παρασχεῖν, ὥστε παραδοῦναι. καὶ συνταξάμενοι ἀλλήλοις, ἐπεὶ τέλος εἶχον αἱ συμβάσεις, ὁ μὲν εἰς τὸ στρατόπεδον, οἱ βασιλεῖς δὲ εἰς τὴν πόλιν ἀπεχώρουν. ἐπελθούσης δὲ νυκτὸς, τινὲς τῶν συνόντων βασιλεῦσι κρύφα ἐλθόντες πρὸς τὸν Κράλην, συνεβούλευον τὰς πόλεις μὴ παραδιδόναι, ἀλλὰ πόλεμον αἱρεῖσθαι μᾶλλον πρὸς Καντακουζηνὸν τὸν βασιλέα, ὡς βλάπτειν δυνησόμενον ὀλίγα ἢ οὐδέν. [20]

3 157 νῦν μὲν γὰρ ἀξιόμαχον οὐκ ἔχειν στρατιάν· ἂν δὲ ἐπανήκῃ εἰς Βυζάντιον ὡς παρασκευασόμενος, τὸν Παλαιολόγον βασιλέα πείσειν συνθήσεσθαι πρὸς αὐτὸν, ᾗ ἂν μάλιστα δοκῇ καθ' ἡδονὴν, καὶ κοινῇ τὸν πόλεμον πρὸς ἐκεῖνον ἀνελέσθαι. ἡγεῖσθαι γὰρ αὐτοὺς οὐκ ἀνεκτὸν ἐκεῖνον ἄρχειν, βασιλέα τῆς πατρῴας ἀποστερήσαντα ἀρχῆς. καὶ ὁ Κράλης αὐτίκα ἔνθους ἦν ὑφ' ἡδονῆς, καὶ πολλὰς ὠμολόγει χάριτας τοῖς ἀπαγγείλασι, βασιλεῖ τε ἐπηγγέλλετο προθύμως τῷ Παλαιολόγῳ συμμαχήσειν κατὰ κηδεστοῦ τοῦ βασιλέως καὶ πᾶσαν ἐπιδείξεσθαι σπουδὴν καὶ εὔνοιαν πρὸς αὐτόν· ἅμα τε ἕῳ, ἐπεὶ ἡμέρα ἦν, πέμψας πρὸς βασιλέα, ἀπηγόρευε τὴν ἐπὶ τοῖς εἰρημένοις εἰρήνην· ἀλλ' εἰ βούλοιτο τὰς ἄρτι ληφθείσας πόλεις μόνας ἔχειν, μᾶλλον δὲ καὶ ἐξ ἐκείνων ἀποδόντα, οὕτω πείθειν αὐτὸν μὴ πολεμεῖν. εἰ δὲ μὴ βούλοιτο, παρασκευασάμενον πρὸς μάχην ἐξελθεῖν· αὐτὸν γὰρ παντὶ σθένει πολεμήσειν. τῶν μὲν οὖν Κράλη λόγων ὁ βασιλεὺς ὀλίγον ἐποιεῖτο λόγον. ᾔδει γὰρ ὡς δυνησόμενος αὐτὸν καταναγκάζειν καὶ ἄκοντα τὰ δίκαια ποιεῖν. σφόδρα δὲ ἤχθετο κατὰ Ῥωμαίων τῶν ἐπιβουλευόντων (οὐ γὰρ ἠγνόησεν, ὅθεν ἡ μεταβολὴ,) καὶ τὴν διόρθωσιν τῶν πραγμάτων ἀπεγίνωσκε, πολέμων αὖθις ἐμφυλίων καὶ στάσεων μεγάλων τὰ τοιαῦτα οἰόμενος. ἀρχήν. ὅμως καὶ οὕτως ἔχων, ἐπηγγέλλετο εἰς τὴν ὑστεραίαν ἐξελεύσεσθαι πρὸς μάχην. Κράλης δὲ καὶ αὐτὸς παρεσκευάζετο, καὶ παραθαῤῥύνων τοὺς οἰκείους πρὸς τὸν βασιλέως πόλεμον. [25]

3 158 οὐ χρὴ δεδοικέναι, ἔφασκε, Καντακουζηνὸν τὸν βασιλέα, ἄχρις ἂν ὑπὸ τῶν οἰκείων πολεμῆται, ἀλλὰ βεβαίας ἔχειν ἐλπίδας τοῦ περιέσεσθαι καὶ τὰς ἡρπασμένας Ῥωμαίων πόλεις καθέξειν ἀσφαλῶς. ἐοικέναι γὰρ ἔφασκεν ἐκεῖνον ἐν ὕδασιν ἀνθρώπῳ καταβεβαπτισμένῳ, τοὺς οἰκείους δὲ ἐφεστῶτας, εἴ ποτε δυνηθείη ἀνακύψαι, πιέζοντας αὖθις καταβαπτίζειν καὶ μήθ' ἑαυτῷ χρήσιμον, μήτ' ἐκείνοις γίνεσθαι ἐᾷν. ἂν μέντοι τῶν οἴκοι διαφορῶν ποτε ἀπαλλαγείη, τότ' ἤδη πάντων αὐτῷ ἐξίστασθαι ἑκόντας, καὶ πολλὴν πρόνοιαν ποιεῖσθαι φίλον ἔχειν.

ἀντικαθίστασθαι γὰρ πρὸς πόλεμον, ἂν τῶν οἴκοι δυσχερῶν ἀπαλλαγείη, οὔτ' αὐτὸν λυσιτελεῖν ἡγεῖσθαι, οὔτ' ἐκείνοις συμβουλεύειν. οὕτω μὲν ὁ Κράλης οὐ τῇ σφετέρᾳ μᾶλλον θαῤῥῶν δυνάμει, ἢ ταῖς διχοστασίαις καὶ διαφοραῖς Ῥωμαίων, αὖθις ὥρμητο πρὸς πόλεμον, καὶ ἐς τὴν ὑστεραίαν ἅμα ἕῳ συντάξας ἐπὶ φάλαγγας τὴν στρατιὰν, ἐχώρει πρὸς Θεσσαλονίκην ἐκ τοῦ στρατοπέδου. καὶ ὁ βασιλεὺς ὁμοίως τήν τε πεζὴν καὶ ἱππικὴν δύναμιν ἀντιπαρέταττεν ἐξαγαγών· οὐδέτερος δὲ ἐπεχείρει πολέμου ἄρχειν, ἀλλ' ἐπιπολὺ ἀτρεμοῦντα ἀντικαθίστατο ἀλλήλοις τὰ στρατόπεδα. Κράλης δὲ πρὸς βασιλέα πέμψας, ἢ τὴν εἰρήνην ἔφασκεν αἱρεῖσθαι, ἂν ἐθέλῃ, ἔχοντας ἃ ἔχουσιν ἑκάτερον, ἢ μὴ μέλλειν, ἀλλ' ἄρχειν συμβολῆς. βασιλεὺς δὲ τὰ τῇ προτεραίᾳ εἰρημένα καὶ αὖθις ἔφασκεν αἱρεῖσθαι, καὶ φίλον ἐθέλειν μᾶλλον ἔχειν, ἢ πολέμιον, τὰς πόλεις ἀποδόντα· ἂν δ' αὐτὸς τὸν πόλεμον αἱροῖτο, πρῶτον μᾶλλον αὐτὸν ἄρχειν συμβολῆς μικρὸν προβάντα, ὡς οὕτω καὶ αὐτὸν ὡς ἀμυνόμενον καὶ οὐκ ἄρχοντα πολέμου ἀγωνιούμενον προθύμως, ἐπιμαρτυρόμενον καὶ ἀνθρώπους καὶ θεὸν, ὡς οὐκ ἀδικεῖ, ἀλλὰ μᾶλλον ἀδικεῖται, οὐδὲ ἐπιορκεῖ καὶ κακὸς εἶναι βούλεται περὶ τὸν φίλον, ἀλλ' ἀνάγκῃ ἐφ' ἃ μὴ βούλοιτο χωρεῖ. [5]

3 159 ἂν δ' αὐτοῦ κινουμένου πρώτου, ἔφασκε, μὴ τὸ στράτευμα ἀντεπάγῃ καὶ αὐτὸς, τὴν νίκην ἐκεῖνον ἔχειν, ὡς αὐτοῦ φυγομαχήσαντος. Κράλης δὲ ἐπεὶ ἐπύθετο τοὺς βασιλέως λόγους, πέμψας αὖθις, ἔφασκε μηδ' αὐτὸς βούλεσθαι τὴν μάχην· ἂν δὲ φαίνοιτο κινῶν τὰς φάλαγγας μετὰ μικρὸν, μὴ νομίζειν ἐπιέναι, ἀλλ' ἀναχώρησιν εἶναι τὴν κίνησιν πρὸς τὸ στρατόπεδον. τοιαῦτα ὁ Κράλης εἶπε· καὶ μετὰ μικρὸν ἀναστρέψας αὖθις ηὐλίσατο πρὸς τὸ στρατόπεδον τὴν νύκτα. καὶ βασιλεὺς ὁμοίως εἰσήλαυνεν εἰς τὴν πόλιν μετὰ τῆς στρατιᾶς. Κράλης δὲ εἰς τὴν ὑστεραίαν διαβὰς τὸν Ἀξειὸν, τὰ περὶ Ἔδεσσαν κατέδραμε καὶ περιστρατοπεδευσάμενος ἐπολιόρκει. βασιλεύς τε ἐπεὶ μὴ ἐδόκει ἔτι μέλλειν ἐν Θεσσαλονίκῃ, (πράττειν γὰρ ἔτι ἀξιόλογον οὐδὲν ἐξῆν,) παρεσκευάζετο ὡς εἰς Βυζάντιον πλευσούμενος. μέλλων δὲ ἀπαίρειν ἤδη, πολλὰ βασιλεῖ τῷ νέῳ περὶ τοῦ μὴ πείθεσθαι παρῄνει Κράλῃ. ᾔδει γὰρ ἐπιχειρήσοντα ἐκεῖνον, αὖθις τὸν πρὸς ἀλλήλους πόλεμον κινεῖν Ῥωμαίων, ἵν' αὐτῷ ἐξῇ τὰς πόλεις ἔχειν, ἐκείνων ἀσχολουμένων πρὸς ἀλλήλους. [20]

3 160 καὶ συνεβούλευε φυλάττεσθαι τὴν ἐπιβουλήν. οὐδὲ γὰρ εἶναι περὶ μικρῶν, ἀλλὰ περὶ τῆς ἀρχῆς αὐτῆς ἐπιβουλεύειν, καὶ τὴν βλάβην οὐκ αὐτῷ μόνον, ἀλλὰ καὶ τοῖς ἄλλοις ἔσεσθαι Ῥωμαίοις· καίτοι γε ἐκεῖνον τῶν ὄντων τὰ ἐναντία καταψεύσεσθαι, φάσκοντα προθύμως συμμαχήσειν ἐπὶ τῷ τὴν πατρῴαν ἀνασώζεσθαι ἀρχὴν ἀφῃρημένην, καὶ ἀμύνεσθαι τὸν ἠδικηκότα, ἄδηλον ὂν, εἰ μὴ μόνον οὐκ ἀποδώσει τὴν ἀρχὴν, ὥσπερ ἐπαγγέλλεται, ἀλλὰ καὶ περὶ τῆς ζωῆς ἐπιβουλεύσει. τούτων δὲ αὐτῷ πείθεσθαι μηδὲν σαφῶς εἰδότα, ὡς ἀπάτῃ πάντα συσκευάζεται, ἵνα μᾶλλον ἀφέληται αὐτὸς τὴν οὖσαν ἀσφαλῶς. εἰ δ' ἀμελήσας τῶν παραινέσεων πείθοιτο αὐτῷ, τότε εἴσεται τὴν βλάβην, ὅτε μήτ' αὐτῷ μηδὲν, μήτε τοῖς ἄλλοις ὄφελος ἐκ τοῦ εἰδέναι ἔσται. οὐδὲ γὰρ οὐδὲ τοῖς πρωτοπλάστοις συνήνεγκε τοῦ παραδείσου ἐκβληθεῖσι τὸ εἰδέναι, ὡς ἠπάτηνται τῷ ὄφει. τοιαῦτα καὶ ἕτερ' ἄττα πλείω παραινέσας καὶ συνταξάμενος, ἀπέπλει, Ἀσάνην Ἀνδρόνικον τὸν κηδεστὴν μετὰ βασιλέως τοῦ νέου καταλιπών. Κράλης δὲ ὀλίγῳ ὕστερον ἢ ὁ βασιλεὺς ἀπῆρεν ἐκ Θεσσαλονίκης, Ἔδεσσαν ἐπόρθησεν, ἑλών τινων προδοσίᾳ τῶν τἀκείνου ἠρημένων. συντέθειτο γὰρ αὐτοῖς κλίμακας κατασκευασάμενον, ἐπὶ τειχομαχίαν ἥκειν, αὐτοὺς δὲ σημεῖον ἄραντας ἐπὶ τῶν τειχῶν, ἐφ' ὧν ἑστᾶσιν, ἥκειν ἐπ' ἐκείνους μετὰ τῶν κλιμάκων. ἄδειαν δὲ ἐκείνων παρεχομένων καὶ ἀμυνομένων τοὺς ἔνδον μᾶλλον, ῥᾳδίαν ἔσεσθαι τὴν ἅλωσιν. [20]

3 161 ὅπερ δὴ καὶ ἐγίνετο κατὰ τὸ σύνθημα. καταστάντων γὰρ εἰς τὴν τειχομαχίαν, τοῖς τε προδιδοῦσιν ἤρετο τὸ σημεῖον ἀπὸ τῶν τειχῶν, καὶ ὁ Κράλης τὰς κλίμακας ἔχων, ἐχώρει πρὸς ἐκείνους· ἀδείας δὲ τυχόντες, ἀνέβαινον ἐπὶ τὰ τείχη, καὶ καθῄρουν αὐτίκα προσπεσόντες, ἕως

ἐποίησαν καὶ ἵπποις βάσιμα· ἦν γὰρ οὐδὲ ὕψους ἔχοντα ἱκανῶς. Λυζικὸς δὲ ὁ τῆς πόλεως ἄρχων, αἰσθόμενος τὴν προδοσίαν, ἐχώρει μὲν ἐπ' ἐκείνους ἔχων τοὺς περὶ αὐτὸν, ἤνυε δὲ οὐδὲν, καθῃρημένων ἤδη τῶν τειχῶν· ἀλλ' ἀναστρέψας ἔσπευδεν ἐπὶ τὴν ἄκραν. καὶ οἱ ἐκ Βυζαντίου παρὰ βασιλέως καταλελειμμένοι διακόσιοι φρουροὶ, ὡς ᾐσθάνοντο τὴν πόλιν ἐαλωκυῖαν, ἀνεχώρουν καὶ αὐτοὶ ἐπὶ τὴν ἄκραν. Κράλης δὲ ἐπεὶ τὴν πόλιν εἶχεν, ἐχώρει ἐπ' ἐκείνους τεθορυβημένους ἔτι ἀπὸ τῆς τροπῆς. καθισταμένων τε πρὸς μάχην, ὁ Λυζικὸς ἐτέτρωτο βέλει τὸν μηρὸν, ἀμυνόμενος ἀπὸ τοῦ πύργου. ἦν γὰρ ἀνεπισκεύαστος ἡ ἄκρα. καὶ αὐτίκα ἡ φρουρὰ τὰ ὅπλα παρεδίδουν, πίστεις λαβόντες ἐπὶ τῷ μηδὲν ἀνήκεστον παθεῖν. ἐπεὶ δὲ καὶ ἡ ἄκρα εἴχετο, τὴν μὲν φρουρὰν καὶ Μακροδούκαν τὸν ἄρχοντα ἀπέλυεν ὁ Κράλης κατὰ τοὺς ὅρκους, τὰ ὅπλα μόνον ἀφελόμενος, Λυζικοῦ δὲ τὸ γένειον ἐπ' αὐτοῦ τίλλεσθαι ἐκέλευεν, οὐ μόνον διὰ τὸ ἀντιστῆναι τότε, ἀλλ' ὅτι καὶ βασιλέως Ἀνδρονίκου περιόντος, ἐν Καστορίᾳ μεγάλων αἴτιος αὐτῷ κατέστη συμφορῶν. ἔπειτα ἐκέλευε δεθέντα ἄγεσθαι τὴν ἐπὶ Σκοπιὰν, ὡς ἐκεῖ τῶν τολμημάτων δίκας δώσοντα. [20]

3 162 ὁ δὲ ὑπὸ τοῦ τραύματος ἀμεληθέντος καὶ τῆς ἄλλης δυσπραγίας ἐτελεύτησε μεταξὺ ἀγόμενος. Κράλης δὲ ἐφῆκε τὴν πόλιν τοῖς στρατιώταις διαρπάζειν· καὶ ἐπόρθησάν τε καὶ ἐνέπρησαν τὰς οἰκίας· τῶν οἰκητόρων δὲ τὸ μὲν πλεῖστον καὶ ἄριστον ἐξήλασε γυμνὸν μάλιστα ἐν ἀκμῇ τοῦ χειμῶνος, Ἰανουαρίου ἄρτι ἱσταμένου, καὶ διεσκεδάσθησαν κατὰ Βέῤῥοιαν καὶ τὰς ἄλλας πόλεις. ὁ δὲ ἄπορος παντάπασι καταλέλειπτο ἐκεῖ ἐπὶ τὰς ὑπολειπομένας καταφυγὼν οἰκίας. αὐτὸς δὲ ἐπεὶ καὶ χειμὼν ἐπεγένετο ἐξαίσιος, φρουρὰν ἐπὶ τὴν ἀκρόπολιν καταλιπὼν, πρὸς τὴν οἰκίαν ἀνεχώρει. ἐλέγετο δὲ ὑπὸ χειμῶνος στρατιώτας τε καὶ τῶν σκευοφόρων ὑποζυγίων πλεῖστα τῷ στρατοπέδῳ ἐναποθανεῖν. βασιλεὺς δὲ εἰς Βυζάντιον ἐπανελθὼν ἐπυνθάνετο περὶ τοῦ Μυσῶν βασιλέως Ἀλεξάνδρου, ὅτι πλεῖστα ἀνιῷτο διὰ τὴν τῶν βαρβάρων ἔφοδον ἀπροσδόκητον γεγενημένην καὶ μέγιστα κακώσασαν τὴν γῆν αὐτοῦ. ὑπώπτευε δὲ οὐκ ἀφ' ἑαυτῶν τοὺς βαρβάρους ἐπελθεῖν, ἀλλὰ βασιλέως πέμψαντος, ὃ καὶ μάλιστα ἠνία, ὅτι, μηδεμίαν πρόφασιν αὐτοῦ πρὸς τὸν πόλεμον παρεσχημένου βασιλεῖ, παρασπονδῶν αὐτὸς κακῶς ποιεῖ τὴν χώραν. πέμψας δὲ ὁ βασιλεὺς πρεσβείαν πρὸς αὐτὸν, πρῶτα μὲν περὶ τῶν βαρβάρων τῆς ἐφόδου ἀπελογεῖτο, μὴ κατὰ γνώμην ἐκείνῳ γεγενῆσθαι, ἀλλ' αὐτοὺς ἀφ' ἑαυτῶν μεγάλα δυναμένους, ἅττα ἂν δοκῇ ποιεῖν. τοῦτο δὲ συμβαίνειν οὐ μᾶλλον διὰ τὴν ἐκείνων δύναμιν, ἢ διὰ τὸ μὴ αὐτοὺς ἐθέλειν τῆς πλεονεξίας ἀποστάντας καὶ τῶν ἀλλοτρίων τῆς ἐπιθυμίας, ἀλλήλοις ὅση δύναμις ἐπιμαχεῖν καὶ ἀνείργειν τοὺς βαρβάρους, ῥᾷστα δυναμένους, εἰ συμφωνήσαιεν. [20]

3 163 εἰ γὰρ ἐβούλετο Κράλης τὰς ἡρπασμένας πόλεις ἀποδιδόναι καὶ τὰ δίκαια ποιεῖν κατὰ τοὺς ὅρκους, οὐκ ἂν αὐτῷ ἐδέησε βαρβάρων πρὸς τὴν συμμαχίαν πάντων μάλιστα ἀπεχθῶς πρὸς αὐτοὺς διακειμένῳ, ἀνάγκῃ δὲ χρωμένῳ, ἵνα τά τε ὄντα διασώζοι καὶ τὰ ἡρπασμένα, εἰ δύναιτο, ἀνακαλοῖτο. πρὸς μὲν οὖν ἐκεῖνον ποιήσειν, ὅ,τι ἂν δοκῇ μάλιστα λυσιτελεῖν, αὐτῷ δὲ συμβουλεύειν, συναίρεσθαι αὐτῷ πρὸς τὸ κωλύειν τοὺς βαρβάρους ἀδεῶς, ὅταν δοκῇ, πρὸς τὴν Θρᾴκην περαιοῦσθαι. τοῦτο δ' ἂν γένοιτο, εἰ χρήματα παρέχοιτο τακτὰ πρὸς τῶν τριηρέων τὴν παρασκευήν. αὐτὸν μὲν γὰρ εὐπορεῖν τῆς ναυτικῆς δυνάμεως, δεῖσθαι δὲ χρημάτων, ἐξ ὧν ἂν τραφείη· ὧν εἰ καὶ αὐτὸς παράσχοιτο ὅσα δυνατὰ, τριήρεις ἐπιστήσει κατὰ τὸν Ἑλλήσποντον, αἳ παραπλέουσαι οὐκ ἐάσουσι τοὺς βαρβάρους περαιουμένους βλάπτειν. καὶ τοῦτον τὸν τρόπον τῆς ἐκείνων ἀπηλλάχθαι περιέσται βλάβης. ἂν δὲ μὴ Κράλης ἐθέλῃ ποιεῖν τὰ δίκαια πρὸς ἀμφοτέρους, (εἰδέναι γὰρ καὶ αὐτὸν ὑπ' ἐκείνου ἀδικούμενον οὐ μικρά τινα,) εἰ μὴ ἡ παροῦσα δύναμις ἐξαρκεῖ ἐκεῖνον καταναγκάζειν τὰ δέοντα ποιεῖν, τότε χρήσεσθαι καὶ τοῖς βαρβάροις τοσούτους ὑπ' αὐτῶν περαιουμένους, ὅσους ἄγεσθαι οἷ ἂν ἐθέλωσι, καὶ μὴ πολλοὺς ὄντας, ἀφοβίᾳ τρέπεσθαι ἐπὶ σφᾶς καὶ διαφθείρειν. [20]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

3 164 τοιαῦτα μὲν ὁ βασιλεὺς πρὸς τὸν Ἀλέξανδρον ἐπρεσβεύετο. καὶ ἐδόκει κἀκείνῳ ἡ βασιλέως παραίνεσις λυσιτελεῖν, καὶ συνετίθετο πρὸς τὴν πρᾶξιν· συμβὰν δέ τι καὶ τοιοῦτον ἐπέῤῥωσε μᾶλλον πρὸς τὸ ἔργον. ἑορτῆς γάρ τινος δημοσίας ἀγομένης ἐν Τρινόβῳ τοῖς αὐτοῦ βασιλείοις, καὶ ὄχλου πλείστου συνεῤῥυηκότος, ἐπεὶ παρῆλθε δι' ἐκείνων, καὶ τῶν βασιλέως ἑπομένων πρέσβεων, τῇ σφετέρᾳ διαλέκτῳ πάντες ἐπεβόων, ὡς δεῖ Καντακουζηνῷ τῷ βασιλεῖ πάντα ποιεῖν τὰ κατὰ γνώμην καὶ τὴν εἰρήνην ἐκ παντὸς τρόπου τὴν πρὸς αὐτὸν αἱρεῖσθαι, ἵνα μὴ ἐκπολεμωθέντος, ἀπόλωνται αὐτοὶ διαφθαρέντες ὑπὸ τῶν βαρβάρων, καὶ ἐδέοντο πείθεσθαι αὐτοῖς. Ἀλεξάνδρου δὲ τῶν πρέσβεων πυνθανομένου, εἰ τῶν εἰρημένων ἐπαΐουσιν, ἐπεὶ ἀγνοεῖν ἐκεῖνοι ἔφασαν, ἡρμήνευεν αὐτὸς ἑλληνιστὶ, καὶ τεκμήριον ἐποιεῖτο μέγιστον τοῦ ὄχλου τὴν ἀξίωσιν τοῦ σφίσι μάλιστα λυσιτελεῖν τὴν πρᾶξιν, ὅτι καὶ μηδ' ὑφ' ἑνὸς ἐρωτώμενοι, τὰ σφίσι συμβουλεύουσι συνοίσοντα. αὐτίκα τε ἐπιψηφισάμενος, καὶ αὐτὸς ἐξέπεμπε τοὺς πρέσβεις. βασιλεὺς δὲ πυθόμενος, ὡς προθύμως δέξαιτο Ἀλέξανδρος τὴν παραίνεσιν καὶ βούλοιτο παρέχεσθαι χρήματα πρὸς τὴν παρασκευὴν, ὑπερήσθη τε, δυνήσεσθαι νομίσας ἀπείργειν τοὺς βαρβάρους τοῦ μὴ Ῥωμαίους καὶ Μυσοὺς ἐπιόντας διαφθείρειν, καὶ ὥρμητο παρασκευάζεσθαι ἤδη πρὸς τὸ ναυτικὸν συστήσασθαι ἐπὶ κωλύσει τῶν βαρβάρων. [20]

3 165 τό,τε νεώριον τὸ πρὸς τῷ Ἑπτασκάλῳ ἐν ἐκείνῳ τῷ ἔτει ἐξεκάθηρεν, ὑπὸ πολλῶν ἐτῶν ἰλύος ἐπιγενομένης προσχωσθὲν καὶ μὴ δυνάμενον εὐπετῶς εἰσδέχεσθαι ὁλκάδα φόρτον ἄγουσαν, μέγα ἔργον καὶ πλεῖστα λυσιτελοῦν τῇ πόλει, καὶ πολλῷ πόνῳ καὶ ἀναλώμασι κατορθῶσαι δυνηθείς. ἔληγον δὲ εἰς οὐδὲν αἱ τοῦ Μυσοῦ ἐπαγγελίαι. ὕστερον γὰρ ὀλίγῳ πρὸς βασιλέα πρεσβείαν πέμψας, ἀπηγόρευε τὴν εἰσφοράν. Κράλην γὰρ ἔφασκε πυθόμενον, οὐ μετρίως αὐτοῦ κατηγορεῖν, ὅτι φόρους Ῥωμαίοις παρέχειν ὑποσταίη ἑκοντὶ, καὶ ἃ μὴ τοῖς ὅπλοις δύναιτο βιάζεσθαι βασιλεὺς ὁ Καντακουζηνὸς, ταῦτα πείσειε παραγαγών. δι' ἃ μηδ' αὐτὸν τὰ ὑπεσχημένα δύνασθαι ποιεῖν, τοσαύτην αἰσχύνην προστριβόμενα αὐτῷ καὶ γένει. ἐφ' οἷς οὐ μετρίως ἀγανακτῶν ὁ βασιλεὺς, ἐπεχείρει πείθειν, ὡς μᾶλλον αὐτῷ λυσιτελοίη ἡ αὐτοῦ παραίνεσις, ἢ Κράλη. φθονοῦντα γὰρ ἐκεῖνον καὶ ἐπιβουλεύοντα ἀεὶ ταῦτα πειρᾶσθαι διαλύειν, ἃ πολλὴν αὐτῷ καὶ τοῖς ὑπηκόοις οἴσει τὴν ὠφέλειαν. οὐ γὰρ παρέχειν φόρους, ὥσπερ ἐκεῖνος ἀπατᾷ, ἀλλ' ἀναλίσκειν εἰς δέον ὑπὲρ τῆς ἀρχῆς, πλὴν εἰ μὴ καὶ τὰ τοῖς σφετέροις στρατιώταις παρεχόμενα φόρους ὀνομάσει. ἀλλ' ἦν οὐδὲν ἀξιόχρεων τῶν λεγομένων εἰς πειθώ. βασιλεὺς δὲ τὴν ἐσομένην αὐτῷ φθορὰν ὑπὸ τῶν βαρβάρων προειπὼν καὶ διαμαρτυράμενος, ὡς τότε τῆς νυνὶ μεταμελήσει ἀβουλίας, ὅτε μηδὲν ἀπόνασθαι ἐξέσται τῆς μεταμελείας, ἐπέπαυτο πρὸς τὴν ἐπιχείρησιν καὶ αὐτός. [20]

3 166 ἃ εἰς ὕστερον ἅπαντα ἐξέβαινε. κγ'. Μετὰ τοῦτο δὲ ὁ βασιλεὺς σύγχυσιν δεινὴν καὶ ἀταξίαν ὁρῶν ἐν τῇ ἐκκλησίᾳ γινομένην, καὶ τῆς κοινωνίας τῶν λοιπῶν ἀφισταμένους τοὺς τὰ Βαρλαὰμ καὶ Ἀκινδύνου ἡρημένους, πολλούς τε τούτοις συναπαγομένους, διαστροφήν τε τῶν ὀρθῶν δογμάτων ἐγκαλοῦντας τῇ ἐκκλησίᾳ καὶ τὴν δίκην ἐπιβωμένους καὶ παρενοχλοῦντας ὁσημέραι καὶ δεομένους ἀντικαθίστασθαι πρὸς τὴν ἐξέτασιν, Καλλίστου τε ὁμοίως τοῦ πατριάρχου καὶ τῶν ἄλλων ἀρχιερέων καὶ τῶν λογάδων τῶν μοναχῶν, ὅσοι τοῖς ἀποσχισταῖς ἐναντία ἐφρόνουν ἐν τοῖς δόγμασι, δεομένων καὶ αὐτῶν ὁμοίως σύνοδον συγκροτεῖν καὶ τῶν δογμάτων τὴν ἐξέτασιν ποιεῖσθαι, δίκαιον εἶναι οἰηθεὶς μὴ τοιαῦτα γινόμενα περιορᾷν, ἀλλὰ τῆς κατὰ τὴν ἐκκλησίαν εἰρήνης προνοεῖσθαι ὅση δύναμις, ἐπέτρεπε τὴν σύνοδον γενέσθαι. καὶ τούς τε ἄλλους μετεπέμπετο ἀρχιερέας γράμμασι καὶ τὸν Θεσσαλονίκης Γρηγόριον τὸν Παλαμᾶν, καίτοι βασιλεὺς εὐθὺς ἐξαρχῆς μετὰ τὸ πεπαῦσθαι τὸν συγγενικὸν πόλεμον καὶ πᾶσαν ὑπ' αὐτῷ τὴν Ῥωμαίων ἡγεμονίαν γεγενῆσθαι, ἀναγκαῖον οἰηθεὶς ὥσπερ τὰς κοσμικὰς διαφορὰς, οὕτω δὴ καὶ τὰς τῆς ἐκκλησίας παύεσθαι, τὸν Ἀκίνδυνον Γρηγόριον ἔτι περιόντα,

ὅστις τῆς τοιαύτης διαφορᾶς μετὰ Βαρλαὰμ μάλιστα προέστη, οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις μετεπέμψατο, καὶ ἐκέλευε τῶν ἀντικαθισταμένων ἀναφανδὸν κατηγορεῖν, εἴ τι ἔχοι. [20]

3 167 μάλιστα γὰρ αὐτὸν, εἰς λόγους ἀλλήλοις ἐλθόντων τῶν μερῶν, βούλεσθαι εἰδέναι τἀληθὲς, ἐκ τῶν πρὸς ἀλλήλους ἀντιλογιῶν γινομένου ἐναργοῦς. Ἀκίνδυνος γὰρ αὐτὸς μὲν παῤῥησιάζεσθαι οὐκ ἐθάῤῥει, ἑτέρους δέ τινας προσπέμπων τοὺς αὐτῷ φρονοῦντας ἴσα, βασιλεῖ δι' ὄχλου γίνεσθαι παρέπειθε, καὶ τὴν δίκην ἐξαιτεῖσθαι, ὡς ἀδικουμένους καὶ διαστροφὴν ἐγκαλουμένους τῶν ὀρθῶν δογμάτων, τῶν περὶ Παλαμᾶν μᾶλλον τοιούτων ὄντων καὶ δικαίων ἐξωθεῖσθαι. δι' ἃ ὁ βασιλεὺς Ἀκινδύνῳ μᾶλλον παῤῥησίας μετεδίδου, καὶ ἐκέλευε μὴ αὐτὸν κρυπτόμενον δι' ἑτέρων τὴν διαφορὰν ἀνακινεῖν, ἀλλ' αὐτὸν ἐν φανερῷ τοῖς ἐναντίοις ἀντικαταστάντα, ἢ νικᾷν, ἂν φαίνηται μᾶλλον αὐτὸς εὐσεβέστερα πρεσβεύων, ἢ ἡττώμενος διορθοῦσθαι, καὶ μὴ ἀναισχυντεῖν, ἐφ' οἷς αὐτὸς ἀδικεῖ μᾶλλον ἑτέροις τὴν παρατροπὴν τῆς ἀληθείας ἐγκαλῶν. Ἀκίνδυνος δὲ, ἀπηγγελμένων αὐτῷ τῶν βασιλέως λόγων, μάλιστα μὲν ἔφασκε βούλεσθαι ἀντικαθίστασθαι τοῖς ἀντιλέγουσι, δεδοικέναι δὲ, μὴ φανερὸς γενόμενος δίκας ἀπαιτῆται, ὧν καὶ αὐτὸς παρὰ τὸν τοῦ πολέμου χρόνον τῷ πατριάρχῃ Ἰωάννῃ συναιρόμενος προσέκρουσε πρὸς βασιλέα. καὶ ὁ βασιλεὺς αὐτίκα θέσπισμα ἐξετίθει, ὥστε μηδεμίαν Ἀκίνδυνον βλάβην ὑφορᾶσθαι, ἀλλὰ παῤῥησίᾳ περὶ τῶν δογμάτων λέγειν ὅσα οἴεται εἶναι ἀληθῆ. ὁ δὲ καὶ μετὰ τὴν τοσαύτην ἄδειαν μᾶλλον ἀφανὴς ἦν καὶ τὸν ζόφον ᾑρημένος ἄχρι τελευτῆς. [20]

3 168 καὶ μετὰ τὴν ἐκείνου τελευτὴν οἵ τε πρότερον τὰ ἴσα ᾑρημένοι, διαδεξάμενοι τὴν διαφορὰν, ἔτι τε ὁ τῆς Ἐφεσίων πρόεδρος καὶ ἄλλοι, ὅσοι αἱρεθήσεσθαι ἐλπίζοντες ἐπὶ τῶν πατριαρχικῶν θρόνων ἠγανάκτουν διὰ τὴν ἀποτυχίαν, προσθέμενοι ἐκείνοις, καίτοι Βαρλαάμ τε καταψηφισάμενοι τὴν ἀρχὴν καὶ ὕστερον κατὰ Ἰωάννου τοῦ πατριάρχου καὶ Ἀκινδύνου πνεύσαντες σφοδρὸν, καὶ ψήφοις ἁπάσαις ἐκεῖνον καθελόντες τῆς ἀρχῆς δι' οὐδὲν ἕτερον, ἢ τὸ τὰ Βαρλαὰμ καὶ Ἀκινδύνου πεπρεσβευκέναι, ἐθορύβουν τε ὕστερον καὶ τῆς ἐκκλησίας κατηγόρουν, ὡς παρὰ τῶν θεολόγων τὴν παράδοσιν περὶ τῶν τῆς πίστεως δογμάτων καὶ πρεσβευούσης καὶ τοὺς ἄλλους διδασκούσης. δι' ἃ ὁ βασιλεὺς ᾠήθη δεῖν σύνοδον ἀθροίσας, ἐξέτασιν ποιεῖσθαι περὶ τῶν δογμάτων. ἐπεὶ δὲ συνῆλθον οἱ ἑκασταχόθεν προστάται τῶν ἐκκλησιῶν, ἀμφοτέρων τῶν μερῶν γενομένων ἐν βασιλείοις τοῖς τῶν Βλαχερνῶν λεγομένοις, καὶ βασιλέως τοῦ Καντακουζηνοῦ παρόντος καὶ τῶν ἐν τέλει Ῥωμαίων τῶν μάλιστα ἐπιφανῶν, ἐπὶ τέσσαρσιν ἡμέραις τῶν ἀμφισβητουμένων τὴν ἐξέτασιν ἐποιήσαντο. ὅσα μὲν οὖν ἀλλήλοις ἀντεῖπον Παλαμᾶς τε ὁ Θεσσαλονίκης (πρὸς ἐκεῖνον γὰρ μάλιστα ὁ λόγος ἦν,) καὶ οἱ τὰ Ἀκινδύνου ᾑρημένοι, ὧν ἦν κεφάλαιον ὅ,τε Ἐφέσου καὶ ὁ Γάννου μητροπολῖται, καὶ Γρηγορᾶς καὶ Δεξιὸς, οὐκ ἀναγκαῖον διηγεῖσθαι. εἰ γάρ τῳ τὰ τοιαῦτα προὔργου μαθεῖν, τῷ περὶ τούτων γεγραμμένῳ τόμῳ κατὰ μέρος ἅπαντα διηγουμένῳ ἐντυχόντι, πάντα ἀκριβῶς εἰδέναι περιέσται. [20]

3 169 ἐκεῖνο δὲ μόνον ἀναγκαῖον εἶναι ἡγησάμεθα προσκεῖσθαι τῇ ἱστορίᾳ, ὡς ἑάλωσαν ἐπ' αὐτοφώρῳ οἱ τὰ Ἀκινδύνου ᾑρημένοι τὰς ἴσας δόξας Βαρλαὰμ περὶ τῶν δογμάτων ἔχοντες τῆς ἐκκλησίας. διὸ τῶν μὲν ἀρχιερέων ἡ σύνοδος Ἐφέσου καὶ Γάννου καθαίρεσιν κατέγνω, Βαρλαάμ τε καὶ Ἀκινδύνου διαῤῥήδην χωρισμὸν ἀπὸ τοῦ λοιποῦ τῆς ἐκκλησίας σώματος, ὡς μέλη νενοσηκότα ἀνιάτως καὶ μηδεμίαν μετὰ τελευτὴν διόρθωσιν ἐπιδεχόμενα, τῶν δ' ἄλλων εἰ μέν τις ἐπιστρέψας σύνθηται τοῖς ὑγιαίνουσι τῆς ἐκκλησίας δόγμασιν, ἐκείνων πολλὴν ἀσέβειαν καταγνοὺς, δέχεσθαι τὴν ἐκκλησίαν καὶ ὡς οἰκείου μέλους προνοεῖν, μηδὲν μήτε ἐγκαλοῦσαν τῶν προτέρων, μήτε ὀνειδίζουσαν· εἰ δέ τις μένοι διὰ τέλους ἀδιόρθωτος, τοῖς αὐτοῖς ἐπιτιμίοις ὑποκεῖσθαι Βαρλαὰμ καὶ Ἀκινδύνῳ. καὶ ἐπὶ τούτοις ἐγένετο τόμος τρίτος ἐπὶ δυσὶ τοῖς πρότερον γεγενημένοις. ὅ,τε γὰρ ἐπὶ καθαιρέσει πατριάρχου τοῦ Ἰωάννου

γεγενημένος, ὃν καὶ ὁ τῶν Ἱεροσολύμων πατριάρχης ὑπογέγραφε, πολλὴν ἀσέβειαν Βαρλαὰμ καὶ Ἀκινδύνου κατηγορεῖ καὶ τῶν ὀρθῶν δογμάτων διαστροφὴν, δι' ἃ καὶ πατριάρχης ὁ Ἰωάννης καθῃρέθη, ὡς ταὐτὰ φρονήσας Βαρλαὰμ, καὶ ὁ πρώτως ἐπὶ τῇ διαγνώσει βασιλέως Ἀνδρονίκου τοῦ νέου γεγενημένος, ἡνίκα καὶ ὁ πατριάρχης Ἰωάννης τῆς συνόδου προστάτης ἦν, ὃν καὶ αὐτὸς ὑπεσημήνατο χερσὶν οἰκείαις, οὐ μόνον Βαρλαὰμ καὶ Ἀκινδύνου καταψηφίζεται, ὡς ἀδίκως κατηγορηκότων τῶν μοναχῶν, ἀλλὰ καὶ εἴ τις, φησὶν, ἕτερός τι τῶν ὑπὸ τοῦ Βαρλαὰμ βλασφήμως καὶ κακοδόξως κατὰ τῶν μοναχῶν, μᾶλλον δὲ κατὰ τῆς ἐκκλησίας αὐτῆς λαληθέντων ἢ συγγραφέντων φανείη πάλιν τῶν μοναχῶν κατηγορῶν, ἢ ὅλως ἐν τοῖς τοιούτοις καθαπτόμενος, τῇ αὐτῇ καταδίκῃ παρὰ τῆς ἡμῶν μετριότητος καθυποβάλλεται, καὶ ἀποκήρυκτος ἔσται καὶ αὐτὸς καὶ ἀποτετμημένος καὶ τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας καὶ τοῦ ὀρθοδόξου τῶν Χριστιανῶν συστήματος. [10]

3 170 οὕτω μὲν καὶ ὁ τρίτος τόμος ἀκόλουθος τοῖς δυσὶ προτέροις ἐγεγόνει, καὶ τὰ αὐτὰ κατεψηφίσατο τῶν τὰ Βαρλαὰμ καὶ Ἀκινδύνου ἠρημένων. ὃν πατριάρχης τε ὁ Κάλλιστος μετὰ τῶν ἀρχιερέων ὑπογέγραφε καὶ βασιλεὺς πρὸ αὐτῶν ὁ Καντακουζηνός· ὕστερον δὲ καὶ ὁ Παλαιολόγος Ἰωάννης βασιλεὺς ὁ νέος σύμψηφος γενόμενος τῇ ἐκκλησίᾳ, ἐρυθροῖς καὶ αὐτὸς γράμμασιν ὑπεσημήνατο. ἐπεὶ δὲ πάντα εἶχε τέλος τὰ περὶ τὴν ἐξέτασιν τῶν δογμάτων, καὶ ὁ τόμος οὐδενὸς ἐδεῖτο ἔτι, Καλλίστου τοῦ πατριάρχου ἐν τῷ νεῷ τῆς τοῦ θεοῦ σοφίας τὴν θείαν ἐπιτελοῦντος μυσταγωγίαν μετὰ τῶν λοιπῶν ἀρχιερέων, καὶ βασιλεὺς ὁ Καντακουζηνὸς πᾶσαν σκευὴν βασιλικὴν ἐνδὺς καὶ τῶν ἀδύτων ἐντὸς γενόμενος, πατριάρχῃ καὶ τῇ λοιπῇ τῶν ἀρχιερέων ἐκκλησίᾳ τὸν τόμον ἐπιδέδωκεν. [20]

3 171 μετὰ τοῦτο δὲ οἱ τὰ Βαρλαὰμ καὶ Ἀκινδύνου ἠρημένοι ὑπὸ βασιλέως καὶ πατριάρχου τοῦ Καλλίστου ἐκελεύσθησαν μηδὲν περὶ δογμάτων μήτε λέγειν, μήτε γράφειν, ἵνα μὴ διαφθείροιεν τοὺς ἀκεραιοτέρους ἐξαπατῶντες. οἱ μὲν οὖν αὐτῶν ἐπείθοντο καὶ ἦγον ἡσυχίαν, τοῖς δὲ οὐκ ἤρκει σιωπᾷν, ἀλλὰ καὶ διαλεγόμενοι πολλοὺς προσδιέφθειρον καὶ γράφοντες. διὸ καὶ δεσμωτήριον ὑπὸ βασιλέως κατεκρίθησαν καὶ ᾠκησαν ἐπὶ χρόνον· ὅσοι δὲ αὐτῶν ἦσαν ἐπιφανέστεροι, ἐν ταῖς ἰδίαις οἰκίαις εἴργοντο μηδέσιν ἔρχεσθαι εἰς λόγους. καὶ οὕτω δείσαντες ἐπαύοντο τοῦ κακουργεῖν· εἰ δέ τινες αὐτῶν καὶ μετὰ τὸ περιῃρῆσθαι τὴν τοῦ πᾶσιν ἐντυγχάνειν ἄδειαν ἔγραφόν τισιν, ἢ διελέγοντο περὶ τῶν δογμάτων, ἀλλὰ κρύφα καὶ πολλὴν τοῦ λανθάνειν πρόνοιαν ποιούμενοι. κδ'. Γρηγορᾶς δὲ ὁ Νικηφόρος οὔτε πρότερον, οὔθ' ὕστερον ἐπέπαυτο, ἀλλὰ πρῶτα μὲν Τραπεζουντίοις ἔγραφε τοῖς ἐπιτηδείοις καὶ τῆς Βυζαντίων ἐκκλησίας παρατροπὴν τῶν ὀρθῶν δογμάτων κατηγόρει, ἐδίδασκέ τε ἀδεῶς, ὡς χρὴ ταύτης ἀποτέμνεσθαι νενοσηκυίας· ἔπειτα δὲ καὶ τοῖς ἐν Κύπρῳ φίλοις, τῶν ἄλλων δὲ μάλιστα Λαπίθῃ Γεωργίῳ τινὶ, πρὸς ὃν οὐ κοινῇ τῆς ἐκκλησίας μόνον κατηγόρει, ἀλλὰ καὶ ἰδίᾳ τῶν προεστηκότων. ἔγραφε δέ ποτε πρὸς οὐδένα ὑγιὲς οὐδὲν, ἀλλ' ἐξεπίτηδες ψεύδη πλάττων καὶ συκοφαντίας, τὰ μήτε ὄντα, μήτε λαληθέντα περὶ τῶν δογμάτων κατηγόρει. ἐπεὶ δὲ τὰ τοιαῦτα τολμώμενα λανθάνειν οὐκ ἐνῆν, βασιλεῖ τε ὁμοίως καὶ πατριάρχῃ δεινὸν ἐδόκει τὸ μὴ μόνον αὐτὸν ἑαυτῷ, ἀλλὰ καὶ πολλοῖς ἑτέροις τῆς ἴσης ἀπωλείας αἴτιον εἶναι, τοῖς ἐν τῇ μονῇ τῆς ἀχωρήτου χώρας τοῦ σωτῆρος Χριστοῦ προσαγορευομένης προσέταττον μοναχοῖς, ἐπεὶ καὶ Γρηγορᾶς αὐτοῖς χρόνον συχνὸν συνῆν, μηδένα πρὸς αὐτὸν φοιτᾷν ἐᾷν, κωλύειν τε ὁπόση δύναμις, μὴ τοῖς ἔξω γράμματα πέμπειν καὶ διαφθείρειν τοὺς πολλοὺς ἐξαπατῶντα. [5]

3 172 ἐπεὶ δὲ ἐκωλύετο τὰ κατὰ γνώμην πράττειν, οὐχ ἧττον κατὰ βασιλέως, ἢ τῆς ἐκκλησίας ἐκμανεὶς, ἔγραφε κατ' ἀμφοτέρων. καὶ τῆς μὲν κατὰ τῆς ἐκκλησίας ὕβρεως τὴν τοῦ γενομένου κατὰ τὴν τρίτην σύνοδον τόμου περὶ τῆς Ἀκινδύνου καὶ Παλαμᾶ διαφορᾶς προεστήσατο κατηγορίαν, μεγάλα μὲν ἀεὶ ἐπαγγελλόμενος καὶ δεινὰ ἀπελέγξειν καταψευδόμενον καὶ τοῖς

θεολόγοις ἐναντία περιέχοντα, οὐδέποτε δὲ οὐδὲν τῶν ἐπηγγελμένων ἐκπληρῶσαι δυνηθείς. ὅταν γὰρ ἐπ' αὐτὴν μάλιστα τὴν ἀκμὴν τῶν ἀποδείξεων τοῦ ζητουμένου καταστῇ, ὥσπερ ἐκλαθόμενος τῶν ἐν χερσὶν, ἐφ' ἕτερά τινα μὴ προσήκοντα ἐξάγεται, ἤ τινων ὕβρεις καὶ συκοφαντίας, (ταῦτα γὰρ μάλιστα αὐτῷ φίλα κατὰ πᾶσαν συγγραφὴν,) ἢ διηγήματά τινα μηδὲν προσήκοντα, καὶ παραπαίει εἰκῇ καὶ μάτην λογομαχῶν καὶ μηδὲν καίριον φθεγγόμενος. [20]

3 173 βασιλέως δὲ ἐπεὶ μὴ αὐτοπροσώπως εἶχε καταφέρεσθαι, τῶν τε Παλαιολόγων βασιλέων πρὸς ἀλλήλους πόλεμον ἐνστησάμενος ὑπόθεσιν τοῦ λόγου, καὶ τὰ μὲν ἀγνοίᾳ τῶν πραγμάτων, τὰ δ' εὐνοίᾳ τὴν ἀλήθειαν παραφθείρας, καὶ κατὰ πᾶσαν ἐξουσίαν ὥσπερ ἐν πλάσματι καταψευσάμενος, ἔπειτα καὶ καθ' εἱρμὸν ἐπὶ τὸν ἐφ' ἡμῶν πρὸς Καντακουζηνὸν τὸν βασιλέα πόλεμον κεκινημένον προϊὼν, πολλὰ μὲν αὐτοῦ καὶ ἄλλα κατηγορεῖ, ἀνδραποδισμοὺς καὶ φόνους καὶ σφαγὰς καὶ λεηλασίας καὶ ὅσα δυσχερῆ ἐν τῷ τοῦ πολέμου χρόνῳ συμπέπτωκε Ῥωμαίοις, αὐτῷ προσάπτων, καὶ διὰ φιλαρχίαν καὶ τιμῆς βασιλικῆς ἐπιθυμίαν τῶν δεινῶν ἐκείνων οὐδένα λέγων πεποιῆσθαι λόγον. ὃ δὲ μάλιστα αὐτοῦ καθάπτεται καὶ ὡς ἐπιπλεῖστον διατρίβει, ἐκεῖνό ἐστιν, ὅτι, περιόντος τε ἔτι βασιλέως Ἀνδρονίκου, τῆς Ῥωμαίων βασιλείας ἐρῶν ὑπερφυῶς καὶ μὴ δυνάμενος τυχεῖν, ἐπὶ τοὺς ἐν Ἄθῳ μοναχοὺς δοκοῦντας ἀρετῆς ἀντιποιεῖσθαι καὶ μυστήρια θεοῦ εἰδέναι ἐφοίτησε, πευσόμενος περὶ τῶν μελλόντων, καὶ εἰ πρὸς αὐτὸν ἡ βασιλεία Ῥωμαίων ἥξει. ἔπειτα ἐπὶ τοὺς μοναχοὺς τραπόμενος, πολλὰ καὶ δεινὰ κατηγορεῖ, οὐ μόνον Μασσαλιανοὺς καὶ περὶ τὰ ὀρθὰ δόγματα διεφθαρμένους λέγων, ἀλλὰ καὶ περὶ πότους καὶ οἰνοφλυγίας ἀκρατεῖς· „ἐσθίουσι γάρ" φησιν „ὑπὲρ χοίρους, καὶ πίνουσιν ὑπὲρ ἐλέφαντας. ἐπειδὰν δὲ ἀνανήψωσι τῆς πολλῆς μέθης, μυστήρια θεοῦ εἰδέναι διατείνονται καὶ περὶ μελλόντων προφητεύουσι. [20]

3 174 " καὶ ἕτερ' ἄττα κατηγόρηκεν ἐκείνων, ὧν πᾶς τις ἂν ἀπέσχετο πλὴν αὐτοῦ. ἔπειτα διηγησάμενος τὰ κατὰ τὸν πόλεμον μάλιστα φιλοψευδῶς, καὶ γενόμενος ἐν ᾧ τὰ κατὰ τῆς ἐκκλησίας τὴν διαφορὰν διηγεῖσθαι ἔμελλε, κακοδοξίαν βασιλέως κατηγορεῖ καὶ τῶν πατρίων ἀθέτησιν δογμάτων. δι' ἃ οὐδὲ τὴν δίκην οἴεται δεῖν στέργειν τὴν παρ' ἐκείνου δικασθεῖσαν, ὡς ἐκδεδιῃτημένην διὰ τὸ ἐκεῖνον Παλαμᾷ προσκεῖσθαι καὶ τὴν ἴσην ἐν τοῖς δόγμασι διαστροφὴν ᾐρῆσθαι. ἃ ἐπεὶ ἀνέγνω βασιλεὺς, (ἦκε γὰρ αὐτῷ εἰς χεῖρας,) περὶ μὲν τοῦ τόμου τῆς κατηγορίας οὐδένα ποιήσεσθαι λόγον εἶπεν, ὑπὲρ ἑαυτοῦ ἀπολογεῖσθαι δυναμένου μάλιστα. εἰ γὰρ ἐκείνου τῆς ὀρθότητος καὶ τῆς ἀληθείας σαφὴς ἀπόδειξις τὸ τοῖς ἁγίοις σύμφωνα λέγειν θεολόγοις καὶ τοῖς ὑπὸ τῶν θείων πρότερον συνόδων περὶ τῆς ὀρθῆς πίστεως κεκυρωμένοις, τοῦτο δ' ἐκείνῳ σπουδάζεται διαπαντὸς καὶ πολλὴν τούτου τοῦ μέρους πρόνοιαν ποιεῖται, ἑτέρας ἀποδείξεως οὐκ ἂν δεηθείη περὶ ἑαυτοῦ, τῆς προσούσης ἐξαρκούσης. ἀξιόχρεως δ' ἂν εἴη καὶ ὁ κατηγορῶν αὐτὸς, ἐν ἄλλοις αὐτοῦ συγγράμμασι τὰ Βαρλαὰμ διεφθορότα δόγματα κακίζων καὶ ὅλην γλῶτταν ἐπαφιεὶς, ἡνίκα βασιλέα τὸν νέον Ἀνδρόνικον τετελευτηκότα μονῳδῶν, πρὸς τοῖς ἄλλοις ἐγκωμίοις καὶ τοῦτο τέθεικεν· „οἱ τῆς ἐκκλησίας ἱεροὶ προστάται, ζητήσατε τὸν διάπυρον σπουδαστὴν καὶ συλλήπτορα τῶν δογμάτων, οἱ ἐν ὄρεσι καὶ σπηλαίοις, τὸν πρόβολον καὶ προασπιστὴν τῆς ὑμετέρας εὐκλείας καὶ δόξης, οἱ τῶν θείων ἀσκητηρίων ἡγήτορες, τὴν τῆς ὑμετέρας ἰσχύος ἀκρόπολιν. [20]

3 175 μνήσθητε τοὺς ὑπὲρ ὑμῶν τελευταίους ἀγῶνας αὐτοῦ, πῶς, πεπονηκότος ἤδη καθάπαξ τοῦ σώματος ἔκ τε τῶν πολεμικῶν τραυμάτων, ἔκ τε τῶν ἰατρικῶν καυτήρων, καὶ πρὸς θάνατον ἐντεῦθεν ἐλαυνόμενος, κατεφρόνησέ τε τοῦ σώματος, καὶ τῆς ἑαυτοῦ ζωῆς ἀφειδήσας, προθύμως ἐπὶ τὸ βῆμα καὶ τοὺς ἱεροφάντας ἦκε, καὶ οὐ πρότερον ἐκεῖθεν ἀπήλλαξε, πρὶν τοὺς ὑμῶν ὑβριστὰς καὶ τὰ ἐκείνων διεφθορότα δόγματα καὶ παρέγγραπτα τῆς ἐκκλησίας ναυάγια συντρίψαι τε καὶ ὅλοις δοῦναι φθορᾶς καὶ ἀπωλείας βυθοῖς τε καὶ κύμασι." τοιαύτας καὶ αὐτὸς πρὶν διαφθαρῆναι τὰς δόξας εἶχε περὶ τῶν δογμάτων. οὐ γὰρ ἔστιν εἰπεῖν, ὡς ἕτερα μὲν ἦσαν,

ὧν κατέγνω βασιλεὺς δικάζων καὶ διαφθορὰν κατεψηφίσατο καὶ παρατροπὴν τῆς ἀληθείας, ἕτερα δ' ὁ ἐπ' ἐμοῦ γεγενημένος τόμος ἐξήλασε τῆς ἐκκλησίας, καθ' οὗ τὴν θαυμαστὴν ἐπεδείξατο σπουδὴν, ἀλλὰ ταὐτὰ παντάπασιν. ὡσαύτως δὲ καὶ περὶ τῶν ἐν Ἄθῳ ἁγίων, ὧν μέθας καὶ ἀδδηφαγίας καταψεύδεται, τοῦ βίου λαμπρότερον παντὸς φωτὸς τὴν ἐκείνων ἀρετὴν καὶ οἰκειότητα πρὸς θεὸν ποιοῦντος ἐναργῆ. τοσοῦτον γὰρ ἀπέσχοντο μέθης καὶ κραιπάλης διὰ βίου, ὅσον ἀληθείας ὁ κατηγορῶν. Ἕλληνες μὲν οὖν φασιν ἐν μύθοις, Ἄτλαντά τινα, τῶν μετὰ Κρόνου θεῶν καθῃρημένων, ταύτην ὑπὸ τῶν ἀρξάντων τὴν δίκην κατεψηφίσθαι τοὺς τῆς γῆς ἀνέχειν κίονας, ὡς ἂν πιέζοιτο τοσούτῳ βάρει. [20]

3 176 ἐγὼ δὲ τούτους φαίην ἂν, καὶ τῆς ἀληθείας ἐμοὶ συμμαρτυρούσης, ταύτην τὴν τιμὴν λαχεῖν τοῦ βίου τῆς πολλῆς φιλοσοφίας ἕνεκα παρὰ θεοῦ τὸ τὴν γῆν ἀνέχειν, εὐχαῖς ἱλεουμένους αὐτῇ τὸ θεῖον. ὅτι δ' αὐτὸς ἐν αὐτοῖς γενόμενος, ἔτι βασιλέως περιόντος, περὶ τῆς Ῥωμαίων βασιλείας προφητεύειν ἐδεόμην, εἰ ἥξει πρὸς ἐμὲ, ψεύδεται σαφῶς. καὶ τούτου γε ἀπόδειξις ἐναργεστάτη, οὐχ ἧττον μὲν καὶ τοῦτ' αὐτὸ τὸ ἐκεῖνον τοιαῦτα λέγειν ψευδόμενον, ὡς τὰ πολλὰ καὶ περὶ τἄλλα, ὥσπερ δὴ καὶ περὶ τοῦτο. μάλιστα δὲ καὶ Ἄννα ἡ βασιλὶς τἀληθῆ συμμαρτυρήσειε πάντων μάλιστα ἐμοὶ τὰ τοιαῦτα συνειδυῖα. οὐχ ἧττον γὰρ ἢ βασιλεὺς καὶ αὐτὴ τότε τοῦ τὰ βεβουλευμένα ὑπερθέσθαι μοι ἐγένετο αἰτιωτάτη. οὐ γὰρ ὥσπερ ἐκεῖνος κατεψεύσατο, ἐπὶ προφητείας ἦκον ἐγὼ τότε καὶ μελλόντων ἀποβάσεις ἐπὶ τοὺς ἐν Ἄθῳ μοναχοὺς, ἀλλὰ μάλιστα μὲν δεησόμενος ἐκείνων ὑπὲρ τῆς βασιλέως ὑγιείας, ἧς οὐδὲν ἐμοὶ βέλτιον, οὔτε τιμιώτερον ἐν βίῳ ἦν, ἔπειτα καὶ τὸ θεῖον ἵλεων εὐχαῖς ἐμοὶ ποιεῖν πολλὰ προσκεκρουκότι ἐν τῷ βίῳ καὶ τὴν ἐκεῖσε τῶν ἐνθάδε βεβιωμένων εὐθύνην δεδοικότι. πρὸς τούτοις δὲ ἐπεὶ ἐδόκει καὶ τῶν τοῦ βίου θορύβων ἀναχωρεῖν, εἰς κόρον ἀπολαύσαντι καὶ δόξης ἀνθρωπίνης καὶ εὐημερίας καὶ τρυφῆς, ἐσκεπτόμην, ἐν τίνι τῶν φροντιστηρίων βέλτιον οἰκεῖν καὶ τὸν ἐπίλοιπον βίον ἐν ἀταραξίᾳ διανύειν, τῶν τοῦ βίου ματαίων ἀποστάντα θορύβων καὶ ταραχῶν. [20]

3 177 καὶ ἐδόκει τὸ Βατοπεδίου αἱρετώτερον, αὐτίκα τε τοῖς ἐκεῖσε μοναχοῖς ἐκέλευον, ἀναλώματα παρέχων, οἰκήσεις ἐμοὶ ποιεῖν, αἳ καὶ εἰς δεῦρο διασώζονται ἀπόδειξις ἐναργὴς τῆς παρ' ἐμοὶ πρεσβευομένης ἀληθείας. τοῦ δὲ μὴ τότε αἴτιον ἐκεῖ καταλειφθῆναι καὶ σχῆμα μοναχῶν ἀναλαβεῖν, ἀλλ' αὖθις πρὸς βασιλέα καὶ τὸν θόρυβον τῶν πραγμάτων ἐπανήκειν, οὔθ' ἡ φιλοκοσμία ἦν, οὔθ' ἡ ῥᾳθυμία περὶ τὰ καλὰ, ἀλλὰ βασιλεὺς αὐτὸς ἀτόπως ἐξεχόμενος καὶ οὐδὲ βιωτὸν ἡγούμενος αὐτῷ τὸν βίον ἐμοῦ διεστηκότος. ὡς γὰρ ἐπυνθάνετο τὴν αἰτίαν, ἥ με ἄγει πρὸς τὸν Ἄθω, καὶ τῆς ἐν βίῳ φιλοσοφίας ἥκουεν ἐπιθυμίαν καὶ θορύβων καὶ πραγμάτων ἀπαλλαγῆς, πολλὴν ἀφιλίαν κατηγόρει, ὅτι τὰ δοκοῦντα λυσιτελεῖν ζητῶν ἰδίᾳ, τῶν κοινῶν καταμελῶ, καὶ μόνον καταλείπων ἐπὶ τοσοῦτον πραγμάτων ὄχλον, αὐτὸς βούλομαι ἀναχωρεῖν καὶ ἀπολαύειν τῆς γαλήνης. ἠγανάκτει τε καὶ ἀδικίαν τὸ πρᾶγμα ἀπεκάλει καὶ τῆς πρὸς αὐτὸν ἀθέτησιν φιλίας. ἐμοῦ δὲ τὸ περὶ ψυχῆς τὸν λόγον πεποιῆσθαι ἰσχυριζομένου, καὶ μηδὲν ἀξιοῦντος ἡγεῖσθαι προτιμότερον, καὶ μᾶλλον ἐκεῖνον ἀποδεικνύντος ἀδικεῖν, εἰ βουλομένῳ ταύτης πρόνοιαν ποιεῖσθαι καί τινα εὐπρόσωπον ἀπολογίαν ἐπὶ τοῦ φοβεροῦ ἐκείνου βήματος, ἐφ' οἷς προσκέκρουκα θεῷ, πορίζειν ἐμαυτῷ αὐτὸς φαίνοιτο κωλύων, ἐπεὶ μὴ πείθειν ἐκεῖνος εἶχεν, ἀλλ' ἰσχυρῶς ἐχόμενον ἑώρα τῶν προτέρων λογισμῶν, καὶ βασιλίδι τῇ γυναικὶ χρησάμενος συμμάχῳ, ἔπεισαν ἄμφω πολλοῖς χρησάμενοι λόγοις καὶ παραινέσεσι, μὴ τὸ νῦν ἔχον πράττειν τὰ κατὰ γνώμην. [5]

3 178 φίλον δὲ τἀληθὲς, οὐδ' αὐτὸν δυνάμενον διαστῆναι βασιλέως ὑπὸ τῆς ἄκρας συνηθείας, καίτοι μάλιστα βουλόμενον, οὐ μὴν παντάπασι τῶν λογισμῶν ἐκείνων ἀπεσχόμην, ἀλλὰ τότε μὲν αὖθις ἀναστρέφειν ἐπηγγελλόμην, ὥσπερ ἐκεῖνοί γε ἠξίουν. καὶ ἀνέστρεφον εἰς Θεσσαλονίκην πρὸς ἐκείνους μετὰ τὸ τοὺς ἁγίους ἐκείνους προσειπεῖν, καὶ τὴν δεξομένην ἐν ὑστέρῳ οἴκησιν

οἰκοδομεῖσθαι ἐν Βατοπεδίῳ παρασκευάσαι. γνώμην δὲ εἶχον, ὡς, εὖ διαθέμενος τὰ κατ' ἐμὲ, αὖθις ἐπανήξων καὶ συνεσόμενος τοῖς ἐκεῖσε μοναχοῖς, τὸν ἴσον βίον ἑλόμενος αὐτοῖς. ὀλίγῳ δὲ ὕστερον τετελευτηκότος βασιλέως, ἐπεὶ πράττειν ἑτέρως οὐκ ἐξῆν, τῆς ὅλης διοικήσεως τῶν πραγμάτων ἐπ' ἐμὲ καταλειφθείσης, καὶ ἄκων κατεσχόμην, τῶν συκοφαντῶν δὲ ἐκείνων τὸν πόλεμον κεκινηκότων καὶ τὸν περὶ τοῦ ζῆν κίνδυνον ἐμοί τε καὶ τοῖς συνοῦσιν οὕτως ἀθρόον ἐπενεγκόντων, οὐ τῆς ἐμαυτοῦ μᾶλλον ἢ τῶν ὅλων σωτηρίας ἕνεκα τὸ βασιλεὺς Ῥωμαίων εἱλόμην εἶναι, καὶ τοσοῦτον ὑπέμεινα κακῶν ἐσμὸν, ἀνημέρως οὕτω πολεμηθεὶς ἐπὶ τοσοῦτον χρόνον. δι' ἃ μάλιστα ψεύδεται Γρηγορᾶς οὐκ ἀνεξέλεγκτα, ἀλλὰ πάντων μάλιστα εὐελεγκτότατα. [20]

3 179 ὅτι δέ μέ φησι τῇ Παλαμᾶ προσκείμενον μερίδι ἄδικον ψῆφον ἐπενεγκεῖν, καὶ διὰ τοῦτο μηδ' αὐτὸν πείθεσθαι ἐθέλειν, ὡς τὸν αὐτὸν ὄντα καὶ δικαστὴν καὶ ἀντικαθιστάμενον πρὸς τὴν δίκην τοῖς κρινομένοις, εὐχερέστατα ψευδόμενον ἀπελέγξω. τοὐναντίον γὰρ μᾶλλον Βαρλαὰμ, ὃς τῆς τοιαύτης ἦρξε διαφορᾶς, προσεκείμην ἐξαρχῆς αὐτός. αὐτόν τε γὰρ εἶχον ἐπὶ τῆς ἐμῆς οἰκίας διατρίβοντα καὶ τοὺς ἀδελφοὺς, καὶ πολλῆς ἠξίουν τῆς προνοίας, καὶ ἐν τοῖς μάλιστα τῶν φίλων ἦγον, καὶ μᾶλλον ἐπ' ἐκείνου χώραν εἶχε τὸ ἐμὲ προκατειλῆφθαι. ἐκεῖνος γὰρ ἀεὶ συνῆν καὶ τὰ παρ' ἑαυτοῦ ἐξετίθει ἀκριβέστατα καὶ ὑφηγεῖτο συνεχῶς. ὅθεν οὐδ' ἔστι σκήψασθαί τινα, ὡς ἃ μὲν Παλαμᾶς περὶ ὧν πρεσβεύει καὶ διαβεβαιοῦται, ᾔδειν, τὰ τῶν ἀντιλεγόντων δὲ ἠγνόουν. ἀλλ' εἰ δεῖ τἀληθὲς εἰπεῖν, ἐκείνοις μᾶλλον ἐνέτυχον προτέροις, καὶ μετὰ τοῦ πολέμου τὴν κατάλυσιν, ἐπεὶ τῶν Ῥωμαίων ὑπ' ἐμοὶ πᾶσα ἡ ἡγεμονία ἦν, τοσοῦτον ἀπέσχον τοῦ μᾶλλον προσκεῖσθαι τοῖς ἑτέροις ὑπ' ἀκρισίας, ὥστε πατριάρχην τὸν Ἰωάννην οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις ἐπὶ τὴν δίκην προὐκαλούμην μέλλοντα ἐν τοῖς αὐτοῖς τούτοις ἐξετάζεσθαι. τὰ ἴσα γὰρ ἐνεκαλεῖτο. καὶ μετ' ἐκεῖνον αὖθις τὸν Ἀκίνδυνον, ἐπεὶ κρυπτόμενος αὐτὸς ἑτέρους προσέπεμπε καὶ παρέπειθε θορυβεῖν, ὡς ἀδίκως ὑπὸ τῆς ἐκκλησίας διαστροφὴν τῶν δογμάτων ἐγκαλοῖντο, αὐτοὶ μᾶλλον κακῶς περὶ αὐτῶν φρονοῦντες, οὐ περιεῖδον, ἀλλ' ἐπὶ τὴν ἐξέτασιν ἐκέλευον χωρεῖν καὶ τυγχάνειν τῶν δικαίων, καὶ πίστεις παρεῖχον ἐπὶ τῷ πείσεσθαι προσδοκᾷν μηδὲν δεινόν. [20]

3 180 δεδοικέναι γὰρ ἔλεγε, μὴ εἰρχθῇ. αὐτὸς δὲ οὐδὲν ἧττον καὶ μετὰ τὰς πίστεις ἀπεκρύπτετο καὶ ἠγνοήθη μέχρι τελευτῆς. χρόνῳ δὲ ὕστερον ἐπεὶ αὐτός τε Γρηγορᾶς καὶ ἄλλοι ἀνεφύησαν τῆς Βαρλαὰμ καὶ Ἀκινδύνου αἱρέσεως διάδοχοι καὶ τὴν ἐκκλησίαν ἐθορύβουν καὶ τὸ δικαστήριον ἐπεβοῶντο, οὐ περιεῖδον αὖθις, ἀλλὰ σύνοδόν τε ἐκ πολλῶν ἀρχιερέων συνεκρότουν, καὶ τὸν Θεσσαλονίκης Γρηγόριον τὸν Παλαμᾶν μετεπεμπόμην λόγον, περὶ ὧν ἐνεκαλεῖτο, δώσοντα, καίτοι δίκαιος ὢν τὰ δὶς ἐψηφισμένα στέργειν πρότερον. βασιλεύς τε γὰρ Ἀνδρόνικος ὁ ἀοίδιμος μετὰ τῆς συνόδου κατεδίκασεν ἁπάσαις ψήφοις οὐ Βαρλαὰμ τότε μόνον, ἀλλὰ καὶ εἴ τις ὕστερον φαίνοιτο φρονῶν τὰ ἴσα, καὶ μετὰ ταῦτα, ἐμοῦ ἀπόντος, Ἄννα ἡ βασιλὶς μετὰ τῶν ἀρχιερέων, ἡνίκα πατριάρχην τε καθεῖλον τὸν Ἰωάννην διὰ τὴν κακοδοξίαν καὶ τοὺς φρονοῦντας τὰ ἴσα αὖθις ἢ φρονήσοντας, ὅτε καὶ τῶν ὕστερον ἀντιλεγόντων οἱ πλείους ἦσαν σύμψηφοι, ἢ προστάται τῶν γινομένων μᾶλλον. δίκαιος οὖν, ὥσπερ ἔφην, τὰ ἐψηφισμένα στέργειν ὢν, οὐχ ὑπέμεινα, μὴ καὶ ἐπ' ἐμαυτοῦ τὴν ἐξέτασιν ποιήσασθαι τῶν λεγομένων, καὶ τὸν τοῦ δικαίου λόγον οὐ παρεῖδον, ἀλλ' ἐξήνεγκα τὴν ψῆφον ἀληθῆ καὶ δικαίαν, οὔτε φιλίαν, οὔτε ἔχθραν, οὔτε τῶν ὄντων οὐδὲν ἕτερον τῆς ἀληθείας προτιμήσας. [20]

3 181 ὃς γὰρ οὐδ' ἐπὶ μικροῖς τισι καὶ εὐκαταφρονήτοις τινῶν διαφερομένων τὸ δίκαιον παρεῖδον, ἀλλ' ἀληθῶς καὶ δικαίως ἐδίκασα πᾶσι, σχολῇ γ' ἂν περὶ δογμάτων τῆς δίκης οὔσης, ἔνθα τὸ κινδυνευόμενον θεὸς, τῆς ἀληθείας ἕτερόν τι προειλόμην· ἀλλ' ὡς ἐπ' αὐτοῦ θεοῦ τὴν ἐξέτασιν τῶν δογμάτων σαφῆ καὶ καθαρὰν πεποιημένος, Παλαμᾶν μὲν εὕρισκον καὶ τοὺς τὰ ἴσα ἠρημένους τοῖς ἁγίοις καὶ θεολόγοις ἄκρως συμφωνοῦντας, καὶ κατ' ἴχνος ἑπομένους

φανερῶς, Γρηγορᾶν δὲ καὶ τοὺς ἄλλους, οἳ ἀντικαθίσταντο, τὰ Βαρλαὰμ καὶ Ἀκινδύνου δοξάζοντας ἀπαραποιήτως, ἃ ὅτι τῆς ἀληθείας ἔκφυλα καὶ τῆς περὶ τῆς εὐσεβοῦς ὑπὸ τῶν ἁγίων πατέρων παραδοθείσης πίστεως ἐναντία, ἐξῆν μὲν καὶ τοῖς προτέροις τόμοις χρήσασθαι διδασκάλοις. οὐ μὴν ἀλλὰ καὶ αὐτοὶ τοῖς ὑπὸ τῶν διδασκάλων τῆς ἐκκλησίας παραδοθεῖσιν, ὥσπερ κανόσι, παραθέντες, τὴν διαστροφὴν εὕρομεν σαφῆ καὶ καθαράν. οὗ ἕνεκα καὶ αὐτὸς, καὶ τῶν ἄλλων ἁπάντων ἀρχιερέων συνεπιψηφιζομένων, ἐκείνους μὲν ὡς ὀρθῶς φρονοῦντας ἐδικαίωσα, τούτων δὲ κατεψηφισάμην· τὸ δὲ ἑξῆς, ὥσπερ ἦν δίκαιον, τοῖς μὲν νενικηκόσι πάντα τρόπον ἐπεκούρησα, τοῖς ἡττημένοις δὲ ἀναισχυντοῦσι καὶ μήτ' ἐπιστρέφειν πρὸς τὴν ἀλήθειαν βεβουλημένοις, μήτε ἡσυχίαν ἄγειν, τῇ σφετέρᾳ μόνον ἀγαπῶσιν ἀπωλείᾳ, ἀλλὰ πρὸς τὸ ἴσον βάραθρον καὶ ἄλλους ἐκκαλουμένοις, καὶ πρὸς ὕβρεις χωροῦσιν ἀνερυθριάστως καὶ πᾶσαν ὑπερβολὴν ἀναισχυντίας ἐπιδεικνυμένοις, ὥσπερ ἔθος ἐξαρχῆς τοῖς ἐχθροῖς τῆς ἀληθείας καὶ τῆς ἐκκλησίας πολεμίοις, καὶ δίκην τὴν προσήκουσαν ἐπέθηκα, μᾶλλον δὲ καὶ τῆς ἀξίας ἀποδέουσαν πολύ. [20]

3 182 οὐδὲ γὰρ τοῦ κακῶς ἐκείνους πάσχειν πρόνοιαν ἐποιησάμην, ἀλλὰ τοῦ μὴ δύνασθαι κακῶς ποιεῖν. ἔστι δὲ, οἶμαι, νόμος καὶ ἐπὶ τῶν ἄλλων τῶν βιωτικῶν, καὶ δημοσίων καὶ ἰδίων, ἐγκλημάτων, τὸν δικαστὴν πρὶν μὲν εἰς λόγους ἀντικαταστῆναι τοὺς ἀλλήλοις διαφερομένους, μηδενὸς καταψηφίζεσθαι ἐρήμην, εἰ μὴ βούλοιτο ἐκδιαιτᾷν· ἐπειδὰν δὲ ἥκοιεν εἰς λόγους, καὶ ἡ νίκη χωρήσοι πρὸς τὸν ἕτερον, (πᾶσα γὰρ ἀνάγκη,) καὶ αὐτὸν τῷ τὸ πλέον ἔχοντι προστίθεσθαι καὶ καταναγκάζειν τὸν ἀδικοῦντα τὰ δίκαια ποιεῖν. οὐ δὴ διὰ τοῦτο πᾶς τις ἀδικῶν παραγράψεται τὸν δικαστὴν καὶ ἀδικίαν ἐπικαλέσει, ὅτι τῷ ἠδικημένῳ προσετέθη. ἃ Γρηγορᾶς νυνὶ ποιῶν, οὐ μᾶλλον ψευδολογίας, ἢ ἀνοίας καὶ μοχθηρίας δόξαν ἀποφέρεται. ὅτι δ' αὐτὸς τὴν διαστροφὴν παθὼν τῆς ἀληθείας καὶ τὴν πάτριον εὐσέβειαν ἐξομοσάμενος καὶ συναπαχθεὶς τοῖς αἱρετικοῖς Ἀκινδύνῳ καὶ Βαρλαὰμ ὑπὸ μοχθηρίας τρόπων καὶ ἀποτυχίας, ὧνπερ ἤλπισεν, ἀφειδήσας καὶ ψυχῆς αὐτῆς, ἵνα μόνον ἀμύνηται τοὺς δόξαντας λελυπηκέναι, ἐμοὶ τὰ ἴσα ἐγκαλεῖ, θαυμαστὸν οὐδέν. ὃς γὰρ οὐκ ἐφείσατο θεοῦ, ἀλλὰ διὰ τὴν πρός τινας ἀπέχθειαν ἐκείνου ψευδῆ πολλὰ κατεῖπε, σχολῇ γ' ἂν ἀπέσχετο βασιλέως, καὶ ταῦτα δόξαντος λελυπηκέναι. [20]

3 183 ὅτι δ' εὐσεβὴς ἐγὼ καὶ τῆς ὀρθῆς καὶ πατρίου δόξης ἐξεχόμενος ἀκριβῶς, καὶ πᾶσα μὲν ἡ τῶν ὀρθοδόξων ἐκκλησία συμμαρτυρήσειε, χάριτι θεοῦ βεβαίως ἡδρασμένη περὶ τὴν ἀλήθειαν καὶ τῶν ἀποστολικῶν παραδόσεων ἐχομένη ἀκριβῶς· οὐχ ἧττον δὲ καὶ Γρηγορᾶς αὐτὸς ὁ νυνὶ τοιαῦτα ἐγκαλῶν, παρὰ πάντα τὸν τοῦ πολέμου χρόνον οὐ μόνον ἐγκώμια πολλὰ διεξιὼν ἐμοῦ, ἀλλὰ καὶ τὰ ἔσχατα ὑπομένειν ὑπὲρ τῆς εἰς ἐμὲ εὐνοίας ᾑρημένος, ὅτε τὰ αὐτὰ ἐφρόνουν οἷα καὶ νυνί. τῇ γὰρ ὑπὸ βασιλέως ἐξενηνεγμένῃ καταδίκῃ Βαρλαὰμ καὶ αὐτὸς συνεπεψηφισάμην, καὶ μετὰ τὴν ἐκείνου τελευτὴν αὖθις Ἀκίνδυνον κατεδίκασα, Ἰωάννου τότε πατριάρχου τὴν σύνοδον συγκροτοῦντος καὶ οὐ μέτρια ἀγανακτοῦντος, ἐφ' οἷς Ἀκίνδυνος Παλαμᾶ καὶ τῶν ἄλλων μοναχῶν ἀδίκως κατηγόρει, Βαρλαὰμ συνηγορῶν. κε′. Τοιαῦτα μὲν βασιλεὺς ὁ Καντακουζηνὸς ὕστερον, ἐπεὶ εἰς χεῖρας αὐτῷ τὰ Γρηγορᾶ συγγράμματα ἥκει, ἀπελογεῖτο περὶ ἑαυτοῦ, καὶ ψευδῆ καὶ ἀπίθανα συγγεγραφέναι ἀπεδείκνυεν ἐκεῖνον. ἔπειτα καὶ τῶν Ῥωμαίων τοὺς ἐν λόγῳ μάλιστα καὶ ἐπιφανεστέρους ἐξεπίτηδες συγκαλεσάμενος, εἰς ἐπήκοον ἀναγινώσκεσθαι παρεῖχε πάντων, καὶ πολλὴν αὐτοῦ πάντες κατεγίνωσκον ψευδολογίαν καὶ ἀναίδειαν καὶ κουφότητα, ὅτι περὶ δημοσίων πραγμάτων, ἃ πολλοὶ, μᾶλλον δ' ἅπαντες συνίσασι, γράφειν προείλετο οὐκ ἀληθῆ, ἐφ' οἷς ἔμελλε ῥᾷστα ἀπελέγχεσθαι ψευδόμενος. [20]

3 184 πυθόμενος δὲ ὁ Γρηγορᾶς ἃ δράσειε βασιλεὺς τὰ ἐκείνου θριαμβεύσας πλάσματα, οὐ μετρίως ἠνιάθη, ὅθεν καὶ συντυχὼν ὕστερον, ὠνείδιζε τὸν θρίαμβον, ὡς ἐπ' ἐκείνου τῇ αἰσχύνῃ

εἰργασμένον. ἔφασκέ τε τὴν μὲν πρὸς τὸν τόμον ἀντιλογίαν ἰδίαν εἶναι, τὰ δὲ κατ' αὐτοῦ συγγεγραμμένα, ὅτου εἴη, ἀγνοεῖν· βούλεσθαι δὲ ἀφανίζειν ἐντυχόντα καὶ αὐτόν· ἃ εἰ καὶ πρότερον ἐπέμφθη πρὸς αὐτὸν, πυρὶ παρεδίδου ἂν πρὶν εἰς ἑτέρας ἥκειν ἀκοάς. βασιλεὺς δ' ἔφασκεν, οὐ συνορᾷν αὐτῷ τοὺς λόγους εἰς ὅ,τι τείνει. εἰ μὲν γὰρ μὴ τὰ συγγεγραμμένα ἤθελεν εἶναι φανερὰ, ἀλλ' ἀφανείᾳ πολλῇ κατέχεσθαι τὸν πάντα χρόνον, ἀνθ' ὅτου συντιθεὶς τοσοῦτον πόνον ἤνεγκεν; εἰ δ' ὅπερ δίκαιον, μᾶλλον εἶναι φανερὰ ἐβούλετο, καὶ μεγάλας ἂν εἴη χάριτας εἰδέναι δίκαιος, ὅτι ἐπὶ τοσούτων καὶ τῶν ἐπιφανεστέρων μάλιστα καὶ θαυμάζειν λόγων δύναμιν εἰδότων παρέσχετο ἀναγινώσκεσθαι, ἵν' ἐπαινοῖτό τε καὶ τὰς ἐπικαρπίας κομίζοιτο τῶν πόνων ζῶν, μάλιστα καὶ τῶν ἐπαίνων αἰσθανόμενος. νεκροὺς γὰρ οὔτ' ἔπαινος, οὔτε ψόγος ἡδύνειν ἢ ἀλγύνειν οἶδεν. εἰ δὲ διὰ τὸ πεφωρᾶσθαι τὰ ψευδῆ, ἃ ἐξ οὐκ ὄντων αὐτὸς παρ' ἑαυτοῦ πλάττεται, ἀλγεῖ, οὐκ αὐτὸς ἂν εἴη τῆς ἀλγηδόνος αἴτιος αὐτῷ, εἴπερ μηδὲ πέπεικεν αὐτὸς φαῦλον εἶναι καὶ τῆς ἀληθείας καταψεύδεσθαι. δέον μέντοι καὶ πρὸς τοῦτο μὴ πάνυ δάκνεσθαι. ὀλίγῳ γὰρ ὕστερον ἀπολιπὼν τὸν βίον, οὔτε τῶν ἐπαινούντων αἰσθήσεται, ἢ τῶν ὑβριζόντων, ἄν τε δίκαιοι καὶ ἀληθεῖς αἱ μέμψεις ὦσιν, ἄν τε μὴ, ὥσπερ καὶ ὧν αὐτὸς κατηγόρηκε πολλὰ καταψευδόμενος. [20]

3 185 ἐκεῖνο δὲ μᾶλλον δίκαιον λυπεῖν καὶ οὐκ ὀλίγην ἐμποιεῖν φροντίδα, μὴ ἐν τῷ μέλλοντι δικαστηρίῳ, ὥσπερ καὶ τῶν ἄλλων ἐγκλημάτων τῶν κατὰ τὸν βίον καὶ τοῦ ψεύδους καὶ τῆς συκοφαντίας δίκας δῶμεν, καὶ μάλιστα εἰ μηδεμίαν πρόφασιν ἑτέραν ἔχοι, ἢ ἄδικον ἀπέχθειαν. ταῦτα μὲν οὖν ὕστερον βασιλεῖ τῷ Καντακουζηνῷ ἐπράχθη τε καὶ εἴρητο μετὰ τὸ τῆς ἀρχῆς βασιλεῖ τῷ γαμβρῷ παρακεχωρηκέναι καὶ καθ' ἡσυχίαν βιοτεύειν, ὑποδύντα σχῆμα μοναχῶν. τότε δὲ ἐπεὶ τὰ κατὰ τὴν σύνοδον ἀπήρτιστο πάντα καὶ τέλος εἶχε, καὶ οἱ τὰ Ἀκινδύνου ῥηθέντα ἠλέγχοντο ἀσεβοῦντες φανερῶς, ἐπὶ τὰς πολιτικὰς ἐτρέπετο πάλιν πράξεις· καὶ παρεσκευάζετο ὡς ἐπιστρατεύσων Τριβαλοῖς. ἐν τούτῳ δὲ τοῖς ἐν Γαλατᾷ Λατίνοις δέκα καὶ τέτταρες ἐκ Βενετίας ἐπέπλευσαν τριήρεις. νυκτός τε ἐπελθόντες ἀπροσδόκητοι, ἀπέβησάν τε οὐ προαισθομένων, καὶ ἐγένοντο ἐντὸς τειχῶν, (ἦσαν γὰρ αἱ πύλαι τοῦ φρουρίου νυκτὸς ἀνεῳγμέναι ὑπ' αὐθαδείας καὶ θρασύτητος τῶν ἐνοικούντων,) καὶ ἐκάκωσαν οὐκ ὀλίγα. ὡς γὰρ ᾐσθάνοντο οἱ φύλακες τὴν ἅλωσιν, βοῇ τε ἐχρῶντο καὶ συνεκάλουν ἐπὶ τὴν ἄμυναν τοὺς ἐγχωρίους. οἱ δὲ ἐκ τῶν οἰκιῶν ἄοπλοι ἐπὶ τὴν θάλασσαν κατιόντες, βουλόμενοι, ὅ,τι εἴη τὰ δρώμενα μαθεῖν, ἐτιτρώσκοντό τε καὶ ἀπέθνησκον πολλοί. [20]

3 186 ἔπειτα ὡς ᾔσθοντο ἀναθαρσήσαντες καὶ ὁπλισάμενοι, ἐξήλασαν τοὺς πολεμίους αὖθις, οὐδὲν γενναῖον εἰργασμένους, ἀλλὰ φαυλότατα ἠγωνισμένους· ὅμως διεσώθησαν πάντες ἐπὶ τὰς τριήρεις, οὐδενὸς πεσόντος, τραυματιῶν δὲ ὀλίγων γενομένων, ἀναγόμενοί τε τοῦ λιμένος, καὶ ὁλκάδας εἵλκυσαν κενάς τινας καὶ ἐκυρίευσαν. ἐπεὶ δὲ ἡμέρα ἤδη ἦν, δὶς μὲν καὶ τρὶς ἐπεχείρησαν πῦρ ἐνεῖναι ταῖς ὁλκάσιν οὔσαις πλείσταις ἐπὶ τοῦ λιμένος, ἀπεκρούσθησαν δὲ ὑπ' ἐκείνων, οὐδ' ἐγγὺς γενέσθαι δυνηθέντες. ἔπειτα παραπλέοντες ἐκάκουν, καί τινων ἐκράτησαν ὁλκάδων ἐκ Πόντου καταπλεουσῶν. ἐν ταύταις δὴ ταῖς ὁλκάσι καὶ πρέσβυς ἐκ Βενετίας ἀφῖκτο Δελφὶν ὠνομασμένος πρὸς βασιλέα, καὶ ἐδεῖτο συμμαχεῖν αὐτοῖς πρὸς τὸν κατὰ τῶν ἐκ Γεννούας πόλεμον, μεγάλα τέ τινα ἐπηγγέλλετο τὸν δοῦκαν Βενετίας καὶ τὴν βουλὴν Ῥωμαίους ὠφελήσειν, εἰ πείθοιτο αὐτοῖς συμμαχεῖν ὁ βασιλεύς. τὰ ἴσα δὲ καὶ ὁ ῥὴξ Ῥαουήνας πρὸς βασιλέα διὰ γραμμάτων ἐπρεσβεύετο, καὶ μεγάλα ἐπηγγέλλετο, καὶ ἐδεῖτο βασιλέως τοῖς ἐκ Βενετίας συμμαχεῖν, οἷς καὶ αὐτὸς σύμμαχός ἐστι. βασιλεὺς δὲ ἀπηγόρευεν αὐτοῖς, ὥσπερ καὶ πρότερον, τὴν συμμαχίαν ἐν Θεσσαλονίκῃ. ἔφασκε γὰρ ἀδικεῖν μηδὲν, εἰ πρὸς τῷ μηδὲν αὐτοῖς ἐμποδὼν εἶναι πρὸς τὸν πόλεμον, μηδὲ πρὸς ἐκείνους πολεμοίη. ὡς μὲν γὰρ αἰτίας ἐκεῖνοι πολλὰς παρέσχοντο πολέμου, καὶ οὐδεὶς ἂν αὐτῷ μέμφοιτο δικαίως ἀμυνομένῳ τῶν

προτέρων ἕνεκα ἀδικημάτων, οὐδεὶς ἂν ἔχοι ἀντειπεῖν· πρὸς μέντοι τὴν αὐτῶν φιλίαν ἐνστήσεσθαι οὐδὲν, εἰ αὐτὸς ἑκὼν εἶναι τοῖς προσκεκρουκόσι παρέχοιτο συγγνώμην. [5]

3 187 ὁ μὲν οὖν βασιλεὺς οὕτως εὐφυῶς ἀπεσκευάζετο τὸν πόλεμον. μᾶλλον γὰρ ἐδόκει εἶναι ἄριστον ἑκατέρων ἀποσχόμενον προσέχειν τῇ ἠπείρῳ καὶ τὰς δεδουλωμένας Ῥωμαίων πόλεις ἐλευθεροῦν ἀπὸ τῶν πολεμίων. ὁ ἐκ Βενετίας δὲ πρεσβευτὴς καὶ ἄλλοι οὐ μετρίως ἠγανάκτουν, πρὸς τὴν συμμαχίαν αὐτοῖς ἀπαγορεύοντος βασιλέως. οἵ τε ἐκ Γαλατᾶ ὁμοίως εἰδότες, ὡς οἱ πολέμιοι σφίσι δέονται βασιλέως συμμαχεῖν, πρεσβείας καὶ αὐτοὶ συχνὰς ποιούμενοι, ἐδέοντο μὴ σφᾶς περιιδεῖν, ἀλλὰ συγγνώμην τε παρέχειν, εἴ τι πρότερον ἠγνωμονήκασι, καὶ νῦν μὴ συμμαχεῖν τοῖς πολεμίοις. ἐπηγγέλλοντό τε εἰσαῦθις μηδέποτε ἀγνωμονήσειν, ἀλλὰ πάντα ποιήσειν τὰ κατὰ γνώμην βασιλεῖ καὶ δουλεύειν ἀκριβῶς. ἅμα δὲ καὶ χρήματα παρείχοντο οὐκ ὀλίγα. βασιλεὺς δὲ τὸ μὲν μὴ πολεμήσειν ἐπηγγέλλετο, εἰ τὰ ἐπαγγελλόμενα καὶ αὐτοὶ ἀληθῆ ἐπὶ τῶν ἔργων ἀποδείξαιεν, τὰ δὲ χρήματα οὐκ ἐλάμβανεν, οὐκ αὐτῷ πρέπουσαν οἰόμενος εἶναι τὴν μικρολογίαν, οὐδὲ δοκεῖν ἐπὶ χρήμασι τὰ κοινῇ λυσιτελοῦντα προΐεσθαι Ῥωμαίοις. οἱ ἐκ Βενετίας δὲ ὡς βασιλεὺς ἀσυμβάτως ἔχει συνορῶντες πρὸς αὐτοὺς, (οὐδὲ γὰρ ᾤοντο οὐδὲν λόγου ἄξιον αὐτοὶ δυνήσεσθαι, μὴ βασιλέως συνεφαπτομένου πρὸς τὸν πόλεμον,) δεινὰ μὲν ἐποιοῦντο καὶ ἠγανάκτουν· φανερῶς μέντοι κινεῖν πρὸς βασιλέα πόλεμον ὡρμημένοι οὐκ ἐφαίνοντο, ἀλλ᾽ ὑποψίας παρεῖχον μόνον. [20]

3 188 αἱ γὰρ πρὸς Ῥωμαίους αὐτοῖς σπονδαὶ ἐπ᾽ ἐξόδῳ ἔτυχον οὖσαι τότε. ἔχουσι γὰρ πρὸς Ῥωμαίους οὐ διηνεκεῖς, ἀλλ᾽ ἐπ᾽ ἔτεσι ῥητοῖς ἀπὸ τῶν Μιχαὴλ τοῦ πρώτου τῶν Παλαιολόγων βασιλέως χρόνων. ἐπειδὰν δὲ ἐν ἐξόδῳ αἱ συμβάσεις γένωνται, ἔξεστιν ὁποτερῳοῦν πόλεμον, εἰ βούλοιτο, κινεῖν· εἰ δ᾽ ἑκατέροις λυσιτελεῖν δοκοίη μᾶλλον ἡ εἰρήνη, αὖθις τὰς σπονδὰς ἀνανεοῦσι καὶ τοὺς ὅρκους. ἐπεκράτησε δὲ παρὰ Ῥωμαίοις καὶ τοῖς ἐκ Βενετίας Λατίνοις τὸ τοιοῦτον ἔθος ἐκ τοιαύτης μάλιστα αἰτίας. βασιλεὺς ὁ πρῶτος Μιχαὴλ, ἐπεὶ Βυζάντιον ἀνεσώσατο Ῥωμαίοις καὶ Θρᾴκην καὶ Μακεδονίαν καὶ τὴν ἄλλην ἅπασαν ἑσπέραν ἑξήκοντα ὀλίγῳ πλείω ἔτη δουλεύσαντα Λατίνοις, πεζὴν μὲν καὶ ἱππικὴν δύναμιν μεγάλην εἶχε καὶ ἀξιόμαχον πρὸς πάντας πολεμίους, ναυτικὴν δὲ οὔπω τοσαύτην παρεσκευασμένος ἦν, ὅσην ὕστερον· ὅθεν καὶ τοὺς θαλασσοκρατοῦντας ἐδεδίει καὶ ἐθεράπευε, τῷ καιρῷ προσήκοντα ποιῶν· δεῆσαν μέντοι πρὸς ἑκάστους τίθεσθαι σπονδὰς, τοῖς μὲν ἄλλοις, ὅσοι κατ᾽ ἐμπορίαν εἰς Βυζάντιον ἢ ἑτέρας παραλίους πόλεις Ῥωμαίοις ὑπηκόους καταπλέουσι, φόρους ἔταττε καὶ ἀργύριον ῥητὸν τῷ δημοσίῳ· καὶ ἐπείθοντο ἀδύνατοι ὄντες ἀντιλέγειν. ἄχρι γὰρ καὶ νῦν παρέχονται τοὺς φόρους. οἱ ἐκ Βενετίας δὲ καὶ Γενουάς μέγα δυνάμενοι καὶ τὸν Ἰώνιον καὶ Αἰγαῖον καὶ τὸν Εὔξεινον στόλοις μεγάλοις παραπλέοντες, ὧν τὰ παράλια πάντα μάλιστα, ἢ τὰ πλείω ὑπήκοα Ῥωμαίοις τότε ἦσαν, οὐκ ἐπείθοντο παρέχειν φόρους, ἀλλ᾽ ἠξίουν ἐν πᾶσιν ἐμπορίοις τὴν βασιλέως ἀτέλειαν καρποῦσθαι. [20]

3 189 βασιλεὺς δὲ τότε πείθειν οὐκ ἔχων, καὶ βιάζεσθαι τοῖς ὅπλοις μὴ δυνάμενος, τοῖς μὲν ἐκ Γενουάς ἔθετο σπονδὰς διηνεκεῖς ἐπὶ τῷ ἐκείνους μὲν εἶναι ἀτελεῖς παντάπασιν ἐν πάσαις πόλεσι καὶ ἐμπορίοις, ἅ εἰσιν ὑπήκοα Ῥωμαίων, καταπλέοντας, αὐτοὺς δέ τινα τρόπον ὑπὸ βασιλέα τελεῖν, τριήρεις τε παρέχειν κατὰ συμμαχίαν, εἰ δέοιτο, πεντήκοντα ἐφωπλισμένας, βασιλέως μόνου ναύταις καὶ ὁπλίταις μισθὸν παρέχοντος. εἰ δὲ κενῶν δέοιτο τριηρέων, τὰς ἴσας παρέχειν μετὰ τῶν ὅπλων μόνων καὶ ἀρχόντων, συμμαχεῖν τε βασιλεῖ καθ᾽ ὁποίου ἄν ποτε πολεμῇ, καὶ φίλους εἶναι αὖθις καὶ συμμάχους, οἷς ἂν ἐκεῖνος φίλοις χρῷτο. τοῖς ἐκ Βενετίας δὲ ἀσυμβάτως εἶχε καὶ ἐβούλετο πολεμεῖν. ἑτέρου δὲ πολέμου μείζονος ἐπικειμένου τοῦ ῥηγὸς Καρούλου, (προσεδοκᾶτο γὰρ ἐκεῖνος στόλῳ μεγάλῳ ἐπιπλεύσειν Βυζαντίοις,) καὶ παρασκευαζομένου βασιλέως πρὸς ναυμαχίαν ἐπ᾽ ἐκεῖνον, ἐδόκει δεῖν ἀνακωχὰς πρὸς τοὺς ἐκ Βενετίας τίθεσθαι, καὶ ἔθετο ἐπ᾽ ἔτεσι ῥητοῖς, ἵν᾽, εἴ ποτε ἀπαλλαγείη τοῦ πρὸς Κάρουλον

πολέμου, ἐξείη πολεμεῖν αὐτοῖς, τῶν σπονδῶν ἐξηκουσῶν. τὸ δὴ τοιοῦτον ἐξ ἐκείνου ἄχρι νῦν ἐπικρατῆσαν ἔθος, τὸν ἴσον τρόπον αἱ πρὸς Ῥωμαίους αὐτοῖς γίνονται σπονδαί. [20]

3 190 ἐπειδὰν δὲ ἥκωσιν εἰς τέλος, ἀνανεοῦνται αὖθις. εἰ δὲ δοκοίη θατέρῳ πολεμεῖν, ἔξεστι μηδὲν ἐγκαλουμένῳ. ἐν ἐξόδῳ τοίνυν τῶν πρὸς τοὺς ἐκ Βενετίας σπονδῶν, ὥσπερ ἔφημεν, οὐσῶν, ἐπεὶ μὴ βασιλέα πείθειν εἶχον συμμαχεῖν αὐτοῖς ἐπὶ τοὺς πολεμίους, φανερῶς μὲν οὐ κατήγγελλον τὸν πόλεμον, τὸν δὲ ἄρχοντα τῶν ἐν Βυζαντίῳ οἰκούντων ὑπηκόων αὐτοῖς ἐν ταῖς τριήρεσιν ἀναλαβόντες, ἀπεχώρουν, δόκησιν δὲ παρεῖχον, ὡς ἀμυνοῦνται βασιλέα τοῦ μὴ συμμαχεῖν, εἴ ποτε λάβοιντο καιροῦ. κς′. Οἱ ἐν Γαλατᾷ δὲ ὁρῶντες ἐκείνους ἀποχωροῦντας, οὐκ ἐνόμισαν ὅπερ ἦν, ὡς πρὸς τὴν ἐκείνων χάριν ἀπαγορεύσειεν αὐτοῖς ὁ βασιλεὺς τὴν συμμαχίαν, ἀλλ᾽ ᾠοντο μεγάλα τινὰ ἀλλήλους ἀπαιτεῖν, δι᾽ ἅπερ ἀσυμβάτως ἐσχηκέναι, ἄλλως τε καὶ τοὺς εὐεργετοῦντας ἀεὶ κακοῖς ἀμείβεσθαι εἰωθότες, ὥσπερ τοὺς πάλαι Λακεδαιμονίους λέγουσιν, ἵνα μηδενὸς δοκῶσι δεῖσθαι, μηδ᾽ ἥττους εἶναι μηδενός, ὑπ᾽ ἄκρας αὐθαδείας καὶ φυσήματος, ἐν ἡμέρᾳ μέσῃ, καὶ μηδεμίαν αὐτοῖς αἰτίαν πολέμου παρεσχημένου βασιλέως, λίθον ἀφῆκαν ἐπὶ τὸ Βυζάντιον διὰ τῆς μηχανῆς. ἐπεὶ δὲ ἐπύθετο τὸ συμβὰν ὁ βασιλεὺς, πρὸς τὸν ἐκείνων ἄρχοντα πέμψας καὶ τὴν βουλὴν, τὴν αἰτίαν ἐπυνθάνετο, δι᾽ ἣν ἄρχονται πολέμου. ἐκείνων δὲ ὑποκρινομένων ἀγνοεῖν καὶ τὴν αἰτίαν τῆς ἀτοπίας τῷ ἐπὶ τῆς μηχανῆς ἀνατιθέντων τεταγμένῳ, ἐκέλευον οἱ πρέσβεις ἐκεῖνόν τε καὶ τοὺς συναραμένους κολάζειν. ἀδύνατον γὰρ μὴ καὶ πολλοῖς ἑτέροις χρῆσθαι συνεργοῖς. [20]

3 191 οὕτω γὰρ ἦν αὐτοῖς προστεταγμένον ὑπὸ βασιλέως. οἱ δὲ ἐπηγγέλλοντο προθύμως. ἐς τὴν ὑστεραίαν δὲ ἅμα ἕῳ καὶ λίθον ἕτερον ἐπὶ Βυζάντιον ἀφῆκαν. νομίσας δ᾽ ὅπερ ἦν ὁ βασιλεὺς, ὡς διὰ τὸ τοὺς ἐκ Βενετίας ἀνακεχωρηκέναι θρασυνθέντες αὐτοὶ περιφρονοῦσι καὶ πολέμου ἄρχουσιν, αὐτοῖς μὲν αὐτίκα πόλεμον κατήγγελλε πέμψας, καὶ ἐκέλευεν ἡμέραις ὀκτὼ διαλυσαμένους, ὅσα πρὸς Ῥωμαίους ἔχουσι συμβόλαια ἐπ᾽ ἐμπορίας ἢ χρέα ἢ ἑτέρας τινὰς προφάσεις, καθίστασθαι πρὸς πόλεμον. τοὺς δὲ ἐκ Βενετίας μετεπέμπετο. οἱ δ᾽ ἀνέστρεφον αὐτίκα χαίροντες, καὶ ἐτίθετο πρὸς αὐτοὺς συμμαχίαν καὶ σπονδὰς, ἥττους μὲν ὧν ἔμελλε πρότερον ποιεῖν παραπολὺ, (μεγάλα γάρ τινα καὶ μάλιστα λυσιτελῆ Ῥωμαίοις ἐπηγγέλλοντο, περιπλείστου ποιούμενοι τὴν βασιλέως συμμαχίαν,) τότε δὲ, ἐπεὶ ἑώρων ἀδυνάτως ἔχοντα ἑτέρως πράττειν, (ἤδη γὰρ οἱ ἐν Γαλατᾷ ἐκπεπολέμωντο,) ἀφῄρουν πολλὰ τῶν πρότερον ἐπηγγελμένων. ὅμως δ᾽ οὖν γεγενημένων τῶν σπονδῶν, ὁ πρὸς τοὺς ἐκ Γεννούας αὖθις ἤρχετο πόλεμος τῷ βασιλεῖ. αἰτία δὲ ἦν τοῖς ἐκ Βενετίας καὶ Γεννούας τοῦ πολέμου τούτου, ὃς ἀμφοτέροις συμφορῶν μεγάλων αἴτιος ἐγένετο, ὅτι, πρὸς Τάναϊν ἐπ᾽ ἐμπορίᾳ πλεόντων ἀμφοτέρων, συμβέβηκέ τινι τῶν ἐκ Βενετίας πρὸς Σκύθην τινὰ διενεχθῆναι, καὶ τὴν διαφορὰν μέχρι φόνου προελθεῖν, ἀμυνομένων δὲ ὑπὲρ τοῦ ὁμοφύλου τῶν Σκυθῶν, τῶν τε Λατίνων ὁμοίως ὑπὲρ τοῦ οἰκείου, δημοσία τῶν γενῶν ἑκατέρων ἐγένετο ἡ μάχη, καὶ ἔπεσον μὲν πολλοὶ Λατίνων παρὰ τὴν μάχην, διπλασίους δὲ καὶ περαιτέρω τῶν Σκυθῶν. [20]

3 192 ἔπειτα ἐπὶ τὰς ναῦς τῶν Λατίνων ἀναχωρησάντων, ἐπεὶ μηδὲν οἱ Σκύθαι βλάπτειν ἦσαν δυνατοὶ, ἀθάλαττοι ὄντες παντελῶς, ἐπεστράτευσαν Καφᾷ, ὃ Λατίνων τῶν ἐκ Γεννούας φρούριόν ἐστι τοῖς παραλίοις τῆς Σκυθίας κατῳκισμένον, καὶ ἐπολέμησαν ἐπ᾽ ἔτεσι δυσὶ, μηδεμίαν ἐνδιδόντες ἀνακωχήν. ἐν οἷς αὐτοί τε τῶν οἰκείων πολλοὺς ἀπέβαλον κατὰ τὰς μάχας καὶ τοῖς Λατίνοις αἴτιοι πολλῶν κατέστησαν ἀναλωμάτων. τῶν μὲν γὰρ τειχῶν ἦσαν ἥττους, τῶν ἔνδον κραταιῶς ἀμυνομένων, ἐμπορικῶν δὲ χρημάτων κατὰ τὴν Σκυθίαν ἐκράτησαν πολλῶν, καὶ κατὰ τὸν πόλεμον ἀναγκάζοντες τρέφειν μισθοφορικὸν ἐπὶ φρουρᾷ τοῦ πολιχνίου, οὐκ ὀλίγα ἐζημίωσαν. ἐπεὶ δὲ αὐτοῖς ἀνήνυτος ἐφαίνετο ἡ ἐπιχείρησις, διέλυον τὸν πόλεμον, θέμενοι σπονδάς. μετὰ δὲ τοῦ πολέμου τὴν κατάλυσιν ἠξίουν οἱ ἐκ Γεννούας, μηδένα μήτε Ῥωμαῖον, μήτε ἐκ Βενετίας ἔμπορον πλέειν ἐπὶ Τάναϊν, μήτ᾽ ἐκ σφῶν, πρόφασιν

μὲν, ὡς μὴ καὶ αὖθις ἀναγκάζοιντο ἔκ τινος αἰτίας Σκύθαις πολεμεῖν, τῇ δ' ἀληθείᾳ, προσόδων μεγάλων ἀφορμὰς σφίσιν αὐτοῖς κατασκευάζοντες. διενοοῦντο γὰρ, ὡς, εἰ κοινὸν ὁ Καφᾶς ἐμπόριον τοῖς ἁπανταχόθεν κατασταίη, μεγάλα ὠφελήσεσθαι αὐτοὺς ἁπανταχόθεν ἀργυρολογοῦντας· ἢ εἰ μὴ τούτοις, ἔφασαν, ἀγαπῷεν, τὰς κατὰ τὸν πόλεμον συνεκτινέτωσαν δαπάνας. [20]

3 193 Βενετικοῖς δὲ τό,τε Τανάϊδος παντάπασιν ἀποσχέσθαι ἐδόκει ἥκιστα λυσιτελεῖν, καὶ τὸ τὰ χρήματα συνεκτίνειν ἀνεκτὸν οὐδ' ἄκροις ἦν ὠσὶν, ἀλλ' ἔφασαν, μηδένα ἂν κωλύσειν πλέειν, ὅποι ἂν δοκῇ λυσιτελεῖν· καὶ ἅμα ἐπεχείρουν πλέειν ἐπὶ Τάναϊν, ἀκόντων Γεννουϊτῶν· οἱ δ' ἐκώλυον πρὸς βίαν καὶ ἐζημίωσαν εἰς χρήματα, ἐμπόροις ἐπιθέμενοί τισι καὶ κρατήσαντες ὁλκάδων. ἐκ δὲ τούτου εἰς τὸν πόλεμον κατέστησαν, καὶ μέγας ἀνερριπίσθη, καὶ χρήματα οὐκ ὀλίγα καὶ τριήρεις ἀπώλοντο ἀφ' ἑκατέρων. τότε δ' οὖν ἐπεὶ καὶ βασιλεὺς Βενετικοῖς συνεξώρμητο πρὸς τὸν πόλεμον, τριήρεις τε ἐπλήρου καὶ τῆς θαλάττης ἐκράτει μετὰ τῶν ἐκ Βενετίας, καὶ ἐκ τῆς ἠπείρου πέμψας στρατιὰν, ἐπολιόρκει. καὶ πρῶτα μὲν ἑκατέρωθεν ἥ τε ναυτικὴ καὶ ἱππικὴ δύναμις προσβαλόντες, τὰς ἔξω Γαλατᾶ ἐνέπρησαν οἰκίας πάσας πλὴν ὀλίγων, αἳ ὑπὸ τοῖς τείχεσιν αὐτοῖς ἦσαν, ἔπειτα ἡ μὲν ἠπειρῶτις συχνὰς καθημέραν ποιουμένη τὰς ἐφόδους, ἀκριβῶς ἐπολιόρκει καὶ οὐδὲ προβαίνειν εἴα τειχῶν ἔξω τοὺς Λατίνους. τὴν ναυτικὴν δὲ ὁ βασιλεὺς εἰς δύο διελὼν, τὴν μὲν αὐτοῦ κατέλιπε τὸ φρούριον πολιορκεῖν, τὴν ἑτέραν δὲ ἔπεμπεν ἐπὶ Πόντον, τὰ Γεννουϊτῶν κακώσουσαν· καὶ ἐκάκωσαν ἐπιπλεῖστον. χρημάτων τε γὰρ ἐκράτησαν καὶ ἐμπόρων οὐκ ὀλίγων, καὶ ὁλκάδας ἐνέπρησαν πολλάς. ἐπεὶ δὲ ἐπανῆκον ἐκ τοῦ Πόντου, παρεσκευάζοντο πρὸς τὴν τειχομαχίαν, καίτοι μάλιστα βασιλέως ἀπαγορεύοντος καὶ μὴ δεῖν οἰομένου τείχεσιν ὀχυρωτάτοις καὶ πολλοὺς τοὺς ἀμυνομένους ἔχουσιν ἐφεστηκότας προσβάλλειν, οὐδεμιᾶς ἐλπίδος οὔσης περιγίνεσθαι τοῖς ὅπλοις, ἀλλὰ μᾶλλον χρονίῳ κατεργάζεσθαι πολιορκίᾳ, καὶ τῷ τῶν Βενετικῶν ναυαρχοῦντι Νικολάῳ τῷ Πισσαίῳ παραινοῦντος. [5]

3 194 τῷ δὲ ἐδόκει μᾶλλον τειχομαχεῖν ὑπ' ἀπειρίας, καὶ τῶν Ῥωμαίων ἐῴκει ὁμαλῶς καθάπτεσθαι, ὡς διὰ τὴν ἀτολμίαν σφῶν Γαλατᾶ ἀναλώτου μένοντος, ῥᾷστα δυναμένου, εἰ αὐτοῖς καὶ Ῥωμαῖοι συμπροθυμηθεῖεν. δι' ἃ ὁ βασιλεὺς, καίτοι μάλιστα εἰδὼς, ὡς οὐ προσήκουσιν ἔμφρονι καὶ δεινῷ στρατηγῷ ἐπιχειρεῖ, ὅμως ἐπείθετο διὰ τὸ φύσημα τοῦ Λατίνου καὶ τὸ μὴ δοκεῖν ὑπ' ἀτολμίας προΐεσθαι τὰ δυνατά. καὶ ἄλλα τε παρεσκευάζοντο ἐπιτήδεια πρὸς τὴν τειχομαχίαν, καὶ ὁλκάδας μυριοφόρους συζεύξας δύο καὶ, ὡς μάλιστα ἐνῆν, δοκοῖς μεγάλοις ἐφαρμόσας, ἔπειτα πύργον ξύλινον ἐπέστησεν ἐπὶ τοσοῦτον ὕψους ἥκοντα, ὥστε εἶναι τῶν Γαλατᾶ μετεωρότερον τειχῶν. ὀροφάς τε εἶχε τρεῖς, ἐξ ὧν ἔμελλον ἑστῶτες οἱ ὁπλῖται μάχεσθαι. ἀπὸ δὲ τοῦ πύργου προβεβλημέναι ἦσαν δύο κεραῖαι μέγισται μεγέθει, ἃς ᾤοντο διικνεῖσθαι ἄχρι τῶν τειχῶν, ἐφ' ἃς σανίσιν οἱ δημιουργοὶ, ὥσπερ ἀναβάσεις, θέμενοι, ὁδόν τινα κατεσκεύασαν ἀπὸ τοῦ πύργου φέρουσαν ἐπὶ τὰ τείχη. ᾤοντο δὲ, ὡς, τῶν ἀπὸ τοῦ πύργου μαχομένων ἄδειαν παρεχομένων καὶ ῥᾳστώνην πρὸς τὴν δίοδον, δι' αὐτῆς τῶν εὐψύχων τινὲς συμβαλοῦσι τοῖς ἐπὶ τοῖς τείχεσι καὶ κρατήσουσι βαλλομένους καὶ ἀπὸ τοῦ πύργου. [20]

3 195 ὃ κἂν προὐχώρησε κατὰ τὴν ἐπίνοιαν αὐτοῖς, εἰ αἱ κεραῖαι ἄχρι ἀφικνοῦντο τῶν τειχῶν. ἀποδέουσαι δὲ ὀφθεῖσαι οὐκ ὀλίγον, ἄπρακτον τὸ μηχάνημα ἐποίουν. ταύτῃ δὲ ὁμοίαν, πλὴν τοῦ πύργου, καὶ Φακεωλάτος ὁ πρωτοστράτωρ κατεσκεύάζετο, βασιλέως προστεταχότος, μηχανὴν ἐφ' ὁλκάδος καὶ αὐτὸς μεγάλης. ἐπ' ἄκραις δὲ ἐκεῖνος ταῖς κεραίαις ἐσχάραν ἐπέθηκε ξυλίνην· οὕτω δὲ ἦν ἡ ἐσχάρα κατεσκευασμένη, ὥστε κινεῖσθαι καλωδίοις δή τισι καὶ δοκοῖς, ἐφ' οἷς ἐπέκειτο· ἔπειτα ὕλην συμφορήσας τρέφειν δυναμένην πῦρ, ἐπέθηκε τῇ ἐσχάρᾳ. γνώμην δὲ εἶχεν, ὡς ἐνὶ τῶν Γαλατᾶ πύργων ἐπιθήσων ἐξαφθεῖσαν, (ἦσαν γὰρ οὐκ ὀλίγοι ξύλοις ἄνωθεν ἐπεσκευασμένοι,) ὥστε διὰ τοῦ πύργου καὶ ταῖς οἰκίαις ἐπελθεῖν τὸ πῦρ, ἀνέμου

πνεύσαντος. ἀνύειν δὲ οὐδὲν οὐδ' ἡ ἐκείνου ἐπίνοια ἐδύνατο, ἀποδεουσῶν τῶν κεραιῶν. καὶ τρίτην δὲ οἱ Βενετικοὶ προσεξειργάσαντο, ὥσπερ κλίμακα ἀπὸ τῆς νεὼς ἐπὶ τὰ τείχη τῶν πολεμίων. ἐπεὶ δὲ τὰ ἐκ θαλάττης πάντα ἦσαν παρεσκευασμένα, καὶ ἐκ τῆς ἠπείρου τὰ δέοντα προσεπορίζοντο καὶ κλίμακάς τε κατεσκεύαζον καὶ σιδήρια, οἷς χρῆσθαι ἔμελλον ἐπὶ τῷ τὰ τείχη διορύσσειν, ὕλης τε φάκελοι ἐκομίζοντο ἐφ' ἁμαξῶν, αἷς ἔμελλον πρός τε τὴν διάβασιν τῆς τάφρου χρήσεσθαι, αὐταῖς ἁμάξαις εἰσωθήσαντες, καὶ πρὸς ταῖς πύλαις, εἰ δέοι, ἐνιέναι πῦρ. καὶ ἐπεὶ οὐδὲν ἐνέδει ἔτι, ἡ πεζὴ καὶ ἱππικὴ δύναμις ἐξήγετο, ὧν ἐστρατήγει δεσπότης Μανουὴλ Ἀσάνης, ὁ βασιλίδος τῆς Εἰρήνης ἀδελφὸς, ὑποστράτηγον ἔχων τὸν πρωτοστράτορα Φακρασῆν, καὶ περιεστρατοπέδευε Γαλατᾶν. [20]

3 196 καὶ ἡ ναυτικὴ ἤδη παρεσκεύαστο, ὡς εἰς τὴν ὑστεραίαν ἅμα ἕῳ τοῖς τείχεσιν ἐμβαλοῦντες. καὶ οἱ ἐν Γαλατᾷ δὲ παρεσκευάζοντο, ὡς ἀμυνούμενοι. τάς τε γὰρ ὁλκάδας καὶ τριήρεις, ὅσας εἶχον, κατέδυσαν πρότερον εἰς τὴν θάλασσαν, κατὰ μίαν ἐφεξῆς πρὸ τῶν τειχῶν ἀνάψαντες τοῖς καλωδίοις ἀπὸ τῶν ἐπάλξεων, ὅσον μὴ παντάπασι καταδύεσθαι, ἀλλ' ἀνάγεσθαι εἶεν εὐχερεῖς καιροῦ καλοῦντος, καὶ ἄλλα, ὅσα πρὸς ἀποτροπὴν ἐδόκει λυσιτελήσειν τῶν μηχανημάτων. συνήνεγκε δὲ αὐτοῖς ἐς τὰ μάλιστα τῶν ὁλκάδων ἡ κατάδυσις. αὐταί τε γὰρ ἀνάλωτοι ἦσαν τῷ πυρὶ διὰ τὸ ὕδωρ, καὶ ταῖς πολεμίαις ναυσὶν ἀπόβασιν οὐ παρεῖχον, τάς τε μηχανὰς ἐκώλυον ἐγγὺς τειχῶν ἰέναι. ὁ μὲν οὖν βασιλεὺς μετὰ τῆς ἐκ τῆς ἠπείρου στρατιᾶς διενυκτέρευσεν ἐλθών· πρωτοστράτορα δὲ τὸν Ταρχανειώτην, ὃς τῶν βασιλικῶν τριηρέων ἐστρατήγει, καὶ τὸν τῶν Βενετικῶν ἄρχοντα Νικόλαον ἅμα ἕῳ ἐμβαλεῖν ἐκέλευεν ἀπὸ θαλάττης, ὡς καὶ τῆς πεζῆς καὶ ἱππικῆς δυνάμεως ἐκ τῆς ἠπείρου ἐμβαλούντων. τριήρεις δὲ ἦσαν αἱ σύμπασαι Ῥωμαίων καὶ Λατίνων κατ' ἐκείνην τὴν μάχην δύο καὶ τριάκοντα. συνέβη δὲ τῆς αὐτῆς νυκτὸς ἐκ Βενετίας τριήρη πρὸς Νικόλαον ἀφῖχθαι, ἣ ἐμήνυεν, ἑβδομήκοντα τριήρεις ἐκ Γεννούας ἀνηγμένας ἰέναι ἐπ' αὐτοὺς, ἐκέλευόν τε ἡ βουλὴ καὶ ὁ δοὺξ, πρόνοιαν αὐτοῦ καὶ τῶν τριηρέων ποιεῖσθαι, μὴ ὑπὸ τοῦ πολεμίων στόλου ἐγκαταληφθεὶς ἀπόληται. [20]

3 197 ὁ γὰρ ἐν Γεννούᾳ δῆμος οὐκ ὀλίγῳ χρόνῳ πρότερον πρὸς τοὺς παρὰ σφίσι πολεμήσαντες δυνατοὺς, τοὺς μὲν ἐξήλασαν, περιγενόμενοι τῶν ἀρίστων καὶ ἀειφυγίαν καταψηφισάμενοι, τοὺς δ' ἀτίμους εἶχον, μήτε βουλῆς ἀξιοῦντες, μήτ' ἀρχῆς μηδεμιᾶς, ἀλλὰ πάντα τρόπον ἐπίεζον καὶ ἐταπείνουν. δημοκρατεῖσθαι γὰρ ἐβούλοντο μᾶλλον, ἢ ὑπ' ἐκείνων ἄρχεσθαι. τοῦ δήμου δέ τινα προστησάμενοι Σίμωνα Μπουκανέγραν προσαγορευόμενον, ἄρχειν ἐφῆκαν τῶν πραγμάτων, καὶ τοῦ δήμου καὶ τῆς βουλῆς συνεπιψηφιζομένης. τοῦ Βενετικοῦ δὲ πολέμου τουτουΐ κεκινημένου, ἐπεὶ ἑώρων ἀντικαθίστασθαι ὄντες ἀδύνατοι αὐτοὶ, μὴ καὶ τῶν δυνατῶν συναιρομένων, οἷα δὴ πολλῶν χρημάτων καὶ μείζονος δεομένου τοῦ πολέμου τῆς παρασκευῆς, τῶν τε φευγόντων ἀρίστων κάθοδον ἐψηφίσαντο καὶ τῆς παρὰ σφίσι μετέδοσαν βουλῆς καὶ τῶν πραγμάτων ἅπτεσθαι ἐκέλευον. οἱ δυνατοὶ δὲ ὁρῶντες, ὡς, ἢν αὐτοὶ πρὸς ὀργὴν τὰς πρὸς τὸν δῆμον διωθῶνται καταλλαγὰς, οὐδὲν ἕτερον ὑπολείπεται, ἢ, ἐκείνων διαφθειρομένων ὑπὸ τῶν ἐκ Βενετίας, καὶ αὐτοὺς συγκινδυνεύειν, καὶ δεινὸν ἡγούμενοι καὶ τῶν αἰσχίστων, διὰ τὴν τοῦ δήμου πρὸς αὐτοὺς ἀγνωμοσύνην ἑκοντὶ προδιδόναι τὴν ἐλευθερίαν καὶ δουλεύειν τοῖς πολλῷ χείροσιν αἰσχρῶς καὶ ἀγεννῶς, ὠνείδισαν μὲν τῷ δήμῳ τὴν ἀγνωμοσύνην καὶ τὴν ἀκρισίαν, ὅτι τοὺς ἀρίστους οὕτω προπηλακίζουσιν εὐχερῶς, μηδὲν ἕτερον ἔχοντες ἐγκαλεῖν, ἢ ὅτι βελτίους τῶν πολλῶν εἰσιν, ὑφίσταντο δὲ τὸν πόλεμον προθύμως ὑπὲρ τοῦ κοινοῦ, καὶ χρήματα παρασχόμενοι καὶ ὅπλα καὶ τὴν ἄλλην συντέλειαν, ὅσην ἔδει· τόν τε στόλον τῶν ἑβδομήκοντα νεῶν παρεσκευάσαντο, καὶ Παγανὴν ἐπιστήσαντες στρατηγὸν ἐκ τοῦ τῶν Ὁρίων γένους τὸν ἐπιφανέστατον, καὶ συνέσεως καὶ τόλμης ἕνεκα καὶ ἐμπειρίας ὑπερέχοντα τῶν ἄλλων, ἐξέπεμψαν ἐπὶ τὸν πόλεμον. [5]

3 198

Νικόλαος δὲ ὁ τῶν Βενετικῶν τριηρέων στρατηγὸς, ἐπεὶ ἐπύθετο τὴν περὶ τοῦ τῶν πολεμίων στόλου ἀγγελίαν, καὶ πρότερον ἀτολμότατος πρὸς μάχας ὢν, τότε μᾶλλον ἐξεπέπληκτο καὶ εὐθὺς ἀπεῖδε πρὸς φυγήν· ἵνα δὲ μὴ ἡ παρεσκευασμένη τειχομαχία κωλυθῇ, βασιλεῖ μὲν οὐδὲν ὧν ἐπύθετο ἀπήγγελλε, τὰς σφετέρας δὲ τριήρεις ἔχων καὶ τὴν ἐπὶ τῆς ὁλκάδος μηχανὴν, ὅσον μὴ βάλλεσθαι παρατεταγμένος, μόνον ἐν τοῖς ὅπλοις ἦν, δόκησιν παρέχων, ὡς μαχούμενος, ἔργου δὲ παντάπασιν ἀπείχετο. Ῥωμαῖοι δὲ κατὰ τὸ ἐπίταγμα βασιλέως ἅμα ἕῳ τοῖς τείχεσι προσέβαλον τῶν πολεμίων καὶ ταῖς τριήρεσι καὶ ταῖς ἀπὸ τῶν ὁλκάδων μηχαναῖς. αἱ μὲν οὖν μηχαναὶ τῶν τειχῶν μὴ ἐφικνούμεναι, ἄπρακτοι ἐλείποντο. ὅμως ἐγγὺς γενόμενοι οἱ ἐν αὐταῖς ὁπλῖται ἔβαλλον τοὺς ἀπὸ τῶν τειχῶν καὶ πλείστους ἐτραυμάτισαν· ὁμοίως καὶ οἱ ἀπὸ τῶν τριηρέων. ἐτραυματίσθησαν δὲ οὐκ ὀλίγοι καὶ ἀπὸ τῶν βασιλικῶν, καὶ ἔπεσόν τινες. ἐτρώθη δὲ καὶ ὁ στρατηγὸς Ταρχανειώτης τὸν δεξιὸν ἀγκῶνα βέλει, καὶ διήλασεν ἀμφοτέρας τὰς ἐπιφανείας, καίτοι τεθωρακισμένον· μετὰ τοσαύτης προσέπεσε τῆς ῥύμης· ἐξ οὗ μάλιστα μὲν ἦλθε τοῦ ἀποθανεῖν ἐγγὺς, προνοίᾳ δὲ θεοῦ περιεσώθη, πολλὰς καὶ ἀνυποίστους ἀλγηδόνας ἐνεγκών· μόλις γὰρ ἐν ἔτεσι δυσὶν οὐλὴν ἐδέξατο τὸ τραῦμα. [5]

3 199 βασιλεύς τε ἐκ τῆς ἠπείρου προσβάλλειν τε ἐκέλευε τῇ στρατιᾷ καὶ τῇ τάφρῳ ἐμβάλλειν τὰς ἀμάξας, ὡς ἂν τοῖς τείχεσι τὰς κλίμακας ἐρείσωσι, διαβατῆς γεγενημένης. καὶ ἐνέβαλλον οὐ πάσας. ἔτι δὲ τοῖς στρατιώταις περὶ ταῦτα ἠσχολημένοις, οἱ ἐν Γαλατᾷ τὴν ἐκ θαλάττης μάχην ἀποσκευασάμενοι, ἔθεον ἐπὶ τὸ μάλιστα πονοῦν τῶν κατὰ τὴν ἤπειρον τειχῶν, καὶ τὰς πύλας διανοίξαντες, ἐξεχέοντο καὶ πῦρ ἐνίεσαν τῇ ὕλῃ καὶ πᾶσαν κατέφλεξαν αὐταῖς ἁμάξαις. ἐτραυμάτισαν δὲ καὶ ἀπὸ τῶν τειχῶν βάλλοντες πολλοὺς ἀνθρώπους τε καὶ ἵππους· οὐκ ἐλάττους δὲ καὶ αὐτῶν ἐτραυματίσθησαν. ὁ βασιλεὺς δὲ ἤδη τὴν ἐπιχείρησιν ὁρῶν ἀδύνατον, καίτοι καὶ πρότερον εἰδὼς, ἀπήγαγε τὴν στρατιὰν, καὶ τὴν μὲν πεζὴν ἐκέλευεν ἀναχωρεῖν αὐτίκα, αὐτὸς δὲ τὴν ἵππον ἔχων ἔμεινεν ἐπὶ τοῦ στρατοπέδου καὶ ηὐλίσατο τὴν νύκτα. εἰς τὴν ὑστεραίαν δὲ ὡπλισμένην ἀγαγὼν τὴν στρατιὰν, ἔστησε πρὸ τῶν Γαλατᾶ πυλῶν ἐφικανὸν, οὐδεὶς δὲ Λατίνων ἀντεπεξῆλθεν, οὐδὲ βέλος ἀφῆκεν ἐπ' αὐτούς. ἐκεῖθεν δὲ, ἐπεὶ μηδεὶς ἀντεπεξῄει, εἰς Βυζάντιον ἀνέστρεφε. [20]

3 200 Νικόλαος δὲ ὁ τῶν Βενετικῶν ἄρχων τὴν αἰτίαν ἀποκρύψας, δι' ἣν τῆς τε μάχης ἀπέσχετο παντάπασι καὶ βούλοιτο ἀναχωρεῖν, μόνον δὲ τοῦτο εἰπὼν, ὡς παρὰ τῆς βουλῆς καὶ τοῦ δουκὸς ἀποπλέειν κελευσθείη, πρὸς Βενετίαν ἀπεχώρει συνταξάμενος, τὸν πρὸς τοὺς ἐκ Γεννούας πόλεμον μόνῳ βασιλεῖ καταλιπὼν, ὃς τριήρεσί τε ἐκ θαλάττης ἐπολιόρκει ταῖς ἰδίαις καὶ ἐκ τῆς ἠπείρου συχνὰς ἐποιεῖτο τὰς ἐφόδους, πέμπων στρατιὰν, καὶ πάντα ἔπραττεν, ἐξ ὧν ἐκείνους πάσχειν ἦν κακῶς, καὶ ἔβλαπτεν οὐ μέτριά τινα. Νικόλαος δὲ πρὸς Βενετίαν ἀποπλέων, τῷ τῶν πολεμίων στόλῳ περιέτυχε, προαισθόμενος δὲ ἔφευγεν, ᾗ τάχους εἶχεν, ἐπεδίωκόν τε οἱ πολέμιοι, φθάσας δὲ αὐτοὺς πρὸς τῇ κατὰ τὴν Εὔβοιαν πολίχνῃ, ἣ αὐτοῖς ἐστιν ὑπήκοος, τάς τε τριήρεις διέσωσεν οὐδεμίαν ἀπολέσας, καὶ περιεποίησε τὴν πολίχνην, ῥᾷστα ἂν ἑαλωκυῖαν, εἰ μὴ φθάσαντες αὐτοὶ εἰσῆλθον. κζ'. Ἐν τούτοις δὲ τῶν πραγμάτων ὄντων, καὶ ὁ τῶν βασιλέων πόλεμος αὖθις ἤρχετο καὶ ἐλάμβανεν αἰτίας οὐ μικράς. οἱ γὰρ ἐν Θεσσαλονίκῃ μετὰ βασιλέως ὑπολελειμμένοι τοῦ νέου Ἰωάννου οὐκ ἠγάπων τοῖς παροῦσιν, ἀλλὰ νεωτέροις ἐπεχείρουν καὶ βασιλέα τὸν νέον ἐξεπολέμουν βασιλεῖ τῷ κηδεστῇ, καίτοι οἱ πολλῆς εὐμενείας παρὰ Καντακουζηνῷ τῷ βασιλεῖ τυγχάνοντες καὶ τῶν εὔνων καὶ οἰκείων μάλιστα δοκοῦντες εἶναι. ἔφασαν γὰρ ἀγανακτεῖν ὑπὲρ αὐτοῦ ἀδικουμένου καὶ τῆς πατρῴας ἡγεμονίας ἀποστερουμένου. [20]

3 201 καὶ γὰρ οὐ τοῦτο μόνον εἶναι τὸ δεινὸν, ὅτι σύμπασαν ἐκεῖνος ἔχων τὴν ἀρχὴν, ὄνομα μόνον βασιλείας καταλέλοιπεν αὐτῷ κενὸν πραγμάτων, ἀλλὰ καὶ ὥσπερ ὑπερορίαν καταψηφισάμενος, ἀγαγὼν ἐν μέσοις πολεμίοις καταλέλοιπεν, οὐδεμιᾶς προνοίας ἀξιώσας,

ὥσπερ ἐπηγγέλλετο ἀπαίρων, ἀλλὰ πολέμους προφασιζόμενος, τὴν Ῥωμαίων κάθηται αὐτὸς ἡγεμονίαν ἔχων, αὐτὸν δὲ ὥσπερ τι τῶν ἀχρήστων προεῖτο, ἢ ὑπὸ Τριβαλῶν ἐκπολιορκηθησόμενον, ἢ προδοθησόμενον ὑφ' οὕτως ἀτάκτου δήμου καὶ τολμῶντος πάντα εὐχερῶς· ἃ χρὴ συνορᾷν αὐτὸν καὶ σκοπεῖν, ὅπως τῆς πατρῴας αὖθις ἐγκρατὴς γένοιτο ἀρχῆς ῥᾷστά γε δυνάμενος· Κράλης τε γὰρ δυνάμει πάσῃ βοηθήσει, ἐν τοῖς πολεμιωτάτοις ἐκεῖνον ἄγων καὶ βουλησόμενος αὐτῷ μάλιστα συναίρεσθαι, καὶ αὐτοὶ ὑπὲρ αὐτοῦ πάντα κίνδυνον ὑπομενοῦσι καὶ προθύμως συναγωνιοῦνται καὶ χρήμασι καὶ ὅπλοις καὶ σώμασι· καὶ μὴ κατοκνεῖν πρὸς τὴν ἐπιχείρησιν παρῄνουν. ἐνήγοντο δὲ ἐκεῖνοι πρὸς τὸ κινεῖν τῶν βασιλέων πρὸς ἀλλήλους πόλεμον οὐχ ἧττον μὲν καὶ τρόπων φαυλότητι καὶ μοχθηρίᾳ, ᾗ καὶ πρὸς τὰ αἴσχιστα ἐξήγοντο ἑτοίμως, μάλιστα δὲ καὶ χρήμασι διεφθάρησαν πρὸς Κράλη, εἰ τὸν πρὸς ἀλλήλους Ῥωμαίων αὖθις πόλεμον κινοῖεν. οἷς ὁ νέος βασιλεὺς, ἅτε δὴ πρὸς πανουργίας καὶ διαφθορὰς καὶ βίων καὶ λόγων παντάπασιν ἀπείρως ἔχων καὶ δίκαια βουλεύεσθαι καὶ συμφέροντα νομίσας καὶ τὴν σπουδὴν ὑπὲρ αὐτοῦ ποιεῖσθαι, ἐπείθετό τε καὶ ἐν τοῖς μάλιστα τῶν φίλων ἔταττε τοὺς πολεμιωτάτους ὡς ἀληθῶς καὶ κέρδους μικροῦ καὶ λήμματος αὐτόν τε καὶ σύμπασαν ἡγεμονίαν προδιδόντας, καὶ ἐσκέπτετο σὺν αὐτοῖς, ὅθεν τε καὶ ὅπως τὸν πρὸς βασιλέα τὸν κηδεστὴν πόλεμον ἀνακινοίη. [5]

3 202 ἐδόκει δὴ δεῖν, πρὶν ἔκπυστα γενέσθαι τὰ βεβουλευμένα, Ἀσάνην τὸν Ἀνδρόνικον ἀφιστᾷν Θεσσαλονίκης. ὑπώπτευον γὰρ ἐκεῖνον τὰ μέγιστα ἐναντιώσεσθαι, οὐ μόνον ἀντικαθιστάμενον πρὸς τἆλλα, ἀλλὰ καὶ βασιλεῖ τῷ νέῳ παραινοῦντα τῶν ἀτόπων ἀπέχεσθαι ἐπιχειρήσεων καὶ μὴ διαφθείρειν τὴν ἡγεμονίαν ἑκοντὶ, ἧς ἔσοιτο κύριος μετὰ μικρὸν, εἰ πρὸς βασιλέα τὸν κηδεστὴν εὐγνωμονοίη. καὶ προσελθόντες ἐν προσχήματι φιλίας πρῶτα μὲν ὅρκους ἀπῄτουν, ὥστε καταδήλους μὴ ποιεῖν, μέλλοντας ἐκκαλύπτειν τὰ μάλιστα ἀπόῤῥητα τῷ νέῳ βασιλεῖ. ἔπειτα, ἐπεὶ ἐλάμβανον τὰς πίστεις καὶ ἦσαν ἐν πεποιθήσει δῆθεν, βασιλέα τὸν νέον ἔλεγον συνθέσθαι Κράλῃ ἐπὶ τῷ πόλεμον κινεῖν κατὰ βασιλέως τοῦ κηδεστοῦ, καὶ οὐδενὸς ἔτι ἐνδεῖν πρὸς τὰς συμβάσεις, Κράλην δὲ προθυμότατα μὲν ἐθέλειν βασιλεῖ τῷ νέῳ συμμαχεῖν καὶ πᾶσαν ὑπὲρ αὐτοῦ καὶ σπουδὴν ἐνδείκνυσθαι καὶ προθυμίαν, δεινὸν δὲ ὄντα ταράξαι καὶ συγχέαι πράγματα καὶ χρήσασθαι προσηκόντως τοῖς καιροῖς καὶ τοῦτ' ἐπινενοηκέναι, ἵν' ἀσυμβάτως μᾶλλον ἔχειν παρασκευάσῃ τοὺς βασιλέας, τὸ σὲ βούλεσθαι ὥσπερ ὅμηρον λαβεῖν· καὶ σκήπτεται δῆθεν ἀπιστεῖν τῷ νέῳ βασιλεῖ, μὴ τῇ στρατιᾷ ἐπιβουλεύσει, ἣν παρέξει συμμαχήσουσαν, καὶ διαφθερεῖ, τὰς διαφορὰς διαλυσάμενος πρὸς βασιλέα. [20]

3 203 ὧν ἕνεκα ἐγκείμενος βασιλεῖ τῷ νέῳ σὲ λαβεῖν αἰτεῖ. βασιλεὺς δ' ἐπεὶ ἔγνω τὸν πόλεμον κινεῖν καὶ μάλιστα τῇ Τριβαλῶν προσέχειν συμμαχίᾳ, συνέθετο ἐξ ἀνάγκης ἐκδιδόναι. ἃ σκέπτεσθαι χρεὼν καὶ μηχανήν τινα ἐξευρίσκειν, ἐξ ἧς αὐτός τε καὶ τὰ παρόντα πράγματα διασωθήσεται. ἐκεῖνοι μὲν οὖν οὕτω πιθανὴν συσκευασάμενοι προσῆγον τὴν ἐπιβουλὴν, Ἀσάνης δὲ ἀγνοήσας τὴν ἀπάτην, (ᾔδει γὰρ ἐκείνους πρότερον τὰ Καντακουζηνοῦ τοῦ βασιλέως μᾶλλον ἠρημένους, ἄλλως θ' ὅτι καὶ φῆμαι πάντοθεν προσέπιπτον αὐτῷ καὶ βασιλεὺς ὁ νέος ἐμηνύετο πόλεμον βούλεσθαι κινεῖν πρὸς βασιλέα τὸν κηδεστὴν,) ἐπίστευέ τε τοῖς εἰρημένοις καὶ σφοδρῶς ἐθορυβεῖτο, χάριν δὲ πολλὴν ὁμολογῶν αὐτοῖς τῆς εἰς βασιλέα καὶ αὐτὸν εὐνοίας, ἔπειτα ἐδεῖτο καὶ τρόπον ὑποθέσθαι, οἳ τραπόμενος τὰ προσδοκώμενα ἐκφεύξεται κακά. οἱ δ' οὐδὲν ἔφασαν λυσιτελέστερον, ἢ τάχιστα ἀπαίρειν εἰς Βυζάντιον, ὡς ἅμα τε ἐν τούτῳ ἐκφευξόμενον τὸν κίνδυνον καὶ βασιλεῖ δηλώσοντα περὶ τῶν πραττομένων, ἵν' αἰσθόμενος τὸν κίνδυνον ἐκεῖνος, ὀξεῖαν τὴν βοήθειαν ποιοῖτο καὶ μὴ παρέργως, μηδὲ ῥᾳθύμως οἰόμενος κινδύνων ἔξω τὰ τῇδε πράγματα ἑστάναι. ἦν δ' ὁ νέος βασιλεὺς ἐπιχειρῇ κατέχειν, ἀλλ' αὐτοὺς συμπράξειν τὰ μέγιστα πρὸς τὴν ἀποδημίαν, παραινοῦντας αὐτῷ καὶ πείθοντας μηδὲν πρὸς βίαν πράττειν, μηδ' ἐνίστασθαι πρὸς τὴν ὁρμήν. [20]

3 204 τοιαῦτα μὲν ἐκεῖνοι ἔπεισαν ἐξαπατήσαντες, Ἀσάνης δὲ, ἐπεὶ τριήρης παρεσκευασμένη ἔτυχεν ἐκεῖ, δείσας τὰ ἠπειλημένα, ἀπέπλεεν εἰς Βυζάντιον καὶ ἀπήγγειλε βασιλεῖ, ὅσα παρ' ἐκείνων πύθοιτο, ἰσχυρίζετό τε, ὡς βασιλεὺς ὁ νέος πρὸς τὸν πόλεμον ἐκτραπείη φανερῶς. ἐκεῖνοι δὲ οἱ πράττοντες τὸν πόλεμον, ἐπεὶ Ἀσάνης ἀπεχώρει, πολλῆς ἐπιλαβόμενοι ἀδείας, πείθουσι τὸν νέον βασιλέα πρεσβείαν ποιήσασθαι πρὸς Κράλην. ὁ δ' ἐδέχετο ἀσμένως καὶ μεγάλα ἐπηγγέλλετο, καὶ στρατιᾷ ἐπαγγελλόμενος καὶ χρήμασι καὶ πάσῃ δυνάμει βοηθήσειν ἐπὶ βασιλέα τὸν κηδεστὴν καὶ τὴν ἀφῃρημένην ἀνασώσεσθαι ἀρχὴν, ἔπραττέ τε πάντα καὶ ὑπετίθει, ὅσα ᾤετο τὸν πρὸς ἀλλήλους τῶν βασιλέων πόλεμον τηρήσειν ἄλυτον, συμβάσεις πρότερον πρὸς βασιλέα θέμενος, ἃς ἐνόμιζε μάλιστα αὐτῷ πρὸς τὴν ἀρχὴν λυσιτελεῖν. βασιλεὺς δὲ ὁ Καντακουζηνὸς δεινὰ ἐποιεῖτο τὰ ἀπαγγελλόμενα, (ἐμηνύετο γὰρ παρὰ τῶν φίλων κρύφα ὀσημέραι,) καὶ δεῖν ᾤετο ἐκεῖ παραγενόμενον, διαλύειν τὰς ἐπ' αὐτὸν συστάσεις. τοῦ Λατινικοῦ δὲ τότε ἀκμάζοντος πολέμου, οὔτ' ἀφίστασθαι ἐξῆν, οὔθ' ἑτέραν δύναμιν παρασκευάζειν, ὡς τῆς παρεσκευασμένης ἀναγκαίως πρὸς τὸν πόλεμον κατεχομένης. ἐπεὶ δὲ αὐτὸν ἐπὶ Μακεδονίαν ἀδυνάτως πλέειν ἔχοντα ἑώρα, Ἄνναν τὴν βασιλίδα ἔπεμπε πρὸς τὸν υἱὸν, ὡς πείσουσαν ἀποσχέσθαι τῶν ἀτόπων καὶ διαλλάξουσαν αὐτῷ, οὐκ ἀγνοεῖν φάμενος πρὸς ἐκείνην οὔτ' αὐτὴν, οὔθ' ἕτερον οὐδένα, οἵων κακῶν αἴτιος καὶ συμφορῶν ὁ συγγενικὸς κατέστη πόλεμος Ῥωμαίοις, οὐ τοῖς ἀρχομένοις μόνον, ἀλλὰ καὶ τοῖς ἄρχουσιν αὐτοῖς. [20]

3 205 οὗ καταλυθέντος διὰ χρόνου, καὶ τῶν τε κοινῶν καὶ ἰδιωτικῶν πραγμάτων πάντων πρὸς τὸ βέλτιον μεταδιδόντων, βάσκανός τις δαίμων ἠρεμεῖν οὐκ εἴασεν, ἀλλ' αὖθις φθόρους ἀνθρώπους καὶ συκοφάντας ἀναστήσας καὶ τρόπων οὐδὲν ἄμεινον φαυλότητι διακειμένους τῶν προτέρων, χαλεπώτερον πόλεμον ἀνακινεῖν ἐπιχειρεῖ. βασιλέα γὰρ τὸν υἱὸν πολλὰ καταψευσάμενοι καὶ παραγαγόντες, οἷα νέον καὶ τῶν πανουργιῶν καὶ τῶν δόλων καὶ τῶν ἐφ' ἑκάτερα μεταβολῶν τῶν ἀνθρώπων ἄπειρον παντάπασιν, ἔπεισαν προσέχειν σφίσιν, ὡς φιλοῦσι καὶ κηδομένοις καὶ πάντα πράττουσιν ὑπὲρ αὐτοῦ, ὅπως τὴν πατρῴαν ἀνασώσωνται ἀρχὴν, δυσμενέστατοι ὡς ἀληθῶς ἐκείνῳ τε καὶ πᾶσι Ῥωμαίοις ὄντες, ἐμὲ δὲ ἐπίβουλον ἡγεῖσθαι καὶ πολέμιον τὸν ὡς ἀληθῶς φιλοῦντα καὶ πάντα πραγματευόμενον, οὐχ ὥστε μόνον τὴν πατρῴαν ἡγεμονίαν ἔχειν, ἀλλὰ καὶ μείζω καὶ βελτίω, ἂν ἐξῇ. καὶ πολέμου ἤδη ἦρξε, συμβάσεις θέμενος πρὸς Κράληνἐπὶ τῷ στρατιὰν ἐκεῖθεν λαβὼν Τριβαλικὴν ἐμοὶ ἐπάγειν· ἃ οὔτ' ἐκείνῳ οἴομαι λυσιτελήσειν, οὔτε τοῖς ὑπηκόοις, οὔθ' ἡμῖν. τὰ μὲν οὖν προσδοκώμενα δεινὰ οὕτω χαλεπά· οἴομαι δὲ οὐδένα ἕτερον ταῦτα δυνήσεσθαι ῥᾷστα διαλύσειν, ἢ ἡμᾶς. εἰ μὲν οὖν μὴ ὁ παρὼν οὑτοσὶ Λατινικὸς πόλεμος ἄκουσιν ἐπέκειτο ἡμῖν, ῥᾷστα ἂν αὐτὸς διέλυσα τὰς συστάσεις ἐπελθὼν, οὐχ ὅτι γε ὀφθεὶς τοῖς ἐπιβουλεύουσιν ἐκείνοις καὶ τὸν πόλεμον κινοῦσιν, ἀλλὰ καὶ ἀκουσθεὶς μόνον, ὅτι ἐπ' αὐτοὺς βαδίζειν ὥρμημαι. [20]

3 206 οὐ γὰρ ἂν ὑπέμειναν μὴ οὐχὶ κυνῆν, ὅ φασιν, ᾄδου ὑποδύντες διαδιδράσκειν τὸν κίνδυνον πειρᾶσθαι. ἐπεὶ δ' ἀνάγκην ἔχω πρὸς τὴν παρασκευαζομένην αὐτὸς παρεῖναι μάχην, δέον αὐτὴν εἰς Θεσσαλονίκην ἀποπλεύσασαν διαλύειν τὰς διαφορὰς καὶ τὸν προσδοκώμενον πόλεμον παύειν, διδάξασαν μὲν τὸν υἱὸν, ὅσῳ χαλεπὸν τὴν ἡγεμονίαν αὐτὸν ἑκόντα διαφθείρειν, ἧς μετὰ μικρὸν ἔσται κύριος αὐτὸς ἄνευ πολέμων καὶ πραγμάτων, (αὐτὸς γὰρ, εἰ μὴ ὁ πρὸς Τριβαλοὺς πόλεμος κεκίνητο, καὶ νῦν ὁ Λατινικὸς οὑτοσὶ ἀκουσίως ἐπελθὼν, πάλαι ἂν ἐκείνῳ ἐνεχείρισα τὰ πράγματα, μοναχῶν σχῆμα ὑποδὺς αὐτὸς, ὥσπερ καὶ μικρὸν αὖθις ὕστερον παρεσκεύασμαι ποιεῖν,) τοὺς δὲ στασιαστὰς ἐκείνους καὶ τὴν κοινὴν Ῥωμαίων δυστυχίαν πράττοντας ἐπιπλήττουσαν καὶ ἀπειλοῦσαν τὰ δεινότατα καὶ πάντα τρόπον πειρωμένην ἀφιστᾶν τῆς μοχθηρίας. τοιαῦτα μὲν Καντακουζηνὸς ὁ βασιλεὺς πρὸς Ἄνναν τὴν βασιλίδα διειλέχθη, πείθων πρὸς Θεσσαλονίκην ἀποπλέειν ἐπὶ τῷ τὴν κινουμένην ἤδη στάσιν διαλύειν· ἡ δὲ πρῶτα μὲν ἠρέμα καθήπτετο βασιλέως, ὡς οὐ πειθομένου τὰ βέλτιστα

παραινούσης καὶ δεομένης, μὴ καταλείπειν ἐν Θεσσαλονίκῃ μόνον τὸν υἱὸν, ἔτι νέον ὄντα καὶ ῥᾳδίως δυνάμενον ἐξαπατᾶσθαι καὶ ἐξάγεσθαι τοῦ μετρίου, καὶ ταῦτα τοῖς πονηροτάτοις συνδιατρίβοντα ἐκείνοις, οἳ κἂν καὶ τοῦ δεινοτάτου περιγένοιντο καὶ πολλὴν πεῖραν τῶν πανουργιῶν αὐτῶν καὶ τῶν δόλων ἐσχηκότος, πολλαῖς ἀπάταις χρώμενοι καὶ κολακείαις. [20]

3 207 ἐπεὶ δ' οὕτω συνεσκευάσθη, καὶ τὰ μὴ λυσιτελοῦντα μᾶλλον αἱρετώτερα ἐφάνη, προθύμως ἐπὶ τὸν υἱὸν πλευσοῦμαι, εἶπε, καὶ πάντα διαλύσω τὰ δυσχερῆ ὀφθεῖσα. καὶ ὁ βασιλεὺς, ἐπεὶ ἐπείθετο, τριήρεις παρέσχετο ἐκ τῶν ἐφωπλισμένων, καὶ κατέπλεεν εἰς Θεσσαλονίκην. γενομένη δὲ ἐκεῖ, τόν τε πόλεμον εὕρισκε λαμπρῶς ἐξαφθέντα ἤδη, (πᾶσαι γὰρ αἱ πρὸς Κράλην συμβάσεις ἀπηρτισμέναι ἦσαν, ἐφ' αἷς ἔδει συμμαχεῖν τῷ νέῳ βασιλεῖ,) καὶ Κράλης αὐτὸς μετὰ τῆς γυναικὸς ἐγγὺς ἐστρατοπεδεύοντο Θεσσαλονίκης, τὸν πρὸς ἀλλήλους τῶν Ῥωμαίων πόλεμον ἐπισπεύδοντες. πάνυ γὰρ ἐδόκει σφίσι λυσιτελεῖν Καντακουζηνὸν τὸν βασιλέα δεδιόσι, καὶ μεγάλας ἐπεδείξαντο πρὸς βασιλέα τὸν νέον τὰς φιλοτιμίας, βουλόμενοι πείθειν αὐτὸν ἐκ τούτου, ὡς φιλοῦσί τε καὶ κήδονται αὐτοῦ ἀδικουμένου. τοὐναντίον δ' ἅπαν ἐσπουδάζετο. ὑπὲρ γὰρ τοῦ πολλῶν καὶ μεγάλων ἀποστερεῖν φαῦλά τινα καὶ οὐδενὸς ἄξια παρεῖχον. ταῦτα μὲν οὖν ἅπαντα ἀραχνίων δίκην διέλυεν ἡ βασιλὶς ἐπιφανεῖσα. τῷ τε γὰρ υἱῷ τὰ δέοντα παρῄνει καὶ ἔπειθεν εἰδότα τιμᾶν γονέας καὶ πάντα ὑπείκειν, ὅσα ἐκεῖνοι, πάντων μάλιστα φιλοῦντες, συμβουλεύουσι, καὶ πρὸς τοὺς στασιαστὰς ὀργῇ ἐφέρετο καὶ ἐξεφόβει καὶ κατηνάγκαζεν ἀπέχεσθαι τῶν ἀτόπων, τὰ ἔσχατα διαθήσειν ἀπειλοῦσα. [20]

3 208 πρός τε Κράλην ἐξελθοῦσα καὶ διαλεχθεῖσα μετὰ τῆς γυναικὸς, ἀδίκοις καὶ παρανόμοις ἀπεδείκνυεν ἐπιχειροῦντας, καὶ κεραυνοὺς ἐπανετείνετο καὶ ἄλλας ἐξ οὐρανοῦ πληγὰς, ὅτι πρὸς τῷ Ῥωμαίους τοσαῦτα ἀδικεῖν ἐπιορκοῦντας καὶ παρασπονδοῦντας ἔτι καὶ πολέμους αὐτοῖς ἐμφυλίους ἐπεγείρουσιν, ἐξ ὧν ἐκεῖνοι μὲν διαφθαρήσονται ἀλλήλοις περιπίπτοντες, αὐτοῖς δ' ἐξέσται τὴν ἐκείνων καρποῦσθαι ἀδεῶς· καὶ τέλος ἔπειθεν ἀποχωρεῖν ἀπράκτους, ὥσπερ αἰσχυνθέντας φανερῶς τῶν εἰργασμένων τὴν ἀτοπίαν. βασιλεὺς δὲ ὁ νέος βασιλίδι μὲν τῇ μητρὶ ἐπείθετο τὰ βέλτιστα παραινούσῃ, Αἶνον δὲ ᾐτεῖτο παρὰ βασιλέως τοῦ κηδεστοῦ καὶ τὰς τῆς Χαλκιδικῆς πόλεις, ἃς Ματθαῖος ὁ τοῦ βασιλέως υἱὸς εἶχεν, ὥστε αὐτῷ ἰδίαν ἡγεμονίαν εἶναι, πάντα μέντοι αὖθις ὑπείκειν βασιλεῖ τῷ κηδεστῇ. βασιλεὺς δὲ ὁ Καντακουζηνὸς ἐπεὶ ἐπύθετο τὴν ἀξίωσιν τοῦ νέου βασιλέως, θαυμάζειν μὲν ἔφασκεν αὐτοῦ, εἰ τοῦ παντὸς κύριος μετὰ μικρὸν ἐσόμενος, ὀλίγων τινῶν ἄρχειν βούλεται ὑπὸ μικροψυχίας, ὅμως παρείχετο ἑτοίμως, καὶ αὐτόν τε ἐκέλευε τοὺς παραληψομένους τὰς πόλεις πέμπειν· κἀκεῖνος ἔπεμπε τοὺς παραδώσοντας. ὁ μὲν οὖν προσδοκώμενος τῶν βασιλέων πόλεμος οὕτω τότε διελύθη ὑπὸ βασιλίδος Ἄννης. [20]

3 209 κη'. Παγανὴς δὲ ὁ τῶν ἐκ Γεννούας στρατηγὸς νεῶν, ἐπεὶ ὑστέρει πρὸς τὴν δίωξιν, καὶ αἱ ἐκ Βενετίας μετὰ Νικολάου νῆες ἦσαν ἐν ἀσφαλεῖ, Εὐβοίᾳ καὶ αὐτὸς προσχὼν, Νικόλαον ἐπολιόρκει καὶ τειχομαχίας ἐποιεῖτο πολλὰς καὶ καρτεράς. ἤνυε δὲ οὐδὲν, εὐρώστως τῶν ἔνδοθεν ἀμυνομένων, ὄντων ἀξιομάχων. ἐπεὶ δ' ἐπιχειροῦντες ἀδυνάτοις συνεώρων, ἄραντες ἐκεῖθεν, ἔπλεον ἐπὶ Ῥωμαίους. ἤδη γὰρ ἦσαν πεπυσμένοι, ὡς καὶ βασιλεὺς εἴη πολέμιος αὐτοῖς καὶ πολιορκοίη Γαλατᾶν. προσχόντες δὲ τῇ κατὰ Θρᾴκην Ἡρακλείᾳ καὶ ὁρμισάμενοι ἐπ' ἀγκυρῶν τὴν νύκτα, εἰς τὴν ὑστεραίαν ἀνήγοντο ὡς εἰς Βυζάντιον πλευσούμενοι· ἀνέμων δὲ σφοδρῶν ἀντιπνευσάντων, ἀναστρέψαντες αὖθις ἐπὶ μοίρᾳ κακῇ τῶν Ἡρακλεωτῶν, τῷ σφῶν λιμένι προσέσχον καὶ ἀπέβαινον· διεσκεδάννυντό τε πρὸς λαχανισμὸν οἱ ναῦται ἐν τοῖς πρὸ τῆς πόλεως κηπίοις, ὧν ἐξ ἐφόδου οἱ Ἡρακλεῶται δύο συλλαβόντες, ἀπέτεμον τὰς κεφαλὰς αὐτίκα, οἱ δὲ ἐν ταῖς τριήρεσιν ὀργῇ φερόμενοι ὑπὲρ τῶν ὁμοφύλων ἐχώρουν πρὸς τὰ ὅπλα καὶ ἐδέοντο τοῦ στρατηγοῦ ἐπάγειν σφᾶς τῇ πόλει, ποινὰς τῆς ἀδικίας ληψομένους. Παγανὴς δὲ καταστέλλειν ἐπειρᾶτο καὶ ἀποτρέπειν τῆς τειχομαχίας, οὐ σωφρονούντων εἶναι φάσκων ἐπὶ

δυσὶ τοῖς ἀπολλυμένοις καὶ πολλοὺς προσαπολλύειν ἄλλους, τείχεσι προσβάλλοντας, οἳ πολλοὺς ἀνάγκη ἀποθνήσκειν ἡμῶν τε καὶ τῶν πολεμίων. τοὺς μὲν γὰρ οἱ πεσόντες παραβλάψουσιν οὐδὲν, ἑτέρους δυναμένους ἐκ τῶν ἄλλων ἄγειν πόλεων καὶ πλείους καὶ βελτίους· ἐφ' ἡμῶν δὲ οὐχ ὁ ἴσος λόγος. [20]

3 210 ἂν γὰρ ἀποβάλωμέν τινας τῶν ὄντων, ἑτέρους ἀντεισάγειν ἐξέσται οὐδαμόθεν, καὶ συμβήσεται ἡμῖν τὴν δύναμιν ἀσθενεστέραν εἶναι, ἣν δεῖ φυλάττειν σώαν μάλιστα καὶ ἄθικτον, μέλλοντας πρὸς δύναμιν τοσαύτην Ῥωμαίων ὁμοῦ καὶ Κατελάνων καὶ τὴν ἐκ Βενετίας μάχεσθαι. ταῦτα δὲ ἔλεγεν ὁ στρατηγὸς, ἅμα μὲν καὶ σώφρονος καὶ ἄρχειν ἐμπείρου κεχρημένος λογισμοῖς, ἅμα δὲ καὶ τὰ Ῥωμαίων οὐ βουλόμενος κακοῦν διὰ τὴν πρὸς Καντακουζηνὸν τὸν βασιλέα εὔνοιαν· ἦν γὰρ τῶν φίλων. Παγανὴς μὲν οὖν οὕτω πείθειν ἐπειρᾶτο τὸ στρατόπεδον ἀπέχεσθαι τῆς πρὸς Ἡρακλεώτας μάχης, οἱ δ' οὐκ ἐπείθοντο, ἀλλ' ἠγανάκτουν κωλυόμενοι. Μαρτῖνος δὲ Ντεμόρω, τριήρεως ἄρχων καὶ αὐτὸς, εἰς μέσους παρελθὼν, ἐμαρτύρετο ἀδικεῖν καὶ προδιδόναι σφᾶς τὸν στρατηγόν. τὴν μὲν γὰρ τοσαύτην παρασκευὴν καὶ τὴν δαπάνην οὐδενὸς ἑτέρου γεγενῆσθαι, ἢ ὅπως κακώσουσι τὰ πολεμίων· νυνὶ δὲ δυναμένους μάλιστα τὴν Ἡράκλειαν ὅπλοις κατασχεῖν καὶ τά τε Ῥωμαίων διαφθείρειν καὶ αὐτοὺς τὰ μέγιστα ὠφελεῖσθαι, διὰ τὴν πρὸς βασιλέα εὔνοιαν κωλύεσθαι ὑπὸ τοῦ στρατηγοῦ· ἐκέλευέ τε τὸν γραμματέα τὰ εἰρημένα γράφειν, ὡς ἐπὶ τοῦ δήμου σφῶν καὶ τοῦ δουκὸς γραψόμενος τὸν στρατηγὸν ἠδικηκότα δημοσίᾳ. τοιαῦτα μὲν ἠπείλησε Μαρτῖνος· δείσας δὲ ὁ στρατηγὸς, μὴ ἐπὶ τοῦ δήμου κατηγορηθεὶς ἁλίσκηται καὶ δίκας τὰς ἐσχάτας δῷ, ἐφῆκε τὴν τειχομαχίαν. [20]

3 211 καὶ αὐτίκα πᾶν τὸ στράτευμα τῶν τριηρέων ἐξεχεῖτο ὡπλισμένον, καὶ περισχόντες τὴν πόλιν ἐτειχομάχουν· πολλαχῇ δὲ τῶν πρὸς τὴν ἤπειρον τειχῶν ὄντων εὐαλώτων, (οὐ γὰρ ἤλπισαν ἐπιθήσεσθαί τινα ἐκ τῆς ἠπείρου,) καὶ τῶν πολιτῶν ἀόπλων καὶ ἀπαρασκεύων καὶ πρὸς τοσαύτην δύναμιν ἀντισχεῖν οὐ δυνηθέντων, ἡλίσκετο ἡ πόλις τοῖς Λατίνοις κατακράτος, καίτοι παρ' αὐτὴν τὴν πρὸς τὰ τείχη προσβολὴν ἔκ τε Βυζαντίου στρατιὰ ἱππέων ἦκεν, ἣν ἔπεμψεν ὁ βασιλεὺς ὑπὲρ τῆς πόλεως ἀμυνουμένην, (ὑπώπτευσε γὰρ τὸ μέλλον, ὡς ἐπύθετο τὸν στόλον πρὸς Ἡράκλειαν κατάραντα,) καὶ Νικηφόρος δεσπότης ὁ τοῦ βασιλέως γαμβρὸς, τῶν κατὰ τὸν Ἑλλήσποντον Θρᾳκικῶν πόλεων ἄρχων, ἦκε μετὰ στρατιᾶς Ἡρακλεώταις βοηθήσων, καὶ ἐκ Βιζύης ὁ τῆς βασιλίδος Εἰρήνης ἀδελφὸς Ἀσάνης δεσπότης ὁ Μανουὴλ ἔπεμπε καὶ αὐτὸς στρατιὰν πρὸς συμμαχίαν. ὤνησαν δὲ οὐδὲν ἐπ' αὐτὴν τῆς μάχης τὴν ἀκμὴν ἐλθόντες. ἐρειπίων γὰρ ἐκ τῆς προτέρας συνοικίας πρὸ τῶν τῆς πόλεως πυλῶν τινων περισωζομένων, ἐνταῦθα οἱ Λατῖνοι τὸ κράτιστον τάξαντες τῶν σφετέρων τοξοτῶν, ἀπεῖργον τοὺς ἱππέας μὴ παριέναι εἰς τὴν πόλιν ἄχρις οὗ ὑπὸ τῶν ἐπιλοίπων ἑάλω μαχομένων. Ἡρακλεῶται δὲ ἐπεὶ ᾐσθάνοντο ἑαλωκότες, ἐφ' ἁρπαγὴν τῶν Λατίνων πρὸς τὰς οἰκίας τραπομένων, πυλίδα τῆς πόλεως μίαν διανοίξαντες, ἐξεχώρουν, καὶ διεσώθησαν πολλοὶ μάλιστα τοῦ δήμου πρὸς τὸ ἱππικὸν, τῶν Λατίνων ἔξω τῆς πόλεως ἐπιδιώκειν οὐ τολμώντων διὰ τοὺς ἱππέας. [20]

3 212 τὸ δὲ ἄριστον τῆς πόλεως μάλιστα ἑάλω, ὅσον ἐν γυναιξὶ καὶ παιδίοις, καὶ χρημάτων πολύ τι πλῆθος. ἦν γὰρ Ἡράκλεια ἐκ τῶν Ἀνδρονίκου τοῦ πρώτου τῶν Παλαιολόγων βασιλέως χρόνων οὐδέποτε ὑπ' οὐδενὸς ἑαλωκυῖα. Λατῖνοι δὲ ἐπεὶ τὰ χρήματα διήρπασαν, τὰς μὲν πρὸς τὴν ἤπειρον ἀπῳκοδόμησαν πάσας πύλας, ἔπειτα τῶν πολιτῶν ἀπολεξάμενοι τοὺς ἀρίστους καὶ ἄνδρας καὶ γυναῖκας, τριήρεις τε καταλιπόντες, ὅσας ᾧοντο ἀρκέσειν πρὸς φρουρὰν τῇ πόλει, ταῖς ἄλλαις εἰς Γαλατᾶν ἦλθον, ἔχοντες τοὺς αἰχμαλώτους. σίτῳ δὲ καὶ τοῖς ἄλλοις ἐπιτηδείοις, ὅσα μὴ ἀνάλωντο κατὰ τὴν ἅλωσιν, ἐχρήσαντο κατὰ τὸν τοῦ πολέμου χρόνον οὐκ ὀλίγον γεγενημένον· ὃ καὶ μάλιστα τὴν διατριβὴν αὐτοῖς ἄλυπον ἐποίησεν, ἐκεῖθεν τὰ ἐπιτήδεια ποριζομένοις. βασιλεὺς δὲ, τοῦ στόλου ἐπιόντος, ὁλκάδας τε πάσας καὶ τὰς τριήρεις,

αἳ πρὸς τὴν πολιορκίαν ἦσαν ὡπλισμέναι Γαλατᾶ, πρὸς τῷ ἐν Ἑπτασκάλῳ νεωρίῳ ἐκέλευεν εἰσάγειν, πρότερον, ὥσπερ ἔφθημεν εἰπόντες, ἐκκεκαθαρμένῳ ὑπ᾽ αὐτοῦ καὶ δυναμένῳ οὐ τὰς οὔσας μόνον, ἀλλὰ πλείους δέχεσθαι ἑτέρας. οὗ δὴ ἕνεκα Βυζαντίους βλάπτειν οὐδὲν ἠδύναντο Λατῖνοι. βασιλεὺς δὲ καὶ πρὶν τὸν στόλον ἥκειν καὶ μετὰ τοῦτο τῶν δεόντων οὐδενὸς ἠμέλει, ἀλλὰ τά τε πρὸς τῇ θαλάσσῃ τείχη ἄριστα ἐπεσκεύασε, τά τε πεπονηκότα ἀνακτώμενος καὶ τοῖς ἐνδέουσιν ὕψος προστιθείς· καὶ ἐκ τῶν Εὐγενίου πυλῶν ἄχρι τῆς Ξυλίνης λεγομένης πύλης τάφρον περιήλασε βαθεῖαν, πάσας τὰς οἰκίας κελεύσας εἰσάγειν ἐντὸς τειχῶν· καὶ τὴν ἐκ τῆς Θρᾴκης στρατιὰν μετεκαλεῖτο, οὖσαν οὐκ ὀλίγην, καὶ πάντα παρεσκευάζετο, ὡς, ἢν ἐπίωσιν οἱ Λατῖνοι, ἀμυνούμενος. [5]

3 213 Μαρτῖνος δὲ Ντεμόρω αὖθις τῷ στρατηγῷ σφῶν καὶ τοῖς τριηράρχαις συνεβούλευε καὶ τῶν Βυζαντίου τειχῶν ἀποπειρᾶσθαι. ἀντεῖπε δὲ ὁ στρατηγὸς ἀναφανδὸν, ἀλυσιτελῆ βουλεύεσθαι εἰπὼν Μαρτῖνον. οὐ γὰρ ὁμοίαν ἔχειν δύναμιν Βυζαντίους τοῖς Ἡρακλεώταις· καίτοι γε εἰ καὶ πρὸς Ἡράκλειαν ἡ ἐπὶ συμμαχίαν ἀφιγμένη δύναμις ἠδυνήθη παρελθεῖν, οὐ μόνον ἀνάλωτον ἐκείνην διετήρησεν, ἀλλὰ καὶ ἡμᾶς πολλῶν καὶ ἀγαθῶν ἀπεστέρησεν ἂν ἀνδρῶν. τὰ Βυζαντίων δὲ οὐ τοιαῦτα, ἀλλὰ τά τε τείχη, ὡς ὁρῶμεν, ἄριστα ἐπεσκεύαστο καὶ οὐδὲν ἠμελήθη τῶν δεόντων, καὶ πλῆθος ὁπλιτῶν τε καὶ ἱππέων τῶν ἀμυνουμένων παρεσκεύαστο, οἷς καὶ χωρὶς τειχῶν ἔργον ἦν ἀντικαθίστασθαι πρὸς μάχην. ἐπὶ τούτοις δὲ πᾶσι πάρεστι καὶ βασιλεὺς, ὃν ἀκούομεν συνέσεώς τε καὶ ἐμπειρίας τῆς πρὸς τοὺς πολέμους οὐδενὸς ἀπολειπόμενον τῶν καθ᾽ ἡμᾶς. οὐ δὴ σωφρονούντων ἀνθρώπων εἰς προῦπτον κίνδυνον ἐμβάλλειν ἑαυτοὺς ἐπ᾽ οὐδενός τινος ἐλπίδι κέρδους, ἀλλὰ διασώζειν τὴν δύναμιν ἐπικαίρως ὀλίγῳ ὕστερον χρησίμην ἐσομένην. τοιαῦτα μὲν ὁ στρατηγὸς αὐτός τε ᾤετο λυσιτελεῖν καὶ τοὺς ἄλλους ἔπειθε πλὴν Μαρτίνου. [20]

3 214 ἐκεῖνος γὰρ πάντα ἔπραττε καὶ παρώξυνε πρὸς μάχην τὸ στρατόπεδον, ῥᾳδίαν ἔσεσθαι φάσκων αὐτοῖς οὖσι τηλικούτοις τὴν παράληψιν τοῦ Βυζαντίου. Παγανὴς δὲ ἔργοις αὐτοῖς ἐθέλων ἀμαθῶς καὶ θρασέως ἀποδεικνύναι περὶ τοῦ πολέμου βουλευόμενον Μαρτῖνον, ἐκέλευεν ὁπλίζεσθαι τὴν στρατιὰν, ὡς μαχουμένους. ἐπεὶ δὲ ἦσαν ὡπλισμένοι, παρέπλεόν τε καὶ ἀπεπειρῶντο τῆς δυνάμεως Ῥωμαίων· καὶ πᾶσιν ἔδοξεν ὅμοια τῷ στρατηγῷ, ὡς οὐ μαχητέα εἴη πρὸς τοσαύτην δύναμιν, καὶ πολλὴν Μαρτίνου κατεγίνωσκον ἀβελτηρίαν. ὡς γὰρ μόνον ἐκεῖνοι ἐκινήθησαν ἐκ τοῦ λιμένος, οὐ μόνον ἐπὶ τῶν τειχῶν ἐφαίνοντο πολλοὶ Ῥωμαίων ὡπλισμένοι, ὡς δοκεῖν ὑπὸ τῆς στενοχωρίας συνωθεῖν ἀλλήλους, ἀλλὰ καὶ ἐπὶ θάλασσαν πρὸ τῶν τειχῶν ἀπὸ τῶν Εὐγενίου πυλῶν ἄχρι τῆς Ξυλίνης, ὡς ἐπὶ μιᾶς φάλαγγος, ἱππεῖς τε οὐκ ὀλίγοι καὶ πλῆθος ὁπλιτῶν καὶ ψιλῶν ἦσαν παρατεταγμένοι. αὐτίκα μὲν οὖν ὁ τῶν Λατίνων στρατηγὸς ἀνέστρεφε καὶ καθώρμιζε τὰς ναῦς πρὸς τῷ λιμένι. κθ′. Βασιλεὺς δὲ τοσοῦτον στόλον οὐκ ἂν οἰηθεὶς ἀργὸν καθῆσθαι ἀνασχέσθαι, ἀλλὰ ταῖς κατὰ τὸν Πόντον Ῥωμαίοις ὑπηκόοις πόλεσιν ἐπιχειρήσειν, ἔδεισέ τε ὑπὲρ αὐτῶν, μὴ οὐχ οἷαί τε ὦσι πρὸς τοσαύτην δύναμιν ἀντικαθίστασθαι, καὶ στρατιὰν ἔπεμπεν ἀξιόμαχον πρὸς ἑκάστην, ὡς ἀμυνουμένην πρὸς τοὺς πολεμίους, ἂν ἐπίωσιν. [20]

3 215 αἱ μὲν οὖν ἄλλαι πόλεις ἐδέξαντο προθύμως τὴν ἐπιμαχίαν καὶ χάριτας ὡμολόγουν βασιλεῖ πολλὰς τῆς ὑπὲρ σφῶν προνοίας καὶ παρεσκευάζοντο καὶ αὐτοὶ τὰ δέοντα πρὸς ἄμυναν· Σωζοπολῖται δὲ ἀπείπαντο τὴν παρὰ βασιλέως πεμφθεῖσαν δύναμιν, φάμενοι μὴ δεῖσθαι ξένων πρὸς ἐπικουρίαν, ὡς πρὸς ἄμυναν ἐξαρκούντων τῶν ἐπιχωρίων, ὄντων πολλῶν καὶ ἀγαθῶν, καὶ εἰσεδέξαντο εἰς τὴν πόλιν οὐδένα, εἰ μὴ Κρυβιτζιώτην τὸν τοῦ σφῶν ἄρχοντος ἀδελφὸν, καὶ ἀνέστρεφεν ἡ στρατιὰ, οὕτως ἀτιμασθεῖσα. πρὶν δὲ ἀνενεχθῆναι βασιλεῖ τὰ πεπραγμένα Σωζοπολίταις, (εἰ γὰρ ἐπύθετο, ἐκέλευεν ἂν καὶ ἄκοντας εἰσδέχεσθαι τὴν δύναμιν,) ἑάλωσαν ὑπὸ τῶν Λατίνων ἐπελθόντων. ὡς γὰρ ἡ βασιλέως ἀνέστρεφεν ἐκεῖθεν στρατιὰ ἀποπεμφθεῖσα,

ὥσπερ ἐκ συνθήματος ἐπῄεσαν οἱ Λατῖνοι· Σωζοπολῖται δὲ μηδὲν μήτε πρὸς ἐπισκευὴν τειχῶν, μήτε πρὸς ὅπλων ἐπιμέλειαν, μήτε πρὸς ἄλλο μηδὲν τῶν δεόντων παρεσκευασμένοι, ἡλίσκοντο ῥᾳδίως, οὐδὲ ὀλίγα ἀντισχόντες πρὸς τοσαύτην δύναμιν, καὶ σφᾶς τε αὐτοὺς ἀπώλεσαν ὑπ' ἀβουλίας καὶ βασιλεῖ λύπης οὐ μετρίας κατέστησαν αἴτιοι, πόλεως οὕτω καλῆς καὶ πᾶσιν ἀγαθοῖς εὐθυνουμένης ἀπολωλυίας. Λατῖνοι δὲ ἐπεὶ τὴν πόλιν εἶχον, διεπόρθουν ἐφ' ἡμέραις οὐκ ὀλίγαις ἀδεῶς καὶ τά τε ἀναθήματα τῶν ἱερῶν ἀφῃροῦντο πάντα καὶ χρυσὸν καὶ ἄργυρον, ὅσος ἐν τῇ πόλει ἦν, ἀνορύττοντες τὰς οἰκίας καὶ πάντα ἀκριβῶς διερευνώμενοι. [25]

3 216 ἐπεὶ δὲ πάντα ἦσαν ἀναλωκότες καὶ ἤδη ἔμελλον καὶ τὰς οἰκίας καθαιρεῖν καὶ τὸ σύμπαν πυρὶ παραδιδόναι, τῶν Σωζοπολιτῶν οἱ μάλιστα ἐν λόγῳ τῷ στρατηγῷ τῶν πολεμίων προσελθόντες, ἐδέοντο μὴ παντάπασι τὴν πόλιν διαφθείρειν, ἐξ ὧν αὐτοὶ μὲν οὐδὲν ὠφεληθήσονται, πόλιν δὲ οὕτω καλὴν κατεσκαμμένην καὶ ἀοίκητον ἀποδείξουσι, μνημεῖον ἐσομένην τοῖς εἰς ὕστερον παραπλέουσι τῆς αὐτῶν ἀγνωμοσύνης καὶ τῆς ἀφιλοτιμίας περὶ τὰ καλὰ, ἀλλὰ τῆς τοσαύτης αὐτῶν κακοπραγίας ἔλεόν τινα λαβόντας, φείσασθαι τῆς πόλεως ἐπὶ χρήμασι ῥητοῖς· ταῦτα δὲ αὐτοὺς ἀποτίσειν εἰς Βυζάντιον ἀχθέντας. οἱ μὲν οὖν τοιαῦτα ἐδέοντο τοῦ στρατηγοῦ, ἐκεῖνος δὲ ἅμα μὲν καὶ φιλανθρωπίας καὶ ἡμερότητος δόξαν ἀπενέγκασθαι ἂν οἰηθεὶς, ἅμα δὲ καὶ τὴν στρατιὰν ὠφεληθήσεσθαι ἐκ τῶν χρημάτων οὐκ ὀλίγα, (πλείστης γὰρ ἐδέοντο δαπάνης ἐφ' οὕτω χρονιζούσῃ καὶ μεγάλῃ παρασκευῇ,) ἐπείθετο καὶ συνέθετο ἐπὶ χρήμασι ῥητοῖς τὴν πόλιν ἐκλιπεῖν παντάπασι καὶ σῖτον καὶ τὴν ἄλλην ἅπασαν τὴν ἄχρηστον αὐτοῖς ἀποσκευήν. ὅμηρόν τε λαβόντες τοὺς ἀρίστους τῶν πολιτῶν ἐπὶ τῷ τὰ χρήματα ἀποδοῦναι, ἐπανῆκον εἰς Γαλατᾶν, τὸν ἄλλον δῆμον καὶ τὴν πόλιν ἐκλιπόντες· ἔπειτά τινες τῶν Σωζοπολιτῶν ὑπὸ τῶν Λατίνων εἰς Βυζάντιον ἐλθεῖν ἐπιτραπέντες καὶ ὑπὲρ σφῶν τε καὶ τῆς ἄλλης πόλεως παρὰ Βυζαντίων χρήματα δανεισάμενοι, ἀπέδοσαν Λατίνοις τὰ ὑπεσχημένα καὶ πρὸς τὴν πατρίδα ἐπανῆκον. Ἡρακλεωτῶν δὲ οἱ ἄριστοι, καὶ ἄνδρες καὶ γυναῖκες, ἐδέδεντο παρὰ Λατίνοις καὶ χρήματα ἐπὶ λύσει ἀπῃτοῦντο, ἃ οὐδαμόθεν ἦν ἐκτίνειν, τῶν τε οἰκείων πάντων ὑπὸ τῶν πολεμίων διεφθαρμένων, καὶ τῶν φίλων ἐξαρκοῦντος πρὸς ἐπικουρίαν οὐδενός. [20]

3 217 ἤρκεσε δὲ αὐτοῖς ἀντὶ πάντων πρὸς λύσιν τῆς τοσαύτης κακοπραγίας Φιλόθεος ὁ τῆς κατ' αὐτοὺς ἐκκλησίας τὴν ἀρχὴν ἐγκεχειρισμένος. προνοίᾳ γὰρ θεοῦ τῆς πόλεως, ἡνίκα ἡλίσκετο, ἀποδημῶν, τὰ μέγιστα συνεβάλλετο πρὸς τὴν ἐλευθερίαν τοῖς πολίταις. οἷα γὰρ καλὸς ποιμὴν, τὴν ψυχὴν ἔθηκεν ὑπὲρ τοῦ ποιμνίου, κατὰ τὸ λόγιον, οὐχ ἅπαξ, οὐδὲ δὶς καὶ τρὶς, ἀλλὰ καὶ πολλάκις. φόβου γὰρ παντὸς καταφρονήσας καὶ κινδύνου τοῦ ἀπὸ τῶν πολεμίων, αὐτόκλητος καθημέραν, ὡς εἰπεῖν, ἐπεραιοῦτο πρὸς Γαλατᾶν, καὶ τοῖς κατέχουσι τοὺς αἰχμαλώτους διαλεγόμενος, (ἦν δὲ οὐκ ἀπὸ τῶν τρόπων μόνον καὶ τῆς ἀρετῆς αἰδέσιμος ὁ ἀνὴρ, ἀλλὰ καὶ σοφίας ἄκρως ἐπειλημμένος τῆς τε ἔξω καὶ τῆς καθ' ἡμᾶς, καὶ πιθανὸς πρὸς τὰς ὁμιλίας καὶ διδακτικὸς,) ἔπειθεν ἐπὶ μετρίοις λύτροις ἀφιέναι. τῶν πολιτῶν δὲ οὐδὲ τῶν ὀλίγων ἐκείνων εὐπορούντων, αὐτὸς ἐγγύας παρεῖχε τοῖς Λατίνοις, ὡς αὐτὸς καταθήσων τὸ χρυσίον ἐπὶ ῥηταῖς ἡμέραις. καὶ οὕτω τυγχάνοντες ἀδείας οἱ πολῖται, τὰ χρήματα συνεπορίζοντο ἐκ τῶν οἰκείων καὶ τῶν φίλων καὶ ἀπεδίδουν τοῖς Λατίνοις. καὶ τοῦτ' ἐποίει τὸν ἴσον τρόπον, ἄχρις οὗ πάντας τῶν δεσμῶν ἀπήλλαξε, τοὺς ἀφανεστέρους δὲ τῶν αἰχμαλώτων καὶ ἄνευ λύτρων ἔπεισεν ἀφεῖναι τοὺς Λατίνους, αἰδεσθέντας αὐτοῦ τὴν ἀρετὴν καὶ τὴν ὑπὲρ τοῦ ποιμνίου προθυμίαν. [20]

3 218 οἶδε γὰρ ἡ ἀρετὴ τοὺς μετιόντας οὐ παρὰ τοῖς φίλοις μόνον καὶ οἰκείοις, ἀλλὰ καὶ παρὰ τοῖς πολεμίοις, κἂν τύχωσιν ὄντες βάρβαροι, θαυμάζεσθαι παρασκευάζειν. μετὰ τοῦτο δὲ, ἐπεὶ ἥ τε πόλις ὑπὸ τῶν Λατίνων κατελείφθη, καὶ οἱ πολῖται ἦσαν ἀπὸ τῆς αἰχμαλωσίας ἀνασεσωσμένοι πάντες, συνῴκιζε τὴν πόλιν αὖθις ἐξαρχῆς, διεσπαρμένους συνάγων τοὺς πολίτας, καὶ λόγοις

τε πολλοῖς παρεκάλει, μὴ ἀθυμεῖν ἐπὶ ταῖς συμφοραῖς, ἀλλὰ σωφρονισμὸν τοῦ ἐπιλοίπου βίου τὴν παροῦσαν ἡγεῖσθαι κακοπραγίαν, καὶ ἔργοις ὠφέλει, ὅσα μάλιστα ἐξῆν, οὐ μόνον ἱερὰ σκεύη καὶ βίβλους καὶ εἰκόνας συμπορίζων ἐκ τῶν ἐν Βυζαντίῳ φροντιστηρίων, αὐτὸς ἐπιφοιτῶν καὶ δεόμενος ἑκάστων συναίρεσθαι τὰ δυνατὰ τοῖς ἀτυχοῦσι, (πάντα γὰρ διέφθαρτο ὑπὸ Λατίνων ἄρδην,) ἀλλὰ καὶ βασιλέως ἐδεήθη ἀτέλειαν παρέχειν τοῖς πολίταις. ὁ δὲ καὶ οἴκοθεν αὐθόρμητος ὢν πρὸς τὰ καλὰ, καὶ τότε πρὸς τῶν πόλεων ἐπικαμπτόμενος τὴν κακοπραγίαν, οὐ μόνον Ἡρακλεώταις, ἀλλὰ καὶ Σωζοπολίταις πᾶσαν ἀτέλειαν παρέσχε τῶν δημοσίων εἰσφορῶν, ἐξ ὧν αἱ πόλεις αὖθις ἑαυτὰς ἀνεκτήσαντο ῥᾳδίως καὶ ἔμειναν ἐπὶ τοῦ προτέρου σχήματος συνῳκισμέναι. τὰ μὲν δὴ κατὰ τῶν πόλεων τὴν κακοπραγίαν καὶ αὖθις τὴν ἀνόρθωσιν τοῦτον τὸν τρόπον συνηνέχθη. λ′. Νικόλαος δὲ ὁ τῶν Βενετικῶν τριηρέων στρατηγὸς, ἐξ Εὐβοίας ἀπάρας εἰς Βενετίαν, στόλον τῶν Γεννουϊτῶν ἀντίῤῥοπον παρεσκευάζετο· ἦκον δὲ καὶ ἐκ Κατελάνων ἓξ καὶ εἴκοσι τριήρεις, στρατιὰν ἄγουσαι πολλὴν καὶ ἀγαθὴν, οἷς οἱ ἐκ Βενετίας συμμίξαντες ὥρμηντο ἐπὶ τοὺς πολεμίους. [20]

3 219 εἶχε δὲ τὴν ἀρχὴν Νικόλαος τριηρέων συμπασῶν ἑβδομήκοντα οὐσῶν. ὅ,τε γὰρ Βενετίας δοὺξ καὶ ἡ βουλὴ τῶν ἰδίων ἀνέθηκαν ἐκείνῳ τὴν ἀρχὴν, καὶ ὁ τῶν Κατελάνων ῥὴξ ἐκέλευε τῷ ναυαρχοῦντι τῶν σφετέρων πάντα Νικολάῳ πειθαρχεῖν καὶ ἕπεσθαι, οἳ ἂν κελεύοι, ἐμπείρως ἔχοντι καὶ νήσων καὶ παραλίων τῶν κατὰ τὸν Αἰγαῖον καὶ τὸν Εὔξεινον, ὅπου μάλιστα ᾤοντο συμβαλεῖν τοῖς πολεμίοις. Νικόλαος δὲ, καίτοι πολλῷ τῶν πολεμίων ἄγων βελτίω στρατιὰν, ὑπ᾽ ἀτολμίας τὰς νήσους περιῄει φυγομαχῶν, καὶ πολλὰ παρακαλούμενος ὑπὸ τοῦ Κατελάνων στρατηγοῦ, χωρεῖν ἐπὶ τοὺς πολεμίους καὶ μὴ κατατείνειν τὴν στρατιὰν εἰκῇ καὶ μάτην ἐν χειμῶνος ὥρᾳ, νήσους περιπλέων καὶ κατατρίβων τὸν καιρὸν, οὐκ ἐπείθετο. βασιλεύς τε ὁμοίως τὴν αἰτίαν τῆς μελλήσεως εἰδὼς, καὶ ἅπαξ καὶ δὶς ἔπεμψε πρεσβείαν, μεταπεμπόμενος Νικόλαον ὡς ἐφ᾽ ἑτοίμοις τοῖς τροπαίοις, καὶ παραινῶν μὴ ὀῤῥωδεῖν τοὺς πολεμίους, ἀλλ᾽ ἐπάγειν αὐτοῖς τὸν στόλον μάλιστα ἐν Βυζαντίῳ, ὅπου καὶ αὐτὸς τὰ μέγιστα συμβαλεῖται πρὸς τὸν πόλεμον. πρῶτα μὲν οὖν παρεκρούετο τοὺς πρέσβεις ὑπερτιθέμενος τὴν ἄφιξιν, ἔπειτα χειμῶνος ἤδη λήγοντος, ὑπό τε τῶν βασιλέως πρέσβεων πολλὰ παρακαλούμενος καὶ τοῦ Κατελάνων στρατηγοῦ, (ἦν γὰρ ἐκεῖνος οὐ συνεῖναι μόνον ὀξὺς τὰ δέοντα καὶ πεῖραν πρὸς στρατηγίας ἐσχηκὼς, ἀλλὰ καὶ πρὸς εὐψυχίαν καὶ τόλμην τὴν κατὰ τὰς μάχας γενναιότατος,) μόλις ἐπείθετο ἀναθαρσήσας, καὶ τὸν στόλον ἔχων, Πριγγίπῳ τῇ νήσῳ οὔσῃ ἀοικήτῳ προσέσχεν, οὐ μακρὰν οὔσῃ Βυζαντίου. [5]

3 220 ἐπὶ δύο δὲ ἡμέραις πρὸς τῇ νήσῳ τὴν στρατιὰν διαναπαύσας, (ἦν γὰρ πλεῖστα ὑπὸ τοῦ χειμῶνος κεκακωμένη, καὶ μάλιστα ἡ τῶν Κατελάνων, ὑπὸ τοῦ ψύχους πολλῶν, ἠκρωτηριασμένων,) τῇ τρίτῃ ἅμα ἕῳ ἄραντες ἐκ Πριγγίπου ὡπλισμένοι, ἐπὶ τὸ ἐν Ἑπτασκάλῳ νεώριον ἐχώρουν τῶν Βυζαντίων. γνώμην δὲ εἶχον, ὡς ἐκεῖ καὶ ταῖς βασιλικαῖς τριήρεσι συμμίξαντες, (ἔνδον γὰρ ἦσαν τοῦ νεωρίου ὡπλισμέναι,) χωρήσουσιν ἐπὶ τοὺς πολεμίους. Παγανὴς δὲ ὁ τῶν Γεννουϊτῶν στρατηγὸς ἑβδομήκοντα ἔχων καὶ αὐτὸς, ὧν ἦρχε, ναῦς, ἐν Χαλκηδόνι κατ᾽ ἀντικρὺ Βυζαντίου πρὸς τοὺς πολεμίους τάς τε προτέρας ἐφεξῆς ἡμέρας καὶ τότε ἀντιπαρετάσσετο, ἐπιοῦσι δὲ οὐκ ἐτόλμα συμβαλεῖν, ἀλλ᾽ ὁρῶν ἐπὶ τὸ Βυζαντίων νεώριον ποιουμένους τὴν σπουδὴν, ἔμενεν ἐπὶ τῆς παρατάξεως, ἐλπίζων ὑπὸ τοῦ πνεύματος ἀπροσδόκητόν τι πείσεσθαι τοὺς πολεμίους καὶ διαφθαρήσεσθαι ἑαυτοῖς περιπεσόντας, ὃ μικροῦ ἐδέησε παθεῖν. νότου γὰρ ἀνέμου σφοδροτάτου κατ᾽ ἐκείνην τὴν ἡμέραν πνεύσαντος, δυσέργως μὲν καὶ μετὰ βίας διήνυσαν τὸν ἐκ Πριγγίπου πλοῦν ἄχρι δείλης ἡμέρας ἤδη· ἐπεὶ δὲ ἐγγὺς τοῦ νεωρίου ἦσαν, ὑπὸ σφοδρότητος τοῦ πνεύματος ἐξωθούμενοι, ἐκινδύνευσαν βράχεσι περιπεσεῖν, ἃ πρὸ τῶν τειχῶν πάντη ἐγκατέσπαρται, ὥστε τοῖς τείχεσιν ἀμύνειν πρὸς τὴν βίαν τῶν κυμάτων. [20]

3 221 ἐν τούτῳ δὲ Ταρχανειώτης Κωνσταντῖνος ὁ τῶν βασιλικῶν τριηρέων στρατηγὸς, ἀνὴρ ἀγαθὸς πρότερόν τε ὢν καὶ τότε μάλιστα ἀποδεδειγμένος θάρσους καὶ φρονήματος ἀνάπλεως, ἐξήλαυνε τοῦ νεωρίου, καὶ τὰς σφετέρας τριήρεις ἔχων, εὐθὺ τῶν πολεμίων ᾔει ἀντικρὺ τῆς ναυαρχίδος. μετ' αὐτὸν δὲ καὶ ὁ τῶν Κατελάνων ἐχώρει στρατηγός· καὶ τρίτος ἐπήλαυνε καὶ Νικόλαος, ἀναθαρσήσας ἤδη. Γεννουῖται δὲ, τοῦ τε πνεύματος βιαζομένου καὶ τῶν πολεμίων ἐπιόντων, οὐδὲ ὑπέμειναν τὴν συμβολὴν, ἀλλ' ἀναστρέψαντες ἤλαυνον, ὡς εἶχον, ἐπὶ Γαλατᾶν· ἐπεδίωκον δὲ οἱ πολέμιοι. βραχείας δὲ οὔσης ἐνταῦθα τῆς θαλάττης, ἐπεὶ φεύγειν ἐπιπλέον οὐκ ἐξῆν, πρὸς τῷ Βραχοφάγῳ λεγομένῳ τόπῳ ὑφάλους ἔχοντι πολλὰς, οἷα δὴ τῶν τόπων ἔμπειροι οἱ Γεννουῖται πρότερον γενόμενοι, ὡρμίσαντο ἐπὶ τοῦ ῥεύματος, καὶ βεβαίως ἐπὶ τῶν ἀγκυρῶν ἑστῶτες, οὐ μᾶλλον ἐναυμάχουν ἢ ἐπεζομάχουν. οἱ ἐκ Βενετίας δὲ καὶ Κατελάνοι μετὰ Ῥωμαίων ἐπελθόντες, Ῥωμαῖοι μὲν ὄντες ἐπιχώριοι. ἐξέκλινον τὰς ὑφάλους καὶ ἠγωνίζοντο ἐμπείρως καὶ διέφθειρον τοὺς πολεμίους· οὐχ ἧττον δὲ καὶ οἱ ἐκ Βενετίας. Κατελάνοι δὲ τῶν τόπων ἔχοντες παντάπασιν ἀπείρως, σφοδρότατά τε ὑπὸ προθυμίας ἐπελαύνοντες τοῖς πολεμίοις, οἱ μὲν τοῖς βράχεσιν ἐνέπιπτον καὶ συνέθλων τὰς τριήρεις, μάλιστα βαρείας οὔσας, οἱ δ' ὑπὸ τοῦ ῥεύματος ἐκβιαζόμενοι, οὐ κατὰ πρώραν συνέβαλον τοῖς πολεμίοις, ἀλλ' ἐγκαρσίαις ταῖς τριήρεσι, καὶ ἐβλάπτοντο οὐκ ὀλίγα ὑπὸ τῆς ἀταξίας θορυβούμενοι τῆς πρὸς τὰς ἐμβολάς. [5]

3 222 τόλμης μέντοι καὶ ἀνδρίας ἔργα ἐπεδείξαντο θαυμαστὰ καὶ πλείστους ἀπέκτειναν τῶν πολεμίων· σχεδόν τε οὐδένες τὴν αὐτῶν ὁρμὴν ὑπέμειναν, οἷς συμμίξειαν, ἀλλ' ἡττῶντο κατακράτος. διεφθάρησαν δὲ καὶ αὐτῶν οἱ πλείους οὐ μᾶλλον ὑπὸ τῶν πολεμίων, ἢ τῆς ἀπειρίας, τοῖς βράχεσι περιπεσόντες. νύξ τε ἤδη ἐπιγενομένη διέσωσε τοὺς ἐκ Γεννούας τοῦ μὴ παντάπασι διαφθαρῆναι. διεκρίθησαν γὰρ ἀπ' ἀλλήλων βαθείας ἤδη νυκτὸς, ὅσοι μὴ αὐτίκα διεφθάρησαν, καὶ διέμειναν ἄχρις ἡμέρας διεσκεδασμένοι, ᾗ ἕκαστος ἔτυχεν ὁρμισάμενοι τὴν νύκτα. ὁ πλεῖστος δὲ φθόρος συμπέπτωκε τοῖς Κατελάνοις ἀπὸ τούτου. τοῖς βράχεσι γὰρ ἐμπίπτοντες καὶ καταῤῥηγνύντες τὰς τριήρεις, οἱ μὲν ἀπεπνίγοντο ὡπλισμένοι, διανήχεσθαι μὴ δυνάμενοι πρὸς τὴν χέρσον, τῶν δυνηθέντων δὲ διαφυγεῖν οἱ πλείους ὑπὸ τῶν Γαλατίων συνελήφθησαν ἀπατηθέντες. ὑποπτεύσαντες γὰρ ἐκεῖνοι τὸ συμβὰν, φῶτα ἔχοντες, ἐξῄεσαν ἐπὶ τοὺς ἐκβρασθέντας καὶ ἠγοῦντο ὡς ἐπὶ Βυζάντιον. οἱ δ' εἵποντο ἀπειρίᾳ, καὶ πλῆθος ἦλθε Κατελάνων εἰς τὸν Γαλατᾶν ἀγνοοῦντες, ὅποι ἄγονται. ἅμα δὲ ἡμέρᾳ θάλασσα μὲν νεκρῶν καὶ ναυαγίων περίπλεως ὡρᾶτο, τὰ στρατόπεδα δὲ ἀμφότερα οὐκ ὀλίγην κατὰ τὴν μάχην ἐκείνην ὑπέμεινε τὴν βλάβην. [20]

3 223 ἀπώλοντο γὰρ Γεννουϊτῶν μὲν ὀκτὼ καὶ εἴκοσι τριήρεις αὐτάνδροι, ἐκ δὲ τῶν ὑπολειφθεισῶν ὑπὲρ ἡμίσεις ἔπεσον ἐν τῷ πολέμῳ καὶ ἐτραυματίσθησαν. Βενετικῶν δὲ καὶ Κατελάνων ἑκκαίδεκα μὲν αὐτάνδροι ἀπώλοντο, οὐκ ὀλίγοι δὲ καὶ ἐκ τῶν περιλειφθεισῶν ἦσαν τραυματίαι καὶ νεκροί. τῶν δὲ βασιλικῶν ἀπώλετο οὐδεμία. ἔπεσον δέ τινες κατὰ τὴν μάχην, καὶ ἐτραυματίσθησαν πολλοί. εἶχον δὲ ὅμως τὴν νίκην περιφανῶς αἱ βασιλικαὶ μετὰ τῶν συμμαχίδων. οὕτω δὲ τοὺς ἐκ Γεννούας κατειργάσατο ἡ μάχη, ὡς εἰς τὴν ὑστεραίαν δύο τριήρεις αὐτῶν τὸν ἀπὸ τοῦ Βυζαντίου ὄχλον ἐπελθόντα, διεφθαρκέναι ἐκ χειρὸς, ἀδυνάτως ἔχοντας ἀνάγεσθαι, ἃς καὶ καθείλκυσάν τινες· ἐπὶ τὸ Βυζάντιον ἀκατίοις, οὐδενὸς ἀμυνομένου. ταῖς δὲ λοιπαῖς οἱ περιλειφθέντες εἰς Γαλατᾶν ἐλθόντες, ἐπεὶ οἱ ἐκ Βενετίας μετὰ τῶν συμμάχων ἐπὶ τὸν ἀνάπλουν ἀνεχώρησαν πάσας ἐκλιπόντες, ἐπὶ Γαλατᾶν εἰσῄεσαν, τοῖς πολεμίοις τὰς ναῦς καταλιπόντες. μόνος δὲ ὁ στρατηγὸς ὑπελείπετο ἐντὸς, ὥσπερ αἰσχυνόμενος τοῖς πολλοῖς ταὐτὸν παθεῖν καὶ τὰς ὑπολειπομένας ἔτι τῆς σωτηρίας ἐλπίδας καταπροέσθαι, βέλτιον ἡγούμενος, εἰ δέοι, συλλαμβάνεσθαι ὑπὸ τῶν πολεμίων, ἢ καὶ αὐτὸν

καταλιπεῖν τὰς ναῦς καὶ χρήσασθαι φυγῇ πρὸς σωτηρίαν. τοιαύτην δὲ περιφανῆ καὶ θαυμασίαν νίκην ἡ ἀνανδρία Νικολάου διέφθειρε καὶ ἀτολμία. [20]

3 224 εἰ γὰρ ἐπείθετο βασιλεῖ συμβουλεύοντι τοῖς πολεμίοις ἐπελθεῖν κατὰ τὴν ὑστεραίαν, οὐδὲν ἂν ἐκώλυε τάς τε ναῦς τῶν πολεμίων λαβεῖν ἁπάσας καὶ αὐτοὺς πολιορκίᾳ διαφθείρειν καὶ λιμῷ. ὑπὸ δειλίας δὲ τὸ τρόπαιον στῆσαι μονονουχὶ καταλιπὼν, εἴς τινα λιμένα ἦλθε κατὰ τὸ στενὸν Θεραπέα προσαγορευόμενον ἐγχωρίως. Παγανὴς δὲ ὁ τῶν Γεννουϊτῶν στρατηγὸς, οὐδένα ἐπιόντα πολέμιον ὁρῶν, παρεκάλει τὴν στρατιὰν ἐμβαίνειν αὖθις εἰς τὰς ναῦς καὶ μὴ τοσοῦτον καταπεπλῆχθαι τοὺς πολεμίους, ὥστε καὶ ἀπόντας ὀῤῥωδεῖν καὶ φεύγειν ἀγεννῶς, ἀλλὰ νῦν μὲν ἐμβάντας εἰς τὰς ναῦς καθῆσθαι, ἵνα μὴ παντάπασι δοκοῖεν ἀπηγορευκέναι, ἂν δ’ ἐπιόντας ἴδοιεν τοὺς πολεμίους, οὐδ’ αὐτὸν κωλύσειν σώζεσθαι γενομένους ἐντὸς τειχῶν. οὕτω μὲν αὖθις ἔπειθε, καὶ εἰσήγοντο ἐν ταῖς τριήρεσιν, ὡρμίσαντό τε πρὸ τοῦ φρουρίου, γνώμην ἔχοντες, ὡς, ἢν ἐπίοιεν οἱ πολέμιοι, οὐ ναυμαχήσοντες, ἀλλὰ προησόμενοι τοῖς πολεμίοις τὰς τριήρεις. βασιλεὺς δὲ τὴν ἀτολμίαν καὶ ἀσθένειαν οὐκ ἀγνοῶν τῶν πολεμίων, πέμπων τε παρεκάλει τὸν Νικόλαον ἐπὶ τοὺς πολεμίους ἥκειν αὖθις, ὡς ἀναιμωτεὶ τῆς νίκης ἐσομένης, καὶ αὐτὸς γενόμενος πρὸς τῷ λιμένι, ᾧ ὡρμίζετο, πείθειν ἐπεχείρει, τὴν ἀσθένειαν τῶν πολεμίων ἐκδιδάσκων. ὁ δ’ ἀήττητος ἦν πρὸς πᾶσαν ἀνάγκην τὴν ἐκ λόγων, ἀλλὰ τοῦτο μόνον ἐσκόπει, ὅπως μὴ αὖθις συμμίξειε τοῖς πολεμίοις, τῆς ἀτολμίας δὲ καὶ φαυλότητος ὥσπερ προκάλυμμα καὶ τραῦμά τι μικρὸν εἶχεν, ὃ κατὰ τὴν μάχην ἐτραυματίσθη. [20]

3 225 βασιλεὺς δὲ ἠνιᾶτο μὲν οὐκ ἀνεκτῶς καὶ ὠργίζετο, τοιαύτης νίκης ἀπολλυμένης ὑπὸ Νικολάου, πείθειν δὲ οὐκ εἶχε πολλὰ παρακαλῶν. οὐχ ἧττον δὲ καὶ ὁ τῶν Κατελάνων ἡγανάκτει ἡγεμὼν συνορῶν, οἵων ὑπὸ τοῦ συνάρχοντος τροπαίων ἀποστεροῦνται, ἔφασκέ τε πρὸς βασιλέα ἀνάγκην ἔχειν ἔπεσθαι Νικολάῳ, καὶ μηδὲν, ὃ μὴ κἀκείνῳ δοκεῖ, ἐξεῖναι πράττειν. οὕτω γὰρ εἶναι προστεταγμένον αὐτῷ παρὰ ῥηγὸς τοῦ σφῶν δεσπότου. εἰ δὲ μὴ ταύτην εἶχε τὴν ἀνάγκην, οὐκ ἂν ἐδεήθη Νικολάου πρὸς τὴν κατὰ τῶν πολεμίων ἔφοδον, ἀλλ’ ἅμα ταῖς βασιλέως μόναις ἂν ἐπεχείρησε καὶ κατώρθωσε τὸ ἔργον, τῇ τε τῶν σφετέρων εὐτολμίᾳ πεποιθὼς καὶ ἀρετῇ καὶ τῇ Ῥωμαίων. εὐτολμότατοι γὰρ ἐφάνησαν αὐτῷ καὶ ἐμπειρότατοι κατὰ τὴν μάχην. αἰσθόμενος δὲ ὁ βασιλεὺς καὶ αὐτὸν ὡρμημένον πρὸς τὴν μάχην, μᾶλλόν τε ἐπέῤῥωσε λόγοις παρακλητικοῖς, καὶ Νικόλαον αὖθις ἐπεχείρει πείθειν, καὶ τοῦ Κατελάνων ἄρχοντος τὴν γνώμην ἐπαινοῦντος καὶ δεομένου πείθεσθαι τῷ βασιλεῖ τὰ βελτίω συμβουλεύοντι. ὁ δὲ πᾶσι λόγοις μᾶλλον, ἢ τοῖς περὶ μάχης, ὑπεῖχεν ἀκοάς· ἀλλ’ ἀπηγόρευε φανερῶς καὶ διήγαγεν οὕτως ἀπρακτῶν ὀλίγῳ πλείους ἡμερῶν τριάκοντα. Κατελάνοι δὲ εὐθὺς μετὰ τὴν μάχην τούς τε τραυματίας, ὅσοι ἦσαν, καὶ τοὺς νενοσηκότας, παμπόλλους ὄντας, ἤγαγον εἰς Βυζάντιον. καὶ φιλοφρόνως ἄγαν οἱ Βυζάντιοι ἐδέξαντο καὶ ἐθεράπευσαν μάλα φιλανθρώπως, ὑπὸ λιμοῦ καὶ κρύους μάλιστα κακῶς διακειμένους. [20]

3 226 καὶ τά τε ἀναγκαῖα τῶν ἐνδυμάτων ἐχορήγουν καὶ πρὸς τὴν νόσον ἤρκεσαν ἑκάστῳ, ὅσοι μὴ ἀπέθνησκον κατεργασθέντες. πολλήν τε κατεγίνωσκον ὠμότητα καὶ ἀφιλανθρωπίαν Νικολάου, ὅτι στρατιὰν ἀκμάζουσαν καὶ πρὸς μάχας κάλλιστα ἐξησκημένην καὶ πλεῖστα διαφέρουσαν, ὧν αὐτὸς ἦγε, πρὸς ἀνδραγαθίας λόγον, παραλαβὼν, ὥσπερ ἐξεπίτηδες διέφθειρε καταμελήσας. θέρους γὰρ ὥρᾳ τῆς ἰδίας γῆς ἐξορμηθέντες καὶ νομίσαντες ἐν ὀλίγῳ χρόνῳ ἢ διαφθερεῖν τοὺς πολεμίους προστυχόντες, ἢ αὐτοὶ διαφθαρήσεσθαι, (τοιαύτῃ γὰρ ἐξεστράτευσαν ὁρμῇ,) οὔθ’ ἱματίων πρόνοιαν πρὸς τὴν ἐν χειμῶνι στρατείαν ἀρκεσόντων ἐποιήσαντο, οὔτε τῶν λοιπῶν ἐπιτηδείων, ἀλλὰ μέτρι’ ἄττα ἔχοντες, ἐξῆσαν ἐν ταῖς ναυσί. Νικολάου δὲ τὸν χρόνον τρίβοντος κακῶς καὶ νήσους περιπλέοντος καὶ φυγομαχοῦντος ὑπ’ ἀνανδρίας, ἐπεὶ πείθειν οὐκ εἶχον πολλὰ δεόμενοι ἐπάγειν σφᾶς τοῖς πολεμίοις, ἕως ἔῤῥωται ἡ στρατιὰ, ὡς πολλῷ τῶν ἐλπίδων βελτίους ἐσομένους, τά τε ἐπιτήδεια ἐπιλείπειν ἤδη ἤρχετο,

ἀνάγκῃ περισχεθεὶς ὁ στρατηγὸς καὶ δείσας, μὴ παντάπασιν ἀπόλωνται ὑπὸ ἐνδείας, ἐκέλευε τὴν ἡμίσειαν τροφὴν ἑκάστῳ καὶ ναύτῃ καὶ ὁπλίτῃ παρέχειν, τῆς ἡμέρας οὐδὲν πλέον, ἢ μάζης οὔσης. γλίσχρως δὲ αὐτοῖς χορηγουμένης τῆς τροφῆς ὡς μόλις ἀποζῇν, καὶ χειμῶνες ἐπιγενόμενοι ἐξαίσιοι, διέφθειραν παντάπασι γυμνοῖς καὶ πεινῶσιν ἐπιθέμενοι. [20]

3 227 Νικολάου δὲ οὐδενὸς ἐμέλησε τῶν τοιούτων, ἀλλὰ καὶ ἐν ἐμπορίοις τοῖς σφίσι φιλίοις προσίσχων ταῖς ναυσὶ, τῶν μὲν ἰδίων ἐποιεῖτο πρόνοιαν, ὅση δυνατὴ, τῶν δὲ συμμάχων, οὐδ' ὅσον εἰπεῖν ὄντων βελτιόνων, κατημέλει. τοιαύτην ἐνεδείξατο ἀγνωμοσύνην πρὸς τοὺς φίλους. ὃν δικαίως πολλὰ καταμεμφόμενοι Βυζάντιοι τοὐναντίον ἅπαν ἐπεδείκνυντο πρὸς Κατελάνους, τῆς τοσαύτης οἰκτείροντες κακοπραγίας. οὐ μόνον γὰρ ἦσαν παντάπασι γυμνοὶ, ἀλλὰ καὶ νεκρῶν εἴδωλα καμόντων, ποιητικῶς εἰπεῖν, ὀλίγον ἐμπνέοντες ἔτι καὶ ζῇν πεπιστευμένοι τῷ κινεῖσθαι· οἱ πλείους δὲ οὐδὲ κινεῖσθαι ἦσαν δυνατοὶ, ὑπὸ τοῦ ψύχους τῶν μελῶν ἠκρωτηριασμένων. καὶ τοσαύτης ἠξίωσαν ἐπιμελείας, ὅσης ἄν τινας καὶ τῶν οἰκειοτάτων. οὐ μόνον οἱ δυνατοὶ τῶν πολιτῶν καὶ φροντιστήρια ἱερὰ καὶ οἱ πρὸς κοινὴν ὑποδοχὴν τῶν ξένων κατεσκευασμένοι οἶκοι, τὸ θαυμαστὸν τοῦτο παρὰ Ῥωμαίοις ἔργον καὶ πολλῆς φιλανθρωπίας γέμον, ἀλλὰ καὶ τῶν τοῦ δήμου πλεῖστοι καὶ τῶν ἐργαστηρίοις καὶ τέχναις προσεχόντων, μᾶλλον δὲ σύμπαντες ἐφιλονείκουν, ἄλλος ἄλλον ὑπερβαλέσθαι τῇ περὶ τοὺς δυσπραγοῦντας φιλοτιμίᾳ, καὶ οὕτω καλῶς ἀνακτησάμενοι καὶ προνοίας τῆς δεούσης ἀξιώσαντες, ἐξέπεμπον ἐπὶ τὰς σφῶν τριήρεις πρὸς τὴν οἰκίαν ἀπαιρούσας ἤδη, πολλὰ Ῥωμαίους εὐφημοῦντας καὶ τῆς περὶ σφᾶς προνοίας μεγάλας χάριτας ὁμολογοῦντας. [20]

3 228 ὅσοις δὲ ἀπώλοντο αἱ νῆες, ἐν Βυζαντίῳ κατελείποντο ἀνάγκῃ, περὶ δισχιλίους ὄντες, ὧν τοὺς πολλοὺς δεηθέντας ὕστερον πολλῆς προνοίας ἀξιώσας ἐξέπεμψεν ὁ βασιλεὺς πρὸς τὴν οἰκίαν διὰ τῆς ἠπείρου. κατελείποντο δὲ ἑκοντὶ ὑπὲρ τριακοσίους, οἷς ἐχρῆτο πρὸς στρατείας ὁ βασιλεὺς μισθοφοροῦσι, καὶ πολλὴν ἀνδραγαθίαν ἐπεδείκνυντο κατὰ τὰς μάχας. ταῦτα μὲν οὖν ὕστερον. λα'. Τότε δὲ, ἐπεὶ οἱ ἐκ Γεννούας οὐδένα πολεμίων ἐν ἡμέραις πλείοσιν ἑώρων ἐπιόντα, ὅπερ ἦν, τὴν πρὸς αὐτοὺς μάχην ὀῤῥωδεῖν τοὺς πολεμίους ὑποπτεύσαντες, ἀνεθάρσησάν τε καὶ δεῖν ἔγνωσαν αὐτοὶ ἐκείνοις ἐπιέναι, ὡς μᾶλλον καταπλήξοντες. καὶ αὐτοί τε παρεσκευάζοντο, ὅσα ἔδει, πρὸς τὴν μάχην, καὶ πρὸς Ὀρχάνην πρεσβείαν πέμψαντες, ἐδέοντο σφίσι συμμαχεῖν, χρήματά τε οὐκ ὀλίγα παρεχόμενοι καὶ τὴν χάριν ἐσαεὶ ἀνάγραπτον τῷ Γεννούας δήμῳ καὶ τῇ βουλῇ ἔσεσθαι ἐπαγγελλόμενοι. ὁ δ' ἐπείθετο προθύμως, οὐ μόνον τῶν χρημάτων ἕνεκα, ἀλλ' ὅτι καὶ τοὺς ἐκ Βενετίας ἐν αἰτίαις εἶχεν, ὅτι πρὸς τοὺς ὅρους τῆς ἐκείνου ἡγεμονίας ἀφιγμένοι στόλῳ τοσούτῳ, οὐ μόνον σύμμαχον καὶ φίλον ἔχειν, ἀλλ' οὐδὲ προσρήσεως γοῦν τινος ἠξίωσαν ψιλῆς. καὶ πέμψας στρατιὰν πολλὴν πεζήν τε καὶ ἱππικὴν πρὸς τὴν ἀντιπέρας Βυζαντίου ἤπειρον, ἐκεῖθέν τε ἐκέλευε τοὺς ἐκ Γεννούας ὠφελεῖν, ὅ,τι ἂν δύναιντο, καὶ πρὸς Γαλατᾶν περαιουμένους. [20]

3 229 καὶ ὠφέλησε τὰ μέγιστα κατ' ἐκεῖνο τοῦ καιροῦ τὸ Περσικὸν αὐτούς. ὡς γὰρ ἤδη παρεσκευασμένοι ἦσαν καὶ οὐδὲν ἐνέδει ἔτι, καὶ ὁλκάδας δύο μεγάλας ἐπαγόμενοι, ἐφ' αἷς ἦσαν ξύλινοι πύργοι κατεσκευασμένοι, οἷς ἐπέστησαν πολλοὺς ὁπλίτας, πρὸς τὴν ἀντιπέρας ἤπειρον ἐπεραιώθησαν ταῖς ναυσὶν ἁπάσαις, ὅσαις εἶχον. παρεπομένων δὲ ἐκ τῆς ἠπείρου καὶ τῶν Περσῶν, καταντικρὺ τῶν πολεμίων ὡρμίσαντο ἐλθόντες. καὶ ὁ βασιλεὺς αὐτίκα πολλὴν ἄγων στρατιὰν πεζήν τε καὶ ἱππικὴν ἐκ Βυζαντίου, συστρατευομένου καὶ Παλαιολόγου τοῦ νέου βασιλέως, (ἄρτι γὰρ ἀφῖκτο ἐκ Θεσσαλονίκης, ὥσπερ ὕστερον εἰρήσεται ὀλίγῳ,) πρός τε τὰς σφετέρας καὶ τὰς συμμαχίδας ἀφίκοντο τριήρεις καὶ παρώρμων τὸν Νικόλαον ἐπὶ τὴν μάχην. ὁ δὲ τοσοῦτον ἀπέσχε τοῦ πεισθήσεσθαί ποτε, ὥσθ' ὑπ' ἄκρας ἀθλιότητος μηχανὰς διενοεῖτο πετροβόλους ἀχθησομένας ἐκ Βυζαντίου καθιστᾷν ἐπὶ τῆς χέρσου, ὡς ἀμυνουμένας ἀπὸ γῆς, ἂν οἱ πολέμιοι ἐπίωσιν. ἃ εἰ καί τινα ὠφέλειαν συνοίσειν ἐνομίζετο, οὐκ ὀλίγου ἂν

ἐδεήθη χρόνου πρὸς κατασκευὴν, τῶν πολεμίων μάλιστα ἐφεστηκότων καὶ πολλάκις τῆς αὐτῆς ἡμέρας δυναμένων ἐπιέναι. οὕτως οὔτε ἔπραττεν, οὔτε διενοεῖτό τι τῶν ἔμφρονι στρατηγῷ καὶ τὰ δέοντα συνεῖναι δυναμένῳ προσηκόντων ὑπὸ τῆς προσούσης ἐμπληξίας καὶ δειλίας. Πούνσων δὲ Ντεσάντα παῖς, (οὕτω γὰρ ὁ τῶν Κατελάνων ἄρχων ἐκαλεῖτο,) διερῥήγνυτο ὑπὸ θυμοῦ καὶ διασπᾷν, εἰ οἷόντε ἦν, τὸν συνάρχοντα Νικόλαον διενοεῖτο, τὴν ὕβριν τῶν πολεμίων καὶ τὴν καταφρόνησιν ἐννοῶν, ἣν πάσχουσι διὰ τὴν φαυλότητα τοῦ στρατηγοῦ, τοσοῦτον ἐν ἅπασι τῶν πολεμίων ὑπερέχοντες. [25]

3 230 πολλήν τε τοῦ σφετέρου ῥηγὸς κατεγίνωσκεν ἀπραγμοσύνην, ὅτι φέρων αὐτόν τε καὶ τὴν στρατιὰν ὑπέταξε τοιούτῳ ἀνδραπόδῳ, τῶν πολλῶν καὶ φαυλοτάτων οὐδὲν ἄμεινον διακειμένῳ. πονήρως δὲ καὶ τὸ σῶμα ἔχων ὑπὸ πυρετῶν, τὴν ἀρχήν τε ἔφασκεν ὑπὸ τῶν ἀτόπων ἔργων τοῦ συνάρχοντος νενοσηκέναι καὶ τελευτήσειν, ἀεὶ προστιθεμένων τῶν δεινῶν· ὅπερ καὶ μικρὸν ὕστερον ἐγίνετο. εἴτε γὰρ ὑπὸ πικρίας καὶ ὀργῆς τῆς πρὸς τὸν συνάρχοντα, εἴτε καὶ ἄλλως κατεργασθεὶς ὑπὸ τῆς νόσου, ἐτελεύτησεν, ἀνὴρ ἐπιφανὴς ἐν τοῖς ὁμοφύλοις καὶ πρὸς σύνεσιν καὶ στρατηγίαν οὐδενὸς ἀπολειπόμενος καὶ ἀγαθὸς ὀφθεὶς κατὰ τὰς μάχας. ᾑρεῖτο δὲ ἀντ' ἐκείνου στρατηγὸς Μονενάν τε Σκολτοῖς Κατελάνης, οὐκ ἐπιφανὴς μὲν, οὐδὲ ἐκ τῶν εὐπατριδῶν, ὅμως δὲ συνέσει καὶ πείρᾳ τῶν ἄλλων ὑπερέχων καὶ πρὸς μάχας κάλλιστα ἐξησκημένος. Νικόλαος δὲ ἅρας ἐξ οὗπερ ὡρμίζετο λιμένος ἅμα πάσαις ταῖς τριήρεσιν εἰς Βυζάντιον ἀφῖκτο, ὀπίσω καταλιπὼν τοὺς πολεμίους. δείσαντες δὲ κἀκεῖνοι, μὴ ἐπίθωνται Γαλατᾷ ὀλιγανδροῦντι, (πάντες γὰρ ἦσαν ἐν ταῖς ναυσὶ,) κατέπλεον μετ' ἐκείνους. καὶ αὖθις ὁ βασιλεὺς ἐδεῖτο Νικολάου συμβαλεῖν τοῖς πολεμίοις καταπλέουσιν· ἑώρα γὰρ περιφανῆ τὴν νίκην ἐσομένην. ὁ δ' οὐδὲν ἧττον ἢ πρότερον, πάντα μᾶλλον ἢ μάχεσθαι διενοεῖτο. [20]

3 231 βασιλεὺς δὲ ὑπ' ἀμηχανίας ἀπορῶν, ὅ,τι χρήσαιτο τοῖς πράγμασι, Μονενὰν τῷ τῶν Κατελάνων ἄρχοντι συνεβούλευε, μετὰ τῶν βασιλικῶν παρασκευασάμενον τριηρέων χωρεῖν ἐπὶ τοὺς πολεμίους. οἴεσθαι γὰρ καὶ Νικόλαον αἰσχυνθέντα οὐκ ἀπολειφθήσεσθαι τῆς μάχης, πρός τε τὸν ῥῆγα σφῶν εὐπρόσωπον ἀπολογίαν ἔσεσθαι, εἰ παρὰ Νικολάου διώκοιτο ἀπειθείας· τετελευτηκέναι γὰρ ἐκεῖνον, ᾧ προσέταττεν ὁ ῥὴξ πάντα Νικολάῳ πείθεσθαι. Μονενὰν δὲ αὐτῷ τε καὶ τοῖς ὁμοφύλοις μάλιστα τὴν μάχην εἶναι κατὰ γνώμην ἔφασκε καὶ πολλὴν καταγινώσκειν ἀτολμίαν Νικολάου, οὕτως ἑτοίμην νίκην ὑπὸ φαυλότητος ἑκοντὶ προϊεμένου· μὴ δύνασθαι δὲ μηδ' αὐτὸν παρὰ τὰ δοκοῦντα πράττειν Νικολάῳ. τὸν γὰρ αὐτὸν εἶναι λόγον πρὸς αὐτὸν, ὅνπερ καὶ τῷ στρατηγοῦντι πρὸ ἐκείνου. εἶναι δὲ ἀνόητον παντάπασιν, εἰ νικῶντες καὶ ἡττώμενοι ὁμοίως εὐθύνας ὑποπτεύοντες τῆς ἀπειθείας τῷ σφῶν ἄρχοντι παρέχειν, ἔπειτα διακινδυνεύειν ὑποσταῖεν ἐφ' οὕτως ἑκατέρωθεν ἐσομένοις φανεροῖς κακοῖς. ἅντε γὰρ νικῷεν, κολάζεσθαι ἀνάγκη καὶ τὰ ἔσχατα ὑπομένειν καὶ ἀτίμους εἶναι διὰ τὴν ἀπείθειαν, (οὕτω γὰρ εἶναι παρ' αὐτοῖς νενομισμένον,) ἄνθ' ἡττῶνται παρὰ τῶν πολεμίων, (ἄδηλον γὰρ, ὅπη ἀποβήσεται,) ἀνάγκη ἀποθνήσκειν τοὺς περισωθέντας ἀπὸ τοῦ πολέμου. δι' ἃ μὴ δύνασθαι, εἰ μὴ Νικόλαος ἐπιτρέπει, συμπλέκεσθαι τοῖς πολεμίοις. οὕτω δὲ περὶ τὴν μάχην μάλιστα ἠσχολημένου βασιλέως καὶ ἀγανακτοῦντος, ὅτι μὴ πείθοιντο οἱ σύμμαχοι, (ταῖς γὰρ σφετέραις μόναις ἀδύνατοι ἦσαν οἱ Ῥωμαῖοι πρὸς τοσοῦτον στόλον ἀντικαθίστασθαι τῶν πολεμίων,) ἀθρόον ἐωρῶντο ἄρτι ἥκουσαι ἐκ Κατελάνων τρεῖς τριήρεις μέγισται μεγέθει καὶ πρὸς τὴν ἄλλην ἅπασαν παρασκευὴν διαπρεπῶς κεκοσμημέναι, ὁπλίτας ἄγουσαι μαχιμωτάτους πολλοὺς καὶ ἀγαθούς. [5]

3 232 νομίσας δὲ διὰ τὴν προσθήκην τῶν τριηρέων ἀναθαρσήσαντα Νικόλαον χωρήσειν ἐπὶ τοὺς πολεμίους, ἥδετό τε καὶ ἐν ἐλπίσι χρηστοτέραις ἦν καὶ αὖθις ἐπεχείρει παρορμᾷν. ὁ δ' ἔργοις αὐτοῖς ὡς οὐ μαχεῖται φανερὸν ποιῶν, τὸν ναύσταθμον καταλιπὼν, (ὡρμίζετο γὰρ ἐπὶ τὰς Εὐγενίου πύλας,) καὶ περιπλεύσας τὴν ἀκρόπολιν, ἐπὶ τὸ ἀκμαιότατον τοῦ ῥεύματος ἐλθὼν,

ἐφώρμει πρὸς τὴν τῆς μάρτυρος Βαρβάρας καλουμένην πύλην. συνείποντο δὲ ἀνάγκῃ καὶ Κατελάνοι καὶ Ῥωμαῖοι. βασιλεὺς δὲ εἰδὼς ἀλίμενον τὸ χωρίον ὂν, ὡς τὰ πολλὰ, ἂν ἐκ πόντου ἢ τῆς ἕω πνεύματα προσπέσωσιν· (ὀγκουμένη γὰρ ἡ θάλασσα τοῖς τείχεσι προσπίπτει, πέτραι τε πολλαὶ καὶ ὕφαλοι καὶ φαινόμεναι τῶν τειχῶν προβέβληνται πανταχοῦ πρὸς ἄμυναν τῶν κυμάτων, ὑπὸ τῶν πρώτως τειχισάντων τὸ Βυζάντιον ἐκ προνοίας ᾠκοδομημέναι,) συνεβούλευεν ἀφίστασθαι τοῦ τόπου καὶ μὴ σφᾶς αὐτοὺς ἀπροσδοκήτοις κινδύνοις περιβάλλειν ἑκοντί. Νικολάου δὲ σφίσι μᾶλλον τῆς περὶ τὰ ναυτικὰ πείρας δεῖν εἶναι παραχωρεῖν εἰπόντος πρὸς βασιλέα, ὥσπερ αὐτοί τε καὶ πάντες αὐτῷ τῶν κατὰ τὴν ἤπειρον ἐξίστανται, καὶ πολυπραγμονεῖν μηδὲν, ὡς σὺν ἐπιστήμῃ πολλῇ τὰς ναυλοχίας ποιουμένων, τοῦτον μὲν ὡς ἀπεστερημένον παντάπασι κατελίμπανε φρενῶν, Ταρχανειώτην δὲ τὸν τῶν σφετέρων ἄρχοντα τριηρέων τάχιστα ἐκέλευεν ἀναχωρεῖν, ὅπου μάλιστα ἐν ἀσφαλεῖ διανυκτερεύσει, καὶ μὴ τοῖς ἀναισθήτοις ἐκείνοις συγκινδυνεύειν. [5]

3 233 Ταρχανειώτης μὲν οὖν ἐποίει κατὰ τὰ κεκελευσμένα· πνευμάτων δὲ ἀθρόον ἀκρίτων προσπεσόντων τῆς νυκτὸς καὶ τῆς θαλάσσης ἐξοιδησάσης, ὀλίγου ἐδέησαν αἱ Βενετικαὶ τριήρεις καὶ αἱ συμμαχίδες πᾶσαι διαφθαρῆναι, ὑπὸ τῶν κυμάτων πρὸς τὰ τείχη ἐξωθούμεναι. ὅμως μέντοι ἐναυάγησαν τέτταρες ἐκ τῶν Βενετικῶν καὶ τρεῖς τῶν συμμαχίδων. ἄνθρωποι δὲ καὶ ὅπλα καὶ αἱ λοιπαὶ ἀποσκευαὶ διεσώθησαν, πολλὰ καὶ τῶν Βυζαντίων συνεφαπτομένων καὶ συναλγούντων πρὸς τὸν κίνδυνον. αἱ βασιλικαὶ δὲ διενυκτέρευσαν ἐν ἀσφαλεῖ, οὐδ' ἐν αἰσθήσει τοῦ κλύδωνος γεγενημέναι. οὕτω φαύλως ὁ τῶν ἐκ Βενετίας στρατηγὸς ἠγωνίσατο κατ' ἐκεῖνον τὸν καιρὸν, καὶ ὥσπερ ἑκοντὶ μετὰ τοὺς κινδύνους προεῖτο τὴν νίκην τοῖς πολεμίοις, πολλῆς τε ἀηδίας καὶ λύπης ἐνέπλησε καὶ οἷς ἔλεγε καὶ οἷς ἐποίει βασιλέα. μετὰ δὲ τὸν κλύδωνα ἐκεῖνον καὶ τὰς ναυαγίας παραινοῦντος βασιλέως ἔτι περιμένειν, αὐτὸς μηδὲ συνταξάμενος ἀνεχώρει, μόνον τὸν βασιλέα πρὸς τὸν πόλεμον καταλιπών. ὁ δὲ οὐδ' οὕτως ἀπείπατο τὴν συμμαχίαν, ἀλλὰ καὶ μετὰ τὴν τῶν συμμάχων ἀναχώρησιν ἐν τεσσαράκοντα ἡμέραις διέφερε τὸν πόλεμον, ἐλπίζων ἐπανήξειν τοὺς συμμάχους. ὡς δὲ ἠγγέλλοντο ὑπερβαλόντες τὸν Αἰγαῖον, οὐδένα ἂν δικαίως οἰηθεὶς ἔχειν αἰτίαν ἐπενεγκεῖν, εἰ σπένδοιτο τοῖς πολεμίοις θαλασσοκρατοῦσιν, ἀπολιπόντων τῶν συμμάχων καὶ καταπροδόντων ἄντικρυς, ἐσπείσατο πρὸς τοὺς ἐκ τῆς Γεννούας, προθυμότατα δεξαμένοις τὴν τοῦ πρὸς βασιλέα κατάλυσιν πολέμου. [5]

3 234 μετὰ τοῦτο δὲ καὶ αὐτοὶ πρὸς τὴν οἰκίαν ἀνεχώρουν. λβ'. Τοῦ αὐτοῦ δὲ ἔτους Νικόλαός τε τὰς οὔσας τριήρεις ἐπισκευασάμενος καὶ ἑτέρας προσλαβὼν ἐκ Βενετίας, καὶ Κατελάνων πρὸς τοῖς οὖσι καὶ ἑτέρων ἐπιγενομένων, ὥρμηντο αὖθις ἐπὶ ζήτησιν τῶν πολεμίων. Γεννούας δὲ ὁ δῆμος καὶ ὁ δοὺξ ἐν αἰτίαις ποιησάμενοι Παγανὴν τὸν στρατηγὸν, ἄριστα τό γε εἰς αὐτὸν ἧκον ἐστρατηγηκότα καὶ μόνον αἰτιώτατον γεγενημένον τοῦ μὴ παντάπασι διαφθαρῆναι, ἀπεχειροτόνησαν, Ἀντώνιον δὲ Γριμάρδον ἐπέστησαν τῷ στόλῳ στρατηγόν. ἐφοπλίσας δὲ καὶ αὐτὸς πρὸς ταῖς οὔσαις καὶ ἑτέρας καὶ τἄλλα ἐπισκευασάμενος, ὧν ἐδεῖτο, ἐν Σαρδοῖ τῇ νήσῳ προσέβαλε τοῖς πολεμίοις, καὶ μάχης γενομένης, ἡττᾶτο κατακράτος, καὶ δύο καὶ τριάκοντα ἀπέβαλε τριήρεις. Κατελάνοι δὲ τότε μᾶλλον Νικόλαον ἐμέμψαντο, ὅτι μὴ πεισθείη βασιλεῖ ναυμαχεῖν περὶ Βυζάντιον, ὅπου πλείων τε αὐτοῖς ἡ δύναμις, παρούσης καὶ τῆς βασιλικῆς, καὶ τοῖς πολεμίοις οὐδεμία ἡττηθεῖσιν ἦν ἀποφυγὴ, ἀλλ' ἀνάγκη ἦν παντάπασιν ἐκπολιορκηθέντας διαφθαρῆναι. οἱ ἐν Γεννούᾳ δὲ ἀπειρηκότες πρὸς οὕτω μεγάλην ἦτταν, (χρήματά τε γὰρ αὐτοῖς οὐ παρῆν πρὸς ἑτέρου στόλου παρασκευὴν, καὶ ὁ δῆμος ἐπιέζετο ἐνδείᾳ πολλῇ τοῦ σίτου, τῶν ἐκ Βενετίας μὲν θαλασσοκρατούντων μετὰ τὴν νίκην καὶ οὐκ ἐώντων σῖτον ἐκ θαλάττης ἄγεσθαι, γῆς τε οὐκ ἄρχοντες, ἐξ ἧς τραφήσονται γεωργοῦντες,) δεῖν ἔγνωσαν τῷ τῶν Μεδιολάνων ἄρχοντι ὑπάγειν ἑαυτοὺς καὶ καταδουλοῦν, ὠφελεῖν τὰ μέγιστα δυναμένῳ. [5]

3 235 χρημάτων τε γὰρ ἐς τὰ μάλιστα εὐπόρει καὶ στρατιᾶς οὐχ ἱππικῆς μόνον, ἀλλὰ καὶ πεζῆς, ἧς ἐδέοντο ἐκεῖνοι. πρὸς τούτοις δὲ καὶ χώρας ἄρχων πολλῆς καὶ ἀγαθῆς, τρέφειν ἠδύνατο σῖτον πανταχόθεν ἄγων. οὕτω δὲ δόξαν, διεπρεσβεύοντο πρὸς αὐτὸν καὶ τὴν πόλιν παρεδίδουν. ὁ δ' ἐδέχετο ἀσμένως, καὶ πρότερον ποιούμενος περιπλείστου Γεννούας δεσπότης εἶναι, οὕσης ὁμόρου. καὶ ὅρκοι πρὸς ἀλλήλους ἐγίνοντο καὶ συμβάσεις, ὥστ' αὐτὸν μὲν ἐκείνοις καὶ χρήμασι καὶ ὅπλοις καὶ στρατιώταις καὶ πᾶσιν, οἷς ἔχει, βοηθεῖν ἐπὶ τοὺς πολεμίους, αὐτοὺς δ' ἐκεῖνον διὰ βίου παντὸς δεσπότην ἔχειν καὶ μηδέποτε ἀγνωμονήσειν, ἄρχοντά τε δέχεσθαι τῇ πόλει παρ' ἐκείνου, καὶ τὴν πολιτείαν καθάπαξ μεταβαλόντας ὑπ' ἐκείνου ἄγεσθαι, ὅπη ἂν δοκῇ. οὕτω μὲν οὖν οἱ ἐν Γεννούᾳ πιεσθέντες ὑπὸ τοῦ πολέμου πράττειν ἠναγκάσθησαν ἀγεννῆ καὶ ἀνελεύθερα, τὸν πρότερον κόμπον καὶ τὸ φύσημα ἀποβαλόντες, καὶ Σίμωνα Μπουκανέγρα τὸν σφῶν ἄρχοντα παραλύσαντες τῆς ἀρχῆς, ἄρχοντα τῇ πόλει εἰσεδέχοντο παρὰ τοῦ τῶν Μεδιολάνων δεσπότου. ὁ δ' ὡς οἰκείων ἤδη πρόνοιαν ποιούμενος, σῖτόν τε ἀφθόνως ἐχορήγει καὶ τὰ ἄλλα ἐπιτήδεια καὶ χρήματα ἐς τοῦ πολέμου τὴν παρασκευὴν καὶ ὁπλίτας, ἐκέλευέ τε αὖθις τριήρεις πληροῦν κατὰ τῶν πολεμίων. [20]

3 236 ἐπεὶ δὲ ὁ στόλος παρεσκεύαστο, τὸν Παγανὴν ἐπέστησαν αὖθις στρατηγὸν, Ἀντωνίου πολλὴν καταγνόντες ἀπειρίαν περὶ στρατηγίας. καὶ οἱ ἐκ Βενετίας ὡς ἐπύθοντο τοὺς πολεμίους αὖθις στόλῳ ἐπιόντας, ἀντεπεξῆεσαν καὶ αὐτοὶ, Νικολάου στρατηγοῦντος· ἐπαρθέντες δὲ τῇ προτέρᾳ νίκῃ καὶ τῆς Κατελάνων συμμαχίας ἀμελήσαντες, ὥσπερ καὶ πρότερον τῆς βασιλέως, κατεναυμαχήθησαν ὑπὸ τῶν ἀντιπάλων πρὸς τῇ Μεθώνῃ, καὶ τάς τε ναῦς ἁπάσας οἱ ἐκ Γεννούας ἔλαβον τῶν πολεμίων πλὴν ὀλίγων καὶ τὸν στρατηγὸν αἰχμάλωτον, ὃς καὶ ἐν Γεννούᾳ ἐτελεύτησε δεσμωτήριον οἰκῶν. μετὰ δὲ τὴν πληγὴν ἐκεῖνοι καὶ οἱ ἐκ Βενετίας ἀτονοῦντες πρὸς τὸν πόλεμον, διεπρεσβεύσαντο ἀλλήλοις περὶ εἰρήνης καὶ κατέλυσαν τὸν πόλεμον, μικρᾶς ἕνεκα αἰτίας μέγαν γεγενημένον καὶ τὰ μέγιστα ἑκατέρους βλάψαντα. ἐπεὶ δὲ εἰρήνη ἦν καὶ δεινὸν οὐδὲν προσεδοκᾶτο, ἀνάξιον εἶναι σφῶν ἡγούμενοι οἱ ἐν Γεννούᾳ μηδὲν ἀγνωμονεῖν περὶ τοὺς εὐεργετηκότας, πρῶτα μὲν Παγανὴν τὸν στρατηγὸν, λαμπρὸν γεγενημένον ἐν ταῖς στρατηγίαις ἀμφοτέραις, ἐξήλασαν τῆς πόλεως, ἀειφυγίαν κατακρίναντες, καὶ σὺν ἐκείνῳ πάντας τοὺς ἀρίστους, οὐδὲν ἔχοντες ἐγκαλεῖν· ἔπειτα καὶ τοῦ Μεδιολάνων ἀφίσταντο δεσπότου καὶ Μπουκανέγραν αὖθις τὸν Σίμωνα ἄρχοντα τῶν πραγμάτων ἀποδείξαντες, τὸν παρ' ἐκείνου καθεστῶτα ἐξήλασαν ἀτίμως καὶ τοῦτον τὸν τρόπον ἐκεῖνον τῆς πολλῆς περὶ αὐτοὺς ἠμείψαντο κηδεμονίας. [20]

3 237 ὁ μὲν οὖν τῶν Λατίνων πρὸς ἀλλήλους καὶ πρὸς Ῥωμαίους πόλεμος ἐνταῦθα ἐτελεύτησε. βασιλεὺς δὲ ὁ Παλαιολόγος, βασιλίδος τῆς μητρὸς μάλιστα ἐναγούσης, ἦλθεν εἰς Αἶνον, ἐν Θεσσαλονίκῃ τὴν μητέρα καταλιπὼν, ὡς ἐκεῖθεν διὰ τῆς Θρᾴκης εἰς Βυζάντιον ἀφιξόμενος πρὸς βασιλέα τὸν κηδεστήν. οἱ δὲ ἐν Διδυμοτείχῳ ἄρχοντες, Ἀρσένιός τε μέγας παπίας ὁ Τζαμπλάκων καὶ πρωτοστράτωρ ὁ Ταρχανειώτης, ὑποπτεύσαντες διὰ Διδυμοτείχου βασιλέα τὸν Παλαιολόγον παρελθεῖν ἄν, οὐκ ἀνήκοοί τε τῶν ἐν Θεσσαλονίκῃ γεγενημένων πρὸς Κράλην τῷ βασιλεῖ συμβάσεων περὶ συμμαχίας ὄντες καὶ ὡς κοινῇ συνέθεντο πρὸς Καντακουζηνὸν τὸν βασιλέα πόλεμον κινεῖν, ἔδεισαν, μὴ εἰσδεξάμενοι τῇ πόλει μὴ κατὰ γνώμην πράττωσι βασιλεῖ τῷ Καντακουζηνῷ καὶ πρὸς ὀργὴν διερεθίσωσι, δοκοῦντες ἀγνωμονεῖν περὶ αὐτὸν καὶ τοῖς ἐναντία πράττουσι προστίθεσθαι ἀφιστάμενοι αὐτοῦ. καὶ πέμψαντες ἐπυνθάνοντο, ᾗ χρὴ προσφέρεσθαι τῷ νέῳ βασιλεῖ· καὶ ὁ βασιλεὺς προσέταττεν, ὡς προσήκει δούλους τοῖς δεσπόταις, καὶ πᾶσαν εἴσοδον παρέχειν ἐλευθέρως, προσέχοντας ὡς βασιλεῖ, οὐκ αὐτοὺς μόνους, ἀλλὰ καὶ τὰς ἄλλας πάσας πόλεις. ὅθεν καὶ εἰσεδέξαντο προθύμως ἐκ τῆς Αἴνου ἀφιγμένον. βασιλεὺς δὲ ὀλίγας ἡμέρας Διδυμοτείχῳ ἐνδιατρίψας, ἀπῆρεν ἐκεῖθεν

εἰς Βυζάντιον καὶ συνδιέτριψεν οὐκ ὀλίγον χρόνον βασιλεῖ τῷ κηδεστῇ, μάλιστα ἀκμάζοντος τότε τοῦ Λατινικοῦ πολέμου. [20]

3 238 βασιλεὺς δὲ ὁ Καντακουζηνὸς εἰδὼς τῷ τε υἱῷ Ματθαίῳ καὶ βασιλεῖ τῷ γαμβρῷ διαφοράς τινας οὔσας πρὸς ἀλλήλους, δεῖν ἔγνω κἀκεῖνον μεταπεμψάμενος, διαλύειν τὰς διαφορὰς αὐτοῖς πάντα ἐξειπόντας ἐπ' αὐτοῦ, ὅσα ἀλλήλοις οἴονται προσκεκρουκέναι. καὶ τόν τε υἱὸν μετεκαλεῖτο καὶ βασιλέα τὸν γαμβρὸν παρακατεῖχεν, ὡς βεβαίας αὐτοῖς θησόμενος τὰς διαλύσεις. ὁ μὲν οὖν υἱὸς ἄρτι τὴν Ἀδριανοῦ παρειληφὼς καὶ τὰς περὶ αὐτὴν πολίχνας, βασιλέως τοῦ πατρὸς ἐγκεχειρικότος, καὶ περὶ τὴν ἐκείνων πρόνοιαν ἠσχολημένος, ὑστέρησε κατὰ τὸ βασιλέως πρόσταγμα εἰς Βυζάντιον ἐλθεῖν, γνώμην ἔχων ὡς ἀφιξόμενος ὀλίγῳ ὕστερον. βασιλέως δὲ τοῦ νέου πρὸς τὰς ἐγκεχειρισμένας πόλεις ἥκειν ἐπειγομένου, ἐπέτρεπεν ὁ βασιλεὺς τὴν ἔξοδον, ταῖς προτέραις πόλεσιν, ἃς αὐτῷ ἐφῆκεν ἄρχειν, καὶ Διδυμότειχον προσθείς· Ἑλένην τε βασιλίδα τὴν γαμετὴν ἐπέτρεπεν αὐτῷ συνέπεσθαι, Μανουὴλ τὸν νεώτερον ἔχουσαν τῶν υἱῶν. Ἀνδρόνικον δὲ βασιλέα τὸν υἱὸν καὶ Εἰρήνην τὴν θυγατέρα παρὰ βασιλίδι κατελίμπανεν ἐκτρέφεσθαι τῇ μάμμῃ φιλοτίμως. μέλλοντι δὲ ἀπαίρειν ἤδη τῷ νέῳ βασιλεῖ ἄλλα τε παρῄνει βασιλεὺς ὁ κηδεστὴς καὶ πρὸς τὸν γυναικὸς ἀδελφὸν μηδένα πόλεμον κινεῖν, μηδὲ κακοῖς πειθόμενον συμβούλοις, πολέμιον ἐκεῖνον μηδὲν νομίζειν ἀδικοῦντα. [20]

3 239 βέλτιον μὲν γὰρ εἶναι περιμείναντα αὐτὸν, ἄχρις ἂν ἀφίκηται ἐκεῖνος, λύειν ἐπ' αὐτοῦ, εἴ τι μικροψύχως πρὸς ἀλλήλους διηνέχθησαν· ἐπεὶ δ' ἀναγκαία καὶ περισπούδαστος αὐτῷ ἡ ἔξοδος, αὐτός τε ἀδυνάτως ἔχει διὰ τὸν πρὸς Λατίνους πόλεμον τὸ νῦν ἔχον εἰς Θρᾴκην ἀφικέσθαι καὶ διαλλάττειν αὐτοὺς ἀλλήλοις, μηδὲν κινεῖν τῶν καθεστηκότων, ἄχρις ἂν Εἰρήνη βασιλὶς ἡ μήτηρ εἰς Διδυμότειχον ἀφικομένη πᾶσαν πρόφασιν πολέμου καὶ μικροψυχίας περιέλῃ. τοιαῦτα παραινέσας ὁ βασιλεὺς, τὸν νέον ἐξέπεμπε μετὰ τῆς γυναικός. μετὰ μικρὸν δὲ καὶ βασιλίδα Εἰρήνην τὴν γαμετὴν ἐκέλευεν εἰς Διδυμότειχον ἀφικομένην, διαλλάττειν τὸν υἱὸν γαμβρῷ τῷ βασιλεῖ. συνεξέπεμπε δὲ αὐτῇ καὶ Φιλόθεον τὸν Ἡρακλείας μητροπολίτην καὶ Μητροφάνην τὸν Μελενίκου, ἄνδρας καὶ βίῳ καὶ λόγῳ τοῖς ὁρῶσι ὄντας ἀξιόχρεως πρὸς αἰδῶ, πρὸς τούτοις δὲ καὶ Φιλῆν τὸν Ἰωάννην, ὄντα τῶν εὐπατριδῶν, δι' ἀρετὴν δὲ καὶ φιλοσοφίαν βίου πάντων ἀποσχόμενον πραγμάτων καὶ σχολάζοντα τοῖς οἴκοι καὶ πρόνοιαν πολλὴν ποιούμενον σώφρονος βίου καὶ δικαίου, ἅμα μὲν συνδιαλλάξοντας αὐτῇ καὶ τοὺς υἱοὺς, ἅμα δὲ αὐτῇ καὶ μάρτυρας ἐσομένους, εἰ μὴ τὴν ἴσην σπουδὴν ἐν ἀμφοτέροις ἐπιδείξαιτο, ὥστε μηδὲν ὕστερον τοὺς συκοφάντας ἔχειν ἐγκαλεῖν, δυναμένους τἀναντία, ὧν εἴργαστο ἡ βασιλὶς, λογοποιεῖν, εἴ τι μὴ κατὰ γνώμην ἀποβαίη τοῖς υἱέσιν. ἐπέτρεπε δὲ βασιλίδι καὶ τοῖς συνεκπεμφθεῖσι, τὰς μὲν ἄλλας διαφορὰς τῶν παίδων διαλύειν, ἔκφορα πάντα θεμένων πρὸς αὐτοὺς, ᾗ ἂν θεός τε καὶ ἡ σύνεσις ὑφηγοῖτο· ἕτερον δὲ τῶν καθεστώτων μηδὲν κινεῖν, ἀλλὰ βασιλέα μὲν τὸν νέον Διδυμότειχον καὶ τὰς ἄλλας πόλεις ἔχειν, ἃς ἐνεχείρισεν αὐτῷ, πράττοντα, ὅ,τι ἂν δοκῇ, ἑτέρᾳ δὲ τῶν μήπω ἐγκεχειρισμένων παρενοχλεῖν μηδεμιᾷ, ἀλλ' ἐᾷν ὑπὸ βασιλέα, ὥσπερ καὶ πρότερον, τελεῖν. [5]

3 240 Ματθαῖον δὲ τὸν γυναικὸς ἀδελφὸν δοῦλον μὲν ἡγεῖσθαι κατὰ τὸν τῶν βασιλέων νόμον, ἀλλὰ καὶ ἀδελφὸν, καὶ πᾶσαν ἐπιδείκνυσθαι πρὸς αὐτὸν εὐμένειαν καὶ φιλίαν, ὥσπερ δίκαιον, καὶ μηδὲν ἀνακρίνειν περὶ τῆς ἀρχῆς, ἀλλ' ἐᾷν τοὺς ἀρχομένους ἄγειν, ὅποι ἂν δοκῇ, καὶ τῆς τοιαύτης ὑπεροχῆς αὐτῷ παραχωρεῖν, ὄντι γε πατρὶ καὶ δυναμένῳ τοὺς παῖδας, ἄν τι σφάλωνται, ἐπανορθοῦν. Ματθαῖον δὲ τὸν υἱὸν τὴν Ἀδριανοῦ καὶ τὰς ἄλλας πολίχνας ἔχειν, καὶ βασιλέα τὸν γαμβρὸν ἀδελφὸν ἡγεῖσθαι καὶ δεσπότην καὶ πᾶσαν εὔνοιαν ἀποδιδόναι καὶ τιμήν· μὴ μέντοι γε ἀνάγκην ἔχειν καὶ ἀνακρίνεσθαι ὑπ' αὐτοῦ πρὸς τὴν ἀρχὴν, ἀλλ' ὑπὸ μόνου τοῦ πατρός. οὕτω γὰρ εἶναι δίκαιον καὶ πρόφασιν οὐδεμίαν διαφορᾶς καὶ στάσεως παρέχον. λγ'. Τοιαῦτα μὲν ἥ τε βασιλὶς Εἰρήνη καὶ οἱ συνόντες ἐπετράπησαν περὶ τῶν υἱῶν. ἐπεὶ δὲ ἐγένοντο

ἐν Διδυμοτείχῳ καὶ ἐπειρῶντο κατὰ τὰ διατεταγμένα ὑπὸ βασιλέως πράττειν, τἄλλα μὲν ἐπείθετο ὁ νέος βασιλεὺς, ἀπαιτούμενος δὲ καὶ γράμμασιν οἰκείοις τῷ γυναικὸς ἀδελφῷ πιστὸν ποιεῖν, ὡς οὐδὲν οὐδέποτε αὐτῷ πρὸς τὴν ἀρχὴν παρενοχλήσει, οὐκ ἐπείθετο, τὰ μὲν ὑπὸ βασιλέως ὡρισμένα στέργειν φάμενος καὶ ἀντιλέγειν πρὸς μηδὲν, γράψειν δὲ μηδέν· οὐδὲν γὰρ δεῖν αὐτῷ γραμμάτων. [5]

3 241 βασιλὶς δὲ ἀντεῖπε μετὰ τῶν ἀρχιερέων, οὐ δίκαια φάμενοι ποιεῖν αὐτὸν, πρόφασιν ὑποψίας καὶ πολέμου παρέχοντα τῆς γυναικὸς τῷ ἀδελφῷ. βασιλεὺς δὲ, ἵνα αἵ τε προγεγενημέναι διαφοραὶ διαλυθῶσι, καὶ μηκέτι μηδεμία πρόφασις ᾖ πολέμου ἐν ὑμῖν, ἔπεμψεν ἡμᾶς, ᾧ δέον, ἔφασκον, πείθεσθαι καὶ σέ. οὐ μικρὰν γὰρ παρέξει ὑποψίαν τὸ μὴ γράμμασιν ἐθέλειν ἐπιβεβαιοῦν, ἀνεύθυνον εἶναι παρὰ σοὶ τὴν ἀρχὴν τῷ ἀδελφῷ. βασιλεὺς δὲ τὰ ἴσα αὖθις εἶπε καὶ δῆλος ἦν οὐκ ἀρκεσθησόμενος τοῖς παροῦσι. βασιλὶς δὲ καὶ οἱ συνόντες ἐπεὶ μὴ πείθειν εἶχον, ἀνέστρεφον εἰς Βυζάντιον, μηδὲν περὶ ὧν ἦκον εἰργασμένοι, ἀπήγγελλόν τε βασιλεῖ, ὅσα βασιλεὺς ὁ νέος πρὸς αὐτοὺς διαλεχθείη. τῷ δ’ εὐθὺς μὲν ἐδόκει τὰ παρόντα δεινῶν ἀρχὴ, καὶ ὑπώπτευεν ὑπὸ τῶν συνόντων ἐπὶ Ματθαῖον τὸν γυναικὸς ἀδελφὸν παροξυνθήσεσθαι τὸν νέον βασιλέα. ὅμως ἐδόκει δεῖν, ἐπεὶ καὶ τοῦ πρὸς Λατίνους ἀπήλλακτο πολέμου, αὐτὸν παραγενόμενον, πᾶσαν πρόφασιν πολέμου διαλύειν· καὶ παρεσκευάζετο, ὡς ἀφιξόμενος μετὰ μικρὸν εἰς Διδυμότειχον. [20]

3 242 ἐν τούτῳ δὲ οἱ τῷ νέῳ βασιλεῖ συνόντες καὶ μάλιστα οἱ τὰ Καντακουζηνοῦ τοῦ βασιλέως ᾐρημένοι πρότερον παρώξυνον ἐπὶ τὸν πόλεμον τὸν νέον, οὐδὲν ἔργον εἶναι φάσκοντες τὴν πατρῴαν ἀνασώζεσθαι ἀρχὴν, ἀδίκως ὑπὸ Καντακουζηνοῦ τοῦ βασιλέως ἀφῃρημένην, καὶ αὐτοῦ τε ἔχοντος καὶ τὸν υἱὸν ἔφεδρον καθιστάντος. τὸ γὰρ ἀνυπεύθυνον αὐτῷ παρέχειν τὴν ἀρχὴν τί ἄλλο εἶναι ἢ βασιλέα καὶ αὐτὸν ἐν μέρει εἶναι; παρῄνουν τε μὴ τὸν ἀνταγωνιστὴν ἐᾷν αὐξάνεσθαι, ἀλλὰ καθαιρεῖν εὐθὺς ἐξαρχῆς. οἷς πειθόμενος φανερῶς ἐξήνεγκε τὸν πόλεμον. αὐτίκα γὰρ ὅση ἦν ταῖς πόλεσιν, ὧν ἦρχε, στρατιὰν συνηθροικὼς, ἐπεστράτευσε ταῖς πόλεσι ταῖς βασιλεῖ τῷ κηδεστῇ ὑποκειμέναις καὶ ὑπεποιήσατο οὐκ ὀλίγας, πάντων προθύμως προσχωρούντων καὶ πρὸς τὴν μεταβολὴν ἡδέως διατιθεμένων. μετὰ τοῦτο δὲ καὶ συμμαχίαν Περσικὴν μεταπεμψάμενος τότε πρῶτον φρούριόν τι κατὰ τὴν Θρᾴκην Τζύμπην κατασχόντων προσαγορευόμενον, τῷ γυναικὸς ἐπεστράτευσεν ἀδελφῷ, μηδεμίαν πρόφασιν παρεσχημένῳ πρὸς τὸν πόλεμον, καὶ τάς τε πολίχνας εἶλε, πρότερον ὧν ἦρχεν, ἑτοίμως προσχωρούσας, ἔπειτα καὶ τὴν Ἀδριανοῦ ἐλθὼν, ἡδέως τοῦ δήμου ὑποδεχομένου καὶ πᾶσαν ἀνιέντος εἴσοδον. Ματθαῖος δὲ ὁ τοῦ βασιλέως υἱὸς Νικηφόρον ἔχων σεβαστοκράτορα Καντακουζηνὸν τὸν θεῖον καὶ ἑτέρους τῶν περὶ αὐτὸν ἀρίστους, τὴν ἄκραν ἐλθὼν κατέσχεν, (ἦν γὰρ πρότερον τά τε ἐπιτήδεια ἐνθέμενος καὶ τἄλλα ἐπεσκευασμένος καλῶς, ὡς μάλιστα ἐνῆν. [20]

3 243) ἔπεμπέ τε καὶ πρὸς βασιλέα τὸν πατέρα τοὺς ὅτι δηλώσοντας ὑπὸ βασιλέως τοῦ γαμβροῦ πολιορκοῖτο. βασιλεὺς δὲ ὁ νέος ἐπεὶ τὴν πόλιν εἶχεν, ἄγων τὸν δῆμον καὶ τὴν ἑπομένην στρατιὰν, τὸν γυναικὸς ἀδελφὸν ἐπολιόρκει πρὸς τὴν ἄκραν καὶ τειχομαχίας ἐποιεῖτο καθημέραν καρτερωτάτας ἐκ διαδοχῆς. ἔσπευδε γὰρ πρὶν βασιλέα ἥκειν τὸν κηδεστὴν παραστήσασθαι τὴν ἄκραν. ἀνύειν δὲ ἠδύναντο οὐδὲν, τῶν ἔνδον εὐψύχως ἀμυνομένων καὶ πρὸς τὴν πολιορκίαν καρτερούντων. Ἀδριανουπολιτῶν δὲ ὁ δῆμος οὐ μόνον τειχομαχῶν ὁσημέραι λυπηρὸς τῷ βασιλέως ἦν υἱῷ, ἀλλὰ καὶ ἀποσκώπτων εἰς ἐκεῖνον καὶ πρὸς ὕβριν προσφερόμενος. ἔνιοι δὲ αὐτῶν, ὅσοι καὶ μάλιστα δύσνως εἶχον, καὶ πικρῶς ἐλοιδοροῦντο καὶ πρὸς ὕβρεις ἐξετρέποντο ἀνελευθέρους. Καντακουζηνὸς δὲ ὁ βασιλεὺς ἐπεὶ πύθοιτο πολιορκούμενον τὸν υἱὸν, καὶ πρότερον παρεσκευασμένος ὢν ἐπὶ τὴν ἔξοδον, ἐχώρει κατὰ τάχος ἐπὶ τὴν Ἀδριανοῦ, στρατιάν τε Ῥωμαίων ἄγων, οἷς μάλιστα ἐθάῤῥει, καὶ Περσικὴν ὀλίγην, ἣν Ὀρχάνης ὁ γαμβρὸς παρέσχετο αἰτήσαντι. ἐπὶ τούτοις δὲ καὶ λόχον ἐκ Κατελάνων,

οἳ ὑπελείποντο ἐν Βυζαντίῳ ἀπὸ τῶν τριηρέων. βασιλεὺς δὲ ὁ νέος ἐπεὶ πύθοιτο βασιλέα οἱ ἐπιόντα τὸν κηδεστὴν, ἄλλως τε οὐκ ἀξιόμαχος ὢν, καὶ τῆς ἄκρας μάλιστα κατεχομένης, δείσας, μὴ αὐτόθεν ῥᾳδίως ἁλίσκοιτο ἡ πόλις, πρότερον ἡμέρᾳ μιᾷ καταλιπὼν, εἰς τὴν Τζερνομιάνου ἦκε, καὶ κατέσχε, τοῦ ἄρχοντος παραδόντος. [25]

3 244 ἐκεῖθεν δὲ εἰς Διδυμότειχον ἀπεχώρει, τό,τε Περσικὸν καταλιπὼν ἐν τῇ Ἀδριανοῦ καὶ Ῥωμαίους οὐκ ὀλίγους φρουρεῖν τὴν πόλιν στρατιώτας. εἰς τὴν ὑστεραίαν δὲ Καντακουζηνὸς ὁ βασιλεὺς γενόμενος ἐν Ἀδριανοῦ, ἐπεὶ πύθοιτο βασιλέα τὸν γαμβρὸν ἀνακεχωρηκότα, πέμψας παρῄνει τοὺς πολίτας προσχωρεῖν αὐτῷ καὶ τὴν πόλιν παραδιδόναι. ὑφ' ὁρμῆς γὰρ ἀλόγου καὶ παραπληξίας ἀντισχήσειν οἰηθέντες πρὸς βασιλέα κατὰ σφᾶς, οἱ μὲν πρὸ τῶν πυλῶν ὡπλισμένοι ἀντιπαρετάττοντο, ἔχοντες καὶ Πέρσας τοὺς συμμάχους, ἐπὶ τῶν τειχῶν δὲ τὸ γυμνικόν. καὶ βασιλέως παραινοῦντος προσχωρεῖν, οὐ μόνον οὐκ ἐπείθοντο, ἀλλὰ καὶ ἦρχον μάχης χρώμενοι τοξείαις. ὁρῶν δὲ ὁ βασιλεὺς, ὡς ὅπλων χρεία πρὸς οὕτως ἀναισθητοῦντας, σύνθημα ἐδίδου μάχης τοῖς σφετέροις. καὶ αὐτίκα οἵ τε Κατελάνοι διὰ τῆς ἄκρας ἦσαν ἐντὸς τειχῶν, καὶ τὸ ἄλλο στράτευμα τοὺς ἔξω παρατεταγμένους ἐτρέψατο ἐπελθόν· καὶ ἡλίσκετο ἡ πόλις ἑκατέρωθεν. Πέρσαι δὲ οἱ σύμμαχοι ἐκείνοις, συνορῶντες ἤδη ἡττημένους, ὅσους οἷοίτε ἦσαν τῶν σφίσι συντεταγμένων, συναρπάσαντες, προσεχώρησαν βασιλεῖ. αὐτίκα δὲ καὶ οἱ μετὰ τοῦ βασιλέως ἐπιδραμόντες, εἷλον οὐ πολλούς· ἦσαν γὰρ ὀλίγοι καὶ αὐτοί. διεδίδρασκον δὲ καὶ Ἀδριανουπολιτῶν, ὅσοι μάλιστα κακῶς τὸν βασιλέως ἔλεγον υἱὸν πολιορκούμενον, δείσαντες, μὴ τῆς ἀγνωμοσύνης δῶσι δίκας. ὁ δῆμος δὲ οὐδ' οὕτω, καίπερ ἡττημένος καὶ κακοπραγήσας, ὑφῆκε τῆς πρὸς βασιλέα δυσμενείας, ἀλλ' ἔνδον γενόμενοι τῆς πόλεως ὅσοι μὴ ἑάλωσαν, καὶ τὸν καρτερώτατον τῶν πύργων κατασχόντες, μίαν τε τῶν ἀγυιῶν δοκοῖς συμφράξαντες μεγάλαις, ἠμύνοντο ἑστῶτες ἐπιόντας τοὺς βασιλικούς. [5]

3 245 οἱ δ' ἐνίεσαν πῦρ κατὰ τῶν οἰκιῶν. καὶ σὺν πόνῳ οὐδενὶ περιεγίνοντο τῶν ἀντιτεταγμένων. τραπόμενοι γὰρ αὐτίκα οἱ μὲν ἐν ἀδύτοις κατεκρύπτοντο, οἱ δ' ἱκέτευον ἐν ἱεροῖς. ἡ στρατιὰ δὲ διεπόρθει τὰς οἰκίας καὶ διήρπασαν τὰ ὄντα. ἀπέθανε μέντοι κατ' ἐκείνην τὴν μάχην οὐδὲ εἷς, τραυματίαι δὲ ἐγένοντό τινες. ἔπειτα ὡς ἤδη πάντα εἶχετο, τότε πῦρ ἐκέλευεν ὁ βασιλεὺς σβεννύναι καὶ ἀπέχεσθαι τῆς ἁρπαγῆς τοὺς στρατιώτας, καὶ τοὺς κυρίους τῶν οἰκιῶν τὰ ὑπολελειμμένα ἔχειν, καὶ μηδένα ἀδικεῖν. οἱ μέντοι ἀνδραποδισθέντες ὑπὸ τῶν βαρβάρων ἐν ὀλίγαις ἡμέραις ὑπὸ τῶν οἰκείων χρήμασιν ἐλύθησαν. οὐ γὰρ πᾶσα ἡ πόλις διηρπάσθη, οὐδὲ παντάπασιν, ἀλλ' ὅσον ἐν ἐπίπλοις ἦν καὶ σκεύεσι τοῖς κατὰ τὴν οἰκίαν· ἃ οἱ στρατιῶται αὖθις ἀπέδοντο εὐώνως τοῖς κυρίοις, καὶ μάλιστα οἱ Κατελάνοι, οἳ πλείω τε διήρπασαν τῶν ἄλλων καὶ ἄχρηστα αὐτοῖς ἡγοῦντο ξένοις οὖσι καὶ ἀοίκοις. μετὰ τοῦτο δὲ βασιλεὺς μὲν ὁ Καντακουζηνὸς ἐν Ἀδριανοῦ τὰς προσχωρησάσας πρὸς βασιλέα τὸν νέον πόλεις ἐκάκου, πέμπων στρατιὰν, ὅσαι μὴ ὑπ' ἐκείνου παρεδόθησαν. ἐκείναις γὰρ οὐκ ᾤετο δεῖν ἐπιστρατεύειν, οὐδ' ἀνακαλεῖσθαι παραδεδομέναις ὑπ' αὐτοῦ πρὸς τὸν γαμβρόν. [20]

3 246 μάλιστα δ' ἐκάκωσε τὴν Τζερνομιάνου καὶ ἐξεπίεσε λεηλασίαις, ἄχρις οὗ σφᾶς παρέδοσαν, καὶ τὴν πόλιν ἐκτριβέντες. ἐκεῖνοι γὰρ ὑπ' ἀβουλίας καὶ ὁρμῆς ἐμπλήκτου καὶ παραβόλου, μηδεμιᾶς ἀνάγκης οὔσης, οὐκ ἀπέστησαν μόνον, ἀλλὰ καὶ γράμμασιν ἐδήλουν, ὡς οὔθ' ὑπείκουσιν αὐτῷ, οὔτε βασιλέα οἴονται, ἀλλ' εἴ τι δύναιτο πρὸς αὐτοὺς, μηδενὸς καταμελεῖν. ἐφ' οἷς ὀργῇ φερόμενος, ἠμύνατο ἀξίως τῆς παραφροσύνης. Διδυμοτείχῳ δὲ οὔτ' αὐτὸς ἐπεστράτευσεν, οὔθ' ἑτέρῳ τρόπῳ δή τινι ἐκάκου τῷ βασιλέα τὸν νέον μάλιστα φιλεῖν. καὶ τοῦ πολέμου γὰρ οὕτω λαμπρῶς κεκινημένου, τοὺς μὲν ἐνάγοντας ἐν αἰτίαις ἦγε μάλιστα καὶ τὰ πραττόμενα ἐκάκιζε, τῆς δὲ πρὸς βασιλέα τὸν γαμβρὸν εὐνοίας οὐδὲν ὑφῆκεν ἄχρι τότε. βασιλεύς τε ὁ νέος ὁμοίως οὐκ ἠμέλει, ἀλλὰ τάς τε προσεχούσας πόλεις βασιλεῖ τῷ κηδεστῇ ἐκάκου, καὶ πρὸς Κράλην πέμψας, ᾐτεῖτο συμμαχίαν κατὰ τὰς συνθήκας. Κράλης δὲ ὑπέσχετο

προθύμως, ἣν ὅμηρον αὐτῷ παράσχῃ τὸν ἀδελφὸν ὑπὲρ τῆς στρατιᾶς. βασιλεὺς δὲ ἐκέλευεν αὐτίκα δεσπότην Μιχαὴλ τὸν ἀδελφὸν πρὸς Κράλην ἥκειν ὁμηρεύσοντα. γενομένου δὲ ἐκεῖ τοῦ βασιλέως ἀδελφοῦ, ἡ στρατιὰ ἐξεπέμφθη παρασκευασθεῖσα ἑπτακισχίλιοι ἱππεῖς, ὧν ἐστρατήγει Κασνιτζὸς ὁ Μποριλοβίκης προσαγορευόμενος, ἐκ τῶν ἐπιφανεστάτων μάλιστα ὢν τῶν παρὰ Τριβαλοῖς. Ἀλέξανδρός τε ὁ τῶν Μυσῶν βασιλεὺς παρέσχετο συμμαχίαν πεπρεσβευκότι πρὸς αὐτόν. [20]

3 247 ἦν γὰρ ἀεὶ πρὸς βασιλέα τὸν Καντακουζηνὸν ἐν ὑποψίαις, ὅτι μὴ κωλύοι Πέρσας κατατρέχειν τὴν ἐκείνου γῆν. βασιλεύς τε ὁ Καντακουζηνὸς, ὅτι Μυσοὺς καὶ Τριβαλοὺς ὁ νέος αὐτῷ ἐπάγει βασιλεὺς, οὐκ ἀγνοῶν, μετεπέμπετο στρατιὰν ἐκ τῆς Ἀσίας Περσικὴν παρὰ Ὀρχάνη τοῦ γαμβροῦ. οὕτω μὲν ἑκάτεροι μεγάλῃ παρασκευῇ ὥρμηντο ἀλλήλοις πολεμεῖν. ἔτι δὲ τῆς συμμαχίδος στρατιᾶς βασιλεῖ τῷ νέῳ διαμελλούσης, ἐδόκει δεῖν πρὸς Αἶνον γενόμενον καὶ πρὸς τοὺς ἐκ Βενετίας συνθήκας θέμενόν τινας, εἰς Διδυμότειχον αὖθις ἐπανήκειν. μεταξὺ δὲ τὴν πρὸς Αἶνον διιόντι ἡ ἐκ Τριβαλῶν συνετύγχανε στρατιά· ἣν ἔπεμπεν εἰς Διδυμότειχον, τῶν περὶ αὐτὸν τοὺς ἐπιφανεστέρους μάλιστα συνεκπέμψας, καὶ τῆς στρατιᾶς τὸ πλεῖον ὡς αὐτοῖς συνδιατρίβοιεν, ἄχρις ἐπανήξει ἐκ τῆς Αἴνου. λδ′. Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον καὶ Κάλλιστος ὁ πατριάρχης Κωνσταντινουπόλεως τὴν βασιλέων διαφορὰν ἐν δεινῷ τιθέμενος καὶ κοινὴν νομίζων Ῥωμαίων συμφοράν, ἀρχιερέων τε καὶ μοναχῶν τοὺς λογάδας ἔχων, εἰς Ἀδριανοῦ πρὸς βασιλέα ἦκε καὶ ἐδεῖτο καταλύειν τὸν πρὸς γαμβρὸν τὸν βασιλέα πόλεμον, ὡς πολλῶν Ῥωμαίοις αἴτιον ἐσόμενον κακῶν. βασιλεὺς δὲ ὁμοίαν ἔχειν ἐξαρχῆς ἄχρι νῦν περὶ πολέμου καὶ εἰρήνης γνώμην φάμενος, καὶ τὴν μὲν αἰτίαν ἡγεῖσθαι συμπάντων ἀγαθῶν, τὸν πόλεμον δ' ἅπαν τοὐναντίον, ἐξέπεμπεν εἰς Διδυμότειχον πρὸς βασιλέα τὸν νέον, ὡς, ἢν ἐκεῖνος πείθηται, οὐδεμιᾶς ἐξ αὐτοῦ κωλύμης ἐσομένης τῇ εἰρήνῃ. [25]

3 248 καὶ γενόμενος ὁ πατριάρχης ἐν Διδυμοτείχῳ, εὗρε βασιλέα τὸν νέον ἀπηρκότα εἰς τὴν Αἶνον, ἅμα δὲ παρῆσαν καὶ ἡ Τριβαλῶν στρατιὰ καὶ τῶν Μυσῶν· οὓς οἱ παρὰ βασιλέως πεμφθέντες ἄγοντες Ῥωμαῖοι ἐστρατοπέδευσαν παρὰ τὸν Ἕβρον, οὐ πόῤῥω πάνυ Διδυμοτείχου, οὐχ ἅμα, ἀλλ' ἰδίᾳ καὶ χωρίς· ἦν δὲ τὸ Μυσῶν στρατόπεδον μάλιστα ἐγγὺς Διδυμοτείχου. γνώμην δὲ εἶχον ὡς εἰς τὴν ὑστεραίαν σύμπαντες τῷ Ἐμπυθίου ἐπιστρατεύσοντες φρουρίῳ καὶ κακώσοντες ὡς μάλιστα φρουρᾷ ὑπὸ Καντακουζηνοῦ τοῦ βασιλέως κατεχόμενον. συμβέβηκε δὲ τῆς αὐτῆς ἡμέρας καὶ ἡ κατὰ συμμαχίαν στρατιὰ Περσῶν βασιλεῖ παρεσκεύαστο τῷ Καντακουζηνῷ, τὸν Ἑλλήσποντον διαβᾶσαν, παρὰ τὸν Ἕβρον ἐστρατοπεδεῦσθαι, καὶ αὐτὴν ἀγνοοῦσάν τε ὁμοίως, ὅτι πολεμίων ἐγγὺς στρατοπεδεύοιτο, καὶ ἀγνοουμένην. ἦσαν δὲ ἱππεῖς μυρίων οὐκ ἐλάσσους, ὧν ἐστρατήγει Σουλιμᾶν ὁ τῶν Ὀρχάνη πρεσβύτερος υἱός. γνώμην δὲ εἶχον καὶ αὐτοὶ ὡς ἐς τὴν ὑστεραίαν εἰς Ἀδριανοῦ πρὸς βασιλέα ἀφιξόμενοι. ἅμα δὲ ἕῳ οἵ τε Πέρσαι ἀπάραντες τοῦ στρατοπέδου, ἐβάδιζον ὡς ἐπὶ βασιλέα, καὶ οἱ Τριβαλοὶ καὶ Μυσοὶ μετὰ Ῥωμαίων τῶν ἀγόντων τὰ ὅπλα ἔχοντες ἐπὶ τὸ φρούριον ἐχώρουν, ἀθρόον τε καὶ ἀλλήλους τὰ στρατόπεδα ἑώρων. Μυσοὶ μὲν οὖν ἐτράποντο αὐτίκα πρὸς φυγὴν, οὐδὲ εἰς χεῖρας ὑπομείναντες ἐλθεῖν τοῖς πολεμίοις, καὶ διεσώζοντο εἰς Διδυμότειχον, τῇ φυγῇ πολλὴν ὁμολογοῦντες χάριν, ἣ διέσωσε· Τριβαλοὶ δὲ ὑπέμειναν ἐπιόντας τοὺς βαρβάρους μετὰ Ῥωμαίων τῶν συνόντων· ὀλίγα δὲ ἀντισχόντες πρὸς πλείους καὶ βελτίους, ἡττῶντο κατακράτος, ἀπειρίᾳ δὲ τῶν τόπων, ἅμα δὲ καὶ ὑπὸ τῶν πολεμίων θορυβηθέντες, οὐ τὴν πρὸς Διδυμότειχον ἐτράποντο, (ἦ γὰρ ἂν οὐκ ὀλίγοι διεσώζοντο,) διασκεδασθέντες δὲ ἐπὶ τὴν παρακειμένην τῷ Ἕβρῳ πεδιάδα, πλὴν ὀλίγων ἅπαντες ἀπώλοντο. [5]

3 249 ἐπὶ πεδία γὰρ τραπόμενοι βαθέα καὶ γυμνὰ καὶ οὐδεμίαν ἔχοντα καταφυγὴν καὶ ἵπποις φαυλοτάτοις χρώμενοι, οἱ μὲν ἔθνησκον, οἱ δ' ἡλίσκοντο, ὑπὸ τῶν βαρβάρων καταλαμβανόμενοι. ἐκ διαμέτρου γὰρ οἱ τῶν βαρβάρων ἵπποι τοῖς ἐκείνων θέειν τέ εἰσι

ταχύτατοι καὶ πρὸς πόνους ἐξησκημένοι. Κασνιτζὸς δὲ ὁ στρατηγὸς μετά τινων εὐαριθμήτων ἠδυνήθη διαδρᾶναι, τῶν ἄλλων ἁπάντων τῶν μὲν πεσόντων, τῶν δ' ἑαλωκότων. Ῥωμαίων δὲ οἱ μὲν ἐπιφανέστεροι πολλὴν ἀνδραγαθίαν καὶ ἀρετὴν κατὰ τὴν μάχην ἐπιδεδειγμένοι, πάντες ἑάλωσαν, τῶν βαρβάρων περισχόντων, στρατιωτῶν δὲ ἔπεσον μέν τινες καὶ ἑάλωσαν ὀλίγοι, οἱ πλείους δὲ διεσώθησαν εἰς Διδυμότειχον. ἡ μὲν οὖν βασιλέως τοῦ νέου συμμαχία οὕτω διεφθάρη· ὃ καὶ μάλιστα ἐλύπησε καὶ διέφθειρε τὰ πράγματα αὐτοῦ. οἱ βάρβαροι δὲ μετὰ τὴν νίκην τάς τε σκηνὰς τῶν πολεμίων καὶ τοὺς αἰχμαλώτους ἔχοντες καὶ ὅπλων καὶ ἵππων πλῆθος, ἦκον εἰς Ἀδριανοῦ πρὸς βασιλέα· καί τινας ἐκεῖ συνδιατρίψαντες ἡμέρας, ἔπειτα ἐνέβαλον εἰς τὴν Μυσίαν κατὰ σφᾶς αὐτοὶ καὶ ἐκάκωσαν οὐ μέτριά τινα, ἔχοντες δὲ τὴν λείαν ἐπανῄεσαν εἰς τὴν οἰκείαν. [20]

3 250 ἐπανιοῦσι δὲ διὰ τῆς Θρᾴκης, ἐπεὶ καὶ βασιλεὺς ὁ νέος ἐκ τῆς Αἴνου ἐπανῆκε μετὰ τῶν συμμάχων τὴν φθοράν, πρέσβεις ἔπεμπε πρὸς Σουλιμὰν τὸν σατράπην καὶ καταλλάττειν ἐπεχείρει ἑαυτῷ, δῶρά τε παρέχων καὶ λόγοις ὑποποιούμενος προσηνέσιν, ἔπεμπε δὲ αὐτῷ καὶ γράμματα. ἐν οἷς δεῆσαν καὶ Καντακουζηνοῦ τοῦ βασιλέως ἐπιμνησθῆναι, οὐ βασιλέα προσηγόρευεν, ἀλλὰ Καντακουζηνὸν ἁπλῶς χωρίς τινος προσθήκης. ὁ μέντοι βάρβαρος τὴν μὲν πρεσβείαν ἐδόκει δέχεσθαι ἡδέως καὶ δῶρά τε ἀντέπεμπε καὶ εὐνοήσειν ἐπηγγέλλετο ἐξῆς, τὰ δὲ γράμματα πρὸς Καντακουζηνὸν τὸν βασιλέα ἔπεμπεν, ὡσπερεὶ πολλὴν ἀγνωμοσύνην τοῦ νέου βασιλέως κατεγνωκώς. οἱ μὲν οὖν βάρβαροι αὖθις εἰς Ἀσίαν ἦσαν. πατριάρχης δὲ ὁ Κάλλιστος πολλὰ περὶ εἰρήνην βασιλεῖ τῷ νέῳ διαλεχθεὶς, ἐπεὶ μηδὲν ἀνύειν τῶν δεόντων εἶχε, τῶν περὶ βασιλέα οὐκ ἐώντων, ἀλλ' ἐξορμώντων μᾶλλον βασιλέα πρὸς τὸν πόλεμον καὶ μηδὲν ἀγεννὲς ὑπομένειν παραινούντων διὰ τὴν κακοπραγίαν, ἀλλ' ἔχεσθαι τῶν προτέρων λογισμῶν, ὡς κρείττω πάντως ἐσόμενον τῶν πολεμίων καὶ τὴν ἀρχὴν ἀνασωσόμενον, ἀνέστρεφεν εἰς τὴν Ἀδριανοῦ πρὸς βασιλέα καὶ τῶν ἀνδρῶν ἀπήγγελλε τὴν μοχθηρίαν, ὅτι τῆς ἰδίας ὠφελείας ἕνεκα, ὡς ᾤοντο, προὐδίδοσαν τὰ κοινῇ λυσιτελοῦντα καὶ τὸν πόλεμον παρώξυνον. [20]

3 251 βασιλεὺς δὲ ὁ Καντακουζηνὸς ἠνιᾶτο μὲν, αὐξανόμενον ὁρῶν τὸν πόλεμον, καὶ τοὺς κωλύοντας τὴν εἰρήνην ἐν αἰτίαις ἐποιεῖτο, ὡς πολλῶν αὖθις δυστυχημάτων πεῖραν ἐπάγοντας Ῥωμαίοις· μήπω δὲ πρὸς τὴν εἰρήνην ἀπηγορευκὼς, τόν τε ἀνεψιὸν αὖθις Μανουὴλ τὸν Καντακουζηνὸν καὶ Μητροφάνην τὸν ἐπίσκοπον Μελενίκου πρὸς βασιλέα τὸν νέον πρέσβεις ἔπεμπε, καὶ τὸν πόλεμον παρῄνει καταλύειν τοῦ νεωτερίζειν ἀποστάντα. τῶν συνόντων δὲ φανερῶς ἐναντιωθέντων καὶ ἀπειπαμένων τὴν εἰρήνην, ἐπεὶ οἱ πρέσβεις ἐπανῆκον ἄπρακτοι, καὶ βασιλεὺς ὁ Καντακουζηνὸς οὐκέτι ἔμελλεν, ἀλλὰ τὰς ἀποστάσας ἐκάκου πόλεις, μάλιστα δὲ Μόῤῥαν καὶ τὰς ἄλλας τὰς κατὰ τὴν Ῥοδόπην Ῥωμαίοις ὑπηκόους. αἱ πλείους γὰρ τῷ νέῳ προσεχώρουν βασιλεῖ. ἔπειτα καὶ πρὸς τὴν Χαλκιδικὴν πέμψας στρατιὰν, ἐκέλευε κατατρέχειν, αὐτοὺς μὲν οὐ βουλόμενος κακοῦν, (οὐ γὰρ ἠξίου τοὺς ὑπ' αὐτοῦ πρὸς βασιλέα τὸν νέον παραδεδομένους ἑκοντὶ κατατρίβειν, ὡς ἠγνωμονηκότας,) ἀλλ' οἱ ἐν Μόῤῥᾳ τοῦτο μὲν διὰ τὸν πόλεμον ὅμορον αὐτοῖς ὄντα, τοῦτο δ' ὅτι καὶ ἡ Χαλκιδέων βοσκήμασι διαχειμάζειν μᾶλλον ἐπιτηδειοτέρα διά τε τὴν ἁλέαν καὶ τὸ τροφὴν παρέχειν ἄφθονον, βοσκήματα ἐκεῖ πολλὰ καταγαγόντες, ἠνάγκασαν βασιλέα πέμπειν ἐπ' ἐκείνους στρατιάν· οἳ καὶ καταδραμόντες πρὸς τοῖς ξένοις ἐκάκωσαν καὶ τοὺς ἐγχωρίους οὐκ ὀλίγα. [20]

3 252 διακρίνειν γὰρ οὐδὲ βουλομένοις μάλιστα ἐξῆν. Διδυμότειχον δὲ κακοῦν οὐκ εἴα διὰ βασιλέα τὸν γαμβρόν. οἱ μὲν οὖν κατὰ Μόῤῥαν πλεῖστα κακωθέντες καὶ πιεσθέντες ὑπὸ τοῦ πολέμου αὖθις προσεχώρουν βασιλεῖ τῷ Καντακουζηνῷ, βασιλεὺς δὲ ὁ νέος, ὁρῶν ὑποῤῥέουσαν αὐτῷ τὴν δύναμιν καὶ τὰ πράγματα χωρήσαντα ὀπίσω, πέμψας πρὸς βασιλέα τὸν κηδεστὴν διελέγετο περὶ εἰρήνης καὶ ἐδεῖτο τὸν πόλεμον καταθέσθαι ἔχοντας, ἃ ἔχουσιν, ἑκάτερον. ὁ δὲ τὴν μὲν

εἰρήνην περιπλείστου μάλιστα ἔλεγε ποιεῖσθαι, καὶ μηδὲν εἶναι μήτε φίλον μᾶλλον, μήτε σπουδαιότερον, καὶ ταῦτα οὐχ ἁπλῶς πρὸς ὁμοφύλους ἐσομένης, ἀλλὰ πρὸς τοὺς φιλτάτους· δέον μέντοι καὶ διὰ τὴν ἐμπειρίαν τὴν ἐν τοῖς πράγμασι καὶ τὸ πατέρα εἶναι πρόνοιαν αὐτὸν ποιήσασθαι, μὴ τοῖς ἴσοις πάλιν τὸν υἱὸν περιπεσεῖν, ἀλλὰ τῆς στάσεως περιελεῖν τὰς αἰτίας καὶ τῶν νεωτερισμῶν. οὐδὲ γὰρ εἴ τις ὁρῶν τὸν παῖδα περὶ μέθας καὶ κύβους καὶ τοιαύτην ἐξώλειαν ἠσχολημένον, χρημάτων κύριον ποιῶν καὶ φαύλοις ἀνθρώποις καὶ μεθύουσι συνεῖναι ἐπιτρέπων, ἢ περὶ θήρας ἐπτοημένον ἀκρατῶς καὶ πάντα χρήματα ἑνὸς τούτου προϊέμενον, εἰ κύνας παρείχετο θηρευτικὰς καὶ ἵππους, νοῦν ἂν ἔχοντα ἐδόκει πράττειν. διὰ ταῦτα δὴ τῶν μὲν πόλεων, ἃς πρότερον αὐτὸς παρέσχετο, παραχωρεῖν καὶ αὐτοῦ Διδυμοτείχου· τῶν μέντοι συνόντων αὐτῷ Ῥωμαίων τοὺς ἐπιφανεστέρους, οὓς μὴ αὐτὸς ἑκοντὶ παρέσχετο συνεῖναι, ἄντ' ἐν Διδυμοτείχῳ ἢ ἄλλοθί που τὰς οἰκίας ἔχωσι, τούτους δὲ μὴ συνεῖναι ἐφιέναι, ἀλλ' αὐτῷ δουλεύειν, ὥσπερ καὶ πρότερον, ἵνα μὴ αὐτῷ πολέμων αὖθις καὶ νεωτερισμῶν αἴτιοι ὀφθῶσι. [5]

3 253 δέον μέντοι μηδ' ἐκείνους μηδὲν ὑποπτεύειν πείσεσθαι δεινὸν διὰ τὴν ἀποστασίαν. οὐ γὰρ ὥστε ἀμύνασθαι αὐτοὺς βούλεσθαι ὑπάγειν ἑαυτῷ, ἀλλὰ μὴ πρὸς τὰ βελτίω ἐναντιουμένους ἔχειν. ἐπηγγέλλετό τε παντάπασιν ἀμνηστήσειν τῶν προϋπηργμένων. ὁ μὲν οὖν νέος βασιλεὺς ἕτοιμος πάντα ἦν ποιεῖν, ὅσα παραινοίη βασιλεὺς ὁ κηδεστὴς καὶ χωρεῖν πρὸς τὴν εἰρήνην· οἱ στασιασταὶ δὲ οὐκ εἴων, ἀλλ' ἐκώλυον πάσῃ δυνάμει καὶ μᾶλλον ἔχεσθαι παρῄνουν τοῦ πολέμου, εἰδότες, ὡς, ἂν ὑπὸ βασιλέα γένωνται τὸν Καντακουζηνόν, οὐκέτι χώραν ἕξουσι στασιάζειν καὶ νεώτερα κινεῖν, ἐξ ὧν τὸ κοινὸν μὲν διαφθαρήσεται Ῥωμαίων, αὐτοὶ δὲ ὠφεληθήσονται ὀλίγα. ἐπεὶ δὲ οὐ προὐχώρουν αἱ συμβάσεις περὶ τῆς εἰρήνης, σφοδρότερον βασιλεὺς ὁ Καντακουζηνὸς ἐπηνέχθη τοῖς περὶ τὸν νέον βασιλέα, ὥστε μηδὲ δυνηθῆναι ἀντισχεῖν. Διδυμότειχον γὰρ καταλιπὼν καὶ τὰς ἄλλας πόλεις, ἃς εἶχεν, ἐκ τῆς Αἴνου πρὸς Τένεδον ἐπεραιώθη. συνείπετο δὲ αὐτῷ καὶ βασιλὶς Ἑλένη ἡ γυνὴ, Μανουὴλ τὸν νεώτερον τῶν παίδων ἔχουσα, μεῖζον εὐτύχημα, ἄν τις εἴποι δικαίως, ἢ καθ' ὅσον ἐδόκει κακοπραγεῖν ἐν τῷ πολέμῳ. [20]

3 254 πάντα γὰρ ἑαυτὴν παρέσχετο τῷ ἀνδρὶ λυσιτελοῦσαν, οὐ παρὰ τὸν τοῦ πολέμου μόνον χρόνον, ἀλλὰ καὶ πάντα τὸν ἐπίλοιπον, καὶ κατὰ τὴν πρώτην πλάσιν βοηθὸς ἐν πᾶσι τῷ ἀνδρὶ ἐγένετο, τήν τε φυγὴν συνδιαφέρουσα ἀλύπως καὶ πάντα ὑπομένειν ὑπὲρ ἐκείνου οὖσα παρεσκευασμένη διὰ φιλανδρίαν. ἐφιλονείκησε γὰρ οὐ τὰς οὔσας μόνον, ἀλλὰ καὶ τὰς ἐπί τισι πλεονεκτήμασι πάλαι ὑμνουμένας ὑφ' ἓν ἁπάσας παρελάσαι, φρόνημα μὲν γενναῖον ἐν πᾶσι καὶ παράστημα ψυχῆς εὐγενοῦς ἐπιδεικνυμένη, συνέσει δὲ καὶ ἀγχινοίᾳ οὐ τῶν γυναικῶν τὰς πρώτας μόνον, ἀλλὰ καὶ ἀνδρῶν τοὺς διὰ ταῦτα θαυμαζομένους παριοῦσα. ἀτυφίας μέντοι καὶ μετριότητος καὶ γυναιξὶν αἰδοῦς πρεπούσης καὶ τῆς εἰς πάντα τὰ καλὰ ἐπιβολῆς καὶ εὐφυΐας καὶ τῆς ἐπιφαινομένης καὶ διὰ τῶν λόγων καὶ τῶν ἔργων κοσμιότητος, οὐδεὶς οὕτω φθονερὸς, οὐδ' ἀπείρατος καλῶν, ὅστις ἢ παντάπασιν ἂν ἔλοιτο συγκρύπτειν, ἢ μεθ' ἁπάσης μὴ μεμνῆσθαι τῆς ὑπερβολῆς. μέγιστον δὲ ἁπάντων, ὅτι λαμπρότητα τοιαύτην βίου ἐπανῃρημένη καὶ ὥσπερ νόμους θεῖσῃ ἑαυτῇ οὔτε χρόνος, οὔθ' ἕτερον οὐδὲν ἤμβλυνε τὴν προθυμίαν, μᾶλλον δὲ, εἰ δεῖ τι καὶ καινότερον εἰπεῖν, καὶ συναυξανομένην ἔχει τῷ βίῳ καὶ συμπροϊοῦσαν. ταῦτα μὲν οὖν ἐκ πολλῶν ὀλίγα τῶν Ἑλένῃ προσόντων ἀγαθῶν τῇ βασιλίδι· οὐ γὰρ εὐφημεῖν ἐκείνην προειλόμεθα, ἀλλ' ἵν' εἰδῶμεν, οἷον ἀγαθὸν καὶ ἐν τοῖς καθ' ἡμᾶς ἡ φύσις ἠδυνήθη χρόνοις ἐνεγκεῖν. λε′. [20]

3 255 Τότε δὲ τοῦ νέου βασιλέως ἐκ τῆς Αἴνου πρὸς Τένεδον τὴν νῆσον περαιωθέντος, αἱ ὑπ' ἐκείνῳ τελοῦσαι πόλεις πᾶσαι προσεχώρουν βασιλεῖ τῷ Καντακουζηνῷ, ἃς καὶ καθίστη περιιὼν, καὶ ἄρχοντας ἐφίστη τοὺς δοκοῦντας μάλιστα αὐτῷ προσέχειν. βασιλεὺς δὲ ὁ νέος τριήρη μίαν

ἐφοπλίσας καὶ μονήρεις οὐ πολλὰς, ἐπὶ Βυζάντιον ἀφῖκτο, πολλὴν πρόνοιαν ποιούμενος ἀγνοηθῆναι. ἤλπιζε γὰρ, εἰ μόνον πύθοιντο οἱ φίλοι ἥκοντα, εἰσδέξεσθαι τῇ πόλει, πείσαντες τὸν δῆμον. ἦσαν γὰρ οὐ Βυζαντίου μόνον, ἀλλὰ καὶ τῶν ἄλλων πόλεων οἱ δῆμοι μάλιστα πρὸς τὸν νέον βασιλέα εὔνως ἔχοντες. ἡ μὲν οὖν ἐκείνου ἔφοδος ἠγγέλλετο περὶ ὄρθρον, καὶ θροῦς κατὰ τὴν πόλιν ᾔρτο καὶ τάραχος οὐκ ὀλίγος. Εἰρήνη δὲ ἡ βασιλὶς οὐδενὸς ἠμέλει τῶν δεόντων, ἀλλ' αὐτίκα τῶν τε συγγενῶν καὶ φίλων τοὺς πιστοτάτους καὶ τοὺς σφίσι μάλιστα προσέχοντας μεταπεμψαμένη, ἐπέτρεπε τὴν φυλακὴν τῆς πόλεως, ἐκέλευέ τε μετὰ τῆς στρατιᾶς περιιόντας δεδίττεσθαι τὸν δῆμον καὶ πᾶσαν εἴσοδον ἀπείργειν τῷ νέῳ βασιλεῖ. οἱ μὲν οὖν ἐποίουν κατὰ τὰ κεκελευσμένα, καὶ οἱ τῷ νέῳ βασιλεῖ προσέχοντες οὐδὲν ἐνεωτέριζον, δείσαντες τὸν κίνδυνον, ἀλλὰ συμπεριῄεσαν καὶ αὐτοὶ τοῖς ἄλλοις καὶ παρείχοντο προθυμοτάτους ἑαυτοὺς πρὸς τῆς πόλεως τὴν φυλακὴν ἕνεκα τοῦ μὴ ὑποπτευθῆναι. βασιλεὺς δὲ ὁ νέος ἐπειδὴ τῶν ἐλπίδων διημάρτανε, κύκλῳ τὴν πόλιν περιπλεύσας, ἔπειτα ἐγγὺς Γαλατᾶ ἀντικρὺ προσέσχε Βυζαντίου καὶ ἀπέβαινεν ἐκεῖ· αὐλισάμενος δὲ ἐκεῖ καὶ τὴν ἐπιοῦσαν νύκτα, εἰς τὴν ὑστεραίαν ἅμα ἕῳ εἰς Τένεδον ἀπῆρεν αὖθις. [20]

3 256 κατὰ δὲ τὴν ἀναχώρησιν οἱ ἐκ τῆς βασιλικῆς τριήρεως πολλὰς Καντακουζηνοῦ τοῦ βασιλέως καὶ ὡς μάλιστα ἀσέμνους κατέχεον τὰς ὕβρεις καὶ οὐδὲν ἀποδεούσας τῶν παρὰ Ἀποκαύκου τοῦ μεγάλου δουκὸς κατὰ τὸν χρόνον τοῦ πολέμου τετολμημένων. ἃ μάλιστα ἐλύπησε πυθόμενον τὸν βασιλέα, οὐκ ἂν εἰς τοσοῦτον ἐξενεγκεῖν τὸν νέον οἰηθέντα βασιλέα ἀτοπίας, εἰ μὴ ἄσπονδον ἐσκέψατο τὸν πρὸς αὐτὸν πόλεμον διατηρεῖν. ὁ μέντοι νέος βασιλεὺς τὰ τοιαῦτα ἐγκαλούμενος ὕστερον ὑπὸ τοῦ κηδεστοῦ, ἰσχυρίζετο οὐδὲν εἰδέναι τῶν γεγενημένων, ἀλλὰ παρὰ τὴν κοίλην ὄντος ναῦν καὶ τῶν λεγομένων οὐδενὸς ἀκούειν ὑπὸ τοῦ ῥοθίου συγχωρουμένου, ἀτακτοῦν τὸ ναυτικὸν ἐτράπη πρὸς τὰς ὕβρεις. ταῦτα μὲν οὖν ὀλίγῳ ὕστερον εἰρήσεται. τότε δὲ ἐπεὶ εἰς Τένεδον ἐκεῖνος ἐπανῆκε, βασιλίδα Ἑλένην τὴν γυναῖκα ἔχων καὶ Μανουὴλ τὸν παῖδα, ἦλθεν εἰς Θεσσαλονίκην. Καντακουζηνὸς δὲ ὁ βασιλεὺς περὶ Βήραν διατρίβων, ἐπεὶ πύθοιτο τὸν γαμβρὸν ἐπὶ Βυζάντιον ἐλθόντα, κατὰ τάχος ἐπ' ἐκεῖνον ᾔει, καὶ αὐτὸς στρατιάν τε ἄγων οὐκ ὀλίγην καὶ Ματθαῖον συνεπόμενον ἔχων τὸν υἱόν. βασιλέα μὲν οὖν οὐχ εὗρε τὸν γαμβρὸν, εἰς Τένεδον κατὰ τάχος ἀπηρκότα καὶ αὐτὸν, σύγχυσιν δὲ καὶ ταραχὴν οὐκ ὀλίγην ἐν τοῖς ἐπιφανεστέροις μάλιστα ἐγηγερμένην. εἰς τρίτην γὰρ ἡμέραν μετὰ τὴν ἐπιδημίαν πάντες ἐκ συνθήματος γενόμενοι ἐν βασιλείοις, ἀγνοεῖν ἔφασαν πρὸς βασιλέα, ὅ,τι βούλοιτο αὐτῷ ἡ πρὸς τοσοῦτον ἐφ' ἑκάτερα ῥοπὴ, ὥστε μηδ' αὐτοὺς εἰδέναι ἔχειν, ὁποτέρῳ πρόσθοιντο. [25]

3 257 εἰ μὲν γὰρ ἐκ τρόπου παντὸς βασιλέα τὸν νέον Ἰωάννην ἔγνωκε κληρονόμον ἀποδεικνύειν τῆς Ῥωμαίων ἡγεμονίας, τί μὴ καὶ αὐτοῖς κατάδηλον ποιεῖ, ὥστε μήτε πολεμεῖν, ἀλλὰ καὶ θεραπεύειν μέλλοντας ὀλίγῳ ὕστερον εἶναι ὑπ' ἐκεῖνον; ἀνόητον γὰρ ἂν εἴη καὶ τῶν ἀτοπωτάτων, ἀγνωμονεῖν πρὸς τὸν δεσπότην καὶ πολεμίους φαίνεσθαι, ἐξ ὧν ἐκεῖνον μὲν οὐ δυνήσονται διαφθερεῖν, αὐτοῦ συναιρομένου καὶ τῆς ἀρχῆς παραχωροῦντος ἑκοντὶ, σφᾶς δὲ αὐτοὺς καὶ τέκνα καὶ οἰκείους βλάψουσι τὰ μέγιστα, πολέμιοι ἀναφανέντες, ᾧ δουλεύειν ἔξουσιν ἀνάγκην. εἰ δ' αὐτός τε πολέμιον ἡγεῖται κἀκείνους προθύμως βούλεται συμπολεμεῖν αὐτῷ, ἐλπίδα τινὰ βεβαίαν δέον πρὸς τὰ μέλλοντα παρέχεσθαι, ᾗ πεισθέντες ἐκείνῳ πολεμήσουσι προθύμως. αὕτη δ' ἂν εἴη τὸ Ματθαῖον τὸν υἱὸν ἀποδεικνύειν βασιλέα, ὡς οὕτω πᾶσαν ἀμφιβολίαν ἀποθησομένων καὶ προθύμως τῷ νέῳ βασιλεῖ πολεμησόντων, ἐλπίδα βεβαίαν ἤδη κεκτημένων, ὡς ἢ κρατήσαντες τῶν πολεμίων διὰ βίου βασιλέας αὐτὸν ἕξουσι καὶ τὸν υἱὸν, ἢ καὶ αὐτοὶ κρατηθέντων συνδιαφθαρήσονται αὐτῶν. οἱ μὲν οὖν ἐν τέλει τοιαῦτα εἶπον, βασιλεὺς δὲ „τὴν μὲν ἀξίωσιν ὑμῶν, ὡς δικαία τε" εἶπε „καὶ νοῦν ἔχουσα, καὶ ἀναγκαῖον εἰδέναι, ὅτῳ προσθεμένους χρὴ ἑτέρῳ πολεμεῖν, οὐκ ἂν ἀρνηθείην οὐδ' αὐτός. [20]

3 258 τὸν μὲν γὰρ ἄλλον ἅπαντα χρόνον εὐθὺς μετὰ τὸ ἡμᾶς τῶν πολεμίων περιγεγενῆσθαι καταλελυκέναι τε τὸν πόλεμον, συμβάσεις θεμένους πρὸς Ἄνναν τὴν βασιλίδα καὶ βασιλέα τὸν ἐμὸν γαμβρὸν, αὐτὸς ἠνάγκαζον ὑμᾶς δεσπότην ἐκεῖνον καὶ βασιλέα καὶ εἰδέναι καὶ νομίζειν· καὶ οὐκ ἐν ἀποῤῥήτῳ μόνον, ἀλλὰ καὶ ἐπὶ πολλῶν πολλάκις τὸν νέον βασιλέα, καὶ περιόντος καὶ μετὰ τὴν τελευτὴν ἐμοῦ, τῆς Ῥωμαίων διάδοχον βασιλείας ἔσεσθαι ἀπεφθεγγόμην. νυνὶ δ’ αὐτὰ τὰ πράγματα ἐμέ τε ἠνάγκασαν ἑτέρως πράττειν, ἢ ὡς ἠβουλόμην, καὶ ὑμῖν εἰκὸς μεγάλας τὰς ἀπορίας ἐμποιεῖν. εἰ μὲν οὖν περί τινων οὐδένων καὶ εὐκαταφρονήτων ὁ λόγος ἦν, οὐδὲν ἦν ἔργον φθέγγεσθαι νῦν τὸ παραστὰν, ὡς ὀλίγης βλάβης ἐσομένης ἐκ τοῦ μὴ μετ’ εὐβουλίας, ἀλλ’ ἀπερισκέπτως φθέγξασθαι τὸ προστυχόν. ἐπεὶ δὲ περὶ τῶν παρ’ ἡμῖν μεγίστων, (τί γὰρ ἂν εἴη μεῖζον;) δέον πρότερον πολλὰ πολλάκις σκεψαμένους, οὕτω πρὸς ὑμᾶς ἅττα ἂν λυσιτελῆ καὶ δίκαια νομίζωμεν διεξιέναι. οὐ μὴν ἀλλὰ καὶ ὑμεῖς αὐτοὶ καὶ ἰδίᾳ ἕκαστος καὶ πάντες κοινῇ περὶ τοῦ πράγματος πολλὴν ἐξέτασιν καὶ βάσανον ποιούμενοι, οὕτω παρασκευάσασθε, ὡς γνώμην ἕκαστος εἰσοίσων, ἣν ἂν οἴοιτο καὶ κοινῇ τοῖς πράγμασι Ῥωμαίων καὶ ὑμῖν ἰδίᾳ λυσιτελήσουσαν ἑκάστῳ.“ ὁ μὲν οὖν σύλλογος οὕτω διελέλυτο, βασιλέως ὑπερθεμένου τὴν πρὸς τὴν τῶν συγκλητικῶν ἀξίωσιν ἀπολογίαν. λς′. [25]

3 259 Αὐτὸς δ’ αὐτίκα ἵππου ἐπιβὰς καὶ πρὸς τῷ τεμένει τῆς θεομήτορος γενόμενος τῆς Ὁδηγητρίας καὶ τὴν προσκύνησιν ἀποδοὺς, ἔπειτα ἐκεῖθεν ἀναστρέφων, πατριάρχῃ τε τῷ Καλλίστῳ συνεγένετο, ἐπὶ τὴν οἰκίαν τὴν ἐκείνου αὐτὸς ἐλθὼν, καὶ διηγεῖτο, ὅσα οἱ ἐν τέλει περὶ βασιλέως τε τοῦ γαμβροῦ καὶ τοῦ υἱοῦ διεξῆλθον πρὸς αὐτόν· ἐδεῖτό τε ὑποθέσθαι, ὁποίοις τισὶ λόγοις χρήσαιτο πρὸς ἐκείνους, ἂν ἀπαιτῶσι τὴν ἀπολογίαν, ὥσπερ ἐπηγγείλατο. πατριάρχης δὲ τὸ μὲν νῦν ἔχον· ἔφασκε καὶ αὐτὸς ἀπολογίας ἀπορεῖν· εἰς τρίτην μέντοι σκεψάμενος ἡμέραν, ἃ ἂν οἴηται δίκαιά τε εἶναι καὶ προσήκοντα τοῖς τοιαῦτα ἀξιοῦσιν, ἐν βασιλείοις γενόμενος ἐρεῖν. ὁ μὲν οὖν βασιλεὺς ἐκεῖθεν ἐπανῆκεν εἰς τὰ βασίλεια, τοῖς πατριάρχου λόγοις ἀρκεσθεὶς καὶ προθύμως παρασχόμενος τὴν προθεσμίαν. ὁ πατριάρχης δὲ εἰς τρίτην ἡμέραν, ὥσπερ ἐπηγγείλατο, οὔτ’ ἐγένετο ἐν βασιλείοις, οὔτε συνεβούλευεν οὐδὲν περὶ τῶν προκειμένων. ἑβδόμῃ δὲ ἡμέρᾳ τὰ πατριαρχεῖα καταλιπὼν, εἰς τὴν Μάμαντος τοῦ μάρτυρος ἐλθὼν, μονὴν οὖσαν κατεξαίρετον αὐτῷ ἰδίαν, ἐμήνυε πέμψας βασιλεῖ, ὡς οὔτ’ ἐν βασιλείοις γένοιτ’ ἄν, οὔτ’ ἐν πατριαρχείοις, εἰ μὴ ὅρκους αὐτῷ παράσχοιτο, ὡς οὐκ ἄν ποτε Ματθαῖον τὸν υἱὸν ἀποδείξοι βασιλέα. ὁ μὲν οὖν βασιλεὺς ἤχθετο ἐπὶ τοῖς λόγοις καὶ πολλὴν ἐκείνου κατεγίνωσκεν ἀπραγμοσύνην, ἀντεμήνυέ τε πέμψας καὶ αὐτὸς, ὡς οὐδεμίαν τὰ εἰρημένα τὴν ἀκολουθίαν ἔχειν παρ’ εὐφρονοῦσιν ἂν νομίζοιτο κριταῖς. [20]

3 260 εἰ μὲν γὰρ τὴν ἀνάῤῥησιν τῷ υἱῷ συγκατεργασόμενον ἐκάλει, λόγον ἂν εἶχεν ὅρκους ἀπαιτεῖν, μὴ τοιαῦτα καταναγκάζειν πράττειν, εἰ μὴ λυσιτελεῖν ἐδόκει, μηδὲ κατὰ γνώμην ἦν αὐτῷ· εἰ δὲ τοιοῦτον μὲν οὐδὲν οὐδέπω ἐπεψηφίσθη, ἔτι δὲ τοῦ πράγματος ἐξεταζομένου, εἰ δίκαιον εἶναι καὶ λυσιτελοῦν νομίζοιτο ἢ μὴ, καλοῖτο καὶ αὐτὸς τὴν δοκοῦσαν εἰσοίσων ψῆφον, τί δεῖ περὶ τοῦ πράγματος ὅρκους ἀπαιτεῖν μήπω πέρας εἰληφότος; ὁμοίως γὰρ ἐνδέχεται, εἰ πάντες ἐν ταὐτῷ συνέλθοιεν, καὶ ἐπιψηφισθῆναι καὶ κωλυθῆναι. αὖθίς τε ἐδεῖτο καὶ παρῄνει ἥκειν πρὸς αὐτὸν, ὡς ὅ,τι ἂν δέοι πράττειν διασκεψομένους. ὁ δ’ ἀπηγόρευε παντάπασι καὶ πολλάκις παρὰ βασιλέως οὐχ ὑπήκουε κληθείς· οἱ μέντοι τὸν υἱὸν ἀποδεικνύειν ἀξιοῦντες βασιλέα, καὶ αὖθις γενόμενοι ἐν βασιλείοις, λόγον ᾔτουν περὶ ὧν ἠξίουν βασιλέα. ὁ δ’ ὑπερετίθετο καὶ αὖθις, ὡς διασκεψόμενος. ὀλίγαις δὲ ἡμέραις ὕστερον μετὰ τῶν συγκλητικῶν καὶ τῶν εὐγενεστέρων καὶ ὅσοι τοῦ στρατιωτικοῦ καταλόγου ἦσαν συνελθόντες, ἐδέοντο βασιλέως γλώσσῃ μιᾷ Ματθαῖον τὸν υἱὸν ἀποδεικνύειν βασιλέα. βασιλεὺς δ’ ἐπεὶ μὴ τὴν διάσκεψιν εἶχεν ἔτι ἀναβάλλεσθαι, (ἐξήρκει γὰρ ὁ χρόνος τῆς ἀναβολῆς,) καὶ τὴν στάσιν αὐξανομένην καὶ προσθήκην ἀεὶ λαμβάνουσαν ἑώρα, καταστὰς εἰς μέσους, ἔλεξε τοιάδε· „τὸ περὶ τῶν αὐτῶν ἀεὶ διεξιέναι καὶ

ἀποκναίειν τοὺς ἀκούοντας, τῷ καινολογεῖν παντάπασιν ἐναντίον ὂν, ὁμοίως ἔχει μέμψιν, ἄλλως θ' ὅταν οἱ ἀκούοντες οὐ λόγοις ὧσι μόνον πολλάκις περὶ τῶν αὐτῶν δεδιδαγμένοι, ἀλλὰ καὶ τοῖς πράγμασιν αὐτοῖς παρηκολουθηκότες, ἐξ ὧν ἐσχήκασι σαφῆ καὶ φανερὰν τὴν ἀπόδειξιν τῶν λεγομένων. [20]

3 261 ὡς μὲν οὖν ἀδίκως πεπολέμημαι μετὰ τὴν βασιλέως τελευτὴν καὶ πολλὰς καὶ παντοδαπὰς ὑπέμεινα τὰς δυσχερείας καὶ τὰς ἐπιβουλὰς καὶ τοὺς κινδύνους, καὶ ὡς μετὰ τὴν τοσαύτην τῶν δεινῶν ἐπιφορὰν καὶ, τοῦ κρείττονος συναιρομένου, τοὺς ἀντιτεταγμένους σύμπαντας κεκρατηκὼς, οὐ τοῖς ἴσοις ἠμειψάμην, ἀλλ' ἐφιλονείκησα πᾶσαν ὑπερβολὴν προσθεῖναι τῇ μεγαλοψυχίᾳ, καὶ ὡς οὐ πάντα τἄλλα προεῖμαι μόνον εὐχερῶς, ἀλλὰ καὶ αὐτὴν, ὑπὲρ ἧς ἐδόκουν τὰ δεινὰ ὑπομενενηκέναι, βασιλείαν, (ἴστε γὰρ δήπου σύμπαντες, ὡς τήν τε παῖδα τὴν ἐμὴν συνῴκισα τῷ νέῳ βασιλεῖ καὶ τῆς ἀρχῆς μετέδωκα εὐθὺς, καὶ βασιλίδα τὴν μητέρα τῆς προτέρας δόξης καὶ τοῦ εἶναι καὶ ὀνομάζεσθαι Ῥωμαίων δεσπότιν ἀπεστέρησα οὐδὲν,) παρήσειν μοι δοκῶ, πάντων ὑμῶν σαφέστατα εἰδότων καὶ οὐδεμιᾶς δεομένων περὶ ταῦτα ἀποδείξεως. ὅτι δὲ μετὰ τοὺς ὅρκους καὶ τὰς συμβάσεις οὐδενὸς ἠμέλησα τῶν καθηκόντων πρὸς αὐτοὺς, ἀλλὰ πᾶσαν ἐπεδειξάμην καὶ σπουδὴν καὶ εὔνοιαν, καὶ οὐδεμίαν ἐν οὐδενί ποτε πρόφασιν αὐτοῖς πολέμου παρεσχόμην, νῦν ἐναργῆ πειράσομαι τὴν ἀπόδειξιν τὴν ἐκ τῶν λόγων παρασχέσθαι. εὐθύς τε γὰρ μετὰ τοῦ πολέμου τὴν κατάλυσίν τινων τῶν παρ' ὑμῖν μάλιστα ἐπιφανῶν δυσανασχετούντων καὶ ἀναινομένων ὅρκους ἐπὶ δουλείᾳ παρέχεσθαι τῷ νέῳ βασιλεῖ, καὶ βαρὺ καὶ ἐπαχθὲς λογιζομένων, ᾧ πάσῃ δυνάμει πεπολεμήκασιν ἄχρι τότε, τούτῳ μετὰ τὸ δοκεῖν κεκρατηκέναι αὖθις ἑαυτοὺς ὑπάγειν καὶ καταδουλοῦν, καὶ μὴ ταύτην ἐπιτιθέναι τὴν ἀνάγκην, ἀλλ' ἐμοὶ μόνῳ τὴν δουλείαν ὀφείλειν δεομένων, οὐκ ἠθέλησα αὐτὸς, ἀλλ' αὐτοῦ τε ἕνεκα τοῦ καλοῦ καὶ τοῦ δικαίου καὶ τῆς εἰς βασιλέα τὸν γαμβρὸν εὐνοίας τοὺς πολλοὺς ὑπὲρ ἐμοῦ πόνους καὶ κινδύνους ἐκείνων ὑπεριδὼν καὶ τῆς ἐπὶ τοσοῦτον χρόνον ἀμυθήτου κακοπραγίας, ἀπειπάμην φανερῶς καὶ τῆς Ῥωμαίων ἀρχῆς ἐκέλευον ἀναχωρεῖν, εἰ μὴ βούλοιντο καὶ βασιλεῖ τῷ νέῳ παρέχεσθαι τοὺς ὅρκους καὶ δουλεύειν ἀκριβῶς, ὥσπερ οἴονται κἀμοὶ προσήκειν· ἐκείνῳ δὲ καὶ μᾶλλον, ὅσον ἐμοὶ μὲν οὐκ εἰς τοὺς παῖδας ἔγνωσται διαβιβάζειν τὴν ἀρχὴν, ἀλλ' ἐκεῖνον καταλείπειν κληρονόμον, ἐκείνῳ δὲ εἰς παῖδας καὶ παῖδας παίδων διαβήσεται. [15]

3 262 ἃ καὶ ἔπραττον, ᾗ ἐκέλευον αὐτὸς, καὶ παρείχοντο τοὺς ὅρκους ὑπ' ἀνάγκης. αὖθις δὲ τῶν βασιλίδι προσεχόντων τραπομένων τινῶν εἰς νεωτερισμοὺς καὶ συνθεμένων, ἀπάτῃ συναρπάσαντας τὸν νέον βασιλέα, διαβαίνειν ἐπὶ Γαλατᾶν καὶ πόλεμον ἐγείρειν ἐπ' ἐμὲ, δύναμιν συμποριζομένους, ὅθεν ἂν ἐξῇ, οἱ μὲν φωραθέντες ἔδοσαν τῆς κακουργίας δίκην, ἐκεῖνοι δὲ οἱ βαρέως φέροντες τὴν ὑπὸ βασιλεῖ δουλείαν, ὥσπερ εὐλόγου προφάσεως εὐπορήσαντες, αὖθις ἠξίουν μὴ ἐνέχεσθαι τοῖς ὅρκοις, ἀλλ' ἀπολελύσθαι τῆς ἀνάγκης καὶ πράττειν, ὅ,τι ἂν δοκῇ συμφέρειν σφίσιν. [20]

3 263 ἐγὼ δὲ οὐδ' ἄκροις ὡσὶ τὸν λόγον ἠνεσχόμην, ἀλλὰ βασιλέα μὲν καὶ τὴν μητέρα ἠξίουν ἐνέχεσθαι μηδεμιᾷ γραφῇ, ἅτε συνειδότας τοῖς νεωτερίσασι μηδὲν, ἐκείνους δὲ ἐκέλευον ἠρεμεῖν καὶ μὴ πρόφασιν ζητεῖν, ἐξ ἧς αὖθις τὴν Ῥωμαίων ἐμπλήσουσι πολλῶν κακῶν. ἐκείνων δὲ οὐδ' οὕτω πεπεισμένων, ἀλλὰ Ματθαῖον ἐξηπατηκότων τὸν ἐμὸν υἱὸν καὶ πεπεικότων ἰδίαν συστήσασθαι ἀρχὴν, πόλεις κατασχόντα τινὰς καὶ χώραν ἀποτεμόμενον τῆς ὅλης ἡγεμονίας, οὔτ' ἐνέδωκα διὰ τὸ πρὸς τὸν παῖδα φίλτρον, οὔτ' ἀμελῶς καὶ ῥᾳθύμως εἶχον περὶ τὰ τοιαῦτα, ὡς μικρᾶς καὶ τῆς τυχούσης ἄξια φροντίδος, ἀλλὰ πᾶσαν πρόνοιαν ἐποιούμην ἀπάγειν τῶν ἀτόπων τὸν υἱόν. καὶ πέμψας βασιλίδα τὴν αὐτοῦ μητέρα, μὴ τοιαῦτα ἔπειθον νεωτερίζειν, ἀλλ' ἀσφαλῶς ἐμοί τε καὶ βασιλεῖ δουλεύειν τῷ γαμβρῷ. καὶ πολλὰ τοιαῦτα ἄν τις ἐξετάζων εὕροι διὰ παντὸς ἐμοὶ τοῦ χρόνου πεπραγμένα. ἐξ ὧν ἐστι μάλιστα ἐναργεστάτην

ἀπόδειξιν λαβεῖν τοῦ μηδὲν ἐμὲ μήτε πεπραχέναι, μήτε διανενοῆσθαι, ἐξ ὧν ἄν τις οἰηθείη τὴν Ῥωμαίων ἡγεμονίαν ἐκεῖνον βούλεσθαι ἀποστερεῖν· τοὐναντίον μὲν οὖν ἅπαν πάντα πράττειν, ἐξ ὧν βεβαίως ἔχειν περιέσται. ἀλλ᾽ οὐχ ὁμοίως ὤφθη κἀκεῖνος ἐμοὶ τὴν ἴσην εὔνοιαν διασώζων, ἀλλ᾽ ἐπὶ Θεσσαλονίκην ὑπ᾽ ἐμοῦ καταλειφθεὶς, ὡς τὰ ἐκεῖσε πράγματα διαφυλάξων ἄχρις ἐπανήξω παρασκευασάμενος, οὐκ ἐφύλαξεν, ὥσπερ ἔδει. [20]

3 264 πειθόμενος γὰρ ἀνθρώποις φαύλοις καὶ διεθφθορόσι καὶ κέρδους ἕνεκα μικροῦ οὐ σύμπασαν μόνον τὴν Ῥωμαίων ἡγεμονίαν. ἀλλὰ καὶ αὐτὸν, ὑπὲρ οὗ ταῦτα πράττειν ἐδόκουν, προϊεμένων, ἐμοὶ μὲν πόλεμον ἤρατο φανερῶς, ὃς πάντα ἔπραττον, ὅπως αὐτῷ βελτίω καὶ μείζω ποιήσω τὴν ἀρχὴν, πρὸς Κράλην δὲ ἐτίθετο σπονδὰς καὶ συμμαχίαν, καὶ τῶν ὄντων ἀφιστάμενος, ὥστε μόνον λυπηρὸς ἐμοὶ τῷ πάνυ μάλιστα φιλοῦντι φαίνεσθαι. ἐγὼ δὲ οὐκ εὐθὺς πρὸς ἄμυναν ἐτρεπόμην, οὐδὲ τοῦ περὶ αὐτὸν φίλτρου τὸ παράπαν οὐδὲν ὑφῄρουν, ἀλλὰ τοὺς μὲν ἐνάγοντας πρὸς τὰ τοιαῦτα μάλιστα εἶχον ἐν αἰτίαις, ἐκείνῳ δὲ πολλὴν ᾠόμην δεῖν παρέχεσθαι συγγνώμην, οὐ διὰ τὴν ἡλικίαν μόνον, ῥᾳδίαν οὖσαν ὑπὸ πονηρῶν παράγεσθαι ἀνθρώπων, ἀλλ᾽, εἰ δεῖ τι καὶ τἀληθὲς εἰπεῖν, νικώμενος ὑπὸ τοῦ φίλτρου. καὶ βασιλίδα τὴν μητέρα πέμψας, πάντα ἔπραττον, ἐξ ὧν ἐνόμιζον ἀποστήσειν τῶν οὐ καλῶν ἐκείνων ἐπιχειρήσεων καὶ πρὸς τὴν προτέραν ἐπανήξειν εὔνοιαν ἐμοί. ἃ καλῶς ποιοῦσα πάντα ἔπραττεν ἐκείνη καὶ μετὰ τοῦ προσήκοντος αὐτῇ φρονήματος. δεηθέντος δὲ πόλεις αὐτῷ παρασχέσθαι, ὅσας ἤθελεν, ὥστε ἄρχειν αὐτὸν ἰδίᾳ καὶ μηδὲν εὐθύνεσθαι παρ᾽ ἐμοῦ πρὸς τὴν ἀρχὴν, μικρολογεῖν μὲν αὐτὸν ᾠόμην καὶ μὴ ἑαυτῷ προσήκοντα ποιεῖν, μέλλοντα ὀλίγῳ ὕστερον συμπάντων εἶναι κύριον, ὀλίγων ἄρχειν δεῖσθαι πρὸ καιροῦ· προθύμως δὲ ὅμως παρεσχόμην, δεῖν χαρίζεσθαι νομίζων τοῦ νέου τῇ ἐπιθυμίᾳ, καὶ Διδυμότειχον προσετίθουν εἰς φιλοτιμίαν, ἀντίῤῥοπον οὖσαν πόλιν τῶν ἄλλων, ὧν αὐτὸς ᾐτεῖτο, ὥσπερ δήπου καὶ αὐτοὶ ἐπίστασθε σαφῶς. [5]

3 265 γενομένῳ δὲ ἐν Βυζαντίῳ πάντα τὰ δέοντα παρῄνουν καὶ συνεβούλευον ἐξέχεσθαι ἐμοῦ παντὸς μᾶλλον φιλοῦντος, καὶ πολέμιον ἡγεῖσθαι φανερῶς ἐκεῖνον, ὃς ἂν ἐπιχειροίη πείθειν, ὡς κακὸς ἐγὼ περὶ αὐτὸν, τὴν ἐκ τῶν ἔργων ἔχοντι ἀπόδειξιν λόγου παντὸς ἰσχυροτέραν. ἔπειτα ἐξέπεμπον χαίροντα χαίρων ἐπὶ τὴν ἀρχὴν, καὶ βασιλίδα τὴν γυναῖκα συνέπεσθαι κελεύσας· οὕτως οὐδὲν ὑπώπτευον δεινὸν περὶ αὐτοῦ. εἰδὼς δὲ αὐτὸν οὐ καλὰς περὶ τὸν γυναικὸς ἀδελφὸν ἔχοντα ἐννοίας, ἀλλ᾽ οἰόμενον ἐφεδρεύειν αὐτῷ πρὸς τὴν ἀρχὴν καὶ τρόπῳ δή τινι μετάγειν ἐφ᾽ ἑαυτὸν πειρᾶσθαι, ἀναγκαῖον μὲν ἐνόμιζον πρὸς Θρᾴκην καὶ αὐτὸς ἐλθὼν διαλύειν τὴν μικροψυχίαν καὶ πείθειν ἀλλήλοις εὐνοεῖν· κατεχόμενος δὲ ὑπὸ τοῦ πρὸς Λατίνους πολέμου τότε καὶ Βυζαντίου μὴ δυνάμενος ἀφίστασθαι, ἔπεμπον τὴν βασιλίδα, ὡς πάντα πράξουσαν, ὅσα περ ἂν ἐγὼ, καὶ διαλλάξουσαν ἀλλήλοις τοὺς υἱούς. τὸ δ᾽ ἐναντίως ἀπέβαινεν, ἢ αὐτὸς ᾠόμην. οὐ μόνον γὰρ οὐδὲν ἔπραττε τῶν δεόντων ὁ νέος βασιλεὺς, ἀλλὰ καὶ μετὰ τὸ βασιλίδα τὴν γυναικὸς μητέρα ἄπρακτον ἀποπέμψαι πρὸς πόλεμον ἐχώρησεν εὐθὺς καὶ ἄλλας τε πόλεις ὑπηγάγετο, ἃς αὐτὸς οὐ παρεσχόμην, καὶ τῷ γυναικὸς ἐπεστράτευσεν ἀδελφῷ, οὐδὲν ἠδικηκότι πρότερον. [20]

3 266 καὶ κατακλείσας πρὸς τὴν ἄκραν Ἀδριανοῦ τῆς πόλεως ἐπολιόρκει, οὐ Ῥωμαίους μόνον ἄγων, ἀλλὰ καὶ βαρβάρους κατὰ συμμαχίαν. ἐγὼ δ᾽ ἐπεὶ μέλλειν οὐκ ἐνῆν, ᾗ τάχιστα εἶχον, ἐν Ἀδριανοῦ γενόμενος, τὸν μὲν υἱὸν ἀπήλλαττον τοῦ κινδύνου, βασιλέα δὲ τὸν νέον οὐδὲν ἠνώχλουν πρότερον εἰς Διδυμότειχον ἀπηρκότα, ἀλλὰ καὶ πρέσβεις πέμψας, ἐδεόμην κατατίθεσθαι τὸν πόλεμον. ὁ δ᾽ ὑπὸ τῶν ἀγόντων πεπεισμένος καὶ τὴν ἐμὴν παραίνεσιν ἐν ὀλίγῳ θέμενος, οὐδὲν ἧττον ἢ πρότερον ἐπολέμει, καὶ ἄλλα τε ἔπραττεν, ὅσα πολέμιον εἰκὸς, καὶ συμμαχίαν ἐκ Τριβαλῶν καὶ Μυσῶν μετεκαλεῖτο. ἐπεὶ δ᾽ ὑπὸ τῶν βαρβάρων ἐκεῖνοι διεφθάρησαν, οὓς αὐτὸς μετεπεμψάμην ἐξ Ἀσίας, πρεσβείαν καὶ αὐτὸς πρὸς Σουλιμὰν τὸν τῆς

Περσικῆς ἡγούμενον ποιούμενος στρατιᾶς, (ἐδόκει γὰρ αὐτῷ λυσιτελεῖν πείθειν ἐκεῖνον εἶναι μὴ πολέμιον αὐτῷ,) ἔπεμπε καὶ γράμματα, ἐν οἷς ἐπιμνησθεὶς ἐμοῦ, οὐ βασιλέα προσηγόρευεν, ἀλλὰ Καντακουζηνὸν ἁπλῶς· ὃ μέγιστα ἐλύπησεν, ἀπόδειξιν ἐναργεστάτην οἰηθέντα τοῦ μέχρι καὶ τοῦ δυνατοῦ τὸν πόλεμον τὸν πρὸς ἐμὲ τηρεῖν ἀκατάλυτον πεπεῖσθαι. ἤδη δὲ τὰ τελευταῖα ταῦτα νῦν, ἐπεὶ μὴ μένειν πρὸς τὰς τῆς Θρᾴκης πόλεις ἠδυνήθη, οὐχ οἷός τε ὢν ἀντέχειν ἔτι πρὸς τὸν πόλεμον, πρὸς Τένεδον ἐπεραιώθη, καὶ συμπορισάμενος δύναμίν τινα ὀλίγην ναυτικὴν, ἐν τοῖς καιριωτάτοις ἐπεβούλευσεν. [20]

3 267 οὐ γὰρ ἴσον, πόλεις καὶ νήσους τὰς ὑπ' ἐμοὶ τελούσας ἴσως καταδουλοῦσθαι, καὶ αὐτῇ ἑστίᾳ ἐπελθεῖν. τούτου δὲ ὄντος οὕτω δεινοῦ, ἕτερον αὐτῷ πολλῷ δεινότερον καὶ μεῖζον εἰς ἀπεχθείας λόγον ἐτολμήθη. τοῖς γὰρ ἑπομένοις ναύταις καὶ μάλιστα τοῖς ἐκ τῆς τριήρεως, ἧς ἐπέβαινεν αὐτὸς, ἀδεῶς ἐφῆκεν ὑβρίζειν εἰς ἐμέ· ὃ οὐκ ἂν ἐτόλμησεν, ἐδόκουν, εἰ μὴ πεπεικὼς ἦν μάλιστα ἑαυτὸν ἀσύμβατον μέχρι παντὸς τὸν πόλεμον τηρήσειν. ὡς μὲν οὖν ἄχρι τέλους ἀπ' ἀρχῆς ἴσον ἑαυτῷ καὶ ὅμοιον ἐν πᾶσιν ἐμαυτὸν τετήρηκα ἐγὼ καὶ πρόφασιν οὐδεμίαν ἐκείνῳ πολέμου παρεσχόμην, πάντας οἶομαι πεπεῖσθαι ἐκ τῶν εἰρημένων. ἐκείνου δὲ οὐδενὸς τῶν ὅσα ᾤετο λυπεῖν ἀποσχομένου, οὐδένα τῶν νοῦν ἐχόντων οἶομαι ἐμοὶ δικαίως ἐγκαλέσειν, εἴ τι παρὰ τὰ δεδογμένα πρότερον πράξω νῦν μεταβαλών. οὐ γὰρ εὐκολίᾳ τρόπων ἐπὶ τοῦτο ἦχθην, οὐδ' εἰκῇ καὶ μάτην ἐκεῖνον βουλόμενος λυπεῖν, ἀλλ' ἠναγκασμένος ὑπ' ἐκείνου. τίνα γὰρ ἔχει λόγον, ἐκεῖνον μὲν ὑβρίζειν εἰς ἐμὲ καὶ πάντα τρόπον πειρᾶσθαι κατάδηλον ποιεῖν, ὡς ἀσυμβάτως ἕξει, ἐμὲ δὲ ὥσπερ πρὸς τὰ πραττόμενα ἀναισθητοῦντα, μηδὲν τῶν γινομένων οἴεσθαι δεινόν; τὸ μὲν οὖν τὴν ἀεὶ μελετωμένην ἀεὶ διαδοχὴν τῆς βασιλείας, τό γε εἰς ἐμὲ ἦκον, αὐτὸν ἀποστερεῖν ἐμὸν ἂν εἴη, εἰ μὴ μεταβάλοιτο καὶ τῆς προτέρας κακίας ἀντίῤῥοπον ἐνδείξαιτο εὐγνωμοσύνην. [20]

3 268 τὸ δὲ Ματθαῖον τὸν ἐμὸν υἱὸν ἀποδεικνύειν βασιλέα οὐκέτ' ἂν εἴη μόνον ἐμοῦ· (οὐδὲ γὰρ οὐδέπω πρότερον ἄχρι νῦν τῶν πάντων οὐδὲν εἰς τοῦτο ἠδυνήθη ἀγαγεῖν, καίτοι πολλάκις ὑμῶν πολλὰ παρὰ τὸν τοῦ πολέμου χρόνον, ὅτε καὶ μάλιστα ἡ πρᾶξις ἂν ἐδόκει τὸ εὔλογον διασώζειν, δεηθέντων περὶ τούτου·) ἀλλὰ μάλιστα μὲν ὑμῶν τῶν δεομένων καὶ πολλὴν ὑπὲρ τούτου τὴν προθυμίαν εἰσενηνεγμένων καὶ σπουδὴν, οὐχ ἧττον δὲ κἀμοῦ δίκαιά τε ὁμοῦ καὶ σφίσι τε αὐτοῖς καὶ τοῖς ὅλοις πράγμασι συμφέροντα κρίναντος ὑμᾶς αἰτεῖν. πράξω μὲν οὖν ἐγὼ κατὰ τὴν ἀξίωσιν ὑμῶν. ὑμέτερον δ' ἂν εἴη στέργειν τὰ ἐψηφισμένα, καὶ μὴ νῦν μὲν οὕτω προθυμεῖσθαι περὶ ταῦτα, ὀλίγῳ δὲ ὕστερον, εἴ τι προσπίπτοι δυσχερὲς, ῥᾳδίως μεταβάλλεσθαι.“ τοιαῦτα μὲν βασιλεὺς ὁ Καντακουζηνὸς περὶ βασιλέως τοῦ νέου διειλέχθη, καὶ τοιαῦτα ἐγκλήματα ἐπῆγεν, ἐξ ὧν ᾤετο δίκαια ποιεῖν. βασιλεὺς δὲ ὁ νέος ὕστερον μετὰ τοῦ πολέμου τὴν κατάλυσιν τὰ ἴσα ἐγκαλούμενος ὑπὸ τοῦ κηδεστοῦ, ὥσπερ ἀπολογουμένου, ὅτου ἕνεκα αὐτὸν μὲν ἀποχειροτονήσοι, τὸν δὲ υἱὸν Ματθαῖον ἀποδείξοι βασιλέα, περὶ μὲν τῶν ἄλλων οὐδὲν εἶχεν ἀντιλέγειν, τοῦ μέντοι ἐν τοῖς πρὸς Σουλιμὰν τὸν Πέρσην γράμμασι μὴ προσηγορευκέναι βασιλέα, οὐκ αὐτὸν, ἀλλὰ τὸν γεγραφότα ἔλεγε γεγενῆσθαι αἴτιον· αὐτὸν δὲ ὑπὸ πολλῶν φροντίδων συνισχημένον καὶ μυρίοις πράγμασι περιελκόμενον τὸν νοῦν, οὐκ ἐπιστῆσαι τοῖς γεγραμμένοις, ἀλλ' ἀπερισκέπτως τοῖς ἐρυθροῖς ὑποσημήνασθαι. [20]

3 269 ὁμοίως δὲ καὶ τῶν γεγενημένων ὕβρεων ὑπὸ τῶν τριηριτῶν οὐδὲν αὐτὸν εἰδέναι, μήτε βούλεσθαι, ἀλλ' ἐν τῇ κοίλῃ νηῒ κατ' ἐκεῖνο χρόνου διατρίβοντα, μηδενὸς ᾐσθῆσθαι τῶν τετολμημένων ἔξω. ταῦτα μὲν οὖν ὕστερον. λζ′. Τότε δὲ ἐπεὶ ἐπεψήφιζεν ὁ βασιλεὺς τὴν ἀνάῤῥησιν Ματθαίου τοῦ υἱοῦ, μετά τινας τῆς διαλέξεως ἡμέρας, πάντων παρόντων ἐν τοῖς βασιλείοις, ὁ τοῦ βασιλέως ἀνηγόρευτο υἱὸς, καὶ τοῖς τε ποσὶν ὑπέδυ κρηπῖδας ἐρυθρὰς καὶ πῖλον ἐπέθετο τῇ κεφαλῇ λίθῳ τε κεκοσμημένον καὶ μαργάροις, ὥσπερ ἔθος βασιλεῦσι, καὶ πρός τε τὰς εὐφημίας συνηριθμεῖτο τοῖς βασιλεῦσι καὶ ἐν ταῖς γιγνομέναις μνήμαις τῶν

βασιλέων πρὸς τοῖς ἱεροῖς. βασιλέα δὲ τὸν Ἰωάννην ἐκέλευε βασιλεὺς ὁ κηδεστὴς ἔν τε ταῖς μνήμαις ἀποσιωπᾶσθαι κἀν ταῖς εὐφημίαις· Ἄνναν μέντοι τὴν βασιλίδα καὶ τὸν θυγατριδοῦν Ἀνδρόνικον τὸν βασιλέα εὐφημεῖσθαι, ὥσπερ πρότερον, καὶ μνημονεύεσθαι ἐκέλευεν ἐν ταῖς ἱεροτελεστίαις. οὐ μὴν αὐτοῦ παντάπασιν ἀφεῖλε καὶ τὴν προσηγορίαν, ἀλλ' εἴ ποτε περὶ ἐκείνου ποιοῖτο λόγον, βασιλέα προσηγόρευεν, ἐπὶ πολλῶν. ἐκ τοιούτων μὲν αἰτιῶν ὁ πρὸς ἀλλήλους τῶν βασιλέων ἐκινήθη πόλεμος καὶ ηὔξητο ἐπὶ τοσοῦτον, ὡς καὶ Καντακουζηνὸν τὸν βασιλέα, καίτοι πρότερον ὅλῃ γνώμῃ παρεσκευασμένον τῆς ἀρχῆς διάδοχον τὸν νέον καταλείπειν Ἰωάννην, ἠναγκάσθαι καὶ Ματθαῖον τὸν υἱὸν ἀποδεικνύειν βασιλέα. [20]

3 270 μετὰ μέντοι τὴν ἀνάῤῥησιν Ματθαίου τοῦ νέου βασιλέως ἐκεῖνον μὲν εἰς τὴν Ἀδριανοῦ ἐξέπεμπεν αὖθις ὁ πατὴρ, αὐτὸς δὲ ὑπελείπετο ἐν Βυζαντίῳ καὶ τὰ κατὰ τὸν πατριάρχην, ὡς μάλιστα ἐνῆν, εὖ τίθεσθαι ἐτίθετο διὰ σπουδῆς. συνεώρα γὰρ ἤδη κατὰ πᾶσαν ἀνάγκην δέον ὂν Ματθαῖον τὸν νέον βασιλέα τῷ μύρῳ χρίεσθαι κατὰ τὸ ἔθος. τοιγαροῦν καὶ μετεπέμπετο τοὺς ἀρχιερέας, ὅσους μάλιστα ἐνῆν, ἐκ τῶν κατὰ τὴν Θρᾴκην πόλεων. εἶτα ἐπειδὴ παρῆσαν, καὶ τοὺς ἐν Βυζαντίῳ διατρίβοντας ἅμα τοῖς ἔξωθεν ἐπιδεδημηκόσι κελεύσας ἐν βασιλείοις συνελθεῖν, ὅ,τι δέοι πράττειν περὶ Καλλίστου τοῦ πατριάρχου, πάντων ἐπυνθάνετο κοινῇ. τῶν δ' ἀπὸ συνθήματος δέον εἰρηκότων εἶναι πέμπειν πρὸς ἐκεῖνον καὶ καλεῖν ἐπὶ τὸν θρόνον, ἐπειδὴ μηδὲν ἐγκαλοῖτο ὑπὸ μηδενὸς, αὐτίκα τε ἐπείθετο ὁ βασιλεὺς καὶ πρεσβείαν πρὸς ἐκεῖνον ἐποιεῖτο. δύο γὰρ τῶν ἀρχιερέων ἀπολεξάμενος, τὸν Αἴνου Δανιὴλ καὶ Ἰωσὴφ τὸν Τενέδου, καὶ τοσούτους ἑτέρους τῶν ἐπιφανεστέρων τοῦ κλήρου τῆς Βυζαντίων ἐκκλησίας, Καβάσιλαν τὸν σακελλίου καὶ Περδίκην τὸν σκευοφύλακα, ἔπεμπεν εἰς τὴν μάρτυρος τοῦ Μάμαντος μονὴν πρὸς πατριάρχην καὶ ἐπὶ τοὺς θρόνους ἐκάλει καὶ τὴν ἀρχήν· οὐδένα γὰρ εἶναι τὸν ἀφῃρημένον· ἔφασκέ τε βέλτιον μὲν εἶναι μὴ ἀπερισκέπτως οὕτω χωρεῖν, ἐφ' ἃ μὴ δεῖ, μηδ' ἀβουλίᾳ χρώμενον, τῶν μὲν θρόνων ἀφίστασθαι ἑκόντα καὶ τοῦ ποιμνίου, αὐτὸν δὲ τὰ μηδὲν προσήκοντα περιεργαζόμενον, ἄλλοτε ἄλλοθι διατρίβειν, μηδὲν ποιοῦντα τῶν δεόντων. [20]

3 271 εἰ γὰρ ἔμενεν ἐπὶ τοῦ προσχήματος καὶ συνεβούλευε μὴ τὸν υἱὸν ἀναγορεύειν, αἰτίας τινὰς ἀναγκαίας τοῖς λόγοις προστιθεὶς, ἴσως ἂν καὶ διεκώλυσε· νῦν δ' οὐχ ἥκιστα καὶ τοῦτ' ἂν εἴη τῶν πεισάντων ἓν χωρεῖν ἐπὶ τοιαῦτα, ὅτι μὴ λόγοις καὶ παραινέσεσιν, ἴσως δὲ καὶ ἱκεσίαις, ὥσπερ ἔδει, ἀλλὰ βίᾳ καὶ ὥσπερ ἰσχύϊ τινὶ κωλύσειν ἐπεχείρησεν. ἐπεὶ δὲ ἀναλυθῆναι τὰ γεγενημένα οὐκ ἐνδέχεται, οὐδὲν ἂν ἡ διχοστασία ἔτι καὶ ἡ ἔρις συμβαλεῖται, ἀλλὰ δέον αὐτὸν ἐπὶ τὸν θρόνον καὶ τὴν οἰκείαν ἀρχὴν ἐλθόντα, τὸν νέον βασιλέα καὶ τῷ μύρῳ χρίειν, ὥσπερ ἔθος. οὐ γὰρ ἐνδέχεται τοῖς ἄλλοις παρασήμοις κοσμηθέντα, μὴ καὶ τὸν ἀρχαῖον τρόπον στέφεσθαι. τοιαῦτα μὲν πρὸς Κάλλιστον τὸν πατριάρχην διὰ τῶν πρέσβεων ἐμήνυεν ὁ βασιλεὺς, ὀρθῶς ἔχειν τὰ εἰρημένα καὶ τῶν ἀρχιερέων ἁπάντων συνεπιψηφισαμένων. πατριάρχης δὲ ἐπεὶ τοὺς βασιλέως λόγους ἤκουε, πρὸς ἔπος μὲν ἀπεκρίνατο οὐδὲν, ἀλλὰ κατὰ τοῦ ἐπιθήσοντος αὐτῷ ἀνάγκην ἐπὶ τούτῳ ἐξεφώνει χωρισμὸν ἀπὸ θεοῦ. Δανιὴλ δὲ τοῦ τῆς Αἴνου τὴν ἱεραρχικὴν ἰθύνοντος ἀρχὴν δυσχεραίνοντος ἐπὶ τοῖς εἰρημένοις καὶ τό,τε προτρέπεσθαι πατριάρχην, ἐφ' ἃ ἐπέμφθησαν, ἀπεγνωκότος διὰ τὴν ἐπιφωνηθεῖσαν ἐπιτίμησιν, δίκαιόν τε οἰηθέντος, εἰ μήθ' ἑκὼν εἶναι πρὸς τὴν ἀρχὴν αὐτὸς χωροίη, μήτ' ἀναγκάζειν αὐτὸν ἐξείη μηδενὶ, ἕτερον τοῖς θρόνοις ἐφιστᾷν, „οὐκοῦν" εἶπεν „οὐδὲν ἕτερον, σοῦ τοιαῦτα ἰσχυριζομένου, λείπεται, ἢ πατριάρχην ἕτερον ἀντεισάγεσθαι τῇ ἐκκλησίᾳ. [20]

3 272 " ὁ πατριάρχης δὲ „καὶ μάλιστα βουλοίμην" εἶπεν. ἐπὶ τούτοις δὲ οἱ πρέσβεις πρὸς βασιλέα καὶ τὴν σύνοδον ἀναστρέψαντες ἀπήγγελλον, ὅσα πατριάρχης ἀποκριθείη πρὸς τοὺς λόγους· Περδίκης δὲ, τῶν πρέσβεων εἷς, τὸν ἀφορισμὸν εἶπεν ἐκπεφωνηκέναι τὸν πατριάρχην κατὰ τοῦ ἐπιθήσοντος αὐτῷ ἀνάγκην ἐπὶ τούτῳ· ἀγνοεῖν δὲ, ὅτι βούλοιτο αὐτῷ τὸ ἐπὶ τούτῳ. οἱ

συμπρέσβεις δὲ οὐδὲν ἕτερον βούλεσθαι ἰσχυρίζοντο τὸ ἐπὶ τούτῳ εἶναι, ἢ ἐλθεῖν αὖθις ἐπὶ τὴν ἀρχὴν τῆς ἐκκλησίας, ὡς βεβαίως αὐτὴν ἀπειπαμένου, καὶ μήθ' ἑκόντα εἶναι, μήτε βιασθέντα βουλησόμενον αὖθις ἐπανήκειν πρὸς αὐτήν. οἱ μὲν οὖν πρέσβεις τοιαῦτα διενεχθέντες, συνέβησαν αὖθις πρὸς ἀλλήλους, καὶ ὁ βασιλεὺς ἐκέλευε τὸν τῆς ἐκκλησίας ὑπογραμματέα πάντα γράφειν, ἵνα μή τις ᾖ περὶ τὰ εἰρημένα ὕστερον ἀμφιβολία, εἴ ποτε δεηθείη ἐξετάσεως. μετὰ τοῦτο δὲ τῶν ἀρχιερέων ἐπὶ τὸ τίνα χρὴ τῆς ἐκκλησίας τραπομένων προϊστᾶν, οἷα δὴ τοῦ καθεστηκότος φανερῶς ἀπειπαμένου καὶ ἀνάγκην ἐπιτεθεικότος, ὥστε περὶ τῶν ἴσων λόγον κινεῖν μηδένα πρὸς αὐτὸν, „τοὺς μὲν περὶ τὴν τῶν ἀρχιερέων“ εἶπεν ὁ βασιλεὺς „ἐπιλογὴν παρά τε τῶν πρώτων τῆς ἐκκλησίας διδασκάλων τῶν Χριστοῦ μαθητῶν καὶ τῶν κατ' ἴχνος ἐκείνοις ἑπομένων θείων πατέρων κειμένους νόμους, ὡς χρὴ τοὺς ἐπισκόπους ἐν ταὐτῷ γενομένους καὶ τὴν τοῦ πνεύματος χάριν ἄνωθεν ἐπικαλεσαμένους, μετὰ τὸ πολλαῖς πρότερον εὐχαῖς καὶ ἱκεσίαις ἐξιλάσασθαι θεὸν, ὥστε φανερὸν αὐτοῖς ποιῆσαι τὸν ὀρθῶς καὶ δικαίως καὶ ὡς μάλιστα θεῷ κεχαρισμένως προστησόμενον τῆς ἐκκλησίας τῶν πιστῶν, ὑπὲρ ἧς αὐτὸς ἐξέχεε τὸ αἷμα, γενόμενος ὅπερ ἡμεῖς καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν ἐνδεδυμένος, οὕτως ἐπιψηφίζεσθαι, ὃν ἂν αὐτὸς ἀποκαλύπτῃ, περιστήσαντας δὲ ἐν τρισὶ τοῖς μάλιστα δοκοῦσιν ἀξιόχρεω τὴν ψῆφον, οὕτως ἐπιτρέπειν βασιλεῖ τὴν αἵρεσιν ἑνός· ὃν δ' ἂν αὐτὸς ἕλοιτο, τοῦτον ἀποδείκνυσθαι προστάτην τῆς ἐκκλησίας, οὔτ' αὐτὸς ἠγνόουν ἄχρι νῦν, οὔτ' ὑμῶν οἶομαι οὐδένα μὴ σαφέστατα εἰδέναι. [10]

3 273 οἷα δὲ καὶ ἐπὶ τῶν λοιπῶν ἁμαρτημάτων φιλεῖ συμβαίνειν, ὅτι καίτοι μὴ ἀγνοοῦντες, ὅτι ἁμαρτάνομεν, ὅμως ὑπὸ πονηρᾶς ἀγόμενοι συνηθείας, ἢ τῷ λείῳ τῆς ἡδονῆς ἐξαπατώμενοι, περιπίπτομεν ἑκουσίως τοῖς κακοῖς καὶ τοῖς φαύλοις πάθεσι καταδουλοῦμεν ἑαυτοὺς, τοῦτ' αὐτὸ καὶ κατὰ τὴν τῶν ἀρχιερέων ἐπιλογὴν ἡμῖν συμβαίνει. σαφέστατα γὰρ εἰδότες, ὡς ἀθέμιτον αὐτοὺς πρότερον ἐπιψηφισαμένους, ὃν ἂν ἐθέλωμεν αὐτοὶ τὴν ἀρχὴν τῆς ἐκκλησίας ἐγχειρίζειν, ἔπειτα βωμολοχοῦντας ἄντικρυς καὶ κατειρωνευομένους τοῦ θεοῦ, ἐπιτρέπειν ὑμῖν τὴν ἄνωθεν ἐπικαλεῖσθαι χάριν καὶ τοῦτον ἐπιψηφίζεσθαι, ὃν αὐτοὶ πολλῷ πρότερον οὐ λόγοις μόνον, ἀλλὰ καὶ πράγμασιν ἐπεψηφισάμεθα αὐτοῖς, ὅμως τολμῶμεν κακῶς καὶ ἀνοήτως, καὶ τοῦτο οὐκ ἐμοὶ μόνον εἴργασται πολλάκις, ἀλλὰ καὶ τοῖς πρότερον Ῥωμαίων βεβασιλευκόσιν, εἰ μὴ πᾶσιν, ἀλλὰ τοῖς γε πλείοσι. [25]

3 274 περὶ μὲν οὖν ἐκείνων φαῦλον αἰδοῖ τῶν προγόνων οὐδὲν ἐρῶ, ἐμαυτὸν δ' ἁπάσαις ψήφοις ταῖς παρ' ἐμαυτοῦ ἀδικοῦντα καὶ ἀγνωμονοῦντα περὶ τὸν θεὸν φαίην ἂν ἁλίσκεσθαι σαφῶς. οὕτω δ' ἐμαυτοῦ κατεψηφισμένον καὶ συνεγνωκότα τὴν κακίαν, οὐδὲν, οἶμαι, λείπεται, ἢ περὶ μὲν τῶν προτέρων ἐξιλάσκεσθαι θεὸν, τοῦ λοιποῦ δὲ πρόνοιαν ποιεῖσθαι πᾶσαν καὶ σπουδὴν, μὴ τοῖς αὐτοῖς περιπεσεῖν κακοῖς, εἰ μὴ βουλοίμην ἀνίατα νοσεῖν καὶ τυφλώττειν ἑκοντὶ πρὸς τὰ καὶ λαμπρότερον ἡλίου λάμποντα καλά. τοιγαροῦν ὑμῖν ζητήσεως περὶ πατριάρχου προκειμένης νῦν, τὴν ἀρχαίαν ἐλευθερίαν ἀποδίδωμι, οὐχ ὑμῖν μᾶλλον, ἢ τῷ θεῷ, ᾧ μελήσει μάλα τὸν καλῶς τῆς ἐκκλησίας προστησόμενον ὑμῖν ἀποκαλύπτειν, ὕστερον δὲ καὶ αὐτὸς ἕνα τῶν τριῶν ἐπιψηφιοῦμαι, ὥσπερ ἔθος.“ τοιαῦτα μὲν ὁ βασιλεὺς τοῖς ἀρχιερεῦσι διειλέχθη. καὶ ἐκέλευεν ἐν ταὐτῷ γενομένους, ὅπη ἂν δοκῇ, τὸν ἀρχαῖον τρόπον τὴν πατριάρχου ποιεῖσθαι ἐκλογήν. εἰς τὴν ὑστεραίαν δὲ ἐκείνων γενομένων ἐν ταὐτῷ καὶ περὶ τοῦ προκειμένου σκεπτομένων, αὖθις ὁ βασιλεὺς πέμψας, τῶν τε τῇ προτεραίᾳ εἰρημένων ἀνεμίμνησκε καὶ παρῄνει πᾶσαν ἐπιδείκνυσθαι σπουδὴν, ὡς αὐτοῦ καὶ πρὸς θεὸν ἀρκοῦσαν πεποιημένου τὴν ἀπολογίαν, παντάπασιν αὐτοῖς τῆς αἱρέσεως τῆς πατριάρχου παρακεχωρηκότος καὶ πᾶσιν ἀνθρώποις ἐπιδεδειγμένου τὴν γνώμην φανερῶς. ἐκεῖνοι δὲ πολλὰς ὁμολογήσαντες χάριτας τῷ βασιλεῖ τῆς περὶ τὰ θεῖα εὐλαβείας καὶ τῆς περὶ αὐτοὺς αἰδοῦς, καὶ ἐπευξάμενοι ἀγαθῶν πολλῶν ἐσμὸν, ἔπειτα τὴν θείαν χάριν ἐπικαλεσάμενοι τοῦ πνεύματος, ἐπελέξαντο τρεῖς,

Φιλόθεόν τε τὸν τῆς Ἡρακλείας ἀρχιερέα, καὶ τὸν Φιλαδελφείας Μακάριον, καὶ Νικόλαον τὸν Καβάσιλαν, ὄντα ἔτι ἰδιώτην, καὶ γράψαντες πέμπουσι τῷ βασιλεῖ τὰ ὀνόματα τῶν ἡρημένων· βασιλεὺς δὲ εἵλετο τῶν ἄλλων μᾶλλον τὸν Φιλόθεον, καὶ οὐ πολλῷ ὕστερον πάντων, ὅσα νενόμισται, τετελεσμένων, πατριάρχης ἀπεδείκνυτο καὶ τὰ κατὰ τὴν ἐκκλησίαν πράγματα χρόνον μέν τινα διῴκησεν, ἐκβληθεὶς τῆς ἀρχῆς μετ' οὐ πολὺ, ὥσπερ ὕστερον εἰρήσεται ὀλίγῳ, μάλιστα δὲ θαυμασίως καὶ σὺν λόγῳ τῷ προσήκοντι, καὶ πᾶσαν ἐπιδεδειγμένος ἐπιείκειαν καὶ βίου περιφάνειαν καὶ λόγου. [10]

3 275 Κάλλιστος δὲ ὁ πατριάρχης χρόνον οὐκ ὀλίγον τῇ μάρτυρος τοῦ Μάμαντος μονῇ ἐνδιατρίψας, πρῶτα μὲν διεδίδρασκεν εἰς Γαλατᾶν καὶ χρόνον τινὰ ἐκρύπτετο ἐν τοῖς Λατίνοις, ἔπειτα, αὐτῶν πραττόντων, εἰς Τένεδον ἀφῖκτο πρὸς τὸν νέον βασιλέα καὶ πολλῆς ἐτύγχανε τῆς εὐμενείας, οἷα δὴ ὑπὲρ ἐκείνου τὴν τοσαύτην κακοπραγίαν ἡρημένος. λη'. Ἐπεὶ δὲ ὁ κατὰ τὴν ἐκκλησίαν θόρυβος ἐπέπαυτο καὶ πᾶσαν εἶχε τάξιν καὶ εὐαρμοστίαν, Ματθαῖος ὁ βασιλεὺς γενόμενος ἐν Βυζαντίῳ ἅμα βασιλίδι τῇ συζύγῳ, κατὰ τὸν ἐν Βλαχέρναις τῆς θεομήτορος ναὸν ἐστέφετο κατὰ τὸ ἔθος ὑπὸ Φιλοθέου τοῦ πατριάρχου καὶ βασιλέως τοῦ πατρός· ἔστεφε δὲ καὶ αὐτὸς κατὰ τὸ ἔθος τὴν γυναῖκα. [20]

3 276 τοιαῦτα μὲν ἐπράττετο ἐν Βυζαντίῳ. Παλαιολόγος δὲ ὁ νέος βασιλεὺς ἦν μὲν ἐν Θεσσαλονίκῃ μετὰ τῶν βασιλίδων, τῆς μητρὸς καὶ γυναικὸς, εἶχε δὲ καὶ Τένεδον τὴν νῆσον ὑφ' ἑαυτὸν, ἡγεμόνα ταύτῃ καταλιπὼν Ἰταλόν τινα Μαρτῖνον ἀπαίρων εἰς Θεσσαλονίκην. Περγαμηνὸς δέ τις τῶν Τενεδίων ὁ μάλιστα δυνατώτατος ἐν Θεσσαλονίκῃ συνῆν τῷ νέῳ βασιλεῖ χρόνον οὐκ ὀλίγον, ἔπειτα ἐκεῖθεν διαδρὰς καὶ γενόμενος ἐν τῇ Τενέδῳ, ἔπεισε καὶ τοὺς ἄλλους πολίτας ἀποστῆναι τοῦ νέου βασιλέως. καὶ τὸν ὑπ' ἐκείνου σφῶν ἐπιτεταγμένον ἄρχειν ἐξελάσαντες, ὥσπερ αὐτόνομοι ἐπολιτεύοντο. βασιλεὺς δὲ ὁ νέος ἐπεὶ πύθοιτο τὴν ἀποστασίαν, τριήρεις ἐκ Θεσσαλονίκης. ἐφοπλίσας, ἐπέπλευσε τοῖς Τενεδίοις. οἱ δὲ αὖθις ἑτοίμως προσεχώρουν, παραδόντες τὸν Περγαμηνὸν, ὃν εἰς Θεσσαλονίκην δεσμώτην ἔπεμψε φρουρεῖσθαι, αὐτὸς δὲ ἅμα Ἑλένῃ βασιλίδι τῇ γυναικὶ διῆγεν ἐν τῇ νήσῳ. Καντακουζηνὸς δὲ ὁ βασιλεὺς ἐν δεινῷ τιθέμενος ταῖς κατὰ τὴν Θρᾴκην πόλεσι τοὺς Πέρσας ἐγκαθιδρυμένους εἶναι, (εἶχον γάρ τι φρούριον, ὥσπερ ἔφημεν, ἐν Θρᾴκῃ, Τζύμπην προσαγορευόμενον,) βίᾳ μὲν οὐκ ἐπεχείρει ἐξελαύνειν, (ᾔδει γὰρ οὐκ ἀξιόμαχος πρὸς τοσαύτην τῶν βαρβάρων δύναμιν ἐσόμενος, εἰ πόλεμον κινοίη πρὸς αὐτοὺς, τῆς Ῥωμαίων στρατιᾶς ὑπὸ τοῦ πρὸς ἀλλήλους πολέμου διεφθαρμένης,) τρόπῳ δέ τινι ἑτέρῳ διενοεῖτο τοὺς βαρβάρους τῆς Ῥωμαίων ἐξελαύνειν. [20]

3 277 καὶ πέμψας πρεσβείαν πρὸς Ὀρχάνην τὸν γαμβρὸν, ᾔτει τὸ φρούριον ἀποδοῦναί οἱ καὶ τῆς Θρᾴκης τοὺς βαρβάρους ἐκβαλεῖν. οὐ γὰρ δίκαια ποιεῖν αὐτὸν, οὐδὲ προσήκοντα τῇ εἰς αὐτὸν εὐνοίᾳ, ἐν μέσῃ τῇ Ῥωμαίων γῇ τὸ φρούριον κατέχοντα. τοῦ δὲ Σουλιμὰν τὸν υἱὸν προσβαλλομένου, ὡς ὑπ' αὐτοῦ τὸ φρούριον κατέχοιτο καὶ δέοιτό τινος πρὸς τὴν ἀπόλειψιν ἀντιμισθίας, μυρίους χρυσοῦς ὁ βασιλεὺς ὑπέσχετο παρέξειν φιλοτίμως. μετὰ μικρὸν δὲ καὶ ἔπεμπε τοῖς βαρβάροις τὸν χρυσόν· κἀκεῖνοι ἔπεμψαν τοὺς παραδώσοντας βασιλεῖ τὸ φρούριον. ἐν τούτοις δὲ τῶν πραγμάτων ὄντων, οἷα τὰ τοῦ θεοῦ κρίματα, ἀθρόον ἐξαίσιος ἐπιγενόμενος σεισμὸς ἦρος ἀρχομένου, μάλιστα ἐν ἀρχαῖς τῆς νυκτὸς τὰς παραλίους τῆς Θρᾴκης πόλεις ὀλίγου δεῖν διέφθειρεν ἁπάσας. οὐ μόνον γὰρ οἰκίαι κατέπεσον ἐπὶ τοὺς κατοικοῦντας καὶ διέφθειραν πολλοὺς, ἀλλὰ καὶ τὰ τῶν πόλεων τείχη ἐξ αὐτῶν κρηπίδων κατεβλήθη. οἱ δῆμοι δὲ τῶν πόλεων, ὅσοι μὴ διεφθάρησαν ὑπὸ τῶν ἐρειπίων, συνιδόντες, ὡς οὔτ' ἀνορθοῦν δυνήσονται ῥᾷστα τὰ καταβεβλημένα τῶν τειχῶν, οὔτ' ἀμύνεσθαι πρὸς τοὺς βαρβάρους, ἂν ἐπίωσιν, ἀξιόμαχοί εἰσι, καὶ δείσαντες, μὴ ὑπ' ἐκείνων ἀνδραποδισθῶσιν ἐπελθόντων, τέκνα καὶ γυναῖκας ἀναλαβόντες, ἀνεχώρουν τῆς νυκτὸς ἐπὶ τὰς ἄλλας πόλεις, ὅσας μὴ καταπεπτωκέναι τῷ σεισμῷ ἐνόμιζον. ὄμβρων δὲ ἐπικειμένων καὶ χιόνος καὶ ψύχους

ἀμυθήτου, οἱ μὲν ὑπὸ τοῦ κρυμοῦ διεφθείροντο, μάλιστα γυναῖκες καὶ βρέφη νήπια· οἱ λοιποὶ δὲ πλὴν ὀλίγων, ὅσοι τοῦ τε ψύχους ἠδυνήθησαν περιγενέσθαι καὶ πρὸς τὰς ἔτι σωζομένας πόλεις καταφυγεῖν, πάντες ὑπὸ τῶν βαρβάρων ἠνδραποδίσθησαν ἐπελθόντων. [20]

3 278 ὡς γὰρ ᾔσθοντο ἐκεῖνοι τὰ τείχη τῶν πόλεων καθῃρημένα, ὑποπτεύσαντες, ὅπερ ἦν, ὡς ἢ κρατήσουσι φευγόντων, ἢ τῶν τειχῶν καθῃρημένων, ἂν μένωσι, περιγενήσονται, ἅμα ἕῳ ἐπεστράτευσαν καὶ τῶν τε ἀνθρώπων ἐκράτουν φευγόντων καὶ τὰς πόλεις ἁπάσας ἐποιήσαντο ὑπὸ φρουρᾷ. Καλλιούπολις δὲ τῶν ὑπὸ τοῖς βαρβάροις γενομένων παραλίων κατὰ τὴν Θρᾴκην πόλεων ἡ περιφανεστέρα, πέπτωκε μὲν καὶ αὐτὴ τῶν ἄλλων μᾶλλον, ὁ δῆμος δὲ ἅπας διεσώθη ἐν τοῖς πλοίοις, ἃ ἦσαν ἐκεῖ πολλά. συμβὰν δὲ οὕτω καὶ ἐκ Βυζαντίου ἐπὶ Πελοπόννησον πλέουσα τριήρης, ἣν ἔπεμψεν ὁ βασιλεὺς Μανουὴλ δεσπότῃ τῷ υἱῷ, ὡρμίζετο ἐκεῖ τὴν νύκτα. γενομένης δὲ ἐκείνης τῆς μεγάλης συμφορᾶς, ὁρῶν ὁ ναύαρχος τοσούτους μέλλοντας ἀπόλλυσθαι, προσέσχε τε τῇ γῇ, καὶ ἀναλαμβάνων ὅσους ἦν ὑποδέχεσθαι ἡ τριήρης δυνατὴ, ἀνέστρεφεν εἰς Βυζάντιον, τῶν προκειμένων ἀμελήσας. Σουλιμὰν δὲ ὁ τοῦ Ὀρχάνη παῖς ἐπεὶ πύθετο τὰ κατὰ Θρᾴκην, ἐν Πηγαῖς τῇ κατὰ τὴν περαίαν τοῦ Ἑλλησπόντου πόλει διατρίβων, τὰς πρὸς βασιλέα συνθήκας παριδὼν, ἃς ἔθετο ἐπὶ τῷ Τζύμπην ἀποδιδόναι, σπουδῇ πολλῇ ἐπεραιοῦτο πρὸς τὴν Θρᾴκην, καὶ πολλοὺς τῶν ὁμοφύλων διαβιβάσας ἅμα γυναιξὶ καὶ τέκνοις, κατῴκιζε τὰς πόλεις, τὰ καταβεβλημένα ἀνορθῶν. τὴν πλείστην δὲ ἐπεδείξατο περὶ Καλλιούπολιν σπουδήν. [25]

3 279 τά τε γὰρ τείχη ἄνωθεν ἐπεσκεύασε καὶ προσεξειργάσατο βελτίω, ἅπερ ἦσαν, καὶ τῶν ἐπιφανῶν παρ' αὐτῷ πολλοὺς ἠνάγκασεν εἰς ἐκείνην μετοικίζεσθαι, καὶ στρατιὰν ἐγκαθίδρυσε πολλήν· καὶ τοῖς κατὰ Μυσίαν λυπηρὸς ἦν, μεγάλοις στρατοπέδοις ἐπιὼν καὶ πόλεις ἐξανδραποδιζόμενος καὶ τὴν χώραν ἅπασαν πορθῶν. βασιλεὺς δὲ ἠνιᾶτο μὲν οὐκ ὀλίγα πρὸς τὴν συμφοράν· ἀμύνεσθαι δὲ τοὺς ἀδικοῦντας ἀδυνάτως ἔχων, πρεσβείας συνεχεῖς ἐποιεῖτο πρὸς Ὀρχάνην τὸν γαμβρὸν καὶ τὰς ἡρπασμένας πόλεις ἠξίου τὸν υἱὸν ἀποδιδόναι. τῶν γὰρ ἀτοπωτάτων εἶναι, ἑνὸς μὲν αὐτοῖς φρουρίου μὴ παραχωρεῖν, ἀλλ' ἐπὶ χρήμασι ῥητοῖς συνθήκας θέσθαι πρὸς αὐτοὺς, ὥστε ἐκλιπεῖν, αὐτοὺς δὲ νυνὶ τοσαύτας πόλεις κατασχεῖν πρὸς τῷ μηδὲ Τζύμπην κατὰ τὰς συνθήκας ἀποδοῦναι, καὶ ταῦτα σπονδῶν οὐσῶν καὶ βαθείας εἰρήνης πρὸς ἀλλήλους. Σουλιμὰν δὲ ἰσχυριζομένου μὴ πολέμῳ, μηδὲ βίᾳ τῶν πόλεων κεκρατηκέναι, ἀλλ' ἀοικήτους καὶ καταβεβλημένας κατασχεῖν, ἀδικεῖν αὐτοὺς τὰ ἔσχατα διετείνετο ὁ βασιλεὺς καὶ μηδὲν εἶναι τὴν σκῆψιν πρὸς τὸν τοῦ δικαίου λόγον. διενηνοχέναι γὰρ οὐδὲν, εἰ διὰ τῶν πυλῶν εἰσῄει, ἢ ἄλλοθέν ποθεν. ἀλλὰ τοῦτο χρὴ σκοπεῖν, εἰ δικαίως ἐν σπονδαῖς κατασχόντες ἔχουσι. τοιαῦτα βασιλέως πρὸς τοὺς βαρβάρους διαπρεσβευομένου, Σουλιμὰν μὲν εἶχετο τῶν πόλεων καθάπαξ καὶ οὐδ' ἄχρις ἀκοῆς ὑπέμενεν ἀπολιπεῖν· Ὀρχάνης δὲ ὁ πατὴρ ἑαυτῷ τε συνειδὼς ἀδικοῦντι καὶ παρασπονδοῦντι, καὶ ποιούμενος περὶ πλείστου τὸ βασιλέα θεραπεύειν, συνετίθετο μὲν αὐτίκα τὰς πόλεις ἀποδιδόναι βασιλεῖ. [20]

3 280 Σουλιμὰν δὲ τοῦ υἱοῦ δυσαπαλλάκτως ἔχοντος, ἐδεῖτο βασιλέως ὑπερθέσθαι τὴν ἀπόληψιν, ὡς πείσοντος αὐτοῦ τὸν υἱὸν μετὰ μικρὸν ἑκοντὶ τὰς πόλεις ἀποδοῦναι· ὃ καὶ ἔπραττεν ὀλίγῳ ὕστερον. πολλὰ γὰρ πολλάκις παραινέσας, ὡς χρὴ βασιλέα μὴ λυπεῖν, οὐ μόνον βεβαίως ἐμμένοντα ταῖς πρὸς αὐτοὺς σπονδαῖς καὶ μηδὲν ἠδικηκότα, ἀλλὰ καὶ τῆς συγγενείας ἕνεκα τῆς πρὸς αὐτοὺς, ἔπειτα καὶ χρήματα ἐπαγγειλάμενος παρέξειν, ἔπεισε τὰς πόλεις ἀποδοῦναι. οὐ μὴν ἀλλὰ καὶ βασιλεὺς τῶν πόλεων ἐκείνων ἕνεκα Σουλιμὰν ἐπηγγείλατο παρέξειν μυριάδας χρυσίου τέτταρας. δείσας δὲ Ὀρχάνης, μὴ ψευσάμενος ὁ παῖς οὐκ ἀποδῷ τὰς πόλεις βασιλεῖ, ἐσκέψατο συνελθόντας ἐν ταὐτῷ βασιλέα καὶ αὐτὸν, οὕτω Σουλιμὰν ὑποσχέσθαι ἐπ' αὐτῶν, ὡς ἀποδώσει πάντως γε τὰς πόλεις, αὐτίκα τε ἐδήλου βασιλεῖ πρὸς τὸν Ἀστακηνὸν γενέσθαι κόλπον, ὡς ἐνταυθοῖ τῆς συντυχίας ἐσομένης. δόξαν δὲ καὶ βασιλεῖ βελτίστην εἶναι

τὴν βουλὴν, ἐκέλευε τριήρεις ἐφοπλίζεσθαι. ὑπὸ τοιούτων μὲν αἰτίων Ματθαῖον τὸν υἱὸν ἀποδεικνύειν βασιλέα ὥσπερ συνηλάθη Καντακουζηνὸς ὁ βασιλεύς. γνώμην δὲ εἶχε, καὶ μετὰ τὴν τοῦ υἱοῦ ἀνάῤῥησιν μέρος μὲν τῆς Ῥωμαίων ἀποτεμὼν ἡγεμονίας, ἐκείνῳ παρασχεῖν, ὥστ' ἐκείνου μόνου βασιλεύειν διὰ βίου· διάδοχον δὲ μὴ ἐξεῖναι καταλείπειν τελευτῶντα τῆς ἀρχῆς, ἀλλ' ὑπὸ τὸν ὄντα βασιλέα Ῥωμαίων αὖθις ἀναστρέφειν, ἄντε Ἰωάννης βασιλεὺς ὁ γαμβρὸς περιῇ, ἄντε Ἀνδρόνικος ὁ υἱὸς αὐτῷ· βασιλέα δὲ τὸν γαμβρὸν ἀνακαλεῖσθαι αὖθις, τὸν πρὸς ἐκεῖνον καταλύσας πόλεμον καὶ τῆς Ῥωμαίων ἀρχῆς ἁπάσης αὐτῷ παραχωρεῖν, τῶν πραγμάτων ἀποστὰς αὐτὸς, καὶ πειρᾶσθαι διὰ τῆς κατὰ τὸν βίον φιλοσοφίας ἵλεων αὐτῷ ποιεῖν τὸ θεῖον. [5]

3 281 ταῦτα μὲν οὖν ἐν ὑστέρῳ πράττειν ἐβουλεύετο· τότε δὲ ἐπεὶ ἦσαν ὡπλισμέναι αἱ τριήρεις, ἐν Νικομηδείᾳ τε ἐγένετο καὶ πρέσβεις ἔπεμπε πρὸς Ὀρχάνην τὸν γαμβρὸν, ὡς ἀφιξόμενον καὶ αὐτὸν ἐκεῖ τῶν προκειμένων ἕνεκα. ὁ δ' ἔφασκε νοσεῖν καὶ ἀδυνάτως ἔχειν τὸ νῦν εἶναι ἀπανίστασθαι τῆς κλίνης. ἀχθομένου δὲ βασιλέως καὶ σκῆψιν οἰομένου τὴν νόσον εἶναι, καὶ καταναγκάζοντος ἐλθεῖν εἰς τὴν Νικομήδους, ὥσπερ ἐπηγγείλατο, ὅρκοις ἰσχυρίζετο νοσεῖν ὡς ἀληθῶς καὶ μηδεμίαν σκῆψιν εἶναι, μηδ' ὑπόκρισιν περὶ τὸ πρᾶγμα· ἐδεῖτό τε συγγνώμην παρασχέσθαι, καὶ ἐπηγγείλατο αὖθις, ὡς ἐν ῥηταῖς ἡμέραις ῥαΐσας ἐκτελέσει τὰ ὑπεσχημένα. ἐκεῖθεν μὲν οὖν ὁ βασιλεὺς ἄπρακτος αὖθις εἰς Βυζάντιον ἐπανῆλθε. λθ'. Φιλόθεος δὲ ὁ πατριάρχης εἰδὼς, οἵαν γνώμην ἔχει περὶ βασιλέων, τοῦ τε γαμβροῦ καὶ τοῦ υἱοῦ, εἰς Τένεδον αὐτοῦ ἐδεῖτο πρεσβευτὴς πρὸς βασιλέα τὸν νέον ἀφικέσθαι, ὥστε τὸν πρὸς ἀλλήλους διαλῦσαι πόλεμον, πείσας βασιλέα τὸν νέον ἑλέσθαι, ἃ βουλεύοιτο βασιλεὺς ὁ κηδεστής. βασιλεῖ δὲ ἐδόκει μᾶλλον, παρεσκευασμένων τῶν τριηρέων καὶ δαπάνης οὐδεμιᾶς διὰ τοῦτο δεομένων, αὐτὸν ἀφικέσθαι πρὸς τὴν νῆσον καὶ διαλύειν τὴν πρὸς βασιλέα τὸν γαμβρὸν διαφοράν. [20]

3 282 ᾤετο γὰρ, εἰ μόνον πείθοιτο αὐτὸν γενόμενον ἐγγὺς, αὐτίκα προσδραμεῖσθαι καὶ συγγνώμην ἐφ' οἷς προσκέκρουκεν αἰτήσειν· προπαρεσκευασμένον δὲ ὄντα καὶ αὐτὸν πρὸς τὴν διάλυσιν, ῥᾷστα πρὸς τὴν εἰρήνην αὖθις τὰ Ῥωμαίων καταστήσειν πράγματα. τοιαύτῃ μὲν ἐξέπλευσε γνώμῃ Βυζαντίου, ἔχων καὶ Ματθαῖον βασιλέα τὸν υἱὸν ἐν ταῖς τριήρεσιν ἅμα βασιλίδι τῇ συζύγῳ, ὡς ἂν ἐκεῖνοι μὲν ἐν Αἴνῳ ἀποβαῖεν, ὡς ἐκεῖθεν εἰς Διδυμότειχον ἀφιξόμενοι καὶ τὴν Ἀδριανοῦ, αὐτὸς δὲ ἐπὶ τὴν τοῦ γαμβροῦ τράποιτο διάλυσιν. οἷα δὲ οὐκ ἐπὶ μάχην καταπλέων, ἀλλ' εἰρήνης μᾶλλον ἕνεκα, οὐ προσέσχεν ἐπὶ Τένεδον αὐτίκα, ἀλλ' ἐπί τι νησίδιον ἀοίκητον ἐγγὺς Τενέδου, Μαυρία προσαγορευόμενον, καὶ διήγαγεν ἐκεῖ τὸ λεῖπον τῆς ἡμέρας καὶ τὴν ἐπιοῦσαν νύκτα. εἰς τὴν ὑστεραίαν δὲ ἄρας ἐκεῖθεν, ἐφ' ἕτερον ὡρμίζετο νησίδιον, ἅγιον Ἀνδρέαν προσαγορευόμενον, ἐλπίζων, ἀφίξεσθαι πρεσβείαν παρὰ βασιλέως τοῦ γαμβροῦ περὶ εἰρήνης. ὡς δὲ οὐδὲν ἀπήντα κατ' ἐλπίδας, (τῶν γὰρ συνόντων αὐτῷ τινες ναυάρχων δύσνως ἔχοντες, πέμψαντες πρὸς βασιλέα τὸν νέον, παρῄνουν μὴ δέχεσθαι τὴν εἰρήνην, ἀλλ' αἱρεῖσθαι τὸν πόλεμον μᾶλλον, ὡς αὐτῶν συγκατεργασομένων πάντα,) οὐδ' οὕτω μὲν ἐπὶ τὴν πόλιν ἦκε τὴν κατὰ τὴν νῆσον, ᾗ διέτριβεν ὁ βασιλεὺς, ἀλλ' ἐφ' ἕτερον μέρος πρὸς τὸν Βόριον ὠνομασμένον ἐγχωρίως ποταμὸν, ὡς ὑδρευσομένων δῆθεν τῶν τριηριτῶν ἐκεῖθεν. [20]

3 283 οἱ τῷ νέῳ δὲ βασιλεῖ συνόντες ὁπλῖται καὶ ἱππεῖς, τῶν τριηρέων καταγομένων, ἐλθόντες ἐπὶ τὸν ποταμὸν ἔβαλον ἀπὸ τῆς γῆς καὶ κωλύειν ἐπειρῶντο τὴν ἀπόβασιν. οἱ δὲ βιασάμενοι ἀπέβησαν καὶ ὑδρεύσαντο ἐκεῖθεν. ὁρῶν δὲ ὁ βασιλεὺς πρὸς οὐδὲν ὀνήσουσαν τὴν καρτερίαν, (οὔτε γὰρ πολεμεῖν ᾑρεῖτο τῷ γαμβρῷ καὶ κακοῦν τὴν νῆσον, οὔτε περὶ τῆς εἰρήνης οὐδεμία ἔτι ὑπελείπετο ἐλπὶς, βασιλέως τοῦ νέου οὐ μόνον οὐ πρεσβευσαμένου, ὥσπερ ἤλπιζεν, ἀλλὰ καὶ φανερῶς ἐξαγομένου πρὸς τὸ πολεμεῖν,) τάχιστα ἐκεῖθεν ἀπεχώρει εἰς τὴν Αἶνον, ἔνθα Ματθαῖος ἀπέβαινεν ὁ νέος βασιλεὺς μετὰ τῆς γυναικὸς, κἀκεῖθεν ἀπεχώρει ἐπὶ Διδυμότειχον καὶ τὴν Ἀδριανοῦ· Καντακουζηνὸς δὲ ὁ βασιλεὺς τέτταρας ἡμέρας πρὸς τῇ Αἴνῳ διατρίψας, εἰς

Βυζάντιον ἀνέστρεφε. Παλαιολόγος δὲ ὁ βασιλεὺς αὖθις ὑπελείπετο ἐν τῇ Τενέδῳ, καὶ ὅσα πράττειν ὑπὲρ τῆς ἀρχῆς ἐξῆν, ἠμέλει οὐδενός· ἔφασκε δὲ ὕστερον ἐν τῆς εἰρήνης τοῖς καιροῖς, ὡς, ἐπιπλέοντος αὐτῷ βασιλέως τοῦ κηδεστοῦ, διαλεχθεῖεν μὲν κρύφα καὶ οἱ ναύαρχοι, μὴ δέχεσθαι τὴν εἰρήνην, μηδὲ πρεσβείαν τινὰ ποιεῖσθαι πρὸς αὐτόν. ἐκεῖνον μέντοι μὴ τούτου ἕνεκα ἀποσχέσθαι τῆς εἰρήνης, (εἰδέναι γὰρ ἐκείνους οὐ τὰ βελτίω καὶ κοινῇ λυσιτελοῦντα συμβουλεύοντας,) ἀλλ᾽ ὅτι Ματθαῖος ὁ υἱὸς συνῆν, σφόδρα ἄχθεσθαι καὶ δυσανασχετεῖν, εἰ δόξειεν αὐτὸς ἐκείνου δεῖσθαι καὶ αὐτομολεῖν ἐπὶ τῷ δέχεσθαι τῆς βασιλείας κοινωνὸν, ὥσπερ ἀπαγορεύσαντα πρὸς τὸν πόλεμον καὶ τὴν γνώμην ἡττημένον. [25]

3 284 ὑπὸ δὲ τὸν αὐτὸν χρόνον καὶ Σουλιμὰν ὁ τοῦ Ὀρχάνη ἐπεστράτευσε Γαλάταις μεγάλῳ στρατοπέδῳ ὑπὸ τῶν ἑῴων Σκυθῶν κατεχομένοις, καὶ ἐξεπολιόρκησε κατὰ τὸ θέρος ἐκεῖνο δύο πόλεις τὰς ἐπιφανεστέρας παρ᾽ αὐτοῖς, Ἄγκυραν καὶ Κράτειαν. ἐκεῖθεν δὲ ὑποστρέψας νικητὴς φθινοπώρου ἀρχομένου, πρεσβείαν ἔπεμψεν αὐτός τε καὶ ὁ πατὴρ πρὸς Καντακουζηνὸν τὸν βασιλέα, φάσκοντες ἐθέλειν αὐτῷ παραδιδόναι τὰς κατὰ τὴν Θρᾴκην πόλεις, ὥσπερ ἐπηγγείλαντο· ἐπ᾽ αὐτῷ δὲ εἶναι παραλαμβάνειν, ἡνίκα ἂν ἐθέλοι. πολλὰς δὲ αὐτοῖς ὁμολογήσας χάριτας ὁ βασιλεὺς τῆς εἰς αὐτὸν εὐνοίας καὶ τοὺς πρέσβεις δώροις φιλοτίμως ἀμειψάμενος ἀπέπεμψε, προθεσμίαν θέμενός τινα, ἐν ᾗ αὐτόν τε ἔδει καὶ τοὺς παραδώσοντας τὰς πόλεις εἶναι πρὸς τὴν Θρᾴκην, ὥστε, τῶν βαρβάρων ἐξελαυνομένων, ἀντεισάγειν αὐτὸν φρουροὺς καὶ προνοεῖσθαι τῶν πόλεων, ὡς ἂν μάλιστα αὐτῷ δοκῇ. καὶ παρεσκευάζετο πρὸς τοῦτο. ἐν τούτῳ δὲ Παλαιολόγος ὁ βασιλεὺς τριήρη μίαν, ἥνπερ εἶχεν, ἐφοπλίσας καὶ μονήρεις τινὰς συμπορισάμενος ἐκ Τενέδου ἀθρόον, μηδενὸς εἰδότος, ἐπέπλευσε Βυζαντίῳ καὶ ἐγένετο νυκτὸς ἔνδον τοῦ ἐν Ἑπτασκάλῳ νεωρίου. τῆς φήμης δὲ διαδοθείσης πρὸς τὴν πόλιν, σύγχυσις δεινὴ καὶ ἀταξία τὸ πᾶν κατεῖχε, καὶ ὁ δῆμος ὥρμητο μὲν βασιλεῖ τῷ νέῳ συμμαχεῖν, τὴν δὲ Καντακουζηνοῦ τοῦ βασιλέως δεδοικότες δύναμιν, (ἤλπιζον γὰρ αὐτὸν αὐτίκα χωρήσειν ἐπὶ μάχην,) συνεστέλλοντο καὶ ὑπεχώρουν. [20]

3 285 βασιλεὺς δὲ ὁ Καντακουζηνὸς ἐπεὶ πύθοιτο ἔνδον Βυζαντίου ὄντα βασιλέα τὸν γαμβρὸν, τὸ μὲν ἐπὶ μάχας χωρεῖν καὶ φόνους ἀπηγόρευε παντάπασι, παρόντος δὲ καὶ Κυδώνη, ὃς ἔνδον βασιλείων διέτριβεν ἀεὶ, οὐ μόνον διὰ τὴν εὐμένειαν, ἣν πολλὴν παρὰ βασιλέως ἐκαρποῦτο, ἀλλ᾽ ὅτι καὶ τοῖς πράγμασι μεσάζων ἀνάγκην εἶχεν ἀεὶ συνεῖναι βασιλεῖ νύκτωρ καὶ μεθ᾽ ἡμέραν, πρὸς Εἰρήνην βασιλίδα τὴν γυναῖκα εἶπεν. „εἰ μὲν μὴ πρότερον ἐδέδοκτο ἡμῖν τῶν πραγμάτων ἀναχωρεῖν καὶ τῶν θορύβων, καὶ μοναχῶν ἐνδύντας σχῆμα, πρὸς τὴν μέλλουσαν ἐκείνην εὔκλειαν ἐπείγεσθαι καὶ εὐδοξίαν, οὐδὲν ἂν ἦν ἀναγκαιότερον, οὐδὲ μᾶλλον λυσιτελοῦν ἐν τῷ παρόντι ἢ τὴν στρατιὰν ἀναλαβόντα, χωρεῖν εὐθὺ τῶν πολεμίων, καὶ φείδεσθαι μηδενὸς, ἀλλὰ διὰ πάντων ἰέναι, ἄχρις ἂν ἐξελάσαιμεν τῆς πόλεως· ὃ μάλιστα ῥᾷστα ἂν κατειργασάμεθα, ὅσον ἀπό τε τῆς ἐκείνων ἀδυναμίας καὶ τῆς ἡμετέρας δυνάμεως ἔστι στοχάζεσθαι. εἰ δὲ νικῶσί τε ὁμοίως καὶ ἡττωμένοις τὸ τῶν πραγμάτων ἀναγκαίως πρόκειται ἀποχωρεῖν, τί δεῖ φόνων καὶ πολέμων ἡμῖν, οὐδὲν πλέον ἕξουσιν ἐκ τούτων, ἢ τὰς ἐκ τῶν φόνων κηλῖδας καὶ τοὺς διὰ βίου τοῦ συνειδότος δεινοὺς ἐλέγχους, (ἐῶ γὰρ τὰς ἐν τῷ μέλλοντι βίῳ τοῖς τοιαῦτα τολμῶσιν ἀποκειμένας τιμωρίας,) ἀλλὰ μὴ πρόφασιν τὴν βασιλέως θεμένους ἐπιδημίαν, πάντα καταλείπειν καὶ μόνου γίνεσθαι τοῦ σώζεσθαι; εἰ δὲ μὴ διαλελυκέναι τὸν πόλεμον ἠδυνήθημεν τῷ τε υἱῷ καὶ τῷ γαμβρῷ, ἀλλ᾽ ὑπολέλειπται αὐτοῖς ἡ ἔρις περὶ τῆς ἀρχῆς, ἀλλ᾽ ἐκεῖνο χρὴ σκοπεῖν, ὡς, εἰ μὲν αἱμάτων χωρὶς καὶ φόνων πράττειν τοῦτ᾽ ἐξῆν, ὥσπερ ἐβουλόμεθα, ἦν ἂν ἔργον ἄξιον εὐχῆς. [5]

3 286 νυνὶ δὲ εἰς τοιαύτην ἀνάγκην περιέστηκεν ἡμῖν τὰ πράγματα, ὥστ᾽ ἢ ἑκόντας ὑποχωρεῖν, ἢ μαχομένους κτείνειν τοὺς πολεμίους, ἢ αὐτοὺς ἀποθνήσκειν, ἂν συμβαίη. ὅτε τοίνυν τό,τε ἡττᾶσθαι τῶν αἰσχίστων καὶ δεινὸν, καὶ τὸ νικᾷν ὁμοίως οὐδεμιᾶς ἀπολείπεται κακοπραγίας,

ὅτου ἕνεκα μὴ τὸ κοινῇ τε ὁμοίως καὶ ἡμῖν αἱρησόμεθα λυσιτελοῦν;“ πρὸς ταῦτα οὐδ’ ἡ βασιλὶς ἀνένευεν, ἀλλὰ ἐπείθετο τῷ βασιλεῖ βουλευομένῳ τὰ βελτίω. ἐν βασιλείοις δὲ τῶν μάλιστα εὔνων βασιλεῖ τῷ Καντακουζηνῷ συνηθροισμένων, οὐ τῶν στρατιωτῶν μόνων, ἀλλὰ καὶ τῶν εὐγενεστέρων οὐκ ὀλίγων, θόρυβος ἦν καὶ ταραχὴ, καὶ πάντες ἐπιέναι δεῖν τοῖς πολεμίοις συνεβούλευον. μάλιστα δὲ ἐθορύβουν τὸ ἐκ Κατελάνων μισθοφορικὸν καὶ ἠξίουν βασιλέα τοῖς πολεμίοις ἐπάγειν σφᾶς, ὡς ῥᾳδίως ἐξελάσοντας τῆς πόλεως. ὁ δὲ τό,τε μάχεσθαι παντάπασιν ὡς ἀλυσιτελὲς ἀπειρηκὼς, τῇ τε στρατιᾷ τὴν γνώμην, ἥνπερ ἔχει περὶ τῶν πραγμάτων, φανερὰν ποιεῖν μὴ προσήκειν οἰηθεὶς, (ὑφαιρήσειν γὰρ ἂν αὐτῶν οὐκ ὀλίγον τῆς τόλμης καὶ τῆς περὶ αὐτὸν σπουδῆς καὶ προθυμίας, ὥσπερ ἦν εἰκὸς, λογισαμένους, ὡς οὐδεὶς ἀμείψεται αὐτοὺς τῆς ἀνδραγαθίας χάριν, ἂν βασιλεὺς τοῦ ἄρχειν ἀποστῇ,) λόγοις παράγειν ἐπειρᾶτο καὶ ἀμβλύνειν τὴν ὁρμήν. [20]

3 287 „εἰ μὲν γὰρ πρὸς ἀλλοφύλους“ ἔφασκεν „ἦν ὁ πόλεμος ἡμῖν, οὓς ἄν τις ἀποκτείνας καθαρὰν σχοίη καὶ λύπης ἀμέτοχον τὴν ἐκ τῆς νίκης ἡδονὴν, οὐκ ἂν οὐδ’ αὐτὸς μέλλειν ὑμῖν, οὐδ’ ἀναδύεσθαι τὴν μάχην συνεβούλευσα, ἀλλ’ αὐτίκα ἐπιέναι. νικῶντές τε γὰρ ἂν ἀνδρίας καὶ τόλμης εὔκλειαν ἠράμεθα, καὶ ἀποθνήσκουσι πάσης εὐδοξίας κατελείπετο μνημεῖον, ὥσπερ ἦν προσῆκον ἀνδράσιν ἀγαθοῖς ἠγωνισμένοις. νυνὶ δὲ τὸ συγγενεῖς τε μάλιστα καὶ ὁμοφύλους εἶναι τοὺς ἀντικαθισταμένους, πᾶσαν περιῄρηκεν ἡμῶν φιλοτιμίαν. ὁμοίως γὰρ καὶ ἡττώμενοι καὶ νικῶντες πολλὴν ἐν τοῖς εἰσέπειτα προστριψόμεθα τὴν ἀδοξίαν ἑαυτοῖς. ἀλλ’ εἴ τι πείθεσθαί μοι δεῖ, πολλῶν πολέμων ἐμπείρῳ καὶ πραγμάτων διὰ βίου παντὸς γεγενημένῳ καὶ καλῶς εἰδότι πραγμάτων χρῆσθαι μεταβολαῖς καὶ δυσχερείαις, τούτους μὲν ἐᾷν προσῆκον εἰκῇ καὶ μάτην κοπτομένους καὶ ἀνήνυτα πονοῦντας, σαφῶς εἰδότας, ὡς οὐδὲν δυνήσονται πλέον ἀπώνασθαι τῆς μοχθηρίας· αὐτοὺς δὲ σωφρόνων ἐχομένους λογισμῶν καὶ προσηκόντων ἀνδράσι ἀγαθοῖς, τὴν ἐκ τῶν ἄλλων πόλεων περιμένειν στρατιάν. ὅ,τε γὰρ υἱὸς ἀφίξεται τάχιστα μετὰ τῆς στρατιᾶς πεπυσμένος τὸ συμβὰν, καὶ Νικηφόρος δεσπότης ὁ γαμβρὸς, Ἀσάνης τε ὁ σεβαστοκράτωρ καὶ οἱ ἄλλοι ἡγεμόνες, οὓς αὐτὸς διὰ γραμμάτων μεταπέμψομαι. ἐκείνων δὲ ἁπάντων γενομένων ἐνταυθοῖ, οὐδὲ εἰς χεῖρας τολμήσουσιν ἰέναι οἱ πολέμιοι, ἀλλ’ οἰχήσονται, τῇ ὄψει μόνῃ καταπλαγέντες, καὶ ἀναιμωτὶ τὴν νίκην παραδώσουσιν ἡμῖν. [20]

3 288 “ ταῦτα εἶπε, καὶ αὐτίκα πρός τε τὸν υἱὸν καὶ τοὺς ἄλλους εἰς Βυζάντιον ἰέναι τὴν ταχίστην γράμματα ἔπεμπεν ὑπὸ ταῖς ὄψεσιν ἁπάντων. ἔγραφε δὲ καὶ τοῖς κατὰ τὴν Θρᾴκην ἡγεμόσι τῶν βαρβάρων, κατὰ τάχος καὶ αὐτοὺς ἥκειν συμμαχήσοντας. πάντα δὲ ταῦτα τῶν συνόντων ἕνεκα ἐπλάττετο. αὐτὸς γὰρ ἤδη παρεσκεύαστο τῶν πραγμάτων ἀποχωρεῖν καὶ καταλείπειν τὴν ἀρχήν. καίτοι γε εἰ καὶ τὰ μάλιστα ὥρμητο ἀντιποιεῖσθαι τῆς ἀρχῆς καὶ τοῖς ἐπιοῦσιν ἀντικαθίστασθαι πρὸς μάχην, οὐδ’ οὕτως ἂν ἐχρήσατο τῇ δυνάμει τῶν βαρβάρων. Φιλόθεος γὰρ ὁ πατριάρχης μετὰ τὸ τῶν ἱερῶν ἐπιβῆναι θρόνων προσελθὼν καὶ διαλεχθεὶς περὶ τοῦ πράγματος, ὡς οὐκ ἂν ἀρέσκοι θεῷ τοῖς ἀπὸ Χριστοῦ καλουμένοις τὴν βαρβαρικὴν ἐπάγειν δύναμιν καὶ διαφθείρειν τοὺς οὐδὲν ἠδικηκότας γεωργούς τινας ἢ καὶ στρατιώτας ἀγομένους ὑπὸ τῷ σφῶν δεσπότῃ καὶ πᾶσαν ἀνάγκην ἔχοντας τὰ κελευόμενα ποιεῖν, τῶν ἀδικούντων μάλιστα ἐν ἀσφαλείᾳ ὄντων. καὶ γὰρ καὶ κατὰ τὸν τοῦ ἐμφυλίου πολέμου χρόνον τῶν ἐλαυνόντων καὶ συκοφαντούντων οὐδενὸς ἢ ὀλίγων τῆς μοχθηρίας δίκας δόντων, τὰ μυρία πλήθη τῶν οὐδὲν εἰσενηνεγμένων εἰς τὸν πόλεμον ἀπώλετο· καὶ ὕστερον Κράλη ἀδικοῦντος καὶ ἐπιορκοῦντος καὶ τῆς ἀρχῆς οὐκ ὀλίγον μέρος παραιρουμένου, στρατιὰν βαρβαρικὴν ἐπαγαγὼν, τὸν μὲν ἀδικοῦντα ἐλύπησεν ὀλίγα ἢ οὐδὲν, μυρίοις δὲ ἄλλοις αἴτιος ἐγένετο μεγάλων συμφορῶν ἐξανδραποδισθεῖσι καὶ ἀπολομένοις ὑπὸ τῶν βαρβάρων. [20]

3 289 ἐφ’ οἷς καὶ αὐτὸν καταψηφιζόμενον εἰδέναι ἑαυτοῦ, ὡς τῶν μὲν ἀδικούντων ἕνεκα καὶ σφόδρα οἴεσθαι δίκαια ποιεῖν τοῖς τε ἀλλοφύλοις ἀμυνόμενον ἀδικοῦσι διὰ τῆς βαρβαρικῆς δυνάμεως,

τῆς Ῥωμαίων πρὸς ἄμυναν οὐκ ἐξαρκούσης διὰ τὸ ὑπὸ τῶν ἐμφυλίων πολέμων διεφθάρθαι, καὶ τοῖς ὁμοφύλοις ἐπάγοντα, ὅτε ἐπολέμουν, ἵνα μὴ αὐτοὶ χρησάμενοι αὐτόν τε καὶ τοὺς συνόντας διαφθείρωσι. πρὸς δὲ τοὺς ἀπολλυμένους οὐδεμίαν ἔχειν εὔλογον ἀπολογίαν, εἰ τῆς ἑτέρων ἕνεκα ἀγνωμοσύνης δίκας ἔδοσαν αὐτοί. καὶ δεηθεὶς, μηκέτι χρήσασθαι βαρβάροις κατὰ τῶν ἀπὸ Χριστοῦ καλουμένων, κἂν ἀλλόφυλοι ὦσι καὶ τὰ μέγιστα ἠδικηκότες, ἀλλ᾽ ἐπιτρέπειν θεῷ τὴν κατ᾽ ἐκείνων δίκην, ᾧ ῥᾴδιον τοὺς ἀδικοῦντας καταστέλλειν, κἂν τὰ μέγιστα φυσῶσι, καὶ ταύτην τὴν χάριν θεῷ καταθεῖναι πρῶτον καὶ αὐτῷ τὸ μὴ τοιαύταις κηλῖσι καταχραίνειν τὴν ψυχὴν, ἐπείθετό τε ὁ βασιλεὺς καὶ ὑπέσχετο μηκέτι κατὰ μηδενὸς χρήσεσθαι βαρβάροις, φάμενος οὐδὲν ἔχειν πρὸς οὕτως ἀληθῆ καὶ δικαίαν ἀντειπεῖν παραίνεσιν, ἀλλὰ καὶ πολλὴν αὐτῷ εἰδέναι χάριν, ὅτι τοῦ μὴ ἁμαρτάνειν ἕνεκα πρόνοιαν αὐτοῦ ποιοῖτο, καὶ ὡς καὶ παρὰ θεῷ ἐψηφισμένα δέχεσθαι τὰ εἰρημένα· ἃ καὶ ὕστερον ἐφύλαττεν ἀκριβῶς καὶ οὐδὲν διενοεῖτο τῶν ἐπηγγελμένων παραβαίνειν. [20]

3 290 τοῦ δὲ μὴ τοὺς περὶ αὐτὸν ἕνεκα θορυβεῖσθαι, ἀλλ᾽ ἐλπίζοντάς τι δράσειν, ὧν ἐβούλοντο, ἠρεμεῖν, ἄχρις ἂν αὐτὸς εὖ διάθηται τὰ κατ᾽ αὐτὸν καὶ τῶν ἀπὸ τοῦ βίου θορύβων ἀπαλλαγῇ, ἐπλάττετο τοιαῦτα. βασιλεὺς δὲ ὁ νέος ἐν τῷ νέῳ νεωρίῳ περιμείνας ἄχρις ἐπιγένηται ἡμέρα, ἐπεὶ μηδεὶς ἀντεπῄει καὶ ὁ δῆμος ἤδη ἅπας ἐπὶ τὸν πρὸς Καντακουζηνὸν τὸν βασιλέα πόλεμον ἐτράπετο, καὶ ὁ μὲν τὰς οἰκίας τῶν ἐκείνῳ προσεχόντων διεπόρθει, μάλιστα Φακεωλάτου καὶ τῶν κατὰ γένος προσηκόντων, οἷα δὴ αἰτιωτάτων γενομένων τοῦ Βυζάντιον ἐκεῖνον ἐν τῷ τοῦ πολέμου χρόνῳ προδοσίᾳ κατασχεῖν, τῶν ἄλλων δὲ τὴν ἐν τῷ νεωρίῳ βασιλικὴν διαρπασάντων ὁπλοθήκην καὶ ὁπλισαμένων καὶ προκαλουμένων βασιλέα ἐπάγειν σφᾶς ἐπὶ τὸν κηδεστὴν, ἀναθαρσήσας ἤδη καὶ αὐτὸς, ἐπὶ τὰ βασίλεια ἐχώρει, καὶ ἐπὶ τὴν Πορφυρογεννήτου οἰκίαν ἐλθὼν, ηὐλίσατο ἐκεῖ. μ′. Εἰς τὴν ὑστεραίαν δὲ ὁ δῆμος αὖθις ἀλόγῳ φερόμενος ὁρμῇ τὰς διηρπασμένας τῇ προτεραίᾳ οἰκίας κατεστρέφετο, καὶ καθῄρουν τὰς ξυλώσεις. ἔπειτα εἰς τὰ βασίλεια ἐλθόντες, τὸ λεγόμενον Καστέλλιον διεπόρθησαν, ἀφύλακτον εὑρόντες, καὶ διήρπασαν τῶν ἐνοικούντων τὰς οἰκίας· καὶ ἐπὶ τὰ βασίλεια ἰόντες οὐχ ἅμα πάντες, ἀλλὰ σποράδην καὶ ἀσύντακτοι, ἠκροβολίζοντο ἐκ διαλειμμάτων διὰ πάσης τῆς ἡμέρας. [20]

3 291 καὶ ἔπιπτόν τινες αὐτῶν παὶ ἐπιτρώσκοντο βαλλόμενοι ὑπὸ τῶν ἔνδον. οἵ τε Κατελάνοι ἐξελθόντες τούς τε μαχομένους ἀπεώσαντο καὶ πῦρ ἐνίεσαν ταῖς πρὸ τῶν βασιλείων οἰκίαις καὶ ἐνέπρησάν τινας. εἰς τοῦτο δὲ στάσεως καὶ ταραχῆς ἀφιγμένων τῶν πραγμάτων, καὶ ὁ πατριάρχης Φιλόθεος δείσας τὴν ἔφοδον τοῦ δήμου, ἀπεχώρει τοῦ πατριαρχείου καὶ κατεκρύπτετο. ὑπώπτευε γὰρ καὶ βασιλέα τὸν νέον ἀηδῶς ἔχειν πρὸς αὐτὸν, οἷα δὴ Καλλίστου τοῦ πατριάρχου ἐξωσθέντος ἀντεισαχθέντα, ὃς ἐδόκει πάντα πράττειν καὶ ὑφίστασθαι ὑπὲρ ἐκείνου. τρίτῃ δὲ ἡμέρᾳ βασιλεὺς ὁ νέος τὸν ἐπὶ τοῦ Κανικλείου Ἄγγελον πρὸς βασιλέα πέμψας πρεσβευτὴν, πρός τε πρεσβείας ὄντα ἐπιτηδειότατον διὰ σύνεσιν καὶ παιδείαν καὶ παρὰ βασιλεῖ τῷ Καντακουζηνῷ πολλῆς τῆς εὐμενείας ἀπολαύοντα, διελέγετο περὶ συμβάσεων, ὥστε ἀμφοτέρους μένειν ἐπὶ τῆς ἀρχῆς, ὅρκους θεμένους πρὸς ἀλλήλους ἀμνηστίας τῶν διαφορῶν. Καντακουζηνός τε ὁ βασιλεὺς ἐδέχετο προθύμως τὴν πρεσβείαν. τοῦτο γὰρ καὶ μάλιστα πάντων ἐσπουδάζετο αὐτῷ, ὥστε τοῦ πρὸς ἀλλήλους τῶν Ῥωμαίων πολέμου παυσαμένου, τῶν πραγμάτων αὐτὸν ἀναχωρεῖν. καὶ ἐγένοντο οἱ ὅρκοι ἐπὶ τούτοις, ὥστε βασιλέα μὲν τὸν Καντακουζηνὸν καὶ Ἰωάννην τὸν νέον βασιλέα ἄρχειν τῶν πραγμάτων, παραχωρεῖν δὲ τὸν νέον τῶν πρωτείων ἐν πᾶσι τῷ πρεσβυτέρῳ καὶ πᾶσαν αἰδῶ καὶ εὐπείθειαν, ὥσπερ καὶ πρότερον, αὐτῷ παρέχεσθαι. τῶν δὲ ἐκ τῶν δημοσίων φόρων εἰσπραττομένων χρημάτων ἐτησίως, ὅσων μὲν ἂν δέοιντο πρός τε τὸ μισθοφορικὸν τῆς στρατιᾶς καὶ τῶν τριηρέων παρασκευὴν καὶ τὰς δεούσας ἑτέρας δημοσίας διοικήσεις, ὑπὸ τῶν πρυτάνεων, ὥσπερ ἔθος,

ταῦτα ἀναλίσκεσθαι· ἃ δ’ ἂν ὑπολίποιτο ἐπέκεινα τῆς χρείας, ταῦτα συμμερίζεσθαι τοὺς βασιλέας τῶν πρὸς τὰς οἰκίας ἕνεκα ἀναλωμάτων ἐπίσης ἑκατέρους. [5]

3 292 τούτων δὲ οὐ δεόμενος βασιλεὺς ὁ Καντακουζηνὸς ἀπῄτει τοὺς ὅρκους, (ᾔδει γὰρ ἀναχωρήσων τῶν πραγμάτων τάχιστα,) τιμῆς δὲ μόνης ἕνεκα τοῦ μὴ νομίζεσθαι ἔλαττον τοῦ νέου βασιλέως ἐσχηκέναι. τοῖς τε πεπολεμηκόσι πρὸς αὐτοὺς ὑπὲρ ἀλλήλων μηδεμίαν εἰσπράττειν δίκην, μήτε Καντακουζηνὸν τὸν βασιλέα, μήτε τὸν γαμβρὸν, ἀμυνομένους τῆς εἰς αὐτοὺς ἀγνωμοσύνης, μήτε ζώντων ἀμφοτέρων βασιλέων, μήτ’ εἰ συμβαίη τὸν ἕτερον γενέσθαι ἐξ ἀνθρώπων, ἀλλὰ πᾶσαν ἀμνηστίαν παρέχειν τῶν τετολμημένων καὶ μήτε προσόδων, μήτε τῶν τιμῶν ἀποστερεῖν, ἃς ἔχουσι. Ματθαῖον δὲ βασιλέα τὸν Καντακουζηνὸν μένοντα ἐπὶ τοῦ σχήματος, τὴν Ἀδριανοῦ κατέχειν καὶ τὰς κατὰ τὴν Ῥοδόπην τοῖς Ῥωμαίοις ὑπηκόους πόλεις, διὰ βίου αὐτόνομον ὄντα καὶ ἀνεύθυνον κεκτημένον τὴν ἀρχὴν, καὶ βασιλέα τὸν νέον Ἰωάννην πόλεμον μηδέποτε πρὸς ἐκεῖνον περὶ τῶν ἐνδεδομένων πόλεων κινεῖν. ἐπὶ τούτοις δὲ ἀποδοῦναι Καντακουζηνὸν τὸν βασιλέα τῷ νέῳ καὶ τὸ κατὰ τὴν Χρυσῆν καλουμένην πύλην φρούριον, ὃ κατεῖχεν αὐτὸς φρουρᾷ Λατινικῇ, καρτερώτατον ὂν καὶ ἀνάλωτον σχεδὸν ἐκ τῆς κατασκευῆς· ᾧ πύργοι μὲν ἦσαν δύο τῶν ἐκ τοῦ περιβόλου Βυζαντίου, ὧν μεταξὺ ἡ πρὸς τὴν πόλιν εἰσάγουσα πύλη ἦν. [20]

3 293 οἱ πύργοι δὲ μέγιστοι μεγέθει ὄντες, οὐ κατὰ τοὺς ἄλλους ἦσαν ᾠκοδομημένοι, ἀλλ’ εὐθὺς ἐπὶ μήκιστον ὕψους ἐξαρχῆς μαρμάροις μεγάλοις ὑπὸ λιθουργῶν εἰς τοῦτο κατεσκευασμένοις ἦσαν συντεθειμένοι, ὑπ’ ἄκρας συμφυΐας πρὸς ἀλλήλους οὐδεμιᾶς ἑτέρας δεόμενοι ὕλης συνδεούσης, ἀλλ’ ἥλοις μόνοις σιδηροῖς, ὡς λέγεται, καθὸ ἀλλήλων ἐπιψαύουσι κεχρημένοι πρὸς συνάφειαν, ὥστε ἔξωθεν δοκεῖν οὐκ ἐκ μερῶν συντεθειμένους, ἀλλ’ αὐτολιθίνους εἰς τοῦτο ἀπεξεσμένους εἶναι. ὅθεν οὐδὲ ἐπιχείρησιν δοκοῦσιν οὐδεμίαν ἔχειν, μήτε διορυχθῆναι ὄντες δυνατοὶ, μήτε ἐκ μηχανῆς τινος ἢ τέχνης ἑτέραν μηδεμίαν ὑποστῆναι βλάβην. οὓς ἅμα βασιλεὺς ὁ Καντακουζηνὸς τῷ τῆς Ῥωμαίων ἀρχῆς ἐγκρατὴς γενέσθαι ἄνωθεν ἐπισκευάσας, ὅσα ἔδει, ἀτημελήτους ὑπὸ χρόνου ὄντας, εἰς τὸ διηνεκὲς φρουρᾷ κατεῖχεν, ὥσπερ ἀκρόπολίν τινα. τούτων δὴ τῶν ὅρκων ὑφ’ ἑκατέρων ὀμωμοσμένων βασιλέων, ὅ,τε στασιασμὸς διελέλυτο αὐτίκα, καὶ βασιλεὺς ὁ νέος πᾶσαν ὑποψίαν ἀποθέμενος, ἦκεν εἰς βασίλεια πρὸς βασιλέα τὸν κηδεστήν. κἀκεῖνος ὑπεδέχετο ἡδέως ἐς τὰ μάλιστα καὶ πολλὴν ἐπεδείκνυτο φιλοφροσύνην. συγγενομένων δὲ ἀλλήλοις ἐφ’ ἱκανὸν, καὶ περὶ ὅσων ἐδέοντο διαλεχθέντων, αὖθις ὁ νέος βασιλεὺς τῶν βασιλείων ἐξελθὼν, ἐν ᾗ καὶ πρότερον ηὐλίζετο οἰκίᾳ ἦν. μετὰ τὰς συμβάσεις δὲ ἦκεν ἐκ Βιζύης Ἀνδρόνικος Ἀσάνης ὁ σεβαστοκράτωρ μετὰ στρατιᾶς ἐπικουρήσων βασιλεῖ τῷ Καντακουζηνῷ· ὃν ἐπὶ τρισὶν ἡμέραις ἔνδον βασιλείων διατρίψαντα μετὰ τῆς στρατιᾶς, αὖθις ἐξέπεμπεν ὁ βασιλεὺς εἰς τὴν οἰκίαν, τῆς μὲν προθυμίας ἕνεκα καὶ τῆς εὐνοίας ἐπαινέσας τῆς εἰς αὐτὸν, μὴ δεῖσθαι δὲ αὐτοῦ, συμβάσεις θέμενος πρὸς βασιλέα τὸν γαμβρὸν, εἰπών. [5]

3 294 ἔγραφε δὲ καὶ τῷ υἱῷ καὶ Νικηφόρῳ δεσπότῃ τῷ γαμβρῷ καὶ τοῖς ἄλλοις ἡγεμόσιν ἀναστρέφειν, τοῦ πολέμου ἤδη καταλελυμένου καὶ εἰρήνης ἐν τοῖς πράγμασι γεγενημένης. τὰ ἴσα δὲ καὶ τοῖς βαρβάροις ἔγραφε τοῖς κατὰ Θρᾴκην· καὶ γὰρ κἀκεῖνοι ᾔεσαν ἐπὶ Βυζάντιον μετακεκλημένοι ὑπὸ βασιλέως, ὥσπερ ἔφημεν· καὶ ἀνέστρεφον ἐκ μέσης τῆς ὁδοῦ. ἐκ δὲ τοῦ κατὰ τὴν Προποντίδα πρὸς τὴν ἕω Ἱεροῦ ἕτεροι βάρβαροι αὐτόκλητοι ἦκον οὐκ ὀλίγοι νυκτὸς ἄχρι βασιλείων, οἰόμενοι σφῶν δεήσεσθαι Καντακουζηνὸν τὸν βασιλέα, καὶ ἐδέοντο ἐπάγειν τοῖς πολεμίοις εἰσδεξάμενον. βασιλεὺς δὲ τῆς μὲν προθυμίας ἕνεκα καὶ τῆς εὐνοίας τῆς εἰς αὐτὸν χάριτας ὡμολόγει οὐκ ὀλίγας· συμβάσεις μέντοι ἔφασκε πρὸς βασιλέα τὸν γαμβρὸν καὶ ὅρκους θέμενος, αὐτῶν μὴ δεῖσθαι· καὶ ἐκέλευεν ἀναχωρεῖν πρὸς τὴν οἰκίαν. ταῦτα δὲ οὐ διὰ πρέσβεων μόνον ἐδήλου τοῖς βαρβάροις, ἀλλὰ καὶ δι’ ἑαυτοῦ αὐτὸς, ἐκ βασιλείων ἔξω τειχῶν οὖσιν ἐκεῖνος διειλεγμένος νυκτὸς ὑπὸ λαμπάσι, τοῦτο παρέχοντος τοῦ τόπου, ὥστε δύνασθαι

καὶ ὁρᾶσθαι καὶ ἀκούεσθαι διαλεγόμενον. ἐξιὼν μέντοι καὶ αὐτὸς τῶν βασιλείων πρὸς τὴν οἰκίαν, ἐν ᾗ βασιλεὺς ὁ γαμβρὸς διέτριβεν, ἀπῄει καὶ περὶ τῆς διοικήσεως τῶν κοινῶν συνδιεσκέπτετο αὐτῷ. [25]

3 295 δεῆσαν δὲ καὶ περὶ τῶν ἐν Θρᾴκῃ βουλεύσασθαι βαρβάρων, εἰ πολεμητέα εἴη πρὸς αὐτοὺς ἢ μή, ἐν τῇ μεγάλου λογοθέτου οἰκίᾳ τοῦ Μετοχίτου μετὰ πάντων τῶν συγκλητικῶν καὶ τῶν ἐπ' εὐγενείᾳ λαμπρυνομένων γενόμενοι οἱ βασιλεῖς, κατέστησαν εἰς λόγους. οἱ μὲν οὖν ἄλλοι ἀτάκτως ἐθορύβουν καὶ γνώμην ἕκαστος εἰσφέρειν ἐπεχείρουν, ἣ μάλιστα ἂν λυσιτελεῖν δοκοίη ὡς ἐν τοῖς παροῦσι. βασιλεὺς δὲ ὁ νέος καὶ τῶν συνόντων οἱ μάλιστα ἐν λόγῳ Καντακουζηνῷ τῷ βασιλεῖ προσεῖχον καὶ ἀπεσκόπουν, ὁποίαν τινὰ περὶ τῶν προκειμένων γνώμην εἰσενέγκοι. καταστὰς δὲ καὶ αὐτὸς εἰς λόγους, εἶπε τοιάδε· „τὴν μὲν γνώμην ὑμῶν ὡς μᾶλλον ἐπὶ τὸ πολεμεῖν ἐπῆρται τοῖς βαρβάροις, οἰομένων ῥᾷστα περιέσεσθαι αὐτῶν, καὶ ἐν ὀλίγῳ χρόνῳ ἐκ πολλῶν ἐστι στοχάζεσθαι. ταῦτα μὲν οὖν ἐπί τι τέλος ἀγάγοι τὸ κρεῖττον δεξιὸν, ὥσπερ βούλεσθε αὐτοί. ἃ δὲ οἶομαι καὶ αὐτὸς ἐν τῷ παρόντι λυσιτελεῖν ἡμῖν, ταῦτα σημανῶ. οὐ σωφρόνων οἶομαι ἀνθρώπων, οὐδ' ἄλλως ἐμπείρων εἶναι, ὡρμημένους ἐπὶ πόλεμον μὴ πρότερον τήν τε ἑαυτῶν καὶ τὴν πολεμίων ἐπισκεψαμένους δύναμιν, τύχης θαῤῥοῦντας ἀπιστίᾳ, ἑαυτοὺς πρὸς τοὺς κινδύνους εἰσωθεῖν. τὸ μὲν γὰρ καὶ ὅπλοις καὶ χρήμασι καὶ πλήθει στρατιᾶς ἐῤῥωμένους εἶναι βέβαιον πρὸς σωτηρίαν· τύχη δὲ τὰ πλείω σφάλλεται. πρὸς οὓς δὲ ἡμῖν ὁ πόλεμός ἐστι βαρβάρους νῦν, οὐχ ὅσον ἀγνοεῖσθαι διαφέρουσιν. ἐμπειρίᾳ γὰρ τῇ πρὸς τὰς μάχας οὐδαμῶς ἀπολειπόμενοι ἡμῶν, πολλαπλασίους εἰσὶ τῷ πλήθει καὶ τῇ παρασκευῇ ἐῤῥωμενέστεροι καὶ πρὸς τὰς στρατείας ἑτοιμότεροι, ἀμισθὶ καὶ προῖκα στρατευόμενοι τῷ σφῶν δυνάστῃ. [25]

3 296 πρὸς δὲ τούτοις γῆν ἔχοντες πολλὴν καὶ πόλεις ἡμετέρας οὐ κατὰ τὴν Ἀσίαν μόνον, ἀλλὰ καὶ κατὰ τὴν Εὐρώπην, νῦν προθύμως ὑπὲρ τῶν λοιπῶν μαχοῦνται, εὐέλπιδες ὄντες, ὥσπερ ἐκ παραδειγμάτων, καὶ πρὸς τὰ λοιπά. ἡμῖν δὲ ἦν μέν ποτε δύναμις ἀξιόχρεως, οὐ πρὸς τοσούτους μόνον, ἀλλὰ καὶ πολλαπλασίους, οὐχ ὥστε ἐκ τῆς ἡμετέρας ἐξελαύνειν, ἀλλὰ καὶ περὶ τῆς οἰκείας ἐν κινδύνῳ καθιστᾶν. ἡ δὲ ἀξυνεσία καὶ ἀβουλία καὶ τὸ μὴ περὶ τῶν κοινῇ λυσιτελούντων ἄριστα βουλεύεσθαι, ἀλλ' ἕκαστον τὰ ἴδια εὖ τίθεσθαι σκοπεῖν, εἰς τοῦτο ἤγαγεν ἡμᾶς ἀδυναμίας νῦν, ὥστ' ἀγαπητὸν, ἂν μὴ καὶ τὰ ὄντα ἀπολέσωμεν, ἡγεῖσθαι. ἥ τε γὰρ στρατιὰ διέφθαρται ἡμῖν, ἐκ λαμπρᾶς καὶ περιφανοῦς ὀλίγη καὶ ἄπορος καθεστηκυῖα· καὶ τῶν κοινῶν προσόδων αἱ συντάξεις ἐκλελοίπασι παντάπασι. καὶ ὑμῶν τοὺς πλείους ἢ σύμπαντας σχεδὸν, εἰ μή τις χρήματα παράσχοι πρὸς τὸν πόλεμον, οὐκ ἂν οἶομαι ἀντισχήσειν ἐπιπλεῖστον ἀναλοῦντας ἐκ τῶν ὄντων. ἅπερ ἅπαντας ἐνθυμουμένους, οὐ τοῦτο μόνον χρὴ σκοπεῖν, ὅπως ἐκ τῆς εἰρήνης καταστῶμεν πρὸς τὸ πολεμεῖν, ἀλλ' ὅπως καὶ περιεσόμεθα τῶν πολεμίων ἢ μηδὲν ἐκ τούτου δυσχερὲς ὑπομενοῦμεν. ἐγὼ δὲ οὔτε ἀτολμίᾳ τοῦ πρὸς τοὺς βαρβάρους ὑμᾶς πολέμου ἀποσχέσθαι συμβουλεύω, οὔτε πρὸς ἀπέχθειαν αὐτῶν οὐδενὸς ἀπολείπομαι ὑμῶν, ἀλλ' αὐτός τε ἂν ἐξέτριψα ἡδέως ὁμοῦ τοι σύμπαντας βαρβάρους, εἴπερ οἷόντε, καὶ μεγίστην εὔκλειαν καὶ εὐδοξίαν τὸν ἐκείνων ὄλεθρον φέρειν ἂν ἐνόμισα ἐμοί· καὶ παρ' ἑτέρου πάσχοντάς τινος τὰ ἴσα εἶδον. [5]

3 297 οὐ μὴν ἀλλ' εἰ μὲν τούτων μὲν οὐδὲν ἐξῆν, ἔδει δὲ ἐμὲ παρ' ὁτουοῦν ἀποσφαγέντα, αὐτῷ τούτῳ τῷ ἀποθανεῖν ἐξώλεις γενέσθαι τοὺς βαρβάρους, ῥᾷστα ἂν καὶ τὴν φίλην προὔδωκα ζωὴν σὺν ἡδονῇ· τοσοῦτον ἀπεχθείας πρὸς αὐτοὺς περίεστιν ἐμοὶ, οὐ μόνον διὰ τὴν περὶ τὴν θρησκείαν ἄκραν ἐναντίωσιν, ἀλλ' ὅτι ἐκ πολλῶν ἐτῶν μεγάλα ἠδικήκασι Ῥωμαίους, πᾶσι λυμηνάμενοι σχεδὸν καὶ οὐδέπω μέχρι νῦν κόρον ἐσχήκασι τῆς ἀδικίας· ἀλλὰ καὶ ἐπὶ Θρᾴκην διαβάντες, πόλεις ἔχουσι πολλὰς καὶ πάντα τὰ ἡμῶν ἄγουσι καὶ φέρουσι. τίνος οὖν ἕνεκα οὕτως ἔχων πρὸς ἐκείνους ἀπεχθείας, οὔτε πρότερον αὐτὸς ὡρμήθην πολεμεῖν καὶ ὑμᾶς κωλύω νῦν

προθυμουμένους; ὅτι τὴν ἐνοῦσαν ἐξετάζων δύναμιν, οὔτε πρότερον, οὔτε νῦν ἀξιόμαχον εὑρίσκω πρὸς τὸν πρὸς ἐκείνους πόλεμον. τί οὖν, ἄν τις φαίη, κελεύῃς ἡμᾶς καθάπαξ ἐγκαλυψαμένους καὶ τὴν οἰκείαν σωτηρίαν ἀπογνόντας, ἡσυχῇ φέρειν τὰς πληγὰς καὶ πάντα ὥσπερ ἐξ ἐπιτάγματος ὑπείκειν τοῖς βαρβάροις; οὐ τοῦτο ἔγωγε, φαίην ἄν, ἀλλὰ πολεμητέον μᾶλλον καὶ πρὸς τοῦτο, εἴ τι ἕτερον, σπουδαστέον, οὐ μὴν ἀμαθῶς τοσοῦτον καὶ θρασέως, ὡς μηδὲν ἕτερον ἀπόνασθαι τῆς εὐτολμίας, ἢ καὶ τὰ ὄντα προσαπολεῖν πρὸς τῷ μηδὲ τῶν ἀφῃρημένων ἀνασώσασθαι μηδέν. [20]

3 298 τί οὖν ἐστιν, ὃ λέγω; ὅτι χρήματα πρότερον πoριστέον καὶ δύναμίν ποθεν ξενικὴν ἀξιόμαχον πρὸς τὴν τῶν πολεμίων. ὡς ἥ γε ἡμῖν οἰκεία, κἂν τὰ μάλιστα ἔχῃ περιττῶς πρὸς τὴν παρασκευὴν, κἂν εἰς ἄκρον ἀνδρίας ἀφίκηται καὶ τόλμης, οὐδ’ οὕτω πρὸς τοὺς πολεμίους ἔσται ἀξιόχρεως, ἕως ἂν τοσαύτη μένῃ, ὅση νῦν ἐστι. πρὸς τούτοις δὲ καὶ δύναμιν ναυτικὴν προπαρασκευάσασθαι χρεὼν, ὥστε κωλύειν τοὺς ἐπιβοηθοῦντας. ἂν γὰρ αὐτοὶ θαλασσοκρατῶσιν, οὐ μικρᾶς, οὐδ’ εὐκαταφρονήτου δεησόμεθα δυνάμεως. οὐ γὰρ Ὀρχάνῃ μόνον ἀναγκασθησόμεθα ἐν Θρᾴκῃ πολεμεῖν, ἀλλὰ καὶ τοῖς κατὰ τὴν Ἀσίαν ἅπασι βαρβάροις, οἳ ἂν ὑφ’ ἡμῶν βιάζωνται, προθυμότατα ἐπιμαχήσουσιν αὐτοῖς. τῶν γὰρ ἀθανάτων γερῶν, ἃ αὐτοῖς ὑπείληπται τοὺς ἐνταῦθα καλῶς βεβιωκότας ἀπολαμβάνειν, ἐκεῖνον ἐν ἀπολαύσει ἔσεσθαι ὁ πρὸς τὴν πλάνην καθηγησάμενος μάλιστα πέπεικεν αὐτοὺς, ὅστις ἂν πρὸς ἡμᾶς πολεμῶν ἢ πίπτοι μαχόμενος, ἢ ὡς πλείστους ἀποκτείνοι. ὧν δὴ ἕνεκα οὐ νῦν ἄπτεσθαι ὑμᾶς τοῦ πρὸς αὐτοὺς πολέμου συμβουλεύω, ἀλλὰ πρότερον ἐκπορίζειν τά τε χρήματα καὶ τοὺς συμμάχους. τὸ νῦν δὲ ἔχον πρεσβείαν πέμπειν πρὸς αὐτοὺς καὶ τὴν οὖσαν εἰρήνην ἐπικυροῦν καὶ πειρᾶσθαι προνοίᾳ μᾶλλον καὶ εὐβουλίᾳ τὰς κατὰ τὴν Θρᾴκην πόλεις ἀνασώζεσθαι καὶ ἀπολαμβάνειν ὁμολογίᾳ, ὥσπερ παρεσκεύακα αὐτὸς, πολλὴν εἰς τοῦτο πρόνοιαν πεποιημένος. [20]

3 299 δυνατὸν γὰρ ἔτι καὶ νῦν, ἐὰν ἐθέλητε ὑμεῖς. ἐξεληλαμένων δὲ τῶν ἡμετέρων ὅρων τῶν βαρβάρων, ὅ,τε πρὸς αὐτοὺς πόλεμος, ἂν ἐθέλωμεν ἀναλαμβάνειν, ῥᾴων ἔσται, ναυτικῆς δυνάμεως δεησομένοις μόνον, καὶ Μυσοὺς καὶ Τριβαλοὺς, οὐδ’ αὐτοὺς φαυλότερα ἀδικοῦντας, ἢ πείσομεν ἐπιτηδείους εἶναι καὶ ἀποδιδόναι τὰ ἡρπασμένα δεδιττόμενοι τοῖς βαρβάροις, ἢ καὶ ἀναγκάσομεν, ἂν βουλώμεθα, ἐπάγειν. ἃ μὲν οὖν λυσιτελεῖν ὑμῖν ἐγὼ νενόμικα ἐν τῷ παρόντι, τοσαῦτά ἐστιν. εἰ δ’ ὑμῖν βουλευομένοις τἀναντία δόξειεν, εἰπεῖν μὲν, ὡς ἀσύμφορα αἱρήσεσθε, οὐκ ἀποκνήσω, εὔχομαι δὲ ἐμὲ τῶν λογισμῶν διαμαρτάνειν μᾶλλον, ἢ ὑμᾶς ψευσθῆναι τῶν ἐλπίδων.“ τοιαῦτα μὲν ἐπ’ ἐκκλησίας βασιλεὺς ὁ Καντακουζηνὸς περὶ τοῦ πρὸς τοὺς βαρβάρους πολέμου διειλέχθη, αἰνιξάμενός πως ἀμυδρῶς, ὡς αὐτὸς μετὰ μικρὸν ἀναχωρήσει τῶν πραγμάτων. οἱ δὲ συνεκκλησιάζοντες, ὅσοι μὲν μάλιστα ἐν λόγῳ ἦσαν, οὐδὲν ἀντεῖπον, οἱ δὲ νεώτεροι καὶ ἀφρονέστεροι πολλὰ τοὺς περὶ τῆς εἰρήνης λόγους καταμεμψάμενοι βασιλέως, αἰνιξάμενοί τε, ὡς καὶ πρότερον δυνάμενος μεγάλα βλάπτειν, εἰ πολεμεῖν ἠρεῖτο τοῖς βαρβάροις, ἑκὼν ἠμέλει τοῦ κοινῇ λυσιτελοῦντος διὰ τὴν Ὀρχάνῃ συνοικοῦσαν θυγατέρα, καὶ νῦν ἑκὼν εἶναι τἀναντία, ὧν οἴεται λυσιτελεῖν, τῆς αὐτῆς ἕνεκα αἰτίας συμβουλεύει. [20]

3 300 ἔπειτα τὸν πόλεμον αὐτοὶ αἱρεῖσθαι μᾶλλον εἶπον καὶ δεῖσθαι καὶ τῶν ἄλλων ἐπιψηφίζεσθαι τὰ ἴσα. οὐ γὰρ φαυλοτέροις σφῶν οἱ βάρβαροι ἐντεύξονται αὐτοῖς ἐπὶ τῶν ἔργων, ἀλλ’ εἴσονται σαφῶς, ὡς οὐ γυναιξὶ μαχοῦνται, ἀλλ’ ἀνδράσι. βασιλέως δὲ τοῦ νέου, ὁποτέραν ἔχει τὴν γνώμην περὶ τῶν πραγμάτων οὐδὲν ὅλως φθεγξαμένου, ἀλλ’ ἐξετάζοντος ἐφ’ ἑαυτὸν, ὁποτέροις πρόσθοιτο, Καντακουζηνὸς ὁ βασιλεὺς διέλυε τὸν σύλλογον ἀναστὰς, τὸ μὲν μεταπείθειν οὐ ῥᾴδιον αὐτοὺς ὁρῶν, ἀκρισίᾳ πολλῇ καὶ παραβόλῳ θράσει φερομένους, τὸ δὲ βιάζεσθαι δοκεῖν ἐθέλειν παραιτούμενος, παρεσκευασμένος ἤδη μετὰ μικρὸν παντάπασι τῆς ἀρχῆς ἐξίστασθαι τῷ νέῳ βασιλεῖ. ἐξῆν γὰρ αὐτῷ, εἴγε μάλιστα ἠβούλετο, κυροῦν τὴν περὶ τῆς

εἰρήνης ψῆφον, ὀλίγα φροντίσαντι τῶν ἐπὶ τὸν πόλεμον παρακαλούντων ὡς ἀλυσιτελῆ παντάπασι τῷ κοινῷ βουλευομένων. ὁ μὲν οὖν πρὸς τοὺς βαρβάρους πόλεμος οὐκ ἐπ' ἀγαθῷ Ῥωμαίοις ἐτελεύτησεν, ὑπὸ τῶν τότε θορυβούντων ἐξαφθεὶς μετὰ μικρόν. μα'. Βασιλεὺς δὲ ὁ Καντακουζηνὸς εἰς τρίτην ἡμέραν ἐξ ἐκείνου ἅμα βασιλεῖ τῷ νέῳ ἐπὶ τὸ εἰς τὴν Χρυσῆν πύλην ᾖει φρούριον, ὡς παραδώσων κατὰ τὰς συνθήκας. γενομένοις δὲ πρὸς τῷ τῆς θεομήτορος τεμένει, ὃ πηγή τέ ἐστι παντοίων ἰαμάτων καὶ καλεῖται, βασιλεὺς μὲν ὁ νέος κατελείπετο ἐκεῖ, Καντακουζηνὸς δὲ ὁ βασιλεὺς ὀλίγους ἔχων, ἐγένετο ἐν τῷ φρουρίῳ, ὡς πείσων τοὺς φρουροὺς παραδιδόναι ἀμαχεί. [20]

3 301 καὶ εἰσεδέχοντο ἀσμένως οἱ Λατῖνοι μόνον. οἰόμενοι δὲ αὐτὸν πρότερόν τε ἀδυνάτως ἔχειν ἥκειν παρ' αὐτοὺς καὶ τότε καιροῦ τυχόντα καὶ παραγενόμενον, συγκαθέξειν αὐτοῖς τὸ φρούριον προθύμως, ἄχρις ἂν ἀφίκηται ἡ στρατιὰ, (ᾔδεσαν γὰρ τόν τε υἱὸν μετακεκλημένον καὶ τοὺς ἄλλους ἡγεμόνας,) συνήδοντό τε καὶ παρεκελεύοντο θαῤῥεῖν, ὡς αὐτῶν αὐτοῦ τε ἕνεκα καὶ σφῶν αὐτῶν ἐῤῥωμένως πᾶσι μαχουμένων, ὅσοι ἂν ἐπίωσι, καὶ περιεσομένων ῥᾷον, οὐ μόνον διὰ τὴν σφετέραν εὐτολμίαν καὶ τὴν ὀχυρότητα τοῦ φρουρίου, σφόδρα ὄντος δυσαλώτου διὰ τὴν κατασκευὴν, ἀλλ' ὅτι καὶ σῖτον ἦσαν ἐντεθειμένοι καὶ τὰ ἄλλα ἐπιτήδεια, ἀφθόνως παρασχομένου βασιλέως, ὡς τρυφῶντας καὶ κωμάζοντας εἰς τρίτον ἔτος ἐξ ἐκείνου διαρκέσειν πολιορκουμένους. τοῦ βασιλέως δὲ αὐτοῖς εἰπόντος, ὁποίας θοῖτο πρὸς βασιλέα τὸν γαμβρὸν συνθήκας ἐπὶ τῇ εἰρήνῃ, καὶ ὡς εἰς τοῦτο ἥκει, ὥστ' ἐκείνῳ τὸ φρούριον παραδιδόναι, ἠνιῶντό τε καὶ ἐδυσχέραινον οὐκ ἀνεκτῶς, καὶ ἱκέτευον προσκυνοῦντες, μὴ τοιαῦτα πράττειν, ὡς ῥᾴδιον ὂν ἐκεῖθεν, ἐπειδὰν ἀφίκοιτο ἡ στρατιὰ, βασιλέα τὸν νέον Βυζαντίου ἐξελαύνειν. μάλιστα δὲ Ντζιουὰν Περάλτα ὁ τούτων ἡγεμὼν αὐτός τε ἐδεῖτο βασιλέως καὶ τοὺς ἄλλους ἔπειθεν, οἷα δὴ χρόνον τινὰ συχνὸν ἤδη συγγενόμενος τῷ βασιλεῖ καὶ πολλοὺς ὑπὲρ αὐτοῦ κινδύνους ὑποστάς. τῶν γὰρ ἐκείνῳ συστρατευομένων ἦν, ἡνίκα διέτριβεν ἐν Τριβαλοῖς κατὰ τὸν τοῦ πολέμου χρόνον, καὶ πλείστας ἀποδείξεις παρέσχετο τῆς εἰς αὐτὸν εὐνοίας, οὐδεμίαν κατ' ἐκεῖνο χρόνου ὑποστὰς μεταβολὴν, ἡνίκα καὶ οἱ μάλιστα δοκοῦντες εὖνοι εἶναι ἐξηλέγχοντο μεθαρμόζοντες ἑαυτοὺς τοῖς πράγμασι καὶ τοῖς καιροῖς. [25]

3 302 βασιλέως δὲ ἀδύνατα ἰσχυριζομένου ἀξιοῦν αὐτοὺς, (οὐ γὰρ αὐτοῦ εἶναι τὰ ἐψηφισμένα ἀνατρέπειν,) καὶ κελεύοντος τὸ φρούριον παραδιδόναι, καιρὸν ᾔτουν πρὸς διάσκεψιν, ὥστε βουλεύσασθαι ἐφ' ἑαυτοὺς, ὅ,τι πράξαντες τὰ μάλιστα λυσιτελοῦντα σφίσι δόξωσιν ᾐρῆσθαι. ἐπιτετραφότος δὲ τοῦ βασιλέως, ἐν τῷ τοῦ φρουρίου περιβόλῳ καταλιπόντες, ἐπεὶ ἔνδον αὐτοὶ τοῦ πύργου ἦσαν, συνεβούλευεν αὐτοῖς ὁ ἡγεμὼν ὅρκους βασιλέα ἀπαιτεῖν, μὴ βασιλεῖ τῷ νέῳ τὸ φρούριον παραδιδόναι, ἀλλ' ἢ μένοντα κατέχειν σὺν αὐτοῖς, ἢ, εἰ μὴ βούλοιτο αὐτὸς πολιορκεῖσθαι, ἀναχωρεῖν ἐν βασιλείοις καὶ πράττειν ὅ,τι ἂν δοκῇ, αὐτοὺς δὲ ἐᾷν τὸν πρὸς Βυζαντίους πόλεμον διοίσοντας ῥᾳδίως. εἰ δὲ μηδ' ὁπότερον ἔλοιτο τῶν εἰρημένων, ἀλλὰ προὔργου παντὸς ἡγοῖτο τὸ φρούριον παραδιδόναι, ἀποπέμπεσθαι καὶ αὐτὸν, ὅρκοις πρότερον πιστωσαμένους, ὡς οὐ διὰ κακίαν οὐδ' ἀποστασίαν ἐννοήσαντες αὐτοῦ τοιαῦτα εἵλοντο, ἀλλ' αὐτῷ τε πρῶτον, ἔπειτα καὶ ἑαυτοῖς τὰ κράτιστα βεβουλευμένοι. ᾤοντο γὰρ αὐτὸν ἀνάγκῃ τὸ νῦν ἔχον παραδιδόντα τῷ γαμβρῷ, ὕστερον αὐτοῖς πολλὴν εἰδήσειν χάριν καὶ ἀμείψεσθαι πολλαῖς εὐεργεσίαις, ὅτι τῆς εἰς αὐτὸν ἕνεκα εὐνοίας, καὶ ἄκοντος, τὸ δοκεῖν τὰ μάλιστα λυσιτελοῦντα ἔπραξαν. [20]

3 303 ὁ μὲν οὖν τοιαῦτα συνεβούλευεν, αὐτίκα δὲ ἐπείθοντο οἱ ἄλλοι. ᾔδεσαν γὰρ αὐτὸν τῶν πιστοτάτων ὄντα οἰκετῶν τῷ βασιλεῖ, καὶ οὐκ ἄν τι τῶν μὴ κατὰ γνώμην πράξοντα ἐκείνῳ. καὶ τὰς τοῦ πύργου πύλας ἔνδοθεν ἀσφαλίσαντες μοχλοῖς, ἐδήλουν τὰ δεδογμένα ἀπὸ τῶν ἐπάλξεων. βασιλεὺς δὲ ἐξῆπτετο μὲν αὐτίκα τῷ θυμῷ καὶ δι' ὀργῆς αὐτοὺς εἶχε τῆς ἀποστασίας ἕνεκα, πράττειν δὲ οὐδὲν ἐδύνατο τῶν δεόντων. πάντοθεν δὲ ἀμηχανίᾳ περισχεθεὶς, κελεύσας

ἐν ταὐτῷ γενέσθαι πάντας ἅμα ἡγεμόνι, πρῶτα μὲν ἠρώτα τῇ Λατίνων διαλέκτῳ, (ἐξήσκητο γὰρ αὐτὴν καλῶς,) εἰ αὐτὸν ἐπιγινώσκοιεν. τῶν δὲ φαμένων πάντων, εἶναι βασιλέα καὶ δεσπότην σφῶν, „οὐκοῦν“ ἔφη „εἰ μὴ τὸ φρούριον ἐθέλητε παραδιδόναι, ἀλλὰ καθάπαξ ἀποστάντες, ἔγνωτε πρὸς πόλεμον ἐμοὶ χωρεῖν, τὸ μὲν ὅπως χρὴ τῆς ἀδικίας τιμωρεῖσθαι, ὕστερον αὐτὸς βουλεύσομαι καλῶς· τὸ δὲ νῦν ἔχον γράμματα αὐτίκα πέμψω πρὸς τὸν ῥῆγα τῆς ἐξενεγκούσης γῆς ὑμᾶς, ἀπιστοτάτους ἀποφαίνοντα ὑμᾶς ἕκαστον ὀνομαστὶ καὶ τὰς γνώμας διεφθαρμένους καὶ ἀξίους οὐδενὸς, ὅτι τὸ φρούριον, ἐμοῦ παραδεδωκότος καὶ πολλὰ ἀναλωκότος χρήματα πρὸς τὴν μισθοφορὰν ὑμῶν καὶ οὐδὲν οὐδέποτε ἠδικηκότος, ἄδικα καὶ βίαια ποιοῦντες αὐτοὶ ἀπεστερήσατε ὁμοφρονήσαντες, ὅτε κατέστην μάλιστα ἐν χρείᾳ, ἵν’ εἴητε ἐν πᾶσιν ἀνθρώποις ἄτιμοι καὶ ἄπιστοι, καὶ μηδεὶς ὑμῖν ἔτι προσέχῃ τοῦ λοιποῦ, ἀλλ’ ὑπὸ πάντων ἀπελαύνησθε. [20]

3 304 “ τοιαῦτα μὲν ὁ βασιλεὺς πρὸς τοὺς Λατίνους διειλέχθη, ἐκεῖνοι δὲ τὸ δόξαν ἀπιστίας ἑαυτοῖς προστρίβεσθαι μεγίστην ἡγησάμενοι ζημίαν καὶ πολλὰ τῆς τόλμης ἕνεκα σφᾶς τε αὐτοὺς καὶ τὸν ἄρχοντα καταμεμψάμενοι, αὐτίκα τοῦ πύργου ἐξελθόντες, βασιλέως ἐδέοντο συγγνώμην τοῦ τολμήματος παρέχειν, ὡς οὐ διὰ κακίαν, ἀλλ’ ὑπὲρ αὐτοῦ νομίσασιν εἶναι μᾶλλον πεπραγμένον. παρεδίδουν τε τῷ βασιλεῖ τὸ φρούριον. αὐτίκα δὲ μεταπεμψάμενος καὶ βασιλέα τὸν γαμβρὸν, τῶν Λατίνων τὰς κλεῖς παρεσχημένων, αὐτὸς παρέσχετο τῷ νέῳ βασιλεῖ. ὁ δὲ εἰσήγαγε φρουρὰν ἐκ τῶν ἰδίων, μετὰ μίαν ἡμέραν τοὺς Λατίνους ἐξελάσας, καὶ μετὰ μικρὸν κατέστρεψε πᾶσαν τὴν ἐπισκευὴν, παντάπασι τὸ φρουρεῖν καταλιπών. βασιλεὺς μὲν οὖν ὁ Καντακουζηνὸς διέτριβεν ἐν βασιλείοις ἅμα βασιλίδι τῇ Εἰρήνῃ καὶ τοῖς περὶ αὐτὸν, οὗσιν οὐκ ὀλίγοις· βασιλεὺς δὲ ὁ νέος ἐν οἰκίᾳ τινὶ ἑτέρᾳ τῶν περιφανῶν Ἀετὸν προσαγορευομένῃ. ὁ δῆμος δὲ ὁ Βυζαντίων, εἴτε καὶ ὑπό τινων ἐναγόμενος, εἴθ’, ὥσπερ φιλεῖ τὸ πλῆθος, ὑπ’ ἀσυνεσίας καὶ ἀλόγου φερόμενος ὁρμῆς, ἀτόπως ἦρα τῆς μεταβολῆς, καὶ ἐθορύβουν ἀτακτοῦντες καὶ πάντα ἦσαν ἕτοιμοι τολμᾶν. ἐλέγετο δὲ, ὡς καὶ τῶν συνόντων ἐν βασιλείοις οἱ μάλιστα πρότερον δοκοῦντες εὔνως ἔχειν ἐπιβουλεύοιεν μεταβαλόντες, καὶ πρότερόν τε ἡνίκα βασιλεὺς ὁ νέος εἰσήλασε Βυζάντιον, τὸν βασιλέως ἵππον βεβουλεῦσθαι ἀποκτείνειν ἐπ’ αὐτῆς τῆς μάχης, (ᾤοντο γὰρ αὐτὸν αὐτίκα χωρήσειν ἐπὶ τὸν νέον βασιλέα·) καὶ ἐπειδὴ οὐκ ἐγεγένητο ἡ μάχη, ἀλλ’ ἐχώρησαν ἐπὶ συμβάσεις, ἀγνοοῦντες ὅτι βούλοιτο μετὰ μικρὸν βασιλεὺς ὁ Καντακουζηνὸς ἀπολείπειν τὴν ἀρχὴν, πρὶν τὴν μεταπεμφθεῖσαν ἥκειν στρατιὰν, ἐπείγεσθαι ἀποκτείνειν βασιλέα. [5]

3 305 ᾤοντο γὰρ, εἰ παραγένοιτο ἡ στρατιὰ, αὖθις ἀνθέξεσθαι βεβαίως τῶν πραγμάτων καὶ τῆς εἰς αὐτὸν ἀγνωμοσύνης ἀμυνεῖσθαι. βασιλεὺς δὲ ὁ Καντακουζηνὸς, οἷα δὴ ἐκ τῶν πραγμάτων μετὰ μικρὸν ἀναχωρεῖν βεβουλευμένος, ἐσκέψατο βασιλέα τὸν νέον ἐν βασιλείοις ἄγειν, καὶ παραδοὺς τὴν ἀρχὴν αὐτῷ, ἀποχωρεῖν. ἐπεὶ δὲ ταῦτα καὶ βασιλίδι τῇ Εἰρήνῃ συνεδόκει, γενόμενος ἐν ᾗ διέτριβεν ὁ νέος βασιλεὺς οἰκίᾳ, ἐκάλει ἐπὶ τὰ βασίλεια, ἄτοπον εἶναι λέγων μὴ αὐτῷ ἐν βασιλείοις συνδιατρίβειν, ἀλλ’ ἔξω περιπλανᾶσθαι, ἀμείβοντα οἰκίαν ἐξ οἰκίας, ὥστε καὶ τοῖς ἄλλοις δοκεῖν αὐτοὺς ἀλλήλοις ἀπιστεῖν. οὐ γὰρ δὴ τοῦτο ἄν τις φαίη, ὡς οὐκ ἐξαρκοῦσιν ἑκατέροις τὰ βασίλεια πρὸς οἴκησιν. τὰ γὰρ ὄντα νῦν καὶ πρότερον οὐκ ὀλίγοις ἔτεσιν ἐξήρκουν. ἐπείθετό τε καὶ ὁ νέος βασιλεὺς καὶ συνέθετο ἥξειν μετ’ ὀλίγον. τότε δὲ ἐδεῖτο ἐν αὐτῇ τῇ οἰκίᾳ ἄριστον ἑλέσθαι. μεταξὺ δὲ ἀλλήλοις τῶν βασιλέων συνεστιωμένων, θόρυβος ἠκούετο ἔξωθεν πολὺς καὶ σύγχυσις δεινὴ καὶ ἀταξία. ὁ γὰρ δῆμος περὶ τὴν οἰκίαν συνειλεγμένος, ἐν ᾗ διέτριβεν ὁ βασιλεὺς, καὶ νομίσαντες, ὡς κεχαρισμένα πράττοιεν τῷ νέῳ βασιλεῖ, ἐτράποντο ἐπὶ τοὺς δοκοῦντας εὔνους εἶναι βασιλεῖ τῷ Καντακουζηνῷ, καὶ τῶν ἵππων ἀποβιβάζοντές τινας, οἷς περιετύγχανον, αὐτοὶ λαμβάνοντες ἀπεχώρουν. [20]

3 306

ἐνίους δὲ καὶ κενοὺς ἐπιβατῶν εὑρίσκοντες, διήρπαζον. ἐπεὶ δὲ ᾐσθάνοντο οἱ βασιλεῖς τὴν αἰτίαν τοῦ θορύβου, πέμψαντες τῶν οἰκετῶν τινας, ἐκέλευον τούς τε ἵππους ἀνασώζειν καὶ τὴν ἀταξίαν τοῦ δήμου καταστέλλειν. οἱ δὲ ἐποίουν κατὰ τὰ κεκελευσμένα καὶ τούς τε ἵππους, οὐδενὸς ἀπολωλότος, ἀπέδοσαν τοῖς κυρίοις καὶ τὸν δῆμον ἀπήλαυνον πρὸς ὕβριν, οὐκ ὀλίγα καὶ πληγαῖς χρησάμενοι. μβ′. Πρὸς ἑσπέραν δὲ οἱ βασιλεῖς μετὰ τῶν περὶ αὐτοὺς ἁπάντων ᾔεσαν εἰς τὰ βασίλεια. μετὰ μίαν δὲ ἡμέραν τὸ ἀπόῤῥητον ὁ βασιλεὺς ἐξεκάλυπτε τῷ νέῳ βασιλεῖ, ὡς εἴη μὲν καὶ πρότερον βεβουλευμένος ἀναχωρεῖν ἐκ τῶν πραγμάτων καὶ ἑαυτῷ μόνῳ καὶ θεῷ προσαδολεσχεῖν, ὑποδὺς τὸ σχῆμα τῶν μοναχῶν· ἄλλοτε δὲ ἄλλων κωλυόντων καὶ οὐκ ἐώντων εἰς ἔργον ἄγειν τὰ βεβουλευμένα, κατατετριφέναι μέχρι νῦν τὸν χρόνον. νυνὶ δὲ καλῶς παρασχομένων τῶν πραγμάτων, καὶ αὐτοῦ παρόντος, ὃς ἔσται κληρονόμος τῆς ἀρχῆς, μάλιστα οἴεσθαι κατὰ καιρὸν εἶναι ἀποθέσθαι τὴν ἀρχήν. καὶ ταύτην μὲν αὐτῷ παραδιδόναι, αὐτὸν δὲ συνταξάμενον ἀναχωρεῖν. βασιλεὺς δὲ ὁ νέος ἐδυσχέραινε μὲν οὐ μετρίως εὐθὺς τοιαῦτα παρ’ ἐλπίδα πᾶσαν ἀκηκοὼς καὶ προσδοκίαν παρὰ βασιλέως, καὶ ἐπεχείρει πείθειν μένειν αὖθις ἐπὶ σχήματος, αἰτίας οὐκ ὀλίγας προβαλλόμενός τινας, αἳ μάλιστα ἐδόκουν πείθειν εἶναι δυναταί. [25]

3 307 ὡς δ’ ἀδυνάτως ἔχοντα ἐώρα μεταπείθεσθαι, ἄκων μὲν καὶ ἀνιώμενος πολλὰ, ὅμως συνεχώρει πράττειν, ὅ,τι ἂν δοκῇ. καὶ εἰς τὴν ὑστεραίαν ἐν αὐτοῖς βασιλείοις τὰ βασιλικὰ ἀποθέμενος παράσημα, σχῆμα ὑπέδυ μοναχῶν, Ἰωάσαφ ἀντὶ Ἰωάννου μετακληθείς. τῆς αὐτῆς δὲ ὥρας καὶ ἡ βασιλὶς Εἰρήνη, τὴν βασιλείαν καὶ αὐτὴ ἀπειπαμένη, τὸ μοναχῶν ὑπέδυ σχῆμα, Εὐγενία μετακληθεῖσα. μετὰ τοῦτο δὲ βασιλεὺς μὲν ὁ Καντακουζηνὸς εἰς τὴν Μαγκάνων ἀπεχώρει μονὴν, ὥσπερ παρεσκεύαστο καὶ πρότερον, Εὐγενία δὲ ἡ βασιλὶς εἰς τὴν τῆς Μάρθας προσαγορευομένην, ἐκ πατρῴου κλήρου διαφέρουσαν Καντακουζηνῷ τῷ βασιλεῖ. τῶν δὲ περὶ αὐτὸν μάλιστα οἱ εὔνως καὶ οἰκείως ἔχοντες, ἀθρόον ἰδόντες μεταβαλόντα καὶ τήν τε βασιλείαν ἀποθέμενον καὶ ἀποχωρήσαντα πρὸς τὸν ἀπράγμονα καὶ μεστὸν γαλήνης βίον, πᾶσαν εὐπραγίας ἐλπίδα περιαιρεθέντες καὶ οὐκ ἔχοντες, πρὸς ὅ,τι ἀμυνοῦνται τὸν νέον βασιλέα, ἐτράποντο πρὸς τὸ λοιδορεῖσθαι. καὶ ἄλλας τε φήμας διέδοσαν κατ’ αὐτοῦ, ἐπιορκίαν ἐγκαλοῦντες καὶ ἀστασίαν ἤθους καὶ πρὸς μεταβολὰς εὐχέρειαν πολλὴν, καὶ ὡς βασιλέα καταναγκάσειε τὸν κηδεστὴν ἄκοντα τὸ μοναχῶν ὑποδύναι σχῆμα. καὶ ταῖς τοιαύταις φήμαις οὐ τοὺς πολλοὺς καὶ ἀγοραίους μόνον, ἀλλὰ καὶ τῶν συνετωτέρων ἔπεισαν πολλοὺς προσέχειν. πάντα δὲ ἦσαν ψεύδη καὶ συκοφαντίαι καὶ οὐδὲν ὑγιές. [20]

3 308 Καντακουζηνός τε γὰρ ὁ βασιλεὺς ἑκὼν ἐξέστη τῆς ἀρχῆς, μάλιστα δυνάμενος, εἴπερ ἠβούλετο, κατέχειν, καὶ ὁ νέος βασιλεὺς οὐδὲν αὐτῷ προσέκρουσε μετὰ τοὺς ὅρκους, ἀλλὰ πᾶσαν ἐπεδείξατο σπουδὴν, τῶν εἰς αὐτὸν ἡκόντων μηδὲν παραλιπεῖν, ὥστε μηδ’ ὑπὸ τῶν ἔξωθεν ἀγνοεῖσθαι μηδενὸς, ὡς οὐδὲν τῶν πρὸς ἀνίαν βασιλεῖ τῷ κηδεστῇ οὔτε βουλεύεται, οὔτε πράττει. βασιλεὺς μὲν οὖν ὁ Καντακουζηνὸς, ὥσπερ ἡμῖν ἱστόρηται, οὕτω εἰς τὸ βασιλεύειν ἄκων ἐμπεσὼν καὶ πολεμηθεὶς ὑπὸ τῶν ὁμοφύλων κραταιῶς, πολλοῖς τε κινδύνοις καὶ συμφοραῖς ποικίλαις προσομιλήσας καὶ αὐτὸς, οὐδὲν ἧττον πάσῃ μηχανῇ χρησάμενος καὶ πρὸς πάντα μετὰ τοῦ προσήκοντος αὐτῷ φρονήματος ἀντικαταστὰς, καὶ τελευταῖον πάντων περιγενόμενος τῶν ἀντικαταστάντων, ἐπεὶ διὰ τὴν μοχθηρίαν τῶν συνόντων τοῖς ὁμοίοις αὖθις περιπεπτώκει καὶ πρὸς τὸν πρὸς τοὺς ὁμοφύλους πόλεμον ἠναγκάσθη ἐκπεσεῖν, καιροῦ παρασχόντος, τὴν ἀρχὴν ἀπείπατο, ὥσπερ ἀπαγορεύσας τὸ μὴ ἄν ποτε δυνήσεσθαι Ῥωμαίους ὀρθὰ φρονήσειν καὶ λυσιτελοῦντα ἑαυτοῖς. χρόνον δέ τινα τῇ τῶν Μαγκάνων μονῇ ἐνδιατρίψας, ἔπειτα ἐσκέψατο εἰς Ἄθω τὸ ἱερὸν ὄρος ἐν τῇ Βατοπεδίου μονῇ γενέσθαι καὶ τὸν ἐπίλοιπον βίον διανύειν· ἐκώλυσε δὲ βασιλεὺς ὁ νέος, δεηθεὶς ἔτι μικρὸν προσδιατρίψαι Βυζαντίῳ, ἄχρις ἂν αὐτῷ Ματθαῖον διαλλάξῃ βασιλέα τὸν υἱόν. [20]

3 309 τοῦ χειμῶνος γὰρ ἐκείνου μετὰ τὴν Καντακουζηνοῦ τοῦ βασιλέως ἀναχώρησιν ἐκ τῆς ἀρχῆς οὐδὲν οἱ νέοι βασιλεῖς πρὸς ἀλλήλους ἐπεδείξαντο πολέμου ἔργον, ἀλλ᾽ ἐν ἰδίοις ὅροις ἕκαστος διετέλουν τῆς ἀρχῆς, ὥσπερ ὑπὸ τοῦ πατρὸς μεμέριστο τὸ πρότερον. οὐ μὴν οὐδ᾽ οὕτως εἶχον, ὥστε ἀλλήλοις εὐνοεῖν, ἀλλ᾽ ἐν ὑποψίαις ἦσαν ἐκ τῶν κατὰ τὴν Ἀδριανούπολιν πρότερον εἰργασμένων, ὡς, εἰ μή τις διαλλάξειεν αὐτοὺς, πολεμησείοντες. οὗ δὴ ἕκενα καὶ βασιλεὺς ὁ νέος Ἰωάννης διενοεῖτο συμβάσεις θέσθαι πρὸς αὐτὸν περὶ εἰρήνης, καὶ βασιλέως ἐδεήθη τοῦ κηδεστοῦ, μὴ πρὶν ἀπαίρειν πρὸς τὸν Ἄθω, πρὶν αὐτοὺς καταλλαγῆναι· ἐπείθετό τε καὶ αὐτὸς δικαίαν εἶναι τὴν ἀξίωσιν νομίσας καὶ προσήκουσαν αὐτῷ. τοῦ δὲ αὐτοῦ χειμῶνος καὶ πατριάρχης ὁ Κάλλιστος ἐκ Τενέδου ἀφιγμένος, τῆς ἐκκλησιαστικῆς αὖθις ἐπελάβετο ἀρχῆς, οὐδενὸς τολμῶντος ἀντειπεῖν. οὐ μὴν οὐδὲ αὐτὸς ἐδεήθη τῆς τῶν ἀρχιερέων ψήφου, εἰ δέον αὐτὸν εἰσάγεσθαι ἐκβεβλημένον, ἀλλ᾽ ἠδικῆσθαι τὰ ἔσχατα οἰόμενος οὐ παρὰ βασιλέως μόνον, ἀλλὰ καὶ τῶν ἐπισκόπων, ἐπεκύρωσεν αὐτὸς αὐτῷ τὴν ψῆφον, καὶ τοὺς ἠδικηκότας ἐπεχείρει μᾶλλον τῆς ἀγνωμοσύνης δίκας ἀπαιτεῖν. ἐκώλυσε δὲ βασιλεὺς ὁ νέος, τῶν κατάστασιν καὶ φιλονεικίαν γινομένων πάντων προσήκειν φάμενος ὑπερφρονεῖν. λήγοντος δὲ ἤδη τοῦ χειμῶνος, ὑπὸ τῶν συνόντων πρὸς Ματθαῖον ἐξεπολεμώθη τὸν βασιλέα, τὰ μὲν ἐκείνου κατηγορούντων, ὡς ἀδίκως ἔχοντος τὴν βασιλείαν καὶ μέρος οὐκ ἔλαττον τῆς ἀρχῆς παρῃρημένου, τὰ δ᾽ αὐτὸν ἐπὶ τὸν πρὸς ἐκεῖνον ἐξορμῶντες πόλεμον, ὡς ῥᾷστα καταλύειν αὐτὸν ἐξὸν καὶ μὴ ἐᾷν αὐξάνεσθαι ἀνταγωνιστὴν ἐσόμενον ἀεὶ περὶ τῶν ὅλων. [20]

3 310 οἷς πειθόμενος, τριήρεις ἐφοπλίσας, ἐστράτευσεν ἐπ᾽ ἐκεῖνον ἅμα ἦρι, πρὸς τῇ Γρατιανοῦ πανοικεσίᾳ διατρίβοντα, ἔχοντα δὲ καὶ τὰς ἄλλας τῆς Χαλκιδικῆς ἁπάσας πόλεις· πρὸς ἐκείναις δὲ καὶ τὴν Ἀδριανοῦ καὶ τὰς περὶ αὐτὴν πολίχνας, αἷς ἐπέστησεν ἄρχοντα σεβαστοκράτορα τὸν Καντακουζηνὸν, θεῖον ὄντα πρὸς πατρός. δεσπότης δὲ Νικηφόρος ὁ γαμβρὸς τὴν Αἶνον εἶχε, βασιλέως τοῦ κηδεστοῦ παρεσχημένου. ἐδόκει τε Ματθαίῳ βασιλεῖ τῷ γυναικὸς ἀδελφῷ προσκεῖσθαι καὶ ἐπηγγέλλετο προθύμως ὑπὲρ αὐτοῦ μαχεῖσθαι παντὶ τῷ ἐπιόντι. τότε δὲ βασιλέως Ἰωάννου τοῦ νέου ταῖς ναυσὶ κατάραντος ἐκεῖ, αὐτός τε προσεχώρησεν ἀθρόον, τοῦ Ματθαίου βασιλέως ἀποστὰς, καὶ τὴν πόλιν παρεδίδου. ἐκεῖθεν δὲ βασιλεὺς ὁ νέος πέμψας, καὶ Βῆραν προσηγάγετο φρούριόν τι καρτερώτατον παρὰ τὸν Ἕβρον κατῳκισμένον, ὃ πρότερον μὲν φροντιστήριον ἀνδρῶν μοναζόντων ἦν, τότε δὲ ὑπὸ τῶν συνεχῶν πολέμων καὶ τῶν ἐφόδων τῶν βαρβαρικῶν ἀγροτῶν τινων κατῳκισμένων πόλισμα ἤδη ἦν, ὃ προσηγάγετο ὁ νέος βασιλεὺς, παραδόντων τῶν φρουρῶν. ἐκ τῆς Αἴνου δὲ καὶ Νικηφόρον τὸν δεσπότην ἔχων συστρατευόμενον ἐκ τῆς ἠπείρου, προσέσχε Περιθεωρίῳ, καὶ πέμψας κρύφα, περὶ παραδόσεως διελέγετο τῷ ἄρχοντι τῆς πόλεως, καὶ ἔπεισεν ἐπαγγειλάμενος μεγάλα. [20]

3 311 Ματθαῖος δὲ ὁ βασιλεὺς δείσας, μή τι κακουργηθῇ περὶ τὴν πόλιν, (ᾔδει γὰρ ἀνάλωτον τειχομαχίᾳ ἐσομένην,) στρατιώτας ἔπεμψε φρουρεῖν, ὅσους ᾤετο ἀρκέσειν, οὓς ὁ τῆς πόλεως ἄρχων συλλαβὼν, ὅπλα μὲν αὐτὸς καὶ ἵππους εἶχε, βασιλεῖ δὲ τῷ νέῳ τήν τε πόλιν παρεδίδου καὶ τοὺς στρατιώτας. ἐπεὶ δὲ εἴχετο ἡ πόλις, ἄλλων ἄλλοθεν ἱππέων συνειλεγμένων, ἐπεστράτευσε Κουμουτζηνοῖς, ἠπειρώτιδι πολίχνῃ· καὶ ὑπεδέξαντο προθύμως οἱ τὴν πόλιν κατοικοῦντες, ἀπολυπραγμόνως προσχωρήσαντες. ἐκεῖθεν δὲ, ἐπεὶ οὐ πάνυ πόῤῥω ἡ Γρατιανοῦ κατῴκιστο, ᾗ Ματθαῖος διέτριβεν ὁ βασιλεὺς, πρεσβείαν πρὸς ἐκεῖνον πέμψας, ἐπὶ συμβάσεις προὐκαλεῖτο. ἐδόκει δὴ κἀκείνῳ αἱρετέα μᾶλλον εἶναι ἡ εἰρήνη, καὶ γενομένῳ ἐν Γρατιανοῦ μεθ᾽ ἧς εἶχε στρατιᾶς συνεγένετο τῷ νέῳ βασιλεῖ, τῆς πόλεως ἐξελθών· ἀλλήλοις τε διαλεχθέντες περὶ τῶν κατὰ τὸν πόλεμον, ἐπεὶ ἐδόκει ἀμφοτέροις καταλύειν, συνέβησαν ἐπὶ τούτοις, ὥστε ἀμφοτέρους βασιλέας εἶναι κοινῇ, ὑπὸ Ῥωμαίων ἑκατέρου ἠρημένου καὶ στεφθέντος ὑπὸ τῆς κατὰ Βυζάντιον ἐκκλησίας. τῶν ὑπολελειμμένων δὲ Ῥωμαίοις πόλεων καὶ τῆς χώρας οὔσης ἐλάττονος, ἢ ὥστε ἀμφοτέρους βασιλέας ἔχειν, τῶν μὲν κατὰ τὴν Θρᾴκην

πόλεων, ὧν ἔχει, Ματθαῖον ἀφίστασθαι τὸν βασιλέα, χωρεῖν δὲ ἐπὶ τὴν Πελοπόννησον καὶ τῶν ὑπηκόων Ῥωμαίοις ἐκεῖσε πόλεων βασιλεύειν, Μανουὴλ δεσπότην τὸν ἀδελφὸν πείσαντος πρότερον τοῦ νέου βασιλέως Ἰωάννου τῆς ἀρχῆς ἐξίστασθαι τῷ ἀδελφῷ, παρέχειν δὲ ἀντ' ἐκείνης τῷ δεσπότῃ Λῆμνον τὴν νῆσον, ὥστε ἀνυπεύθυνον ἔχειν παρὰ πάντα τὸν βίον τὴν ἀρχὴν αὐτῆς. [20]

3 312 καὶ ἐκ τῶν ἐν Βυζαντίῳ δημοσίων φόρων τὴν τοπικὴν ὠνομασμένην, μυρίων χρυσῶν ὀλίγῳ πλείους ἐτησίως φέρουσαν, τὸν χρόνον δὲ ἄχρις οὗ δεσπότης ἀποστῇ Πελοποννήσου, τὴν Λῆμνον ἔχειν τὸν Ματθαῖον βασιλέα, βασιλέως Ἰωάννου παραδόντος, καὶ περαιωθέντα, διατρίβειν ἐν τῇ νήσῳ, κατέχειν μέντοι φρουραῖς καὶ τὰς κατὰ τὴν Θρᾴκην πόλεις. ἐπειδὰν δὲ εἰς Λῆμνον ἐκ Πελοποννήσου ὁ δεσπότης γένηται, τὰς μὲν κατὰ τὴν Θρᾴκην πόλεις βασιλεῖ τῷ νέῳ Ἰωάννῃ παραδιδόναι καὶ δεσπότῃ τἀδελφῷ τὴν νῆσον, αὐτὸν δὲ εἰς Πελοπόννησον ἀπαίρειν. τοιαύτας μὲν συνθήκας πρὸς ἀλλήλους ἐποιήσαντο, καὶ ἔδοξεν ὁ πόλεμος καταλελύσθαι. συνταξάμενοι δὲ ἀλλήλοις, ὁ μὲν ἀνέστρεφεν εἰς τὴν Γρατιανοῦ, Ἰωάννης δὲ ὁ βασιλεὺς εἰς Περιθεώριον ἐλθών, ἐπεὶ Ματθαῖος ὁ βασιλεὺς ἔπεμπε τοὺς παραληψομένους καὶ φρουρήσοντας τὴν Λῆμνον, συνεξέπεμπε καὶ αὐτὸς τοὺς παραδώσοντας, περιέμενέ τε πρὸς τῇ πόλει, ἄχρις οὗ, τῶν εἰς τὴν Λῆμνον ἀφιγμένων ἐπανηκόντων καὶ βασιλεὺς ὁ, Ματθαῖος εἰς τὴν νῆσον ταῖς τριήρεσι περαιωθῇ. ἐν τούτοις δὲ τοῦ χρόνου τριβομένου, ἐκ τῶν Παλαιολόγῳ βασιλεῖ συνόντων κρύφα πέμψαντές τινες πρὸς τὸν Ματθαῖον βασιλέα. μὴ πάνυ θαῤῥεῖν παρῄνουν τοῖς συντεθειμένοις, ἀλλὰ πρόνοιαν αὐτοῦ πολλὴν ποιεῖσθαι καὶ μὴ ἀπερισκέπτως ἑαυτὸν ἐπὶ τοῖς πολεμίοις καθιστᾷν. [25]

3 313 τοὺς γὰρ ὑπὸ βασιλέως ῥηρημένους πρὸς τὴν αὐτοῦ περαίωσιν ναυάρχους αἰνίττεσθαί τινα ἐπιβουλὴν πρὸς οὓς μάλιστα θαῤῥοῦσι τὰ τοιαῦτα. λέγουσι γὰρ, ὡς ἀνθρωπίνων τοὺς ἰχθῦς ἐμπλήσουσι σαρκῶν. ἃ μάλιστα αὐτὸν προσῆκον ἐρευνᾷν, μὴ εἰς ἀνηκέστους ἐκπέσῃ συμφορὰς ἀπατηθείς. ἐν τούτῳ δὲ καὶ οἱ ἐκ τῆς Λήμνου κεναῖς, ὅ φασι, χερσὶν ἐπανῆκον πρὸς αὐτόν. οἱ γὰρ ὑπὸ βασιλέως τοῦ Παλαιολόγου τὰς πόλεις πεμφθέντες παραδιδόναι πρότερον τὰς οὔσας ἐξελαύνοντες φρουρὰς, οὐδὲν ἐποίουν τῶν κεκελευσμένων, ἀλλὰ πρὸς τοῖς οὖσι πρότερον καὶ αὐτοὺς ἐκέλευον ὀλίγους τινὰς εἰσάγειν, ὥστε μηδὲν ἧττον ἢ πρότερον κατέχεσθαι τὰς πόλεις ὑπ' ἐκείνων πολλαπλασιόνων ὄντων, ἢ ὧν ἐκέλευον αὐτοὺς εἰσάγειν. ἃ τοῖς ἐκ Ματθαίου βασιλέως οὐκ ἐδόκει ἀνεκτὰ, ἀλλὰ παντάπασι τὰς ἐγκαθιδρυμένας ἐκέλευον φρουρὰς ἐκβάλλειν. ὡς δ' οὐχ ὑπήκουον ἐκεῖνοι, ἀνεχώρουν ἄπρακτοι. ἐκ δὲ τῶν κατὰ τὴν νῆσον εἰργασμένων, καὶ ὧν ἐμήνυον οἱ φίλοι, φενακίζεσθαι πεισθεὶς, ἐπεὶ καὶ Περσικὴ κατὰ συμμαχίαν ἦκε πρὸς ἐκεῖνον στρατιὰ, καὶ ἡ ἐκ τῆς Ἀδριανοῦ καὶ τῶν περὶ ἐκείνην πολιχνίων ἐπῆλθε Κουμουτζηνοῖς, καὶ ἄχρι Περιθεωρίου ἦλθεν, ἡγούμενος μὴ παραβεβηκέναι τὰς σπονδὰς αὐτὸς, ἀλλὰ μᾶλλον ἠδικῆσθαι, οὔτε τῆς νήσου ἀποδεδομένης κατὰ τὰς συνθήκας, καὶ μεγάλης ἐπιβουλῆς, ὥστε ἀποκτείνειν, συσκευαζομένης. βασιλεύς τε ὁ Παλαιολόγος ὁμοίως διετείνετο ἠδικῆσθαι, καὶ παρεσπονδῆσθαι, τοῦ πολέμου κεκινημένου πρὸς αὐτὸν οὐδεμίαν πρόφασιν παρεσχημένον. [20]

3 314 οὐ γὰρ αὐτῷ λογίζεσθαι προσῆκον, εἴτι τινὲς ἠγνωμονήκασιν, αὐτοῦ μὴ συνειδότος, ἀλλ' ἐχρῆν ἐμμένοντας ταῖς συνθήκαις, ἐπανορθοῦσθαι τὰ ἡμαρτημένα. ὅμως αὖθις ὁ πόλεμος ἀνήπτετο σφοδρός. καὶ Κουμουτζηνὰ ταῖς συχναῖς ἐφόδοις πιεσθέντα, προσεχώρουν αὖθις Ματθαίῳ τῷ βασιλεῖ. Παλαιολόγος δὲ ὁ βασιλεὺς, ἐπεὶ τὴν διατριβὴν ἑώρα πρὸς οὐδὲν λυσιτελοῦσαν, Ἀσάνην δεσπότην τὸν Ἰωάννην Περιθεωρίου καταστήσας ἄρχοντα, αὐτὸς εἰς Βυζάντιον ἀπῆρεν. μγ'. Ὑπὸ δὲ τοῦτον τὸν χρόνον καὶ Κράλης ὁ τῶν Τριβαλῶν δυνάστης ἐτελεύτησε, καὶ στάσις οὐ μικρὰ ἀνεῤῥιπίσθη Τριβαλοῖς. Σίμων τε γὰρ ὁ Κράλη ἀδελφὸς, Ἀκαρνανίας τότε ἄρχων, τῆς ὅλης Τριβαλῶν ἀρχῆς ἀντεποιήθη, ὡς αὐτῷ διαφερούσης μᾶλλον, καὶ πολλοὺς τῶν

παρὰ Τριβαλοῖς ἐπιφανῶν συναιρομένους εἶχε πρὸς τὸ ἔργον· καὶ Οὔρεσις ὁ Κράλη παῖς τῆς πατρῴας ἕνεκα ἀρχῆς ἐπολέμει πρὸς τὸν θεῖον. Ἑλένη τε ἡ τούτου μήτηρ ὁμοίως ἀπιστοῦσα τῷ τε υἱῷ καὶ Σίμωνι τῷ τοῦ ἀνδρὸς ἀδελφῷ πόλεις πολλὰς ὑποποιησαμένη καὶ δύναμιν ἑαυτῇ οὐκ εὐκαταφρόνητον περιστήσασα, καθ' ἑαυτὴν εἶχε τὴν ἀρχὴν μηδετέρῳ πολεμοῦσα, μήτε μὴν συναιρομένη πρὸς τὸν πόλεμον. οἵ τε δυνατώτατοι τῶν παρ' αὐτοῖς ἐπιφανῶν τοὺς ὑποδεεστέρους ἀπελάσαντες ἐκ τῶν ἀρχῶν, καὶ τὰς ὁμόρους ἕκαστος πόλεις ὑφ' ἑαυτῷ πεποιημένος, οἱ μὲν τῷ Κράλῃ συνεμάχουν, οὐκ αὐτοὶ παρόντες, οὐδ' ὡς δεσπότῃ πειθαρχοῦντες, ἀλλὰ πέμποντες ἐπιμαχίαν, οἷα δὴ σύμμαχοι καὶ φίλοι, οἱ δὲ Σίμωνι τῷ θείῳ· ἔνιοι δὲ αὐτῶν προσεῖχον οὐδετέρῳ, ἀλλὰ τὴν οὖσαν δύναμιν συνέχοντες, τὸ μέλλον ἀπεσκόπουν, ὡς ἐκείνῳ προσθησόμενοι, ὃς ἂν τὸ πλέον ἔχῃ· καὶ εἰς μυρία τμήματα διαιρεθέντες ἐστασίαζον. [5]

3 315 Ῥωμαῖοι δὲ πολλὰ καὶ μεγάλα ὑπὸ Τριβαλῶν ἐπὶ τοσοῦτον ἠδικημένοι χρόνον, καιροῦ τυχόντες, τά, τε ἡρπασμένα ἀνασώσασθαι καὶ δίκας τοὺς βαρβάρους ἀπαιτῆσαι τῶν τετολμημένων, διὰ τὸν κατέχοντα συγγενικὸν πόλεμον καὶ τοὺς στασιασμοὺς εἰς οὐδὲν χρήσιμον ἀνάλωσαν τὸν καιρόν. Νικηφόρος δὲ δεσπότης ὁ δοὺξ τὴν κατέχουσαν τὰ Τριβαλῶν πράγματα στάσιν ὁρῶν καὶ ῥᾷστα τὴν πατρῴαν ἐλπίσας ἀνασώσασθαι ἀρχὴν, ἄλλως θ' ὅτι καὶ Πρεάλιμπος, ὃς Θετταλίας εἶχε τὴν ἀρχὴν, ἐτεθνήκει καὶ αὐτὸς, τριήρεις ἐφοπλίσας ἐκ τῆς Αἴνου ἐπέπλευσε τῇ Θετταλίᾳ, τὴν γυναῖκα πρὸς τῇ Αἴνῳ καταλιπών. καὶ ἀποβὰς, ἐν ὀλίγῳ χρόνῳ εἶχε Θετταλίαν, τῶν ἀμυνομένων μὲν οὐδένων ὄντων, Θετταλῶν δὲ προθύμως προσχωρούντων, καὶ ὥσπερ ἐκ κλύδωνος μεγάλου τῆς Τριβαλῶν ἀρχῆς ἐπὶ τὴν Ῥωμαίων καταφεύγοντες ἥμερον καὶ γαλήνης μεστὴν ἡγεμονίαν. ὁ μὲν οὖν περὶ τὰς πόλεις ἠσχολεῖτο, Λιμπιδάριος δέ τις τῶν ἐκείνου οἰκετῶν, ὃς ἦρχε τῶν νεῶν ὑπ' ἐκείνου καταλειφθεὶς, ἀδικώτατα περὶ τὸν δεσπότην διανοηθεὶς, ἔπεισε τὸ ναυτικὸν ἐκείνου ἀποστάντας, πρὸς τὴν Αἶνον ἐπανελθεῖν, ὡς δύο τὰ μέγιστα ἐκ τῆς ἀποστασίας κερδανοῦντας, τῆς τε ὑπερορίου στρατείας ἀπαλλαξομένους, εἰκῇ καὶ μάτην κοπτομένους καὶ ταλαιπωροῦντας ἐπὶ ξένης, ἵν' ἕτεροι ἐκ τῶν ἐκείνων πόνων μέγιστα καρπῶνται, καὶ τῆς ὑπὸ δεσπότην οἴκοι ἐπαχθοῦς δουλείας, ἐκείνου δυοῖν θάτερον, ἢ εἰ περιγένοιτο τῶν πολεμίων, νεῶν οὐκ εὐπορήσοντος, αἷς χρησάμενος ἐπανήξει πρὸς αὐτοὺς, ἢ διαφθαρησομένου ὑπ' ἐκείνων, ἂν ὑπέρσχωσιν. [5]

3 316 ἐπεὶ δὲ ἐπείθοντο καὶ ἅπαντες ἐκεῖθεν ἐπανῆκον εἰς τὴν Αἶνον, πρῶτα μὲν δι' ἑαυτοῦ τὴν πόλιν ἐποιεῖτο καὶ πάντα ἦν αὐτὸς, καὶ στρατηγὸς καὶ ἡγεμὼν καὶ συμπάντων πραγμάτων κύριος· τὸν δῆμόν τε ἐπαγαγὼν τοῖς δεσπότῃ προσκειμένοις, τοὺς μὲν κατέκλεισεν ἐν δεσμωτηρίοις, ἐνίους δὲ ἐξήλασε τῆς πόλεως, ὧν εἶχον ἀποστερήσας· ἔστι δὲ οὓς καὶ ἀπέκτεινε τῷ δήμῳ παραδούς. ἔπειτα ἐπεστράτευσε βασιλίσσῃ τῇ δεσπότου γαμετῇ τὴν ἀκρόπολιν μετὰ τῶν οἰκετῶν ἐχούσῃ. καὶ τειχομαχήσας ἐφ' ἱκανὸν, ἑλεῖν μὲν οὐκ ἠδυνήθη διὰ καρτερότητα τῶν τειχῶν καὶ εὐψυχίαν τῶν ἀμυνομένων, ἠνάγκασε δὲ βασίλισσαν τὴν ἀκρόπολιν ἐκοῦσαν ἐκλιπεῖν, ὅρκους παρασχόμενος, ὡς οὐδὲν αὐτὴν, οὔτε τοὺς συνόντας ἀδικήσει, ἀλλ' ἀφίξεται ὅποι ἂν δοκῇ, μηδενὸς παρενοχλοῦντος· ὃ καὶ ἐπράττετο μετὰ μικρόν. νεὼς γὰρ ἐπιβᾶσα, εἰς Βυζάντιον ἀφῖκτο, καὶ ὑπεδέχθη φιλοτίμως παρὰ βασιλέως τοῦ γαμβροῦ. [20]

3 317 ἔπειτα εἰς Θετταλίαν ἀπῆρε πρὸς τὸν ἄνδρα, ἤδη πάσης κύριον γεγενημένον καὶ τῶν κατὰ τὴν Ἀκαρνανίαν πόλεων. ἡδέως δὲ ἐκεῖνος ὑπεδέχετο τὴν γυναῖκα. καὶ χρόνον τινὰ ἠρέμουν οἰκείως ἔχοντες ἀλλήλοις καὶ συμφυῶς, ὥσπερ προσῆκεν. ἔπειτα τῶν συνόντων τινῶν, ὑπὸ μοχθηρίας καὶ ἀσυνεσίας ἐκείνων τε φαῦλα καὶ παράνομα ἐννοούντων καὶ τὸν δεσπότην ἐναγόντων, ἔπεισαν τὴν μὲν γυναῖκα Τριβαλοῖς προέσθαι, αὐτὸν δὲ τὴν Ἑλένης ἀδελφὴν τῆς Κράλη γυναικὸς πρὸς γάμον ἀγαγέσθαι, ὡς τῆς τε Θετταλίας καὶ Ἀκαρνανίας οὕτως ἄρξοντα βεβαίως, τῶν Τριβαλῶν οὐ πολεμούντων διὰ τὴν ἐπιγαμίαν, καὶ Ἀλβανοὺς διαφθεροῦντα

ἐναντιουμένους πρὸς τὴν ἀρχὴν καὶ παραβλάπτοντας οὐ μέτρια. αὐτίκα τε ἀηδῶς πρὸς τὴν γυναῖκα εἶχε καὶ οὐδὲ ἠνείχετο ἰδεῖν. ὕστερον δὲ ὀλίγῳ καὶ πρὸς Ἄρταν τῆς Ἀκαρνανίας πόλιν πέμψας, ἐκέλευε φρουρεῖσθαι. πρὸς Κράλαιναν δὲ πρεσβείαν πέμψας, τὰ κατὰ τὸν γάμον ἔπραττε τῆς ἀδελφῆς. μέχρι μὲν οὖν ἐν λόγοις ἦν ἡ ἐπιχείρησις καὶ πρεσβείαις, καὶ βασίλισσα ἡ θυγάτηρ βασιλέως ἐνεκαρτέρει, τὸν ἄνδρα οἰομένη τῆς ἀτοπίας ἀποσχήσεσθαί ποτε καὶ μέτρια καὶ δίκαια φρονήσειν. ἐπεὶ δὲ ἤδη τέλος εἶχε πάντα, καὶ οἱ ὅρκοι ἐτελοῦντο, οἷς ἐνεγέγραπτο, τὴν μὲν γυναῖκα Τριβαλοῖς αὐτὸν προέσθαι, τῇ δὲ ἀδελφῇ Κραλαίνης συνοικεῖν, δεῖν ἔγνω σώζειν ἑαυτὴν καὶ μὴ δι' ἑτέρων παραπληξίαν αὐτὴν παραπολέσθαι. καὶ πέμψασα εἰς Πελοπόννησον πρὸς δεσπότην Μανουὴλ τὸν ἀδελφὸν, πρόνοιάν τινα αὐτῆς ποιήσασθαι ἐδεῖτο. [20]

3 318 καὶ ὃς οὐδὲν μελλήσας ἐκ θαλάσσης πέμψας, προσελάμβανε τὴν ἀδελφὴν, πάντων Ἀκαρνάνων καὶ Ἀλβανῶν μετ' εὐφημίας προπεμπόντων καὶ ἀμιλλωμένων πρὸς ἀλλήλους τῆς εἰς ἐκείνην ἕνεκα εὐνοίας καὶ τιμῆς, οὐ μόνον διὰ τὴν αὐτῆς ἐπιείκειαν καὶ μεγαλοφροσύνην καὶ τὸ πᾶσι κεκοσμῆσθαι ἀγαθοῖς, ἀλλὰ καὶ διὰ τὴν εἰς τὸν βασιλέα τὸν πατέρα εὔνοιαν. κατάκρας γὰρ αὐτοῦ τὸ τῶν ἑσπερίων ἅπαν ἥττητο καὶ ἀκριβῶς ἐξήρτητο αὐτοῦ καὶ μετὰ τὴν τῶν πραγμάτων ἀναχώρησιν. δεσπότου δὲ τοῦ Νικηφόρου, καίτοι γε αὐτὸν εἰδότες οὐ πρᾴως οἴσοντα τὴν προπομπὴν καὶ εὐφημίαν τῆς γυναικὸς, οὐ μόνον οὐδένα λόγον ἐποιοῦντο, ἀλλὰ καὶ φανερῶς ἐλοιδοροῦντο, ὡς παντάπασι τῶν σωφρόνων λογισμῶν ἐξεστηκότα, καὶ, ὅ φασι, χάλκεα χρυσείων ἀλλαττόμενον. ὅθεν καὶ ὀλίγῳ ὕστερον ἐκ ταύτης τῆς αἰτίας ἀπέστησαν δεσπότου φανερῶς οἱ Ἀλβανοὶ, φάσκοντες προθύμως πολεμήσειν, ὥσπερ ὑπὲρ σφῶν αὐτῶν, εἰ μὴ τὴν πρὸς Τριβαλοὺς ἐπιγαμίαν διαλύσας, ἐκ Πελοποννήσου ἀνακαλέσηται τὴν βασιλέως θυγατέρα καὶ ταύτῃ συνοικοίη. ὁ δὲ εἴτε καὶ αὐτὸς τὴν ἀτοπίαν συνιδὼν, εἴτε καὶ τὴν προσδοκωμένην στάσιν δείσας, ἢ διὰ τὴν γυναῖκα ὑπωπτεύετο φυήσεσθαι, τοὺς μὲν ἀθέσμους ἐκείνους γάμους πέμψας ἀπηγόρευε, πρὸς δὲ τὴν γυναῖκα ἔπεμψεν εἰς Πελοπόννησον πρεσβείαν, κελεύων ἥκειν παρ' αὐτὸν, καὶ πίστεις παρεχόμενος δι' ὅρκων, ὡς οὐδὲν ἀγνωμονήσει ἔτι πρὸς αὐτὴν, ἀλλὰ τὸν ἀρχαῖον τρόπον μετὰ πάσης εὐγνωμοσύνης καὶ ἐπιεικείας συνοικήσει. [20]

3 319 ἡ δὲ φίλανδρος οὖσα καὶ περὶ πλείστου ποιουμένη τὸ μὴ τὸν γάμον αὐτῇ διαλυθῆναι, πάντων ὑπεριδοῦσα τῶν γεγενημένων, παρεσκευάζετο ὡς ὕστερον μικρῷ ἀφιξομένη πρὸς τὸν ἄνδρα· ὁ δὲ ὑπὸ φιλοτιμίας, ἵνα μὴ δοκοίη τὴν ἀρχὴν δι' ἐκείνης καθίστασθαι αὐτῷ, ὥρμησεν ἐπὶ τὸ τοὺς ἀποστάντας Ἀλβανοὺς πρὶν ἐκείνην ἥκειν καταδουλώσασθαι πολέμῳ. συμβὰν δὲ οὕτω, καὶ Πέρσαι κατὰ τὴν Θετταλίαν μονήρεσι λῃστρικαῖς περαιωθέντες, συνεμάχουν ὑπ' αὐτοῦ προσκεκλημένοι. οἷς μάλιστα θαῤῥῶν ἐπῆλθεν Ἀλβανοῖς, καὶ γενομένης συμβολῆς περί τι χωρίον Ἀχελῷον προσαγορευόμενον, αὐτός τε ἔπιπτε μαχόμενος πρὶν τὰς φάλαγγας συμμίξαι, καὶ ἡ ἐκείνου πᾶσα διέφθαρτο ἡττηθεῖσα στρατιά. βασίλισσα δὲ ἡ ἐκείνου γαμετὴ ἔτι ἐν Πελοποννήσῳ διατρίβουσα, ἐπεὶ πύθοιτο τὴν ἐκείνου τελευτὴν, ἐπένθησε μὲν ἐκεῖ ἐφ' ἱκανὸν, καὶ ἀπωδύρατο τοῦ ἀνδρὸς τὴν τελευτὴν, ἔπειτα εἰς Βυζάντιον ἐλθοῦσα, συνῆν τὸν ἐπίλοιπον βίον βασιλίδι τῇ μητρὶ κατὰ τὴν Μάρθας μονὴν διατριβούσῃ. ταῦτα μὲν οὖν ὕστερον. μδ'. Τότε δὲ ἐπεὶ αἱ μεταξὺ τῶν βασιλέων γεγενημέναι συνθῆκαι διελύοντο καὶ ὁ πόλεμος ἀνεῤῥιπίσθη, Ματθαῖος ὁ βασιλεὺς τὴν ὑπ' αὐτὸν οὖσαν στρατιὰν συναγαγὼν, ἦκεν εἰς Βιζύην παρὰ τὸν θεῖον Ἀσάνην δεσπότην τὸν Μανουήλ· καὶ παραλαβὼν καὶ αὐτὸν μεθ' ὅσης εἶχε στρατιᾶς, ἐπεστράτευσε τῷ νέῳ βασιλεῖ ἐν Βυζαντίῳ καὶ ἐστρατοπέδευσε κατὰ τὸν Μέλανα ποταμὸν ἐπί τινα τετειχισμένην κώμην Μέτρας προσαγορευομένην. [5]

3 320 Παλαιολόγος τε ὁ βασιλεὺς ὁμοίως τριήρεις ἐφοπλίσας καὶ ἐκ τῆς ἠπείρου στρατιὰν πεζὴν καὶ ἱππικὴν, τοῖς μὲν ἠπειρώταις ἡγεμόνας ἐπιστήσας, ἐπὶ Ἀθύραν κώμην, καὶ αὐτὴν

τετειχισμένην ὥσπερ ἰσθμόν τινα οὖσαν καὶ πάντοθεν περικλυζομένην τῇ θαλάσσῃ, ἐκέλευε χωρεῖν, αὐτὸς δὲ ἔχων τὰς τριήρεις, ἦκε καὶ αὐτὸς ἐπὶ Ἀθύραν. καὶ ἀντεστρατοπεδεύοντο ἀλλήλοις ἐπί τινας ἡμέρας, ἑκατέρων ἀδυνάτων ὄντων ἐπὶ τὸ στρατόπεδον χωρεῖν τῶν πολεμίων καὶ καταναγκάζειν μάχεσθαι. Παλαιολόγῳ τε γὰρ οὐκ ἐδόκει βασιλεῖ τοῖς πολεμίοις ἐπιέναι ἐφ' ὕπτια πεδία καὶ ὕλης παντάπασι ψιλὰ ἱππέας ἄγουσι, πεζὴν αὐτὸς τὴν πλείστην δύναμιν ἄγων καὶ ὁπλίτας, καὶ οἱ πολέμιοι ἐπὶ δυσχωρίας καὶ ἐρείπια πολλὰ τῆς πρώην συνοικίας ἄγειν οὐκ ἐδοκίμαζον τὴν στρατιὰν εὐρυχωρίας δεομένην μάλιστα. δι' ἃ ἑκάτερος τὴν δύναμιν συνέχοντες, ἡσύχαζον ἐπὶ τῶν στρατοπέδων. πρεσβείας δὲ πρὸς ἀλλήλους πέμποντες, διελέγοντο περὶ εἰρήνης. ὡς δὲ οὐ συνέβαινον ἀλλήλοις, ὁ μὲν εἰς Βιζύην ἀνέστρεφε μετὰ τῆς στρατιᾶς, Παλαιολόγος δὲ ὁ βασιλεὺς εἰς τὸ Βυζάντιον· καὶ ἐσκέπτοντο, ὅτῳ τρόπῳ κακώσουσιν ἀλλήλους. ἐν τούτῳ δὲ τῷ χρόνῳ ἐκ Φωκαίας τῆς παλαιᾶς, ἧς Καλόθετος ἦρχε, μονήρης λῃστρικὴ ἐπὶ τὸν Ἀστακηνὸν ἐλθοῦσα κόλπον λῃστείας ἕνεκα, οὕτω συμβὰν, Χαλίλην τὸν Ὀρχάνη συνέλαβεν υἱόν, ἀκατίῳ τινὶ τὸν ἐκεῖσε περαιούμενον πορθμόν· καὶ αὐτίκα ἀνεχώρει εἰς τὴν Φώκαιαν. [20]

3 321 Ὀρχάνης δὲ ἐπεὶ ἐπύθετο ἀνδραποδισθέντα τὸν υἱὸν καὶ εἰς Φώκαιαν ἀπαχθέντα, στρατεύειν μὲν ἐπὶ Φωκαιανοὺς εἶχεν ἀδυνάτως, (δυνάμεώς τε γὰρ οὐκ εὐπόρει ναυτικῆς, ἢ κακώσει ἐπελθοῦσα, καὶ ἐκ τῆς ἠπείρου εἰσβολὴ οὐκ ἦν, ἐφ' ἑτέρου κειμένης σατραπείαν τῆς Φωκαίας, πρὸς ὃν ἔδει πολεμεῖν δύναμιν ἔχοντα ἀντίῤῥοπον, εἰ διὰ τῆς ἐκείνου ἐπεχείρει ἐπὶ Φώκαιαν ἰέναι,) ἀπορίᾳ δὲ πάντοθεν συνισχημένος, ἐπὶ τὴν Παλαιολόγου τοῦ βασιλέως εἶδεν ἐπικουρίαν, ὡς αὐτοῦ δυνησομένου μόνου τὸν υἱὸν ἀπαλλάττειν τῶν δεσμῶν. καὶ πέμψας πρεσβείαν, ἐδεῖτο περὶ τοῦ παιδός. βασιλεὺς δὲ ὑπέσχετο προθύμως πάντα πράξειν καὶ ἀποδοῦναι τὸν υἱὸν, ἂν καὶ αὐτὸς ἀπόσχοιτο Ματθαίῳ κατ' αὐτοῦ τῷ βασιλεῖ παρέχειν συμμαχίαν. Ὀρχάνης γὰρ καὶ μετὰ τὴν Καντακουζηνοῦ τοῦ βασιλέως ἐκ τῶν πραγμάτων ἀναχώρησιν πολλὴν ἐπεδείκνυτο τὴν εὔνοιαν πρὸς αὐτὸν, καὶ διὰ ταύτην τὴν αἰτίαν καὶ βασιλεῖ τῷ υἱῷ πολλὴν παρείχετο ὠφέλειαν, ταῖς τε πόλεσιν, ὅσαι ἦσαν ὑπ' ἐκεῖνον, οὐδὲν παρενοχλῶν καὶ πέμπων στρατιὰν, ὁπότε δεηθείη. ἃ ὁ Παλαιολόγος ἐν δεινῷ τιθέμενος βασιλεὺς, καλῶς τοῦ πράγματος παρασχόντος, ἐπεχείρησεν Ὀρχάνην τῆς πρὸς βασιλέα Ματθαῖον φιλίας ἀφιστᾷν. ὑπέσχετό τε καὶ ὁ βάρβαρος πάντα πράξειν, ἢν μόνον ὁ υἱὸς αὐτῷ λυθείη, καὶ διετέλεσέ γε παρ' ὅσον χρόνον ὁ υἱὸς αὐτῷ ἐδέδετο, οὔτε Ματθαίῳ βασιλεῖ παρεσχημένος συμμαχίαν ἐπὶ τὸν Παλαιολόγον βασιλέα, οὔτε Βυζαντίῳ καὶ ταῖς ἄλλαις πόλεσιν, ὅσαι ὑπὸ τοῦτον ἦσαν, οὐδὲν παρενοχλήσας. [25]

3 322 βασιλεὺς δὲ Καλόθετον νομίσας εὐχερῶς τὸν υἱὸν Ὀρχάνη παρασχέσθαι, εἰ μόνον αἰτηθείη, πέμψας πρὸς αὐτὸν, ἐζήτει, τιμὰς ἐπαγγελλόμενος καὶ ἄλλας τινὰς εὐεργεσίας. Καλόθετος δὲ τούτων μὲν ὀλίγον λόγον ἐποιεῖτο, χρημάτων δὲ ᾐτεῖτο πλῆθος, ἃ ἐκτίνειν σχεδὸν ὁ βασιλεὺς ἀδυνάτως εἶχε. βασιλέως δὲ ἀπειλοῦντος τὰ ἔσχατα διαθήσειν, εἰ μὴ πείθοιτο, οὐδὲν ἧττον ἐκεῖνος ἠναισχύντει. δι' ἃ ἐδόκει δεῖν αὐτῷ ἐπιστρατεύειν· καὶ παρασκευασάμενος, ἐπέπλευσεν αὐτῷ τριήρεσιν οὐκ ὀλίγαις καὶ ἐπολιόρκει ἐκ γῆς ὁμοίως καὶ θαλάσσης. ἐν πολλαῖς δὲ καὶ καρτεραῖς τειχομαχίαις ἀποπειράσας τῶν τειχῶν, ἐπεὶ ἀδύνατον τὴν ἐπιχείρησιν ἑώρα, δέκα μυριάδας παρασχόμενος χρυσίου καὶ τῇ πανυπερσεβάστου ἀξίᾳ τετιμηκὼς, ἔλυσε τῆς αἰχμαλωσίας τὸν υἱὸν Ὀρχάνη καὶ ἀπεδίδου τῷ πατρί. ἐν ᾧ δὲ ταῦτα ἐτελεῖτο, χρόνου συχνοῦ τινος τριβέντος, καὶ οἱ τῶν κατὰ τὴν Μυγδονίαν πόλεων ἄρχοντες ἐπιφανέστατοι τῶν Τριβαλῶν πρὸς Ματθαῖον κρύφα πέμψαντες τὸν βασιλέα μετεκαλοῦντο, ὡς σφᾶς τε αὐτοὺς καὶ τὰς πόλεις παραδώσοντες, ὧν ἄρχουσιν. ἦσαν δὲ καὶ πρότερον περὶ τῶν ἴσων διειλεγμένοι. ἀπὸ γὰρ τῶν χρόνων ἐκείνων, ἡνίκα βασιλεὺς ὁ Καντακουζηνὸς ὑπὸ Ῥωμαίων ἀπελαθεὶς διέτριβεν ἐν Τριβαλοῖς, πολλήν τινα τὴν εὔνοιαν ἔσχον πρὸς ἐκεῖνον, μάλιστα δὲ οἱ δυνατώτατοι· δι' ἃ

καὶ Κράλη περιόντος ἔτι, ἡδέως ἂν ἐκεῖνον εἶδον ἐπιστρατεύσαντα αὐτοῖς· καὶ συγκατειργάσαντο τὰ μέγιστα, (μᾶλλον γὰρ ὑπ' ἐκείνου βασιλεύεσθαι ἐβούλοντο, ἢ Κράλη,) καὶ πολλάκις κρύφα περὶ τούτου διειλέχθησαν. [25]

3 323 ἐπεὶ δὲ βασιλεύς τε ἀπήλλαξεν ἐκ τῶν πραγμάτων καὶ ὁ σφῶν δυνάστης ἐτεθνήκει, τὰς μὲν προτέρας παντάπασιν ἐλπίδας ἀπεγίνωσκον διὰ τὴν βασιλέως μεταβολὴν κατὰ τὸν βίον. πρὸς δὲ Ματθαῖον πέμποντες βασιλέα τὸν υἱὸν τήν τε πρὸς βασιλέα τὸν πατέρα εὔνοιαν ὑπεμίμνησκον αὐτὸν καὶ τὴν ἴσην καὶ ὁμοίαν ἔχειν καὶ πρὸς ἐκεῖνον διετείνοντο, καὶ ἐπηγγέλλοντο αὐτῷ προσθήσεσθαι καὶ μεγάλην ἀρχὴν ὑποποιήσειν. τότε δὲ Βοΐχνας ὁ Καῖσαρ πέμψας, ὅτι τε πάντα παρεσκεύαστο, ὅσων ἐδέοντο, ἀπήγγελλε, καὶ ὡς πείσειε καὶ τὸν Φερῶν ἄρχοντα αὐτοῖς συνθέσθαι, καὶ τὴν πόλιν παραδιδόναι εἶναι παρεσκευασμένον αὐτῇ Κραλαίνῃ καὶ χρήμασι μυρίοις· ἐδέοντό τε τάχιστα ἀφικέσθαι παρ' αὐτοὺς, πρότερον δόντα προθεσμίαν τῆς ἀφίξεως. βασιλεὺς δὲ σφόδρα πρὸς τὴν ἀγγελίαν ὑπερησθεὶς καὶ μεγάλα ἐπαγγειλάμενος αὐτοῖς τῆς περὶ αὐτὸν εὐνοίας καὶ σπουδῆς, παρείχετο καὶ προθεσμίαν, ὡς ἐν τριάκοντα ἡμέραις ἀφιξόμενος. τοσαύτας γὰρ ᾤετο ἀρκέσειν πρός τε τὸ τὴν οὖσαν ἀθροῖσαι Ῥωμαίων στρατιὰν καὶ ἐκ τῆς ἕω συμμαχίδα μεταπέμψασθαι παρὰ Ὀρχάνη τοῦ γαμβροῦ. [20]

3 324 Τριβαλοῖς μὲν οὖν τοῖς μεταπεμπομένοις τοιοῦτον σύνθημα ἐδίδου· πρεσβείαν δὲ πρὸς Ὀρχάνην αὐτίκα πέμψας τὸν γαμβρὸν, ᾐτεῖτο στρατιὰν καὶ τοὺς Ῥωμαίους γράμμασι μετεκαλεῖτο. συμβὰν δὲ οὕτω περὶ Ἄβυδον ἐφ' ἑτέραις δή τισιν αἰτίαις οἱ πρέσβεις συντυχόντες τῷ Ὀρχάνῃ διατρίβοντι, ἀπήγγελλον τὴν πρεσβείαν. Ὀρχάνης δὲ αὐτίκα, (καὶ γὰρ ἔτυχεν ἀφ' ἑτέρων σατραπειῶν ἠθροισμένη στρατιὰ βαρβάρων περὶ πεντακισχιλίους καὶ δεομένη περαιωθῆναι πρὸς τὴν Θρᾴκην, ὡς εἰς Μυσίαν ἐπὶ λεηλασίᾳ ἐμβαλοῦσα,) καὶ τῶν οἰκείων τινὰς συμμίξας καὶ στρατηγὸν ἕνα ἐπιστήσας αὐτοῖς ἐκ τῶν αὐτοῦ, τοῖς βασιλέως πρέσβεσιν ἐκέλευε παραλαβόντας περαιοῦσθαι, τὴν μὲν αἰτίαν ἀγνοῶν τῆς βασιλέως ἐπὶ Τριβαλοὺς στρατείας, νομίζων δὲ, ἁπλῶς αὐτὸν ἐπὶ λεηλασίᾳ τῶν βαρβάρων. βασιλεὺς δὲ ἰδὼν οὕτω τάχιστα τὴν βαρβάρων ἀφιγμένην στρατιὰν, μαθὼν δὲ καὶ ὡς ἐκ πολλῶν εἴη σατραπειῶν συνειλεγμένη, θορύβου καὶ ἀθυμίας ἦν μεστὸς, τοῦτο μὲν τοὺς βαρβάρους ὑποπτεύων, ὡς οὐδὲν αὐτῷ τῶν κατὰ γνώμην πράξουσι δέους ἀπηλλαγμένοι, ὑφ' οὗ μετρίως ἂν ἐπείθοντο εὐτάκτως ἔπεσθαι καὶ μετὰ κόσμου, τοῦτο δ' ὅτι καὶ ἡ Ῥωμαίων στρατιὰ ἀδυνάτως εἶχεν ἀθροισθῆναι· ἐν τριάκοντα γὰρ ἡμέραις εἴρητο αὐτοῖς εἶναι πρὸς αὐτόν. πειρωμένου δὲ παρακατέχειν τοὺς βαρβάρους καὶ τὸν χρόνον ἀναλοῦν, ἠπείλησαν ἐκεῖνοι τὴν αὐτοῦ καταδραμεῖσθαι, εἰ μὴ σὺν αὐτοῖς ἐπὶ τοὺς πολεμίους τάχιστα ἀπαίροι. [20]

3 325 ἀπορίᾳ δὲ πανταχόθεν συσχεθεὶς, (τό,τε γὰρ μὴ τὴν οἰκείαν ἐπομένην ἔχειν δύναμιν ἐνόμιζεν οὐκ ἀφαλὲς καὶ τὴν βαρβάρων ἐδεδοίκει, ἣν ἠπείλουν, ἔφοδον ὡς μέγιστα κακώσουσαν, πάντων ἐν θέρους ὥρᾳ τετραμμένων ἐπὶ ἔργα καὶ διεσκεδασμένων ἐπὶ τοὺς ἀγροὺς.) εἵλετο αὐτὸς μᾶλλον ἅμα οἰκέταις τοῖς συνοῦσιν ἐκστρατεύειν. καὶ τοῖς ἡγεμόσι τῶν βαρβάρων ἐκκαλύψας τὸ ἀπόῤῥητον τῆς εἰσβολῆς, ἠξίου μὴ τὰς προσχωρούσας πόλεις κακουργεῖν, μηδὲ τὴν χώραν, ἀλλ' ἄθικτον διατηρήσαντας ἐκείνην, ἐπὶ τὴν ὄντως πολεμίαν τρέπεσθαι, ἀγωγοὺς αὐτοῦ παρεχομένου. τῆς τοιαύτης δὲ εὐγνωμοσύνης ἕνεκα χρήματα πολλὰ τοῖς βαρβάροις ἐπηγγέλλετο παρέξειν. οἱ δ' ἅπαντα πράξειν αὐτῷ τὰ κατὰ γνώμην ἰσχυρίζοντο καὶ πάντα ὑπείξειν ἀκριβῶς. αὐτίκα τε συνεξώρμητο αὐτοῖς, ὀλίγους τινὰς Ῥωμαίους ἔχων περὶ ἑαυτόν. ἔπεμπέ τε καὶ πρὸς Καίσαρα τὸν Βοΐχναν τοὺς δηλώσοντας, ὅτι καὶ παρὰ τὸ σύνθημα ἐκστρατεύσειεν ἀναγκασθεὶς ὑπὸ τῆς στρατιᾶς οὐκ ἀνασχομένης περιμένειν τὸν καιρόν. ὁ δὲ τῆς πόλεως, ἧς ἦρχεν, ἀποδημῶν, (Δράμα δὲ ἦν,) ἐπεὶ πύθοιτο τὰ παρὰ βασιλέως, ἅμα καὶ στρατιᾷ τινι περιτυχὼν Τριβαλικῇ, ἣ παρὰ Κράλη πρὸς τὴν μητέρα ἀφικνεῖτο ἐν Φεραῖς,

ἀνέστρεφεν ἐπὶ Φερὰς μετὰ τῆς στρατιᾶς. γνώμην δὲ εἶχεν, ὡς καὶ τοῖς ἄλλοις ἐκεῖ συνωμόταις συνδιασκεψόμενος, ὅ,τι δέοι δρᾶν πρὸς τὰ παρόντα. [20]

3 326 οἱ βάρβαροι δὲ ἐπεὶ ἐγγὺς Φερῶν ἦσαν μετὰ βασιλέως, οἱ πλείους μὲν ἀμελήσαντες τῶν συνθηκῶν, ἐτράποντο ἐπὶ λεηλασίαν καὶ πᾶσαν τὴν χώραν ἐπόρθουν ἀδεῶς, βασιλέως ἀχθομένου καὶ πάντα πράττοντος, ἐξ ὧν ᾤετο κωλύσειν τοὺς βαρβάρους κακοῦν τοὺς φίλους· ὅσοι δὲ μετὰ βασιλέως ἦσαν καὶ τοῦ στρατηγοῦ, τὴν Τριβαλῶν ἰδόντες προσιοῦσαν στρατιὰν, ᾗ καὶ Βοΐχνας συνῆν ὁ Καῖσαρ, ὥρμηντο συμβαλεῖν. βασιλεὺς δὲ ἐπεὶ πολλὰ καμὼν οὐκ ἠδυνήθη πεῖσαι ἀποσχέσθαι μάχης, ἐχώρει καὶ αὐτὸς ἐπὶ τὸν πόλεμον. ἦεσαν δὲ καὶ οἱ Τριβαλοὶ ὁμοίως ἐπὶ τοὺς βαρβάρους. ἔτι δὲ ἀκροβολιζομένων τῶν βαρβάρων, ὥσπερ ἔθος πρὶν ἥκειν εἰς τὰς χεῖρας, ἔπιπτεν ὁ στρατηγὸς βέλει τρωθεὶς ὑπὸ τῶν Τριβαλῶν, καὶ σύγχυσις δεινὴ καὶ ἀταξία τὸ στρατόπεδον κατεῖχε τῶν βαρβάρων, οἷα δὴ ἐκ πρώτης ἡττημένων εἰσβολῆς. βασιλεὺς δὲ τότε μάλιστα ἐφαίνετο συνεῖναί τε τὰ δέοντα ὢν ὀξὺς ἐν ἐπείγουσι καιροῖς καὶ αὐτός τε καταπράξασθαι καὶ τοῖς ἄλλοις παραινέσαι. αὐτίκα γὰρ ἕτερον ἐχειροτόνει στρατηγὸν καὶ παρῄνει μάλιστα θαῤῥεῖν, ὡς καλῶς αὐτοῦ τοῖς πράγμασι χρησομένου. εἰσωθήσας δὲ αὐτὸν εἰς τοὺς προτάκτους, ἔργα τόλμης καὶ ἀνδρίας ἐπεδείκνυτο θαυμαστά. τρεῖς γὰρ ἐφεξῆς αὐτοχειρίᾳ πολεμίους ἀνελὼν, ἠνάγκασε τῆς μάχης ἀποσχέσθαι Τριβαλούς. αὐτίκα γὰρ ἀνεχώρουν ἐπὶ Φερὰς οὔσας οὐ μακράν. ἔπεσον δὲ κατὰ τὴν συμβολὴν ἐκείνην Περσῶν μὲν ὀλίγοι, διπλασίους δὲ ἐκ Τριβαλῶν. [20]

3 327 τὸ μέντοι βαρβαρικὸν, ὡς παρ’ ἐλπίδας αὐτοῖς ἀπήντα τὰ κατὰ τὴν μάχην, (οὐ γὰρ ᾤοντο ἀντισχήσειν οὐδὲ πρὸς βραχὺ τοὺς πολεμίους,) δεινῶς ἐθορυβοῦντο καὶ ἠτάκτουν καὶ ἤδη ἕτοιμοι ἦσαν πρὸς φυγήν. παραθαῤῥύνας δὲ αὐτοὺς ὁ βασιλεὺς καὶ συντάξας, ὥσπερ ἔθος, ἀνέστρεφεν αὐτὸς τὴν οὐραγίαν ἔχων μετὰ τῶν Ῥωμαίων καὶ τῶν ἀρίστων τῶν Περσῶν. Τριβαλοὶ δὲ οὐχ ὑπέμειναν ἀναιμωτὶ τοὺς βαρβάρους ἐᾶν ἀναχωρεῖν. ὑπώπτευον γὰρ καὶ αὐτοὶ τεθορυβῆσθαι ἐκ τῆς ταχίστης ἀναζεύξεως. καὶ αὖθις ἐπελθόντες, ἐπεχείρουν τρέπεσθαι καὶ διαλύειν τὸν συνασπισμόν. βασιλεὺς δὲ αὖθις ἀντικαταστὰς μετὰ Ῥωμαίων καὶ τῶν ἀρίστων τῶν Περσῶν, ἀπέτρεπε τοὺς πολεμίους. δύο γὰρ ἐφεξῆς ἀπέκτεινε συμβαλών. ἔπεσον δὲ καὶ ἄλλοι ὑπὸ τῶν λοιπῶν ἀνῃρημένοι. ἐξ ἐκείνου δὲ ἡ Τριβαλῶν ἀνεχώρει στρατιὰ ἐπὶ Φερὰς, τὴν βασιλέως ἀνδραγαθίαν ἐκπλαγεῖσα, καὶ οὐκέτι τοῦ λοιποῦ ἠνώχλησαν οὐδέν. με′. Βασιλεὺς δὲ ἄγων τὴν στρατιὰν, ἐστρατοπέδευσεν ἐπὶ Πάνακα τὸν ποταμὸν, ὡς αὐτόθι διανυκτερεύσων, ἅμα δὲ ἕῳ, καὶ τῆς ἐπὶ τὴν λείαν διεσκεδασμένης στρατιᾶς ἐπανελθούσης, ἀσφαλῶς τὸ ἐπίλοιπον ἀνύσων τῆς ὁδοῦ. κλινούσης δὲ ἡμέρας ἤδη, ἡ διασκεδασμένη στρατιὰ ἐπαναζεύξασα ἐκ τῆς λεηλασίας, οὖσα οὐκ ὀλίγη καὶ βοσκημάτων πλῆθος ἐπαγομένη αἰχμαλώτων καὶ ἀνδραπόδων, ἐπὶ τὸ στρατόπεδον ἐβάδιζε τῶν ὁμοφύλων, ἀγνοοῦσα τὴν μετὰ τῶν Τριβαλῶν γεγενημένην συμπλοκήν. [20]

3 328 οἱ δὲ ἐν τῷ στρατοπέδῳ ὑποπτεύσαντες μὴ εἶναι τοὺς σφετέρους, ἀλλὰ τοὺς Τριβαλοὺς συστάντας ἐπιέναι σφίσιν, ἐπεὶ οὐκ ἀξιόμαχοι ἐδόκουν εἶναι πρὸς αὐτοὺς, οὐ διὰ τὸ πλῆθος μόνον, ἀλλὰ καὶ τὴν κατὰ τὰς προγεγενημένας μάχας τόλμαν, ἀναστάντες ἔφευγον κατακράτος ποῤῥωτάτω τῆς στρατιᾶς ἔτι ἐπιφαινομένης, δείσαντες, μὴ ἐγκαταλειφθέντες διαφθαρῶσι, καὶ τὴν ἐν Φιλίππου δίοδον ἐσπούδαζον ἕκαστος διαβαίνειν φθάνοντες τοὺς ἄλλους. ὑπώπτευον γὰρ, εἰ ἐπιγένοιτο ἡ νὺξ καὶ τῆς τροπῆς αἴσθοιντο οἱ Φιλιππήσιοι, οὐδὲν εἶναι κώλυμα παντάπασι διαφθαρήσεσθαι, τῶν μὲν Φιλιππησίων κατασχόντων τὰ στενὰ καὶ οὐκ ἐώντων διαβαίνειν ἐπὶ Θρᾴκην, τῆς στρατιᾶς δὲ ἐπικειμένης καὶ διαφθειρούσης. ἐπί τινος γὰρ ὑπωρείας τῆς Φιλιππησίων πόλεως κειμένης, τὸ μὲν ὑπὲρ τὴν πόλιν ἀβατόν ἐστι διὰ σκληρότητα, φάραγξι βαθείαις καὶ κρημνοῖς καὶ πέτραις περιειλημμένον, τὸ δ’ ὑπὸ τὴν πόλιν λεῖον ὂν, τέναγός ἐστι καὶ τέλμα βαθὺ ἑλῶδες καὶ ὕδασι πολλοῖς κατάῤῥυτον. στενὴ δέ τις

δίοδός ἐστι μεταξὺ τῆς πόλεως καὶ τοῦ τενάγους, ἣν προὔργου παντὸς ἐποιοῦντο διελθεῖν, πρὶν αἰσθέσθαι τούτους τοὺς Φιλιππησίους ἡττημένους. συναπήχθησαν δὲ τοῖς βαρβάροις καὶ οἱ Ῥωμαῖοι πρὸς τὴν φυγήν. βασιλεὺς δὲ ἀχθόμενος πρὸς τὴν τροπὴν, οὕτω παρὰ λόγον γεγενημένην, παρακατέχειν μέν τινας ἐπειρᾶτο καὶ μάχεσθαι τοῖς ἐπιοῦσιν, (ἦσαν γάρ τινες ἐκ Τριβαλῶν ὀλίγοι ἐκ τῶν πέριξ κωμῶν συνειλεγμένοι, οἳ ἐπέκειντο αὐτίκα τοῖς βαρβάροις φεύγουσιν· ἡ γὰρ ἐν Φεραῖς στρατιὰ καὶ Βοΐχνας παντάπασιν ἠγνόουν τὸ συμβάν·) πράττειν δὲ οὐδὲν ἠδυνήθη τῶν δεόντων, πάντων πρὸς ἓν ὁρώντων, ὅπως τῇ φυγῇ σωθῶσιν. [5]

3 329 ἀναγκαίως δὲ αὐτὸς καὶ μόνος συνεπλέκετο τοῖς ἐπιοῦσι καὶ ἀνεῖργε τοῦ μὴ τοὺς φεύγοντας διαφθείρειν ἐπιπλέον. ὅμως διεφθάρησαν καὶ Ῥωμαίων καὶ βαρβάρων οὐκ ὀλίγοι, μάλιστα δὲ κατὰ τὴν δίοδον τὴν ἐν Φιλίππου. ἤδη γὰρ καὶ Φιλιππήσιοι τῶν βαρβάρων τῆς τροπῆς αἰσθόμενοι, ἐπέκειντο καὶ διέφθειρον ἀπανταχοῦ. βασιλεὺς δὲ ἀμυνόμενος καὶ περισώζων ἑαυτὸν, ᾔει καὶ αὐτὸς τὴν εἰς Φιλίππου. ἀπειρηκότος δὲ αὐτῷ τοῦ ἵππου ταῖς συχναῖς ἐφόδοις καὶ ἐπεκδρομαῖς, καὶ ἐν ἀμηχανίᾳ ἤδη ὄντι, Κυπαρισσιώτης, εἷς τῶν οἰκετῶν περὶ στρατείας μὲν καὶ μάχας οὐ μάλιστα ἠσχολημένος, λόγοις δὲ ἐσχολακὼς, διέσωζε τό γε ἧκον εἰς αὐτόν. ἀποβὰς γὰρ αὐτὸς τοῦ ἵππου, παρείχετο τῷ βασιλεῖ, εἰς προὖπτον κίνδυνον ἑαυτὸν ἑκοντὶ καταπροέμενος. αὐτίκα γὰρ ὑπὸ τῶν ἐπιόντων Τριβαλῶν συνελαμβάνετο· καὶ δεσμωτήριον οἰκήσας ἐπὶ χρόνον, αὖθις ἐλέλυτο ὑπὸ τῶν κατασχόντων διὰ τὴν περὶ τὴν πίστιν κοινωνίαν. βασιλεὺς δὲ γενόμενος ἄχρι τῆς Φιλίππου μόνος, ἐπεὶ τήν τε δίοδον ἑώρα ἐχομένην καὶ οὔτε βιάζεσθαι ἐνῆν τοσούτους ὄντας, οὔτ' ἐφ' ἕτερόν τι βέλτιον τραπέσθαι, ἐπὶ τὸ ἕλος ἐχώρει καλάμοις ὂν συνηρεφὲς, λήσειν οἰόμενος, ἄχρις ἂν ἐπιγένηται ἡ νύξ. [20]

3 330 τοῦ τέλματος δὲ τὸν ἵππον οὐ δυναμένου στέγειν, ἀλλ' ὑποχωροῦντος ταῖς ὁπλαῖς καὶ κατέχοντος ἐμπηγνυμένας, ἀπέβαινεν ὁ βασιλεὺς καὶ συνεκρύπτετο ὑπὸ τὸ ἕλος. Φιλιππήσιοι δὲ ἐπιδραμόντες, (οὐ γὰρ ἠγνόουν, ὅστις εἴη, Γαυρᾶ τινος τῶν βασιλέως οἰκετῶν κειμένου τραυματίου παρ' αὐτοῖς καὶ ὅσον οὐδέπω ἀπολείποντος πόῤῥωθεν γνωρίσαντος καὶ εἰπόντος πρὸς αὐτοὺς ἀπεριέργως, ὡς εἴη βασιλεὺς ὁ προσιὼν,) καὶ διερευνησάμενοι τὴν ὕλην ἀκριβῶς ὑπὸ κυσὶ, συνελάμβανόν τε καὶ ἦγον εἰς τὴν πόλιν. ὁ μὲν οὖν βασιλεὺς Ματθαῖος εἰς τοῦτο ἦλθε κακοπραγίας καὶ τοιαύταις συμφοραῖς ἐχρήσατο, τοῖς πώποτε περὶ πολέμους ἀτυχήσασι τὰ μέγιστα ἀμιλληθείς. Βοΐχνας δὲ ὁ Καῖσαρ, ἐπεὶ ἐπύθετο φρουρούμενον βασιλέα ἐν Φιλίππου, εἰς τὴν ὑστεραίαν ἐκεῖθεν ἀναλαβὼν, ἤγαγεν εἰς τὴν οἰκίαν ἐπὶ Δράμαν καὶ πολλῆς ἠξίωσε προνοίας καὶ τιμῆς. φρουροὺς δὲ ἐπέστησεν ἀγρύπνους καὶ πᾶσαν ἐπεδείκνυτο σπουδὴν περὶ τὴν φυλακήν· ἐπηγγέλλετό τε, εἰ γένοιτο ἐπ' αὐτὸν, ἐκπέμψειν εἰς τὴν οἰκίαν. ὑπώπτευε γὰρ Κράλαιναν ἐναντιώσεσθαι, αὐτῇ προσήκειν ἀξιοῦσαν ὥσπερ τι τοῦ πολέμου λάφυρον ἔχειν βασιλέα. διὸ δὴ ἐδόκει ἥκειν ἐπ' ἐκείνην τάχιστα ἐξαιτησόμενον, ἅμα μὲν καὶ χρήματα ἐλπίζων παρ' ἐκείνου λήψεσθαι, ἅμα δὲ καὶ φίλον ἕξειν βέβαιον, ὥστ', εἰ δέοι αὖθις τοῖς προτέροις ἐπιχειρεῖν, μεγάλην ἔχειν παρ' ἐκείνῳ δύναμιν. [20]

3 331 ὁ μὲν οὖν τοιαύτην ἔχων γνώμην, ἠπείγετο ἐπὶ Φεράς. νόσῳ δέ τινι ὁδεύων μεταξὺ κατασχεθεὶς, ἐν πέντε καὶ εἴκοσιν ἡμέραις ἐκωλύθη εἰς Φερὰς ἐλθεῖν, ἀδυνάτως ἔχων χρῆσθαι ἑαυτῷ. Παλαιολόγος δὲ ὁ βασιλεὺς ἐν ταύταις ταῖς ἡμέραις τοῦ Ὀρχάνη ἕνεκα παιδὸς περὶ Τένεδον τριήρεσι διατρίβων, ἐπεὶ πύθοιτο τὰ κατὰ Ματθαῖον τὸν βασιλέα, ἅρας, ὡς εἶχε τάχους, ἦκεν εἰς Περιθεώριον κἀκεῖθεν εἰς Κουμουτζηνὰ προσχωρήσαντα ἑτοίμως. ἔπειτα καὶ τὴν Γρατιανοῦ πόλιν εἶλεν ἐλθὼν, οὐδενὸς ἀνθισταμένου· πάντες γὰρ ἐδέχοντο προθύμως ἐκ συνθήματος, οὐδεμιᾶς ἐλπίδος ἔτι ὑπολειπομένης ἐκ Ματθαίου βασιλέως. ἐν ᾗ καὶ βασιλίδος τῆς Εἰρήνης ἅμα δυσὶν υἱέσι καὶ τοσαύταις θυγατράσι κύριος γενόμενος (Θεοδώρα γὰρ ἡ πρεσβυτέρα τῶν Ματθαίου τοῦ βασιλέως θυγατέρων παρὰ τῇ μάμμῃ Εὐγενίᾳ τῇ βασιλίδι ἐτρέφετο ἐν Βυζαντίῳ,) καὶ χρησάμενος φιλανθρώπως, (οὐδὲν γὰρ ἠδίκησεν, οὐδὲ ἀφείλετο

οὐδὲν τῶν ὄντων, οὔτ’ ἐκείνην, οὔτε τοὺς περὶ αὐτὴν,) εἰς Τένεδον ἐξέπεμψε τὴν νῆσον. αὐτὸς δὲ τῇ πόλει ἐπιστήσας ἄρχοντα καὶ τἆλλα εὖ διοικησάμενος, εἰς Περιθεώριον ἐπανελθὼν, πρεσβείαν πρὸς Βοΐχναν ἐποιεῖτο αὖθις ἐπανήκοντα ἤδη ἐκ Φερῶν καὶ ἀδείας τυχόντα, ὥστε χρῆσθαι, ὅ,τι βούλοιτο, τῷ βασιλεῖ Ματθαίῳ, χρήματά τε ἐπηγγέλλετο πολλὰ παρέξειν, εἰ τὸν γυναικὸς ἀδελφὸν δεδεμένον παραδοίη. [20]

3 332 Βοΐχνας δὲ πρότερον μὲν αὐτός τε ὥρμητο, ὥσπερ ὅρκοις διεβεβαιοῦτο, τὸν βασιλέα Ματθαῖον ἐκπέμπειν εἰς τὴν οἰκίαν, καὶ βασιλέως τοῦ Παλαιολόγου πρεσβευσαμένου πρὸς αὐτὸν ἐπὶ τῷ προδιδόναι, οὐδ’ ἄκροις ὠσὶν ἠνέσχετο τῶν λόγων· τότε δὲ ἤδη πεπυσμένος, ὡς πόλεις τε αἱ ὑπ’ ἐκεῖνον καὶ παῖδες καὶ γυνὴ ἑάλωσαν, ἐλπίς τε οὐδεμία ἔτι ὑπελείπετο, ὥστε παρ’ ἐκείνου χρήματα λαβεῖν, ἢ πρὸς τὴν τῶν μελετωμένων ἐπιχείρησιν χρήσιμος ἔσεσθαι αὐτοῖς, ἄπολις ὢν ἤδη καὶ ἀνέστιος, μεταβαλὼν ἐτράπετο ἐπὶ συμβάσεις πρὸς Παλαιολόγον βασιλέα, ὥστε παραδοῦναι ἐπὶ χρήμασιν. ἐπεὶ δὲ τέλος εἶχον αἱ συμβάσεις, καὶ τὰ χρήματα ἐδέχετο, ὑποπτεύσας μὴ τυχών τινος φιλανθρωπίας παρὰ βασιλέως Ἰωάννου ἀμύναιτό ποτε ὕστερον Ματθαῖος ὁ βασιλεὺς τῆς προδοσίας ἕνεκα αὐτὸν, ἐσκέψατο ἀποστερεῖν τῶν ὄψεων, ἅμα οἰόμενος ἔσεσθαι καὶ βασιλεῖ τῷ Ἰωάννῃ κατὰ γνώμην, εἰ ὑφ’ ἑτέρων, ἀλλὰ μὴ αὐτοῦ, ὁ πολέμιος ἐκτυφλωθείη. καὶ πέμψας πρὸς βασιλέα, ἠξίου πράττειν, ἃ ἐσκέψατο. ὁ δ’ οὐκ ἠνέσχετο τῶν λόγων, ἀλλ’ εἰ μὴ σῶον παντάπασιν ἀποδοίη, ἠξίου μὴ ἀπολαμβάνειν· καὶ πᾶσαν ἐπεδείξατο σπουδὴν, ὥστε πείθειν τὸν Τριβαλὸν μηδὲν ἐκεῖνον ἀδικεῖν, ἐπέμπετό τε πρὸς αὐτὸν μηδὲν τὸ σῶμα διαλωβηθείς. ἐπεὶ δὲ ἦν ἐν ταῖς βασιλικαῖς τριήρεσιν, ἅμιλλα πολλὴ Ῥωμαίων πρὸς ἀλλήλους ἀνεφύετο, πάντων παραινούντων βασιλεῖ τὸν γυναικὸς ἀδελφὸν τῶν ὄψεων ἀποστερεῖν, ὡς οὕτω πολλῶν πραγμάτων ἀπαλλαξομένῳ καὶ μὴ αὖθις ἑαυτῷ μὲν ἀγώνων καὶ κινδύνων, τοῖς δ’ ἄλλοις πᾶσι Ῥωμαίοις πρόφασιν πολέμου ἐμφυλίου καταλείπειν. [25]

3 333 εἶχον δὲ οὐ πάντες τὴν ἴσην γνώμην ἐν τοῖς λεγομένοις, ἀλλ’ οἱ μὲν ὑπὸ τῆς ἄκρας ἀπεχθείας εἰς ἐκεῖνον τοιαῦτα συνεβούλευον, ἡγούμενοι οὐκ ἀνεκτὸν, εἰ μὴ πρὸς ταῖς ἄλλαις κακοπραγίαις καὶ τὸ βλέπειν ἀφαιροῖτο, ὡς ἅμα τε ἐλπίδα εὐπραγίας μηδεμίαν ἔχοι καὶ πολλὴν τὴν ἐκ τῶν περισχόντων δυσχερῶν ἀνίαν ὑπομένοι· οἱ δ’ οὐδὲν τοιοῦτον ἐνενόουν, ἀλλ’ ἁπλῶς οὕτω τοῖς ἄλλοις συμφερόμενοι, ἠφείδουν καὶ τῶν ἀναγκαιοτάτων, καὶ τύφλωσιν κατεψηφίζοντο ἐκείνου, οἰόμενοι ἐκ τούτου εὖνοι νομισθήσεσθαι Παλαιολόγῳ βασιλεῖ καὶ τῆς εὐνοίας ταύτης οὐ φαύλας τινὰς, οὐδ’ εὐκαταφρονήτους σχήσειν τὰς ἐπικαρπίας. ἔνιοι δὲ αὐτῶν καὶ σφόδρα ἀλγοῦντες καὶ δακνόμενοι ταῖς ἐκείνου συμφοραῖς καὶ πρὸς μόνην ἀκοὴν τῶν λεγομένων ἀνιώμενοι καὶ ἀγωνιῶντες οὐδὲν ἧττον ἢ εἰ καὶ κατ’ αὐτῶν ἐμελετᾶτο τὰ δεινὰ, ὅμως δέει τοῦ μὴ δοκεῖν πολέμιοι βασιλεῖ τῷ Ἰωάννῃ εἶναι, τοῖς μάλιστα δοκοῦσιν εὔνοις ἐναντία συμβουλεύοντες, παρῄνουν καὶ αὐτοὶ τὰ ἴσα. ἐνταῦθα δὴ Παλαιολόγος ὁ βασιλεὺς οὐ φιλανθρωπίας μόνον καὶ ἐπιεικείας δείγματα ἐξήνεγκε σαφέστατα, ἀλλὰ καὶ μεγαλοψυχίας καὶ ἀνδρίας καὶ φρονήσεως. τὸ μὲν γὰρ ἐπὶ τοσοῦτον προηγμένου τοῦ πολέμου καὶ τοσαύτης μεταξὺ ἀλλήλων τῆς διαφορᾶς κεκινημένης, ὥστε ἀκηρύκτως ἔχειν καὶ ἡδέως ἂν ἑκάτερον οὐ τῆς ἀρχῆς μόνον, ἀλλὰ καὶ τῆς ζωῆς, εἰ οἷόντε, τὸν ἕτερον ἰδεῖν ἐκπίπτοντα, καὶ πᾶσαν σπουδὴν ἐπιδεικνύμενον ὑπὲρ τοῦ διαφθείρειν, ἔπειτα περιγεγενημένον καὶ δυνάμενον χρῆσθαι ὅ,τι ἂν ἐθέλοι, μὴ πρὸς τὰ ὑπηργμένα ἀπιδεῖν, μηδ’ ὅπως κακώσει σκοπεῖν τὸν δόξαντα ἠδικηκέναι, ἀλλὰ τοῦτο μὲν βαρβάροις τισὶν ἡγήσασθαι προσήκειν, θηρίων οὐδὲ ἄμεινον διακειμένοις τὴν ὠμότητα καὶ ἀλογίαν, αὐτὸν δὲ χρησάμενον ἔμφροσι καὶ δικαίοις λογισμοῖς καὶ τὴν ἀνθρωπίνην φύσιν κατοικτείραντα, ὅτι τοσούτοις πάθεσιν ὑπόκειται καὶ μεταβολαῖς, ἀρκεῖν ἡγήσασθαι πρὸς ἀσφάλειαν τοῦ βίου τὸ τῶν πολεμίων περιγεγενῆσθαι καὶ περαιτέρω μηδὲν ζητεῖν, ἔργῳ δείξαντα, ὡς τοῖς μὲν βαρβάροις ἄχρι τοῦ δυνατοῦ προσῆκον

πολεμεῖν, τοῖς δ' ὁμοφύλοις ἄχρι τοῦ κρείττονος, ποίαν ἀπολείπει μεγαλοψυχίας φανερὰν ἀπόδειξιν; τὸ δ' αὖ πάλιν τὴν μόνην πρόφασιν οὖσαν μεγίστης ἑαυτῷ φιλοτιμίας μὴ προανελεῖν, ἀλλὰ διατηρήσαντα χρῆσθαι ἐπικαίρως καὶ δόξης ἐν τοῖς ὕστερον ἐσομένοις ἀείμνηστα μνημεῖα καταλείπειν ἑαυτῷ, φρονήσεως καὶ εὐβουλίας δικαίως ἀντιθείη τις. [15]

3 334 ἀλλὰ μὴν τὸ τὰ ἴσα πάντων παραινούντων καὶ μηδὲν παραλειπόντων τό γε ἧκον πρὸς αὐτοὺς τὸ σπουδαζόμενον εἰς ἔργον ἀγαγεῖν αὐτὸν, μήτε πρὸς τὴν ἀξίωσιν, ὡς λυσιτελὴς καὶ δικαία τὸ δοκεῖν ἰδεῖν, μήτε πρὸς τὸ πλῆθος καὶ τὴν συμφωνίαν, ἀλλὰ πάντα παριδόντα τοῖς δεδογμένοις καλῶς ἐγκαρτερεῖν, καὶ μηδὲν καταπλαγέντα πράττειν παρὰ τὰ ἐψηφισμένα, οὐδὲν ἕτερον, εἰ μὴ ψυχῆς ἀνδρία καὶ τῶν λογισμῶν στερρότης παρεσκεύαζε. [20]

3 335 δι' ἃ δὴ πάντα πάντων τῶν ἄλλων ἀμελήσας, εἰς Τένεδον ἦγαγε τὸν γυναικὸς ἀδελφὸν, οὐδὲν ἠδικηκὼς, ὥσπερ παρῄνουν οἱ πολλοὶ, καὶ γυναικὶ καὶ τέκνοις ἐφῆκε συνδιάγειν χρόνον τινὰ βραχὺν, ἔπειτα ἐκέλευε τέκνα μὲν ἐκείνου καὶ γυναῖκα εἶναι ἐν Τενέδῳ, αὐτὸν δὲ εἰς Λέσβον ἀπαχθέντα, φρουρεῖσθαι ἐν δεσμοῖς· καὶ ἐπράττετο πάντα, ᾗ προσέταττεν ὁ βασιλεύς. αὐτὸς δὲ ἄρας ἐκ Τενέδου, ἦλθεν εἰς Βυζάντιον, καὶ γενόμενος ἐν τῇ Μαγκάνων μονῇ πρὸς βασιλέα τὸν κηδεστὴν, ὅσα τε συμβαίη, διηγεῖτο, καὶ ἐπηγγέλλετο ὡς ὕστερον ὀλίγῳ τὸν γυναικὸς ἀδελφὸν ἀνήσων τῶν δεσμῶν. κράτιστον μὲν γὰρ εἶναι μηδὲ κεκινῆσθαι, ἔφασκε, τὴν ἀρχὴν τὴν πρὸς ἀλλήλους διαφοράν, μηδὲ ἐπὶ τοσοῦτον τὴν φύσιν ἠγνοηκέναι, ὥστε τοὺς ὑπὲρ ἀλλήλων ἀποθνήσκειν ὄντας δικαίους πολεμίους καθεστάναι καὶ πᾶσαν ἐξευρίσκειν μηχανὴν, ἐξ ὧν ἀλλήλους διαφθεροῦμεν· ἐπεὶ δ' οὕτω συνηνέχθη, καὶ τύχαις ἐκεῖνος χρησάμενος δυσκόλοις, ὑπὸ Τριβαλῶν ἁλοὺς, ἤχθη δεσμώτης. εἰς ἐμὲ, ἐγὼ μὲν εὐθὺς καὶ πρὸς μόνην ἐδυσχέρανα τὴν ὄψιν, καὶ τὴν προτέραν ἅπασαν δυσμένειαν ἐκβαλὼν, ἠττήθην πρὸς τὴν φύσιν. καὶ τό,τε νῦν ἔχον ἐσκεψάμην φιλανθρώπως χρῆσθαι καὶ μικρὸν ὕστερον ἀπολύειν τῶν δεσμῶν. ἀφῆκα δ' ἂν καὶ νῦν, εἰ μὴ τὴν ἐπὶ τὸ χρῆσθαι τοῖς πράγμασιν ἀπερισκέπτως παρὰ τῶν πολλῶν ὑπώπτευον γραφήν. μικρὸν δὲ ὕστερον, ὡς ἂν μετ' εὐβουλίας καὶ φροντίδος δοκῶμεν πάντα πράττειν, ἀνήσω τῶν δεσμῶν. [25]

3 336 τοιαῦτα μὲν Παλαιολόγος ὁ βασιλεὺς πρὸς βασιλέα τὸν κηδεστὴν ἐπηγγείλατο ἐπὶ τὸ ἀπολύειν τὸν υἱόν. μς′. Καντακουζηνὸς δὲ ὁ βασιλεὺς ἥδιστα διατεθεὶς πρὸς τὰς ἐπαγγελίας, „πρῶτα μὲν,“ εἶπε πρὸς βασιλέα τὸν γαμβρὸν, „πολλὰς αὐτός σοι χάριτας ὁμολογῶ, ὅτι, καίτοι πολλῶν ἐπικειμένων καὶ παραινούντων ἐκτυφλώττειν τὸν υἱὸν καὶ πολλήν τινα ἐχούσαις τὴν πειθὼ χρωμένων ἀποδείξεσιν, αἷς καὶ πάντα ὀντινοῦν ἂν ἔπεισαν ταῖς παραινέσεσιν αὐτῶν προσέχειν, αὐτὸς ἐπιεικείᾳ πολλῇ χρησάμενος καὶ εὐβουλίᾳ καὶ συνέσει, σῶον διετηρήσας, ὥσπερ ἂν ὑπὲρ φίλου πρὸς πλείστους τοὺς ἀντικαθισταμένους ἀγωνισάμενος ὑπὲρ ἐκείνου. ἔπειτα δὲ καὶ τῆς ἐπιεικείας ταύτης καὶ τῆς ἡμερότητος θεός τε ἄνωθεν ἀμείψεται ἀξίαις δωρεαῖς, καὶ παρ' ἐμοὶ τὴν χάριν ἕξεις ἀνάγραπτον ἐς ἀεί. ἐγὼ δὲ πρότερον μὲν, ἡνίκα ὑμῖν ὁ πρὸς ἀλλήλους πόλεμος ἀνήπτετο, πολλαῖς ἐβαλλόμην ὁσημέραι ταῖς φροντίσι καὶ δεινοῖς τισιν ἀνηκέστοις ὑπώπτευον περιπεσεῖσθαι ἀναγκαίως. ἐπὶ μὲν γὰρ τῶν ἄλλων ἁπάντων, ὁποτέροις ἂν πρόσθωνται τῶν πρὸς ἀλλήλους πολεμούντων, ἢ συνήδεσθαι συμβαίνει, ἂν νικῶσιν, ἢ τοὐναντίον συμμετέχειν τῆς κακοπραγίας, ἂν ἡττῶνται· πατρὶ δὲ, πολεμούντων πρὸς ἀλλήλους τῶν υἱῶν, μία μόνη παραμυθία τὸ καταλύσαντας λείπεται τὸν πόλεμον, εἰρήνην ἄγειν καὶ ἀλλήλοις εὐνοεῖν. [20]

3 337 ἂν δ' ἀσυμβάτως ἔχοντας ὁρῴη καὶ ξίφεσι μᾶλλον, ἢ λόγοις πειρωμένους διαλύειν τὰς διαφοράς, οὐδὲν ἔστι, ὃ τὴν λύπην διαλύειν δύναιτ' ἂν ἐκείνῳ καὶ τὴν συμφοράν. ὁπότερος γὰρ ἂν νικῴη τῶν υἱῶν, οὐ τοσοῦτον εὐφρανεῖ περισωθεὶς, ὅσον ἀνιάσει τὸν ἀδελφὸν ἀπεκτονώς. ἂν δέ ποτε συμβαίη καὶ ἀμφοτέρους ὑπ' ἀλλήλων πεσεῖν κατὰ τὴν μάχην, ὃ καὶ πρότερόν ποτέ τισιν ἀκούομεν συμβεβηκέναι, οὐδ' ἀθυμίας ὑπερβολὴν ἐλλείπει, οὐδὲ

συμφορᾶς οὐδεμιᾶς. ἃ πάντα μοι πρότερον ἐννοοῦντι καὶ αὐτῷ, σύγχυσις δεινὴ καὶ ἀθυμία τὴν ψυχὴν κατεῖχε, καὶ ὥσπερ κειμένους ἐθρήνουν τοὺς υἱοὺς, καὶ πρὶν ἐλθεῖν εἰς χεῖρας, ἢ τό γε μετριώτερον τὸν ἕτερον. οὕτω γὰρ ἠνάγκαζε πείθειν τό,τε ἀσυμβάτως ἔχοντας ὁρᾷν ὑμᾶς πρὸς τὴν εἰρήνην καὶ τὸ καθάπαξ ὀργῇ πρὸς ἀλλήλους φέρεσθαι καὶ βούλεσθαι σιδήρῳ τὴν περὶ τῆς ἀρχῆς φιλονεικίαν διαλύειν. νυνὶ δ' οὕτω κρίναντος τοῦ θείου, κἀκείνου μὲν ἐν τῇ πρὸς Τριβαλοὺς ἁλόντος μάχῃ καὶ παραδεδομένου σοι ὑπὸ τῶν κρατησάντων, σοῦ δὲ ἡμέρως χρησαμένου καὶ φιλανθρώπως καὶ οὐδὲν τῆς πρὶν δοκούσης δυσμενείας ἐπιδεδειγμένου ἄξιον, πρῶτα μὲν τῆς ἑκατέρων σωτηρίας τῷ κρείττονι πολλὰς τὰς χάριτας ὁμολογῶ, οὕτω τὰ ἡμέτερα διῳκηκότι φιλανθρώπως, καὶ τῆς πολλῆς ἀπήλλαγμαι φροντίδος καὶ ἀθυμίας τῆς ἐφ' ἑκατέροις ἐκ τῶν λογισμῶν ἐγγινομένης, ἔπειτα δὲ καὶ σοὶ οὐδὲν ἧττον, ὅτι δυνάμενος λυπεῖν ἐν τῷ ἐκεῖνον τιμωρεῖσθαι, οὐκ ἠθέλησας. [20]

3 338 οὐ μὴν ἀλλ' εἴ τι καὶ τῆς ἀνίας ὑπολέλειπτο, (οὐ γὰρ οὖν ἀρνήσομαι, ὡς, ἐκείνου δεδεμένου, οὐ δοκῶ ἐλάττω ὑπομένειν διὰ τὴν συμπάθειαν τὴν πρὸς ἐκεῖνον,) ἀνῄρηκας παντάπασι νυνὶ, ἐπαγγειλάμενος ἀνήσειν τῶν δεσμῶν μετὰ μικρόν. ὃ καλῶς ποιήσεις ἀληθὲς ἐπὶ τῶν ἔργων ἀποδείξας. οὐ γὰρ πρὸς εὐδοξίαν μόνον, ἀλλὰ καὶ πρὸς ἀσφάλειαν ἄριστα σαυτῷ βουλεύσῃ. ἂν μὲν γὰρ διὰ βίου κατέχειν ἐν δεσμοῖς τὸν γυναικὸς ἀδελφὸν διανοήσῃ, ἄδηλον μὲν, εἰ μὴ διαδρᾶναι δυνηθεὶς αὖθις πολεμήσει, ἀδηλότερον δὲ οὐχ ἥκιστα, εἰ μὴ καὶ νικήσει πεπολεμηκώς. πολλοὶ γὰρ πολλάκις ἐκ μεγάλης ἥττης καὶ κακοπραγίας ἀνασφήλαντες περιεγένοντο τῶν πολεμίων ἐκ τῶν προτέρων ἀτυχημάτων, ἐμπειρότερον χρησάμενοι τοῖς πράγμασιν. εἰ δ' ἄρα σοι καὶ τοῦτο περιέσται τὸ πολλῇ προνοίᾳ χρησαμένῳ περὶ τὴν ἐκείνου φυλακὴν, κατέχειν ἐν ἀφύκτοις διὰ βίου, πρῶτον μὲν πολλαῖς ἀεὶ συνέσῃ καὶ ποικίλαις ταῖς φροντίσι, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν λυμαινομέναις ἀεὶ τῷ βίῳ καὶ οὐδεμίαν συγχωρούσαις εὐθυμίας αἴσθησιν λαμβάνειν. οὐ γὰρ τοὺς ἐν τέλει Ῥωμαίων ὑποπτεύειν ἀνάγκη μόνον ἐπιβούλους εἶναι, ἄν τι τύχῃς πρὸς αὐτοὺς προσκεκρουκὼς, ἀλλὰ καὶ τοὺς τὴν ἐκείνου φυλακὴν πεπιστευμένους καὶ τοὺς οἰκειοτάτους αὐτοὺς, εἰ οἷόντε εἰπεῖν. πρὸς γὰρ τῷ ῥᾳδίους εἶναι τοὺς ἀνθρώπους πρὸς μεταβολὰς καὶ χαίρειν ἀεὶ τοῖς νεωτερισμοῖς, ἂν καὶ προφάσεώς τινος εὐπορῶσι, δι' ἧς ἂν ἀμύνασθαι ῥᾷστα τοὺς λελυπηκότας δυνήσεσθαι οἰήσονται, μᾶλλον χρὴ προσδοκᾷν εὐμεταβόλους ἔσεσθαι καὶ ῥᾳδίους πρὸς ἐπιβουλὰς ἔχοντας ἐγγὺς τὸν ἢ τῶν παρόντων ἀπαλλάξοντα κακῶν ἢ πολλῶν ἐμπλήσοντα δώρων καὶ μεγάλων ἀξιώσοντα τῶν εὐεργεσιῶν. [5]

3 339 ἔπειτα δὲ εἴ σοι καὶ κατὰ τὴν ἡλικίαν τήνδε, (οὐ γὰρ ἀδύνατον, ἀνθρώπῳ γε ὄντι,) ἐφ' οὕτω νηπίοις συμβαίη τοῖς τέκνοις ἀποθνήσκειν, ἐλπὶς ἐκείνοις οὐδεμία εὐπραγίας ἀπολείπεται. τὸ μὲν γὰρ τὴν ἀρχὴν αὐτοὺς ἰθύνειν μετὰ τῆς μητρὸς ἐφ' οὕτω χαλεποῖς καιροῖς καὶ δυσκόλοις καὶ παντάπασι διεφθαρμένοις πράγμασιν ἀδύνατον. λείπεται δὲ ἢ τὸν φρουρούμενον ἐκεῖνον προσκαλεσαμένους πάντας ἐκ συνθήματος αἱρεῖσθαι βασιλέα, ἢ τῶν ἄλλων ἕνα, ὃς ἂν μάλιστα πλείους σχοίη τοὺς σπουδαστὰς καὶ δεινότερος δοκοίη καὶ μᾶλλον ἄρχειν ἐπιτήδειος. ἂν μὲν οὖν ἐκεῖνος αἱρεθείη, δοκῶ μοι μηδὲν ἧττον καὶ αὐτὸς φιλονεικήσειν ἡμερώτερος φανεῖσθαι τοῖς παισὶ τοῖς σοῖς, ἢ αὐτὸς ἐκείνῳ ὤφθης. τοῦτο δὲ οὐδὲν ἕτερόν ἐστιν, ἢ ἐν δεσμωτηρίῳ κατακλείσαντα κατέχειν διὰ βίου, καὶ μηδέν τι δεινότερον ἕτερον προσθεῖναι. εἰ δ' ἐφ' ἑτερόν τινα, ὅπερ μάλιστα ἀπεύχομαι, μεταβαίη ἡ ἀρχὴ, ὀκνῶ μὲν εἰπεῖν καὶ μέχρι λόγου δακνόμενος τῇ προσδοκίᾳ τῶν δεινῶν· ἐλπὶς δὲ οὐδεμία ἀπολείπεται, μὴ οὐ πάντας ἄρδην ἀπολεῖσθαι. εἰ δ' ὅπερ αὐτὸς ἑκοντὶ προείλου, νῦν καὶ εἰς ἔργον ἐθελήσεις ἀγαγεῖν, ἄριστα ἔσῃ σαυτῷ τε κἀκείνῳ βεβουλευμένος. [20]

3 340 ἐκεῖνός τε γὰρ τῶν δεσμῶν ἀπολυθεὶς, ἀεί σοι χάριν εἴσεται βεβαίαν τῆς εὐεργεσίας καὶ ζῶντί τε πειράσεται εὐγνωμονεῖν καὶ ἔργοις αὐτοῖς ποιεῖν καταφανὲς, ὡς εἰς ἄξιον κατέθου τὰς

εὐεργεσίας, καὶ μετὰ τελευτὴν, εἰ τοῦτο συμβαίη, πάντα ἔσται τοῖς παισὶ τοῖς σοῖς καὶ πᾶσιν, οἷς ἔχει, ἄν τινες ἀδικεῖν ἐθέλωσιν, ἐπικουρήσει καὶ συνδιατηρήσει τὴν ἀρχὴν αὐτοῖς, ὡς ἂν ὑπὲρ οἰκείων καὶ φίλου καὶ γνησίου παίδων ἀγωνιζόμενος. καὶ σὺ τὸν ἐπίλοιπον ἥδιστα βιώσεις βίον, οὐ τῶν φροντίδων μόνον ἀπηλλαγμένος καὶ τῶν ἄλλων δυσχερῶν, ἃ ὑπομενεῖς ἐκ τῶν ὑπονοιῶν, ἀλλὰ καὶ τῆς εἰς ἐκεῖνον εὐεργεσίας μεγάλας εὐθὺς καρπούμενος τὰς ἀμοιβὰς, εὐφημούμενος ὑπὸ πάντων καὶ τῆς μεγαλοψυχίας θαυμαζόμενος. πρὸς τούτοις δὲ καὶ τοὺς προσήκοντας ἐκείνῳ πάντας πολλάς σοι χάριτας εἰδέναι παρασκευάσεις, καὶ ὥσπερ τισὶ δεσμοῖς ἀῤῥήκτοις εὐνοίας δήσεις, ὑφ' ὧν ἀναγκασθήσονται διὰ βίου τῶν εἰς εὐδοξίαν καὶ ὠφέλειαν τὴν σὴν ἡκόντων μηδενὸς καταμελεῖν. ὡς οὖν ἐπὶ μεγάλοις ἀγαθοῖς ἐπιδειξόμενος τὴν μεγαλοψυχίαν, μὴ μέχρι λόγων μόνον στήσῃς τὴν ὁρμὴν, ἀλλὰ τὰ καλῶς βεβουλευμένα ταχέως φανῆναι καὶ εἰς ἔργον ἀγαγών." μζ'. Τοιαῦτα μὲν βασιλεὺς ὁ Καντακουζηνὸς πρὸς τὸν Παλαιολόγον βασιλέα διειλέχθη ἐπὶ τῷ Ματθαῖον βασιλέα τὸν γυναικὸς ἀδελφὸν ἀπολύειν τῶν δεσμῶν παρακαλῶν. [20]

3 341 ὁ δὲ καὶ πρότερον ὠρμημένος οἴκοθεν, ἔτι μᾶλλον ἐπερῤῥώσθη καὶ ἐσκέπτετο εἰς ἔργον τὰ βεβουλευμένα ἀγαγεῖν. μεταξὺ δέ τι συμβὰν τοιοῦτον ὀλίγου δεῖν παρέπεισε τῶν προτέρων ἀποσχέσθαι βουλευμάτων. Ζειανὸς γάρ τις τῶν Καντακουζηνοῦ τοῦ βασιλέως οἰκετῶν, Εὐγενίᾳ τῇ βασιλίδι προσελθὼν, παρῄνει πρὸς τὴν ἐλευθερίαν τοῦ υἱοῦ μὴ κατοκνεῖν, μηδὲ τοῖς βασιλέως τοῦ γαμβροῦ προσέχειν λόγοις πρὸς ἀπάτην συνεσκευασμένοις καὶ φενακισμὸν, ἀλλ' αὐτήν τε διακινδυνεύειν καὶ τοὺς φίλους παρορμᾷν. αὐτὸν δὲ τὰ μέγιστα συγκατεργάσεσθαι, ἢν χρήματά τε μέτρια παράσχοιτο αὐτή τινα καὶ τοὺς φίλους πείσειε συναίρεσθαι. δυνήσεσθαι γὰρ αὐτὸν οὐ τῶν δεσμῶν ἐκεῖνον μόνον ἀπαλλάττειν, ἀλλὰ καὶ πρὸς τὴν ἀρχαίαν εὐετηρίαν ἐπανάγειν, εἰ τὰ βεβουλευμένα εἰς ἔργον δυνηθείη ἀγαγεῖν. Εὐγενία δὲ ἡ βασιλὶς πολλὴν ἐκείνου καταγνοῦσα ἄνοιαν, ὡς μείζω, ἢ κατὰ τὴν προσοῦσαν ἐπαγγελλομένου δύναμιν, ἀπέπεμπέ τε, οὐδὲ λόγου ἀξιώσασα, καὶ παρῄνει ἠρεμεῖν, ὡς οὐδὲν πλέον, ἢ πολλῶν ἑαυτῷ βασάνων αἰτίου ἐσομένου τοῦ τολμήματος. ὁ δὲ ὑπὸ πολλῆς παραπληξίας αὐτός τε ὥρμητο ἐπὶ πράξεις ἀνοήτους καὶ ἄλλους ἐπεχείρει πείθειν πολλῷ βελτίους ἑαυτοῦ, ὡς μεγάλα δυνησομένους παρὰ Ματθαίῳ βασιλεῖ, εἰ τοιαῦτα ὑπὲρ ἐκείνου πράττοντες ὀφθεῖεν. γνώμην δὲ αὐτὸς εἰσῆγεν, ὡς καιρὸν ἐπιτηρήσαντας, ἡνίκα ἂν ἔξω Βυζαντίου διατρίβοι βασιλεὺς, αὐτοὺς παρασκευασαμένους, τοῖς ἐν βασιλείοις ἐπιθέσθαι φρουροῖς πρὶν αἰσθέσθαι· ἐξελάσαντας δὲ αὐτούς τε καὶ τοὺς ἄλλους ἅπαντας ὁμοίως, αὐτοὺς τὸ φρούριον κατέχειν καὶ ἀμύνεσθαι τοὺς ἐπιόντας, τοὺς παῖδας βασιλέως μόνον ἔνδον καὶ γαμετὴν τὴν βασιλίδα κατασχόντας. [5]

3 342 ἂν δ' ἐπίῃ βασιλεὺς αὐτοῖς καὶ κελεύῃ προσχωρεῖν, ὅρκους ἀπαιτεῖν αὐτὸν, ἢ μὴν αὐτούς τε μὴ ἀμύνασθαι τῆς τόλμης ἕνεκα, ἀλλ' ἀπαθεῖς κακῶν διατηρεῖν, καὶ προσέτι χρήματα παρέχειν καὶ Ματθαῖον βασιλέα τὸν γυναικὸς ἀδελφὸν ἀφιέναι τοῦ δεσμωτηρίου καὶ τῆς πόλεως Ἀδριανοῦ καὶ τῶν περὶ αὐτὴν πολιχνίων ἐπιτρέπειν τὴν ἀρχήν. εἰ δὲ μὴ πρὸς πάντα βασιλεὺς ὑπείκοι, μηδὲ πείθοιτο, ἀπειλεῖν, ὡς ἀποκτενοῦσι παῖδας καὶ γυναῖκα. αὐτὸν δὲ τοῖς ὅπλοις μὴ δυνάμενον περιγενέσθαι, προήσεσθαι πάντα ὑπ' ἀνάγκης τῆς τῶν παίδων σωτηρίας ἕνεκα. τοιαῦτα μὲν τοῖς συνομόταις ὑπετίθει Ζειανός. μετὰ μικρὸν δὲ τῆς ἐπιβουλῆς μηνυθείσης βασιλεῖ, συνελαμβάνετό τε καὶ ἀνεκρίνετο, εἰ πολλοὺς ἔχοι τοὺς συνειδότας. ὁ δὲ ἄλλους τέ τινας συνωμολόγει καὶ Καντακουζηνὴν τὴν βασιλίδα, καὶ ἔφασκεν εἰς τοῦτο ὑπ' ἐκείνης ἐναχθῆναι μεγάλα ἐπαγγειλαμένης· μηδὲ γὰρ ἂν ἐφ' ἑαυτὸν τηλικούτοις ἐγχειρεῖν, ἀφανείᾳ πολλῇ συζῶντα καὶ πενίᾳ, μή τινος πρὸς τὰ τοιαῦτα ἀξιόχρεω συμπράττοντος. βασιλεῖ δὲ εὐθὺς ἐδόκει ἑκατέρωθεν δεινόν. τό,τε γὰρ ἐπὶ τοιούτοις διαβεβλῆσθαι βασιλίδα, εἰ συνειδείη μηδὲν αὐτοῖς πρὸς τὴν ἐπιβουλὴν, οὐκ ἀγαθόν· καὶ τὸ συνειδέναι καὶ συμπράττειν σφόδρα χαλεπὸν,

εἰ ἐκείνῃ μὲν αὐτὸς τοσοῦτον εὐνοοίη, ὥστε βούλεσθαι καὶ τὸν υἱὸν ἀπολύειν τῶν δεσμῶν, οὐδενὸς ἂν ἑτέρου προσδοκήσαντος, αὐτὴ δ' ἐπὶ τοσοῦτον δυσμεναίνοι, ὥστ' ἐπιβουλὰς τοιαύτας συσκευάζειν κατ' αὐτοῦ· μᾶλλον δὲ ὑπώπτευεν εἶναι τοὺς λόγους συκοφαντίας, καὶ πᾶσι ποιεῖν ἐβούλετο καταφανὲς, ὡς εἴη διαβολαὶ τὰ εἰρημένα. [5]

3 343 διὸ αὐτός τε ἀνέκρινεν ἐπιμελῶς τὸν Ζειανὸν, ἐπαγγελλόμενος αὐτῷ τὴν ἐπὶ τῇ ἐπιβουλῇ ἀφήσειν δίκην, εἰ τὰ περὶ βασιλίδος εἰρημένα συνομολογοίη ὡς εἴη συκοφαντίαι, καὶ τῶν ἐν τέλει τοῖς ἐπιφανεστέροις τὴν ἐξέτασιν ἐπέτρεπεν. ὁ δ' ὁμοίως ἐπὶ πάντων ἰσχυρίζετο ἀληθῆ τὰ εἰρημένα εἶναι, καὶ πάντων ἐκείνην αἰτίαν εἶναι πρὸς ἅπαντα ἐξηγουμένην καὶ τρόπους ἐξευρίσκουσαν καὶ ἐπινοίας, ἐξ ὧν ἂν κατορθωθείη τὰ βεβουλευμένα. καὶ λόγους προσετίθει πιθανοὺς, ἐξ ὧν ὀλίγου δεῖν τοὺς πλείους ἔπειθε φαῦλα ἤδη περὶ βασιλίδος ὑποπτεύειν. οὕτω δὲ συμβὰν, καὶ Καλλίστου τοῦ πατριάρχου ἐν τοῖς βασιλείοις ἀφιγμένου, ἐπεὶ ὁ Ζειανὸς ἐξεταζόμενος ἐπύθετο παρεῖναι, ἀφορισμὸν ἀπὸ θεοῦ παρὰ τοῦ πατριάρχου προὐκαλεῖτο, ὡς οὕτως ὑπ' ἀνάγκης ἅπαν λέξων τἀληθές. δόξαν δὲ καὶ βασιλεῖ λυσιτελεῖν, (οὐδὲ γὰρ ἂν ἀφειδήσειν ἑαυτοῦ τοσοῦτον Ζειανὸς, ὡς ἐπ' ἀπωλείᾳ ψυχῆς οὕτω καταψεύσεσθαι βασιλίδος ἐπ' ἐλπίδι κέρδους οὐδενὸς,) ἐπέτρεπε πραχθῆναι. [20]

3 344 εἰρημένου δὲ καὶ τοῦ ἀφορισμοῦ, ἔτι βεβαιότερον τὰ πρότερον εἰρημένα ἰσχυρίζετο. ὃ μάλιστα τὴν βασιλέως γνώμην ἔσεισε καὶ δυσμεναίνειν αὐτῷ τὴν βασιλίδα Εὐγενίαν ἔπεισε πρότερον οὐδαμῶς φαύλας ἔχειν περὶ ἐκείνης ὑπονοίας ἀνεχόμενον. ἀχθεσθεὶς δὲ οὐ μετρίως καὶ λύπης ἔμπλεως γενόμενος ἐπὶ τοῖς συμβᾶσι, Ζειανὸν μὲν ἐκέλευεν ἐν δεσμωτηρίῳ φρουρεῖσθαι καθειρχθέντα, αὐτὸς δὲ ἀπέσχετο τοῦ περὶ τὴν ἐλευθερίαν τοῦ γυναικὸς ἀδελφοῦ τι πράττειν ἢ βουλεύεσθαι, ἄτοπον εἶναι λογισάμενος καὶ σχέτλιον κομιδῇ τὴν μὲν ἐκείνου μητέρα τὴν βασιλίδα τοσαύτην πρὸς αὐτὸν πικρίαν καὶ δυσμένειαν ἐνδείκνυσθαι, ὡς πάντα πράττειν, ἐξ ὧν ἂν αὐτὸς διαφθαρείη, ἢ ὡς μάλιστα πρὸς πολλῶν ἀφίκοιτο πεῖραν δυσχερῶν, αὐτὸν δὲ ὥσπερ ἀπεστερημένον τὸ λογίζεσθαι, καὶ τὸν υἱὸν ἐκείνης ἀφιέναι τοῦ δεσμωτηρίου, πολέμιον ἐσόμενον κἀκεῖνον σὺν αὐτῇ. χρόνου δὲ οὕτω βραχέος παραῤῥυέντος, Ζειανὸς ἐν τῷ δεσμωτηρίῳ ὥσπερ εἰς συναίσθησιν, οἷα εἴργαστο, ἐλθὼν καὶ δείσας, μὴ καὶ μετὰ τελευτὴν τοῖς ἐν ᾅδου καταδίκοις συνεῖναι καταψηφισθῇ, οἷα δὴ πρὸς τῷ σεσυκοφαντηκέναι βασιλίδα καὶ ἀφορισμὸν ἀπὸ θεοῦ δεξάμενος καὶ δαίμοσιν ἑλόμενος συνεῖναι τοῖς ἀπὸ θεοῦ κεχωρισμένοις, γράμματα ἔπεμπε τῷ πατριάρχῃ διά τινος τῶν πάνυ φίλων. τὰ δὲ ἐδήλου, ὡς συκοφαντοῖτο μὲν ὑπ' αὐτοῦ ἡ βασιλὶς ἐπὶ τοῖς εἰρημένοις καὶ μηδὲν αὐτῷ συνειδείη καὶ τοῖς συνομόταις τῶν βεβουλευμένων· τοῦ πιστευθῆναι δὲ τὰ πεπλασμένα ἕνεκα καὶ τὸν ἀφορισμὸν κακῶς καὶ ἀνοήτως δέξασθαι. [20]

3 345 νυνὶ δὲ εἰς οἷον βάραθρον ὑπ' ἀναισθησίας κατώλισθε συνιδόντα, τυχεῖν συγγνώμης δεῖσθαι τἀληθὲς ἅπαν ἐξαγγέλλοντα, καὶ τῶν ἐκ τοῦ ἀφορισμοῦ δεσμῶν λυθῆναι. ὁ μὲν οὖν Ζειανὸς τοιαῦτα ἔγραφεν· ἀγχίνους δὲ ὢν ὁ τὰ γράμματα κομίζων καὶ χρήσασθαι καιροῖς ὀξὺς καὶ συνιδὼν, ὡς, ἂν μὲν πρὸς πατριάρχην τὰ γράμματα ἀγάγοι, Ζειανῷ τὴν ὠφέλειαν παρεσχημένος ἔσται μόνῳ, βασιλεῦσι δὲ κατάδηλα ποιήσας, πρὸς οἷς ὠφελήσει Ζειανὸν, καὶ βασιλίδα τὴν Εὐγενίαν ἀπαλλάξει τῆς συκοφαντίας καὶ τοῦ δεσμωτηρίου τὸν υἱὸν, ἀφῖκτο πρὸς Εὐγενίαν τὴν βασιλίδα, φέρων καὶ τὰ γράμματα. ἡ δ' ἔπεμπεν αὐτίκα βασιλεῖ τῷ Καντακουζηνῷ, καὶ ὃς οὐδὲν μελλήσας, τῷ νέῳ βασιλεῖ τὰ γράμματα ἐδείκνυ. οὕτω δὲ σαφέστατα ἐληλεγμένης τῆς συκοφαντίας, ὁ νέος βασιλεὺς ἔνθους τε ἦν ὑφ' ἡδονῆς, ὅτι ἡ πρὸς τοὺς οἰκειοτάτους διελύετο δυσμένεια, ὅπερ μάλιστα ἐβούλετο, καὶ Ζειανοῦ πολλὴν μοχθηρίαν καταγνοὺς εἰκῇ καὶ μάτην ἑλομένου τὴν τοσαύτην συκοφαντίαν, ἔπραττεν αὖθις, ὅπως τὸν γυναικὸς ἀδελφὸν ἀφήσει τοῦ δεσμωτηρίου. τῶν πραγμάτων δὲ καλούντων ἐπὶ Θεσσαλονίκην ἀναγκαίως καὶ δεομένων τῆς ἐκείνου παρουσίας, ἐξεστράτευσε τριήρεσι. μετὰ δὲ τὴν ἐπάνοδον

πέμψας ἐκ Τενέδου, ἤγαγεν εἰς Ἐπιβάτας, φρούριόν τι περὶ Σηλυμβρίαν, τὸν γυναικὸς ἀδελφὸν, ὅπως ἐγγὺς ἀλλήλων ὄντων γίγνοιντο οἱ λόγοι. [20]

3 346 ἠξίου τε τὴν βασιλείαν ἀποθέμενον παντάπασι, τὴν ἰδιώτου τύχην στέργειν, τιμὰς καρπούμενον τὰς μετὰ βασιλέα πρώτας καὶ τῶν βασιλέως παίδων πάντων ἐν ἅπασι προέχειν, πλὴν Ἀνδρονίκου βασιλέως. ἐξεῖναι δὲ αὐτῷ καινοτομεῖν ἑτέραν στολὴν, ὁποίαν ἂν ἐπινοοίη, καὶ ταύτῃ χρῆσθαι, πράττειν δὲ βασιλικῶς μηδὲν, μήτε φθέγγεσθαι. ἢν δέ τις οἷα βασιλεῖ προσφέροιτο ἢ προσαγορεύοι, τοῦτον ἀπελαύνειν πρὸς ὀργήν. τοιαύτη μὲν ἡ Παλαιολόγου τοῦ βασιλέως ἦν ἀξίωσις. Ματθαῖος δὲ ὁ βασιλεὺς μᾶλλον εἵλετο φρουρεῖσθαι διὰ βίου, ἢ τοιαῦτα ὑπομένειν. πρῶτον μὲν γὰρ ἔφασκεν, οὐ ῥᾷον εἶναι ἐνεγκεῖν τὸν χθὲς καὶ πρώην προσκυνούμενον ὡς βασιλέα νῦν ἐν ἰδιώτου σχήματι τελεῖν καὶ τῶν ἄλλων ὀλίγον διαφέρειν ἢ οὐδέν· ἔπειτα οὐδ’ ἡ πρόφασις αὐτὴ τοῦ δεσμωτηρίου φαύλη τις καὶ ἀγεννής. ἀλλ’ ὑπὲρ τῆς τῶν ὁμοφύλων ἐλευθερίας βαρβάροις τοῖς δουλωσαμένοις πολεμῶν, ἡλίσκετο κατὰ τὴν μάχην ἀτυχήσας, ὃ πολλοῖς συμβέβηκε καὶ πρότερον Ῥωμαίων βασιλεῦσι· καὶ νῦν ὑπὲρ εὐδοξίας καὶ τιμῆς μᾶλλον αἱρεῖται τὰ δεινά· ὑπὲρ ὧν οὐκ ἄν τις μέμφοιτο δικαίως εὖ φρονῶν. ἂν δὲ πρὸς τὴν δοκοῦσαν δυσπραγίαν ὑποπτήξας, καταπροδῷ τὴν εὐδοξίαν ἑκοντὶ, πᾶς ὁστισοῦν ἂν δικαίως μικροψυχίας καὶ ἀνελευθερίας γράφοιτο. δι’ ἃ ῥᾷον ἂν ἐνέγκοι τὸ δεσμεῖσθαι διὰ βίου, ἢ καταπροΐεσθαι τὴν δόξαν διὰ τὴν ἐν τῷ παρόντι τῶν δεινῶν ἀπαλλαγήν· ἠξίου τε βασιλέα τὸν γαμβρὸν, εἰ βούλοιτο τὰ δέοντα ποιεῖν, μηδενὸς ἀποστερεῖν τῶν ὄντων, ἀλλὰ πρὸς τῷ ἀφεῖναι τοῦ δεσμωτηρίου καὶ τὸ βασιλέα εἶναι συγχωρεῖν. [20]

3 347 ἢ εἰ μηδὲ ταῦτα συγχωροίη, μᾶλλον αὐτὸν αἱρήσεσθαι τὸ εἶναι διὰ βίου ἐν δεσμοῖς. μη′. Καντακουζηνὸς δὲ ὁ βασιλεὺς γενόμενος ἐν Ἐπιβάταις, ἐπεὶ πύθοιτο τοιαῦτα περὶ τοῦ υἱοῦ, πείθειν ἐπεχείρει, ὡς οὐ προσήκοντα αἱρεῖται. πρῶτον μὲν γὰρ εἶναι μηδὲν τῶν πάντων, ἔφασκεν, ὃ μὴ τῇ θεοῦ προνοίᾳ διοικεῖται, μάλιστα δὲ εἰ τὰ κατ’ αὐτὸν ἕκαστα σκοποίη, πάνθ’ εὑρήσει τῇ τοῦ θεοῦ σοφῇ προνοίᾳ εἰργασμένα εὐθὺς ἐξαρχῆς σκοπῶν. τὸ γὰρ τοὺς ἐκ Φωκαίας πειρατὰς Βιθυνίαν παραπλέοντας ἐφ’ ἁρπαγῇ καὶ μέγιστον κέρδος ἡγουμένους καὶ τῶν φαυλοτάτων τινὰς ἐξανδραποδίζειν, ἀθρόον οὕτω καὶ πέρα προσδοκίας εὐτυχηκέναι, ὥστε τὸν μυρίων μὲν ἀνθρώπων ἄρχοντα καὶ δύναμιν μεγάλην περιβεβλημένον, μεγάλοις δὲ στρατοπέδοις δυνάμενον ἀντικαθίστασθαι, συλλαβεῖν ἀπονητὶ, Ὀρχάνην δὲ τὸν πατέρα τῇ πρὸς τὸν παῖδα συμπαθείᾳ πολλὰ δεηθῆναι βασιλέως, ὥστε τὸν υἱὸν ἀπαλλάττειν τῆς αἰχμαλωσίας, καὶ μεγάλας τῆς εὐεργεσίας ταύτης ὑποσχέσθαι ἀμοιβὰς, (ἑτέρως γὰρ ἑώρα οὐκ ἐνὸν τὸν υἱὸν ἀπαλλάττειν τῶν δεσμῶν,) βασιλέα δὲ συνιδόντα καὶ αὐτὸν, ὡς τοῦτον τὸν τρόπον μάλιστα δυνήσεται Ὀρχάνην πείθειν αὐτῷ προσέχειν καὶ τοῦ σοὶ κατ’ ἐκείνου συμμαχεῖν ἀναγκάζειν ἀποσχέσθαι, καὶ ταύτης τῆς ἐλπίδος ἕνεκα τριήρεις ἐφοπλίσαντα προσέχειν ἀεὶ θαλάσσῃ καὶ πειρᾶσθαι τὸν Ὀρχάνη παῖδα ἀνασώζειν, ὑπὸ δὲ τὸν αὐτὸν χρόνον καὶ σὲ ὑπὸ Τριβαλῶν προσκεκλημένον, μόνους ἔχοντα βαρβάρους, ἐξεστρατευκέναι πρὸς Μακεδονίαν, οὕτως ὑπ’ ἀνάγκης περισχεθέντα, ὥστε τὴν οὖσαν ἐκ Ῥωμαίων στρατιὰν ἀπολιπεῖν, Τριβαλοὺς δὲ τοὺς πρότερον οὐδ’ ἀντιβλέπειν πρὸς τοὺς Πέρσας πώποτε τετολμηκότας ὀλίγους παρὰ δόξαν πρὸς πολλαπλασίους ἀντικαταστῆναι, τοὺς Πέρσας δὲ, καίτοι κρείττους τῶν πολεμίων γενομένους, αὐτοὺς ὑφ’ ἑαυτῶν διαφθαρῆναι τραπομένους πρὸς φυγὴν, σὲ δὲ ὑπολειφθέντα μόνον, ἁλῶναί τε ὑπὸ τῶν πολεμίων καὶ δεσμώτην ἀπαχθῆναι πρὸς βασιλέα τὸν γαμβρὸν, ἐπιστρατεύσαντα αὐτίκα ταῖς πόλεσι ταῖς ὑπὸ σὲ καὶ σὺν ῥᾳστώνῃ πάσῃ χειρωσάμενον καὶ γυναῖκα καὶ παῖδας τοὺς σοὺς ὑφ’ ἑαυτὸν πεποιημένον, καὶ πάντα ὥσπερ ἐκ συνθήματος συνδραμεῖν, οὐδένα οἶομαι τῶν πάντων, εἰ μὴ φρενῶν ἀπεστέρηται παντάπασι καὶ λογισμῶν ὀρθῶν, μὴ κατὰ θείαν πρόνοιαν οἰήσεσθαι συμβεβηκέναι. [15]

3 348 ἃ καὶ σὲ πεπεισμένον, οὐχ ἑτέρως ἐσχηκέναι δέον τοῖς ἐψηφισμένοις στέργειν τῷ θεῷ καὶ μὴ μετὰ τὴν φιλάνθρωπον παιδείαν ταύτην, (πεπαίδευκε γάρ σε φιλανθρώπως τῷ θανάτῳ μὴ παραδοὺς,) ἀναίνεσθαι τὴν ἀνάκλησιν, εἰ μὴ καὶ τῆς βασιλικῆς ἔξεστιν εὐδοξίας ἀπολαύειν, ὥσπερ πρότερον. καίτοι καὶ τὸ πρὸς πᾶσαν ἑτέραν δόξαν τὴν παρὰ τόνδε τὸν βίον ἐπίκηρον οὖσαν καὶ διαῤῥέουσαν ἐπτοῆσθαι, οὐκ ἀνδρῶν ἐχόντων νοῦν καὶ προσεχόντων ἀληθέσι λογισμοῖς. [20]

3 349 ἡ δὲ ἐκ τῆς βασιλείας ταύτης καὶ κίνδυνον οὐ τὸν τυχόντα τῷ μὴ καλῶς τοῖς πράγμασι χρωμένῳ καὶ προσηκόντως ἂν ἐνέγκοι. οὐ γὰρ ὥσπερ ἐν τοῖς ἄλλοις, ἂν ῥᾳθύμως, οὕτω δὴ καὶ βασιλεῦσιν ἐφ’ ἑαυτοὺς ἡ βλάβη περιγίνεται, βιοτεύωσιν· ἀλλὰ τά τε ἀγαθὰ ὁμοίως κοινὰ τοῖς ὑπηκόοις καὶ τὰ φαῦλα, καὶ δέον ἀγαθοῦ παντὸς ἀρχέτυπον τὴν βασιλέως καθεστάναι ψυχήν· εἰ δὲ μὴ, οὐ τῆς σφετέρας μόνον ῥᾳθυμίας ὀφλήσει δίκας, ἀλλὰ καὶ τῆς τῶν πολλῶν. ἃ τίς ἂν νοῦν ἔχων ἐννοήσας, οὐκ ἂν ἕλοιτο μᾶλλον ἀφανείᾳ πολλῇ συζῆν, τῆς ζημίας οὐκ εἴς τι τῶν φαυλοτέρων, ἀλλ’ εἰς αὐτὴν τὴν ψυχὴν διαβαινούσης, ᾗ τά τε ἀγαθὰ ὁμοίως καὶ τὰ φαῦλα ἀθάνατα συνέσται; ἐπὶ τούτοις δὲ καὶ κατὰ τὸν τῇδε βίον πολλῶν ἀγώνων καὶ πόνων καὶ κινδύνων τῷ βασιλεύοντι δεήσει, εἰ μέλλοι μὴ παρέργως, ἀλλὰ κατὰ τὸν λόγον χρῆσθαι τῇ ἀρχῇ. προκινδυνεύειν γὰρ τῶν ὑπηκόων δίκαιον ἀεὶ καὶ μὴ ἐν τῷ ἰδίῳ ἀσφαλεῖ προΐεσθαι τὴν ἐκείνων σωτηρίαν· καὶ πάντα πόνον ὑπομένειν καὶ πρὸς τὴν διοίκησιν τῶν κοινῶν καὶ πρὸς τῶν πολεμίων τὴν ἀντίστασιν, τῶν τε ἔξωθεν ἐπιόντων καὶ τῶν ἔνδοθεν ὁμοίως ἐπιβουλευόντων. ἂν δέ τις ἔροιτο, ὅτου χάριν πολλὴν τῷ πράγματι δυσχέρειαν συνειδὼς καὶ τοσούτων πόνων καὶ ἀγώνων τὴν βασιλέως δεομένην ψυχὴν, αὐτὸς, ἑνὸν ἐν ἰδιώτου μοίρᾳ πάντων ἀπηλλάχθαι, τοσαῦτα ὑπὲρ τοῦ τυχεῖν εἱλόμην ὑπομένειν καὶ κινδύνοις φοβεροῖς καὶ περιστάσεσι ποικίλαις προηκάμην ἐμαυτὸν, ἐκεῖνο ἂν ἀποκριναίμην φιλαληθῶς, ὅτι μὴ βασιλικῆς ἀρχῆς ἐρῶν, μηδὲ πρὸς τὴν ἐκ ταύτης δόξαν κεχηνὼς, ἑκὼν εἶναι καθῆκα ἐμαυτὸν εἰς τοὺς ἀγῶνας, ἀλλ’ ὑπὸ τῶν ὁμοφύλων ἐπιβουλευθεὶς, πολλὰς συκοφαντίας καὶ διαβολὰς συσκευασάντων, καὶ εἰς αὐτὸν τὸν κολοφῶνα τῶν κακῶν συνελαθεὶς, (οὐδεμία γὰρ ἐλπὶς ὑπελείπετο πονηροτέρα,) καὶ συνιδὼν, ὡς οὐχ ἁγαπήσουσιν, ἂν αὐτοῖς παραχωρήσω τῶν πραγμάτων τῆς ἀρχῆς, ἀλλ’ ὑπὲρ τοῦ δοκεῖν δικαίως πεπολεμηκέναι ὠμῶς ἀποκτενοῦσιν, ὡς τὰ ἔσχατα ἠδικηκότα, καὶ παῖδας διαφθεροῦσι καὶ οἰκείους καὶ τοὺς ἄλλους, ὅσοι πρότερον ἔτεσι πολλοῖς εὔνως ἔχειν ἐδόκουν πρὸς ἐμὲ, ὄντες οὐκ ὀλίγοι τινὲς, οὐδὲ εὐκαταφρόνητοι, ἀλλ’ οἱ πλείους καὶ περιφανέστεροι Ῥωμαίων, ὑπὲρ τῆς σφετέρας τε καὶ τῶν συνόντων σωτηρίας εἱλόμην τὴν βασιλέως προσηγορίαν, καίτοι πρὸ πολλοῦ τοῦ χρόνου τῶν πραγμάτων ἄρχων καθεστὼς, οὐ δόξης ἕνεκα τῆς ἐκ τῆς βασιλείας ἐσομένης· οὐδὲ τοῦ τοῖς παισὶν ὥσπερ τινὰ πατρῷον κλῆρον καταλείπειν τὴν ἀρχήν. [15]

3 350 καὶ τούτου δείγματα παρεσχόμην ἐναργέστατα διὰ παντὸς τοῦ χρόνου οὐ μόνον πρὶν ἁπάσης ἐγκρατὴς γενέσθαι τῆς ἡγεμονίας, (δεομένων γὰρ ἁπάντων τῶν συνόντων καὶ σὲ αἱρεῖσθαι βασιλέα, οὐκ ἠθέλησα,) ἀλλὰ καὶ μετὰ τὸ πᾶσαν ποιήσασθαι ὑπ’ ἐμαυτόν· δεηθέντων γὰρ πολλῶν, καὶ μάλιστα τῶν ἐπιφανεστάτων, τὰ ἴσα αὖθις περὶ σοῦ, τοσοῦτον τοῦ πεισθήσεσθαί ποτε ἀπέσχον, οἷς αὐτοὶ ἠξίουν, ὥσθ’ ἅμα τῷ πᾶσαν ἔχειν καὶ τῆς μοχθηρίας τῶν συκοφαντῶν ἐναργεστάτας παρασχέσθαι ἀποδείξεις, πᾶσαν ἐπενόουν μηχανὴν καὶ πάντα ἔπραττον, ὥστε τῶν ἐκ τῆς ἀρχῆς θορύβων ἀπαλλάξας, ἀπραγμοσύνῃ τὸν ἐπίλοιπον συνεῖναι βίον καὶ πρὸς τὴν ἄλυτον ἐκείνην καὶ μὴ διαῤῥέουσαν ζωὴν πᾶσαν μεταθέσθαι καὶ φροντίδα καὶ σπουδήν. [5]

3 351 οὐ μὴν ἀλλ’ εἰ καὶ μάλιστά τις φαίη τῆς δόξης ἕνεκα καὶ τῆς τρυφῆς καὶ τῶν ἄλλων τῶν δοκούντων ἐκ τῆς βασιλείας ἀγαθῶν τοὺς πόνους ἐμὲ καὶ τοὺς κινδύνους τοὺς τοσούτους ὑποστῆναι, μάλιστ’ ἂν ἔγωγε φαίην ἀξιόχρεως καὶ διὰ τοῦτο τοῖς ἄλλοις εἶναι παιδευτής.

σαφέστατα γὰρ ἐκ τῶν πραγμάτων συνιδὼν, ὡς τὸ τηλικαύτην ἀρχὴν διέπειν καλῶς καὶ προσηκόντως καὶ κατὰ μίμησιν τοῦ πάντων βασιλεύοντος θεοῦ, οὐκ ἂν εἴη παντὸς τοῦ βουλομένου, ἀλλ᾽ ὅσοι πνεύματι θεοῦ ἀγόμενοι, πάντα πράττουσιν, ὅπως ἂν τῷ ἄγοντι δοκοίη· οἷος ἦν Δαυὶδ καὶ Κωνσταντῖνος ὁ μέγας ἐν βασιλεῦσι καὶ ὅσοι κατ᾽ ἐκείνους τὴν ἀρετὴν, ἀσφαλέστατ᾽ ἂν συμβουλεύσαιμι τοῖς μὴ τοιούτοις καὶ τῆς πρώτης πείρας ἀποσχέσθαι, μέλλουσιν οὐκ ἐλάττω βλάπτεσθαι ἐκ τῆς ἀρχῆς, ἢ ὅσα νομίζουσιν ὠφελεῖσθαι, σφᾶς αὐτοὺς ἐξαπατῶντες, τὴν τρυφὴν καὶ τὴν βλακείαν καὶ τὴν ἄλλην πρὸς τὸν βίον ῥᾳθυμίαν νομίζοντες τῶν ἀγαθῶν. [20]

3 352 ταῦτα μὲν οὖν ἄν τις φαίη καὶ τὰ πλείω τούτων παραπλήσια, πειρώμενος ἀποτρέπειν τοῦ μὴ σφόδρα κεχηνέναι πρὸς τὴν δόξαν ταύτην τὴν κάτω καὶ πατουμένην, ἣν καὶ χρόνος διαλύειν δύναιτ᾽ ἂν καὶ μεταβολὴ πραγμάτων καὶ μοχθηρία πονηρῶν ἀνθρώπων καὶ μυρία ἕτερά τινα· ἂν μέντοι πρὸς τούτοις καὶ θεὸς ἄνωθεν ἐπιψηφίζηται καὶ κελεύῃ φανερῶς ἐξίστασθαι τῆς ἀρχῆς, οὐ πάντα πράξομεν τὰ θεῷ δοκοῦντα μετ᾽ εὐγνωμοσύνης, ἀλλὰ φιλονεικήσομεν, ἢ διὰ βίου βασιλεύειν, ἢ εἰ μὴ παρείη μηδὲ ζῆν, μηδὲ τὸν ἥλιον ὁρᾷν τουτονὶ, ἀλλ᾽ ὑπὸ ζόφον βιοῦν αἱρεῖσθαι; καίτοι εἰ μὲν ἔκ τινων λογισμῶν ἀναμφιβόλων σαφέστατα ἐξῆν εἰδέναι, ὅτι τοὺς ἁπανταχοῦ βαρβάρους γῆς διαφθερεῖς καὶ τρόπαια λαμπρά τινα καὶ περιφανῆ στήσεις ἀπὸ πάντων πολεμίων καὶ τὴν ἀρχαίαν εὐδαιμονίαν τοῖς Ῥωμαίων ἀνασώσεις πράγμασι καὶ κυρίους γῆς καὶ θαλάσσης ἀποδείξεις, ὥσπερ ἦσαν ἐν τοῖς ἄνω χρόνοις, ὅτε ἤκμαζεν αὐτῶν ἡ δύναμις, λόγον ἄν τινα ἐδόκει ἔχειν ἡ πρὸς τὴν παραίτησιν τῆς βασιλείας ἔνστασις. εἰ δὲ τὰ τοιαῦτα εὐτυχήματα ὀνειρώττειν, ἢ καὶ νήφοντα ἀναλογίζεσθαι διενήνοχεν οὐδέν, τί δεῖ τοσαῦτα ὑπὲρ τῶν ἐσομένων μηδέποτε φιλονεικεῖν; ἐγὼ δὲ ἀπορῶ παντάπασιν ὁποίοις ἄν τισι χρησάμενος σώφροσι λογισμοῖς, μᾶλλον αἱρήσῃ διὰ βίου δεσμωτήριον οἰκεῖν, ἢ τὴν βασιλικὴν ἀξίαν ἀποθέσθαι. [20]

3 353 εἰ γὰρ μὴ νῦν ὑπείκειν ἐθελήσεις πρὸς τὴν βασιλέως τοῦ γαμβροῦ ἀξίωσιν, δυοῖν θάτερον ἀνάγκη, ἢ δεσμοῖς ἐναποθνήσκειν, ἢ πειρᾶσθαι τρόπῳ δή τινι τὸ δεσμωτήριον ἀποδράντα, τὴν ἀρχὴν ἀνακαλεῖσθαι. τούτων μὲν οὖν ἑκάτερον εἴ ποτε ἐξέσται, ἐν ἀδήλῳ κεῖται· ὅτι δὲ, εἰ κατασταίης αὖθις πρὸς τὸν πόλεμον, πολλῶν δεήσῃ πόνων καὶ κινδύνων καὶ πολλοῖς τῶν ὁμοφύλων αἵμασι τὴν ψυχὴν καταχρανεῖς καὶ μυρίων κακῶν καὶ ἀνδραποδισμῶν Ῥωμαίοις αἴτιος ὀφθήσῃ, δῆλον μάλιστα αὐτόθεν καὶ οὐδὲ ὀλίγου λόγου πρὸς ἀπόδειξιν δεόμενον. τὸ γὰρ ἐκεῖνον συμπάντων ὄντα πραγμάτων κύριον πειρᾶσθαι παραλύειν τῆς ἀρχῆς οὐδαμῶς τις ἑτέρως ἂν ἐξεῖναι οἰηθείη, ἢ διαστήσαντα τοὺς ὑπηκόους καὶ πόλεμον ἐμφύλιον κεκινηκότα, ἢ δύναμίν ποθεν ἐπαγαγόντα ἢ Ἑλλήνων ἢ βαρβάρων, οἳ τὰς πόλεις ἐκπολιορκήσουσιν ἀνθισταμένας καὶ τοὺς μὲν ἀποκτενοῦσι τῶν ἁλισκομένων, τοὺς δὲ καταδουλώσονται καὶ ἀναγκάσουσι πρὸς βίαν σοι προσέχειν· ὧν ἑκάτερον οὐδενὸς τῶν ἀτοπωτάτων ἀποδεῖ πρὸς ἀδοξίας λόγον. ὁπότε οὖν τὸ μὲν εὐδοκιμεῖν, εἴ ποτε καὶ κατὰ γνώμην τὰ πραττόμενα ἀποβαίη, πολλὴν τὴν ἀδηλίαν ἔχει, ἡ ἀδοξία δὲ ἐξαρχῆς καὶ τῶν χειρίστων ἀναφαίνεται ἡ ἐπιχείρησις, οὐ τὰ πρὸς εὐδοξίαν μᾶλλον ἄγοντα καὶ βέβαια τῶν ἀδήλων ἀνθαιρήσῃ; οὐ μὴν ἀλλ᾽ εἰ καὶ βασιλεὺς αὐτὸς πολλῇ χρησάμενος ἐπιεικείᾳ καὶ μεγαλοψυχίᾳ, τὴν μὲν τιμήν σοι συγχωρήσει τὴν βασιλικὴν, ὅσην ἐν ἐνδύμασι καὶ λόγοις, οὐκέτι δὲ προσήσεται κοινωνὸν καὶ τῆς ἀρχῆς, οὐδέ τινας παρέξεται τῶν ὑπηκόων πόλεων, ἐφ᾽ αἷς βασιλεύσεις καὶ αὐτὸς, (οὐδεὶς γὰρ ἂν βιάσαιτο πρὸς ταῦτα, εἰ μὴ βούλοιτο ἑκὼν,) οὐδὲν ἄλλο λείπεται, ἢ γῆν ζητεῖν ἑτέραν καὶ πόλεις, ὧν προστήσῃ· οὗ καὶ μόνον ἐννοῆσαι πᾶς τις ἂν ἀπόσχοιτο, εἰ σωφρονοίη· ἢ μένοντα ἐνταῦθα, ὄνομα κεκτῆσθαι μόνον ἔρημον πραγμάτων, καὶ τὴν δοκοῦσαν τιμὴν ἀδοξίας ἔχειν ἀφορμήν. [10]

3 354

οὐ γὰρ ὥσπερ ἡ ἀπὸ τῶν ἔργων εὐδοξία εὖ τε φερομένοις καὶ δυσπραγοῦσι τοῖς ἀνθρώποις περισώζεται, (ψυχῆς γάρ ἐστιν ἀρεταῖς κεκοσμημένης,) οὕτω δὴ καὶ ἡ ἀπὸ συνθήματος γινομένη τῶν ἀνθρώπων βέβαιον ἔχει τι, μὴ καὶ τῶν πραγμάτων συναιρομένων, ἀλλ' ὥσπερ συνέστη τὴν ἀρχὴν, οὕτω δὴ καὶ διαλύεται ἀπὸ συνθήματος· περὶ ἣν οὐ μάλιστα σπουδάζειν χρὴ, οὐδ' ἂν τὸ διάδημά τις ἔχῃ, ἢ οὐδὲν διοίσει λίθων, ὧν τοὺς μὲν ἐν τοῖς τιμιωτάτοις ἄγουσιν οἱ ἄνθρωποι, τοὺς δὲ ἐν τοῖς ἀτιμοτάτοις, οὕτω δόξαν· αὐτοὶ δὲ κατὰ τὴν φύσιν οὐδὲν μᾶλλον ἕτερός ἐστιν ἑτέρου τιμιώτερος, ἀνδρία δὲ καὶ φρόνησις καὶ σωφροσύνη καὶ δικαιοσύνη οὐ τῶν ἀλόγων μόνων τοὺς ἀνθρώπους ὑπερέχειν ἀποφαίνουσιν, ἀλλὰ καὶ αὐτοὺς ἀλλήλων, καὶ τοσοῦτον τούτων ἑκατέρων ἀποδείκνυται τὸ μέσον, ὡς τοὺς μὲν θαυμάζεσθαι, εἰ τύχοι καὶ παρ' αὐτῶν τῶν πολεμιωτάτων, τοὺς ἑτέρους δὲ ὁμοίως παρὰ πάντων ἀτιμάζεσθαι καὶ καταφρονεῖσθαι καὶ ὀλίγα ἢ οὐδὲν νομίζεσθαι ἀλόγων διαφέρειν. [20]

3 355 περὶ ἣν οἶομαι δίκαιον καὶ σὲ καὶ πάντα ὀντινοῦν ἡττᾶσθαι. τὸ γὰρ μὴ ἡττᾶσθαι τοῦ ἡττᾶσθαι αἴσχιον ὂν, οὐ μᾶλλον νικᾷν, ἢ ἐν ἅπασιν ἡττᾶσθαι πείθει τοῖς αἰσχροῖς. εἰ δέ τις καὶ τὴν μείζω καὶ θαυμασιωτέραν τιμὴν ἐπιζητοίη καὶ τὴν μάλιστα προσήκουσαν ἀνθρώπῳ, ἣ καὶ τοῦ παρόντος βίου λυομένου παραμένει καὶ πολλήν τινα καὶ θαυμαστὴν ὠφέλειαν παρέχεται τοῖς ἔχουσι, ἐκείνην εἶναι ἴστω, ἣν θεὸς παρέξεται τοῖς ἀγαπήσασιν αὐτὸν καὶ διὰ βίου πᾶσαν πρὸς ἐκεῖνον ἐπιδεδειγμένοις ἐπιείκειαν καὶ τήρησιν τῶν προσταγμάτων. ὅτε τοίνυν τῶν μὲν πάνυ βελτιόνων ἔξεστί σοι τιμῶν μετέχειν, καὶ οὐδεὶς ἂν ἀποστερήσειεν ἐθέλοντα οὔτε βασιλεὺς, οὔτε ἰδιώτης, τῆς δ' ἀτιμοτέρας ταύτης καὶ οὐ πολλοῦ τινος ἀξίας λόγου παρ' εὐφρονοῦσιν αὐτὰ τὰ πράγματα καταναγκάζουσι καταφρονεῖν, θεῷ τε πειστέον, πρῶτον οὕτω τὰ ἡμέτερα ἐψηφισμένῳ, καὶ ἐμοὶ τῷ συμβουλεύοντι. οἶομαι δὲ οὐδένα ἕτερον μήτε οἰκειότερον, μήτε λυσιτελέστερον παραινέσαι, μήτε σὲ μᾶλλον ἑτέρῳ ἢ ἐμοὶ πεισθῆναι ὄντα δίκαιον." τοσαῦτα μὲν Καντακουζηνὸς ὁ βασιλεὺς διειλέχθη πρὸς τὸν υἱὸν, πείθων μὴ πάνυ τῆς βασιλικῆς τιμῆς ἀντιποιεῖσθαι, ἀλλ' ἀποστάντα ταύτης ἑκοντὶ, τοῦ δεσμωτηρίου ἀπαλλάττεσθαι καὶ τῶν παρόντων δυσχερῶν. [20]

3 356 μθ′. Ματθαῖος δὲ ὁ βασιλεὺς „δυσχερὲς μὲν" εἶπε „καὶ οὐ πάνυ ῥᾴδιον τὸν χθὲς καὶ πρώην προσκυνούμενον ὡς βασιλέα ὑπὸ πάντων νῦν ἐν ἰδιώτου σχήματι τελεῖν καὶ τῶν πολλῶν ὀλίγα διαφέρειν ἢ οὐδὲν, καὶ μᾶλλον ἂν αὐτὸς εἱλόμην διὰ βίου δεσμωτήριον οἰκεῖν, ἢ τοιαύτην παροινίαν ὑπομένειν. εἰ δὲ σοὶ τοιαῦτα ἔδοξε καὶ πείθεσθαι προστάττεις, οὐδὲ αὐτὸς οὕτω πόῤῥω καθέστηκα φρενῶν, ὥστε ἢ λυσιτελέστερόν τι μᾶλλον αὐτὸς νομίζειν ἐξευρήσειν, ἢ μᾶλλον ἐμαυτὸν αὐτὸς, ἢ ὅσον οἶομαι φιλεῖσθαι ὑπὸ σοῦ. ἀλλ' ἐν ἀμφοτέροις σαφέστατα εἰδὼς οὐκ ὀλίγῳ τινὶ τῷ μέσῳ σοῦ ἡττώμενος, ἅ τε ἔδοξε θεῷ πρῶτον, ἔπειτα συμβεβούλευκας καὶ αὐτὸς, ὢν πατὴρ, ποιήσω. βέλτιον γὰρ ὑμῖν πειθόμενος ὑπομένειν, ἄν τι συμβαίνῃ καὶ τῶν δυσχερῶν, ἢ τοῖς ἰδίοις λογισμοῖς, εἰ καὶ τὰ μάλιστα δοκοῖεν ἔχειν τι περίεργον ἀκολουθεῖν." Καντακουζηνὸς δὲ ὁ βασιλεὺς εἰς Βυζάντιον ἐπανελθὼν, ἐπεὶ τὸν υἱὸν ἀπήγγελλε τῷ νέῳ βασιλεῖ τὴν βασιλείαν ἀπειπάμενον, τῶν ἄλλων πάντων καὶ αὐτὸς ὑπεριδὼν, ἐκέλευε τοὺς ὅρκους γίνεσθαι· καὶ ἐγένοντο ἐπὶ τούτοις, ὥστε Ματθαῖον τὸν γυναικὸς ἀδελφὸν, παντάπασιν ἀποθέμενον τὸ βασιλεύειν, ὥσπερ ἐν πράξεσι καὶ στολαῖς, οὕτω δὴ κἀν ταῖς προσρήσεσι, τὰς μετὰ βασιλέα τιμὰς καρποῦσθαι πρώτας καὶ τῶν ἄλλων παίδων βασιλέως προέχειν, πλὴν Ἀνδρονίκου τοῦ νέου βασιλέως, καὶ πᾶσαν εὔνοιαν τηρήσειν πρὸς αὐτούς· ὅπλα δὲ μηδέποτε κινήσειν περὶ τῆς ἡγεμονίας πρὸς αὐτοὺς, μηδ' ἀμνήμονα φανεῖσθαι τῆς εὐεργεσίας. [20]

3 357 ἔπειτα ἐν Ἐπιβάταις βασιλέων τε ὁμοῦ καὶ βασιλίδων ἐν ταὐτῷ γεγενημένων, Καλλίστου τε τοῦ πατριάρχου καὶ Λαζάρου τοῦ τῶν Ἱεροσολύμων καὶ τῶν ἄλλων ἀρχιερέων, ὅσοι τότε παρόντες ἔτυχον ἐν Βυζαντίῳ, καὶ συγκλητικῶν ὁμοῦ τοι πάντων, τὰς ἱερὰς στολὰς ἐνδεδυμένων τῶν ἀρχιερέων, Ματθαῖος ὁ τοῦ βασιλέως ὤμνυεν υἱὸς τοὺς ὅρκους, συνούσης

καὶ τῆς γυναικὸς, ἢ μὴν τηρήσειν βεβαίους διὰ βίου καὶ μηδέποτε μηδένα παραβήσεσθαι ἑκόντα εἶναι. ἐπὶ τούτοις δὲ καὶ Κάλλιστος ὁ πατριάρχης ἐπεῖπεν ἀφορισμὸν, εἰ μὴ τοῖς ὁμωμοσμένοις ἀκριβῶς ἐμμείνειε. διελύετό τε τῶν ἀρχιερέων ὁ σύλλογος αὐτίκα. Παλαιολόγος δὲ ὁ βασιλεὺς οὐκ ὀλίγας ἡμέρας Ματθαίῳ τῷ γυναικὸς ἀδελφῷ συνδιατρίψας καὶ πολλὴν ἐπιδειξάμενος φιλοφροσύνην, λόγοις τε πολλοῖς παρακαλέσας, ἐν οἷς ἐπεδείκνυεν αὐτὸν ἐκ διαφόρου πρότερον καὶ πολεμίου φίλον ἐς τὰ μάλιστα γεγενημένον νῦν, καὶ περὶ τῆς βασιλικῆς σκευῆς ὅτι ἀποδέδυτο, μὴ πάνυ παραινέσας ἄχθεσθαι, ὡς, ἡνίκα ἂν αὐτῷ δοκοίη προσῆκον εἶναι χρῆσθαι, αὖθις ἐπιτρέψαντος. παρ' αὐτῷ γὰρ εἶναι λύειν τε τοὺς ὅρκους καὶ τηρεῖν ἀλύτους, εἰ μὴ βούλοιτο. ἔπειτα τὸ νῦν ἔχον πλὴν τῶν ἐρυθρῶν, ὁποίας ἂν αὐτῷ δοκοίη καινουργήσαντι κρηπῖδας ἐπιτρέψας ὑποδύεσθαι, συνταξάμενος εἰς Βυζάντιον ἐπανῆκε καὶ Ἰωάννην καὶ Δημήτριον τοὺς υἱοὺς Ματθαίου τοῦ τῆς γυναικὸς ἀδελφοῦ τιμῶν ἠξίωκε τῶν ἐπιφανεστάτων παρὰ Ῥωμαίοις, δεσπότην μὲν τὸν Ἰωάννην ἀποδείξας, τὸν δὲ Δημήτριον σεβαστοκράτορα, καὶ κοινωνήσας αὐτοῖς τραπέζης. [5]

3 358 ἔπειτα ἐξέπεμπε πρὸς τὸν πατέρα, πολλὰς ὁμολογοῦντας τῆς εὐεργεσίας χάριτας. Ματθαῖος δὲ οὐδὲν εἴλετο περὶ τὴν σκευὴν καινοτομεῖν, ἀλλὰ λευκαῖς κρηπῖσιν, ὥσπερ ἡνίκα ἦν ἐν τῷ δεσμωτηρίῳ, χρῆσθαι εἵλετο. Καντακουζηνὸς δὲ ὁ βασιλεὺς πανοικεσίᾳ τὸν υἱὸν παραλαβὼν, ἀπέπλευσεν εἰς Πελοπόννησον τριήρεσι μακραῖς πρὸς Μανουὴλ δεσπότην, τῶν υἱῶν τὸν ἕτερον. οὐ μὴν οὐδὲ ἐκεῖ ἠμέλουν οἱ πονηροὶ καὶ μοχθηροὶ τοὺς τρόπους μηχανήν τινα ἐξευρίσκειν, ἐξ ἧς λυπήσουσιν ὡς μάλιστα, ἀλλὰ πρὶν γενέσθαι ἐν Πελοποννήσῳ γράμμασι πρὸς δεσπότην διαβάλλουσι τὸν υἱὸν, ὡς βούλοιτο τῆς μὲν ἀρχῆς αὐτὸν ἀποστερεῖν, ἄρχοντα δὲ Πελοποννήσου Ματθαῖον ἀντικαθιστᾷν τὸν ἀδελφόν· καὶ τοῦτο οὐχ εἷς καὶ δύο, ἀλλὰ καὶ πλείους καὶ πολλάκις ἐπεστάλκασιν. ὃ οὐχ ἥκιστα τοὺς λογισμοὺς δεσπότου κατασεῖσαι ἠδυνήθη. ὅτε μὲν γὰρ πρὸς τὴν ἐπιείκειαν καὶ σύνεσιν καὶ εὐβουλίαν ἀπίδοι τοῦ πατρὸς καὶ τὴν εἰς τοὺς παῖδας φιλοστοργίαν, πάντα πλάσματα ἡγεῖτο καὶ διαβολὰς, ὅτε δὲ εἰς τὸ πλῆθος καὶ τὴν πιθανότητα τῶν γεγραμμένων, οὐκ εἶχεν, ὅπως ἅπασι καθάπαξ ἀπιστεῖν. ὅθεν καὶ μετὰ τὴν βασιλέως τοῦ πατρὸς ἐπιδημίαν, τὴν ἔνδον ταραχὴν ἐν τοῖς ἤθεσιν ὑπέφαινε. [25]

3 359 βασιλεύς τε ὁ πατὴρ τὸν θόρυβον οὐκ ἀγνοήσας, ἐπυνθάνετο τὰς αἰτίας, ὅθεν εἶεν· ὁ δὲ πᾶν ἐξεκάλυπτεν αὐτίκα τὸ ἀπόῤῥητον. βασιλεὺς δὲ ὁ πατὴρ τῶν μὲν συκοφαντῶν πολλὴν κατεγίνωσκε σκαιότητα καὶ πονηρίαν τρόπων, τὸν δὲ υἱὸν παρῄνει μὴ ῥᾴδιον εἶναι προσέχειν ταῖς διαβολαῖς, καὶ μάλιστα κατὰ φιλτάτων συνεσκευασμέναις, πατρὸς καὶ ἀδελφοῦ, αὐτὸν δὲ οὐχ ὅπως αὐτὸν ἀφέλοιτο τὴν ἀρχὴν, τὸν ἀδελφὸν ἐκεῖσε ἀγαγεῖν, ἀλλ' ἵν' ὡς μάλιστα βελτίω καὶ ἀσφαλεστέραν ἀπεργάσηται. τι' γὰρ ἂν καὶ εἴη βέλτιον εἰς λόγον ἡδονῆς καὶ ἀσφαλείας, ἢ τὸ συνεῖναι ἀδελφοὺς ἀλλήλοις, ὁμοίως τῇ κατὰ φύσιν συναφείᾳ καὶ τὰς ψυχὰς συγκεκραμένους; τοῦ δὲ εἰς Πελοπόννησον ἐκεῖνον ἀγαγεῖν αἰτίαν οὐδεμίαν ἄλλην εἶναι, ἢ τὰς τῶν φαύλων καὶ πονηροτάτων ψυχὰς ἀνθρώπων, οἳ μάλιστα πολλοὶ νυνὶ τῷ βίῳ ἀνεφύησαν, ἀληθείας μὲν οὐδένα καὶ δικαιοσύνης λόγον πεποιημένοι, μικροῦ δὲ κέρδους ἕνεκα καὶ τὰ δεινότατα τολμῶντες, ἔστι δ' ὅτε μηδὲ ταύτης εὐπορουῦντες τῆς αἰσχρᾶς καὶ ἀγεννοῦς προφάσεως, ἀλλ' ὥσπερ εἰς τοῦτο παρελθόντες εἰς τὸν βίον ἐπὶ τῷ διαφθείρειν τοὺς ἀγαθοὺς καὶ προῖκα τὴν μοχθηρίαν προῃρημένοι, ὧν τὴν ἀτοπίαν δείσας καὶ τὴν πονηρίαν, μὴ συκοφαντίας καὶ διαβολὰς πλασάμενοι, βασιλέα τε καὶ ἀδελφὸν τὸν σὸν ἐκπολεμώσουσιν ἀλλήλοις, ἐνθάδε ἀγαγεῖν, νομίσας ὅπερ ἐστὶν, ὡς ἀληθὲς, οὐ Πελοπόννησον τοσαύτην οὖσαν, ἀλλὰ τὴν αὐτὴν οἰκίαν ὑμᾶς συνοικήσειν ἀλύπως διὰ βίου, καὶ μηδεμίαν ἔσεσθαι πρόφασιν ἰσχυρὰν διαφορᾶς, ἣ διαστῆσαι δυνήσεται ὑμᾶς ἀλλήλων. [20]

3 360 οὐ χρὴ δὲ θαυμάζειν, εἰ τοιαῦτα πεπεισμένος περὶ τῶν συκοφαντῶν, ἐνθάδε ἤγαγον τὸν ἀδελφόν. ὅπου γὰρ καὶ σοὶ ἐμέ τε κἀκεῖνον ἤλπισαν ταῖς διαβολαῖς ἐκπολεμώσειν, σχολῇ γ' ἂν

ἀπέσχοντο βασιλέως προφάσεων μεγάλων εὐποροῦντες ἐκ τῶν πρὶν διαφορῶν. „ἐκεῖνοι μὲν οὖν“ εἶπεν „ἀπολέσθωσαν κακοὶ κακῶς αὐταῖς συκοφαντίαις· σὺ δὲ πᾶσαν ἀποθέμενος μικροψυχίαν, ἡδέως δέχου τὸν ἀδελφὸν, μετ’ ἐπιεικείας ἁπάσης καὶ εὐγνωμοσύνης συνδιάξοντα.“ τοιαῦτα μὲν Καντακουζηνὸς ὁ βασιλεὺς πρὸς δεσπότην εἶπε τὸν υἱόν. ἐκεῖνός τε αὐτίκα τῷ πατρὶ πειθόμενος ἐδέχετο τὸν ἀδελφὸν ἡδέως, πολλὰ καταμεμφόμενος τοὺς συκοφάντας, καὶ πρὸς βασιλέα τὸν πατέρα ἰσχυρίζετο, ὡς, εἰ βέλτιον αὐτῷ δοκοίη καὶ λυσιτελέστερον, ἀποστάντα παντάπασιν αὐτὸν Πελοποννήσου πᾶσαν ἔχειν τὴν ἀρχὴν τὸν ἀδελφὸν, οὐδὲν αὐτὸν φιλονεικήσειν, ἀλλὰ πάντα πράξειν ἑτοιμότατα, ἅττα ἂν αὐτὸς κελεύοι. βασιλεὺς δὲ ἐν Πελοποννήσῳ ὑπὲρ ἐνιαυτὸν συνδιατρίψας τοῖς υἱέσι, καὶ ὧν ἕνεκα ἀφῖκτο δεξιὸν τέλος ἐπιθεὶς, εἰς Βυζάντιον ἐπανῆκεν. ν′. Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους καὶ Κάλλιστος ὁ πατριάρχης παρὰ βασιλέως ἐπέμφθη πρέσβυς πρὸς Ἐλισάβετ τὴν Κράλη γαμετὴν, Φέραις ἐνδιατρίβουσαν μετὰ τὴν ἐκείνου τελευτήν. [20]

3 361 ἐκπεπολέμωντο γὰρ ἀλλήλοις καὶ ἔτι Κράλη περιόντος. ἡ πρεσβεία δὲ ἦν, ὥστε τὸν πρὸς ἀλλήλους πόλεμον καταθεμένους καὶ συμφρονήσαντας, τοῖς ἐν Θρᾴκῃ βαρβάροις ἐπιθέσθαι, κακῶς καὶ τὴν Ῥωμαίων καὶ Τριβαλῶν ποιοῦσι καὶ ληϊζομένοις ὁσημέραι. ἡ μὲν οὖν Κράλη γαμετὴ τὴν πρεσβείαν ἐδέξατο προθύμως, οὐ μὴν ἀλλὰ καὶ οἱ ἐν τέλει πάντες Τριβαλῶν· καὶ πᾶσιν ἔδοξεν ὁμοίως πολεμητέα εἶναι πρὸς τοὺς βαρβάρους, καὶ τὸν πατριάρχην ἦγον δι’ εὐφημίας καὶ αἰδοῦς πολλῆς. Ἐλισάβετ δὲ μάλιστα πολλὴν ἐπεδείκνυτο φιλοφροσύνην καὶ τῶν κρειττόνων ᾠ̈ετό τινα ὑποδεδέχθαι ξενισθέντα παρ’ αὐτῇ. οὕτω δὲ συμβὰν, αὐτός τε ὁ πατριάρχης ἐνεπεπτώκει νόσῳ χαλεπῇ, ὑφ’ ἧς καὶ ἐτελεύτησε, καὶ οἱ ἄλλοι οἱ συνόντες, πλὴν ὀλίγων. ἦν δὲ ἄγων τοὺς μάλιστα ἐν λόγῳ τῶν ἐν τῷ κλήρῳ τῆς ἐκκλησίας κατειλεγμένων· ὅθεν καὶ φήμη διεδόθη παρὰ τοῖς πολλοῖς φαρμάκῳ αὐτοὺς ἀποθανεῖν ἐπιβουλευθέντας ὑπὸ Τριβαλῶν. ἦν δὲ ἄρα ψεῦδος καὶ συκοφαντία ἐναργῶς. οὐ γὰρ τὸ τῆς Κράλη γαμετῆς ἐπιεικὲς μόνον καὶ ἡ πρὸς τὸν πατριάρχην αἰδὼς καὶ φιλοτιμία καὶ σπουδὴ, καὶ περιόντος καὶ μετὰ τελευτὴν, ἀλλὰ καὶ ἡ νόσος, ὑφ’ ἧς ἕκαστος ἐτελεύτησε κατεργασθεὶς, οὐδαμῶς τοιαῦτα δίδωσιν ὑπονοεῖν περὶ αὐτῆς. διαφόροις γὰρ ἔτυχον νοσήμασι κατασχεθέντες, καὶ οὐδὲ δύο τοὐλάχιστον τοῖς ἴσοις. ἀποθανόντα δὲ τὸν πατριάρχην ἔθαψέ τε μεγαλοπρεπῶς ἡ Ἐλισάβετ ἐν τῇ μητροπόλει Φερῶν καὶ ἐτίμησε διαφερόντως, ἀφικομένων δὲ παρ’ αὐτὴν καὶ ἐκ τῶν ἐν Ἄθῳ φροντιστηρίων τῶν σπουδαιοτέρων καὶ ἀντιποιουμένων ἀρετῆς, μάλιστα δὲ Λαύρας τῆς ἱερᾶς, καὶ δεηθέντων ἐφεῖναι τὸν πατριάρχου νεκρὸν ἐν Ἄθῳ μεταγαγεῖν καὶ θάψαι παρὰ σφίσιν, οὐκ ἐνέδωκεν, αὐτὴ μάλιστα εἰποῦσα δεῖσθαι τῆς ἐκείνου προστασίας, καὶ δεῖν εἶναι κατέχειν παρ’ ἑαυτῇ. [5]

3 362 ἐν ᾧ δὲ χρόνῳ ταῦτα ἐτελεῖτο, καὶ ὁ βασιλεὺς ἐπεστράτευσε ταῖς κατὰ τὸν πόντον ὑπηκόοις πόλεσι Μυσοῖς· ἐγένετο γάρ τις αὐτῷ διαφορὰ πρὸς Ἀλέξανδρον τὸν Μυσῶν βασιλέα. καὶ Ἀγχίαλον μὲν εἷλεν ἐξ ἐφόδου μάχῃ κρατήσας, Μεσημβρίαν δὲ ἔκ τε τῆς ἠπείρου πύργον οἰκοδομήσας κατὰ τὸ στενὸν, ἐν ᾧ ἡ εἰσβολὴ, καὶ ἐκ τῆς θαλάσσης ταῖς ναυσὶν ἐπολιόρκει. καὶ ἐπίεσε τοὺς κατοικοῦντας οὐκ ὀλίγα ὕδατος ἀπορία μάλιστα, (ὑδρεύοντο γὰρ οὐ πολὺ ἄποθεν τῆς πόλεως ἔκ τινος πηγῆς,) τότε δὲ εἰργόμενοι ὑπὸ τῆς στρατιᾶς, τοῖς ἔνδον ὕδασιν ἐχρῶντο, ὀλίγοις τε καὶ φαύλοις οὖσιν. Ἀλέξανδρος δὲ ὁ τῶν Μυσῶν βασιλεὺς πολλαῖς μὲν ἐχρήσατο μεθόδοις, ἀναστῆσαι βασιλέα τῆς πολιορκίας, (ἔκ τε γὰρ τῆς οἰκείας στρατιᾶς τῇ πόλει ἔπεμψε συμμάχους, καὶ παρὰ τῶν ἐν Θρᾴκῃ βαρβάρων πείσας χρήμασιν,) ἀπράκτων δὲ ἐπανελθόντων, βασιλέως τούς τε ἔνδον ἰσχυρῶς πολιορκοῦντος καὶ πρὸς τοὺς ἔξω μαχομένου καρτερῶς, ἐπεὶ παντάπασι πρὸς τὸν πόλεμον ἀπηγορεύκει, πρέσβεις πέμψας καὶ ἐπαγγειλάμενος πάνθ’, ὅσα κατὰ γνώμην βασιλεῖ ποιήσειν, ἔπεισεν ἀνθελέσθαι τὴν εἰρήνην, καὶ τά τε χρήματα ἐξέτισεν, ὅσα πρὸς τὸν πόλεμον ἀνάλωτο, καὶ ἕτερα οὐκ ὀλίγα. [20]

3 363 βασιλεύς τε τὸν πύργον καταστρεψάμενος, ἐπανῆλθεν εἰς Βυζάντιον. πυθόμενος δὲ περὶ πατριάρχου, ὅτι τελευτήσοι κατὰ τὴν πρεσβείαν, αὐτός τε ἐσκέπτετο, ὅντινα δεῖ τοῖς πατριαρχικοῖς θρόνοις ἐγκαθιδρύειν, καὶ τοῖς ἀρχιερεῦσιν ἐπέτρεπε συνελθοῦσι κατὰ τὸ ἔθος καὶ διασκεψαμένοις τὸν προστησόμενον τῆς ἐκκλησίας αὐτῷ δηλοῦν. δόξαν δὲ πᾶσι τὸν πατριάρχην Φιλόθεον ἐπανάγειν εἶναι δίκαιον, ἐπεὶ καὶ βασιλεῖ τὰ ἴσα συνεδόκει, (συνῄδει γὰρ αὐτῷ μὴ διὰ κακίαν ἀποστάντι τῆς ἀρχῆς, ἀλλ᾽ ἑκοντὶ παραχωροῦντι, ἵνα μὴ διὰ φιλονεικίαν ταραχῆς πολλῆς καὶ διχοστασίας ἐμπλησθῇ ἡ ἐκκλησία· δι᾽ ἃ δὴ καὶ φιλίως εἶχε πρὸς αὐτὸν, καὶ γινομένῳ τε ἐν βασιλείοις ἡδέως συνῆν καὶ συνωμίλει, καὶ αὐτὸς ἐν ᾗ κατῴκει μονῇ γινόμενος. συνδιενυκτέρευεν αὐτῷ·) πέμψας τοὺς υἱεῖς, Ἀνδρόνικόν τε τὸν βασιλέα καὶ τὸν δεσπότην Μανουὴλ καὶ τῶν συγκλητικῶν πολλοὺς, ἐπανήγαγεν εἰς τὴν ἐκκλησίαν καὶ τοῖς πατριαρχικοῖς ἐνίδρυσε θρόνοις· καὶ νῦν οἷα λύχνος ἐπὶ τὴν λυχνίαν τεθεὶς, ἐπὶ τὸ ἀληθινὸν φῶς τὴν πιστευθεῖσαν ἐκκλησίαν χειραγωγεῖ, τοῖς τε ὑγιέσι τῆς εὐσεβείας δόγμασιν ἐκτρέφων καὶ εὐεκτεῖν ὡς μάλιστα ποιῶν, καὶ τὰ ἤθη ῥυθμίζων, καὶ ὡς οἷόντε τῆς ἀνιέρου ζωῆς ἐπανάγων ταῖς συχναῖς διδασκαλίαις καὶ παραινέσεσιν. ἃ μὲν οὖν συμβέβηκε Ῥωμαίοις ἐφ᾽ ἡμῶν ἔν τε τοῖς ἄνω χρόνοις, ἡνίκα τῶν βασιλέων Ἀνδρονίκων ὁ πρὸς ἀλλήλους ἐκινήθη πόλεμος, καὶ ὕστερον ὁ μεταξὺ τῆς βασιλίδος Ἄννης καὶ Καντακουζηνοῦ τοῦ βασιλέως ἀνερῥιπίσθη, καὶ τὰ τελευταῖα δὴ ταῦτα, ὅσα βασιλεὺς ὁ νέος Ἰωάννης πρός τε τὸν γυναικὸς ἀδελφὸν Ματθαῖον διηνέχθη καὶ βασιλέα τὸν κηδεστὴν, τοιαῦτά ἐστι. [5]

3 364 καὶ πρὸς οὐδὲν τῶν εἰρημένων οὔτε πρὸς χάριν, οὔτε πρὸς ἀπέχθειαν ἐξέβημεν τῆς ἀληθείας, ἀλλ᾽ αὐτὰ τὰ ὄντα ἱστορήκαμεν ἀκριβῶς, τοῖς μὲν αὐτοὶ παρόντες, ἡνίκα ἐπραγματεύοντο, καὶ μετέχοντες τῶν γιγνομένων, τῶν δ᾽ αὐτήκοοι γεγενημένοι ἀπ᾽ αὐτῶν τῶν εἰργασμένων. εἰ δέ τινα τῶν ἐν ἀποῤῥήτοις βεβουλευμένων μάλιστα τῶν πρὸς Καντακουζηνὸν τὸν βασιλέα τὸν πόλεμον κεκινηκότων ἡ ἱστορία περιέχει, θαυμαστὸν οὐδέν. οἱ πλείους γὰρ ἐκείνων καὶ μετὰ τὸ τῆς ἀρχῆς ἁπάσης ἐκεῖνον ἐγκρατῆ γενέσθαι ἔτι περιόντες καὶ πολλῆς προνοίας ἀπολελαυκότες παρ᾽ αὐτῷ, πάντα ἀκριβῶς ἐξεῖπον, ἐκεῖνον μὲν τῆς μεγαλοψυχίας θαυμάζοντες καὶ τῆς καρτερίας τῆς πρὸς τὰ δεινὰ, ἑαυτοὺς δὲ οἰκτείροντες, ὅτι μὴ μόνον τοσούτων αἴτιοι γεγόνασι Ῥωμαίοις συμφορῶν, ἀλλὰ καὶ οὗ πολλῶν καὶ πρότερον καὶ ὕστερον καὶ μεγάλων καὶ θαυμασίων εὐεργεσιῶν ἀπολελαύκασι, τούτῳ ταῖς μεγάλου δουκὸς ἀπατηθέντες μηχαναῖς καὶ πανουργίαις, πολλῶν ὤφθησαν αἴτιοι γεγενημένοι δυσχερῶν καὶ τὰ ἔσχατα ἠγνωμονήκασι. μάλιστα δὲ ἀπήγγειλαν σαφέστατα Ἰωάννης καὶ Νικηφόρος οἱ μεγάλου δουκὸς ἀδελφοὶ, οἷα δὴ τῶν ἄλλων μᾶλλον συνειδότες τὰ ἀπόῤῥητα ἐκείνῳ. [25]

3 365 τὸ μὲν οὖν ἐπίταγμα τὸ σὸν, ὦ καλὲ Νεῖλε, εἰς δύναμιν ἡμῖν ἐκτετέλεσται, σοὶ δ᾽ ἔξεστι τὰ γεγραμμένα ἀναλέγοντι καὶ βίους ἐξετάζοντι καὶ πράξεις καὶ τὸ σύμπαν ἦθος τῶν ἀνθρώπων, τῶν μὲν τὴν μεγαλοψυχίαν ἐπαινεῖν καὶ τὴν ἐν ἅπασιν ἢ ἐν πλείστοις ἔργοις ἀγαθοῖς φιλοτιμίαν, τῶν δὲ μισεῖν τὴν πανουργίαν, ὡς οὐ τοῖς ἄλλοις μόνον, ἀλλὰ καὶ σφίσιν αὐτοῖς πολλῶν κακῶν αἰτίαν γενομένην. [5]